POETÆ MINORES
GRÆCI

PRÆCIPUA LECTIONIS VARIETATE

ET

INDICIBUS LOCUPLETISSIMIS

INSTRUXIT

THOMAS GAISFORD, A. M.

ÆDIS CHRISTI ALUMNUS

NECNON

GRÆCÆ LINGUÆ PROFESSOR REGIUS

EDITIO NOVA, F. V. REIZII ANNOTATIONIBUS IN HESIODUM, PLURIUM POETARUM FRAGMENTIS ALIISQUE ACCESSIONIBUS AUCTA.

VOL. II.

LIPSIAE
POLIO KUEHNIANO
MDCCCXXIII



NEDICTUS GOTTHILF TEUBNER.

SCHOLIA

AD

HESIODUM

E CODD. MSS.

EMENDAVIT ET SUPPLEVIT

THOMAS GAISFORD, A. M.

GRÆCÆ LINGUÆ PROFESSOR REGIUS.

LIPSIAE

IN BIBLIOPOLIO KUEHNIANO

MDCCCXXIII

INDEX MANUSCRIPTORUM.

A. Codex Bibliothecae Regiae Parisiensis N. 2771.
B. ——————————— 2708.
C. ——————————— 2833.
D. ——————————— 2763.
E. ——————————— 1310.
F. ——————————— 2773.
G. ——————————— 2774.
H. ——————————— 2707.
K. ——————————— 2772.

Sunt et alii codices ejusdem Bibliothecae inspecti, viz. 425, 2776. 2758. sed nihil ex iis excerptum, quod memoratu quidem dignum sit.

S. Codex Schellershemianus, olim Florentinus, cujus collationem mecum perofficiose communicavit cel. Creuzerus; cui etiam debentur Gr. sive annotationes Graevii MSS. quarum aliquoties mentionem feci. Apponuntur eae ad marginem exemplaris edit. Heinsii quod possidet bibliotheca Academiae Heidelbergensis.

Ipse Lugduni Batavorum anno 1816. evolvi Etymologicon MS. Vossianum, ibidemque descripsi annotationes MSS. Hemsterhusii et Ruhnkenii. Hemsterhusii observata continentur in exempl. edit. Trincavell. pauca item in exempl. edit. Cleriti. Ruhnkenius sua adleverat Heinsiani exemplaris margini. Ruhnkeniana plura habet Bibliotheca Leidensis, quibus frui mihi non contigit.

Dorv. MS. olim Dorvillii, nunc Bibliothecae Bodleianae, Auctar. X. 1. 3, 12.

CLARISS. DOCTISSIMOQUE VIRO

BONAVENTURAE VULCANIO

DANIEL HEINSIUS

S. D.

HESIODUM, Vir Clarissime, dum sub praelo est, levi opera percurrimus, praesertimque librum cui ab Operibus et Diebus inscriptionem fecit sive *ὁ ποιητής*, sive aliquis *τῶν μετ' αὐτόν*. Quae in illo notanda videbantur, partim ne incepti operis cursum remoraremur, neque praelis difficultatem objiceremus; partim quod sub manu quaedam nascerentur, quae tolli posse videbantur, magis quam ostentationis causa, aut gloriolae captandae, quam ex aliis authoribus sperare poteramus, Introductioni nostrae, quam illi operi subjungere visum erat, addidimus. Restabant interpretes, nec emendati me hercule, nec ubique probi, et qui saepenumero *παρερμηνείᾳ τινὶ* non ferenda sensum authoris mentemque involverant verius quam proponebant. Quae res indicanda saltem juventuti fuit, *καὶ τοῖς κινδυνεύουσι ναυμαχίᾳ τοσαύτῃ περιπεσεῖν*. Moschopulum Proclum-

que, ubi necesse fuit, integritati suae restituimus. Quae transposita manifeste erant aut alio translata, nec tamen loco suo a nobis mota fuerant, ne temeritate peccaremus, indicavimus. Tzetzen auximus, supplevimus, restituimus: alterum ex ingenio: alterum ex authoritate Venetae partim editionis, partim MS. cum quo olim a te collata fuit illa. Quod quamvis omnino peculiare nihil repraesentaret, quod non in Basiliensi expressum esset, noluimus tamen vel humanitati tuae minus debere, vel ignorare *τοὺς χαρίεντας*, quo studio, quo ardore, etiam hac aetate rem literariam agas. Merita in me tua, in quorum partem passurus sum venire neminem, alias agnoscemus, cum occasionem obtulerit bonus Jupiter, aut Apollo pater. Auctores sub auspicio tuo gravissimos degustavi, eruditionem tuam veneratus sum, judicium colui, ingenium suspexi; atque adeo praeeunte te, et manu quasi ducente *τῇ Ἑλληνικῇ καὶ ταῖς παρέδροις Χάρισι θύειν ἠρξάμην*. Multorum igitur nomine cum jam olim tuus sim, postremum nunc beneficium amplector, quo labori huic nostro pro parte tua deesse noluisti: pro quo quicquid hujus est tibi offerendum arbitramur. Ita tamen ut pro reliquis omnibus animum nostrum apud te obsidem relinquamus. Vale Vir Clarissime, et nos amare perge.

AMICO LECTORI
DANIEL HEINSIUS.

QUAE in reliquis Hesiodi interpretibus a nobis praestita sunt, facile ea per te videbis, ut et ea quae in Tzetzen observamus, animadvertimus: caeterum consilii nostri in editione ejus ignarum te esse noluimus. Exemplaribus duobus usi sumus, altero mutilo, sed quod ex MS. codice suppleverat C. V. Bonaventura Vulcanius: altero Basiliensi, sed in quo omnia excusa erant, quae in altero ex MS. accesserant, quod longe emendatissimum ab omnibus semper habitum est. Hoc ipsum infinitis in locis corruptum vitiatumque, ita ut saepius lineae aliquot bis terve inculcarentur, et glossemata multa ineptissime irrepsisse apparerent; partim ingenio, ubi ab utraque editione destituebamur; partim judicio, accedente Venetae editionis authoritate, quae etsi mutila, et multis partibus corruptior, nonnullis tamen in locis ad veram lectionem, qua destituebamur, nobis praeivit, emendavimus. Sed cum saepe integris pericommatibus et periodis, quae idem notarent, hae editiones differrent; ea quae meliora nobis videbantur ex Basiliensi retinuimus: caetera secundum Venetam emendavimus. Quorum singulorum in Notis rationem reddere nec potuimus, nec voluimus. Typographica porro menda, quorsum notare attinet, aut articulum alibi omissum, alibi supervacuum, quod non raro factum fuit. Sufficit nobis si ex iis quae in hunc Grammaticum, ejusque emendationem, collata a nobis sunt, Hesiodo aliquantulum lucis allatum videbis.

SCHOLIA

AD

HESIODUM.

ΠΡΟΚΛΟΥ ΔΙΑΔΟΧΟΥ*).

ΤΗΝ μὲν Θεογονίαν ὁ γενναῖος Ἡσίοδος δοκεῖ μοι συνθεῖναι 3**) πάσης τῆς περὶ τὸν κόσμον τῶν θεῶν προνοίας τὰς ἀρχὰς ἐθελήσας παραδοῦναι τοῖς μεθ' ἑαυτὸν κατὰ τὴν πάτριον τῶν Ἑλλήνων φήμην ἀπὸ τῶν ἐν τοῖς ἱεροῖς θρυλλουμένων μύθων τὸ [1]) σύγγραμμα περιεργασάμενος· τὰ δὲ Ἔργα καὶ τὰς [2]) Ἡμέρας εἰς οἰκονομίαν καὶ ἀπράγμονα ζωὴν παρακαλῶν τοὺς ἀνθρώπους ἀπὸ τῆς ἀγοραίου καὶ φορτικῆς, οὐχ ἁπλῶς εἰς ἡδονὴν [3]) ἀποβλέπων τῶν ἐντευξομένων, ἀλλὰ [4]) ταύτην μὲν πάρεργον θέμενος, τὴν δὲ ὠφέλειαν τὴν εἰς τὸ ἦθος προηγούμενον σκοπὸν ποιησάμενος, ἵνα τὸν ἴδιον βίον κοσμήσαντες, οὕτω [5]) καὶ τῆς περὶ τὸ θεῖον γνώσεως ἐπήβολοι γενώμεθα. Διὸ καὶ ἀπὸ τούτου προσήκει τοῦ συγγράμματος ἄρχεσθαι· τοὺς γὰρ τὸ ἦθος ἀκοσμήτους [6]) τὸν κόσμον γνῶναι παντελῶς ἀδύνατον. Ὁ μὲν οὖν σκοπὸς τοῦ βιβλίου παιδευτικός· τὸ δὲ μέτρον ὥσπερ ἥδυσμά τι τῷ σκοπῷ τούτῳ τῆς ἑρμηνείας ἐπιβέβληται, θέλγον τὰς ψυχὰς καὶ κατέχον εἰς τὴν πρὸς αὐτὸ φιλίαν. Διὸ καὶ ἀρχαιότροπός ἐστιν ἡ ἐν αὐτῷ τῆς ποιητικῆς ἰδέα· τῶν γὰρ καλλωπισμῶν καὶ τῶν ἐπιθέτων κόσμων καὶ μεταφορῶν ὡς τὰ πολλὰ καθαρεύει· τὸ γὰρ ἁπλοῦν καὶ τὸ αὐτοφυὲς πρέπει τοῖς ἠθικοῖς λόγοις. Καὶ τοῦτο μὲν δῆλον· ὅτι δὲ τὸ προοί-

*) Hunc titulum praebent C. D. ex quibus Procli prolegomena nunc primum integra vulgantur. Prooemium usque ad verba *ποίημα εἶναι Μουσῶν* habet Codex Dorvillianus X 1. 3, 12. quocum consentire videtur MS. Matritensis apud Iriartium in Catalogo p. 25. Codex A. initio mutilus scholia Procli continet inde a v. 17. Codex B. Vitam Hesiodi servat, reliquis prolegomenis carens.

[**) Numeri marginibus adscripti sunt paginarum ed. Oxon.]

1) *σύγγραμμα πᾶν ἐργασάμενος* Dorv.

2) *τὰ δὲ Ἔργα καὶ τὰς Ἡμέρας τὸ βίβλιον* Dorv.

3) *ἀποβλεπόντων ἐντευξομένων* Dorv.

4) *ταῦτα* Dorv. et mox *θέμενον — ὠφέλειαν εἰς τὸ* sine *τὴν*.

5) *καὶ ἐπὶ τῶν θείων γνώσεων ἐπίβολοι* Dorv.

6) *τὸν κόσμον*. Sic Dorv. *τὸ κόσμον* C. D.

μιόν τινες [7]) διέγραψαν, ὥσπερ ἄλλοι τε καὶ Ἀρίσταρχος ὀβελίζων τοὺς [8]) στίχους, καὶ Πραξιφάνης ὁ τοῦ Θεοφράστου μαθητὴς, μηδὲ τοῦτο ἀγνοῶμεν. Οὗτος μέντοι καὶ ἐντυχεῖν φησὶν
4 ἀπροοιμιάστῳ τῷ βιβλίῳ καὶ ἀρχομένῳ χωρὶς τῆς ἐπικλήσεως τῶν Μουσῶν ἐντεῦθεν, Οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος. Καὶ γὰρ τοῦτο πρέπον ἦν, [9]) ὡς ἔοικεν, ἀνδρὶ γράφειν ἄνευ σκηνῆς ποιητικῆς ἐγχειροῦντι καὶ πρὸ θύρων ὄγκον ἐπιδεικνυμένῳ περιττόν. Ἐπάγεται δέ τινας τὸ μὴ ἀπὸ τοῦ Ἑλικῶνος καλεῖν, Βοιωτὸν ὄντα, τὰς Μούσας, ὥσπερ [10]) ἐν τῇ Θεογονίᾳ πεποίηκεν, ἀλλ' ἀπὸ τῆς Πιερίας, εἰς τὸ μὴ προσίεσθαι τὸ προοίμιον· τάχα δ' ἂν εἴη καὶ τοῦτο παιδευτικὸν, εἰς τὸ μὴ πάντα τὰ οἰκεῖα [11]) σεμνύνειν, ἀλλὰ καὶ τὰ παρ' ἄλλοις ὄντα μειζόνως ἀγαθὰ, προτιμότερα τῶν οἰκείων τίθεσθαι· καὶ γὰρ τὰς Μούσας [12]) τετέχθαι μὲν ἐν τῇ Πιερίᾳ φασὶν, ἐν δὲ τῷ Ἑλικῶνι [13]) χορεύειν, τῆς μὲν Πιερίας τὴν ὑπὲρ τὸν κόσμον τάξιν δηλούσης, ἀφ' ἧς εἰς τὸν κόσμον προῆλθε, τοῦ δὲ Ἑλικῶνος τὴν ἐγκόσμιον, ἐν γὰρ τούτῳ χορεύουσιν ταῖς σφαίραις ἐννέα οὔσαις ἐπιβεβηκυῖαι. Ταῦτα μὲν οὖν καὶ ἐν ἄλλοις εἴρηται· νῦν δὲ τῶν ἐν τῷ βιβλίῳ λέξεων τὰς δεομένας σαφηνείας διερμηνεύσωμεν, καὶ εἴ τι περιττότερόν ἐστιν ἢ κατὰ [14]) τοὺς πολλοὺς τῶν ταῦτα μετιόντων συμπαραλαμβάνοντες.

Μετὰ τὴν ἡρωϊκὴν γενεαλογίαν καὶ τοὺς καταλόγους ἐπεζήτησε καινουργῆσαι πάλιν ἑτέραν ὑπόθεσιν· καὶ δὴ καταχρησθέντων τῶν εἰς πολέμους καὶ μάχας καὶ τῆς γεωργίας διδασκάλων, εἰσφέρει καὶ τῶν ἡμερῶν τὴν κρᾶσιν, πρόσωπον ἀναπλάσας καὶ παραλαβὼν [15]) τοῦ ἀδελφοῦ Πέρσου, εἴτε κατ' ἀλήθειαν, εἴτε κατὰ τὸ εὐπρόσωπον καὶ ἁρμόζον τῇ ὑποθέσει, ἵνα δύο πρόσωπα, καὶ ἵνα δόξῃ ἐξ ἔριδος τῆς κατὰ τὸν ἀδελφὸν εἰς τοῦτο ἐληλυθέναι. Ὡς δὲ ποιητὴς τὰς Μούσας καλεῖ, ἵνα

7) *διέγραψαν.* De sensu hujus verbi adeundi sunt Hemsterhusius ad Thomam Mag. in v. *διαγράφειν*, et Ruhnkenius ad Timaeum p. 81.

8) *στοίχους ἢ λόγους* Dorv.

9) *καὶ* pro *ὡς* Dorv. Idem mox, *καὶ πρὸς θύρων ὅρκος ἐπιδεικνυμένων καὶ ὄγκον περιττόν.* Et paullo post; *ἀπὸ Ἑλικῶνος καλεῖν βοιώτιον.*

10) *πεποίηκεν* deest C. D. Dedi ex Dorv.

11) *σεμνύνας* Dorv.

12) *τετάχθαι* Dorv.

13) *χορεύειν οἱ περὶ αὐτῶν μῦθοι* Dorv.

14) *τὰ πολλὰ* Dorv. Post *συμπαραλαμβάνοντες* idem codex inserit, *Ῥήσεις Ἡσιόδου μουσοπνόων στομάτων. Ἄλλως.*

15) *τοὺς ἀδελφοὺς* Dorv. et mox *κατὰ τῶν ἀδελφῶν.*

δόξῃ [16]) τὸ ποίημα εἶναι Μουσῶν. Τὰς Μούσας ὠνομάσθαι λέγουσιν ἀπὸ τοῦ μῶσθαι τὸ ζητεῖν· ἐπειδὴ καὶ εἰσὶ παιδείας αἰτίαι πάσης· αὕτη δὲ ζητεῖν ηὐξήθη τοῖς ἀνθρώποις· διὰ τοῦτο Μούσας αὐτὰς ὠνόμασαν οἱ πρῶτοι τὰ ὀνόματα θέντες. Ὁ δὲ νοῦς ἐστιν οὗτος· ὦ Μοῦσαι αἱ ἀπὸ τῆς Πιερίας ὁρμώμεναι, καὶ ταῖς αὐτῶν ᾠδαῖς τὰ πάντα δοξάζουσαι, δεῦτε Δία τὸν ὑμέτερον πατέρα, ἵνα προσείπητε καὶ ὑμνήσητε.

Ἰστέον ὅτι πᾶσα ποίησις τρεῖς ἔχει χαρακτῆρας· διηγηματικὸν, δραματικὸν, καὶ μικτόν· καὶ Διηγηματικὸν μέν ἐστιν ἐν ᾧ ὁ ποιητὴς μόνος φαίνεται φθεγγόμενος, ὥσπερ ἐνταῦθα ὁ ποιητὴς Ἡσίοδος μόνος ἐν παντὶ τῷ συγγράμματι φαίνεται διαλεγόμενος· Δραματικὸν δὲ ἐν ᾧ οὐδαμοῦ ὁ ποιητὴς φθέγγεται, ὥσπερ ἐν ταῖς κωμῳδίαις ὁρῶμεν, καὶ ταῖς τραγῳδίαις γενόμενον· Μικτὸν δὲ, ἐν ᾧ ὅ τε ποιητὴς διαλέγεται, καὶ πρόσωπα εἰσῆκται διαλεγόμενα, οἷον ἐν τῇ Ἰλιάδι ἐμφαίνεται. Ἅπαντες δ' οὗτοι οἱ χαρακτῆρες ἐν τοῖς Βουκολικοῖς τοῦ Θεοκρίτου ἐοίκασιν ὑπάρχειν· καὶ μίγμα παντός ἐστιν εἴδους καθάπερ συγκεκραμένον· ᾧ καὶ χαρίεν ἐστι τῇ ποικιλίᾳ τῆς κράσεως, ποτὲ μὲν συγκείμενον ἐκ διηγηματικοῦ, ποτὲ δὲ ἐκ δραματικοῦ, ποτὲ δὲ ἐκ μικτοῦ, ἤγουν διηγηματικοῦ καὶ δραματικοῦ.

ΓΕΝΟΣ ΗΣΙΟΔΟΥ.

Οὗτος οὖν ὁ Ἡσίοδος σὺν τῷ ἀδελφῷ Πέρσῃ παῖς ἐγεγόνει Δίου καὶ Πυκιμήδης, Κυμαίων Αἰολέων πενήτων ἀνθρώπων, οἳ διὰ τὸ ἄπορον καὶ τὰ χρέα τὴν ἑαυτῶν πατρίδα Κύμην ἀφέντες, μεταναστεύουσιν ἐπὶ τὴν Ἄσκρην, χωρίον τῶν Βοιωτῶν, δυσχείμερον καὶ κακοθέρειον, παρὰ τοὺς πόδας κειμένην τοῦ Ἑλικῶνος, κἀκεῖ κατοικοῦσι. Τοιαύτῃ δὲ πενίᾳ τῶν ἀνθρώπων συνεσχημένων, συνέβη τὸν Ἡσίοδον τοῦτον πρόβατα ἐν τῷ Ἑλικῶνι ποιμαίνειν. Φασὶ δὲ, ὡς ἐννέα τινὲς ἐλθοῦσαι γυναῖκες, καὶ δρεψάμεναι κλῶνας ἐκ δάφνης Ἑλικωνίτιδος, αὐτὸν ἐπεσίτισαν, καὶ οὕτω σοφίας καὶ ποιητικῆς ἐμπεφόρητο. Ἀλλὰ τὰ μέχρι μὲν τούτων νητρεκῆ καὶ ἀληθέστατα, ὅτι παῖς Ἡσίοδος Δίου καὶ Πυκιμήδης, καὶ ὡς [17]) κατὰ τὸν Ἑλικῶνα ἐποίμαινε· τὰ δ' ἐντεῦθεν μεμυθηγόρηται, καὶ ἀλληγορικώτε-

16) Articulum dedi ex Dorv.

17) Κατὰ. MSS. habent καὶ. Saepe permutantur καὶ et κατὰ.

ρου λέλεκται. Ἡ γὰρ ἐν τῷ ποιμαίνειν περὶ τὸν Ἑλικῶνα ἐνόμευε, καὶ καθευδήσας ὁ Ἡσίοδος ὄναρ εἶδεν, ἐννέα γυναῖκας δάφνας αὐτὸν ψωμιζούσας· ἐδήλου δὲ τὸ ὄναρ πάντως ὡς πικρίας καὶ πόνων μετεσχηκὼς, τῆς παιδεύσεως ἀειθαλῆ γεννήσει ποιήματα· ταῦτα τοίνυν ὁ Ἡσίοδος ἢ ὄψει ὀνείρων τεθεαμένος, καὶ διυπνισθεὶς, καὶ τὸ ποιμαίνειν ἀφεὶς, καὶ πόνοις ἑαυτὸν ἐνδοὺς καὶ μαθήμασι, τὴν τῶν ὀνείρων ἐπίλυσιν ἐξεπέρανεν, ἢ περὶ τὸν Ἑλικῶνα ποιμαίνων ἐγρηγορὼς, καὶ ἄϋπνος ὢν, σύννους τε πρὸς ἑαυτὸν γεγονὼς, καὶ πρέποντα νοῦν ἐσχηκὼς, ἀποδιδράσκει μὲν τὸ εὐτελὲς, καὶ ποιμενικὸν, καὶ σκληρόβιον, καὶ προσδραμὼν τῇ παιδεύσει, καὶ πόνοις ἐγκαρτερήσας, μεγάλην καρποῦται τὴν εὔκλειαν· καὶ βίβλους τοσαύτας ἐξεπονήσατο, ἃς ἐγὼ Μουσῶν τε καὶ γνώσεως ἐπίσταμαι ψώμισμα, καὶ δάφνας λάλους Ἑλικωνίτιδας, ἑλισσομένας ἁπανταχοῦ καὶ θαλλούσας, καὶ κηρυττούσας τὸν πρὶν μὲν οἰκτρόβιον καὶ ἀφανῆ νομέα ποιμνίων, νῦν δὲ ἡμίθεον χρηματίσαντα δι᾽ ἀρετῆς καὶ παιδεύσεως. Ὥσπερ καὶ ὁ Σωφρονίσκου Σωκράτης ὁ λιθοξόος, καὶ ὁ Ἰχθυοπώλης Δημάδης, καὶ ὁ τῆς τυμπανιστρίας Αἰσχίνης, [18]) Σίμων τε ὁ σκυτεὺς, καὶ ὁ λαχανεὺς Εὐριπίδης· ἔτι τε ὁ Σκύθης Ἀνάχαρσις· καὶ ἄμφω τὼ δούλω, Αἴσωπος, καὶ Ἐπίκτητος· καὶ ὁ Σύρος ῥήτωρ ὁ Λουκιανὸς, ὁ λιθοξόος τε καὶ ἡμίδουλος, καὶ οἱ λοιποί. Συνηκμηκέναι δ᾽ αὐτὸν οἱ μὲν Ὁμήρῳ φασὶν, οἱ δὲ καὶ Ὁμήρου προγενέστερον εἶναι διϊσχυρίζονται. Καὶ οἱ μὲν προγενέστερον εἶναι τοῦτον Ὁμήρου διϊσχυριζόμενοι ἐν ἀρχαῖς εἶναί φασι[19]) τῆς Ἀρξίππου ἀρχῆς, Ὅμηρον δὲ ἐν τῷ τέλει. Ὁ δ᾽
6 Ἄρξιππος οὗτος υἱὸς ἦν Ἀκάστου, ἄρξας Ἀθηναίων ἔτη λε. Οἱ δὲ συγχρόνους αὐτοὺς εἶναι λέγοντες, ἐπὶ τῇ τελευτῇ τοῦ Ἀμφιδάμαντος τοῦ βασιλέως Εὐβοίας φασὶν αὐτοὺς ἀγωνίσασθαι, καὶ νενικηκότα Ἡσίοδον, ἀγωνοθετοῦντος καὶ κρίνοντος Πανίδου τοῦ βασιλέως, τοῦ ἀδελφοῦ Ἀμφιδάμαντος, καὶ τῶν υἱῶν Ἀμφιδάμαντος, Γανύκτορός τε καὶ τῶν λοιπῶν. Ἐξηρωτηκέναι γὰρ αὐτοὺς πολλὰ πρὸς ἀλλήλους φασὶ δι᾽ ἐπῶν

18) Vide de hoc Simone Diogen. Laërt. II. 122.

19) Tatianus contra Graecos c. 31. p. 269. ed. Bened. Paris. 1742. de Homeri aetate disputans, *Philochorus*, inquit, *cum floruisse narrat* μετὰ τὴν Ἰωνικὴν ἀποικίαν, ἐπὶ ἄρχοντος Ἀθήνησιν Ἀρχίππου, τῶν Ἰλιακῶν ὕστερον ἔτεσιν ἑκατὸν ὀγδοήκοντα. Ubi libri nonnulli habent Ἀρξίππου cum Eusebio Praep. Evang. p. 492. B. Vide J. Scaligeri Animadv. ad Eusebii Chronicon p. 61.

αὐτοσχεδίων, καὶ ἀποκρίνασθαι, καὶ πᾶσι τὸν Ὅμηρον τὰ πρωτεῖα λαμβάνειν· τέλος τοῦ βασιλέως Πανίδου εἰπόντος αὐτοῖς, τὰ κάλλιστα τῶν ἑαυτῶν ἐπῶν ἀναλεξαμένους εἰπεῖν, Ὅμηρος μὲν ἄρχεται λέγειν τοῦτο τὸ χωρίον, ἀπὸ πολλῶν ἐπῶν ἀρξάμενος ὄπισθεν·

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.

Καὶ περαιτέρω τούτων. Ἡσίοδος δὲ, τῶν

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων

ἀπάρχεται, καὶ ὁμοίως Ὁμήρῳ προβαίνει μέχρι πολλῶν ἐπῶν. Καὶ πάλιν ἐπὶ τούτοις οἱ παρεστῶτες πάντες τῶν ἐλλογίμων καὶ στρατιωτῶν, τὸν Ὅμηρον ἐστεφάνουν· ὁ δὲ Πανίδης ἔκρινεν νικᾷν Ἡσίοδον, ὡς εἰρήνην καὶ γεωργίαν διδάσκοντα, καὶ οὐ καθάπερ Ὅμηρος πολέμους καὶ σφάγια. Ἀλλὰ ταῦτα μὲν εἰσι λῃρήματα τῶν νεωτέρων, καὶ πλάσεις τῶν πρὸς ἀλλήλους ἐρωτημάτων, καὶ τῶν ἐξ Ὁμήρου παραβεβλημένων ἐπῶν, καὶ ὑπ' ἐκείνου δῆθεν ῥηθέντων. Ὅμηρος γὰρ ὁ χρυσοῦς, ὡς ἐγῷμαι, μᾶλλον δὲ ἀκριβεστάτως ἐπίσταμαι, πολύ τε παλαιότερος Ἡσιόδου ὑπῆρχε, καὶ εἰ πρὸς τοὺς θρυλλουμένους ἐκείνους θεοὺς ἔριν ἐστήσατο λόγων, καὶ κατὰ τούτων ἂν τὰ πρωτεῖα καὶ τοὺς στεφάνους ἠνέγκατο. Ἀλλ' ἴσως ἕτερος Ὅμηρος ἦν ὁ τῷ Ἡσιόδῳ ἰσόχρονος, ὁ τοῦ [20]) Εὔφρονος παῖς ὁ Φωκεὺς, ὁ καὶ τούτῳ τὴν ἔριν στησάμενος, κἂν τὰ τοῦ θείου ἐκείνου ἀνδρὸς τῇ ὁμωνυμίᾳ πεπλανημένοι λέγειν τοῦτον ἐπλάσαντο. Ὅμηροι γὰρ πολλοὶ γεγόνασιν ἕτεροι, ζήλῳ τοῦ πάλαι τὴν κλῆσιν λαμβάνοντες· καὶ γὰρ καὶ τοῦ Φωκέως Ὁμήρου τούτου ἕτερος ὑπάρχει νεώτερος Ὅμηρος. Οὗτος ὁ νεώτερος Ὅμηρος ἦν παῖς Ἀνδρομάχου, τῷ γένει Βυζάντιος, ὁ τὴν [21]) Εὐρυπύλειαν ποιήσας. Τὸν παλαιὸν δὲ Ὅμηρον [22]) Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ' ἀμφοτέρων ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν, καὶ τῆς 7
Ἰλίου ἁλώσεως. Ἐκ τούτου οὖν λογίζομαι, τοῦτον τὸν Ἡσίοδον εἶναι τετρακοσίων ἐτῶν μεταγενέστερον. Ἀριστοτέλης γὰρ

20) *Εὔφρονος*. Ita MSS. et Tzetzes in ed. Trinc. *Εὐφορίωνος* Tzetzis edd. Bas. Heins.

21) *Εὐρυπύλειαν*. Ita C. *Εὐρυπυλλίαν* D.

22) *Διονύσιος ὁ κυκλογράφος*. Vide quos laudat Schweighaeuserus ad Athenaei VII. 5. Animadv. T. IV. p. 24.

ὁ φιλόσοφος, μᾶλλον δὲ οἶμαι ὁ τοὺς Πέπλους συντάξας, ἐν τῇ Ὀρχομενίων [23]) πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησι υἱὸν Ἡσιόδου, ἐκ τῆς Κλυμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως. Ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ, καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι· οἱ δὲ Ὁμήρου τετρακοσίοις ὑστέριζον ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος. Συνεγράψατο δὲ ὁ τοιοῦτος Ἡσίοδος βίβλους ἑκκαίδεκα, Ὅμηρος δὲ ὁ παλαιὸς ιγ. Τελευτᾷ δὲ Ἡσίοδος ἐν Λοκρίδι, τοιουτοτρόπως. Μετὰ τὴν νίκην, ἣν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος, εἰς Δελφοὺς ἐπορεύθη, καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμός·

Ὄλβιος οὗτος ἀνὴρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος μούσῃσι τετιμένος ἀθανάτῃσι.
Τοῦ δή τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος.
[24]) Κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

Ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν, ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἀναιρεῖται, καὶ ῥίπτεται εἰς τὴν θάλασσαν, ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων [25]) Κλυμένην· ἐξ ἧς ἐγεννήθη Στησίχορος· ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. Μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν [26]) ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας, καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ τῆς Οἰνόης. Οἱ δὲ φονεῖς τουτου νηὸς ἐπιβάντες ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν· Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε·

Ἄσκρη μὲν [28]) πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
Ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει

23) *πολιτείᾳ*. MSS. C. D. habent *στρατείᾳ*. De libris Aristotelis hic allegatis confer Fabricii B. G. T. III. p. 275. et 403. ed. Harles.

24) *Κεῖθι δέ*. Emendavit Heinsius ex *Certamine*. MSS. et Tzetzis edd. Trinc. Bas. *Καὶ γάρ*.

25) *Κλυμένην*. MSS. hic et supra *Κτημένην*. Emendavimus post Wyttenbachium ad Plutarch: p. 162. C. ex Proclo ad *Εργ*. 268.

26) *ἐξήχθη*. F. *ἐξηνέχθη*. Wyttenbach.

28) *πατρὶς* deest C. D. Mox *μηνύος* C. D. *Μινύης* Tzetzis edd. Trinc. Bas. infra p. 16. ubi v. Heinsium.

Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν,
Ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης.

Ἐπέγραψε δὲ καὶ Πίνδαρος·

Χαῖρε δὶς ἡβήσας, καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

Ἡσιόδου Ἔργα καὶ Ἡμέραι τὸ βιβλίον ἐπιγέγραπται, ἤτοι 8 *διδασκαλία γεωργίας καὶ ἡμερῶν, καθ' ἃς δεῖ τόδε καὶ τόδε ποιεῖν. Οὕτω δὲ ἐπιγέγραπται πρὸς ἀντιδιαστολὴν τῶν ἑτέρων αὐτοῦ πεντεκαίδεκα βιβλίων· Ἀσπίδος, Θεογονίας,* [29] *Ἡρωογονίας, Γυναικῶν καταλόγου, καὶ τῶν λοιπῶν· ἔτι δὲ πρὸς ἀντιδιαστολὴν τῶν τοῦ μεγάλου Ὀρφέως ἔργων καὶ ἡμερῶν, ἤτοι τῶν περὶ γεωργίας.*

Διὰ ταῦτα πάντα τὸ βιβλίον ἐπιγέγραπται, Ἡσιόδου Ἔργα καὶ Ἡμέραι. Ἔγραψε δὲ τὸ παρὸν βιβλίον ὁ Ἡσίοδος πρὸς Πέρσην τὸν ἀδελφὸν, παραίνεσιν ἠθικὴν καὶ οἰκονομικὴν περιέχον παντοίαν, καὶ προτροπὴν πρὸς τὰ ἔργα, καὶ γεωργίας διδασκαλίαν, προσέτι δὲ καιρῶν, ὧν δεῖται τὰς ἐργασίας ποιεῖσθαι, καὶ ἡμέρας σελήνης ἐπιδεικνύει, τίνες τε αὐτῶν ἀποφράδες, καὶ τίνες ἀνύσιμοι. [30] *Μετὰ γὰρ τὴν τελευτὴν τῶν γονέων, τὴν αὐτῶν περιουσίαν Ἡσίοδος καὶ Πέρσης διείλοντο. Καὶ Ἡσίοδος μὲν σωφρόνως ἔζη καὶ φιλοσόφως· Πέρσης δ' ἀσώτως, καὶ ἀργὸν βίον διαβιοὺς τήν τε ἰδίαν οὐσίαν ἀνήλωσε, καὶ* [31] *τὸν Ἡσίοδον τινὰ ὑφαιρούμενος, καὶ τοὺς δικαστὰς δεξιούμενος, ταῖς δίκαις κατέτριβε τὸν Ἡσίοδον. Ὅθεν οὗτος τοῦ ἀργοῦ βίου, καὶ τῆς ἀσώτου διαγωγῆς αὐτὸν ἀποτρέπων, διὰ τοῦ παρόντος βιβλίου πρὸς ἐργασίαν προτρέπεται.*

Ἀπορία. Διὰ τί τῶν Ἡμερῶν τὰ Ἔργα προτέθεικε; Ἀσώτως καὶ ἀργῶς βιοῦντα τὸν ἀδελφὸν ἔδει πρῶτα προτρέψαι πρὸς τὸ ἐργάζεσθαι, καὶ περὶ ἔργων εἰπεῖν, εἶτα καὶ περὶ τῶν ἡμερῶν, ἐν αἷς δεῖ ἕκαστον τῶν ἔργων ἐργάζεσθαι. Ἄτοπον γὰρ ἦν ἐργασιῶν ἡμέρας ὑποδεικνύειν πρὸς τὸν μὴ καταπειθῆ πρὸς ἔργα γινόμενον.

29) *ἡρωγονίας* C. D. Mox *καταλόγου καὶ λοιπῶν ἁπασῶν* C. D.

30) *Μετὰ γὰρ τ. τῶν αὐτῶν γονέων, τὴν περιουσίαν Ἡσίοδος* C. D.

31) *τὸν Ἡσίοδον τινα* Ita C. D. *Τῶν Ἡσιόδου* Tzetzis edd.

ΕΞΗΓΗΣΙΣ[a]

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΕΙΣ ΤΑ ΕΡΓΑ ΚΑΙ ΤΑΣ ΗΜΕΡΑΣ

ΤΟΥ ΗΣΙΟΔΟΥ.

ΟΜΕΝ[1]) σοφὸς Πρόκλος[2]) ἐπεξηγούμενος τὴν παροῦσαν

a) Hujus inscriptionis autor quisquis fuit, receptissimus fuisse videtur, eamque agnovisse divisionem librorum, quae hodie obtinet; in qua tertius quasi liber, aut saltem peculiaris totius operis pars constituitur, illa, quae *ΗΜΕΡΑΙ* inscribitur, ubi nimirum *τῶν ἡμερῶν* ratio incipit: alias enim suffecisset dixisse. *ΕΙΣ ΤΑ ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΣ*, sine articulo illo, qui peculiarem quasi partem *τὰς ἡμέρας* statuit. Tzetzes, ut paulo inferius videbimus, etiam dedita opera, inscriptionem totius operis generalem *ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΣ* facit. Nec ignoramus propterea ab aliis hoc quoque modo citari: sic Homeri interpres ad primum Iliados: *Ἥρωας δέ φασι κληθῆναι, ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος ἐν τοῖς ἔργοις καὶ ταῖς ἡμέραις.* et Patriarcha Photius ex antiquiore notat *τὰ ἔργα καὶ τὰς ἡμέρας Ἡσιόδου πρὸς τῇ τοῦ Σελεύκου τοῦ Νικάτορος κεφαλῇ* repertas fuisse, ne alios adducamus: quanvis priora illa, *τοῦ σοφωτάτου* etc. aetatem suam prae se ferant, quae non Grammaticis modo sed et antiquioribus autoribus a sequiori aetate praefigi solent. Sic Nonni Dionysiacorum pro eo qui hodie legitur in MSS. fuit: *τοῦ σοφωτάτου καὶ λογιωτάτου Νόννου Διονυσιακά:* ut in *ἀνεκδότοις* Caroli Utenhovii ad doctissimum Falckenburgium vidi. Quae manu librarii saepe appingi solere fit verisimile. Heinsius.

1) Desunt F. hinc usque ad initium vitae Hesiodeae. Desunt Trinc. usque ad *τῆς ὑποθέσεως καταρκτέον μοι.* In F. ita incipiunt scholia: *Στίχοι ἰαμβικοὶ καὶ Δωρικοὶ πρὸς Πρόκλον, τὸν πρὶν ἐξηγησάμενον τὸν Ἡσίοδον, καὶ λέγοντα τὰς Μούσας ἐν τῷ Ἑλικῶνι χορεύειν ταῖς σφαίραις θ' οὔσας, καὶ εἰς τὸ αὐτοῦ ἔν τινι κομπηρὸν καὶ ἀσαφές. — Ἐκ τῶν Προκλικῶν κρημνογράφων ῥημάτων Ἡ βίβλος εἶχε κυκεῶνα καὶ ζάλην. Καὶ μακρὰ μικρῶς καὶ γραφαῖς πολυστίχοις Τζέτζης δὲ πληρῶν φιλτροκινήτῃ πόθῳ Τὸν Πρόκλον ἀφεὶς καὶ τὰ τοῦ Πρόκλου γράφειν, Ἁβρῶς ὁμοῦ τε καὶ σαφῶς καὶ συντόμως Τὴν Ἀσκραϊκὴν ἡμερῶν ταύτην*

βίβλον τῶν Ἔργων καὶ Ἡμερῶν τοῦ Ἡσιόδου οὐδὲν γενναῖον, καὶ τῆς ἐκείνου σοφίας ἁρμόδιον, οὔτε ἄξιον ἐξειργάσατο. [3]) Πρῶτα μὲν γὰρ ἐχρῆν διαίρεσιν φάναι τῶν ποιητῶν, καὶ τίνα τούτων χαρακτηρίσματα, καὶ τίνες τούτων οἱ περιβόητοι· ἔπειτα τὸ γένος εἰπεῖν τοῦ προκειμένου πρὸς τὴν ἐξήγησιν, καὶ τίνι συνήκμασε, καὶ πόσας βίβλους [4]) ἐξεπονήσατο, ποῦ τε καὶ ποίῳ τρόπῳ τὸν βίον κατέλυσεν· εἶτα τὴν βίβλον τούτου προχειρισάμενον, πρῶτον μὲν ἀκριβῶς τὸν αὐτοῦ φάναι σκοπόν· μετέπειτα δὲ καὶ τὰς μυθικὰς ἱστορίας [5]) εἰς πλάτος, εἶτα καὶ ταύτας ἀλληγορῆσαι, καὶ [6]) μέτρα, καὶ τὰ λοιπὰ τῶν ἀναγκαιοτέρων σαφεστέρῳ καὶ διδασκαλικῷ τρόπῳ ἐπεξηγήσασθαι· ἀλλὰ μὴ λαβυρινθώδει καὶ ἀσαφεῖ, καὶ χρῄζοντι μᾶλλον [7]) αὐτῷ πλέον ἐπεξηγήσεως, ἤπερ τὰ προκείμενα πρὸς ἐξήγησιν. Ὁ δὲ οὐδὲν τούτων πεποιηκὼς, ἀπροδιηγήτως καὶ [8]) ἀκεφάλως, καὶ ὥσπερ ἐξ ἐπιδρομῆς καὶ ἐφόδου, καὶ ταύτης συγκεχυμένης, προσβάλλει πρὸς τὴν ὑπόθεσιν, καὶ πῆ μὲν οὐ καλῶς μετεωρολογεῖ καὶ [9]) στομφάζει κρημνηγορῶν, πῆ δὲ τοῖς κειμένοις ταυτολογῶν, καὶ περὶ ταῦτα ἐνδιατρίβων, πολύστιχον, ἀλυσιτελὲς ἐξεπονήσατο συγγραμμάτιον. Ἀλλὰ τὰ μὲν ἡμαρτημένα τῷ σοφωτάτῳ Πρόκλῳ [10]) παρεατέον μοι, χωρητέον δέ μοι πρὸς τὴν ἐξήγησιν. Ὑμεῖς δὲ ἀμφοτέρας τὰς ἐξηγήσεις θέντες παράλληλα ἀφιλέχθρως καὶ φιλαλήθως, τοὺς τοῦ Πρόκλου, καὶ τοὺς ἐμοὺς [11]) ἀετιδεῖς ἐπικρίνατε, ὁπότεροι καθαρώτερον πρὸς τὴν Ἡσιόδου ποίησιν, καὶ τὸν τῆς ἀληθείας [12]) πρόγονον ἀντιβλέ-

βίβλον Σχολιογραφῶν ἐκ νέου καταρτίει Ἀφεὶς, ὦ Πρόκλε, σοὺς ἀποκρήμνους λόγους, Καὶ τοὺς σφαιρικοὺς, οὓς τρέχεις, ἀναδρόμους, Ἐν οἷς τὰς Μούσας δεικνύεις σφαιροδρόμους, Κάτελθε λοιπὸν, καὶ ταπεινά μοι γράφε· Μήπως αἱ κυλίστραι σε τῆς σφαίρας κάτω, Ῥίψωσιν εἰς γῆν, καὶ ῥαγῇς παραυτίκα, Ὀλισθηρὸς γὰρ σφαιρικὸς σύμπας δρόμος. Εἰ δ' οὐ θέλεις ἄνθρωπε προδραμεῖν κάτω Πρόκυπτε τῶν σῶν κἂν βραχὺ σφαιρωμάτων, Καὶ τῶν ταπεινῶν ἡμεδαπῶν ῥημάτων Τὴν Ἀσκραικὴν βίβλον ἐξηγουμένων, Ἄκουε λοιπὸν εὐτελῶς γεγραμμένων.

2) ἐξηγούμενος MSS. apud Graevium. Iidem mox articulum ante Ἡσιόδου omittunt, et γενναίων habent pro γενναῖον.

3) Πρῶτον Gr. γὰρ om. F.

4) ἐποιήσατο F. τε post ποῦ dedi ex Gr. G. Mox αὐτοῦ F. pro τούτου.

5) εἰς πλάτος om. Gr.

6) μέτρῳ G.

7) αὐτοῦ G.

8) ἀκεφαλαίως Gr.

9) στομφαλίζει κρημνηγορῶν Gr. κρημνολογῶν F. Mox περὶ ταῦτα μὲν διατρίβων G.

10) παροράτέασον μοι Gr. Mox ἡμεῖς et ἀμφοτέροις.

11) ἀετειδεῖς et ὁπότεραι Gr.

12) πρόλογον Gr. λόγον G. καὶ τῆς ἀληθείας λόγον ἀποβλέπουσιν ἥδιον F.

πουσιν ἥλιον, κἂν περ αὐτοῖς οὐ περιηργυρωμένας [13]) τῶν λέξεων περιέθηκα πτέρυγας· [14]) οὐδὲ γὰρ σπουδαστέον, ἀλλ' αὐτοσχέδιον ἦν μοι τὸ ἐγχείρημα, ὥσπερ ἄρα καὶ ἴσασιν οἵ τινες ἡμᾶς εἰς τὸν ἆθλον τοῦτον συνώθησαν. Κρίνατε γοῦν ἀφιλέχθρως, καὶ τοῦ [15]) Κελτικοῦ Ῥήνου δικαστικώτεροι γίγνεσθε, καὶ τὰ βρέφη τῶν λόγων ἀκριβῶς δοκιμάσατε, ὁπότερον
11 *ἄρα μορφῆς πατρικῆς φέρει ἐμφέρειαν, καὶ ποῖον [16]) νόθον ἐστὶ τῆς Ἡσιόδου γονῆς, ἢ ἀτελεσφόρητον, καὶ ἀμβλωθρίδιον κύημα, καὶ κατὰ τὴν χρυσόπολιν πόαν, ἢ τὴν Λυδίαν λίθον [17]) τὴν βάσανον, καὶ πῦρ τὸ δοκιμαστήριον, ὥσπερ οἱ χρυσογνώμονες, καλῶς δοκιμάσατε. Καὶ δὴ ἐντεῦθεν τῆς ὑποθέσεως καταρκτέον μοι.*

Περὶ [18]) μὲν τῆς τῶν ποιητῶν διαιρέσεως, καὶ πρώην μοι ἐπεξείργασται μικρὸν συγγραμμάτιον αὐτοσχεδίοις [19]) συντιθέμενον ἰάμβοις, καὶ τῷ ἐμῷ δὲ ἀδελφῷ ἐκπεπόνηται [20]) λίαν κάλλιστα καὶ φιλοτιμότατα περὶ τούτου ἐν τῇ τοῦ Λυκόφρονος ἐξηγήσει· ὅμως [21]) καὶ πάλιν τὰ καιριώτερα τούτων ἀναληπτέον, καὶ διὰ βραχέων λεκτέον μοι. Ὁ δὲ [22]) λεπτομερέστερον εἰδέναι ταῦτα βουλόμενος ἐντυγχανέτω αὐτοῖς, καὶ μὴ κατοκνείτω ταῦτα πρὸ πάσης πυκτίδος ποιητικῆς προτιθέναι. Καὶ δὴ ἀκροατέον τῆς διαιρέσεως.

Τῶν ποιητῶν οἱ μέν εἰσι λυρικοί, οἱ δὲ [23]) μονῳδοί, οἱ δὲ κωμικοί, καὶ ἕτεροι τραγικοί, καὶ ἕτερα μυρία ὀνόματα· κατ' ἐξαίρετον δὲ, [24]) οἱ ἐκ περιουσίας καὶ ἀνωνύμως καλούμενοι ποιηταί. Καὶ γνώρισμα μέν ἐστι λυρικῶν ποιητῶν, τὸ

13) *ἐκ* pro *τῶν* F. G. *τέθεικα* F. *ἐκ λόγων περιτέθεικα* Gr.

14) *οὐ γὰρ* et *ἐμοί* pro *ἦν μοι* F. *οὐδὲ* om. Gr. qui habet *ἐμοί*.

15) *κριτοῦ* Gr. Conf. Brunck. Anal. III. p. 150. n. xxxii. Jacobsii Animadv. III. p. 285.

16) Deest *νόθον* G. *ἐπὶ* pro *ἐστὶ* F. Gr.

17) *καὶ* G. Mox *δοκιμαστικὸν* F. *ὥσπερ ὁ χρυσὸς καλῶς δοκιμάζεται* G.

18) *μὲν* om. G. Trinc. *πρώην μέν μοι ἐξείργασται* Trinc. *ἐξείργασται* Gr. F. *προεξείργασται* G.

19) *συντεθειμένον* F. Trinc. *συντεθειμένοις* Gr.

20) *λίαν* om. F. Trinc. Gr. *κάλλιστά τε* Trinc. Mox *περὶ τούτου* om. Bas.

21) *καὶ* om. Gr. ibid. Trinc. *καιριώτατα*.

22) *λεπτομερέστερα* F. Gr. *ὁ δὲ* ad *διαιρέσεως* om. Trinc. *καὶ* ante *μὴ* inserui ex Gr.

23) *τραγῳδοὶ* F. et mox pro *τραγικοί*.

24) Ita Trinc. F. G. Gr. *συνωνύμως* Gr. *συνώνυμοι οἱ ἐκ περιουσίας* om. Bas. Heins. Mox *γνώρισμα — ἐστι* Trinc. Gr. Vulgo *γνωρίσματα — εἰσι*.

πρὸς λύραν τὰ τούτων ᾄδεσθαι μέλη, ὡς τὰ Πινδάρου, καὶ Στησιχόρου, καὶ Ἀνακρέοντος. Μονῳδῶν δὲ γνώρισμα τὸ μονοπροσώπως ὑπόθεσιν [25]) ἀφηγεῖσθαι τὴν οἱανδήποτε, οἷός ἐστιν ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων. Κωμικῶν δὲ ὁ [26]) γέλως μετὰ χορευτῶν καὶ προσώπων, οἷος Ἀριστοφάνης, Εὔπολις, Φερεκράτης. Τραγικῶν δὲ ποιητῶν γνώρισμα, οἶκτοι, καὶ συμφοραὶ, οἷός ἐστιν Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης. Ποιηταὶ δὲ [27]) ἀνωνύμως καὶ κατ᾽ ἐξοχὴν ἐκεῖνοι καλοῦνται, οὕσπερ χαρακτηρίζει ταῦτα τὰ τέσσαρα, μέτρον ἡρωϊκὸν, μῦθος ἀλληγορικὸς, ἱστορία, ἤτοι παλαιὰ ἀφήγησις, καὶ ποιὰ λέξις, ἤτοι ἡρωϊκὴ, καὶ ἀξιωματικὴ, καὶ τῷ ἡρωϊκῷ μέτρῳ ἁρμόζουσα, ἀλλὰ μὴ κατατετριμμένη καὶ χθαμαλή. Μᾶλλον δὲ ἐκ τῶν τεσσάρων τούτων, ὁ ἀλληγορικὸς μῦθος τὸ [28]) κυριώτατόν ἐστι τῶν ποιητῶν χαρακτήρισμα. [b]) Γεγόνασι δὲ τούτων τῶν ποιη- 12 τῶν, ἄνδρες ὀνομαστοὶ [29]) πέντε, [c]) Ὅμηρος ὁ παλαιὸς, Ἀν-

25) Ita F. Gr. Trinc. ἐφηγεῖσθαι Bas. Heins. Mox οἵαν δή τινα Trinc. F. τὴν οἱανδήποτε om. G.

26) χορὸς Gr.

27) ἀνώνυμοι Gr. F. Mox ἤτοι ad ἁρμόζουσα om. G.

28) καιριώτερον Gr. Trinc. Mox πολὺς pro παλαιὸς Trinc. Bas. F. Gr. πολλὺς G. Paullo supra οὐ pro μὴ F.

b) γεγόνασι δὲ τούτων τῶν ποιητῶν ἄνδρες ὀνομαστοὶ πέντε] Ita rescripsimus, cum Basiliensis editio male, τέσσαρες, haberet, quod repugnat numero eorum, quos poetas esse ait, etiam secundum calculum aliorum: sunt enim hi quinque quibus hoc nomen ἀνωνύμως fuisse ait: Homerus, Antimachus, Panyasis, Pisander, et Hesiodus. De operibus eorum quibus ποιητοῦ titulum meruerunt, multi: nam et apud Suidam quod de Panyasi scribitur in collectaneis illius Grammatici, Πανύασιν ἐν ποιηταῖς τάττεσθαι μεθ᾽ Ὅμηρον, κατὰ δέ τινας καὶ μετὰ Ἡσίοδον, καὶ Ἀντίμαχον: in eo τὸ, ποιηταῖς, ut hoc loco, sumitur. Heinsius.

29) τέσσαρες Bas. G.

c) Ὅμηρος ὁ παλαιὸς. Ἀντίμαχος ὁ Κολοφώνιος] ita edere maluimus, cum tam Veneta editio, quam Basiliensis, ὁ πολὺς Ὅμηρος, haberet. Caeterum ita Homerus ὁ ἐποποιὸς dicitur, ad distinctionem Homeri τοῦ τραγῳδοῦ, qui ad Pleiada Tragicorum pertinebat: Homeri item τοῦ Εὐφορίωνος, quem coaetaneum Hesiodi statuit Tzetzes, et multorum aliorum recentiorum. Porro ita poetam a Grammaticis plerumque adduci notissimum est. Nam et ipse voce hac infra, cum de Homero loquitur, Tzetzes utitur, cum inquit: Ἀλλ᾽ ἴσως ὁ ἕτερος τοῦ Ἡσιόδου ἰσόχρονος, ὁ τοῦ Εὐφορίωνος παῖς, ὁ Φωκεὺς, ὁ καὶ τούτῳ τὴν Ἔριν στησάμενος, κἂν τὰ ἔπη τοῦ θείου ἐκείνου ἀνδρὸς, τῇ ὁμωνυμίᾳ πεπλανημένοι, λέγειν τοῦτον ἐπλάσαντο. Ὅμηροι γὰρ πολλοὶ γεγόνασιν ἕτεροι, ζήλῳ τοῦ παλαιοῦ τὴν τούτου κλῆσιν λαμβάνοντες. Ortum autem hoc mendum est, ex more contrahendi MSS. ex παλαιὸς, πολύς. Idem Tzetzes infra: βίβλους μὲν οὗτος ἑκκαίδεκα συνεγράψατο. Ὅμηρος δὲ ὁ παλαιὸς ιγ. Heinsius.

τίμαχος ὁ Κολοφώνιος,[30]) Πανύασις, Πείσανδρος ὁ Καμειρεὺς, καὶ ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος, οὗπερ ἐπεξηγεῖσθαι τὴν βίβλον ἐπεβαλόμεθα.

Οὗτος οὖν ὁ Ἡσίοδος σὺν ἀδελφῷ Πέρσῃ παῖς ἐγεγόνει Δίου καὶ Πυκιμήδης, ([31]) κατῴκουν δὲ ἐν τῇ Κύμῃ. Αὕτη ἡ Κύμη περὶ τὴν Μιτυλήνην ἐστίν· καλεῖται δὲ νῦν Φρικωνίς. Ἡ δὲ ἑτέρα Κύμη, ὅθεν ἦν Αἰόλος καὶ ἡ Σίβυλλα τῆς Ἰταλίας,) Κυμαίων Αἰολέων πενήτων ἀνθρώπων, οἳ διὰ τὸ ἄπορον καὶ τὰ χρέα τὴν ἑαυτῶν πατρίδα Κύμην φυγόντες, μεταναστεύουσι περὶ τὴν Ἄσκρην χωρίον τῶν Βοιωτῶν, δυσχείμερόν τε καὶ κακοθέρειον, περὶ δὲ τοὺς πρόποδας κειμένην [32]) τοῦ ὄρους τοῦ Ἑλικῶνος, κἀκεῖ κατοικοῦσι. Τοιαύτῃ δὲ τῶν ἀνθρώπων πενίᾳ συνεσχημένων, συνέβαινε τὸν Ἡσίοδον τοῦτον ἄρνας ἐν τῷ Ἑλικῶνι ποιμαίνειν. Φασὶ δὲ, ὡς ἐννέα τινὲς ἐλθοῦσαι γυναῖκες, καὶ δρεψάμεναι κλῶνας δάφνης Ἑλικωνίτιδος, αὐτὸν ἐπεσίτισαν, καὶ οὕτω [33]) σοφίας ποιητικῆς ἐπεμφόρητο. Ἀλλὰ τὰ μέχρι
13 μὲν [34]) τούτου ἀληθῆ τε καὶ ἀτρεκέστατα, ὅτι παῖς ὁ Ἡσίοδος πενήτων ἀνθρώπων, [35]) Δίου καὶ Πυκιμήδης, καὶ ὡς περὶ τὸν Ἑλικῶνα ἐνόμευε· τὰ δ' ἐντεῦθεν [36]) μεμυθηγόρηται, καὶ ἀλληγορικώτερον λέλεκται. Καὶ γὰρ ἐν τῷ ποιμαίνειν περὶ τὸν Ἑλικῶνα καθευδήσας ὁ Ἡσίοδος ὄναρ εἶδεν, ἐννέα γυναῖκας δάφνας αὐτῷ ψωμιζούσας· [37]) ἐδήλου γὰρ πάντως τὸ ὄναρ, ὡς πικρίας καὶ [38]) πόνων μετεσχηκὼς τῆς παιδεύσεως ἀειθαλῆ γεννήσει [39]) ποιήματα. Ταῦτα τοίνυν Ἡσίοδος [40]) ἢ ὄψει ὀνείρων τεθεαμένος καὶ διυπνισθεὶς, καὶ τὸ ποιμαίνειν ἀφεὶς, καὶ πόνοις ἐκδοὺς ἑαυτὸν καὶ μαθήμασι, τὴν τῶν ὀνείρων ἐπίλυσιν

30) πάνυσις G. Trinc. πανάκης F. καμητρεὺς F. οὗπερ — ἐπεβαλόμεθα om. Trinc. οὗπερ ἐ. τ. β. ἐπεμελώμεθα F. ἐξηγεῖσθαι G.

31) κατώκουν — Ἰταλίας om. E. F. Gr. Habet Trinc. post ποιμαίνειν. Paullo supra συνάδελφος Gr.

32) τοῦ ὄρους om. Trinc. Mox συνισχιμένων Trinc. συνισχημένων Bas. συνισχομένων Heins.

33) σοφίας καὶ ποιητικῆς Bas. E. F. Gr. ἐμπεφόρητο E. Trinc. ἐμπεφόρηται F. Gr.

34) τούτων ἀτρεκῆ τε καὶ ἀληθέστατα Gr. Trinc. ubi notabilis est typothetae error. τούτου ἀτρεκῆ τε καὶ ἀληθέστατα E. F.

35) Δίου καὶ Π. om. Trinc.

36) μεμυθολόγηται Trinc. Gr. et mox εἴρηται. ἢ γάρ.

37) ἐδήλου δὲ τὸ ὄναρ πάντως Trinc. δὲ pro γὰρ E. Gr. γὰρ om. F.

38) Sic E. G. Gr. Trinc. μετασχηκὼς Trinc.

39) γεννήματα Trinc. ταῦτα ad καὶ om. Trinc.

40) ἢ ὄψει F. Gr. ubi mox om. τεθεαμένος. ἐν ὄψει Bas. Heins. Ἡσίοδος ἰδὼν καὶ διυπνισθεὶς G. διυπνισθεὶς δὲ Trinc.

[41]) ἐξεπέρανεν, [d]) ἢ ἐγρηγορὼς, καὶ [42]) ἄγρυπνος ὢν, σύννους τε πρὸς ἑαυτὸν γεγονὼς, καὶ πρέποντα νοῦν ἐσχηκὼς, ἀποδιδράσκει μὲν τὸ εὐτελὲς καὶ ποιμενικὸν καὶ σκληρόβιον, καὶ προσδραμὼν τῇ παιδεύσει, καὶ πόνοις [43]) ἐγκαρτερήσας μεγάλην καρποῦται τὴν εὔκλειαν, καὶ βίβλους τοσαύτας ἐξεπονήσατο, ἃς ἐγὼ Μουσῶν τε καὶ γνώσεως ἐπίσταμαι ψώμισμα· καὶ [44]) δάφνας λάλους Ἑλικωνίτιδας, ἑλισσομένας ἁπανταχοῦ, καὶ θαλλούσας, καὶ κηρυττούσας, τὸν πρὶν μὲν οἰκτρόβιον καὶ ἀφανῆ νομέα ποιμνίων, νῦν δὲ ἡμίθεον χρηματίσαντα δι᾽ ἀρετῆς καὶ παιδεύσεως. Ὥσπερ καὶ ὁ Σωφρονίσκου Σωκράτης ὁ λιθοξόος, καὶ ὁ ἰχθυοπώλης Δημάδης, καὶ ὁ τῆς τυμπανιστρίας Αἰσχίνης, Σίμων τε ὁ σκυτεὺς, καὶ ὁ λαχανεὺς Εὐριπίδης· ἔτι τε ὁ Σκύθης Ἀνάχαρσις· καὶ ἄμφω τὼ δούλω, Αἴσωπος, καὶ Ἐπίκτητος· καὶ ὁ Σύρος ῥήτωρ ὁ Λουκιανὸς, ὁ λιθοξόος τε καὶ ἡμίδουλος, καὶ οἱ λοιποί, [46]) ὥσπερ καὶ παρ᾽ ἡμῖν ὁ χρυσογνώμων ἐκεῖνος Σωτήριχος, καὶ ὁ νῦν περιϊὼν τῆς Νικομήδους οἰνοπράτης ἀρχιερεὺς, ὃς οὐδὲ νῦν ἐθέλει τοῦ πιθεῶ- 14
νος ἐξίστασθαι, ἀλλ᾽ ἔτι τὸν οἶνον μιγνύει, καὶ μεταβάλλει τοὺς ἀμφορεῖς. Ἔνθεν τοι μή τις τῶν νέων νωχελὴς καὶ ῥάθυμος, καὶ ἀμβλὺς περὶ λόγους τελείτω, καὶ μονονουχὶ καθευδέτω τοῖς περὶ τὸν Ἡσίοδον [47]) τοῦτον ἠπατημένος μύθοις, καὶ παρ᾽ αὐτὸν ἐπελθεῖν δαφνηφορούσας τινὰς παρθένους καραδοκῶν ψωμιζούσας τὰς δάφνας, καὶ δεδυνημένας ἀκαριαίως σοφίζειν, ἀλλὰ τῇ ἀλληγορίᾳ ταύτῃ προσέχων, καὶ πόνοις προσκείμενος, καὶ πάντας τούτους τοὺς προκειμένους ἔχων [48]) πα-

ἐξ

d) καὶ ἐγρηγορὼς, καὶ ἄγρυπνος ὢν] in editione Basiliensi legebatur, ἢ περὶ τὸν Ἑλικῶνα ποιμαίνων, ἐγρηγορὼς καὶ ἄγρυπνος ὤν. verba illa, περὶ τὸν Ἑλικῶνα ποιμαίνων, induximus, ut glossema, non sine suffragio Venetae editionis, quae habebat manifeste, ἢ ἐγρηγορὼς καὶ ἄϋπνος ὢν, σύννους τε πρὸς ἑαυτὸν γεγονώς. Reliqua vero non agnoscebat: quod nos secuti τὸ ἢ simpliciter in καὶ mutavimus: quanvis ex eo et ἤτοι fieri commode possit. Ita ne minima quidem lectorem celamus. Heinsius.

41) Ita Trinc. E. F. Gr. διεπέρανον G. ἢ περὶ (παρὰ Gr.) τὸν Ἑλικῶνα ποιμαίνων (ποιμαίνειν F.) E. F. G. Gr.

42) ἄϋπνος Trinc.

43) Ita Trinc. E. Gr. Alii προσκαρτερήσας. Mox γνώσεων G.

44) Ita E. G. Trinc. κλάδους F. et Gr. suprascripto λάλους.

46) Hinc ad ἀμφορεῖς desunt Trinc.

47) τούτοις μύθοις ἠπατημένος Trinc.

48) ὡς πρὸς παράδειγμα Bas. Gr. E. G. Mox ἐχέσθω Trinc. Postea ἀναλαμβάνων Gr.

ράδειγμα, σπουδαιοτέρως ἀντεχέσθω τῶν λόγων, καὶ μόχθῳ τοὺς θησαυροὺς τῆς σοφίας λαμβάνων ταμιευέτω ἐς τὸ προκόλπιον. Παρθένους δὲ δαφνηφορούσας καὶ σοφιζούσας ἀκαριαίως μηδεὶς ἐλπιζέτω· [49] [c]) κἂν γὰρ καὶ παρά τινας νῦν παρθένοι καὶ δαφνηφόροι ἀφίξωνται, γυμνάσουσι τοῦτον, ἀλλ' οὐ σοφίσουσιν. ἔνθέν τε πάντες νέοι πονεῖτε, καθάπερ Ἡσίοδος, καὶ δῶρα δρέψασθε μουσῶν, ὡς ἐκεῖνος, καὶ δάφνας ἀμαράντους ἑλικωνίτιδας. [50]) Ἀλλὰ ταῦτα μὲν τὰ μυθοπλαστούμενα περὶ τῆς τοῦ Ἡσιόδου δαφνηφαγίας, καὶ ἀγωγῆς ἐκείνου, καὶ τῆς παιδεύσεως. Συνηκμακέναι δ' αὐτὸν οἱ μὲν Ὁμήρῳ φασὶν, [51]) καὶ ἀγῶνα λόγων συστήσασθαι, οἱ δὲ καὶ Ὁμήρου προγενέστερον εἶναι διϊσχυρίζονται. [52]) καὶ οἱ μὲν προγενέστερον εἶναι τοῦτον Ὁμήρου διϊσχυριζόμενοι ἐν ἀρχαῖς εἶναί φασι τῆς Ἀρξίππου ἀρχῆς, Ὅμηρον δὲ ἐν τῷ τέλει. Ὁ δ' Ἄρξιππος οὗτος υἱὸς ἦν Ἀκάστου, ἄρξας Ἀθηναίων ἔτη λε. Οἱ δὲ συγχρόνους αὐτοὺς εἶναι λέγοντες, ἐπὶ τῇ τελευτῇ τοῦ Ἀμφιδάμαντος τοῦ βασιλέως Εὐβοίας, φασὶν αὐτοὺς ἀγωνίσασθαι, καὶ νενικηκέναι Ἡσίοδον, ἀγωνοθετοῦντος καὶ κρίνοντος τὰ μέτρα Πανίδου τοῦ βασιλέως, τοῦ ἀδελφοῦ Ἀμφιδάμαντος, καὶ τῶν υἱῶν Ἀμφιδάμαντος, Γανύκτορός τε καὶ τῶν λοιπῶν. Ἐξηρωτηκέναι γὰρ αὐτοὺς πολλὰ πρὸς [53]) ἀλλήλους φασὶ δι' ἐπῶν αὐτοσχεδίων, καὶ ἀποκρίνασθαι, [f]) καὶ πᾶσι τὸν Ὅμηρον τὰ πρωτεῖα λαμβάνειν. Τέλος τοῦ βασιλέως Πανίδου εἰπόντος αὐτοῖς, τὰ κάλλιστα τῶν ἑαυτῶν ἐπῶν ἀναλεξαμένους εἰπεῖν, Ὅμηρος μὲν ἄρχεται λέγειν τοῦτο τὸ χωρίον, ἀπὸ πολλῶν ἐπῶν ἀρξάμενος ὄπισθεν·

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων, ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.

49) Hinc ad Ἑλικωνίτιδας om. Trinc. παρθένοι δαφνηφόροι ἀφήξωνται γυμνάζουσι πάντως, ἀλλ' οὐ σοφίσουσιν· ἔνθεν τοι πάντες E. ἀφίξωνται F. γυμνώσουσι πάντως ἀλλ' οὐ σοφίσουσιν, ἔνθεν τοι πάντες G. ἀφίξωνται et γυμνάσουσι πάντες ἀλλ' οὐ σοφίσουσιν ἔνθεν τοι Gr. ὥσπερ pro καθάπερ E. Paullo post insertum δῶρα ex E. F. G. δῶρον Gr. δρέψεσθε F. G.

50) ἀλλὰ — παιδεύσεως om. E.

51) καὶ α. λ. σ. addidi ex Trinc.

52) Hinc ad πολέμους καὶ σφάγια om. Trinc. ad δῆθεν εἰρημένων E.

53) ἀλλήλους φασὶ F.

f) Καὶ φασὶ τὸν Ὅμηρον τὰ πρωτεῖα λαμβάνειν] Ita emendavit Illustris Scaliger, cum legere ur, καὶ πᾶσι, in Basiliensi. HEINSIUS. Retinui πᾶσι, quod valet *omnium consensu*, *omnium judicio*.

Καὶ περαιτέρω τούτων. Ἡσίοδος δὲ, τοῦ 15

Πληϊάδων [54]) Ἀτλαγενέων ἐπιτελλομενάων

ἀπάρχεται, καὶ ὁμοίως Ὁμήρῳ προβαίνει, μέχρι [55]) πολλοῦ τῶν ἐπῶν. Καὶ πάλιν ἐπὶ τούτοις οἱ παρεστῶτες πάντες τῶν ἐλλογίμων στρατιῶται τὸν Ὅμηρον ἐστεφάνουν· g) ὁ δὲ Πανίδης ἔκρινεν [56]) νικᾷν Ἡσίοδον ὡς εἰρήνην καὶ γεωργίαν διδάσκοντα, καὶ οὐ καθάπερ Ὅμηρος πολέμους καὶ σφάγια. Ἀλλὰ ταῦτα μέν εἰσι ληρήματα τῶν νεωτέρων, [57]) καὶ πλάσεις τῶν πρὸς ἀλλήλους ἐρωτημάτων, καὶ τῶν ἐξ Ὁμήρου παρεκβεβλημένων ἐπῶν, καὶ ὑπ' ἐκείνου δῆθεν εἰρημένων. Ὅμηρος γὰρ ὁ χρυσοῦς, ὡς ἐγῷμαι, μᾶλλον δὲ [58]) ἀκριβεστάτως ἐπίσταμαι, πολύ τε παλαιότερος Ἡσιόδου ὑπῆρχε, καὶ εἰ πρὸς τοὺς [59]) θρυλλουμένους ἐκείνους θεοὺς ἔριν ἐστήσατο λόγων, καὶ κατὰ τούτων ἂν τὰ πρωτεῖα καὶ τοὺς στεφάνους ἠνέγκατο. Ἀλλ' ἴσως [60]) ὁ ἕτερος Ὅμηρος ἦν τοῦ Ἡσιόδου ἰσόχρονος, ὁ τοῦ [61]) Εὔφρονος παῖς ὁ Φωκεὺς, ὁ καὶ τούτῳ τὴν ἔριν στησάμενος, κἂν τὰ ἔπη τοῦ θείου ἐκείνου ἀνδρὸς τῇ ὁμωνυμίᾳ πεπλανημένοι, λέγειν τοῦτον ἐπλάσαντο. Ὅμηροι γὰρ πολλοὶ γεγόνασιν ἕτεροι, ζήλῳ τοῦ παλαιοῦ τὴν τούτου κλῆσιν λαμβάνοντες· [62]) καὶ γὰρ καὶ τοῦ Φωκέως Ὁμήρου τούτου ἕτερος ὑπάρχει νεώτερος Ὅμηρος ὁ τὴν Εὐρυπύλειαν ποιήσας· ἦν δὲ οὗτος παῖς Ἀνδρομάχου, τῷ γένει Βυζάντιος. Τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ' ἀμφοτέρων

54) Ἀτλαγεννέων Bas. ἀτλαγεγάων H.

55) πολλῶν G. H. Mox πάντων τῶν ἑλλήνων στρατιῶται G. g. καὶ στρατιωτῶν F.

g) ὁ δὲ Πανίδης ἔκρινεν νικᾷν Ἡσίοδον] In emendatissima editione legebatur, ὁ δὲ Πανίδης ἔκρινε κἀυτὸν Ἡσίοδον, ὡς εἰρήνην, καὶ etc. ne sensus suspensus esset, ex κἀυτὸν, νικᾷν faciendum fuit. Heinsius.

56) κἀυτὸν Bas.

57) καὶ πλάσεις—εἰρημένων. Horum loco in Trinc. reperiuntur sequentia, ὡς καὶ τὰ τῶν πρὸς ἀλλήλους ἐρωτημάτων πλάσματα. Καὶ τῶν ad εἰρημένων desunt H. ῥηθέντων pro εἰρημένων F. G.

58) ἀκριβῶς Trinc. F. ὡς ἐγῷμαι δὲ καὶ μᾶλλον ἀκριβῶς ἐπίσταμαι Ὅμηρος ὁ χ. πολύ τε π. Ἡ. E. ὑπῆρχε om. Trinc.

59) τεθρυλλημένους F. G. Mox κατὰ τούτων Trinc. E. F. G. H.

60) Articulus deest F. H. Trinc. Mox τῷ Ἡσιόδῳ E. G. H. Bas.

61) Sic E. F. G. H. Trinc. Εὐφορίωνος Bas. Heins. Κἂν τὰ ἔπη ad ἐπλάσαντο om. Trinc.

62) Hinc ad προγενέστερον desunt Trinc. Mox Εὐρυπυλίαν E. F. H. εὐρυκλίαν G. Εὐρυάλειαν Bas. Heins. Ἦν ad Βυζάντιος desunt E. F ὑπῆρχε νεώτερος Ὅμηρος· οὗτος ὁ νεώτερος Ὅμηρος ἦν παῖς Ἀνδρομάχου, τῷ γένει Βυζάντιος, ὁ τὴν Εὐρυπυλίαν ποιήσας, τὸν π. H.

ὑπάρχειν τῶν Θηβαϊκῶν στρατειῶν, καὶ τῆς Ἰλίου ἁλώσεως. Ἐκ τούτου γοῦν [63]) λογίζομαι, τοῦτον τοῦ Ἡσιόδου εἶναι τετρακοσίων ἐτῶν προγενέστερον. [64]) Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος, μᾶλλον δὲ οἶμαι ὁ τοὺς Πέπλους συντάξας, ἐν τῇ Ὀρχομενίων πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησι υἱὸν Ἡσιόδου, ἐκ τῆς Κτημένης [65]) αὐτῷ γεννηθέντα τῆς Ἀμ-
16 φιφάνους, καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως. Ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ, καὶ τῷ [66]) Ἀκραγαντίνῳ Φαλάριδι· οἱ δὲ Ὁμήρου τετρακοσίοις ὑστέριζον ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος. [67]) Ἀλλὰ καὶ τοὺς χρόνους εἰπόντες, ἐν οἷς ἔφασαν ἠκμακέναι Ἡσίοδον, εἴπωμεν καὶ πόσας βίβλους ἐξεπονήσατο. Βίβλους μὲν οὗτος ἑκκαίδεκα συνεγράψατο· Ὅμηρος δὲ ὁ παλαιὸς ιγ. Τελευτᾷ δὲ ὁ ῥηθεὶς οὗτος Ἡσίοδος ἐν Λοκρίδι, τοιουτοτρόπως. Μετὰ τὴν νίκην, ἣν αὐτὸν νενικηκέναι φασὶν [68]) ἐπὶ τελευτῇ Ἀμφιδάμαντος, εἰς Δελφοὺς ἐπορεύθη, καὶ ἐδόθη αὐτῷ οὑτοσὶ ὁ χρησμός·

[h]) Ὄλβιος οὗτος ἀνὴρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος μούσῃσι τετιμένος ἀθανάτῃσι.
Τοῦ δή τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος.
[69]) Κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

Ὁ δὲ τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγὼν, ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος [70]) τῶν Φηγέως

63) λογιζόμενος F.

64) Ἀριστοτέλης δέ φησι Στησίχορον mediis omissis Trinc.

65) αὐτῷ F. Trinc. αὐτὸν alii.

66) τυράννῳ Ἀκραγαντίνων Trinc. E. Post φαλάριδι addunt G. H. Ἀστυπαλαιεὺς ἦν τῷ γένει ὁ Φάλαρις, ὡς αὐτός φησιν ἐν ἐπιστολαῖς ταῖς αὐτοῦ, τύραννος δὲ Ἀκραγαντίνων· ἐγὼ δὲ οὐκ ἀκριβολογησάμενος (ἠκριβωμένως H.) Ἀκραγαντῖνον ἐκάλεσα, τῇ κοινῇ συνηθείᾳ χρησάμενος (χρώμενος H.) Ἡ δὲ Ἀστυπάλαια πόλις τῆς Σάμου ἐστίν.

67) Ἀλλὰ — ἐξεπονήσατο om. Trinc. ἐφ' ἧς pro ἐν οἷς G. ἔφην E. ἔφθασεν pro ἔφασαν F. Mox ὁ ῥηθεὶς οὗτος om. Trinc.

68) ἐπὶ τελευτῇ Ἀμφ. om. Trinc.

h) Ὄλβιος οὗτος ἀνὴρ] In his versibus quaedam erant, quae cum metro pugnabant, quae facile emendare fuit. Quaedam etiam quae cum idoneo sensu: versus enim ultimus ita legebatur: Καὶ δή τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν. Scripsimus autem ex libello, qui Ὁμήρου καὶ Ἡσιόδου ἀγὼν vulgo inscribitur, ubi hi versus, et quaedam praeterea, quae hic sunt, leguntur, Κεῖθι δέ τοι. Agit enim de loco ubi moriturus erat. HEINSIUS.

69) Καὶ γάρ τοι edd. ante Heins. et MSS.

70) Τῶν φ. π. om. Trinc.

παίδων ἀναιρεῖται, καὶ ῥίπτεται εἰς τὴν θάλασσαν, ὡς φθείρας τὴν ἀδελφὴν ἐκείνων Κτημένην· ἐξ ἧς ἐγεννήθη Στησίχορος· ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν. Μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας, καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ τῆς Οἰνόης. Οἱ δὲ φονεῖς [71]) αὐτοῦ νηὸς ἐπιβάντες ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν. Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
[i])Ὀστέα [71])πληξίππου γῆ Μινύης κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν, 17
Ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης.

Ἐπέγραψε δὲ καὶ Πίνδαρος·

Χαῖρε δὶς ἡβήσας, καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ᾽, ἀνθρώποις μέτρον ἔχων σοφίης.

[k])Ἀλλ᾽ [72]) ἐπειδὴ ταῦτα κατελέξαμεν, φέρε καὶ τῆς ἐπιγραφῆς τοῦ βιβλίου ἁψώμεθα.

Ἡσιόδου Ἔργα καὶ Ἡμέραι τὸ βιβλίον ἐπιγέγραπται, [l])ἤτοι διδασκαλία γεωργίας καὶ ἡμερῶν, καθ᾽ ἃς δεῖ τόδε καὶ τόδε ποιεῖν. Οὕτω δὲ ἐπιγέγραπται πρὸς ἀντιδιαστολὴν τῶν ἑτέρων

71) τούτου Bas. et mox χειμῶνος. Paullo ante αὐτὸ Trinc.

i) Ὀστέα πληξίππων γῆ Μινυῶν] Ita edidimus, cum male in Basiliensi, πληξίππου, esset. Tertius a principio versus ita in eadem editione concipiebatur, quemadmodum expressimus in hac nostra: Ἡσιόδου τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν, ut et lib. Anthologiae 3. tit. εἰς ποιητάς. At in Pausaniae Boeoticis melius elegantiusque: Ἡσιόδου τοῦ πλεῖστον ἐν Ἑλλάδι κῦδος ὀρεῖται: Quod ego in mea hujus Epigrammatis versione secutus sum, quae ita habet: *Fertilis Hesiodum produxit frugibus Ascra: Ossa viri Minyum Martia terra tegit, Hesiodi, cujus miratur Graecia laudes: Nec tulit huic quenquam cognitione parem.* In certamine Homeri et Hesiodi, γῆ Μινυὰς legitur, versu secundo: et 3. sicut edidimus. Heinsius.

ἀρ
71) πληξίππου H. Μινύης E. F. H. Trinc. Bas.

k) Ἀλλ᾽ ἐπεὶ μὲν δὴ ταῦτα κατελέξαμεν] Basiliensis editio habebat: ἀλλ᾽ ἐπεὶ μὲν τὰ περὶ τὸν ποιητὴν κατελέξαμεν. Sed simpliciissimum secuti sumus. Cl. Vulcanius ex MS. ad oram libri sui notarat: Ἀλλ᾽ ἐπεὶ μὲν τὰ περὶ τὸν ποιητήν: quod magis placet Heinsiusi.

72) Sic F. Trinc. ἐπεὶ τὰ περὶ τὸν ποιητὴν ἅπαντα κ. φέρε λοιπὸν Bas. G. et fere F. H. πάντα pro ταῦτα E.

l) ἤτοι διδασκαλία γεωργίας καὶ ἡμερῶν, καθ᾽ ἃς δεῖ τόδε ποιεῖν] Melius dixisset et verius, καθ᾽ ἃς δεῖ τόδε ἢ τόδε ποιεῖν: ita etiam reliquas oeconomiae partes admitteret, quas jam excludit. Heinsius.

αὐτοῦ πεντεκαίδεκα βίβλων [m]*)'Ἀσπίδος, Θεογονίας, Ἡρωογο-*
18 *νίας,* [n]*) Γυναικῶν καταλόγου, καὶ λοιπῶν ἁπάσων·* [o]*) ἔτι δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν τοῦ μεγάλου Ὀρφέως ἔργων καὶ ἡμερῶν,* [73]*) ὧν οὕτως ἐστὶν ἡ ἀρχή.*

Εἰ δὲ γεωπονίης σε φιλομβρότου ἵμερος αἱρεῖ,
Καί τ' ἐπὶ χρυσείης γενεῆς ἐντύνεαι ἔργα
Γαῖαν ἐπὶ ζείδωρον ἄγων εὐκαμπὲς ἄροτρον,
Ἡ γυροῖς ἔνι κλῆμα Μεθυμναίου λελίησαι
Κατθεμέναι, καὶ λαρὸν ὀπώρης εἶδαρ ἑλέσθαι

m) *'Ἀσπίδος, Θεογονίας, Ἡρωογονίας, Γυναικῶν καταλόγου*] Deceptus fuit Tzetzes cum reliquis sui temporis hominibus in Hesiodi librorum enumeratione. Ac primo ad *'Ἀσπίδα* quod attinet, peccat, cum eam ex catalogorum numero tollit: secundo, cum solius *Γυναικῶν καταλόγου* meminit: nisi forte illud, *καὶ τῶν λοιπῶν*, ad reliquos Hesiodi catalogos referamus: quod mihi neutiquam verisimile fit. Tertii Hesiodi catalogi pars fuit *'Ἀσπίς*. Nec aliud voluit antiqui argumenti, quod etiamnum illi libro praefigitur, autor; cujus haec verba sunt: *Τῆς 'Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ δ' καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ σ'.* Heinsius.

n) *γυναικῶν καταλόγου*] Ad distinctionem aliorum Catalogorum: nolim enim falli ex Hesychio, vel parum caute notante, vel corrupto, viros doctos, cum magni nominis quibusdam, qui *κατάλογον Ἡσιόδου* cum simpliciter citatur, ad *τὰς ἠοίας* referunt. At cum Stephanus, cum Eustathius, cum alii *Ἡσιόδου κατάλογον* citant, *τὴν ἡρωογονίαν*, aut *τὰς γενεαλογίας ἡρωϊκὰς* plerumque intelligunt: quod cum fructu observabis. Apollonii interpres manifeste distinguit *ἠοίας*, et *κατάλογον*, ad lib. 2. 181. *πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν· ἐν δὲ τῷ γ' καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινε.* Hesychius cum interpretatur *ἠοῖα, ὁ κατάλογος Ἡσιόδου*, non dubium est quin desit numerus, qui fortasse ita supplendus esset, *ἠοῖα, ὁ δ' κατάλογος Ἡσιόδου.* Video enim *ἠοίας* ordine quartas fuisse: quas *δ' κατάλογον* vocant. Atque hoc est quod vult loco supra adducto magister, qui *ἐν δ' καταλόγῳ 'Ἀσπίδα Ἡσιόδου φέρεσθαι* scribit. Sic cum *ὁ τὰ ἐθνικὰ γράψας*, quem Stephanum vulgo dicimus, hos versus citat in hunc modum: *Ἡσίοδος καταλόγων· Κτεῖναι Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς Ἕνδεκα· δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ, Ξεῖνος ἐὼν, ἐτύχησε παρ' Ἱπποδάμοισι Γερήνοις.* et paulo post, dubium non est, quin scripserit: *Ἡσίοδος καταλόγων γ'*, quae litera cum voce coaluit, et in *ὁμοειδῆ* mutata est. Heinsius.

o) *ἔτι δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν τοῦ μεγάλου Ὀρφέως ἔργων, καὶ ἡμερῶν ὧν* etc.] Hoc loco glossema foedum, quod in emendatissimo codice erat, ejecimus: *ὧν ἔργων Ὀρφέως, ἤτοι τοῦ περὶ γεωργίας*: quod non tam imperiti hominis est, quam vacui, et qui, quod ageret, non haberet. Id propterea nos loco movere partim ex judicio nostro, partim ex authoritate Venetae non dubitavimus. Heinsius.

73) *ὧν ἔργων Ὀρφέως, ἤτοι τοῦ περὶ γεωργίας οὕτως* E. F. Caeterum versus qui sequuntur non sunt Orphei, sed Maximi *περὶ καταρχῶν* v. 456. Fabric. Bibl. Gr. T. VIII. p. 440. notante Wesselingio Probab. c. xvii. A *Καί τ' ἐπὶ χρυσείης* ad *ἔργα καὶ ἡμέραι* desunt Trinc. Mox *γεωργίης* pro *γεωπονίης* E. *γεωργίας* H.

[74])Ἱμείρῃ, σκαπάνῃ τε λαχῆναι ἄμβροτον αἶαν·
Αὐτίκα δή τοι πᾶσαν ἐτητυμίην καταλέξω,
[p])Ὅππως ἂν [75])πανδῖα σεληναίη πεπίθοιτο,
Ὀμπνιά σοι Δήμητρος, ἀερσινόοιο τε Βάκχου,
Δῶρ' ἀναπεμπέμεναι, καὶ [76])ἐπηετανὸν ὄλβον ὀπάζειν.

Καὶ τῶν μὲν ἔργων Ὀρφέως οὕτως ἐστὶν ἡ ἀρχή. Αἱ δὲ ἡμέραι, ἤτοι αἱ ἐφημερίδες αὐτοῦ, ἄρχονται οὕτως·

[77])Πάντ' ἐδάης Μουσαῖε θεοφραδές. εἰ δέ σ' ἀνώγει
Θυμὸς ἐπωνυμίας μήνης κατὰ μοῖραν ἀκοῦσαι, 19
Ῥεῖά τοι ἐξερέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Οἵην τάξιν ἔχοντα κυρεῖ. μάλα γάρ χρέος ἐστὶν
Ἴδμεναι, ὡς αὕτη παρέχει κλέος ἄντυγι μηνός.

[q])Διὰ ταῦτα πάντα τὸ βιβλίον ἐπιγέγραπται, Ἡσιόδου ἔργα καὶ ἡμέραι. Ἔγραψε δὲ τὸ παρὸν βιβλίον ὁ Ἡσίοδος πρὸς Πέρσην τὸν ἀδελφὸν αὐτοῦ, παραίνεσιν καὶ ἠθικὴν καὶ οἰκονομικὴν περιέχον παντοίαν, καὶ προτροπὴν πρὸς τὰ ἔργα, καὶ γεωργίας διδασκαλίαν, προσέτι δὲ καὶ καιρῶν, οἷς δεῖ τὰς [78])ἐργασίας ποιεῖσθαι, καὶ ἡμέρας σελήνης [79])ὑποδεικνύει, τίνες τε αὐτῶν

74) ἱμείρει E. G. λαχαίνεμεν ed. Fabric.

p) Ὅπως ἂν] Ineptissime hic versus ita conceptus legebatur, Ὅπως ἂν πανδῖα σελήνη πεπύθοιτο. Illustris vero Scaliger, ita ut edidimus emendandum nos monuit, nimirum, Ὅππως ἂν πανδῖα σεληναίη πεπίθοιτο: addens praeterea, illud πεπίθοιτο de Luna dictum esse, ut apud Maronem, parere, de arvis et terra: *Ut quanvis avido parerent arva colono.* Quem versum ἐκ τῶν τοῦ μεγάλου Ὀρφέως ἔργων magnum illum Poetam expressisse dubium non est. HEINSIUS.

75) δῖα γεσ. πεπίθοιτο ed. Fabric.

76) ἐπήτανον Fabric.

77) Haec ex eodem videntur Maximi decerpta esse carmine, dum adhuc integrum esset. Αἱ δὲ ἡμέραι ad μηνός om. E.

q) Διὰ ταῦτα πάντα τὸ βιβλίον ἐπιγέγραπται, Ἡσιόδου ἔργα καὶ ἡμέραι] Scribe, διὰ ταῦτα πᾶν τὸ βιβλίον etc. Notat Grammaticus, inscriptionem totius libri esse Ἔργα καὶ Ἡμέραι: quod probat, id quod supra ostendimus ineptam esse divulsionem librorum quae hodie obtinet, et τὰς ἡμέρας non esse partem peculiarem, neque aliam. Praeterea neque quod a quibusdam hodie factum est, libros priores, ἔργα tantum vocandos esse, omisso ἡμερῶν nomine: sed opus hoc unum et integrum Ἔργα καὶ Ἡμέρας inscribi: quod ex eo probare videtur, quia τὸ τοῦ μεγάλου Ὀρφέως πᾶν τὸ βιβλίον ἔργα καὶ ἡμέραι inscribebatur; quanvis ostenderit ubi ἔργα, ubi ἡμέραι incipiebant: quod et in Hesiodo videmus, et in qualibet hujus operis parte. Ita enim antiqui de his libris loquebantur, ἀπὸ ἔριδος μέχρι Πανδώρας, ἀπὸ Πανδώρας μέχρι γενεῶν, et ita deinceps μέχρι τῶν ἡμερῶν: nec propterea totidem libros constituerunt: ut in libro singulari ostendimus. HEINSIUS.

78) γεωργίας Trinc.

79) Sic E. F. H. Trinc. ἐπιδεικνύει G.

ἀποφράδες, καὶ τίνες [80]) ἀνύσιμοι. Μετὰ γὰρ τὴν τελευτὴν τῶν γονέων, τὴν αὐτῶν περιουσίαν Ἡσίοδος καὶ Πέρσης διείλοντο. Καὶ Ἡσίοδος μὲν σωφρόνως ἔζη καὶ φιλοσόφως, Πέρσης δ' ἀσώτως· καὶ ἀργὸν βίον διαβιοὺς τήν τε ἰδίαν οὐσίαν [81]) ἀνήλωσε, καὶ τῶν Ἡσιόδου τινὰ ὑφαιρούμενος, [r]) καὶ τοὺς δικαστὰς δεξιούμενος ταῖς δίκαις κατέτριβε τὸν Ἡσίοδον. [s]) Ὅθεν οὗτος τοῦ ἀργοῦ βίου, καὶ τῆς ἀσώτου διαγωγῆς αὐτὸν ἀποτρέπων, διὰ τοῦ παρόντος βιβλίου πρὸς ἐργασίαν προτρέπεται.

Εἰ δέ τις ἀποροίη διὰ τί τῶν ἡμερῶν τὰ ἔργα [82]) προτέθεικε, σὺ μὲν τὰς ὑποψύχρας τῶν πολλῶν πάρες λύσεις, εἰπὲ δὲ, ὅτι καλῶς τὰ ἔργα [83]) προέταξεν. Ἀσώτως γὰρ καὶ ἀργῶς βιοῦντα τὸν ἀδελφὸν ἔδει [84]) πρῶτα προτρέψαι πρὸς τὸ ἐργάζεσθαι, καὶ περὶ ἔργων εἰπεῖν, εἶτα καὶ τῶν ἡμερῶν, ἐν αἷς χρὴ τὸ καθ' ἕκαστον τῶν ἔργων ἐργάζεσθαι. Ἄλογον γὰρ ἦν, ἐργασιῶν ἡμέρας ὑποδεικνύειν πρὸς τὸν μὴ καταπειθῆ πρὸς [85]) ἔργα γινόμενον.

80) *ὀνήσιμοι* Heins. Mox *ἔζη καὶ φιλ.* om. Heins. *Πέρσης δὲ ἀσώτερον καὶ ἀργὸν* G.

81) *ἀνάλωσε* E. H. *ἠνάλωσε* F. *ἀφαιρούμενος* F.

r) *Καὶ τοὺς δικαστὰς δεξιούμενος ταῖς δίκαις κατέτριβε τὸν Ἡσίοδον*] Inepte in emendatissima editione erat, *τοὺς δικαστὰς ἐξηγούμενος*: quod locum hic habere non potest. Est autem *δεξιοῦσθαι* vox qua impense delectantur magistri, *ἀντὶ τοῦ προσάγεσθαι*: quare nec mirum si ad *τὰς δωροδοκίας* Persae referatur. Apud Eustathium eam vocem reperies frequentatam, non longe aliter: apud Plutarchum eodem modo, *ἐν τῷ, Πῶς ἄν τις διακ. τ. κολ. τ. φιλ. μετὰ δὲ τὴν ἀπόφευξιν τοῦ Κηφισοκράτους, δεξιουμένου τοὺς δικαστάς.* Quo spectat et notissimum illud Euripidis *δεξίωμα*, ut nos monebat illustris Scaliger: *Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς.* Heinsius.

s) *Ὅθεν οὗτος τοῦ ἀργοῦ βίου, καὶ τῆς ἀσώτου διαγωγῆς αὐτὸν ἀποτρέπων, διὰ τοῦ παρόντος βιβλίου πρὸς ἐργασίαν προτρέπεται*] Emendatissima editio *πρὸς γεωργίαν* repraesentabat: maluimus non una de causa, *πρὸς ἐργασίαν*, cum Veneta. Atque hactenus Tzetzae Prolegomena. In quibus nimis diu haesimus: vices enim suas poscunt duo reliqui. Heinsius.

82) *προσέθηκεν* Trinc. Ibid. desunt *τὸ μὲν — λύσεις.* *ὑποψύχρους* E. F. G. *ἀποψύχρους* H.

83) *προσέταξεν* Bas. *προτέθεικε* G.

84) *πρῶτον* Trinc. *καὶ περὶ* ad *ἐργάζεσθαι* om. Trinc.

85) *ἐργασίαν* C. *τὰ ἔργα* Trinc.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑ ΕΡΓΑ ΚΑΙ ΤΑΣ ΗΜΕΡΑΣ.[3])

1. Ο [a]) ΣΚΟΠΟΣ τοῦ βιβλίου παιδευτικός ἐστιν, [b]) ὅπως τὸν ἴδιον βίον κοσμήσαντες, οὕτω καὶ τῆς περὶ τὸ θεῖον γνώσεως μέτοχοι γενώμεθα. [Τὸ μὲν φαινόμενον ἡ παραίνεσις αὕτη πρὸς τὸν ἀδελφὸν αὐτοῦ τὸν Πέρσην· τὸ δὲ ἀληθὲς πρὸς τὴν ἡμε-

3) Ἐκ τῶν ΠΡΟΚΛΟΥ ΔΙΑΔΟΧΟΥ] Διάδοχοι sunt duplices: in philosophicis familiis, qualis est Proclus; in Ecclesiasticis, quales multi Addebatur autem vox διάδοχος causa praeceptoris. Πρόκλου igitur διαδόχου, nimirum Πλατωνικοῦ: quod supplet Ammonius ad lib. Philosophi περὶ Ἑρμηνείας, his verbis de praeceptore suo: Εἰ δέ τι καὶ ἡμεῖς δυνηθείημεν εἰσενεγκεῖν περὶ τὴν τοῦ βιβλίου σαφήνειαν, ἀπομνημονεύσαντες τῶν ἐξηγήσεων τοῦ θείου ἡμῶν διδασκάλου Πρόκλου, τοῦ Πλατωνικοῦ διαδόχου, τοῦ εἰς ἄκρον τῆς ἀνθρωπίνης φύσεως τήν τε ἐξηγητικὴν τῶν δοκούντων τοῖς παλαιοῖς δύναμιν, καὶ τὴν ἐπιστημονικὴν τῆς φύσεως τῶν ὄντων κρίσιν ἀσκήσαντος, πολλὴν ἂν τῷ λογίῳ θεῷ χάριν ὁμολογήσαιμεν. Quod testimonium ita honorificum omnibus Tzetzis calumniis oppono: quae interdum tales sunt, ut totum hominem tangant, et ejus existimationem laedant: quod etiamnum hodie δι' ἄγνοιαν saepe fit, non secus quam si quis trucidet alterum, ἐσφαιρῶσθαι τὸ λελογχωμένον δόρυ νομίσας, ut philosophus loquitur. Ex hac porro inscriptione apparet haec Procli quae sequuntur excerpta esse tantum. Quod si integer ad nos hujus hominis pervenisset commentarius, magno nos onere sublevasset, qui nunc aliquid nobis praestare videamur, cum voluntatem afferimus, et studium bonis scriptoribus succurrendi. Multum interim illi debemus, qui haec nobis reliqua esse voluerit, quanquam rem pessimi instituti aggressus est, quod ejusmodi virum ἐξέτεμε. HEINSIUS.

Ver. 1. a) Pleraque eorum quae ad hunc versum apponuntur supra legimus in Procli Prolegomenis; MSS. utrobique exhibent. Ab hoc loco incipit commentarius in cod. Paris. B. praefixo lemmate, Πρόκλου διαδόχου τῶν Πλατωνικῶν σχόλια εἰς τὰ ἔργα καὶ ἡμέρας Ἡσιόδου.

b) εἴ πως B. Gr. et mox καὶ abest B. Gr. θεῖα C. Τὸ μὲν φαινόμενον usque ad τοῦ ε̄ εἰς ō adduntur ex C. D. Ineptum est nominis Ἡσίοδος etymon. Ex Scholio veteri ad h. l. fortasse excerptum est illud apud Etymolog. M. p. 458, 20. Mox θέλγοντι καὶ κατέχοντι, an θέλγειν καὶ κατέχειν? Gr.

τέραν ὠφέλειαν ἡ τοιαύτη παραίνεσις. Πρὸς τὸν λαὸν οὖν ἀποτείνει τὸν λόγον, καὶ φοβοποιεῖ, ὅτι μέγας ἐστὶν ὁ Ζεὺς, καὶ ῥᾳδίως τοὺς κακοὺς κακοποιεῖ, καὶ τοὺς ἀγαθοὺς εὐδαι-
22 μονίζει, καὶ δεῖ αὐτὸν φοβεῖσθαι, καὶ μὴ δοκεῖν ἀσθενῆ, καὶ μὴ ὁρᾶν τὰ πρακτέα. Ἡσίοδος) ἐκ τοῦ ἧσις ἡ εὐφροσύνη, καὶ τοῦ εἴδω τὸ λέγω γίνεται Ἡσίοδος, ἐκβολῇ τοῦ ῑ καὶ τροπῇ τοῦ ε̄ εἰς ō.] Μέτρῳ δὲ τοιούτῳ διατέθειταί τὰς τῶν ἀκροατῶν ψυχὰς θέλγων καὶ κατέχων εἰς τὴν πρὸς [c]) αὐτὸ φιλίαν. Οὐκ ἐξ Ἑλικῶνος δὲ τὰς Μούσας ἀλλ' ἐκ τῆς Πιερίας καλεῖ, ἵνα μὴ [d]) πάντως τὰ οἰκεῖα σεμνύνων φανῇ, ἀλλὰ καὶ τὰ παρ' ἄλλοις ὄντα ἀγαθὰ τῶν οἰκείων [e]) προτιμώμενος. Ἄλλως τε, εἰ γὰρ καὶ ἐν τῷ Ἑλικῶνι χορεύειν λέγονται, ἀλλ' οὖν ἐν τῇ Πιερίᾳ ταῦτά φασι γεγενῆσθαι.

ΜΟΥΣΑΙ. Μούσας δὲ ὠνομάσθαι [f]) λέγουσιν ἀπὸ μῶσθαι τοῦ σημαίνοντος τὸ ζητεῖσθαι, αὗται γὰρ παιδείας [g]) παρεκτικαί· διὰ τοῦτο Μούσας ὠνόμασαν οἱ πρῶτοι τὰ ὀνόματα θέντες. Ὦ Μοῦσαι αἱ ἐκ τῆς Πιερίας ὁρμώμεναι, καὶ ταῖς ὑμετέραις ᾠδαῖς καὶ φωναῖς τὰ πάντα δοξάζουσαι, δεῦτε δὴ τὸν Δία προσείπατε τὸν [h]) ὑμέτερον πατέρα. Πατέρα δὲ τῶν Μουσῶν τὸν Δία εἰρήκασι, καὶ μητέρα τὴν Μνημοσύνην, διότι νοητικὸν εἶναι δεῖ, καὶ μνημονικὸν τὸν παιδευθησόμενον· ὧν τὸ μὲν μνημονευτικὸν δίδωσιν ἡ Μνημοσύνη, τὸ δὲ νοητικὸν ὁ Ζεύς. PROCLUS.

Μοῦσαι] Παρὰ τὸ μῶ τὰ ζητῶ αἱ πάντα ζητοῦσαι καὶ ἀνευρίσκουσαι τῇ ἑαυτῶν ἀγχινοίᾳ· ἢ αἱ παρὰ πάντων ζητούμεναι, αὗται γάρ εἰσιν αἱ γνώσεις· ἢ αἱ μαιοῦσαι [i]) ἐκτρέφουσαι τοῖς παιδεύμασιν. [k]) Ἐπεὶ δέ τις ἤρετο ἀπορῶν, τίνος ἕνεκα φασὶν

c) αὐτῶν Dorv.
d) πάντα Dorv. B. Gr.
e) προτιμώμενα Dorv. Mox εἰ γὰρ καί. Καὶ ex B. Dorv. additum.
f) λέγουσιν deest Dorv. Mox μᾶσθαι B. Plato Cratyl. p. 406. A. Τὰς δὲ Μούσας τε καὶ ὅλως τὴν μουσικὴν ἀπὸ τοῦ μῶσθαι, ὡς ἔοικε, καὶ τῆς ζητήσεώς τε καὶ φιλοσοφίας τὸ ὄνομα τοῦτο ἐπωνόμασε. Alia etyma vide apud Etymologum M. p. 589, 40. quocum confer Helladium Photii Biblioth. p. 1581. ed. Steph. 1612.
g) παρεκτικαὶ εἰσί· αὕτη δὲ ζητεῖν ηὐξήθη τοῖς ἀνθρώποις· διὰ τοῦτο Μούσας αὐτὰς ὠν. οἱ πρώτως Dorv. et mox ᾠδαῖς καὶ desunt.
h) καὶ ἐν ἡμῖν ὑμνοῦσαι τὸν ἴδιον πατέρα Dorv.
i) ἐντρέφουσαι F. Caeterum e sequentibus multa, etsi in MSS. Tzetzi tribuuntur, Procli commentario sublecta fuisse suspicor. Μοῦσαι — παιδεύμασιν om. Trinc.
k) ἐπειδὴ Trinc. εἴρετο Trinc. ἕνεκεν Trinc. H. ἐννέα τὰς Μούσας

ἐννέα τὰς Μούσας εἶναι, καὶ οὐ πλείονας ἢ ἐλάσσονας, φέρε, ὡς οἷον ἡμῖν, πρῶτον τοῦτο ἐπιλυσώμεθα· εἶτα δείξωμεν μηδὲ ἐννέα μόνας εἶναι τὰς Μούσας. [l]) Μετὰ δὲ τὰς τούτων μυθικὰς ἱστορίας, ἰσχυρῶς καὶ σαφεστάτως καὶ λεπτοτάτως ἀλληγορήσωμεν, τίς τε ὁ Ζεὺς, καὶ Μοῦσαι, καὶ Πιερία, καὶ Ἑλικών· [m]) καὶ ἐπιλυσόμεθα ἔπειτα, τίνος ἕνεκα ἐν τῇ Θεογονίᾳ ἐξ Ἑλικῶνος τας Μούσας καλεῖ, ἀπὸ δὲ τῆς Πιερίας ἐνταῦθα. Ἐννέα εἰσὶν αἱ [n]) Μοῦσαι, ὅτι τετράγωνος καὶ στερεὸς ὁ ἐννέα ἐστὶν 23 ἀριθμός. Τοιαῦται δὲ καὶ αἱ γνώσεις, [o]) διότι ὁ ἐννέα, πολλάκις. πολλά ἐστιν· ὁ τρεῖς γὰρ ἀριθμὸς ἀρχὴ πλήθους, ὁ δὲ ἐννέα, τρὶς τρεῖς, ἤγουν πολλάκις πολλὰ, καὶ γνώσεις δὲ μυρίαι εἰσί. Ἄλλως τε οὐδὲ ἐννέα [p]) μόνον εἰσὶν αἱ μυθικαὶ λεγόμεναι Μοῦσαι, καθὼς σύ τε καὶ ἕτεροι τοῦτο δοξάζετε. ἀλλ' Εὔμηλος μὲν ὁ Κορίνθιος τρεῖς φησὶν εἶναι Μούσας, θυγατέρας Ἀπόλλωνος, [q]) Κηφισοῦν, Ἀπολλωνίδα, Βαρυσθενίδα. Ἄρατος δὲ ἐν τῇ πέμπτῃ τῶν Ἀστρικῶν, τέσσαρας λέγει, Διὸς τοῦ αἰθέρος, καὶ Πλουσίας νύμφης, Ἀρχὴν, Μελέτην, Θελξινόην, καὶ Ἀοιδήν. Τινὲς δὲ πέντε αὐτὰς εἶναί φασι, καὶ ὀνόματα ἔχειν τῶν πέντε αἰσθήσεων. Ἐπίχαρμος δὲ ἐν τῷ τῆς Ἥβης Γάμῳ ἑπτὰ λέγει, θυγατέρας Πιέρου καὶ Πιμπληΐδος νύμφης· [r]) Νειλοῦν, Τριτώνην, Ἀσωποῦν, Ἑπταπόλην, Ἀχελωΐδα, [rr]) Τιτόπλουν, καὶ Ῥοδίαν. Παρὰ δὲ Ἡσιόδῳ ἐν Θεογονίᾳ ἐννέα λέγονται εἶναι· [s]) Κλειὼ, Θάλεια, Εὐτέρπη, Τερ-

εἶναι φασιν, καὶ οὐχὶ πλείονας ἢ ἐλάττονας, φέρε, τοῦτο πρῶτον ἐπιλυσαίμεθα Trinc. δείξομεν μὴ δὲ ἐννέα μούσας εἶναι Heinsius. Dedimus ex Trinc. et MSS.

l) Μετὰ δὲ τοῦτο ἀλληγορήσωμεν Trinc, mediis omissis.

m) καὶ ἐπιλυσόμεθα desunt Trinc.

n) Μοῦσαι, ὦ τοῦτο ζητῶν, ὅτι F. H. Bas.

o) ἢ ὅτι F. H. Trinc. Mox τρεῖς F. H. τρία edd.

p) μόναι H. μυθικαὶ λεγόμεναι desunt Trinc. καθὼς — δοξάζετε desunt Trinc.

q) Κηφισοῦν Απ. Βαρ. et mox Ἀρχὴν Μ. Θ. κ. Α. desunt Trinc. Κηφιδοῦν H. κηφιδουν (sine acc.) F. θορυσθενίδα F. ἐρυσθενίδα H. ὠρυσθενίδα E. De Eumelo consulatur Ruhnkenius Ep. Cr. II. p. 221. necnon Heynii index Scriptorum ad Apollod. laudatorum p. 356. De Musarum numero et nominibus multa habet Davisius ad Ciceronem Nat. D. III. 21. Cum Tzetze in plerisque consentit Eudocia p. 293. sq.

r) Νειλοῦν ad Ῥοδίαν desunt Trinc. Ἑπταπόρην, χελώιδα, τιτόπλουν, ὤννιν καὶ ῥοδίαν F. Ἑπταπόρην G. H.

[rr) Vid. Hermann. de Musis fluvial. Epicharmi et Eumeli p. 4. qui Τιτόπλουν in Πακτωλοῦν mutandum esse suspicatur. *ED. LIPS.*]

s) Κλειὼ ad Καλλιόπη desunt Trinc.

ψιχόρη, Ἐρατὼ, Πολύμνια, Μελπομένη, Οὐρανία, καὶ Καλλιόπη. Καὶ αἱ μὲν τρεῖς εὗρον τοὺς μουσικοὺς τρεῖς τόνους, τὸν ἁδρὸν, μέσον, καὶ ἰσχνόν· τὰς τρεῖς προσῳδίας, ὀξεῖαν, βαρεῖαν, καὶ περισπωμένην· τοὺς τρεῖς χρόνους, ἐνεστῶτα, παρεληλυθότα, καὶ μέλλοντα· καὶ τὰ τρία πρόσωπα, πρῶτον, δεύτερον, τρίτον· καὶ τοὺς τρεῖς ἀριθμοὺς, καὶ τὸ τρίγωνον τῶν ἀστέρων, καὶ [t]) πολλὰ τοιαῦτα, ὅσα ὑπὸ τὰ τρία ἀνάγονται. Αἱ δὲ τέσσαρες τὰς τέσσαρας διαλέκτους· Ἰάδα, Ἀτθίδα, Δωρίδα, Αἰολίδα, καὶ πολλὰ τῶν ὑπὸ τὰ τέσσαρα. Αἱ πέντε δὲ [v]) εὗρον τὰς πέντε αἰσθήσεις, καὶ τὰ ὅμοια. [4]) Αἱ δέ γε ἑπτὰ τὴν ἑπτάχορδον λύραν καὶ τὰς ἑπτὰ ζώνας, καὶ τοὺς ἑπτὰ [w]) ἀστέρας, καὶ τὰ ἑπτὰ πρὸς τούτοις φωνήεντα, καὶ ἕτερα τοιαῦτά τινα. Αἱ δ' ἐννέα εὗρον, Κλειὼ ἱστορίαν, Θάλεια φυτουργίαν, Εὐτέρπη αὐλοὺς, [5]) Μελπομένη ᾠδὴν, Τερψι-
24 χόρη χορείαν, Ἐρατὼ γαμικὰ καὶ ὄρχησιν, Πολύμνια γεωρ-

t) πολλὰ τοιαῦτα desunt Trinc.

v) εὗρον τὸ λέγειν τὰς Trinc. F. H.

4) αἱ δέ γε ἑπτὰ τὴν ἑπτάχορδον λύραν, καὶ τὰς ἑπτὰ ζώνας, καὶ τοὺς ἑπτὰ πλάνητας] Ita scripsimus, potius quam ut emendata editio habebat, ἑπτὰ ἀστέρας. Heinsius.

w) ἀστέρας. Sic E. F. H. Bas. πλάνητας Trinc. Heins. προς τούτοις om. Trinc. et mox τινα.

5) Μελπομένη ᾠδὴν.] Id est τὴν τραγῳδίαν. Docent magistri veteres ᾄδειν esse τὸ τραγῳδεῖν, et vice versa τραγῳδεῖν τὸ ᾄδειν, ut et τὸ μελίζειν: ita ut glossatores posterioris praecipue aetatis omnes inter τραγῳδεῖν et ᾄδειν non distinguant. Apud Theocriti quidem interpretem saepe exponitur ᾄδειν, τραγῳδεῖν: est enim τραγῳδεῖν quidlibet canere. Sic in loco illo Theocriti, Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἄγκας ἔχων τύ. interpres reddit, ἀλλ' εἴη μοι τὸ ὑπὲρ τὴν πέτραν ταύτην τραγῳδεῖν, ἔχων σὲ τὸν Μίλωνα: cum simpliciter sit μέλπειν. Qui interpres etiam si alibi vulgo nihilo doctior est, apparet tamen, vel ex autoribus, quos optimos adducit saepe, magna eruditio, quae vel ex Amarantho, vel alio aliquo Theocriti interprete petita est. Alibi, μελικτὸς, inquit, ὁ μὴ εἰδὼς ἐργάζεσθαι, τραγῳδητής. Homines ociosos et qui tantum cantui vacabant, τραγῳδοὺς dicebant. Ioannes Diaconus ad Clypei illa verba: Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ, τὸ, inquit, ἐκώμαζον ἢ ἐτραγῴδουν ἀκολουθοῦντες τῷ αὐλῷ: ubi simpliciter ἀντὶ τοῦ ᾖδον posuit. Melpomene igitur θεὸς τραγῳδίας dicta est, quatenus invenit simpliciter cantum; quod puto viris doctis annotatum non esse: postea ab argumento ejus carminis τῶν γοερῶν θεὸς facta fuit; unde Horatio, *Melpomene lugubris cantus* dicitur, in illo: *Quis desiderio sit pudor aut modus Tam cari capitis? desine lugubris Cantus Melpomene.* ——— *lugubris cantus Melpomene,* ut Graeci dicunt, Μελπομένη γοερῶν ᾀσμάτων, nimirum θεός. Quem locum ita legendum esse non ut vulgo sumitur, et intelligendum, nuper in lectionibus nostris ad Horatium ostendimus, monente nos illustri Scaligero. De quo loco plura suo tempore. Heinsius.

γίαν, Οὐρανία ἀστρολογίαν, Καλλιόπη ποίησιν. Ὅθεν καὶ διὰ τὰς τοιαύτας εὑρέσεις θεὰς αὐτὰς ἐμυθεύσαντο, καὶ Μούσας ἀπὸ τῆς γνώσεως μούσης ἐκάλεσαν. Καὶ νῦν δὲ πᾶς ἀνὴρ καὶ πᾶσα γυνὴ ζητητικοὶ τινῶν καὶ [x]) ἐφευρετικοὶ, μουσικοὶ καὶ μοῦσαι λεχθήσονται· ὥσπερ καὶ πᾶς τέχνης μουσικῆς ἐπιμελούμενος. Καὶ γὰρ τῷ [y]) φιλογεώργῳ ἐκείνῳ Διονύσῳ Ὀσίριδι συνείποντο τὴν γεωργίαν διδάσκοντι αὐλητρίδες ἐννέα [z]) μουσικὸν ᾄδουσαι, ἅσπερ Μούσας ἐκάλουν. [a]) Τινὲς δὲ ἕτεροι ταύτας τὰς ἐννέα φασὶ πρώτας Μούσας γεγονέναι· Καλλιχόρην, Ἑλίκην, [b]) Εὐνίκην, Θελξινόην, Τερψιχόρην, Εὐτέρπην, Εὐκελάδην, Δῖαν, Ἐνόπην· ἀγνοοῦντες, ὡς ἔοικεν, ὅπερ νῦν μοι ἐῤῥέθη· ὅτι πᾶς [c]) ἀνὴρ ἐφευρετικὸς τέχνης τινὸς, ὁμοίως δὲ καὶ πᾶσα γυνὴ, μουσικοὶ καὶ μοῦσαι καλοῦνται. Ὅθεν οὐ μόναι, ὡς οὗτοι φασίν, ἀλλὰ καὶ μυρίαι ἕτεραι εὑρεθήσονται. Καί τινες μὲν πάσας ἃς ἔφασαν Μούσας, παρθένους εἶναί φασι· τινὲς δὲ τὰς λοιπὰς μόνας, χωρὶς τῶν παρ' Ἡσιόδῳ ἐννέα. Τούτων γὰρ Κλειοῦς μὲν καὶ Μάγνητος, Ἰάλεμος καὶ Ὑμέναιος· 6 [d]) Εὐτέρπης δὲ καὶ Στρυμόνος Ῥῆσος, **25**
ἢ κατά τινας Τερψιχόρης· 7) Ἀπόλλωνος δὲ τοῦ Κάρβαντος

x) εὑρετικοὶ Trinc. μοῦσαι πάντως λεχθήσονται F. καὶ πάντως μοῦσαι E.

y) φιλογεώργῳ. Sic E. F. G. Trinc. φιλοέργῳ Bas. Heins.

z) μουσικαὶ E. H. μοῦσαι καὶ F.

a) τινὲς δὲ ἕτεροι ad κυριώτερον ἄκουε desunt Trinc.

b) Εὐνείκην F. H. Paullo supra Ὀσειρίδι E.

c) ἀνὴρ additum ex F. τὰ νῦν H. ταννῦν Bas. Τὸ νῦν ed. Heins.

6) Εὐτέρπης δὲ καὶ Ἀστρυμόνος Ῥῆσος] Scribo, Εὐτέρπης δὲ καὶ Στρυμόνος Ῥῆσος. Rhesus enim Strymonis fluvii et Euterpes habebatur. Apollodorus περὶ θεῶν primo: Εὐτέρπης δὲ καὶ ποταμοῦ Στρυμόνος Ῥῆσος, ὃν ἐν Τροίᾳ Διομήδης ἀπέκτεινεν. Alii volunt Terpsichores et Strymonis: autor argumenti in Rhesum, Ῥῆσος μὲν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης Μουσῶν μιᾶς: et ne de hoc quisquam dubitet, ipse autor gravissimae illius tragoediae ita introducit Hectorem Rheso loquentem: Παῖ τῆς μελῳδοῦ μητέρος, Μουσῶν μιᾶς, Θρηκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν Τἀληθὲς αἰεὶ, κοὐ διπλοῦς πέφυκ' ἀνήρ. Poetae est filius non Strymonis, sed Eïonëi, Iliad. κ. Ἐν δέ σφιν Ῥῆσος βασιλεὺς, πάϊς Ἠϊονῆος. Eustathius: Ἰστέον δὲ καὶ ὅτι τὸν ῥηθέντα Ῥῆσον, Ὅμηρος μὲν, Ἠιονέως ἱστορεῖ, ὡς δεδήλωται· οἱ νεώτεροι δὲ, Στρυμόνος, τοῦ κατὰ Θράκην φασὶ ποταμοῦ, καὶ Εὐτέρπης Μούσης υἱόν. Eadem interpres Homeri antiquus, brevium Scholiorum autor. HEINSIUS.

d) Στρυμόνος. Sic G. H. τρυμόνος F. ἀστρυμόνος Bas. Heins.

7) Ἀπόλλωνος δὲ τοῦ Κάρβαντος καὶ Θαλείας Παλαίφατος] Quis sit Carbas Apollo, nondum cum animo investigare potui: nec fuisse Deum eo nomine cultum unquam, existimare possum. Locus meo

καὶ Θαλείας Παλαίφατος· Οὐρανίας καὶ Ἀπόλλωνος, ἢ Πιέρου γηγενοῦς, Λῖνος· Μελπομένης δὲ, ἢ κατά τινας Τερψιχόρης καὶ Ἀχελώου, Σειρῆνες· Τερψιχόρης δὲ, ἢ Μελπομένης καὶ Λίνου τοῦ Ἀπόλλωνος, ἢ κατά τινας [e]) Λάρου, Μέλπος· Ἐρατοῦς δὲ καὶ Ἀεθλίου τοῦ Ἐνδυμίωνος, ἢ Φιλάμωνος, Θάμυρις· Πολυμνίας δὲ καὶ Κελεοῦ, εἴτε Χειμάῤῥου τοῦ Ἄρεος, Τριπτόλεμος· Καλλιόπης δὲ καὶ Οἰάγρου Ὀρφεύς. Ἀλλὰ τί μακρηγορεῖν [f]) ἀκαίρως ἡμᾶς ἀναγκάζεις; καὶ τὰς ἀκοὰς τῶν νέων θολοῦν, ἀπεραντολογίαν εἰκαίαν, καὶ Μουσῶν κατάλογον γράφοντας, καθάπερ εἰ μὴ Τζέτζης ἐτύγχανον, οἰκονομίαν εἰδὼς, καὶ σαφήνειαν ἀσπαζόμενος, καὶ χρήζων πλεῖστα γράφειν καὶ καίρια, βραχέσι συγγράμμασιν, ἀλλ᾽ οὐ βραχέα καὶ φαῦλα περινενοημένοις ἐκφέρειν καὶ [g]) μακροτάτοις ῥήμασι· καθάπερ τινὲς οἰηματίαι, καὶ κραύγασοι. Ἀλλ᾽ ἰδού σοι πειθόμενος ἐξημάρτηκα, καὶ τὸν λόγον τοῖς λήροις Μουσῶν καταλόγοις [h]) ἐκτέτευχα. Νῦν δὲ ὥσπερ [i]) ἔμελλον βραχυλογήματι Τζετζικῷ, τὰ περὶ τῶν ψευδωνύμων τούτων Μουσῶν, καὶ
26 ἕτερα πλείονα συμπεριλαβὼν, κεφαλαιωδέστερον ἐρῶ· περὶ δὲ τῶν ἀληθῶς καὶ ὄντως οὐσῶν γράφων Μουσῶν, τότε δικαίως τὸν λόγον παρεκτείναιμι. Τὸ δὲ νῦν [k]) ἀκαίριον πολυλόγημα, σὸν λογιζέσθω ἁμάρτημα. Καὶ δὴ κατ᾽ ἀνάληψιν, [l])περὶ τῶν φαύλων τούτων Μουσῶν κεφαλαιωδέστερον καὶ κυριώτερον ἄκουε.

Πολλὰς μὲν οὖν, [m]) ὡς εἴρηται, πολλοὶ καὶ διαφόρους ἔφασαν εἶναι τὰς Μούσας τοῖς ἔργοις, καὶ τοῖς ὀνόμασι. Καὶ

judicio corruptus et transpositus; scribo: Ἀπόλλωνος δὲ καὶ Θαλείας οἱ Κορύβαντες, καὶ Παλαίφατος Corybantas hujus Musae et Apollinis filios fuisse notum ex Apollodori primo περὶ θεῶν. Isacius frater hujus, in quo versamur, ad obscurum Tragicum: οἱ δὲ Κορύβαντες Θαλείας καὶ Ἀπόλλωνος. Saepe autem idem dicunt, quod aliquot locis observavimus. Θαλείας inquit, καὶ Ἀπόλλωνος ἐγένοντο Κορύβαντες. De Palaephato autem apud Eustathium est Iliad. κ. et brevem Homeri interpretem: apud quem male scribitur hoc nomen; item infra apud Tzetzem. Sed non vacat emendare omnia quae corrupta sunt: neque laureolam ex hoc mustacco quaerimus. HEINSIUS.

e) ῥάνου F.

f) ἀκαίρως. Sic G. H. Antea ἀναγκαίως.

g) μακροτέροις F. μακροτέροις τοῖς H. Mox κράποι F. pro κραύγασοι.

h) ἐκτέτηκα F. H. An ἐκτέτυκα? Graev.

i) •νοῦν ἔμελλον Bas. mox ἐξερῶ G.

k) ἀκαίριον F. H. Antea ἄκρον.

l) καὶ δὴ κατ᾽ ἐμὲ τῶν φαύλων τούτων μουσῶν κεφαλαιωδέστερον ἄκουε F. καὶ δὴ ad ἄκουε om. H.

m) ὡς εἴρηται ex Trinc.

τὰς μὲν εἶναι παρθένους φασί· τὰς δὲ παρ' Ἡσιόδῳ ἐννέα, καὶ παῖδας τεκεῖν, ἃς καὶ Διὸς λέγουσι θυγατέρας, ἐκ Μνημοσύνης αὐτῷ γεννηθείσας ἐν Πιερίᾳ, ἐννέα ἡμέρας [n]) συγκαθευδήσαντος αὐτῇ. Αἱ γεννηθεῖσαι μὲν ἐν Πιερίᾳ, περὶ τὸν Ἑλικῶνα χορεύουσι, καὶ τὸν αὐτῶν πατέρα γεραίρουσι. Καὶ περὶ μὲν τῶν λοιπῶν Μουσῶν [o]) ὧνπερ φασὶν, ἴσθι γυναῖκας ταύτας εὑρετικὰς γενέσθαι τεχνῶν, καὶ βιωφελεστάτων τινῶν· καὶ διὰ τοῦτο Μούσας κληθῆναι, ἀπὸ τῆς ὡς ἀληθῶς Μούσης, τῆς γνώσεως. Ὅθεν καὶ [p])μυρίας Μούσας ἄν τις καλέσειε, καὶ οὐ μόνας ὅσας ἐκεῖνοι, εἴπερ εὑρίσκοι τινὰς εὑρέτιδας βιωφελῶν τινῶν καὶ τεχνῶν. Αἱ δὲ παρ' Ἡσιόδῳ [q])ἐννέα λεγόμεναι οὔτε ἐννέα, οὔτε γυναῖκες [r])φθαρταὶ, ἢ θεαί· ἀλλ' οὐδὲ παῖδας τίκτειν ἠπίσταντο. Ἀλλὰ Μοῦσα μέν ἐστιν ἡ διὰ παιδεύσεως γνῶσις, οὐχ ἡ αὐτοφυὴς καὶ ἀδίδακτος φρόνησις. Μοῦσα δὲ λέγεται, παρὰ τὸ ὑπὸ πάντων ἢ τῶν πλειόνων ζητεῖσθαι, ἢ παρὰ τὸ περὶ πολλῶν ζητεῖν, καὶ πολυπραγμονεῖν. Συλληπτικῶς δὲ καὶ πληθυντικῶς ἡ Μοῦσα, Μοῦσαι [s])ἐκλήθησαν· καὶ ἐννέα μὲν εἶναι μυθεύονται, ὡς τρὶς τρεῖς, ἤγουν πολλάκις πολλαὶ, [t]) ὡς εἴρηται· ὁ γὰρ τρεῖς ἀριθμὸς, πλήθους ἀρχή. Καὶ γὰρ ἡ καθόλου γνῶσις μονοειδής ἐστι, καὶ ἁπλῆ· ἀλλ' οὖν ταῖς κατὰ μέρος [v])ἐπιγνώσεσί τε καὶ ἐφευρέσεσιν εἰς ἄπειρον παρεκτείνεται. [w]) Αἱ γὰρ ἐν ἀνθρώποις γνώσεις, ἀμυδραί τε καὶ μερικώταται, καὶ οὐχ οἵα ἡ παρὰ τῷ θεῷ ἑνιαία τε καὶ ὁλόκληρος. Γεννῶνται δὲ αἱ παρ' ἡμῖν αὗται γνώσεις [x]) αἱ Μοῦσαι [8]) ἐν τῇ Πιερίᾳ, τῷ τοῦ Διὸς, ἤγουν τοῦ νοὸς οἰκητη-

n) συγκαθευδήσαντος E. F. H. συγκαθεύδοντος Trinc. συγκαθεύδοντι Bas. Heins.

o) ὧνπερ φασὶν om. Trinc. qui mox habet εὑρέτιδας, et ἀληθοῦς pro ὡς ἀληθῶς.

p) μυρίας. Ita F. H. μυριάδας E. μυρίας μυριάδας Bas. Heins. ἀπείρους Trinc. Καὶ οὐ ad τεχνῶν desunt Trinc.

q) ἐννέα deest Trinc.

r) φθαρτικαὶ H. et mox ἐπίσταντai. Idem paullo post αἰτεῖσθαι pro ζητεῖσθαι.

s) ἐκλήθη Trinc. ubi mox om. μὲν et τρὶς τρεῖς ἤγουν.

t) ὡς εἴρηται om. E. F. H. Bas. ὁ γὰρ — ἀρχὴ om Trinc. Καὶ γὰρ — ἁπλῆ om. Bas.

v) περιγνώσεσι Bas.

w) ἡ γὰρ ἐν ἀνθρώποις γνῶσις ἀμυδρά τε καὶ μερικωτέρα, καὶ οὐχ οἵα ἡ περὶ τῷ H.

x) αἱ Μοῦσαι om. Trinc.

8) ἐν τῇ Πιερίᾳ, τῷ τοῦ Διὸς, ἤγουν τοῦ νοὸς οἰκητηρίῳ] Hanc glossam, sicut illam quae paulo post sequitur, οὕτω τὸ τοῦ νοὸς οἰκητήριον ἐγὼ Πιερίαν καλῶ, τὰς βίβλους δὲ Ἑλικῶνα, et similes, quales multae occurrent, ne vitiosa quidem nuce dignas arbitror. Haec

ρίῳ, τῷ περὶ τὴν κεφαλὴν ἡμῶν τόπῳ· ἔνθα τὰ πίονα καὶ πι-
27 μελῆ, καὶ ἀγχινούστατα ῥέουσι, τοῦ Διὸς ἐννέα ἡμέρας μιγέντος τῇ Μνημοσύνῃ· τουτέστι τοῦ νοὸς πολλάκις ἀναπολήσαντος, καὶ μνημονεύσαντος, ἃ [y]) ἀνέγνω. Γεννηθεῖσαι δ' αἱ γνώσεις [z]) αὗται ἐν τῇ τοιαύτῃ Πιερίᾳ, οὐκ ἐν τῷ ὄρει, χορεύουσιν ἐν τῷ Ἑλικῶνι τὸν αὐτῶν πατέρα Δία ὑμνοῦσαι. Τουτέστιν, ἐγγραφεῖσαι ταῖς βίβλοις ἑλίσσονται, καὶ περιφέρονται πανταχοῦ, δίκην χορείας κηρύττουσαι τὸν αὐτὰς γεννησάμενον νοῦν. Οὕτω τὸ τοῦ νοὸς οἰκητήριον ἐγὼ Πιερίαν καλῶ, τὰς βίβλους δὲ [a]) Ἑλικῶνα, ἐν αἷς περιχορεύουσιν αἱ Μοῦσαι γνώσεις καὶ τὰ συγγράμματα. Οὐ γὰρ Ἑλικῶνα ὄρη καλεῖν ἐνθάδε [b]) γινώσκω. Καὶ σφαίρας ἐννέα, ἐν αἷς αἱ Μοῦσαι κατὰ τὸν Πρόκλον βαδίζουσιν, οὐ δεδοικυῖαι τὸν ὄλισθον. Ἀλλ' [c]) ἐπεὶ διεξήλθομεν περὶ Διὸς καὶ Μουσῶν καὶ Πιερίας καὶ Ἑλικῶνος, εἴπωμεν καὶ [d]) πῶς Μουσῶν ἔφασαν παῖδας τούς, οὕσπερ εἰρήκαμεν. Ἰάλεμον μὲν, καὶ Ὑμέναιον, Κλειοῦς [e]) Μούσης παῖδας φασὶν, ἤγουν ἱστορικῆς γνώσεως, παρὰ τὸ κλείω, τὸ δοξάζω, λεγομένης· [f]) ὅτι ὁ μὲν τὰς θρηνώδεις, ὁ δὲ τὰς [g]) ἐπιθαλαμίους

tamen sola causa est cur Grammaticus hic intolerabili fastu supra omnes scriptores quotquot antecesserant se libere efferre audeat. Hinc illa: *καθάπερ εἰ μὴ Τζέτζης ἐτύγχανον*: et, *νῦν δὲ ὥσπερ ἔμελλον βραχυλογήματι Τζετζικῷ, τὰ περὶ τῶν ψευδωνύμων τούτων Μουσῶν, καὶ ἕτερα πλείονα συμπεριλαβὼν, κεφαλαιωδέστερον ἐρῶ* etc. Graeculae cujusdam ambitionis *καὶ κορύζης* plena. Sic frater hujus Isacius interdum cum allegorias suas proponit, calcat, prosternit, conspuit omnes e quibus tantum profecerat scriptores, ut sine iis ne legere quidem patienter totum Lycophronis poema potuisset: idem tamen quam prudenter scripsit alibi: *Τὰς δὲ ἀλληγορίας εἰ μή που τινὰς ἀναγκαίας, διὰ τὸ πλῆθος τῶν ἱστοριῶν ἐατέον, ὅτι οὐδὲ πρέπον ἐστὶν ἀλληγορεῖν ἐνταυθοῖ, οὗτος γὰρ μυθικῶς πάντα γράφει.* Adolescentes meminerint aliquid se scire si haec ignorent quae noster hic Thraso tanto cum fastu venditat; vir doctissimus quidem, caetera, quod de hero suo Plautinus Palaestrio, *gloriosus*, *impudens*, *stercoreus*. HEINSIUS.

y) *ἀνέγνωκε* E. G. H. Bas. *ἀνέγνωμεν* F.

z) *αὗται* deest Bas. E. H. *οὐκ ἐν τῷ ὄρει* desunt Trinc. et mox *ἐν τῷ Ἑλικῶνι χορεύουσι καὶ τ. α. π. Δ. ὑμνοῦσι.* Trinc.

a) *Ἑλικῶνας* E. H. Trinc. Mox *οὐ γὰρ* ad *ὄλισθον* om. Trinc.

b) *γινώσκω* E F. *γινώσκουσι* Bas. Heins. *λαλεῖν* pro *καλεῖν* E.

c) *ἐπειδὴ* E.

d) *τίνας μουσῶν λέγουσι* Trinc. Mox *εἰρήκειμεν* E. *εἰρήκειν* F. *τοὺς οὕσπερ εἰρήκαμεν* om. Trinc.

e) *Μούσης* om. Trinc.

f) *ὅτι.* Sic E. F. G. H. Trinc. *ἤγουν* Bas. Heins.

g) *ἐπιθαλαμίους καὶ γαμικάς.* Sic H. *ἐπιγαμίους καὶ γαμικὰς* E. F. *ἐπιθαλαμίους* G. *ἐπιθαλαμίους καὶ ἰαμβικὰς* Trinc.

τὰ γαμικὰς ἐφεῦρεν ᾠδάς. Ῥῆσον δὲ τῆς Εὐτέρπης, ὅτι τῶν πρὸς κόσμον καὶ ὡραιότητα σώματος καὶ [h]) στολισμῶν εὐπαρύφων εὑρετὴς ἐγεγόνει· ὡς τὸ κόσμιον τούτου ἐν τοῖς πολέμοις παρίστησιν Ὅμηρος, λέγων,

Ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται. 28

καὶ τὰ λοιπὰ, ἵνα μὴ μακρολογῶ. Θαλείας δὲ παῖς ὁ Παλαίφατος λέγεται, ὡς τὰ περὶ [i]) φυτουργίας συγγεγραφώς. Λῖνος δὲ Οὐρανίας, ὡς τὰ περὶ οὐρανοῦ καὶ κόσμου παντὸς συνταξάμενος. [9]) Σειρῆνες δὲ καὶ Μέλπος τῆς Τερψιχόρης καὶ [k]) Μελπομένης, ὡς χορείας καὶ μολπῶν εὑρεταί. Ἐρατοῦς δὲ Θάμυρις, ὡς πρῶτος ἐρωτικὰ συνταξάμενος. Πολυμνίας δὲ ὁ Τριπτόλεμος, ὡς γεωργίαν εὑρὼν τὴν πολλοῖς ὑμνουμένην, [l]) ἤτοι τὴν ποθητέαν καὶ πολυμνήμονα. Καλλιόπης δὲ Ὀρφεὺς, ὡς [m]) καλλιεπείας ποιητικῆς εὑρετὴς, καὶ ὕμνων τῶν εἰς τοὺς θεούς. Ἀλλὰ καὶ τοῦτο πάλιν τὸ μακρολόγημα σόν ἐστιν· ἄνωθι γὰρ παρὰ σοῦ προτραπεὶς ἁπάσας τὰς μούσας εἰπεῖν, ἐπεὶ καὶ τούτων παῖδας κατέλεξα, πρέπον ἐδόκει μοι, καὶ περὶ τούτων ἀλληγορεῖν. Ἐπεὶ δὲ καὶ περὶ τούτων ἠλληγορήσαμεν, φέρε καὶ τοῦτο ζητήσωμεν, [10]) διὰ τί ἀπὸ τῆς Πιερίας ἐνταῦθα τὰς Μούσας καλεῖ· οὐ μέν τοι γε ἀπὸ τοῦ Ἑλικῶνος, ὡς ἐν τῇ Θεογονίᾳ ποιεῖ, καί τοι γε ὁ ποιητὴς ὢν Ἑλικώνιος, ὡς

h) *στολισμὸν — ἐφευρετὴς* Trinc. *ὡς τὸ κόσμιον* ad *μακρολογῶ* om. Trinc. *κἂν* pro *ἐν* E. H.

i) *φυτουργίας* H. *φυτουργίαν* E. et edd.

9) *Σειρῆνες δὲ καὶ Μέλπος*] In altero codicum erat, *Μελπομένης, ἢ κατά τινας Τερψιχόρης, καὶ Ἀχελώου Σειρῆνες, ὡς μολπῶν καὶ χορδῶν εὑρεταί*: quod placet: idem enim fere supra praecessit, quod haec confirmat. Heinsius.

k) *Μελπομένης ἢ κατά τινας Τερψιχόρης καὶ Ἀχελώου, σιρῆνες, ὡς μελπῶν* Bas. *Σείρηνες* ad *συνταξάμενος* om. H. *χορειῶν καὶ μολπῶν εὑρετὰς* E. *χορδῶν* pro *χορείας* G. *δὲ* post *Ἐρατοῦς* ex E. Mox *Πολυμνίας δὲ παῖς* edd. Delevi *παῖς* cum E.

l) *ἤτοι*. Sic E. *ἢ* Bas. Heins. Desunt ad *πολυμνήμονα* Trinc.

m) *καλλιεπείας* Trinc. *καλλιλογίας* Bas. Heins. Mox *τῶν* om. Trinc. *Ἀλλὰ καὶ* ad *ἀλληγορεῖν* desunt Trinc. *εἰς θεοὺς* E. *ἀλλὰ καὶ τοῦτο σὸν μακρολόγημα. ὁ γὰρ Ὀρφεὺς παῖς Μενίππης ἦν τῆς Θαμύριδος· ἄνωθεν γὰρ παρὰ σοῦ προτραπεὶς* F. *πάλιν* om. G. *πάλιν ἐστὶ σὸν μ. — ἄνωθι* H. qui in cett. cum F. conspirat. *ἀλλὰ — ἀλληγορεῖν* om. E. *σὸν ἐστὶν* om. G.

10) *Διὰ τί ἀπὸ τῆς Πιερίας*] Totum hoc problema vanum et frivolum est, ut ad Moschopulum ostendimus: nec enim *ἀπὸ τῆς Πιερίας* Musas vocat Hesiodus: sed Hesiodum male intellexit Tzetzes. Operae pretium tamen videre est quot modis hic Proclum insectetur. Ab hoc enim ad reliquas velitationes sibi viam praestruit: non aliter quam lanistae

29 [n]) παρὰ τὴν Ἄσκρην οἰκῶν. [11]) Καὶ ὁ μὲν φιλοσοφώτατος Πρόκλος παιδευτικῷ τρόπῳ [o]) τοῦτό φησι ποιῆσαι τὸν ποιητὴν, ὑπογραμμὴν τοῖς παιδευομένοις τιθέντα, τοῦ μὴ τὰ οἰκεῖα ἐξαίρειν, ἀλλὰ καὶ τὰ παρ' ἑτέροις χρηστὰ προτιμότερα δοκεῖν τῶν οἰκείων· καὶ Πιερίαν ἐπάγει, καὶ Ἑλικῶνα, καὶ σφαίρας, ἐν αἷς χορεύειν λέγει τὰς Μούσας. Ἔτι δὲ καὶ τοῦτό φησιν ὁ Πρόκλος, δηλῶν ὅτι ὀθνεῖον, καὶ οὐχ Ἡσιόδου ἐστὶ τὸ προοίμιον, ἔκ τε τοῦ πολλοὺς ἐντυχεῖν τούτῳ τῷ βιβλίῳ ἀπροοιμιάστῳ, [p]) καὶ ἐκ τοῦ ἐνταῦθα μὲν τὸν ποιητὴν ἐκ Πιερίας τὰς Μούσας καλεῖν, ἐν δὲ τῇ Θεογονίᾳ ἐξ Ἑλικῶνος. Ταῦτα μὲν ὁ Πρόκλος. Ἡμεῖς δὲ μικρόν τι μακρολογήσαντες διαλευκάνωμεν τὴν ἀλήθειαν, τίνος ἕνεκα ἐν τῷ παρόντι [q]) συγγράμματι τὰς Μούσας ἐκ Πιερίας καλεῖ, ἐν δὲ τῇ Θεογονίᾳ ἐξ Ἑλικῶνος. Διπλᾶς ἐγὼ τὰς Πιερίας καὶ τοὺς Ἑλικῶνας γινώσκω, πραγματικῶς τε [r]) λεγομένας, καὶ κατὰ τὰς ψυχικὰς ἐνεργείας. Καὶ τὸ Μούσης δὲ ὄνομα, τριχῶς οἶδα νοούμενον· πραγματικῶς, ψυχικῶς, καὶ στοιχειακῶς. Καὶ πραγματικῶς μὲν Πιερία καὶ Ἑλικὼν, [s]) ὄρη καὶ πόλεις Βοιωτίας. [12]) Καὶ ἡ μὲν Πιερία πρότερον ὑπὸ Πιέρου κτισθεῖσα τοῦ Μεθώνης ἀδελφοῦ, πα-

solent, prius lacertos extendere, καὶ προεξαγκωνίσασθαι. HEINSIUS.

n) περὶ E. Bas. Καὶ ὁ μὲν φιλοσοφώτατος ad Θεογονίᾳ ἐξ Ἑλικῶνος desunt Trinc. ὁ μὲν φιλόσοφος G.

11) καὶ ὁ μὲν φιλοσοφώτατος Πρόκλος] Haec verba praecedebat in Basiliensi nota talis: λύσις κατὰ Πρόκλον: et deinde post verba illa, lineis interjectis aliquot, ταῦτα μὲν ὁ Πρόκλος, sequebatur: λύσις κατὰ τὸν Τζέτζην: utrunque nos, utpote βόρβορον ex editione nostra, et residuum aliquod Augiae stabuli rejecimus: sunt enim notae alicujus, qui in usum suum λύσεις has utriusque, et Procli, et Tzetzis, annotavit: quamquam metuam ne qui Tzetzis fastum perspectum habuerint, hoc ab ipso fieri potuisse suspicari possint: qui saepenumero hac ratione sententiam suam proponit; ut multis locis videre est: et jam supra ostendimus quod ab hoc non alienum est. Isacius quoque simili omnino ratione ad Lycophronem utitur, qui mentionem τῶν Τζετζίων facit, sui credo et hujus nostri: Οὕτως ἡμῖν δοκεῖ τοῖς Τζετζίοις ἔχειν ταῦτα τὰ μυθουργήματα. Idem in Chiliadibus hujus millies. Non possum tamen adduci ut hic locum habere credam. Alibi saepe vox λύσις. HEINSIUS.

o) τούτῳ E. Mox ὑπογραμμὸν E. G.

p) καὶ μὴ ἐκ τοῦ edd. Bas. Heins. negantem particulam omittunt MSS.

q) Deest H.

r) λεγόμενα E.

s) ὄρη καὶ om. G. Supra πραγματικῶς λεγομένας καὶ ψυχικῶς mediis omissis Trinc. πόλεις Βιώτιαι Trinc. Mox κτισθεῖσα additum ex E. F. G. H. Trinc. et Bas. ubi ὑπὸ Πιέρου — κτησθεῖσα ὑπὸ Πιέρου. τοῦ Μεθώνης ad Λύγκος om. Trinc. ubi οὕτως ἐκλήθη. ἧς καὶ τὴν ad συνταξάμενος om. Trinc.

12) Καὶ ἡ μὲν Πιερία πρότερον

τρὸς δὲ *Λίνου*, *Πιερία* ἐκέκλητο· ὕστερον δὲ *Λύγκος* ἐκλήθη, ἧς καὶ τὴν ἀρχὴν ἔσχεν Ἀέροπος, ὁ πρεσβύτατος τῶν Ἠμαθίωνος παίδων, καθὰ Μελισσεύς φησιν ὁ [13]) τὰ [t]) Δελφικὰ συνταξάμενος. [14]) Ἑλικὼν δὲ καὶ Κιθαιρὼν ἀπὸ Ἑλικῶνος καὶ Κιθαι- 30 ρῶνος τῶν ἀδελφῶν [v]) ἐκλήθησαν, οἵ τινες πρὸς ἀλλήλους ἐπολέμησαν [w]) καθὼς ὁ Κυρηναῖος Λυσίμαχος ἐν τῷ πρώτῳ περὶ ποιητῶν ἱστορεῖ. Οὕτω πραγματικῶς ὅρη γινώσκω τὸν Ἑλικῶνα καὶ Πιερίαν. Κατὰ τὰς ψυχικὰς δὲ δυνάμεις Πιερία ἐστὶ [x]) τὸ τοῦ νοὸς οἰκητήριον, ἤγουν τὸ λογιστικὸν, ἐξ οὗ, [y]) ὡς καὶ πρὶν ἔφην, τὰ πίονα καὶ ἀγχινούστατα ῥέουσι. Ἑλικὼν δὲ, τὸ τὰ νοηθέντα καὶ γνωσθέντα καὶ λογισθέντα γραφῆναι βιβλίοις, καὶ περιελίσσεσθαι πανταχοῦ. Καὶ τὸ τῆς Μούσης δὲ ὄνομα, ὥσπερ ἔφην, τριχῶς οἶδα νοοούμενον· ψυχικῶς μὲν γὰρ ἡ καθόλου γνῶσις νοεῖται· στοιχειακῶς δὲ ἡ τῶν ἀστέρων, καὶ παντὸς τοῦ κόσμου μουσικωτάτη καὶ ἐναρμόνιος κίνησις· πραγματικῶς δὲ οἱ εὑρεταὶ τινῶν καὶ εὑρετίδες, Μοῦσαι κατὰ μέθεξιν τούτων καλοῦνται. Νῦν δὲ οὔτε περὶ τῶν μερικῶν Μουσῶν διαλέγεται, οὔτε περὶ τῆς μουσικῆς τοῦ παντὸς καὶ τῶν ἀστέρων κινήσεως, ἀλλὰ περὶ [z]) τῆς ψυχικῆς Μούσης, ἤγουν τῆς γνώσεως, ἣν ἀρχαιοτρόπως συλληπτικῶς Ἀτ-

ὑπὸ Πιέρου τοῦ Μεθώνης ἀδελφοῦ, πατρὸς δὲ Λίνου, Πιερία ἐκέκλητο.] Ineptissime in Basiliensi repetitum erat, καὶ ἡ μὲν Πιερία πρότερον ὑπὸ Πιέρου κτισθεῖσα, ὑπὸ Πιέρου τοῦ Μεθώνης ἀδελφοῦ, πατρὸς δὲ Λίνου Πιερία ἐκέκλητο. Heinsius.

13) τὰ Ἀδελφικὰ συνταξάμενος] Non est dubium quin legendum sit ὁ τὰ Δελφικὰ συνταξάμενος. Heinsius.

t) Δελφικὰ. Sic E. F. uti conjecit Heinsius. Edd. Bas. Heins. ἀδελφικὰ.

14) Ἑλικὼν δὲ καὶ Κιθαιρὼν, ἀπὸ Ἑλικῶνος καὶ Κιθαιρῶνος τῶν ἀδελφῶν] Recte secu i editionem alteram, vocem ἐκλήθησαν delevimus: praecessit enim ἐκλήθη. Caeterum hanc Cithaeronis cum Helicone pugnam, Demodocus Laco, discipulus Mycenaei Automedis, descripsit, cum iis quae adversus Teleboas Amphitryon gessit. Heinsius.

v) ἐκλήθησαν adjectum e Bas. E F. H.

w) καθὼς ad ἱστορεῖ om. Trinc. περὶ ante ποιητῶν ex E. G. H. ἐν τῇ πρώτῃ E. F. H. Hujus loci non meminerat Fabricius B. G. II. xv. p. 585 = 129. ubi varios Lysimachos recenset. Equidem suspicor eundem esse hunc Lysimachum cum Alexandrino, qui libros περὶ Νόστων et Θηβαϊκῶν scripsit.

x) τὸ τοῦ νοῦ sine Διὸς Trinc. νοὺς Διὸς Bas. Heins. Mox ἤτοι pro ἤγουν Trinc. E. H.

y) ὡς ἔφη Trinc. Mox ῥέουσι ad περιελίσσεσθαι om. Trinc. quorum loco legitur tantum ῥέει. et mox om. ὥσπερ ἔφην. et post, νοούμενον πραγματικῶς, στοιχειακῶς, καὶ ψυχικῶς.

z) τῆς om. E. Trinc. Mox ἤτοι Trinc. ἀρχαιοτρόφους F.

τικώτερον Μούσας καλεῖ. [a])Καὶ [15]) εἰκότως νῦν μὲν αὐτὰς ἐκ Πιερίας, ἐν δὲ τῇ Θεογονίᾳ ἐξ Ἑλικῶνος.

[b])Ἄκουε τοιγὰρ οὐρανοδρόμε Πρόκλε,
Ὁ πολλὰ βροντῶν, καὶ μετάρσια τρέχων,
Ἐκ τῶν ὑψηλῶν καὶ μεταρσίων δρόμων.

Νῦν μὲν περὶ φυτουργίας καὶ γεωργίας Ἡσίοδος πρὸς τὸν ἀδελφὸν τὴν διδασκαλίαν ποιούμενος, ἐπεὶ τὸ σύγγραμμα ταπεινὸν τυγχάνει καὶ εὐτελὲς, εἰκότως ἐκ τῆς Πιερίας καὶ τοῦ
31 οἰκείου [c]) νοὸς τὰς Μούσας, ἤγουν τὴν γνῶσιν καλεῖ, καὶ οἱονεὶ ἀφ' ἑαυτοῦ λέγει τὸ σύγγραμμα τοῦτο ἐκτίθεσθαι. [16])Ἐν δὲ τῇ Θεογονίᾳ περὶ τῆς τοῦ παντὸς κοσμογενείας διδάσκων, ἐπεὶ μέγα τὸ σύνταγμα τοῦτο καὶ [d]) φυσικώτερον, ἁρμοδίως ἐξ Ἑλικῶνος ἐπικαλεῖται τὰς Μούσας· τουτέστι, προκατασκευάζει, καὶ λέγει, ὅτι περὶ ὧν ἐν τῇ Θεογονίᾳ ταύτῃ μέλλω ἐρεῖν, οὐδὲν ἀπ' ἐμαυτοῦ ἐρῶ, ἀλλ' ἀπὸ τῆς Μούσης καὶ γνώσεως, ἣν ἐξ Ἑλικῶνος καὶ βίβλων ἐτρύγησα. Οὕτω τὰς Πιερίας, οὕτω τοὺς Ἑλικῶνας, οὕτω τὰς Μούσας νοῶ, οὕτω καὶ τὸν Ἡσίοδον νῦν μὲν ἐκ Πιερίας ταύτας καλεῖν λέγω, ἐξ Ἑλικῶνος δὲ ἐκεῖ. Τὸ δὲ Μούσας ἢ θεάς τινας καλεῖν [e]) πρὸς τὸ λέγειν ἅ τις ἐθέλει, μῦθος ἀλληγορικός ἐστιν· ὃ πρῶτον τυγχάνει ποιητικὸν χαρακτήρισμα· τὴν γὰρ ἰδίαν γνῶσιν, καὶ οὐχ ἑτέραν τινὰ, οὐ θεὰν, οὐ γυναῖκα παρακελεύεται λέγειν.

15) εἰκότως οὖν νῦν μὲν αὐτὰς ἐκ Πιερίας· ἐν δὲ τῇ Θεογονίᾳ] Ita simplicius et melius excudi jussimus, cum Basiliensis editio haberet: καὶ εἰκότως μὲν αὐτὰς ἐκ τῆς Πιερίας, ἐν δὲ τῷ τῆς Θεογονίας ποιήματι: nam praeterquam quod sensus hic illi praeferendus esset, etiam si integer esset; asteriscum sustulimus, qui nihil efficit, sed nota est lectoris ἐπέχοντος. Heinsius.

a) Καὶ εἰκότως νῦν. Sic E. H. Εἰκότως οὖν Trinc. Heins. Mox ἐν δὲ τῷ τῆς Θεογονίας ποιήματι ἐξ Ἑλικῶνος καλεῖ. Εὔμηλος δὲ ὁ Κορίνθιος τρεῖς φησὶν εἶναι μούσας etc. (vid. supra p. 23.) E. ἐν δὲ τῷ τῆς Θ. ποιήματι H.

b) ἄκουε ad νῦν μὲν om. Trinc. τοιγὰρ pro τοιγαροῦν ex E. Νῦν μὲν ad λέγειν om. G. Περὶ φυτουργίας γὰρ Trinc. et del. Ἡσίοδος.

c) νοῦ hic et, ni fallor, semper Trinc. ἤτοι pro ἤγουν E. H. Hae commutationes cum perpetuae sint, in posterum monere supersedebo.

16) ἐν δὲ τῇ Θεογονίᾳ περὶ τῆς τοῦ παντὸς κοσμογενείας διδάσκων] Ita ex altera edi curavimus, cum in Basiliensi legeretur, περὶ τῆς τοῦ παντὸς θεογονίας. Porro περὶ τῆς τοῦ παντὸς θεογονίας, est περὶ πάντων τῶν τοῦ κοσμικοῦ συστήματος θεῶν: quales Dii sunt, Νὺξ, Χάος, etc. Heinsius.

d) φυσικώτατον E. Trinc. Mox ὡσανεὶ λέγων pro τουτέστι — λέγει Trinc. νῦν pro ἐν τῇ Θεογονίᾳ ταύτῃ Trinc.

e) πρὸς — ἐθέλει om. Trinc. Mox ἔστι τῶν ποιητῶν pro τυγχάνει ποιητικὸν Trinc. λαβεῖν pro λέγειν E.

[f]) Ὁ νοῦς τοῦ προοιμίου τοιοῦτος· ὦ Μοῦσαι καὶ γνώσεις, αἱ κλείουσαι καὶ δοξάζουσαι τὸν σφέτερον καὶ ὑμέτερον πατέρα [17]) (ἐλλειπτικῶς δὲ καὶ συντόμως λέγει τὸν Δία, ἤγουν [g]) τὸν νοῦν) δεῦτε δὴ Πιερίηθεν, ἤγουν ἐκ τῆς Πιερίας, ἤγουν τοῦ ἐμοῦ λογιστικοῦ αἰσθητηρίου. Ἐννέπετε καὶ εἴπατε ὑμνοῦσαι, ἐν ἀοιδῇσι καὶ ἔπεσι καὶ ποιήμασι, διὰ ὄντινα, λείπει τὸ τρόπον, οἱ [h]) ὁμῶς καὶ ὁμοίως ὑπάρχοντες βροτοὶ καὶ φθαρτοὶ ἄνδρες, εἰσὶν ἄφατοι, καὶ ἄδοξοι, καὶ ἀνονομαστοὶ, φατοί τε καὶ ὀνομαστοὶ καὶ ἐπίδοξοι. [18]) [i]) Τὸ βάρβαροι δὲ καὶ Ἕλληνες, περισσὸν καὶ Πρόκλειόν ἐστι. Τοιαῦτα ὁ ποιητὴς ἐρωτᾷ, [k]) πῶς οἱ ὁμοίως φθαρτοὶ ἄνθρωποι, οἱ μὲν εἰσιν ὀνο- 32
μαστοί τε καὶ πλούσιοι, οἱ δὲ ἄδοξοι. Εἶτα προσωποποιεῖ τὴν Μοῦσαν, ἤγουν τὴν γνῶσιν αὐτοῦ, λέγουσαν ταῦτα οὕτω γίνεσθαι [l]) ἕκητι, καὶ βουλῇ τοῦ Διὸς, ἤγουν τῆς εἱμαρμένης· Ἀλλὰ πρότερον διασαφήσαντες τὸ Ζεὺς ὄνομα ποσαχῶς λέγεται, εἶτα καὶ τὰ λοιπὰ διεξέλθωμεν. Τὸ θεὸς ὄνομα καθολικῶς καὶ ἀορίστως λεγόμενον πέντε σημαίνει· σοφοὺς, βασιλεῖς, τὰ στοιχεῖα, τὰς ψυχικὰς δυνάμεις, καὶ τὰ πάθη, [m]) καὶ τὴν εἱμαρμένην, ἣν ἕτεροι πρόνοιαν ἐκάλουν· οὕτω μὲν οὖν

f) ὁ ν. τ. π. τ. absunt Trinc. Mox καὶ συντόμως om. Trinc.

17) Ἐλλειπτικῶς δὲ καὶ συντόμως λέγει τὸν Δία, ἤγουν τὸν νοῦν] Haec verba quae παρενθέσεως στιγμῇ includi jussimus, sequebatur tale quid in Basiliensi, κἂν καὶ οὗτοι καὶ τὸν δία τιθέασιν τῇ γραφῇ ι τὸ δ' γράφοντες: quae verba quia non putavimus hujus loci esse, hinc exterminavimus. Heinsius.

g) τὸν νοῦν, κἂν οὗτοι τὸν Δία τιθέασι τῇ γραφῇ ἰῶ τὸν δῖ γρ. δεῦτε F. τὸν νοῦν· κἂν οὗτοι καὶ τὸν Δία τιθέασι τὸ δῖ ῖ γράφοντες. δεῦτε G. τὸν νοῦν· κἂν οὗτοι καὶ τὸν Δία τιθέασι τῇ γραφῇ, ῖ τὸ δῖ γράφοντες H. quibus significare vult, fuisse nonnullos qui in Hesiodo scriptum mallent δεῦτε Δί, non δεῦτε δή.

h) ὁμῶς καὶ desunt Trinc.

18) τὸ Βάρβαροι δὲ καὶ Ἕλληνες περισσὸν] Verberat Tzetzes Proclum, quod in interpretatione istorum verborum, Ῥητοί τ' ἄῤῥητοί τε, usus sit inter alia his vocibus, Ἕλληνας καὶ Βαρβάρους. Notissima est Graecorum ratio, qui τὴν οἰκουμένην εἰς Ἕλληνας dividebant καὶ Βαρβάρους, cum de moribus agerent. Hesychius Ἕλληνες, φρόνιμοι, σοφοί. Quam divisionem Plato in Politico suo traducit. Etiam Apostolus ita frequenter loquitur, apud quem tamen τὸ Ἕλληνες, cum τοῖς Ἰουδαίοις opponitur, sicut ad Romanos primo, πάντας τοὺς θύραθεν σοφοὺς designat. Calumnia haec inepta et putida est. Heinsius.

i) τὸ βάρβαροι ad ἐστι om. Trinc. E.

k) πῶς ad ἄδοξοι om. Trinc.

l) ἕκητι καὶ om. Trinc. Mox ἀλλὰ ad διεξέλθωμεν om. E.

m) τὰ πάθη, τοὺς ἀστέρας, καὶ τὴν ἐξ αὐτῶν εἱμαρμένην F. Caeterum de toto hoc loco consulatur in primis Creuzerus Meletem. T. I. p. 42.

τὸ θεὸς ἀνωνύμως πενταχῶς λέγεται. Ἕκαστον δὲ τῶν θεῶν ὄνομα τριχῶς· ψυχικῶς, στοιχειακῶς, καὶ πραγματικῶς· οἷον, τὸ Ἥρα σημαίνει γυναῖκα βασιλίδα, [n]) αἰθέρα, καὶ ἀνδρείαν· τὸ Ἀθηνᾶ, γυναῖκα βασιλίδα, τὸν παχυμερῆ ἀέρα, καὶ τὴν φρόνησιν, καὶ τὰ λοιπὰ ὁμοίως. Τινὰ δὲ τῶν θεϊκῶν ὀνομάτων καὶ πλεοναχῶς [o]) λαμβάνονται, ὥσπερ τὸ Ζεύς. Σημαίνει γάρ τινα βασιλέα, πραγματικῶς· ψυχικῶς δὲ τὸν νοῦν· ὃς καὶ τὰς γνώσεις Μούσας γεννᾷ· στοιχειακῶς δὲ πᾶν τὸ οὐράνιον σῶμα, καὶ τὰ μέρη αὐτοῦ· τὸν ἀέρα, καὶ τὸ νεφελῶδες κατάστημα, καὶ [p]) ὄμβριον, τὸν ἥλιον, τὸν ἀστέρα τὸν πλανήτην, καὶ τὴν εἱμαρμένην κατὰ τοὺς Στωϊκούς· ὃ καὶ ἐνταῦθα ἐν ὅλῳ τῷ ποιήματι δηλοῖ, πλὴν μόνης τῆς ἀρχῆς. Ἐν ταύτῃ γὰρ τὸν νοῦν Μουσῶν, ἤγουν γνώσεως πατέρα καλεῖ· [19]) ἐν δὲ τῷ [q]) ὅλῳ σχεδὸν ποιήματι, τὴν εἱμαρμένην λέγει. Πλὴν [r]) ἐνταῦθα τυχὸν περὶ τῶν στοιχείων, ἢ ἑτέρων τινῶν διαλαμβάνει. Καὶ σὺ δὲ τὰς σημασίας τούτων γινώσκων, συμφερόντως καὶ ἁρμοδίως καὶ καταλλήλως τοῖς τόποις τοῦτον [s]) ὀνόμαζε, [t]) ἐν τοῖς στοιχειακοῖς οὐρανὸν ἢ ἀέρα, ἐν τοῖς ψυχικοῖς νοῦν, καὶ ἐν ἑτέροις πάλιν ἁρμοδίως καὶ καταλλήλως· νῦν δὲ, ὡς ἔφην, τὴν εἱμαρμένην δηλοῖ. Ἀλλ' ἐπειδὴ περὶ Διὸς ἀρκούντως [v]) ἐῤῥέθη, καὶ περὶ τῶν λοιπῶν μοι λεκτέον. Tzetzes.

35 [1]) Ἰστέον, ὅτι πάντα οἱ Ἕλληνες, ἃ δύναμιν ἔχοντα ἑώ-

n) ἀέρα Trinc.

o) λαμβάνεται Trinc. et mox δὲ pro γάρ.

p) ὄμβριμον Trinc. Mox πλανήτην E. G. Trinc. πλάνητα Bas. Heins. Mox γνώσεων Trinc.

19) ἐν δὲ τῷ ὅλῳ σχεδὸν ποιήματι, τὴν εἱμαρμένην λέγει.] Ita scripsimus cum in Basiliensi esset, ἐν δὲ τῷ ἄλλῳ σχεδὸν ποιήματι: sicut praecessit, ὃ καὶ ἐνταῦθα ἐν ὅλῳ τῷ ποιήματι δηλοῖ· πλὴν μόνης τῆς ἀρχῆς: quanquam nec τῷ ἄλλῳ ὅλως displiceat. Sed in his non vertitur Reip. nostrae salus. Heinsius.

q) ἄλλῳ Bas.

r) ἐνταῦθα. Sic E. ἔνθα Tr. Bas. Heins. Mox ἄλλων pro ἑτέρων Trinc. et post, τούτου.

s) Sic Trinc. Bas. ὠνόμαζε E. ὠνόμασεν Heins.

t) ἐν τοῖς στοιχειακοῖς ἀέρα, ἐν τοῖς πραγματικοῖς ἄνθρωπον, καὶ ἐν τοῖς ψυχικοῖς νοῦν F.

v) ἐλέχθη E.

1) Ἰστέον, ὅτι πάντα οἱ Ἕλληνες] Totum universum in Deos suos dividebant οἱ ἔξω: atque hinc intereunte natura, et singulis rebus, singularum quoque partium Deos interire credebant. Qua de re illustris locus est, lib. 6. Epist. Plinii Secundi: *Multi ad Deos manus tollere; plures, nusquam jam Deos ullos, aeternamque illam et novissimam noctem interpretabantur.* Atque haec causa est, cur Maro, *nihil coelestibus debentem*, τὸν τε-

ρων, οὐκ ἄνευ ἐπιστασίας θεῶν τὴν δύναμιν αὐτῶν ἐνεργεῖν ἐνόμιζον. [2]) ἑνὶ δὲ ὀνόματι τό τε τὴν δύναμιν ἔχον καὶ τὸν ἐπιστατοῦντα τούτῳ θεὸν ὠνόμαζον· ὅθεν Ἥφαιστον ἐκάλουν τό τε διακονικὸν τοῦτο πῦρ, καὶ τὸν ἐπιστατοῦντα ταῖς διὰ τούτου ἐνεργουμέναις τέχναις, καὶ Δήμητραν τὸν σῖτον καὶ τοὺς καρποὺς, καὶ τὴν δωρουμένην τούτους θεὸν καὶ ἐπιστατοῦσαν αὐτοῖς, καὶ Ἀθηνᾶν τὴν φρόνησιν, καὶ τὴν ἔφορον τῆς φρονήσεως θεὸν, καὶ Διόνυσον τὸν οἶνον, καὶ τὸν διδόντα τοῦτον θεόν· (ὃν καὶ ἀπὸ τοῦ διδόναι τὸν οἶνον ὁ Πλάτων παράγει, καὶ Διδοίνησον τοῦτον ποιεῖ, εἶτα καὶ Διόνυσον·)
καὶ Εἰλειθυίας τοὺς τόκους, καὶ τὰς ἐφορώσας τοὺς τόκους 34
θεὰς, καὶ Ἀφροδίτην τὴν συνουσίαν, καὶ τὴν ἐπιστατοῦσαν ταύτῃ θεόν. Κατὰ τοῦτο καὶ Μούσας ἔλεγον τάς τε λογικὰς τέχνας, οἷον ῥητορικὴν, ἀστρονομίαν, κωμῳδίαν, τραγῳδίαν,

θνηκότα vocet, *hominem fato defunctum.* HEINSIUS.

2) *ἑνὶ δὲ ὀνόματι τό τε τὴν δύναμιν ἔχον, καὶ τὸν ἐπιστατοῦντα τούτῳ θεὸν ὠνόμαζον*] Opponit τὸ τὴν δύναμιν ἔχον, τῷ ἐπιστατοῦντι αὐτῷ θεῷ. Graeci inter Deum inventorem, et inventum, voce δῶρον vel δωρεὰ distinguunt, et δῶρον dicunt hujus vel illius Dei, τὸ τὴν δύναμιν ἔχον: ex quibus duobus tota natura conflatur: ex potestatibus duabus, dantis et dati. Hinc lucem accipit illud Homeri: *Μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης· Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.* Tota loci venustas consistit in voce δῶρα: nam honesto nomine δῶρα Ἀφροδίτης nominat rem turpem, τὴν συνουσίαν. Atque ita δῶρον Ἀφροδίτης est ἡ συνουσία viri et foeminae, quae commendatur ἀπὸ τῆς ἐπιστατούσης θεοῦ. Ita et Latini cum de materiali re loquuntur, voce *munera* et *dona* utuntur. Ovid. Lib. Metamorph. VI. de Mida: *Tum vero sive illa sua Cerealia dextra Munera contigerat, Cerealia dona rigebant: Sive dapes.* etc. Τὸ δῶρον, est id quod *materiale* dicimus, Moschopulus τὸ τὴν δύναμιν ἔχον. Sic Moschopulus ipse δωρεὰ dixit, ubi hunc eundem versum exponit: *Ὦ Μοῦσαι αἳ δοξάζουσαι τῇ δωρεᾷ τῶν ὑμετέρων ᾠδῶν.* Interdum rem materialem etiam per vocem διακονικὸν distinguunt. Sic Moschopulus dicit, *Ἥφαιστον* vocatum fuisse olim, *τό τε διακονικὸν τοῦτο πῦρ, καὶ τὸν ἐπιστατοῦντα ταῖς διὰ τούτου ἐνεργουμέναις τέχναις,* id est, τὸ δῶρον, καὶ τὸν θεόν. Tullius, τὸ δῶρον τοῦ θεοῦ, *id quod est a Deo natum*, exponit; lib. 2. de Nat. Deorum: *Itaque tum illud, quod erat a Deo natum nomine ipsius Dei nuncupabant, ut cum fruges Cererem appellamus, vinum autem, Liberum.* Ubi totam fere ad verbum Moschopuli sententiam habes. Ex hoc elegantia vocis διδόναι apud Poetam dependet cum absolute ponitur, ut in eo: *Σοὶ δὲ διάνδιχα δῶκε Κρόνου παῖς ἀγκυλομήτεω. Σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων.* etc. Poetae Graeci et Latini, *donum noctis*, *donum somni* vocant, mira elegantia, noctem et somnum, cum ipsam rem τῷ σωματώδει θεῷ καὶ θεᾷ opponunt. Maro: *Defensus tenebris et dono noctis opacae.* Homerus: καὶ ὕπνου δῶρον ἕλοντο. HEINSIUS.

καὶ τὰς ἐφόρους καὶ παρόχους τούτων θεάς· ἃς ἐνταῦθα καλεῖ ἀπὸ τῆς Πιερίας τοῦ ὄρους, ἔνθα ἐτιμῶντο. Αὐτόθι δὲ καὶ γεγενῆσθαι αὐτὰς ἔλεγον· καὶ φησίν· Ὦ ΜΟΥΣΑΙ, αἱ δοξάζουσαι τῇ δωρεᾷ τῶν ὑμετέρων ᾠδῶν οὓς ἂν ἐθέλητε δηλονότι, αἱ ἔργον ἔχουσαι ὑμνεῖν τὸν ὑμέτερον πατέρα, ἤγουν τὸν Δία, [3]) ἄγετε, εἴπατέ μοι ἀπὸ τῆς Πιερίας ἐκεῖνον, δι' ὃν οἱ ἄνδρες οἱ ὁμοίως βροτοὶ, ἤγουν φθαρτοὶ, ἀνώνυμοί τε εἰσὶ, καὶ ὀνομαστοὶ, καὶ ῥητοὶ καὶ ἄῤῥητοι ἐκ παραλλήλου. Τὰ αὐτὰ γὰρ καὶ ταῦτα δύναται, ἃ τὸ ΑΦΑΤΟΙ καὶ ΦΑΤΟΙ. Εἶτα παράγει τὰς Μούσας ὥςπερ ἀποκρινομένας αὐτῷ, καὶ τὸν Δία λεγούσας εἶναι τούτων αἴτιον, πρὸς ὃν ἀποβλέψας αὐτὸς, αἰτεῖται ἀκούειν αὐτοῦ, εἶτα ἄρχεται τῆς πρὸς τὸν ἀδελφὸν παραινέσεως. Καὶ ταῦτα δὲ οὐ μικρὰν ἔχει πρὸς αὐτὸν τὴν παραίνεσιν, ἐν οἷς οὐκ αὐτομάτως δείκνυται τὰ πράγματα γίνεσθαι, ἀλλ' εἶναι τὸν Δία τούτων ἔφορον καὶ προστάτην, καὶ τοὺς μὲν δικαίους ἀγαθοποιοῦντα, τοὺς ἀδίκους δὲ τιμωρούμενον. Ἄδικος γὰρ ὢν ὁ Πέρσης καὶ πλεονέκτης, διὰ τούτων ὥσπερ ἀναστέλλεται καὶ παιδαγωγεῖται δικαιοσύνῃ προσέχειν τὸν νοῦν, ἵνα μὴ τῆς τοῦ Διὸς ὀργῆς πειραθῇ, τὴν πλεονεξίαν ὁρῶντος αὐτοῦ.

ΑΕΙΔΩ ποιητικόν· ΑιΔΩ κοινόν· ἀφ' ὧν ὀνόματα ΑΟΙΔΗ παρὰ ποιηταῖς, καὶ ΩΔΗ τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. Λέγεται δὲ ταῦτα κυρίως μὲν ἐπὶ μέλους, ἀπὸ τούτου δὲ καὶ ἐπὶ ποιήσεως καὶ ἐμμέτρων λόγων, ὡς ἐνταῦθα. ΚΛΕΙΩ τὸ δοξάζω παρὰ ποιηταῖς, ἀπὸ τοῦ κλέος, κλείω καὶ τὸ ἀσφαλίζω παρὰ τοῖς κοινοῖς. ΔΕΥΤΕ, ἐπίῤῥημα παρακελευσματικὸν ἀντὶ τοῦ ἄγετε. ΕΝΝΕΠΕΤΕ, ἀντὶ τοῦ εἴπατε· ἐνεστὼς

3) *ἄγετε εἴπατέ μοι ἀπὸ τῆς Πιερίας ἐκεῖνον*] Non bene haec intelligunt Graeci interpretes: Moschopulus, cum *ἄγετε, εἴπατε ἀπὸ Πιερίας* reddit; Proclus, cum *Πιερίηθεν, ἐκ Πιερίας ὁρμώμεναι* exponit; postremo nec Tzetzes, qui etiam quaestionem movere audet, cur hic ex Pieria Musas: in Theogonia ex Helicone vocet. Quaestio certe non gravis, nec quae ad Areopagitas referetur: non enim Hesiodum assecuti sunt. Dictum est ergo *Μοῦσαι Πιερίηθεν*, sicut apud Comicum *Στρεψιάδης Κικυνόθεν*, *Νεφ. Μ. Βάλλ' ἐς κόρακας. τίς ἐσθ' ὁ κόψας τὴν θύραν; Στρ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυνόθεν.* Nam *Μοῦσαι Πιερίηθεν* sunt *Πιερικαί*: sicut *Στρεψιάδης Κικυνόθεν*, et apud Theocritum *Χρόμις Λιβύαθεν. Ὥς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ἄσας ἐρίσδων.* Vulgare hoc est, et tamen si in Proclo notasset hunc errorem Tzetzes, aliquot paginis eum insectaretur, homo putide ambitiosus. Heinsius.

ἀντὶ ἀορίστου. Σύνηθες δὲ τοῖς ποιηταῖς, τοῖς ἐνεστῶσιν ἀντὶ τῶν ἀορίστων χρῆσθαι, καὶ ἡ λέξις δὲ ἄλλως ποιητική. Τὸ δὲ ἕτερον ν' προστίθεται ἐνταῦθα διὰ τὸ μέτρον· ἓν γὰρ ἔχειν ὀφείλει, ἀπὸ τῆς ἐν προθέσεως συντιθεμένη καὶ τοῦ ἔπω· ὡς συλλαβὴ δὲ κεῖται ἐν αὐτῇ ἡ πρόθεσις, οὐδὲν πλέον δηλοῦσα· ὅθεν καὶ κατὰ ταύτην ἡ αὔξησις ἐπὶ τοῦ παρατατικοῦ γίνεται, ἐνέπω γὰρ ἤνεπον. *) ΣΦΕΤΕΡΟΝ, ἀντὶ τοῦ ὑμέ- 35
τερον, κτητικὴ ἀντωνυμία τρίτου προσώπου, ἀντὶ κτητικῆς δευτέρου. ῾ΥΜΝΕΙΟΥΣΑΙ, ἀπὸ τοῦ ὑμνέουσαι κατὰ πλεονασμὸν τοῦ ι, ὑμνείουσαι. ῞ΟΝ ΤΕ ΔΙΑ. Παρα μὲν τοῖς κοινοῖς καὶ τοῖς τραγικοῖς ποιηταῖς καὶ τοῖς κωμικοῖς οὔποτ' ἂν ὁ τε σύνδεσμος περιττὸς τεθείη, παρὰ δὲ τούτοις τοῖς τῷ ἡρωϊκῷ μέτρῳ χρωμένοις πολλάκις. ῾Ως ἐν τούτῳ καὶ ἐν ἄλλοις, οὗτος·

νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρη ἐξεγένοντο.
ἥ τε καὶ ἀπάλαμνόν περ.

καὶ ἐν ἄλλοις μυρίοις. Moschop.

w) ΒΡΟΤΟΙ ΑΝΔΡΕΣ. Οἱ φθαρτοί. ἀπὸ τοῦ βρότος, ὃ σημαίνει τὸ μετὰ κόνεως αἷμα. Τὸ ἀνὴρ σημαίνει πέντε· τὸν ἀνδρεῖον, τὸν γήμαντα, τὸν φύσει, τὸν ἀνδρὸς ἡλικίαν x) λαβόντα, καὶ τὸν ἄνθρωπον. Tzetzes.

4. ῞ΟΝ ΤΕ ΔΙΑ. Δι' ὃν y) πάντα καὶ οὐκ αὐτομάτως. Πάντα τῷ Διῒ προσαναπλάττει, παραινῶν αὐτὸν μὴ νομίζειν z) διὰ βίας αὔξειν τὸν πλοῦτον. ῾ΡΗΤΟΙ. Καὶ λογικοὺς καὶ ἀλόγους καὶ Ἕλληνας καὶ Βαρβάρους καὶ πλουσίους καὶ μετρίους πάντας ἐκ Διὸς λέγει γεγενῆσθαι. Proclus.

*) Schol. in cod. Dorvill. Σφέτερον· καταπεφρόνηκε τῶν ἀντωνυμιῶν, β γὰρ πρόσωπόν ἐστιν· ἔδει δὲ εἰπεῖν ὑμέτερον, ἀλλ' ἀντὶ δευτέρου τρίτῳ ἐχρήσατο.

w) Βροτοὶ ad ἄνθρωπον om. Trinc.

x) ἔχοντα pro λαβόντα H. ubi post ἄνθρωπον, additur; Τὸν φύσει, ὡς τὸ, „Ἄνδρα μοι ἔννεπε Μοῦσα·“ τὸν γήμαντα, ὡς τὸ, „Ἄνδρα μὲν ἔδοσάν μοι πατὴρ καὶ πότνια μήτηρ.“ τὸν ἀνδρεῖον, ὡς τὸ „Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ ἄλκιμον ἦτορ ἔχοντες.“ τὸν ἀνδρὸς ἡλικίαν λαβόντα, ὡς τὸ, „Ὅς που νῦν μετ' ἀνδρῶν ἔλθῃ ἀριθμόν.“

y) τινὰ pro πάντα Dorv. Mox αὐτόματα B. Post αὐτομάτως, Dorv. addit, ὅθεν τοῦ δικαίου ἐπιμελητέον. Πάντα δὲ τ. Δ.

z) παραινῶν αὐτῷ μὴ διὰ βίας νομίζειν Dorv. ἄλλον pro διὰ βίας B. Gr. Post πλοῦτον addit Dorv. Ἄφατοι περὶ ὧν φᾶναι τι δυνατόν· ὡς ἐγνωσμένον ἡμῖν, καὶ περὶ ὧν μηδὲν ὡς μὴ ἐγνωσμένων ἀφ' ὧν δηλοῦσι τὸ ἐπίσημον ἢ ἄσημον εἶναι οἱ ζῶντες καὶ οἱ ἀποθανόντες.

5. ῬΕΙΑ ΜΕΝ. Πάντα ὁ Ζεὺς διοικῶν, καὶ τοὺς ἀδυνάτους [a]) ῥυναμοῖ, καὶ τοὺς δυνατοὺς καθαιρεῖ τῆς δυνάμεως. Ὧν τὸ μὲν δηλοῖ τὸ βριάειν· τὸ δὲ τοὺς βριάοντας χαλέπτειν. Οὐχ ἁπλῶς δὲ, ἀλλὰ καὶ διὰ κακίαν καὶ πονηρίαν [b]) μηνίει. Ἄδηλον δὲ τὸν τεταπεινωμένον καὶ ἀφανῆ καὶ ἄδοξόν φησιν. Proclus.

[c]) ῬΕΙΑ ΜΕΝ ΓΑΡ ΒΡΙΑΕΙ. Τὸ ῥεῖα συνίζησίς ἐστι τῆς ῥεῖ μακρᾶς συλλαβῆς καὶ τῆς ἄλφα εἰς μίαν μακράν. Tzetzes.

36 5. ῬΕΙΑ. Ῥᾳδίως, κοινῶς· ποιητικῶς δὲ ῥεῖα καὶ ῥηϊδίως. Ἀπὸ τοῦ βριάω βριαρόν· ὡς ἀπὸ τοῦ ἰσχύω ἰσχυρόν. Moschop.

6. [d]) ΜΙΝΥΘΕΙ. Φθείρει, σμικρύνει. ἀπὸ τοῦ μινὺθς, ὁ μικρός· ὅθεν καὶ μινυώριον, τὸ βραχυχρόνιον. Ὁ δὲ νοῦς τοῦ ῬΕΙΑ ΜΕΝ ΒΡΙΑΕΙ δῆλος καὶ ἰδιώταις· ὅτι ἡ εἱμαρμένη εὐκόλως αὐξάνει καὶ τοὺς ἀφανεῖς, καὶ τοὺς περιβλέπτους καταβάλλει, κἂν ὁ Πρόκλος μᾶλλον ἐν τούτοις μακρηγορῇ. Tzetzes.

ΑΡΙΖΗΛΟΝ. Τὸν διάδηλον καὶ περιφανῆ, ᾧ ἐναντίον ὁ ἄδηλος. Ποιητικὴ ἡ λέξις, ἤγουν τὸ ἀρίζηλον. Moschop.

7. ΙΘΥΝΕΙ ΣΚΟΛΙΟΝ, Τὸν ποικίλον τὸ ἦθος διὰ πανουργίαν, [e]) σκολιὸν ὀνομάζει. Τοῦτον οὖν ἰθύνειν λέγει τὸν Δία, πάλιν εἰς τὸ ἁπλοῦν ἐπανάγοντα ἦθος, διὰ τὸ κολάζειν αὐτὸν ἐν τῇ πανουργίᾳ. Proclus.

ΙΘΥΝΕΙ. Ἤγουν ὀρθοῖ· παιδαγωγῶν δηλονότι αὐτόν. ΣΚΟΛΙΟΝ. Τὸν οὐκ ὀρθὸν τὴν γνώμην, ἤγουν τὸν ἄδικον. ΑΓΗΝΟΡΑ, τὸν ὑπερήφανον. ῩΨΙΒΡΕΜΕΤΗΝ λέγει τὸν Δία, καὶ ΒΑΡΥΚΤΥΠΟΝ δὲ ἐν ἄλλοις τὸν αὐτὸν λέγει, καὶ ΕΥΡΥΟΠΑ, ὡς τῶν βροντῶν αἴτιον, αἳ ταῦτα ἔχουσι, τὸ ἐν ὕψει δηλονότι ἠχεῖν τὸν βαρὺν κτύπον, καὶ τὴν εὐρεῖαν βοήν.

a) δυνατοῖ Dorv. et mox δυναστὰς δυνατῶς καθαιρεῖ, et postea βριάει. In Gr. τῆς δυνάμεως om.

b) μηνιᾷ B. Dorv. Gr. Etymol. M. p. 583, 29. Ἔστι καὶ μηνιῶ μηνιᾷς. Sed ibi MS. Dorvill. praebet μηνίεις. Ἄδηλον δὲ καὶ τὸν B. Et paullo post, ἀφανῆ ἄδοξον φαίνεσθαι sine φησὶν Dorv.

c) Ῥεῖα ad fin. scholii desunt E. Trinc.

d) Μινύθει etc. ad fin. scholii desunt E. ad βραχυχρόνιον Trinc. Mox ὁ νοῦς τούτου δῆλος· ὅτι Trinc. αὐξάνει τοὺς sine καὶ Trinc. κἂν ὁ Πρ. ad fin. scholii om. Trinc.

e) ὀνομάζει τοῦτον. Νῦν ἰθύνει τ. Δ. Dorv. ὀνομάζει αὐτὸν ἐν πονηρίᾳ Gr. ἐπαναγάγοντα Dorv. et mox εἰς πανουργίαν. Τοῦτον ad κολάζειν om. B.

Τὸ ΒΡΕΜΕΙΝ δὲ κυρίως ἐπὶ τοῦ πυρὸς λέγεται· ἐνταῦθα δὲ ἐπὶ τοῦ ἤχου τῶν βροντῶν. MOSCHOP.

Ibid. *ΚΑΙ ΑΓΗΝΟΡΑ ΚΑΡΦΕΙ. Τὸν αὐθάδη καὶ ὑπερόπτην εὐτελῆ ποιεῖ καὶ ταπεινόν. Ἡ γὰρ αὐθάδεια πρὸς καταφρόνησιν ἐγείρει τῶν ἄλλων ἁπάντων· ἡ δὲ ταπείνωσις εἰς ἔννοιαν ἄγει τοῦ μηδὲν ἡμᾶς διαφέρειν τῶν ὁμοίων, καὶ μετρίους ποιεῖ τὸ ἦθος.* PROCLUS.

ΖΕΥΣ ΥΨΙΒΡΕΜΕΤΗΣ. Ἡ εἱμαρμένη. [f]) *Πῶς δὲ ὑψιβρεμέτης ἡ εἱμαρμένη;* [20]) *ὅτι ἐξ ὕψους, καὶ τῆς τῶν ἀστέρων κινήσεως πέμπεται κατὰ τοὺς ἐκτὸς τοῖς ἀνθρώποις τὰ εἱμαρμένα, τοὺς μὲν δοξάζοντα καὶ* [g]) *περικροτοῦντα, καὶ οἱονεὶ καταβροντῶντα ταῖς εὐφημίαις καὶ ἀναῤῥήσεσι,* [h]) *τοὺς δὲ περιβομβοῦντα συμφοραῖς καὶ τοῖς δυσκληρήμασιν.* TZETZES.

8. *ΟΣ ΥΠΕΡΤΑΤΑ ΔΩΜΑΤΑ ΝΑΙΕΙ. Τὰ ἄκρα τοῦ κόσμου τὰ ὑπὲρ ἡμᾶς ὄντα, ἐν οἷς ὁ Ζεὺς* [i]) *ἵδρυται, δώματά ἐστι τοῦ Διός· ὡς καὶ Ὅμηρος εἶπε καθῆσθαι αὐτὸν* 37

ἐν ἀκροτάτῃ κορυφῇ πολυδειράδος οὐλύμποιο.

[k]) *Καταπλήττει δὲ αὐτὸν τῷ ἐπιθέτῳ τῆς ἀξιοπίστου οἰκήσεως.* PROCLUS.

f) *Πῶς δὲ ὑψ. ἡ εἱμ.* desunt E. Trinc. Mox *καταπέμπεται* Trinc.

20) *ὅτι ἐξ ὕψους, καὶ τῆς τῶν ἀστέρων κινήσεως πέμπεται κατὰ τοὺς ἐκτὸς τοῖς ἀνθρώποις τὰ εἱμαρμένα*] Omnium *τῶν ἐκτὸς* qui illud affirmarunt, primi fuerunt Chaldaei, qui Zodiacum in particulas minutas CCCLX. dividebant, in unoquoque signo tricenas: quas Graeci postea ex opinione eorum *μοίρας* dixerunt, quo nomine et *ἡ εἱμαρμένη* ab illis appellata fuit, quod *ἐκ τῶν μοιρῶν ἐκείνων τοῦ Ζωδιακοῦ* penderet. Caeterum quicquid hic notat Tzetzes, frivolum et ineptum est, ex consuetudine *τῶν ἀλληγορούντων.* HEINSIUS.

g) *περικροτοῦντα.* Sic E. H. Trinc. *περικρατοῦντα.* Bas. Heins.

h) *τοὺς δὲ* ad fin. om. Trinc.

i) *ἵδρυται ὁ ὀλύμπιος — ὡς ὅτε Ὅμηρος* Dorv. Legitur etiam hoc schol. in Dorv. *Ὅς ὑπ. δώ. ν.) Καὶ εἰ μὲν νοήσεις ὅτι πρὸς αὐτὸν τὸν ἀδελφὸν αὐτοῦ Πέρσην προσδιαλέγεται, ἄγροικον ὄντα, λέγει τίνα θάμβους ἄξια, ἵνα εἰς ἔκπληξιν ἄγῃ αὐτόν· εἰ δὲ οὐ νοήσεις αὐτὸν οὕτως ἀλλὰ πρός τινα τῶν ἐχεφρόνων καὶ ἐπισταμένων ἃ λέγειν πρὸς τὸν Δία· καὶ οἱ μὲν ποιηταὶ τρεῖς Δίας καλοῦσιν εἶναι, καθὸ καὶ ἀδελφοί· τόν τε Δία τὸν ἐν οὐρανῷ, τὸν Ποσειδῶνα, καὶ τὸν Πλούτωνα· καὶ ὡς εἴπομεν ἀδελφῶν ὄντων ἀπὸ πατρὸς Κρόνου καὶ μητρὸς Ῥέας· ἐκληρώσατο δὲ αὐτοῖς τῷ μὲν τὸν οὐρανὸν, τὸν δὲ τὰ ἐπίγεια, τὸν δὲ τὰ καταχθόνια· λοιπὸν οὐδένα ἄλλον λέγει εἰ μὴ τὸν ἐν οὐρανῷ.*

k) *καταπλήττει δὲ τῷ ἐπιθέτῳ αὐτὸν καὶ τῆς ἀξιοπίστου οἰκήσεως* B. κ. *δὲ αὐτὸν τῷ ἐπιδόξῳ τῶν ὀφρύων καὶ τῆς εὐῤῥιπίστου αἰγίδος* Dorv.

ΥΠΕΡΤΑΤΑ ΔΩΜΑΤΑ. Τῆς εἱμαρμένης [l]) τῆς ἐξ ἀστέρων ὁ ζωδιακὸς κύκλος ἐστὶν, ἐξ οὗ καταπέμπεται τά τε εὐκληρήματα, καὶ δυσημερήματα. Tzetzes.

ΟΣ ΥΠΕΡΤΑΤΑ ΔΩΜΑΤΑ ΝΑΙΕΙ. Ἤγουν ὃς τὰ ὑψηλότατα οἰκήματα οἰκεῖ· τουτέστι τὸν οὐρανόν. Moschop.

9. *ΚΛΥΘΙ ΙΔΩΝ.* [m]) Ὡς πάντα ἐφορῶν καὶ ἀκούων τῶν γινομένων, ἐπόπτης γενοῦ· καὶ μὴ μόνον δι' ἀκοῆς δέξαι τὰ ῥηθησόμενα, ἀλλὰ καὶ δι' ὄψεως ἴθυνον. Ὅπερ δὲ Ὅμηρος ἐπὶ τοῦ ἡλίου φησὶ, τοῦτο Ἡσίοδος ἐπὶ τοῦ Διὸς εἶπεν· ὅμοιον γάρ [n]) ἐστι τῷ,

Ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις.

Ὁρᾷν δὲ τὸν Δία πάντα καὶ ἀκούειν πάντων εἴρηκεν, [o]) ὡς πάντων ἔφορον· ὁρῶντα μὲν τὰς πράξεις ἡμῶν, ἀκούοντα δὲ τῶν λόγων ὧν φθεγγόμεθα οἱ ἄνθρωποι. Τῶν γὰρ αἰσθήσεων μόνην τὴν ὅρασιν καὶ τὴν ἀκοὴν ὡς χαριεστάτας ἐπὶ τοὺς θεοὺς ἀναφέρουσι. Proclus.

38 Ibid. *ΚΛΥΘΙ ΙΔΩΝ.* [p]) Ἐπανέλαβε πάλιν τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής· καὶ φησὶ πρὸς τὸν Δία, ἤγουν τὴν εἱμαρμένην· κλῦθι καὶ ἄκουσον, τύνη καὶ σὺ, ἰδὼν τὰ παρόντα, ἀΐων τε καὶ ἀκουστικῶς ἔχων, δικαίως δὲ κρίνων τὰς θέμιστας καὶ δίκας· ἐγὼ δὲ τῷ ἀδελφῷ Πέρσῃ ἐρῶ τἀληθῆ. Ἀλλὰ τί κατὰ Πρόκλον τὰ μηδενὸς λόγου ἄξια γράφομεν; Τὸ *ΔΙΚΗ* ὄνομα, τρία σημαίνει· δικαστήριον, δικαιοσύνην, καὶ καταδίκην. Tzetzes.

Ibid. *ΚΛΥΘΙ.* Κλύω ποιητικόν· ἀκούω κοινόν· κλύω

l) τῆς ἐξ ἀστέρων om. Trinc.

m) Ὡς πάντα ad ἴθυνον desunt B. πάντων Trinc. Hoc modo leguntur in Dorv. Κλῦθι ἰδὼν ἀΐων τε· καὶ τοῦτο διττῶς νοεῖται· σὺ ὦ Ζεῦ, ἐπάκουσον, ἰδὼν ἀκούων τε, καὶ τὸ ἰδὼν καὶ νοήσει ὅτι ἀντὶ τοῦ θεασάμενος ἔλαθεν ἀλλ' ἀντὶ τοῦ γινώσκων ἰδὼν πάντα πρὸ γενέσεως, ἐπάκουσόν μου καὶ οὕτως ἰδὼν ἀΐωντε· ὡς καὶ ἐν τῇ Ἰλιάδι γέγραπται, Ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει: ἌΛΛΩΣ. Σὺ ὦ Ζεῦ ὁ ἰδὼν τότε τὰς τιμωρίας τοῦ ἀδελφοῦ μου Πέρσου καὶ τὰς ἀδικίας, ἀρτίως ἀκούων ἐμοῦ ἐπάκουσον· καὶ πῶς τὸ ἰδὼν ἐστὶ δευτέρου ἀορίστου μετοχικοῦ, καὶ παρεληλυθότος καιροῦ, τὸ δὲ ἀκούων ἐστὶν ἐνεστῶτος; Τὸ θεῖον τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα ἀντὶ παρεληλυθότων ἔχει, καὶ ὡς ἐν τῇ Ἰλιάδι, Ὃς ἤδη τά τ' ἐσσόμενα: —

n) τὸ pro ἐστι τῷ B. Dorv. mox πάντα deest Dorv.

o) ὡς πάντων ad ἄνθρωποι desunt B. Dorv. et mox μόνην. Pro αἰσθήσεων Dorv. habet ἀναθήσεων.

p) Κλῦθι ad εἱμαρμένην desunt E. et mox ἀλλὰ — γράφομεν. Deest hoc schol. Trinc.

ἐνεστώς· ἔκλυον παρατατικός· μέλλων ἀπὸ τούτου οὐκ ἔστι, λέγεται δὲ ὁ τοῦ κοινοῦ ἀκούσω· ἐπὶ τῇ κοινῇ γὰρ καὶ ἡ ποιητικὴ ἐρείδει καὶ ἡ Ἀττικὴ γλῶττα, καὶ αἱ ἄλλαι, αἷς μάλιστα χρῶνται οἱ ποιηταί. Διὰ τοῦτο γὰρ καὶ κοινὴ λέγεται ὅτι μετέχουσιν αἱ ἄλλαι αὐτῆς· κοινὸν γὰρ οὗ μετέχουσι τοὐλάχιστον δύο. q) Καὶ προηριθμημέναι πᾶσαι χρῶνται αὐτῇ, καὶ αὕτη πάσαις αὐταῖς ἑαυτὴν χρῆσθαι παρέχει. Ἀόριστος δεύτερος ἔκλυον, ἔκλυες, ἔκλυεν· ἀφ' οὗ προστακτικὸν κλύε· καὶ κατὰ μεταπλασμὸν, κλῦθι. Μεταπλασμὸς δέ ἐστιν, ὅταν τέλος ὀνόματος τινος ἢ ῥήματος ἐφ' ἕτερον τέλος τραπῇ οἰκεῖον τῷ τρεπομένῳ. Οἰκεῖον δέ ἐστιν, ᾧ δηλονότι ἡ αὐτὴ πτῶσις τοῦ ὀνόματος r) ἐπ' ἄλλοις χρήσαιτο ἂν, ἢ ὁ αὐτὸς χρόνος τοῦ ῥήματος· ὡς ἐνταῦθα τοῦ ἀορίστου τὸ τέλος τὸ ε ἐτράπη εἰς θι, ᾧ τέλει χρήσαιτ' ἂν ἀόριστος προστακτικὸς ἐν ἑτέροις. Τὸ ἑξῆς οὕτως· ἄκουσόν μου, ὦ Ζεῦ, ὁ ἐγνωκὼς πάντα καὶ γινώσκων· ἴθυνε δὲ τὰς θέμιστας σὺν δίκῃ, ἀντὶ τοῦ εὐθείας ποίει, σύ. Ἐγὼ δὲ μυθησαίμην ἂν τῷ Πέρσῃ, ἀντὶ τοῦ παραινέσαιμι. ΕΤΗΤΥΜΑ ἤγουν ἀληθῆ, ἀπὸ τοῦ ἔτυμα κατὰ πλεονασμὸν τῆς συλλαβῆς. Moschop.

Ibid. ΔΙΚΗι Δ' ΙΘΥΝΕ. Τουτέστι s) κατὰ δίκην πᾶσαν σὺ τὴν δίκην κρίνε, πάντα ὁρῶν τὰ ἀνθρώπινα πράγματα, καὶ πάντων ἀκούων· ὁρῶν μὲν, τὰς πράξεις ἡμῶν· ἀκούων δὲ τῶν λόγων, ὧν φθεγγόμεθα οἱ ἄνθρωποι. Ὡς πάντα ἐφορῶν καὶ t) πάντα ἀκούων ἐπόπτης γενοῦ τῶν γινομένων, καὶ μὴ μόνον δι' ἀκοῆς παραδέξῃ τὰ ῥηθησόμενα, ἀλλὰ καὶ δι' ὄψεως. Σὺ, φησὶν, ἴθυνον· ἐγὼ δὲ καταλέξω τῷ Πέρσῃ. Proclus.

Ibid. 21) ΘΕΜΙΣΤΑΣ. Θέμις ἡ γῆ κατ' Αἰσχύλον· ἀπὸ

q) καὶ προηριθμημένων αὕτη ἐπάγεται ὀνόματος ἔχουσα αὐτὸ τοῦτο πάντως δηλοῦν· ὅτι αἱ ἠριθμημέναι π. χ. α. καὶ ἃ. π. ἑαυταῖς ἑαυτὴν B.

r) ἐν ἄλλοις B.

s) καταδίκην π. σ. τὰς κρίσεις κ. π. ὁ. τὰ πράγματα τὰ ἀνθ. Dorv.

t) πάντων Heinsius. Mox μόνας Dorvill. Post, καταλέξοιμι Heins. καταλέξω καὶ προσείπω Dorv.

21) θέμιστας] θέμις ἡ γῆ, κατ' Αἰσχύλον. Quanto melius hoc modo edi jussimus, quam quo in Basiliensi erat, Θέμις] ἡ γῆ κατ' Αἰσχύλον: cum haec Tzetzes dicat προθεὶς τὸ θέμιστας, quod Hesiodi est: sic quod sequitur ita scriptum erat: ἀπὸ γοῦν δικαίου, τῆς γεωργίας καὶ ἡ δικαιοσύνη, καὶ ἡ ἁπλῶς δίκη etc. nos vero meliorem lectionem secuti, aliter haec interpolavimus: ἀπὸ γοῦν τοῦ δικαίου βίου τῆς γεωργίας, ἡ δικαιοσύνη καὶ ἡ ἁπλῶς δίκη etc. Θέμις est Aeschylo quae *legifera Ceres* Maroni dicitur: *Legiferae Cereri, Phoeboque patrique Lyaeo.* Locus Aeschyli est

39 γοῦν τοῦ δικαίου [v]) βίου τῆς γεωργίας, καὶ ἡ δικαιοσύνη, καὶ ἡ ἁπλῶς δίκη, θέμις καλεῖται. Tzetzes.

ΘΕΜΙΣΤΑΣ. Ὡς τὸ ΔΙΑΛΕΓΕΣΘΑΙ καὶ ΧΡΗΜΑΤΙΖΕΙΝ, τὸ μὲν χρηματίζειν λέγεται ἐπὶ θεῶν, τὸ δὲ διαλέγεσθαι ἐπ' ἀνθρώπων· οὕτω καὶ ΔΙΚΗ μὲν ἐπὶ ἀνθρώπων, ΘΕΜΙΣ δὲ ἐπὶ θεῶν. Δίκη γάρ ἐστι κρίσις, ἣν οἱ ἄνθρωποι κρίνουσι· θέμις δὲ δίκη ἣν οἱ θεοὶ δικάζουσιν. Moschop.

10. ΤΥΝΗ. Δωρικὴ παράγωγος ἀντωνυμία· [w]) οὗτοι γὰρ τὸ τύνη, ἀντὶ τοῦ σὺ λέγουσι, καὶ ἐγώνη, καὶ τὰ ὅμοια. Tzetzes.

Ibid. ΕΓΩ ΔΕ ΚΕ ΠΕΡΣΗι. καὶ τὰ ἐπιῤῥήματα, καὶ οἱ παραπληρωματικοὶ, φωνήεντος ἐπιφερομένου, ἐφέλκουσι [x]) τὸ ν, συμφώνου δὲ οὐκέτι. Tzetzes.

11. ΟΥΚ ΑΡΑ ΜΟΥΝΟΝ. Διττή ἐστιν [y]) ἡ ἔρις. Ἡ μὲν γὰρ ἅμιλλα καὶ ζῆλος εἰς τὴν τοῦ ἀγαθοῦ τεῦξιν· ἡ δὲ φιλόνεικος ζωὴ μετὰ φθόνου καὶ δυσμενείας γινομένη. Ἀλλ' αὗται μὲν αἱ δύο περὶ γῆν εἰσιν· ἐπείπερ ἐνταῦθα καὶ τὰ καταμαχόμενα τοῖς ἀγαθοῖς. Ἡ δ' ἀμείνων ἔρις τοῦ ἀγαθοῦ ἕνεκα γινομένη, καὶ ἐν τοῖς κρείττοσιν [z]) ἡμῶν ἐστιν. ΑΛΛΩΣ. Οὐκ ὡς ἔοικεν (ἓν) ἦν τὸ τῶν ἐρίδων γένος, ἀλλὰ δύο. Λαμβά-

Prometheo δεσμ. Ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις, Καὶ Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία. Quem locum ita intelligit interpres: ἐμοὶ, φησὶν, ὁ Προμηθεὺς, ἡ μήτηρ προεῖπε τὰ μέλλοντα γενέσθαι. Τὸ δὲ, οὐχ ἅπαξ μόνον Θέμις, ἀλλὰ καὶ Γαῖα, οὕτω νοητέον, εἰ καὶ ἡ ἐμὴ μήτηρ, καὶ Θέμις καὶ Γαῖα λέγεται, οὐ καινόν· καὶ γὰρ ἄλλην μορφὴν ἔχουσιν οἱ θεοὶ, πολλοῖς δὲ ὀνόμασι καταμερίζονται. Heinsius.

v) βίου deest Bas.

w) οὗτοι γὰρ τὸ τὺ ἀντὶ τοῦ σὺ τύνη λέγουσι, καὶ ἐγώνη καὶ ἐμίνη E. ἐγὼ ἐγώνη, ἐμοὶ καὶ ἐμοίνη καὶ τὰ ὅμοια F. ἀντὶ τοῦ σὺ τύνη γράφουσι, καὶ ἐγώνη G. οὗτοι γὰρ τὸ τὺ ἀντὶ τοῦ σὺ τύνη λέγουσιν, ἐγὼ ἐγώνη, ἐμοὶ ἐμοίνη, καὶ τὰ ὅμοια H. Deest hoc et seq. schol. Trinc. In Dorvill. leguntur, Τύνη ὅτι πρὸς τὸν Δία· Πολύζηλος δὲ ἐν Ῥοδιακοῖς τύνη· ἄρχονται χαλκιδία φασὶν ἀφ' οὗ κρίνεται τὸν Ἡσίοδον μετὰ τοῦ ἀδελφοῦ. Διονύσιος δὲ φαιὲ ὅριστοι ἀγνοοῦντες ὅτι ἀντωνυμία ἐστὶ παράγωγος· ἀπὸ τοῦ τὺ τύνη καὶ ἐγὼ ἐγώνη: — Haec docti alicujus grammatici verba sunt, corrupta tamen, nec sine integrioris codicis ope expedienda.

x) τὸ ν addita ex E.

y) Articulus additus ex Dorv. ubi mox γινομένη deest. Legitur etiam hoc Scholion in Dorv. "Ἀνωστέον (sic) ἔστω σοι καὶ τὸ οὐκ ἄρα μοῦνον ἔην· διὰ τί εἶπεν οὐκ ἄρα μοῦνον πρὶν εἴπῃ τίνος. εἶπε τὸ οὐχὶ πῶς ναί· εἶπε γὰρ ἐν τῇ Θεογονίᾳ ὅτι ἓν γένος ἐστὶ φιλονεικίας καὶ ὧδε ἔμελλεν εἰπεῖν ὅτι δύο εἰσί· καὶ εἶπεν τὸ οὐχὶ τάχα ὅτι ἐψεύσατο ἐν τῷ εἰπεῖν ὅτι ἓν γένος ὑπάρχει φιλονεικίας: —

z) ἡμῖν Dorv. "Ἄλλως — δύο addidi ex eodem cod.

νηται δὲ ἑαυτοῦ, ἐπειδὴ ἐν τῇ Θεογονίᾳ μίαν γέννησιν παρέδωκεν ἐρίδων, ὅθεν ἐνταῦθα ὥσπερ συναισθησόμενος ἑαυτοῦ δύο λέγει, διὰ τὸν καιρὸν καὶ τὸν σκοπὸν τοῦ γράμματος. Proclus.

Ibid. *ΟΥΚ ΑΡΑ ΜΟΥΝΟΝ ΕΗΝ.* Ἐν τῇ Θεογονίᾳ, ἓν γένος ἀντὶ τοῦ εἶδος εἰπὼν τῶν ἐρίδων ὁ Ἡσίοδος, ἐνταῦθα ὥσπερ ἐπιδιορθοῦται [a]) αὐτὸς ἑαυτὸν λέγων· οὐχὶ δὴ ἓν γένος ἐστὶ τῶν ἐρίδων, ἀλλὰ δύο. Ἔρις γὰρ ὁ ζῆλος λέγεται, ὅπερ ἐστὶν ἡ ἀγαθὴ ἔρις· ἀλλὰ καὶ ὁ φθόνος, καὶ ἡ κακίστη ἔρις, καὶ [b]) αἱμοχαρής. *ΜΟΥΝΟΝ.* Μόνον Ἰωνικῶς. *ΔΥΟ* τὸ ο μικρὸν κατὰ Ἴωνας. Ὡς δὲ μέρος λόγου, μακρὸν δέχεται κατὰ κοινὴν συλλαβήν· κατὰ Δωριεῖς δὲ καὶ Ἀττικοὺς, μέγα. Ὅτι δ' ἐν γῇ καὶ [c]) οὐκ ἐν οὐρανῷ αἱ ἔριδες, δῆλον. Τὸ δ' ἐν τοῖς εὐτελέσι, καὶ οὐ λόγου ἀξίοις, λόγους μηκύνειν, Προκλικόν ἐστιν· ὡς καὶ τὸ *ΕΠΙΜΩΜΗΤΗ*, καὶ τὸ *ΔΙΑ Δ' ΑΝΔΙΧΑ ΘΥΜΟΝ ΕΧΟΥΣΙΝ*, ὁ σοφὸς Πρόκλος, θυμὸν τὴν ζωὴν λέγει. Ἡμεῖς δὲ, [d]) γλυκύτατον καὶ ἔμψυχον λόγον καλοῦμεν· τῶν γὰρ ἐριζόντων τὸν θυμὸν, ἤτοι τὴν ψυχὴν διπλῆν καὶ διαμεμερισμένην ἐχόντων, ὁ Ἡσίοδος ἐπὶ τῆς ἔριδος τοῦτο εἶπε. Tzetzes.

11. [22]) *ΟΥΚ ΑΡΑ ΜΟΥΝΟΝ.* Ὡς ἔοικεν, οὐχ ἓν ἦν, ἀντὶ τοῦ ἐστὶν Ἀττικῶς, τὸ εἶδος τῶν ἐρίδων. Τὸ *ΜΟΝΟΝ*

a) αὐτὸ pro αὐτὸς ἑαυτὸν E.

b) αἱμοχάρις E. Μοῦνον ad μέγα om. Trinc.

c) Particulam negantem assumsi ex E. G. Τὸ δ' ad ἐστιν· ὡς καὶ om. Trinc. ὁ σοφὸς ad λέγει om. Trinc. ὀλίγου ἀξίοις pro οὐ λ. ἀ. E.

d) γλυκύτητα Trinc. ἡμεῖς δὲ τούτου γλυκύτητα E. τοῦτο γλυκύτατον F. Mox in Moschop. dedi οὐ λεγομένου — ὑπέρθεσιν pro οὐ λεγόμενον — ὑπόθεσιν ex MSS. Bodl.

22) οὐκ ἄρα μοῦνον] ὡς ἔοικεν. etc. Secutus hic est vetustiorem aliquem magistrum Moschopulus: nec dubium quin Apollonii interpretem, qui τὸ ἄρα ἠθικῶς sumi notat, et ita interpretatur, ad illud: ἦ ἄρα δή τις ἔην Φινεῦ θεός. τὸ ἦ ἄρα, ἠθικῶς, ἀντὶ τοῦ, ὡς ἔοικε. καὶ ἐν Ὀδυσσείᾳ. Οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν. καὶ Ἡσίοδος, οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος, οὐκ ἦν, ὡς ἔοικε, μία ἔρις. Sed de ejusmodi particulis quibus peculiariter authores singuli ἐκ περιττοῦ utuntur, nunquam est disputandum accuratius: quod tamen a Grammaticis obtineri non potest, qui in his semper acumen suum ostentant. Sic Philosophus saepe κατὰ τὸ ἐπελθὸν voce ἴσως utitur, de quo frustra tam accurate inquirunt interpretes. Sic lib. ad Nicomachum 3. cap. 1. τὸ ἑκούσιον καὶ ἀκούσιον ἀναγκαῖον ἴσως διορίσαι τοῖς περὶ ἀρετῆς ἐπισκοποῦσι. Ad quem locum notat Eustratius: τὸ ἴσως οὐ πρὸς τὸ ἀναγκαῖον· ἀναγκαῖον γὰρ αὐτὸ διαλαβεῖν, ἀλλὰ τὸ ἴσως πρὸς τὸ

ὄνομά ἐστιν ὑπερθετικὸν, κατὰ τὸ ἰδιάζον τὴν ὑπέρθεσιν ἔχον· οὗ λεγομένου, καὶ ἄλλα ἀνάγκη συνυπακούεσθαι πρὸς ἃ αὐτὸ τὴν ἑαυτοῦ ὑπέρθεσιν ἕξει, ἐφ' ἃ λεγόμενον μέσην ἔχει πάντως τὴν ἀπὸ πρόθεσιν, ἢ παροῦσαν, ἢ συνυπακουομένην· οἷον "μόνος πάντων," ἀντὶ τοῦ ἀπὸ πάντων, καὶ "οἷος ἀπ' ἄλλων," παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τοῖς ἔπεσι. Τὸ
41 μὲν οὖν δὴ μόνον ὂν, ἓν ἂν εἴη πάντως τῶν ἄλλων κεχωρισμένον· τὸ δὲ μὴ μόνον ὂν, ἓν πάντως ἐστὶν ἢ μεθ' ἑνὸς ἢ μεθ' ἑτέρων πολλῶν. Εἰ οὖν τοῦτο, φανερὸν, ὅτι οὐχ ἁρμοδίως ἐνταῦθα κεῖται τὸ οὐ μόνον κατὰ τὴν ἑαυτοῦ δύναμιν, ποιητικῶς δὲ λέγεται ἀντὶ τοῦ οὐχ ἕν. Moschop.

Ibid. *ΕΡΙΔΩΝ ΓΕΝΟΣ.* Τὸ *ΓΕΝΟΣ* ἐνταῦθα ἀντὶ τοῦ εἶδος. Ἡ ἀκρίβεια δὲ τούτων παρὰ τοῖς φιλοσόφοις φυλάττεται· ποιηταῖς δὲ καὶ λογογράφοις ἐφεῖται τῷ γένει χρῆσθαι ἀντὶ τοῦ εἴδους. Moschop.

Ibid. *ΑΛΛ' ΕΠΙ ΓΑΙΑΝ.* ἀντὶ τοῦ κατὰ τὴν γῆν. Moschop.

12. *ΕΙΣΙ ΔΥΩ.* Ἔριδες δηλονότι. Τὴν μὲν ἐπαινέσειεν ἄν τις νοήσας· ἡ δὲ *ΕΠΙΜΩΜΗΤΗ*, ἤγουν πολλοῦ ψόγου ἀξία· ἐπίτασιν γὰρ ἔχει ἡ ἐπί· ἐπιμωμητὴ ποιητικὸν, ἐπίψογος κοινόν. *ΔΙΑΝΔΙΧΑ* ποιητικὸν, δίχα κοινὸν, ἢ διχῆ. Καὶ τὸ διάνδιχα δὲ ἀπὸ τοῦ δίχα γίνεται προσθήκῃ τοῦ αν συνδέσμου καὶ τῆς διὰ προθέσεως, χωρισμὸν καὶ αὐτῆς δηλούσης καὶ οὐδὲν πλέον τοῦ διχῆ, τουτέστι δίχα, ἤγουν ἰδίᾳ καὶ χωρὶς ἀπ' ἀλλήλων ἔχουσι τὴν ζωὴν, τουτέστι διαφόρως ζῶσιν. *ΠΟΛΕΜΟΝ ΤΕ ΚΑΚΟΝ.* Τὸν πόλεμον ἐξαιρέτως λέγει κακόν· θανάτους γὰρ ἐπάγει, ὃ τὸ μέγιστόν ἐστι τῶν σωματικῶν κακῶν. Moschop.

Ibid. [23]) *ΤΗΝ ΜΕΝ ΚΕΝ ΕΠΑΙΝΕΣΣΕΙΕ ΝΟΗΣΑΣ.* Προσυπακουστέον τὸ τίς· τὸ γὰρ ὅλον ἦν, ἐπαινέσειεν ἄν τις νοήσας· οὐ γὰρ ὁ τυχὼν τὴν ἀμείνω τῶν ἐρίδων ἐπαινέσειεν,

πρῶτον διορίσαι· τοῦτο γὰρ λείπει. καὶ περὶ τῶν ἄλλων, τῶν μελλόντων περὶ ἀρετῆς λέγεσθαι· οὐ γὰρ ἀναγκαῖος ὁ περὶ αὐτοῦ λόγος· οὕτως καὶ ἐν τῇδε τῇ τάξει. ἢ τὸ ἴσως ἀντὶ τοῦ ὁμοίως. Sed frustra se torquet: Philosophus enim εὐεπιφόρως ἔχει πρὸς τὸ ἴσως: nec aliud notare in similibus locis debebant ejus interpretes. Sic lib. Rhetor. 2. Ἡ γὰρ ποιητικὴ ἴσως οὐ ταπεινὴ, ἀλλ' οὐ πρέπουσα λόγῳ. Et saepe alibi. Heinsius.

23) τὴν μέν κεν ἐπαινέσσειε νοήσας] προσακουστέον τὸ τίς. Fallitur: adi notas nostras ad Hesiodum. Heinsius.

ἀλλ' ὁ δυνηθεὶς αὐτὴν τῷ νῷ θεωρῆσαι μεγάλων οὖσαν ἀγαθῶν αἰτίαν τοῖς ἀνθρώποις. PROCLUS.

13. Ἡ Δ' ΕΠΙΜΩΜΗΤΗ. Δηλονότι ἡ χείρων ἔρις ἀπὸ φιλονείκου γινομένη προαιρέσεως, ἄλογος οὖσα τοῦ θυμοῦ κίνησις, καὶ οὐχ ἁπλῶς μωμητὴ, ἀλλὰ μετὰ ἐπιτάσεως [e]) ἐπιμωμητὴ, ὡς ἐπιτεταμένη οὖσα, ψεκτὴ παρὰ τοῖς ἔμφροσι. PROCLUS.

Ibid. [24]) ΔΙΑ Δ' ἈΝΔΙΧΑ. Χωρὶς διεστήκασι κατὰ τὴν ζωήν· ταύτην γὰρ εἶπε θυμόν· καὶ γὰρ πᾶσα ζωὴ ψυχικὴ κα- 42
λεῖται θυμός. PROCLUS.

ΚΑΙ ΔΗΡΙΝ. Ἤγουν μάχην ἐκ παραλλήλου, ὡς ἐν ἄλλοις, Πόλεμοί τε μάχαι τε. MOSCHOP.

14. [f]) ΠΟΛΕΜΟΣ. Πολυαμής τις ὢν, ὁ πολλοὺς ἀμῶν καὶ θερίζων. ἢ πολυεμὴς, ὁ πολλοὺς χέων καὶ καταβάλλων τροπικώτερον. Δῆρις ἡ φιλονεικία· ἐκ τοῦ δαίρω ἔδαρον, δῆρις. TZETZES.

15. ΣΧΕΤΛΙΗ. Χαλεπὴ, κρατητικὴ λίαν. Κρατητικὰ γὰρ καὶ παράμονα, τὰ φαῦλα· τὰ δ' ἀγαθὰ συντόμως ἐκτρέχει. TZETZES.

ΣΧΕΤΛΙΗ. Καθὰ λέγεται τὸ λευκὸν, ἐνίοτε μὲν ἐπὶ τοῦ

e) μωμητὴ Dorv.

24) διὰ δ' ἄνδιχα] χωρὶς διεστήκασι κατὰ τὴν ζωήν. ταύτην γὰρ εἶπε θυμόν. καὶ γὰρ πᾶσα ζωὴ ψυχικὴ καλεῖται θυμός] Vapulat infra ob hanc interpretationem a magistro Tzetze hic Grammaticus, qui hoc modo in eum invehitur: τὸ δ' ἐν τοῖς εὐτελέσι, καὶ οὐ λόγου ἀξίοις, λόγους μηκύνειν, Προκλεικόν ἐστιν. ὡς καὶ τὸ ἐπιμωμητὴ, καὶ τὸ διάνδιχα θυμὸν ἔχουσιν, ὁ σοφὸς Πρόκλος, θυμὸν τὴν ζωὴν λέγει· ἡμεῖς δὲ γλυκύτατον καὶ ἔμψυχον λόγον καλοῦμεν. τῶν γὰρ ἐριζόντων τὸν θυμὸν, ἤτοι τὴν ψυχὴν διπλῆν καὶ διαμεμερισμένην ἐχόντων, ὁ Ἡσίοδος ἐπὶ τῆς Ἔριδος τοῦτο εἶπε. Plerunque Proclus, sicut multi hodie in Homeri et Hesiodi archaismo falluntur, cum omnia κατὰ τὸ λεπτομερὲς inquirunt: quia plerunque totum dicendi genus non vox una est examinanda. Sic διάνδιχα ἔχειν, aut διάνδιχα θυμὸν ἔχειν, dicuntur, qui inter se differunt, οἱ ἄλλως ἔχοντες: quod genus loquendi cum exponere debuisset Proclus, vocem θυμὸς exponit, quae in ejusmodi generibus loquendi eleganter abundat; sicut hoc loco cum ad τὰς ἔριδας refertur ab hominibus, hoc est ἐπὶ τὸ ἄψυχον. Debuisset igitur interpretari Proclus: διάνδιχα θυμὸν ἔχουσι· πολὺ ἀλλήλων διαλλάττουσι, πολὺ ἀλλήλων διαφέρουσι, vel, πολὺ ἀλλήλων διεστήκασι simpliciter. Latinus quoque interpres pessime haec cepit. Nec hoc propterea Tzetzis profundas ineptias ei Grammaticum acumen excusat. HEINSIUS.

f) Hoc et sequens Schol. om. Trinc. Δῆρις — δῆρις ex E. In Schol. seqq. edd. habent bis κρατικὰ, et παράνομα. Emendavi ex E.

χρώματος τοῦ διακριτικοῦ τῆς ὄψεως, ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος τοῦ μετέχοντος αὐτοῦ· οὕτω καὶ τὸ σχέτλιον ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ κακοῦ, ὡς ἐνταῦθα σχετλία ἡ ἔρις ἀντὶ τοῦ κακὴ, ἐνίοτε δὲ ἐπὶ τοῦ μετέχοντος τοῦ κακοῦ, καὶ διὰ τοῦτο ἀθλίου. Καθ' ὃ λέγεται σχέτλιος ἄνθρωπος, ἤγουν ἄθλιος· ὅθεν τὸ σχετλιάζειν καὶ ὁ σχετλιασμός. Moschop.

Ibid. *ΟΥΤΙΣ ΤΗΝ ΓΕ ΦΙΛΕΙ ΒΡΟΤΟΣ.* Μὴ εἴπῃς ὑπερβατῶς, οὔτις τήν γε φιλεῖ βροτὸς ἀθανάτων βουλῇσιν, ἀλλ' οὕτως, οὔτις τήν γε φιλεῖ βροτὸς, δηλονότι ἑκὼν, ἀλλ' ὑπ' ἀνάγκης καὶ βίας ἐν ταῖς βουλαῖς τῶν ἀθανάτων, ἤγουν τῆς εἱμαρμένης. Οἱ θεοὶ γὰρ, ὡς ἔφην, [g]) ἤτοι ἡ εἱμαρμένη, τὴν ἔριν τιμῶσι τὴν βαρεῖαν. Εἰ δέ τις ἐρεῖ, ἄρα οἱ θεοὶ κακοῦ [h]) αἴτιοι; Ναὶ κατὰ τὴν Ἡσιόδου δόξαν εἰπέ· οὗτος γὰρ ψυχῶν λέγει εἶναι προΰπαρξιν. Αἱ δὲ ψυχαὶ αὗται καθ' ἑαυτὰς οὖσαι, [i]) οὔτε τροφῶν οὔτε κτημάτων ἢ χρημάτων, ἤ τινὸς [k]) ἑτέρου τῶν σωματικωτέρων ἐδέοντο, δι' ἃ γίνονται μάχαι καὶ ἔριδες. Ἐπεὶ δὲ εἱμαρμένῃ τινὶ συνεζεύχθησαν [l]) σώμασιν, ἃ καὶ τροφῶν καὶ χρημάτων καὶ τῶν ἄλλων [m]) ἐπιδέονται, δι' ἃ συμβαίνουσιν ἔριδες, εἰκότως ἀθανάτων, ἤγουν τῆς εἱμαρμένης [n]) βουλαῖς ἔφη, τιμῶσι τὴν ἔριν οἱ ἄνθρωποι. Tzetzes.

Ibid. *ΟΥΤΙΣ ΤΗΝ ΓΕ ΦΙΛΕΙ ΒΡΟΤΟΣ.* Ἤγουν οὐδεὶς ἄνθρωπος φιλεῖ αὐτὴν, τουτέστι φυσικῶς αὐτῇ διατίθεται. *ΑΛΛ' ΥΠ' ΑΝΑΓΚΗΣ ΤΙΜΩΣΙ ΤΗΝ ΕΡΙΝ·* ἀντὶ τοῦ χρῶνται αὐτῇ οἱ ἄνθρωποι, διὰ τὰς βουλὰς τῶν θεῶν. *ΤΗΝ*
43 *Δ' ΕΤΕΡΗΝ.* Τὴν ἐπαινουμένην δηλονότι, ἣν ἅμιλλαν σύντονον τῆς λογικῆς ψυχῆς λέγουσι, προτέραν τῆς ἑτέρας, τῷ χρόνῳ δηλονότι. Λέγεται δὲ ἐπιῤῥηματικῶς, τουτέστι, τὴν δὲ ἑτέραν πρότερον μὲν ἐγέννησεν ἡ νὺξ ἡ ἐρεβεννὴ, ἣν ὁ Πρόκλος θεὸν λέγει ὑπὲρ τὸν κόσμον, τοῖς ὄμμασι τῶν ἀνθρώπων ἀθέατον· καὶ διὰ τοῦτο ἐρεβεννὴν ὑπὸ τοῦ Ἡσιόδου κληθῆναι. Moschop.

Ibid. *ΑΛΛ' ΥΠ' ΑΝΑΓΚΗΣ.* Ὑπερβατὸν, ἡ μὲν γὰρ

g) ἤτοι deest Bas. Heins. Reposui e Trinc. ἔφην καὶ ἡ E.

h) αἴτιοι; εἰπὲ ναὶ κατὰ τὴν Ἡσιόδου· οὗτος E. Mox ψυχῆς H.

i) οὔτε τροφῶν om. H. Trinc.

k) ἄλλου Trinc.

l) σώμασιν. Sic Trinc. H. σώματι G. σώματα Bas. Heins.

m) ἐπιδέονται. Sic E. Trinc. ἐπιδεδέηνται Bas. Heins.

n) βουλαῖς. Sic E. βουλῇ Trinc. F.

σχετλίη πόλεμόν τε τὴν χείρονά φησιν ἔριν ἀκούσιον εἶναι τοῖς ἀνθρώποις· εἰκότως. καὶ γὰρ [o]) ἅπαν τὸ κακὸν ἀκούσιόν ἐστιν· ὥς φησι καὶ Πλάτων. Ὑπ' ἀνάγκης δὲ τιμᾶσθαι παρὰ τῶν ἀνθρώπων, διὰ τὴν ἄλογον ζωὴν, ἣν ἔσχον εἰς σῶμα πεσούσης τῆς ψυχῆς. Καὶ τοῦτο κατὰ βούλησιν εἶναι τῶν θεῶν, τὸ τῇ ἀνάγκῃ [p]) τοιαύτῃ συσχεθῆναι· ἵνα δηλονότι μισήσωσι τὸ μετὰ σώματος ζῆν. Οὐ γὰρ ἐνδέχεται σώμασι συνόντας ἔξω παντελῶς εἶναι τῶν κατὰ τὸ σῶμα παθῶν. Proclus.

16. *ΕΡΙΝ ΤΙΜΩΣΙ.* Τὴν [q]) ἑτέρην τιμῶσι πληροῦντες τὴν πληροφορίαν αὐτῆς τυχὸν, καὶ φιλοτίμως ἔχουσι πρὸς τὸ μάχεσθαι· καὶ τιμῶσι μὲν καλῶς εἶπεν, οὐ φιλοῦσι δέ. Proclus.

17. *ΤΗΝ Δ' ἙΤΕΡΗΝ.* Τὴν ἀμείνω λέγει· καὶ αὐτὴν οὖσαν τῆς λογικῆς ψυχῆς ἅμιλλαν σύντονον πρὸς τὸ ἀγαθὸν ὁρῶσαν. Ταύτην οὖν [r]) γεννηθῆναι παρὰ τῆς νυκτός φησιν. Ἔστι δὲ ἡ νὺξ θεὸς ὑπὲρ τὸν κόσμον ἀφανὴς τοῖς ὄμμασιν ἡμῶν· καὶ διὰ τοῦτο ἐρεβεννὴ, ὥσπερ καὶ αὐτὸν τὸν Δία πατέρα [s]) φασὶ τῶν ψυχῶν. Ἐκείνη οὖν ἐγέννησε τὴν κρείττω ἔριν, ὡς πάντα ἀνάγουσαν ἐπὶ τὴν ἀφανῆ καὶ θείαν ζωήν. Αἰτία γάρ ἐστι πάντων τῶν ἀοράτων. *ΑΛΛΩΣ.* Τὰ γὰρ καλὰ προγενέστερα· μετὰ ταῦτα δὲ ἐφάνη ἡ κακία· νὺξ δὲ [t]) αὐτὴν ἔτεκεν. Ὅτι ἀπὸ τοῦ ἀφανοῦς παρυφίσταται τὰ πάντα τά τε κακὰ καὶ τὰ ἀγαθά. Proclus.

Ibid. *ΝΥΞ ΕΡΕΒΕΝΝΗ.* Τὴν ἀγαθὴν ἔριν, ἤγουν τὸν ζῆλον φησὶ προτέραν τῆς φαύλης τῷ τε χρόνῳ, καὶ ἀξιώματι. Τὸ *ΝΥΞ* δὲ *ΕΡΕΒΕΝΝΗ* οὐκ ἐκ τοῦ ἀφανοῦς ἐγὼ λέγω· καὶ γὰρ

o) ὅπερ Dorv. Vide Platonem de Legibus p. 731. et locos ab Astio citatos T. II. p. 243.

p) τοιούτοις Dorv. et mox σώματι.

q) ἔριν Dorv. τιμῶσι μὲν ex Dorv. al. δέ. Post hoc Scholion aliud inserendum est ex C. Ἀθανάτων βουλῆσι.) Πάντων αἰτίους Ἑλληνικῷ φρονήματι τοὺς θεοὺς εἶναί φησιν· ἡμεῖς δὲ οὐχ οὕτως· ἀλλ' εἶναι μὲν τὸν θεὸν ἀγαθῶν πάντων αἴτιον, τὰ φαῦλα δὲ ὕστερον παρελθεῖν. Φασὶ δὲ ὅτι αἱ ψυχαὶ, προϋπάρχουσαι τῶν σωμάτων, ἐπειδὴ τῆς εἱμαρμένης βουλήσει σώμασιν ἐγκατακλείσθησαν, ἃ δὴ καὶ πολλῶν ἐν χρείᾳ καθίσταται· οὕτω θελήσει θείᾳ καὶ τὰ φαῦλα ὑφίσταται.

r) γεγεννῆσθαι Dorv. Mox καὶ τὸ ἀγαθὸν pro πρὸς τ. ἀ. C. Ἔστι δὲ pro ἔ. γὰρ A. Dorv.

s) φασὶ deest A. Dorv. Mox ἀοράτων ἢ ὁρατῶν Dorv.

t) αὐτὴν deest B. Dorv. Mox ὅτι ἀπὸ τοῦ ἀφανοῦς παρῆλθε πάντα A. B. ἀπὸ τοῦ ἀφανοῦς εἰς φῶς προῆλθε τὰ πάντα Dorv.

καὶ ἡ ἑτέρα ἐξ ἀφανοῦς γίνεται· ἀλλ' οὕτω φημὶ, ὅτι ἐν ἀρχῇ ἦν Ἔρεβος, καὶ Χάος, εἶτα γεγόνασιν ἄνθρωποι. Σύμφυτος
44 οὖν καὶ σύγχρονος τοῖς ἀνθρώποις ἡ χρηστὴ ἔρις ἐκ τοῦ [v]) Ἐρέβους ἐκείνου καὶ τοῦ Χάους ἐγένετο. Ἡ δὲ φαύλη προσεπεγένετο ὕστερον. Πάντα γὰρ τὰ ἀγαθὰ, σύμφυτα τοῖς ἀνθρώποις· ἐπίκτητα δὲ τὰ φαῦλα. [w]) Ἢ καὶ οὕτως· ἡ χρηστὴ ἔρις ἐκ τῆς νυκτὸς δοκεῖ γεγενῆσθαι, τουτέστιν ἐξ ἀφανοῦς. Ὅτι πᾶς τινὸς ζηλωτὴς κρυφῇ τοῦτον ἀπομιμεῖται· ὁ δὲ φθονῶν φανερῶς λοιδορίας ἐγείρει καὶ μάχας. Ἐρεβεννὴ Αἰολικῶς διὰ δύο νν γράφεται. Tzetzes.

Ibid. ΕΡΕΒΕΝΝΗ. Σκοτεινὴ, ἀπὸ τοῦ ἔρεβος τὸ σκότος κατὰ παραγωγήν· ἐνταῦθα ταυτὸ θέλει δηλοῦν τὸ ἐρεβεννὴ τῷ ἀφανής. Moschop.

18. ΘΗΚΕ ΔΕ ΜΙΝ. Τὴν μὲν συνέπειαν οὕτω δεῖ καθιστάνειν· ὁ Ζεὺς ὁ ἐν τῷ αἰθέρι [x]) ναίων, καὶ ἐν τοῖς ἀνδράσι, καὶ ἐν ταῖς ῥίζαις τῆς γῆς ἀμείνω τὴν ἔριν ἔθηκε ταύτην ἐκείνης, ἵνα διὰ μὲν τοῦ αἰθέρος δηλώσῃ τὸ ἀκρότατον· διὰ δὲ τῶν ἐν τῇ γῇ ῥιζῶν, τὸ ἔσχατον· διὰ δὲ τῶν ἀνδρῶν, τὸ μέσον· οὔτε αἰθερίων ὄντων, [y]) οὔτε χθονίων φυτῶν· διὰ πάντων δὲ, ὅτι πανταχοῦ ἐστι τὸ θεῖον, καὶ ἐν πᾶσι, πρώτοις, μέσοις, ἐσχάτοις. Εἰπὼν δὲ, ὅτι [z]) νὺξ ἔτεκε τὴν ἀμείνω ἔριν, φησὶ παρὰ τοῦ Διὸς ἀρείονα γενέσθαι, δόντος αὐτῇ καὶ ἐν τῷ κόσμῳ δύναμιν σεμνοτέραν τῆς ἑτέρας. Proclus.

Ibid. ΘΗΚΕ ΔΕ ΜΙΝ ΚΡΟΝΙΔΗΣ. Ὁ Κρόνου παῖς ἤγουν ἡ εἱμαρμένη, [a]) ἡ κοροῦσα καὶ σκοτίζουσα τὸν νοῦν, ἢ ἡ ἀφανὴς καὶ ἄδηλος, ἡ ἐν τοῖς ὑψηλοῖς ζυγοῖς καὶ καθέδραις τοῦ ζωδιακοῦ κύκλου καὶ [b]) τοῦ αἰθέρος ἱδρυμένη. Ἔφην γὰρ, ὡς ἐκ τῆς κινήσεως λέγουσι τῶν ἀστέρων ἀποτελεῖσθαι τὰ εἱ-

v) Ἐρέβους γὰρ Trinc. Mox προσεγένετο E. προεγένετο Bas. Deinde ἐπίκτητα δὲ καὶ παράνομα τ. φ. Trinc.

w) ἢ οὕτως· ἐκ τῆς mediis om. Trinc. φανερῶς om. E. Ἐρεβεννὴ ad fin. des. Trinc.

x) μένων Dorv.

y) οὐδὲ Dorv.

z) ὁ ζεὺς pro νὺξ Dorv. Mox αὐτὴν pro αὐτῇ A. Dorv. καὶ om. Dorv.

a) ἡ κοροποῦσα. Sic Bas. Heins. ἡ κερόνους Trinc. κορόνους G. H. κρόνους F. Παῖς ζεὺς ἤτοι ἡ εἱμαρμένη ἡ κορύνουσα E. Reposui ἡ κοροῦσα. Tzetzes infr. 240. ἡ κοροῦσα καὶ μελαίνουσα τὸν νοῦν καὶ σκιάζουσα.

b) αἰθέρος E. F. Trinc. αἰθερίου Bas. Heins.

μαρμένα. [25])Ἔθηκε γοῦν ταύτην τὴν ἔριν πολλῷ [c]) ἀμείνω τῆς ἑτέρας [d]) ὁ Ζεὺς, ὁ ναίων [26])καὶ ἐν τῷ αἰθέρι, καὶ ἐν ταῖς ῥίζαις τῆς γῆς, καὶ ἐν τοῖς ἀνδράσι· διὰ πάντων γὰρ διήκει ἡ εἱμαρμένη. Δία δὲ εἶπον, ὅτι τὴν εἱμαρμένην νῦν λέγει. Τὰ ἑξῆς δῆλα. Tzetzes.

18. ΘΗΚΕ ΔΕ ΜΙΝ. Ἀντὶ τοῦ ἐποίησε δὲ αὐτὴν ὁ Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου. Ὁ ὙΨΙΖΥΓΟΣ, ἤγουν ὁ ἐπὶ μετεώρου θρόνου καθήμενος, ὁ οἰκῶν ἐν τῷ αἰθέρι, ἀντὶ τοῦ ἐν τῷ οὐρανῷ, καὶ ὁ οἰκῶν ἐν ταῖς ῥίζαις τῆς γῆς, ἤγουν ἐν τοῖς καταχθονίοις, καὶ ἐν τοῖς ἀνδράσι, κατὰ πολὺ ἀμείνονα, ἤγουν κρείττονα τῆς ἑτέρας δηνολότι. ΠΟΛΛΟΝ, ποιητικὸν, πολὺ, κοινόν. Moschop.

19. ΓΑΙΗΣ Τ' ΕΝ ῬΙΖΗιΣΙΝ. Ἐν τοῖς φυτοῖς τοῖς ἐῤῥιζωμένοις τῇ γῇ, ἢ ὅτι [e]) ἐῤῥίζωσεν αὐτὴν ἐν τῇ γῇ· ἢ ὅτι

c) Edd. ἀμείνονα.

25) ἔθηκε γοῦν ταύτην τὴν Ἔριν πολλῷ ἀμείνω τῆς ἑτέρας ὁ Ζεὺς ὁ ναίων καὶ ἐν τῷ αἰθέρι, καὶ ἐν ταῖς ῥίζαις τῆς γῆς, καὶ ἐν τοῖς ἀνδράσι] Erravit cum Moschopulo et Proclo Tzetzes ὑπερβατῶς, hoc est circa τὴν τῶν λόγων συνέχειαν, et ordinem verborum; qui Hesiodum hoc velle existimat, τὸν Δία ναίειν ἐν αἰθέρι καὶ ἐν ῥίζαις τῆς γῆς. Cum ita debuerit de toto loco statuere, et hoc modo interpretari: ἔθηκε γοῦν ταύτην τὴν ἔριν ὁ Ζεὺς ὁ ναίων ἐν τῷ αἰθέρι, ἐν ταῖς ῥίζαις τῆς γῆς, καὶ τοῖς ἀνθρώποις, πολλῷ ἀμείνω τῆς ἑτέρας ἔριδος οὖσαν. Nam hinc opinio nata est philosophorum, de qua Aristoteles, et ex eo nos, illorum qui φιλίαν esse ἔριν putabant: omniaque in toto universo ex illa constare. Quam opinionem ex hoc loco hauserant qui non aliam divisionem secuti erant, quam quae hinc sumi potest, κατὰ ταύτην τὴν σύνταξιν. Ἔριν enim, quam Hesiodus in terrae radicibus constituit, hoc est, ἐν ὅλῳ τῷ κόσμῳ fatali potentia locatam esse vult, ἁρμονίαν dicebant: quae est illa celeberrima, de qua tot veterum philosophi, altera, quam ἐν τοῖς ἀνδράσιν, ἤγουν ἀνθρώποις, ait positam, quam simpliciter φιλίαν vocabant. Heinsius.

26) Καὶ ἐν τῷ αἰθέρι, καὶ ἐν ταῖς ῥίζαις τῆς γῆς, καὶ ἐν τοῖς ἀνδράσι] In quibus nos hic a Basiliensi differre videbis, scias esse nudam quandam γραφῆς διαφοράν: nisi quod post τὸ, ἐν τοῖς ἀνδράσι, glossa illa accesserit, διὰ πάντων γὰρ διήκει ἡ εἱμαρμένη: quae hic locum habere negari non potest. Post autem illa, Δία δὲ εἶπον, ὅτι τὴν εἱμαρμένην νῦν λέγει: quod sequitur, τὰ ἑξῆς δῆλα, a Basiliensi abest: nec negamus quin possit. Heinsius.

d) ὁ ναίων ἐν τῷ αἰθέρι, ὁ ναίων ἐν ταῖς ῥίζαις τῆς γῆς, ὁ ναίων ἐν τοῖς ἀνδράσι. Δία δὲ εἶπεν ὅτι τὴν εἱμαρμένην λέγει. E. ὁ Ζεὺς ὁ μένων ἐν τῷ ἀέρι, ὁ μένων ἐν ταῖς ῥίζαις τῆς γῆς. καὶ ἐν τοῖς ἀνδράσι Δία δὲ εἶπον ὅτι τὴν εἱμαρμένην λέγω νῦν. F. Δία — εἱμαρμενη desunt Bas. Δία — λέγει desunt Trinc. τὰ ἑξῆς δῆλα desunt E. F. Bas.

e) ἐῤῥίζωσεν. Sic B. antea ἐῤῥίζωσαν. Mox ἢ ὅτι τὴν ἀγαθὴν φιλονεικίαν κ. ἐ. τ. φ. κ. π. τ. γ. ἔθηκε, ὥστε ζηλοῦν ἐστιν ἐργάσασθαι τοὺς ἀνθρώπους, καὶ πονεῖν ἐν τοῖς ἐπιτηδεύμασιν. Dorv.

ἡ ἀγαθὴ φιλονεικία καὶ ἐπὶ τὰ φυτὰ, καὶ ἐπὶ πάντα τὰ γεωργικὰ ἐδόθη, ὥστε ζηλοῦν εἰς τὸ ἐργάζεσθαι τοὺς ἀνθρώπους. PROCLUS.

20. ἩΤΕ ΚΑΙ ΑΠΑΛΑΜΝΟΝ. Τὸν ἀκίνητον πρὸς τὰ ἔργα, καὶ οἷον μὴ ἔχοντα χεῖρας, ἀλλ' ἀργὸν κινεῖ πρὸς τὸ f) ἐργάζεσθαι τοῖς ἐργαζομένοις ἁμιλλώμενον ἡ κρείσσων ἔρις. ΑΛΛΩΣ. Ἥτις καὶ τὸν ἀργὸν, καὶ μὴ παλαμώμενον ἐπὶ τὸ ἔργον g) ἐγείρει. Παλαμᾶν γὰρ, τὸ διὰ τῶν παλαμῶν γεωργίας ἐργάζεσθαι· ὁ γὰρ σπουδαῖος κἂν ᾖ ἀσθενὴς, σπεύδει τὸ ἐργάζεσθαι. PROCLUS.

Ibid. Ἡ ΤΕ ΚΑΙ ΑΠΑΛΑΜΝΟΝ ΠΕΡ. h) Ἥ τις ἀγαθὴ ἔρις καὶ τὸν ἀσθενῆ, καὶ τὸν μὴ παλαμᾶσθαι καὶ ἐργάζεσθαι δυνάμενον, ὅμως ἐπὶ ἔργον ἐγείρει. Ἢ ὁμῶς, ἵν' ᾖ ἐλλιπῶς, ὁμοίως τῷ ἀπαλάμνῳ, τὸν ἀπάλαμνον ἐγείρει. TZETZES.

46 Ibid. ἩΤΕ ΚΑΙ ΑΠΑΛΑΜΝΟΝ. Ἀντὶ τοῦ ἥτις καί περ ὄντα τινα ἀπάλαμνον, ἤγουν ἀργὸν ἀπὸ φύσεως, μηδὲν ἐργάζεσθαι προθυμούμενον, ἐπὶ τὸ ἐργάζεσθαι ΕΓΕΙΡΕΙ, ἤγουν διανίστησιν. MOSCHOP.

21. ΕΙΣ ἙΤΕΡΟΝ ΓΑΡ ΤΙΣ. Πλούσιον ἰδὼν ἐκ τῶν ἔργων πλουτήσαντα, σπεύδει καὶ αὐτὸς πλουτῆσαι. PROCLUS.

Ibid. ΕΙΣ ἙΤΕΡΟΝ ΓΑΡ. i) Τίς γὰρ χρήζων ἔργου, ἰδὼν εἰς ἕτερον πλούσιον ἀπ' ἔργου, ὡς καὶ οὗτος ἰδὼν, σπουδάζει ἀροῦν καὶ φυτεύειν. TZETZES.

Ibid. ΕΙΣ ἙΤΕΡΟΝ ΓΑΡ ΤΙΣ. Καὶ γάρ τις ἔργου χατίζων, ἤγουν ἐνδεὴς ὢν ἔργου, λειπόμενος, τουτέστιν οὐδὲν ἐργαζόμενος, ἰδὼν εἰς ἕτερον πλούσιον. Οὐ συνάπτειν δὲ δεῖ τὸ ἕτερον καὶ τὸ πλούσιον, ἵνα μὴ δοκῇ πλούσιος εἰς ἕτερον ὁρᾶν πλούσιον. Οὗτος σπεύδει μὲν ἀροῦν, ἤγουν ἀροτριᾶν, καὶ φυτεύειν· ἀμφότερα ἔργα γεωργίας· καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς διοικῆσαι. ΕΡΓΟΝ ἡ ἐνέργεια καὶ τὸ ἀπὸ τῆς ἐνεργείας τελούμενον· ἐνταῦθα τὸ πρότερον. Κατὰ δὲ τὴν ἑτέραν ἔριν, τοῦτο δὲ συνυπακούεσθαι ἔδωκεν ἀπὸ τοῦ ἀποθεῖναι τὸν λόγον,

f) ἐργάζεσθαι τὸν γὰρ σπουδαῖον. Dorv.

g) ἔγειρε Dorv. et in fin. τοῦ ἐργάζεσθαι. Ad hunc fortasse locum respexit Etymologus p. 118, 1.

h) Hoc scholion deest Trinc.

i) Tzetzis scholia desunt in Trinc. ab h. v. ad v. 29. Mox ὃς καὶ οὗτος E. G. H. καὶ οὗτος ὁ ἰδὼν E.

καὶ μεταβῆναι ἐπὶ τὰ ἔργα τὰ ἁρμόζοντα τῇ ἑτέρᾳ ἔριδι. Moschop.

22. *ΑΡΟΜΜΕΝΑΙ.* Τὸ ρ̄ο̄ μικρὸν, ἐκτείνεται δὲ ὑπὸ τοῦ μ̄ ἀμεταβόλου, καὶ γίνεται κοινὴ συλλαβή. Εἰ δὲ θελητόν τισι, καὶ τοῦτο μέγα γραφέτωσαν Ἀττικῶς. Tzetzes.

Ibid. *ΑΡΟΜΜΕΝΑΙ.* Ποιητικὸς οὗτος ὁ τρόπος τῶν ἀπαρεμφάτων, ἀποβάλλειν τὸ ὑποτακτικὸν φωνῆεν διφθόγγου παρούσης, καὶ προστιθέναι τὴν με̄ συλλαβὴν, εἶτα καὶ τὴν αῑ δίφθογγον, εἰ μὴ πάρεστι. Δεῖ γὰρ τῷ ἀπαρεμφάτῳ δίφθογγον ἐπὶ τέλει εἶναι· αὕτη γάρ ἐστι τοὐπίσημον αὐτῷ καὶ χαρακτηριστικόν. Ταύτην μὲν οὖν, ὡς εἴρηται, μὴ παροῦσαν εἰσάγουσιν, ἔστι δ' ὅτε καὶ παροῦσαν ἐκβάλλουσι, λαξεύοντες ὥσπερ τοὔνομα καὶ περικόπτοντες, ἵν' ἁρμόσῃ αὐτοῖς ἐπὶ τῇ τοῦ μέτρου οἰκοδομῇ· ἐνταῦθα δὴ μὴ παροῦσα προσετέθη. Τὸ δὲ ρ̄ο̄, μικρὸν μὲν ὂν, οὐ συνᾴδει τῷ μέτρῳ, μέγα δὲ γενέσθαι οὐ δύναται· ἡ τῶν Ἀττικῶν γὰρ ἔκτασις οὐκ ἔχει χώραν ἐπὶ πάθεσι λέξεων· ἀναγκαζόμενον δὲ τὸ υ κατέχειν μεθ' ἑαυτοῦ ὡς ἂν δὴ οἰκεῖον, ἵνα μὴ ἀλλοτρίας αὐξήσεως δέηται, ξένον καὶ ἀσύνηθες πρᾶγμα ποιήσει, καὶ ὃ ἐν οὐδενὶ ἑτέρῳ τοιούτῳ ποτὲ γίνεται. Εἰ δὲ προσθήκη γενήσεται ἑτέρου μ̄ ὡς ἐν τῷ ἔμμεναι, ὅτε χρεία μακρὸν γενέσθαι τὸ ε̄, καὶ ἑτέροις πολλοῖς, ἴσως ἂν κατὰ λόγον ἔχοι τοὔνομα τὴν αὔξησιν ἀποδεδομένην. Moschop.

23. ΖΗΛΟΙ ΔΕ ΤΕ. Ἡ ἀγαθὴ ἔρις, καὶ Ζῆλος λέγεται· ἡ δὲ φαύλη, Φθόνος. Ὅμως ἔμπροσθεν εὑρήσεις τὸν Ἡσίοδον [k]) κατακεχρημένον τῷ ζήλῳ, ἀντὶ τοῦ φθόνου. Tzetzes.

Ibid. *ΖΗΛΟΙ ΔΕ ΤΕ ΓΕΙΤΟΝΑ ΓΕΙΤΩΝ.* Τὸ ΖΗΛΟΥΝ δύο δηλοῖ· τὸ φθονεῖν, καὶ τὸ μακαρίζειν. Ὥσπερ 47 δὲ λέγουσι ἐνίοτε τὸ ἐπαινεῖν ἀντὶ τοῦ ἐργάζεσθαι, οἷον, ἀρετὴν ἐπαινεῖ τις, ἀντὶ τοῦ ἐργάζεται· καὶ τὸ, σίγ' ἐπαινῶ, ἀντὶ τοῦ σιγῶ, οὕτω καὶ τὸ ζηλοῦν τὸ μακαρίζειν, ἐνίοτε καὶ ἐπὶ τοῦ μιμεῖσθαι τιθέασιν, ὡς ἐνταῦθα οὗτος, οὐκ ἔξω λόγου ταῦτα ποιοῦντες· ὃ γὰρ ἐπαινεῖ τις, τοῦτο πάντως εἰκὸς καὶ ἐργάζεσθαι αὐτόν· καὶ ὃν μακαρίζει τὶς ἐφ' οἷς ἔχει ἀγαθοῖς, δηλονότι, ἢ ἀπολαύει, (ἐπὶ τούτων γὰρ λέγεται ὁ μακαρισμὸς)

k) κεχρημένον H.

τοῦτον πάντως καὶ μιμήσαιτο ἄν, ἵνα τοῦ αὐτοῦ τύχῃ μακαρισμοῦ. *ΑΦΕΝΟΣ* ὁ ἀπὸ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ ἀθροιζόμενος πλοῦτος. Τὸ αὐτὸ καὶ βίος, ἀφ' οὗ βιοῖ τις δηλονότι. Λέγεται δὲ καὶ ὁ ἄφενος ἀρσενικῶς, καὶ τὸ ἄφενος οὐδετέρως. Moschop.

24. *ΕΙΣ ΑΦΕΝΟΝ.* [l]) Τὸν πλοῦτον ἄφενον καλοῦσι, τὸν ἀπὸ τῶν ἔργων τῶν ἐνιαυσιαίων ἀθροιζόμενον· ἔνος γὰρ καλεῖται ὁ ἐνιαυτός. Proclus.

Ibid. *ΕΙΣ ΑΦΕΝΟΝ ΣΠΕΥΔΟΝΤΑ.* Ἄφενος, πλοῦτος, ὄλβος, τύχη, καὶ εὐδαιμονία διαφέρει. Ἄφενος μὲν, καὶ ἀφνειὸς, ὁ μετέχων ἀφένου λέγεται· ἄφενος δέ ἐστιν, ἡ ἐτησία συγκομιδὴ τῶν καρπῶν· πλοῦτος, τὰ διὰ πολλῶν ἐτῶν συναγόμενα, δοῦλοι, κτήσεις, ἀγροί· [m]) ὄλβος, τὰ ἀμφότερα· τύχη δὲ, ἡ δόξα τοῦ βίου καὶ ἔπαρσις· εὐδαιμονία δὲ, ἵνα τὰ πολλὰ παρεάσω, τὸ εὖ τοῦ δαίμονος, ἤτοι τῶν ψυχικῶν ἀρετῶν ἔχει. Δαίμων γὰρ καὶ ἡ ψυχὴ λέγεται παρ' Ὁμήρῳ, καὶ παρὰ Σωκράτει. Tzetzes.

Ibid. *ΑΓΑΘΗ Δ' ΕΡΙΣ ἩΔΕ ΒΡΟΤΟΙΣΙΝ.* Ἀντὶ τοῦ ἀγαθῶν αἰτία ἐστὶν ἥδε ἡ ἔρις τοῖς ἀνθρώποις. Moschop.

25. *ΚΕΡΑΜΕΙ ΚΟΤΕΕΙ.* [n]) Ζηλοῖ, ὀργίζεται, φθονεῖ, βασκαίνει. *ΑΛΛΩΣ.* Προτρέπεται πρὸς γεωργίαν διὰ τοῦτο. Ἐν γὰρ ταῖς ῥίζαις τῶν γεωργικῶν ὑφίσταται ἡ ἀγαθὴ ἔρις φησὶν, οὐχὶ δὲ ἐν ταῖς ἀδικίαις. Ἢ ὅτι ἐκ τοῦ ἀφανοῦς καὶ ἀδήλου [o]) παρυφίσταται τὰ κακὰ καὶ τὰ ἀγαθά. Τοῦτο δεῖ μᾶλλον ἐπανάγειν εἰς τὰ εἰρημένα περὶ τῆς χείρονος ἔριδος, καὶ γὰρ τὸ κοτέειν καὶ τὸ φθονεῖν κακά ἐστι, καὶ ἐκείνης οἰκεῖα, καὶ οὐ τῆς ἀμείνονος. Proclus.

Ibid. *ΚΑΙ ΚΕΡΑΜΕΥΣ ΚΕΡΑΜΕΙ.* Μεταβαίνει καὶ πρὸς τὴν φαύλην ἔριν, [p]) καὶ τὰ ταύτης ἐπεξηγεῖται. Tzetzes.

Ibid. *ΚΑΙ ΚΕΡΑΜΕΥΣ ΚΕΡΑΜΕΙ ΚΟΤΕΕΙ.* Ἤγουν

l) Ἄφενος A. Conf. Etymolog. M. in v. ἄφενος.

m) ὀλβίας τὰ ἀμφότερα· ὀλβιός τις ὢν καὶ ὄλβος, ἢ ἐν ὀλαῖς, ὅ ἐστι κριθαῖς πλούσιος, ἐξ ὧν ὀλῶν, ὡς μέρους καὶ τὰ ἄλλα νοοῦνται γεώργια, ἤγουν ὁ ἐν πᾶσι γεωργίοις πλούσιος· τύχη δὲ κ. τ. λ. H. Mox ibid. ἔχειν.

n) Ζηλοῖ et βασκαίνει accesserunt ex A. Do. Mox εἰς γεωργίαν Do. Deinde ἐν γὰρ ταῖς ῥ. τ. γ. A. Dor. ἐν γὰρ ταῖς γεωργικῶν B. Trinc. ἐν γὰρ τοῖς γεωργικοῖς Heins.

o) παρίσταται Dorv. τὰ κακὰ καὶ τὰ ἀ. A. τὰ ἀ. καὶ τὰ κακὰ Dorv. Olim κακὰ καὶ ἀγαθά.

p) καὶ ταυτην E. καὶ τὰ ταύτης ἐπιζητεῖται F.

ἀγανάκτησιν ἔχει ἀποκειμένην, βλάβης καιρὸν παρατηροῦσαν, 48
καὶ τέκτονι τέκτων κοτέει, καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς, ἤγουν ποιητὴς, ἀοιδῷ. Δῆλα ταῦτά ἐστι. Φθόνος ἐστὶ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς. Σὺ δὲ, ὦ Πέρση, ἐγκατάθου, ἤγουν ἔμβαλε, τῷ σῷ λογισμῷ ταῦτα, μηδὲ ἡ ἔρις ἡ χαιρέκακος, ἤγουν ἡ ἐπὶ τοῖς κακοῖς χαίρουσα, κωλυέτω σε κατὰ τὴν ψυχὴν, λέγω, ἀπὸ τοῦ ἐργάζεσθαι, ὅμοιον τῷ,

Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

εἰς φιλονεικίας βλέποντα, ἀντὶ τοῦ ἔχοντα τετραμμένην τὴν γνώμην· τοῦτο γὰρ τὸ *ΝΕΙΚΕ' ΟΠΙΠΤΕΥΟΝΤΑ.* Δείπει δὲ ἡ εἰς πρόθεσις· τὸ γὰρ βλέπειν εἰ λέγεται πρός τι, μὴ μεσιτευούσης αὐτῆς οὐδὲν πλέον δηλοῖ ἢ τὴν ἐνέργειαν τῆς ὁρατικῆς δυνάμεως· μετὰ δὲ ταύτης ἐνίοτε μὲν δηλοῖ σπουδὴν, καὶ τὸ ἔχειν [q]) ἐπί τι τετραμμένην τὴν γνώμην, ὃ βούλεται δηλοῦν ἐνταῦθα ὁ λόγος· ἐνίοτε δὲ ἐλπίδα· οἷον εἰς σὲ βλέπω, ἀντὶ τοῦ εἰς σὲ ἐλπίζω· ἐνίοτε δὲ μίμησιν, οἷον εἰς σὲ βλέπων τόδε ποιῶ, ἀντὶ τοῦ σὲ μιμούμενος. Moschop.

26. *ΠΤΩΧΟΣ.* Ἐκ τοῦ πτώσσω, τὸ δειλιῶ, ἢ ὁ ἐκπεπτωκὼς τοῦ ἔχειν. Tzetzes.

27. *Ω ΠΕΡΣΗ.* Τὸ ποίημα γέγραπται πρὸς τὸν Πέρσην τὸν ἀδελφὸν αὐτοῦ. Νουθεσία δὲ καὶ δικαιολογία· νειμάμενος γὰρ τὴν πατρῴαν οὐσίαν κατηνάλωσε θεραπεύων τοὺς ἐν τῇ πολιτείᾳ, καὶ καταδυναστεύων Ἡσιόδου, καὶ πολλὰ παρενοχλῶν ἐξημίου πρὸς ἄρχοντας καὶ κριτήρια ἕλκων διὰ τὴν τῶν χρημάτων ἐπίθεσιν. Proclus.

Ibid. *ΤΕΩι ΕΝΙ ΘΥΜΩι.* Ἐν τῷ σῷ θυμῷ, νῦν, τῇ ψυχῇ. Σημαίνει δὲ καὶ τὰ μέρη αὐτῆς· τὸ θυμικὸν, τὸ ἐπιθυμητικὸν, καὶ τὸ λογιστικόν· ἡ γὰρ ὁμόνοια τοῦ λογισμοῦ ἐστι. Tzetzes.

28. *ΕΡΙΣ ΚΑΚΟΧΑΡΤΟΣ.* [r]) Ἢ ἡ κακοῖς χαίρουσα, ἢ ᾗ χαίρουσιν οἱ κακοὶ, καὶ φιλοδικοῦντες, καὶ κακοπράγμονα βίον ζῶντες. Διὸ καὶ ἀπὸ τῶν ἔργων κωλύει, τρέπουσα [s]) αὐτοὺς ἐπὶ τὰς ἀγορὰς, καὶ τὰς δίκας τὰς πρὸς ἀλλήλους. *ΑΛΛΩΣ.* Ἀμφίβολον τὸ κακόχαρτον, ἤτοι γὰρ ἡ κακοῖς

q) *ἐπί τι τετραμμένην.* Ita B. et Bodl. *ἐπιτεταμένην* edd.

r) ἢ ἡ κ. χ. ᾗ desunt A. B. Dorv. Heins. Vide Etymolog. Gudianum p. 293.

s) αὐτοὺς Trinc. B. Do. αὐτὴν

[t]) χαίρουσα, ἢ ἐφ' ᾗ οἱ κακοὶ ἐπιχαίρουσι. Δοκοῦσι γὰρ [v]) ὅτε σύγχυσις γένηται, ὠφελείας ἕξειν. ΑΛΛΩΣ. Μὴ δέ σε, φησὶν, ἡ φιλονεικία κωλύσῃ ἀπ' ἔργου εἰς τὸ περιβλέπεσθαι φιλονεικίας καὶ ἀκροᾶσθαι ῥημάτων καὶ φημῶν κινουμένων ἐν ἀγορᾷ. Proclus.

49 Ibid. ΚΑΚΟΧΑΡΤΟΣ. Ἡ χαίρουσα ἐν τοῖς κακοῖς, ἢ ἐν ᾗ χαίρουσιν οἱ κακοί. Tzetzes.

29. ΝΕΙΚΕ' ΟΠΙΠΤΕΥΟΝΤΑ. Τουτέστι πρὸς μόνας τὰς φιλονεικίας βλέποντα, καὶ ἐπήκοον ὄντα τῶν κατ' ἀγορὰν [w]) κινουμένων φιλονεικιῶν, ὀφείλοντα τοῖς ἔργοις προσέχειν τοῖς γεωργικοῖς, ἀφ' ὧν τρέφεσθαι δυνατόν. Proclus.

Ibid. ΑΓΟΡΗΣ ΕΠΑΚΟΥΟΝ. Ἀκουστὴν τῶν ἐν τῷ πωλητηρίῳ λαλουμένων. Σημαίνει δὲ ἡ ἀγορὰ τὸ πωλητήριον, τὸ βουλευτήριον, τὰ ἐν ἀμφοτέροις πλήθη, τὰς ἐν ἀμφοτέροις λαλιὰς, καταχρηστικῶς καὶ πᾶσαν ἀπὸ τούτου λαλιάν. Ἀγορὰ λέγεται καὶ τὸ ἀγοραζόμενον πρᾶγμα, καὶ τὸ νόμισμα δι' οὗ ἀγοράζεται. Tzetzes.

Ibid. ΟΠΙΠΤΕΥΟΝΤΑ. Τοῦτο παρὰ τοῖς κοινοῖς, μετὰ μὲν προθέσεως ἐν χρήσει ἐστὶν, οἷον, ὑποπτεύω ἀντὶ τοῦ ὑφορῶμαι, καὶ μεθ' ἑτέρας ἴσως προθέσεως· χωρὶς δὲ προθέσεως οὔποτ' ἂν ῥηθείη αὐτοῖς. Οἱ ποιηταὶ δὲ καὶ τούτῳ χωρὶς προθέσεως οὐκ ὀκνοῦσι χρῆσθαι καὶ ἑτέροις μυρίοις. Ἐνταῦθα δὲ προσθήκη γίνεται συλλαβῆς, ὡς ἐν τῷ ἐτήτυμα καὶ ἑτέροις. Moschop.

Ibid. ΑΓΟΡΗΣ. Ἀντὶ τοῦ τῶν ἐν ἀγορᾷ φημῶν καὶ ῥημάτων. Ἀγορὰν δὲ λέγει ἐνταῦθα τὸ δικαστήριον. Moschop.

Ibid. ΕΠΑΚΟΥΟΝ. Ἐπάκουον, ἤγουν ἐπήκοον· ἐπήκοος γὰρ κυρίως ὁ τῶν εὐχῶν εὐμενῶς ἀκούων· ἐνταῦθα δὲ, ἀντὶ τοῦ ἀκροατὴν ἁπλῶς. Moschop.

30. ΩΡΗ ΓΑΡ Τ' ΟΛΙΓΗ. Τουτέστιν ἐλαχίστη φροντίς ἐστι τῶν ἀγορῶν καὶ δικῶν ἐκείνων τῷ μὴ ἔχοντι βίον ἐπηε-

t) χαίρουσα addit Dorv. Sine codicis ope restituendum vidit Valckenaerius ad Ammon. p. 84.

v) Leg. ὅταν vel γίνεται. Mox Dorv. Τὰ κατὰ τὸν Πέρσην ἤτοι ἱστορικῶς ἐκληπτέον, ἢ πλασματικῶς καὶ ὑποθετικῶς, διὰ τὸ ἀπρόσωπον τοῦ λόγου. Μή δέ σε, κ. τ. λ. Ibid. paullo post, φημῶν γινομένων ἐν ἀ. In B. deest κινουμένων.

w) γινομένων pro κινουμένων Dorv. Neutram vocem habet B.

τανὸν, τὸν ἀπὸ τοῦ ἔτους ἀθροιζόμενον, ἐν τοῖς ἑαυτοῦ οἴκοις, ἀφ' οὗ [x]) τραφήσεται ἀνὰ πᾶν τὸ ἔτος. ψιλοῦται δὲ τὸ ὤρη, νῦν γὰρ τὴν φροντίδα σημαίνει. Ὅθεν καὶ ὀλιγωρία, καὶ πολυωρία καὶ πολυωρῶ, καὶ πυλωρὸς, ὁ [28]) τὴν τοῦ φυλάσσειν ἔχων ἐξουσίαν. PROCLUS.

Ibid. ΩΡΗ ΓΑΡ Τ' ΟΛΙΓΗ. Ἀντὶ τοῦ, οὐ χρὴ φιλονεικιῶν φροντίζειν καὶ τῆς [y]) ἐν ἀγορᾷ διατριβῆς ἐκεῖνον τὸν ἄνθρωπον, ᾧ ἡ ἐτησία συγκομιδὴ τῆς ζωῆς, ἡ ἐκ τῶν καρπῶν τῆς γῆς διδομένη, οὐκ ἔστιν ἱκανὴ διαρκεῖν πρὸς ὅλον τὸν ἐνιαυτόν. TZETZES.

Ibid. [z]) ΩΡΗ. Ἡ φροντίς· καὶ ψιλοῦται. Ὅθεν κηπωρὸς φαμὲν μετὰ ψιλοῦ τοῦ π, οὐ μετὰ δασέως τοῦ φ. TZETZES.

Ibid. ΟΛΙΓΗ. Οὐδὲ [a]) μικρά. ΝΕΙΚΕΩΝ Τ' ΑΓΟΡΕΩΝ ΤΕ. Δύο συνιζήσεις εἰσὶ τῷ στίχῳ· ΚΕΩΝ Τ' ΑΓΟ, δάκτυλος· τὸ γὰρ ΚΕΩΝ ἀντὶ μιᾶς μακρᾶς ἐστι· ΡΕΩΝ ΤΕ, τροχαῖος· καὶ τὸ ῥέων γὰρ, ἀντὶ μιᾶς κεῖται μακρᾶς. TZETZES.

30. ΩΡΗ ΓΑΡ Τ' ΟΛΙΓΗ ΠΕΛΕΤΑΙ. Οὐδεμία γὰρ φροντὶς πέλεται, ἀντὶ τοῦ πέλει, ἤγουν ὑπάρχει, τῶν φιλονεικιῶν· καὶ τῶν ἀγορῶν, ἀντὶ τοῦ τῆς ἀγορᾶς, ἐκείνῳ δηλονότι τῷ ἀνθρώπῳ· ᾧ τινι μὴ κατάκειται, ἀντὶ τοῦ ἀποκείμενός ἐστιν, ἔνδον, ἤγουν ἐν τῷ οἴκῳ, βίος αὐτάρκης εἰς ὅλον τὸν ἐνιαυτόν· τοῦτο γὰρ δύναται τὸ ἘΠΗΕΤΑΝΟΣ· ἤγουν διόλου τοῦ ἔτους ἐξαρκῶν. MOSCHOP.

31. Ωι ΤΙΝΙ ΜΗ ΒΙΟΣ. [b]) Αὐτοῦ κατ' ὀλίγον νουθετεῖ ἀπαλλάσσων τῆς ἀργίας. PROCLUS.

Ibid. [bb]) ΒΙΟΣ. Τὸ βίος ἓξ σημαίνει· τὴν τέχνην, ὡς τὸ, βίον ἐμπορικὸν ἢ φιλόσοφον ἔζη· τὸν τρόπον, ὡς τὸ, χρηστοῦ βίου ἐστί· τὸν παρόντα κόσμον· τὸν ἑνὸς ἑκάστου χρόνον· τῆς ζωῆς τὴν περιουσίαν, ὡς τὸ, πολὺς ἦν αὐτῷ βίος· καὶ τὰς πρὸς τὸ ζῆν συντεινούσας τροφάς· ὅπερ τὸ ἐνταῦθα δηλοῖ κείμενον. TZETZES.

x) τραφέσθαι Dorv. ἀνὰ πᾶν ἔτος B. mox καὶ πολυωρῶ om. Dorv.

28) τὴν τοῦ φυλάσσειν ἔχων ἐξουσίαν] Scribe: ὁ τὴν τοῦ φυλάσσειν τὰς πύλας ἔχων ἐξουσίαν. HEINSIUS.

y) ἐν τῷ πωλητηρίῳ F. Bas. διαγωγῆς pro διατριβῆς Trinc. Mox ἐν ᾧ ἡ ἐτ. Bas.

z) Desunt Tzetzis Scholia in Trinc. usque ad δηλοῖ κείμενον.

a) μακρὰ F.

b) ἐκ τοῦ κ. ὀ. νουθετεῖν Dorv.

[bb) Leopard. Em. XI. 3. RUHNKEN. MS.]

Ibid. *ΕΠΗΕΤΑΝΟΣ.* *Ὁλοχρονίως ἀρκεῖν δυνάμενος, ἐκ τοῦ ἔτος ἐτανὸς ἐετανός· καὶ ἐκτάσει, ἠετανός.* Tzetzes.

32. *ὩΡΑΙΟΣ ΤΟΝ ΓΑΙΑ.* *Τὸν βίον* c) *δὲ εἶπεν ὡραῖον, ὡς ἐκ τῆς τῶν ὡρῶν περιόδου συλλεγόμενον. Ἐπειδὴ τὰ μὲν τὸ ἔαρ φέρει, τὰ δὲ τὸ θέρος, τὰ δὲ τὸ μετόπωρον, τὰ δὲ ὁ χειμὼν τῶν πρὸς τὸν βίον ἡμῶν ἀναγκαίων. Ὡραῖος μὲν γὰρ διὰ ταῦτα ὁ βίος. Δημήτερος δὲ ἀκτὴν* d) *πᾶσαν τὴν τῶν καρπῶν φορὰν ἐκάλεσεν, οὐ μόνον τῶν ἰδίως λεγομένων Δημητριακῶν, οἷον πυρῶν καὶ κριθῶν, ἀλλὰ καὶ τῶν ἄλλων. Τὴν γὰρ γῆν, ἀφ' ἧς οἱ καρποὶ πάντες, Δήμητραν ὠνόμαζον οἱ παλαιοί. ἈΛΛΩΣ. Ὁ γὰρ, φησὶ, μὴ ἔχων πλοῦτον ἐν τῷ οἴκῳ αὐτοῦ ὀφείλει ποτὲ μὲν ἐργάζεσθαι, ποτὲ δὲ ἀκροᾶσθαι. Κάμνε, φησὶ, καὶ τότε* e) *φιλονείκει. Τοῦτο δὲ εἶπεν,* ee) *ἵνα κατὰ μέρος ἀπάρῃ αὐτὸν τοῦ φιλονεικεῖν ἐπὶ τὸ ἐργάζεσθαι. ἈΛΛΩΣ.* f) *Τὰ κατὰ τὸν Πέρσην ἤτοι ἱστορικῶς ἐκληπτέον, ἢ πλασματικῶς, καὶ ὑποθετικῶς διὰ τὸ ἀπρόσωπον τοῦ λόγου. Ἡ ἀκτὴ, φασὶ, θηλυκόν· σημαίνει δὲ τὸν καρπόν.* Proclus.

32. *ὩΡΑΙΟΣ.* *Ὁ ἐκ τεσσάρων ὡρῶν τῶν χρονιαίων γι-*
51 *νόμενος· εἰδὼς δὲ καὶ τὸ βίος ὄνομα* g) *σημαῖνον πολλὰ, διαιρῶν τέθεικε τὸ ὡραῖος. Ἐπεὶ δὲ βιωφελῆ καὶ ὡραῖα οἶδε καὶ ἕτερα, οὐκ ἀπὸ γῆς δὲ, προσέθηκε τὸ, ΤΟΝ ΓΑΙΑ ΦΕΡΕΙ.* Tzetzes.

Ibid. *ΔΗΜΗΤΕΡΟΣ ἈΚΤΗΝ.* *Ἤτοι τῆς γῆς τὸ δώρημα. Δημήτηρ γὰρ ἡ γῆ, Δωρικῶς.* h) *οὗτοι γὰρ ἀντὶ τοῦ γ, δ τιθέασι, δνοφερὸν γνοφερὸν, καὶ Δήμητραν Γήμητραν λέγοντες. ἈΚΤΗΝ.* i) *Ἀκτὶς, θηλυκὸν, ἡ τοῦ ἡλίου· καὶ ἀκτὴ, ὁ αἰγιαλὸς λέγεται. Τὸ δὲ δώρημα, ὁ ἀκτῆς τοῦ ἀκτοῦ τὸν*

c) *τὸν βίον προεῖπεν* A. *προειπ'* Dorv. Mox *τὰ δὲ τὸ μετ.* om. B. *ἀναγκαζομένων* pro *ἀναγκαίων* Dorv.

d) *πᾶσαν τ. τ. κ. φ.* accesserunt ex A. Dorv.

e) *φιλονεικεῖς* A. Dorv. Mox *ἐπάρῃ* B. Dorv. Trinc.

ee) *ἵνα κατὰ μέρος ἀπάρῃ*] Legebatur ante, *ἵνα κατὰ μέρος ἐπάρῃ*, ex quo *ἀπάρῃ* fecit illustris Scaliger, quem secuti sumus. Heinsius.

f) Deest hoc Schol. Dorv. Post *καρπὸν* legitur in A. a manu juniore, *ἔργον ἡ ἐνέργεια, καὶ τὸ ἀπὸ τῆς ἐνεργείας τελούμενον. ἐνταῦθα τὸ πρότερον. Κατὰ δὲ τὴν ἑτέραν ἔριν· τοῦτο δὲ συνυπακούεσθαι ἔδωκεν ἀπὸ τοῦ ἀποθεῖναι τὸν λόγον, καὶ μεταβῆναι ἐπὶ τὰ ἔργα τὰ ἁρμόζοντα τῇ ἑτέρᾳ ἔριδι.* Vide Moschop. ad v. 21.

g) *σημαῖνον* Ita Trinc. G. H. *σημαίνειν* Heins.

h) *οὗτοι* ad *λέγοντες* om. Trinc. *δνοφερὸν — λέγοντες* om. E.

i) *Ἀκτὶς* ad *φέρω* desunt Trinc.

ἀκτὴν, ἐκ τοῦ ἄγω τὸ φέρω. k) Καὶ νῦν μὲν περὶ Δημήτερος
συντόμως εἶπον, τὸ σαφές τε καὶ ἀληθέστατον· καὶ τὴν μυ-
θικὴν δὲ ἱστορίαν λεκτέον, ἀλλὰ καὶ ἀλληγορητέον μοι. Ἐκ
Κρήτης, ἢ μᾶλλον ἐκ Σικελίας, Ἅδης ἀφήρπασε τὴν Δήμη-
τρος θυγατέρα τὴν κόρην. Διώκουσα δὲ ἡ l) Δημήτηρ, μέχρι
τῶν Ἀθηνῶν καὶ τῆς Ἑλλάδος ἀφίκετο. Ὑπὸ Τριπτολέμου
δὲ τοῦ Κελεοῦ καὶ Μετανείρας παιδὸς τὰ περὶ τὴν παῖδα μα-
θοῦσα εἰς ἀμοιβὴν τῷ Τριπτολέμῳ τὰ σπέρματα δίδωσι, καὶ
m) πτερωτῶν ἅρμα δρακόντων· ὃς τούτῳ περιϊπτάμενος παν-
ταχοῦ, τὰ περὶ γεωργίας διδάσκει. Ταῦτα μὲν τὰ μυθώδη.
Τὸ δ' ἀληθὲς οὕτως ἔχει· μήπω τῶν γεωργικῶν ἐπιγνωσθέντων,
περὶ τὴν Σικελίαν καὶ τὴν Λιβύην n) σῖτος αὐτοματίζων ἐγί-
νετο, καὶ πάλιν ἐφθείρετο, μηδενὸς τοῦτον ἐπιγινώσκοντος.
31) Κέκροψ δὲ, ἤ τις ἕτερος, Ἄργον εἰς Λιβύην καὶ Σικελίαν
o) πέμψας, οὐκ οἶδα παρὰ τίνος μαθὼν, ἐκέλευσε συναγαγεῖν
σῖτον ἐκ τοῦ ἐκεῖ φυομένου, καὶ εἰς Ἑλλάδα μετακομίσαι· οὗ
δὴ γεγονότος, Τριπτόλεμος πρῶτος ἀρόσας, καὶ σπείρας 32) ἢ
ἐν Ἀρόῃ χωρίῳ ἀπὸ τῆς πρώτης p) ἀροτριάσεως, ὃ νῦν Νέαι
Πάτραι καλοῦνται, ἢ κατὰ q) τοὺς πλείστους ἐν Ἐλευσῖνι τῆς
Ἀττικῆς, γεωργεῖ καὶ συγκομίζεται τοὺς καρπούς. Εἶτα καὶ
συγγραψάμενος r) τὰ περὶ γεωργίας, τοῖς πᾶσιν ἀνθρώποις 52
s) δέδωκε. Καὶ Δημήτηρ μὲν ἡ γῆ καλεῖται, ὅτι πάντων ἡ γῆ

k) ἀλλὰ pro καὶ Trinc. et mox om. ἀλλὰ κ. ἀ. μ.

l) Δημήτηρ F. Ceteri μήτηρ.

m) πτερωτὸν G. Trinc. ὡς mox Trinc. E. pro ὃς, nec male, si in proximis legatur διδάσκῃ.

n) οἶνος F.

31) Κέκροψ δὲ, ἤ τις ἕτερος, Ἄργον εἰς Λιβύην καὶ Σικελίαν πέμψας] Optime ex fide Venetae editionis πέμψας scripsimus, cum in Basiliensi esset Ἄργον εἰς Λιβύην καὶ Σικελίαν μεταπεμψάμενος. Heinsius.

o) μεταπεμψάμενος E. F. Bas. Mox συνάγειν Trinc.

32) ἢ ἐν ἀρόῃ χωρίῳ] Scribo ἐν τῇ Ἀρόᾳ χωρίῳ. Pausanias Achaicis: Πατρέων δὲ οἱ τὰ ἀρχαιότατα μνημονεύοντες, φασὶν Εὔμηλον αὐτόχθονα οἰκῆσαι πρῶτον ἐν τῇ χώρᾳ, βασιλεύοντα οὐ πολλῶν αὐτὸν ἀνθρώπων. Τριπτολέμου δὲ ἐκ τῆς Ἀττικῆς ἀφικομένου, τόντε καρπὸν λαμβάνει τὸν ἥμερον, καὶ οἰκῆσαι διδαχθεὶς πόλιν, Ἀρόαν ὠνόμασεν, ἐπὶ τῇ ἐργασίᾳ τῆς γῆς. ἀροῦν enim et αὔλακ' ἐλαύνειν Poëtis de tota ἐργασίᾳ τῆς γῆς sumitur: unde pro ἀρδεύσεως, ἀρώσεως lego. Heinsius.

p) ἀροτριάσεως Trinc. E. F. Gr. ἀρδεύσεως Bas. Heins. Paullo ante χωρίον Gr. Supplendum puto οὕτως ὠνομασμένῳ post χωρίῳ. [ἀροτριάσεως] Deest οὕτως καλουμένῳ aut simile quid. Vid. Steph. in Ἀρόη. Hemsterhus. ms.]

q) τὴν πλείστην Bas.

r) τὰ ex Trinc. E.

s) διέδωκε Trinc. et mox λέγεται pro καλεῖται.

μήτηρ Κόρη δὲ νῦν καὶ Περσεφόνη, τὰ ἐκ τῆς γῆς κατ' ἔτος πρὸς τὸ ζῆν διδόμενα· μᾶλλον δὲ σῖτος, καὶ τὰ γεωργικά· δι' ἃ περισσοὶ φόνοι καὶ πόλεμοι γίνονται. Ταύτην οὖν τὴν κόρην, [53])ἤγουν τὸν [t])νεάζοντα σῖτον, Ἅιδης ἀφήρπαξε. Φυόμενον γὰρ τοῦτον, πρότερον συνέβαινε ἀφανίζεσθαι πάλιν διὰ ἄγνοιαν γεωργίας, ὡς ἔφημεν· ὡς δὲ Ἄργου μετακομίσαντος, παρὰ Τριπτολέμου [v])ἐν Ἐλευσῖνι ἐσπάρη καὶ ἀνεφύη, καὶ πανταχοῦ ἐδιδάχθη, ἔφασαν τὴν Δήμητραν εἰς Ἀθήνας ἐλθεῖν, ἤγουν τὰ τῆς γῆς δωρήματα, καὶ παρὰ Τριπτολέμου μαθοῦσαν εὑρεῖν τὴν κόρην, δι' Ἐλευσῖνος ἀνερχομένην ἐξ Ἅιδου [w])λευκόπωλον. Ἐκεῖ γὰρ κρυβεὶς καὶ [x]) σπαρεὶς ἐν τῇ γῇ ὁ σῖτος εἰς φῶς ἐξῆλθε. Δράκοντες δὲ πτερωτοὶ, οἱ προφορικοὶ λόγοι, καὶ οἱ γραπτοὶ, οἱ πανταχοῦ [y])περιπορευόμενοι, καὶ τὴν γεωργίαν διδάσκοντες. Ταῦτα μὲν τὰ [z])μυθικὰ καὶ ἀλληγορούμενα. Ἔστι δὲ καὶ ἑτέρα ἱστορία φερομένη περὶ [a])τῆς Δήμητρος. Ὄσιρις, ὁ καὶ Διόνυσος, μετὰ Ἴσιδος τῆς αὐτοῦ γυναικὸς τῆς καὶ Δήμητρος καλουμένης, καὶ στρατοῦ πλείστου, μετὰ μουσικῶν καὶ αὐλῶν περιήρχετο, τὴν γεωργίαν καὶ φυτουργίαν διδάσκων. Ὅθεν αὐτὸν καὶ Διόνυσον ἐκάλεσαν, ὡς εὑρετὴν φυτουργίας· τὴν δὲ Ἴσιν [b]) Δήμητραν, ὡς τὰ τῆς γῆς δωρουμένην, καὶ γεωργίαν διδάξασαν. Tzetzes.

Ibid. ὩΡΑΙΟΣ. Τουτέστι τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ δώρημα. Moschop.

Ibid. ΤΟΝ ΓΑΙΑ ΦΕΡΕΙ. Ἀντὶ τοῦ, ὃν ἡ γῆ φύει, ἀκτὴν ὄντα τῆς Δήμητρος, ἀντὶ τοῦ, ἐξαίρετον δώρημα. [c])Ἀκτὴ ἡ κατὰ τοὺς αἰγιαλοὺς ἐξοχή· ἀφ' οὗ κατὰ μεταφορὰν ἐνταῦθα τὸ ἔξοχον δώρημα. Moschop.

33. ΤΟΥ ΚΕΚΟΡΕΣΣΑΜΕΝΟΣ. Οὐχ ὅτι πλούσιός τις

53) ἤγουν τὸν νεάζοντα σῖτον.] Addidimus (ex Trinc.) vocem νεάζοντα, quae a Basiliensi editione aberat: quam vocem necessario adesse sciet, qui considerabit, in hac allegoria, sicut ἐν τῇ κόρῃ τὸ νεάζον τῆς ἡλικίας, sic ἐν τῷ σίτῳ τὸ νεάζον τῆς εὑρέσεως. Heinsius.

t) νεάζοντα om. Bas. F. τοῦτον om. Trinc.

v) καὶ ἐν Trinc. et mox Δήμητρα.

w) Ita Trinc. Bas. λευκοπώλου Heins.

x) σπαρεὶς ὁ σῖτος ἐν ῇ Trinc.

y) πορευόμενοι Trinc.

z) μυθώδη Trinc. Mox φερομένη E. F. Trinc. Al. περιφερομένη.

a) τῆς add. ex Trinc. E. Mox τὴν γ. ποιούμενος Trinc. pro τὴν γεωργίαν καὶ φυτ. διδάσκων. Ὅθεν ad φυτουργίας om. Trinc.

b) καὶ Δήμητρα καλοῦσιν Trinc.

c) Ἀκτὴ ad δώρημα ex B. addita.

ὢν ὀφείλει εἶναι [d]) φιλόδικος, ἀλλ' ἐκ περιουσίας ἐνδείκνυται πρὸς τὸν Πέρσην, ὅτι μόλις πλούσιος ὢν σχολὴν ἄγειν ὤφειλες εἰς τὸ περὶ δίκας διατρίβειν καὶ ἀγοράς. Νῦν δὲ ἄπορος ὢν πρὸς τοῖς ἔργοις ἂν μάλιστα διάγοις, ἀφ' ὧν [e]) δύνασαι πορίσαι σαυτῷ βίον. ΑΛΛΩΣ. Ὅταν, φησὶν, εἰς χορτασίαν ἀποθῇς ἑαυτῷ, τότε φιλονείκει ἐπ' ἀλλοτρίοις 53 κτήμασιν. ἐπειδὴ οὐκ ἔστιν ἐκ δευτέρου ἐργάζεσθαι τὸ ἔργον, ὡς ἂν εἰ μὴ σπείρεις τῷ χειμῶνι, οὐ δύνῃ μετὰ ταῦτα τῷ θέρει σπεῖραι. Proclus.

Ibid. [f]) ΤΟΥ ΚΕΚΟΡΕΣΣΑΜΕΝΟΣ. Οὗ τινος δὴ δωρήματος καὶ βίου τοῦ ἐκ τῆς γεωργίας κορεσθεὶς, ΟΦΕΛΛΟΙΣ, ἀντὶ τοῦ ὄφελλε καὶ αὖξε τὴν ἔριν. Οὐ προτρέπων δὲ τοῦτον φιλόνεικον εἶναι, ταῦτά φησι· ἀλλ' εἰδὼς, ὅτι εἰ πρὸς ἔργα καὶ γεωργίαν σχολάσει, οὐκ ἔτι τούτοις ἀσχοληθήσεται, οὕτως εἰρήκει. Τὰ ἑξῆς δῆλα. [g]) Κεκορεσσάμενος, καὶ ὅσα λόγου δίχα τινὸς διπλασιάζει τὰ σύμφωνα, Αἰολικά εἰσιν. Tzetzes.

Ibid. ΤΟΥ ΚΕ ΚΟΡΕΣΣΑΜΕΝΟΣ. Τούτου τοῦ πλούτου κορεσσάμενος, ἤγουν πλησθεὶς, ὀφέλλοις ἂν, ἀντὶ τοῦ ὄφελλε, ἐπίτεινε, φιλονεικίας καὶ μάχην ἐπὶ τοῖς ἀλλοτρίοις κτήμασιν· ἤγουν χάριν τῶν ἀλλοτρίων κτημάτων, ὑπερβαίνειν αὐτὰ φιλοτιμούμενος. Moschop.

34. ΣΟΙ Δ' ΟΥΚΕΤΙ. Μετὰ τὴν διανομὴν τῶν πατρῴων [h]) ἥρπαξες τἀμὰ τοῖς ἄρχουσι χρώμενος συμμάχοις, καὶ ἐμὲ συκοφαντῶν· οὐκ ἔτι δὲ καὶ δεύτερον ὑπάρξει σοι διὰ τὴν φιλοπραγμοσύνην τὰ ἐμὰ ἁρπάζειν προσιόντι πάλιν ἐκείνοις, κἀμὲ συκοφαντοῦντι. Proclus.

Ibid. ΚΤΗΜΑΣ' ΕΠ' ΑΛΛΟΤΡΙΟΙΣ. Οἱ ποιηταὶ, καὶ δύο γράμματα, ὡς νῦν, ἐκθλίβουσιν Αἰολικῶς, καὶ τὰ μακρὰ κουφίζουσι. Tzetzes.

Ibid. ΣΟΙ Δ' ΟΥΚΕΤΙ ΔΕΥΤΕΡΟΝ ΕΣΤΑΙ. Οὐκέτι δὲ ἐκ δευτέρου ὧδε καὶ κατὰ τοῦτον τὸν τρόπον σοι γενήσεται, λαμβάνειν τὰ ἐμά· ἀλλὰ λυθήτω αὐτόθι τὸ ἡμέτερον φιλονείκημα. Tzetzes.

d) φιλοδίκαιος εἶναι Dorv. et mox ὄφελες.

e) δύνασαι πορίσαι A. Dorv. Antea δύνασθαι πορίσασθαι. Mox ὅτε — ἀπωθεὶς Dorv. Deinde σπείρεις Dorv. Al. σπείρῃς.

f) Ad κορεσθεὶς om. Trinc. Mox αὔξανε F. H.

g) κεκορεσσάμενος ad πηλικότητος v. 40. desunt Trinc.

h) ἥρπαξας Dorv.

Ibid. *ΣΟΙ Δ' ΟΥΚΕΤΙ ΔΕΥΤΕΡΟΝ ΕΣΤΑΙ ὩΔ' ἘΡΔΕΙΝ.* Ἀντὶ τοῦ πάλιν. [27]) Οὐ γὰρ ἅπαξ πρότερον τοῦτο ἐποίησεν, ἵν' ᾖ τὸ παρὸν δεύτερον. *ΑΛΛ' ΑΥΤΟΘΙ·* ἤγουν ἐν τῷ παρόντι. *ΔΙΑΚΡΙΝΩΜΕΘΑ.* τουτέστι διαχωρίσωμεν τὴν ἡμετέραν φιλονεικίαν. *ΙΘΕΙΑΙΣ ΔΙΚΑΙΣ·* ἤγουν εὐθείαις, ἐννόμοις, τουτέστι δι' ἐννόμων Δικῶν. *ΑΙ ΕΚ ΔΙΟΣ ΕΙΣΙΝ ΑΡΙΣΤΑΙ·* ἤγουν κράτισται· τουτέστιν αἱ ἀπὸ τῆς προνοίας ἔχουσι τὸ κράτος. MOSCHOP.

35. *ΑΛΛ' ΑΥΘΙ ΔΙΑΚΡΙΝΩΜΕΘΑ.* Ἀλλὰ νῦν μεταξὺ ἡμῶν ἀλλήλους [i]) διαλυσώμεθα ταῖς δικαίως κρινομέναις δίκαις ἐπ' εὐθείαις, αἵ τινες ἐκ τοῦ Διός εἰσιν ἄρισται. PROCLUS.

36. [34])*ἸΘΕΙΗΣΙ ΔΙΚΑΙΣ.* Εὐθείαις δικαιοσύναις, ἢ δικαίαις

54 κρίσεσιν, αἳ ἀπὸ τοῦ Διὸς καὶ τῆς προνοίας καὶ τῆς εἱμαρμένης εἰσὶ τίμιαι [k]). TZETZES.

37. *ΚΛΗΡΟΝ ΕΔΑΣΣΑΜΕΘΑ.* Κλῆρον ἢ τὸν τῆς γῆς, ἢ τὸν τῆς οὐσίας· ὅθεν ἄκληρος ὁ πτωχὸς, καὶ ἐπίκληρος ὁ κληρονόμος. [30])Ἤδη, φησὶν, ἐδασάμεθα ἅπαξ, καὶ ἔξωθεν δὲ, σὺ ἐπλεονέκτησάς με, καὶ [l]) ἄρχοντας ἐτίμησας ἐξ αὐτῶν, δωροδοκῶν αὐτοὺς καὶ κολακεύων, ἵνα σοὶ χαρίσωνται. Βασιλῆας δὲ νῦν τοὺς δικαστὰς καὶ τοὺς ἄρχοντας λέγει· [m]) οὕτως γὰρ αὐτοὺς ἐκάλουν οἱ παλαιοί· ὡς Ὅμηρος·

Ἀλλ' ἤτοι βασιλῆες Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι. PROCLUS.

Ibid. *ΗΔΗ ΜΕΝ ΓΑΡ ΚΛΗΡΟΝ ΕΔΑΣΣΑΜΕΘΑ.* Ἀντὶ τοῦ πρὸ μακροῦ τὴν περιουσίαν ἐμερίσαμεν, ἣν ἀπὸ τοῦ πατρὸς ἐκληρονομήσαμεν. Ἀλλὰ καὶ ἄλλα πολλὰ ἔξω τοῦ ἀνήκοντός σοι μέρους ἐφύρεις, ἤγουν ἔφερες, ἁρπάζων· του-

27) οὐ γὰρ ἅπαξ] Fortasse οὕτως γὰρ ἅπαξ. HEINSIUS.

i) διαλυσόμεθα B. Dorv. Trinc. Mox εὐθείας—ἄριστοι Dorv. ἀρίστοι Trinc.

34) Ἰθείησι δίκαις] εὐθείαις δικαιοσύναις] Hoc loco in Basiliensi sequebatur ipsa Glossa, εὐθείαις δικαιοσύναις. Verba autem Poëtae, quae προθεὶς exponit, praetermissa erant. HEINSIUS.

k) Inserunt h. l. E. F. Ἐφόρεις, ἔφερες, ἐξήγαγες, ἔκλεπτες. Βασιλῆας δὲ νῦν τοὺς κριτάς.

30) ἤδη, φησὶν, ἐδασάμεθα ἅπαξ, καὶ ἔξωθεν] Scribe, ἤδη φησὶν ἐδασσάμεθα, ἅπαξ, κατ' ἔξωθεν. Notat nimirum Grammaticus in illo, ἤδη ἐδασσάμεθα vocem ἅπαξ, ἔξωθεν subintelligendam, sive κατὰ τὸ ἔξωθεν, ut loquuntur semper Grammatici. HEINSIUS.

l) ἄρχοντα Trinc. καὶ βασιλῆας addit Dorv. Mox λέγει om. A. Dorv.

τίστι, βιαίως λαμβάνων, πλεονεκτῶν. *ΜΕΓΑ ΚΥΔΑΙΝΩΝ*, ἤγουν μεγάλως τιμῶν, ἀντὶ τοῦ, ἵνα μεγάλως τιμᾷς τοὺς βασιλέας, ἤτοι τοὺς κριτὰς τοὺς δωροφάγους· ἤγουν τοὺς τὰ δῶρα πόρον ζωῆς ποιουμένους, οἳ ταύτην τὴν κρίσιν ἐθέλουσι δικάσαι, ἤγουν κρῖναι, ἣν πρὸς ἀλλήλους ἔχομεν. Moschop.

39. *ΔΩΡΟΦΑΓΟΥΣ.* Τοὺς ἄρχοντας, οἷς χρώμενος, καὶ δῶρα διδοὺς ἐκίνει κατὰ τοῦ Ἡσιόδου, οὐ δωροδόκους προσεῖπεν ἀλλὰ δωροφάγους, [n]) ὡς μὴ μόνον δῶρα λαμβάνοντας παρὰ τῶν φιλοδίκων, ἀλλὰ καὶ δαπανῶντας ἅπερ λάβωσι, καὶ τρεφομένους ἐκ τῶν ἀλλοτρίων· [o]) οἷά τε προθύμους ὄντας καὶ αὖθις δικάζειν τῷ Πέρσῃ καὶ τῷ Ἡσιόδῳ διὰ τὴν τῶν δώρων ἐλπίδα. Proclus.

Ibid. *ΔΩΡΟΦΑΓΟΥΣ.* Οὐκ εἶπε *ΔΩΡΟΔΟΚΟΥΣ*, ἀλλ'
[p]) ἐπιτατικῶς *ΔΩΡΟΦΑΓΟΥΣ*· τουτέστιν, ἐκ τοῦ λαμβά-
νειν δῶρα διαζῶντας. Οἱ δὲ τοιοῦτοι, τί τῶν φαύλων οὐ κρί-
νουσι τοῦ διαζῆν ἕνεκα; Δωροδόκοι δέ τινες γίνονται, καὶ φι-
λικῷ τρόπῳ δίχα φαυλότητος ἀποστολὰς εἰσδεχόμενοι. **14**
Tzetzes.

40. *ὍΣΩι ΠΛΕΟΝ.* Τὸ πλέον, ἢ τῷ ποσῷ ἐστι πλέον,
ἢ τῇ ἀξίᾳ· τὸ οὖν ἥμισυ τοῦ παντὸς ἔλαττον ὂν κατὰ τὸ πο-
σὸν, κατὰ τὴν ἀξίαν ἐστὶ πλέον. Ποιεῖ δὲ τὴν ἀξίαν τὸ δικαιό- **55**
τερον. Ὃν οὖν δεῖ μὴ τὸ πᾶν ἔχειν, ἀλλὰ τὸ ἥμισυ, [q]) διὰ
τὸ πρόσαλλον τῆς διανομῆς, τοῦτον δεῖ πλέον τοῦ παντὸς νο-
μίζειν τὸ ἥμισυ, ὡς κρεῖττον ὂν καὶ δικαιότερον τοῦ τὸ πᾶν
κεκτῆσθαι τὸ μόνου τοῦ ἡμίσεως ἀπολαύειν· τὸ μὲν γὰρ ποιεῖ
πλουσιώτερον, τὸ δὲ δείκνυσιν [r]) ὄντα δικαιότερον. *ΑΛΛΩΣ.*
Τὸ [s]) ἥμισυ μετὰ δικαιοσύνης πλέον ἐστὶ τοῦ ὅλου μετὰ ἀδι-
κίας. **Proclus.**

m) οὕτως. Sic Dorv. Fere semper codd. optimi habent *οὕτως* ubi nunc *οὕτω* vulgatur. Ita, verbi caussa, tantum non constanter exaratum reperi in Platonis membranis Bodleianis, et Parisiensibus Suidae.

n) *ὡς μὴ* ad *λάβωσι* om. B.

o) *οἷότε τούτους* Dorv.

p) *ἐπιδοτικῶς* F. Mox *κρίνουσι τῶν διὰ ζωῆς ἕνεκα* E. et post, *φιλικῷ* pro *φίλῳ* E. F.

q) *διὰ τὸ* ad *ἥμισυ* accesserunt ex A. Dorv.

r) *ὄντα* A. Dorv. Trinc. *ὂν* Heins.

s) *ἥμισυ οὖν τὸ* Trinc. Heins. Particulam et articulum delevi cum A. B. Dorv. Sequens Scholion legitur in C. *Ἐπίκρισις ὁποῖοί τινές εἰσι δεικνύουσα οὕτω δικάζειν ἐθέλοντες, καὶ ὅτι οὐκ ἴσασιν ὅτι τὸ ἐκ δικαίων ἥμισυ πλέον παντὸς τοῦ ἐξ ἀδικίας, καὶ τὸ εὐτέλεσι δικαίως διαζῆν τῆς ἐξ ἀδίκων τρυφῆς ὠφελιμώτερον.*

Ibid. ʽΟΣΩι ΠΛΕΟΝ ʽΗΜΙΣΥ ΠΑΝΤΟΣ. Ἀντὶ τοῦ ἐν ποίῳ πράγματι τὸ ἥμισυ πλέον τοῦ [t])παντὸς, ἤτοι ὁλοκλήρου. Τὸ ʽΟΣΩι, ποσότης ἐστὶν ἀντὶ πηλικότητος· τὸ ΠΛΕΟΝ δὲ [v])νῦν τῇ ἀξίᾳ νοητέον· οἷον, οἱ ἐκ δικαίου δέκα χρυσοῖ, πλείους τῇ ἀξίᾳ τυγχάνουσι τῶν κ. οὐ γὰρ τῷ ποσῷ ποτὲ τὸ ἥμισυ τοῦ ἑαυτοῦ ὁλοκλήρου πλέον τις εἴποι. Tzetzes.

Ibid. ΝΗΠΙΟΙ. Ἤγουν μωροί. ΟΥΔΕ ΙΣΑΣΙΝ. Ἤγουν γινώσκουσιν, ὅσῳ μέτρῳ δηλονότι ὑπάρχει πλέον τὸ ἥμισυ, τὸ ἀπὸ τοῦ δικαίου δηλονότι, τοῦ ὁλοκλήρου τοῦ ἐξ ἀδικίας. Moschop.

41. ΟΥ Δ' ʽΟΣΟΝ ΕΝ ΜΑΛΑΧΗι ΤΕ. Τὰ εὐτελέστατα τῶν βρωτῶν [w]) παρέλαβεν ἀφ' ὧν τρέφεσθαι δυνατὸν, τὴν μαλάχην καὶ τὸν ἀσφόδελον· καὶ γὰρ ἐκ τούτων χυλὸν ἐσκεύαζον εἰς βρῶσιν. Ἐκ τούτου οὖν πολὺ τὸ ὄφελος, καὶ πλέον ἢ
τῶν πολυτελεστάτων βρωμάτων ἀπὸ ἀδικίας συλλεγομένων.
ΑΛΛΩΣ. Ἢ [x])τὸν ἐκ τοῦ ῥᾴστου βίου λέγει, ἴσως δὲ καὶ ἀφ'
ἱστορίας τοῦτο λέγει· Ἕρμιππος γὰρ ἐν τῷ τῶν ἑπτὰ σοφῶν,
περὶ τῆς ἀλίμου λέγει· ((35)) μέμνηται δὲ τῆς ἀλίμου καὶ ʽΗρό-
56 δωρος, ἐν τῷ πέμπτῳ τοῦ καθ' ʽΗρακλέα λόγου, καὶ Πλάτων
ἐν γ' τῶν νόμων·) Ἐπιμενίδην φησὶ μικρόν τι ἐδεσμάτιον
προσφερόμενον ὧδε διὰ ὅλην τελεῖν τὴν ἡμέραν, ἣν δ' ἐξ ἀσ-
φοδέλου καὶ μαλάχης, ὅπερ αὐτὸν ἄλιμον καὶ ἄδιψον ἐποίει.
Proclus.

t) παντὸς ἤτοι addidi ex E.

v) νῦν addidi ex E. F. G. Trinc. In extr. εἴποι G. Trinc. Al. εἴπῃ.

w) παρέλαβεν addidi ex A. Dorv. Mox ἐσκέβαζον pro ἐσκεύαζον Dorv. frequenti literarum commutatione. Deinde χιλὸν *cibum*, *escam* Gr.

x) τῶν ἑ. τ. ῥ. β. λέγεται Dorv. Mox δὲ om. Dorv. et Ἕρμιππος ἐν τοῖς τῶν ἑ. σ. Deinde admisi certam, Heinsiine dicam an Casauboni? emendationem ʽΗρόδωρος pro ʽΗρόδοτος, de quorum nominum permutatione pluribus agit Wesselingius in Dissertatione Herodotea c. 3. P. seq. pro vulgatis ὧδε τελεῖν dedi ὧδε διὰ ὅλην τελεῖν ex Dorv. ὧδε διατελεῖν tacite correxerat Casaubonus ad Athen. II. p. 58. F. quam lectionem probat Wyttenbachius ad Plutarch. p. 157. D. cujus monitu μέμνηται — νόμων uncinulis inclusi. Mox καὶ μαλάχης om. B. De ἀσφοδέλῳ vide Creuzeri Melet. T. I. p. 90.

35) μέμνηται δὲ τῆς ἀλίμου καὶ ʽΗρόδοτος] Scribe μέμνηται δὲ τῆς ἀλίμου καὶ ʽΗρόδωρος, non ʽΗρόδοτος. Autor τῶν καθ' ʽΗρακλέα fuit Herodorus, cujus Argonautica saepe a magistris citantur; praesertim iis quorum in Apollonium Glossas habemus, qui ejus libros περὶ ʽΗρακλείας adducunt: περὶ τοῦ (inquiunt ad secundum Apollonii) ἐν Μαριανδυνοῖς γενομένου θανάτου τοῦ Ἴδμονος καὶ ʽΗρόδωρος ἱστορεῖ ἐν τοῖς περὶ ʽΗρακλείας, ὡς Προμηθίδας εἶπε etc. Et quotiescunque vel Herculis vel Argo-

Ibid. *ΟΥΔ' ΟΣΟΝ ΕΝ ΜΑΛΑΧΗι.* Ἐλλιπῶς καὶ συντόμως τοῦτό φησιν Ἡσίοδος. [36]) *Εἰπὼν γὰρ ὅτι οὐ γινώσκουσιν* [y]) ὅσον που πλέον τὸ ἥμισυ τοῦ ὁλοκλήρου, ἐπάγει, ὅτι οὐδὲ γινώσκουσιν ὅσον μέγα ὄφελος ἐν μαλάχῃ καὶ ἀσφοδέλῳ εὐτελέσι λαχάνοις ὑπάρχει. *Λείπει τὸ παρὲξ ἀδίκων βρωμάτων πολυτελῶν.*

[37]) *Πάλιν δ' ὁ Πρόκλος ἐξαποπτύει λόγους.*
[z]) Ἐρεύγεται δὲ κομπασίφρονα ζάλην,
Θέλων διδάσκειν τῆς ἀλίμου τὸν τρόπον.
Ἀλλ' οὐδὲν εἰδὼς ἀφρίᾳ μάτην γράφων.
Ἀλλ' αὐτὸς εἰπεῖν καὶ διδάσκειν καὶ γράφειν
Ἄκων προῆγμαι τοῖς κενοῖς τούτου [a]) κρότοις.
Σκίλλης τὸν ὄγκον, καὶ μαλάχης τοὺς κλάδους
Τεμὼν ἐν ὅλμῳ, συγκεράσας καὶ μέλι,
Καὶ σπῶν τι βραχὺ πρὸς τροφὴν τῶν [b]) μιγμάτων
Οὐκ ἂν πτοηθῇς τοῦ λιμοῦ τὸ πυρφόρον,
Εἰ συγκεράσαις ἀκριβῶς καὶ πρὸς τέχνην.
Εἰ δ' οὐ, πρὸς Ἀιδην οὐ [c]) βραδὺς φανῇ τρέχων.
Σκίλλα γὰρ οἶδε τοὺς ἀτέχνους ὀλλύειν.
Εἰ δ' αὐτὸν ἰὸν ἐξενέγκῃς ἐντέχνως,
Βράττων ἱκανῶς ἐν χύτραις μεθ' ὑδάτων,
Ἔπειτα τερσήνειας αὐγαῖς ἡλίου,
Τεμών τε λεπτὰ συμφυράσαις σησάμῳ,
Μέλι τε μίξαις, καὶ τὸ μήκωνος δάκρυ 57
Πρὸς σταθμὸν, ὃν χρὴ, καὶ ποσὸν, καὶ πρὸς μέτρον,
Ὅπερ γινώσκων ἀκριβῶς, οὐχὶ γράφω,
Σμικροῖς ἐν ὄγκοις ἱκανὸν θρέψαις ὄχλον. Tzetzes.

nautarum fit mentio, citatur idem: et Clemens *Στρωματ. Δ.* Ἡρόδωρος δὲ τὸν Ἡρακλέα μάντιν καὶ φυσικὸν γενόμενον ἱστορεῖ παρὰ Ἄτλαντος τοῦ βαρβάρου etc. est autem fortasse idem ille ὁ τὴν Ὀρφέως καὶ Μουσαίου συγγράψας ἱστορίαν, qui alibi in judiciis a Photio citatur. Sed hoc vidi postea venisse in mentem magno Casaubono ad Athenaeum. Heinsius.

36) *εἰπὼν γὰρ, ὅτι οὐ γινώσκουσιν, ὅσον που πλέον τὸ ἥμισυ τοῦ ὁλοκλήρου*] Male in Basiliensi erat, ὅπου πλέον. Heinsius.

y) ὅπου pro ὅσον που E. F. Mox ὅτι ex E. ὅσῳ Trinc. et deinde ἡ ἐν μ. κ. ἀ. ἐ. λαχάνης ζωὴ, τῶν ἐξ ἀδικίας δηλονότι πολυτελῶν βρωμάτων. Παρὸ ἐξ pro παρὲξ Bas. λείπει δὲ τὸ παρὸ ἐξ ἀδ. E. G. παρὸ F. πρὸ ἐξ H.

37) *Πάλιν δ' ὁ Πρόκλος*] In principio ineptorum horum versuum κοινῶν magistri Tzetzae, legebatur in Basiliensi pessime, Πάλιν δ' * ὁ λόγος, cum asterisco. Heinsius.

z) Deest h. v. Trinc.

a) τρόποις G.

b) μιγμάτων E. F. G. Trinc. τμημάτων, Heins.

c) φανεὶς βραδὺς Trinc. et mox μίξεις — θρέψις.

Ibid. *ΟΥΔ' ΟΣΟΝ.* Οὐδ' ὅσον μέγα ὄφελός ἐστιν ἐν τῇ ζωῇ τῇ ἐν μαλάχῃ καὶ ἀσφοδέλῳ, ἀντὶ τοῦ εὐτελεῖ καὶ ἀπερίττῳ διαίτῃ, τῇ μετὰ δικαιοπραγίας δηλονότι, καὶ ἔξω πλεονεξίας. Διὰ γὰρ τῶν εὐτελεστάτων λαχάνων, ἀφ' ὧν τρέφεσθαί τινα δυνατὸν, τὸν ἀπέριττον ἁπλῶς ἐδήλωσε βίον. Moschop.

42. *ΚΡΥΨΑΝΤΕΣ ΓΑΡ ΕΧΟΥΣΙ ΘΕΟΙ.* Τὸν βίον ἀποκεκρύφθαι [d]) ὑπὸ τῶν θεῶν τοῖς ἀνθρώποις, τὴν τῶν ἀναγκαίων περιποίησιν βίον καλῶν· εἰ γὰρ μὴ [e]) ἀπεκέκρυπτο, ἀλλ' ἦν ἐν μέσῳ κείμενος, καὶ εὐπόριστος, οὐδὲν ἔδει γεωργεῖν ἢ οὐδὲ πλεῖν ἕνεκα τῆς τοῦ βίου κατασκευῆς. Νῦν δὲ οὐκ οὖσα πᾶσιν εὐπετὴς ἡ τούτου [f]) πόρισις, ὡς κρυφθεῖσα παρὰ θεῶν, καὶ ὀλίγοις οὖσα καταφανὴς, κινεῖ τοὺς μὲν εἰς τὸ πλεῖν, τοὺς δὲ εἰς τὸ γεωργεῖν· μηχανωμένους ἀφορμὴν ἑαυτοῖς τοῦ συλλέγειν τὸν βίον. *ΑΛΛΩΣ.* Βίον [g]) τὸν τῆς ἀρετῆς δηλονότι· λέγεται δὲ ἔκρυψαν, ὅτι οὐ πᾶσι δήλη ἡ ἀρετὴ, καὶ ὅτι μετὰ κόπου πολλοῦ τὶς αὐτὴν εὑρίσκει· ἢ ἐπὶ γεωπονίᾳ [h]) ἔδωκαν τὸν πλοῦτον, οὐ προσθέντες αὐτόν. Τὸ δὲ σχῆμα Ἀττικόν· ἀντὶ γὰρ τοῦ "κεκρύφασιν" εἶπε "κρύψαντες ἔχουσιν." Σοφοκλῆς,

Κηρύξας ἔχω·

ἀντὶ τοῦ ἐκήρυξα. Proclus.

Ibid. *ΚΡΥΨΑΝΤΕΣ ΓΑΡ ΕΧΟΥΣΙΝ.* [i]) Ἀντὶ τοῦ κεκρύφασιν, Ἀττικῶς· οἱ γὰρ Ἀττικοὶ τὰς μετοχὰς ἀντὶ ῥημάτων λέγουσι. [18]) Τινὲς [k]) κατὰ παρολκὴν, ἤγουν περισσῶς τιθέασιν, ὡς νῦν τὸ ΚΡΥΨΑΝΤΕΣ ἀντὶ τοῦ κεκρύφασι· τὸ δὲ ΕΧΟΥΣΙ κατὰ παρολκὴν κεῖται. Ὁ δὲ νοῦς τοιοῦτος· ὦ Πέρση, μὴ ἀργὸς ἐν ταῖς ἀγοραῖς καὶ τοῖς πωλητηρίοις διάτριβε·

d) ἀπὸ Trinc.

e) ἀπέκρυπτο Dorv.

f) πόρισις A. B. Dorv. πορία edd. quam vocem bene Graecam esse negat H. Stephanus Thes. T. III. p. 181. D. Mox παρὰ θεοῖς Dorv.

g) Articulus accessit ex A. Dorv. Mox λέγεται δὲ et οὐ om. Dorv.

h) δέδωκαν A. δεδώκασι Dorv. Mox οὐ προσθέντες A. B. Dorv. εὐπορισθέντες edd. De usu Attico verbi ἔχειν cum participio legendus Valckenaer. ad Euripid. Phoen. 712.

i) ἀντὶ ad φιλονείκει om. Trinc.

38) τινὲς κατὰ παρολκὴν, ἤγουν περισσῶς τιθέασιν, ὡς νῦν τὸ κρύψαντες] In emendatissima editione, quam secuti sumus, Basiliensi, erat, ὡς νῦν τὸ κλέψαντο ἀντὶ τοῦ κεκρύφασι, quod nescio a quo homine somniculoso et aliud agente suppositum est. Considerat Grammaticus τὸ περισσὸν in schemate Attico κρύψαντες ἔχουσι, sicut vice versa, ἔκρυψαν ἔχοντες. Heinsius.

k) τινὰ δὲ E. F. G. pro τινὲς.

τῷ γὰρ μὴ ἔχοντι [l]) ἀρκοῦσαν τὴν ἐκ γεωργίας χρονίαν ζωὴν, οὐ χρεία τοιούτων· ἧς γεωργικῆς ζωῆς τὴν συνοικίαν πληρώσας, εἴπερ σοι αἱρετὸν, ἔπειτα φιλονείκει. Οἱ θεοὶ γὰρ, ἤγουν 58
ἡ εἱμαρμένη, ἡ ἐκ τῶν ἀστέρων γινομένη, ἀπέκρυψε, καὶ δυσπόριστον ἐποίησε τὸν βίον τοῖς ἀνθρώποις. [39]) Εὐκόλως γὰρ πρότερον καὶ ἐν μιᾷ ἡμέρᾳ ἐργασάμενος εἶχες ἂν ἀρκοῦσαν ζωὴν πρὸς ὅλον ἐνιαυτὸν, [m]) καὶ ἀργὸς διάγων· καὶ [n]) ταχέως ἂν τὸ πηδάλιον ὑπεράνω τοῦ καπνοῦ κατετέθου, δηλονότι ἅπαξ πλεύσας· καὶ ἀπόλοιτο καὶ ἀπώλοντο ἂν τὰ ἔργα τῶν βοῶν, δηλονότι ἅπαξ σου ἐργασαμένου. Ἀλλὰ Ζεὺς, ἤγουν ἡ εἱμαρμένη, ἀπέκρυψε τὴν ῥᾳδίαν καὶ εὔκολον ταύτην ζωὴν, ἀπατηθεὶς παρὰ τοῦ Προμηθέως, καὶ κλαπεὶς ὑπ' αὐτοῦ τὸ πῦρ· ἀνθ' οὗ κλέμματος τοῦ πυρὸς τὴν γυναῖκα ποιήσας, συμφορῶν τὸν βίον ἐπλήρωσε. Ταῦτα μὲν τὰ μυθικά· καὶ δὴ σαφέστερον, καὶ κατὰ ἀλληγορίαν μοι μάνθανε, καὶ [o]) ἱστορικωτέρως καὶ ἀληθῶς κατὰ Ἕλληνας. Φασὶν Ἕλληνες, ὅσοι τὸν κόσμον γεννητὸν εἶναι λέγουσιν, ὅτι μετὰ τὸ διαῤῥαγῆναι τὸ Ἔρεβος, καὶ τὸν ἀέρα συστῆναι, [p]) καὶ ὑποστῆναι τὴν γῆν πηλώδη καὶ παντελῶς ἁπαλὴν, σηπεδονώδεις καὶ πομφολυγώδεις ὑμένας ἐκ ταύτης ἀναδοθῆναι· ὧν ὑπὸ τοῦ ἡλίου θερμαινομένων ἡμέρας, νυκτὸς δὲ τρεφομένων ταῖς σεληναίαις ὑγρότησι, καὶ μετὰ τὴν αὔξησιν ἐκραγέντων, ἀνθρώπους συνέβη γενέσθαι, καὶ παντοίων ζώων ἰδέας πρὸς τὴν στοιχειακὴν ἐπικράτειαν, τὴν ὑδατώδη φημὶ καὶ πυρώδη, καὶ γεώδη καὶ ἀερώδη. Κατεξικμασθείσης δὲ τῆς γῆς ὑφ' ἡλίου, καὶ μηκέτι γεννᾷν δυναμένης, ἐξ ἀλληλογονίας φασὶ τὴν [q]) γέννησιν γίνεσθαι. Ὅτι δὲ ζῶα γεννᾷν οἶδεν ἡ γῆ, δεικνύουσι πολλαχόθεν, καὶ ἐκ τῶν ἐν Θηβαΐδι τῇ Αἰγυπτίᾳ [40]) γεννωμένων μυῶν μετὰ

l) ἀρκοῦσαν addidi ex E. F. Mox iidem τούτων. οἰκίαν F. pro τὴν συνοικίαν.

39) εὐκόλως γὰρ πρότερον καὶ μιᾷ ἡμέρᾳ ἐργασάμενος εἶχες ἂν ἀρκοῦσαν ζωὴν πρὸς ὅλον ἐνιαυτὸν, καὶ ἀργὸς διάγων] In editione nostra id est Basiliensi scriptum erat: ἐργασάμενος εἶχες ἂν ἀρκοῦσαν ζωὴν πρὸς ὅλον ἐνιαυτὸν, καὶ ἀργὸς, omissa voce διάγων, quam necessario addidimus: vim enim exprimit τοῦ καὶ, quod est καίπερ, καίπερ ἀργὸς διάγων. HEINSIUS.

m) καὶ ἀ. δ. om. E.

n) καὶ ταχέως ad ἐργασαμένου om. Trinc. Mox κατέθου F. τὰ μυθικὰ Trinc.

o) ἱστορικῶς Trinc. καὶ καθὰ Ἑλ. F. Sequens narratio conferri debet cum Diodoro Siculo Biblioth. I. 7.

p) καὶ ὑποστῆναι om. F.

q) γένεσιν Trinc. et mox δείκνυται.

40) γεννωμένων μυῶν] Vox μυῶν, ex qua totus hujus narrationis sensus pendet, in nostro omissa fuit,

τὴν τοῦ Νείλου τῆς ἀναβάσεως ὑποχώρησιν. Οἱ τότε δὲ τῶν ἀνθρώπων, ἁπλότητος ὄντες ἁπάσης καὶ ἀπειρίας ἀνάμεστοι, οὐδεμίαν οὔτε τέχνην, οὔτε γεωργίαν ἐπίσταντο, οὔτ᾽ ἄλλο οὐδὲν, οὔτε ὅ τι ἐστὶ νόσος ἢ θάνατος ἐπεγίνωσκον· ἀλλ᾽ ὡς ἐπὶ κοῖτον ἐπὶ τὴν γῆν πίπτοντες ἀπέψυχον, οὐκ εἰδότες, ὃ πάσχουσι· φιλαλληλίαν δὲ μόνον ἀσκοῦντες, ἀγελαῖον διέζων τὸν βίον, [41]) δίκην ποιμνίων ἐπὶ νομὰς ἐξιόντες, καὶ τοῖς ἀκρο-
59 *δρύοις κοινῶς καὶ τοῖς λαχάνοις τρεφόμενοι, καὶ αλλήλοις κατὰ θηρίων προσεβοήθουν καὶ συνεμάχοντο, γυμνοὶ γυμναῖς ταῖς χερσί. Γυμνοὶ δὲ οὕτω τυγχάνοντες, καὶ σκέπης καὶ χρημάτων ὄντες ἐπιδεεῖς, καὶ μηδὲ καρποὺς καὶ ἀκρόδρυα πρὸς ἀποθήκας [r]) συναγαγεῖν εἰδότες, ἀλλὰ μόνην ἐσθίοντες τροφὴν τὴν ἐφήμερον, χειμῶνος γεγονότος, πολλοὶ διεφθείροντο· λοιπὸν [s]) κατὰ μικρὸν τὴν ἀνάγκην σχόντες διδάσκαλον, τὰ κοῖλα τῶν δένδρων, καὶ τὰ δασέα, καὶ τὰς σχισμὰς τῶν πετρῶν, καὶ τὰ σπήλαια ὑπεδύοντο, καὶ τοὺς τῶν καρπῶν δυναμένους φυλάττεσθαι μόλις γνωρίσαντες, καὶ ἅπαξ αὐτοὺς [t]) συναγείροντες, ἐν τοῖς σπηλαίοις συναπετίθεντο, καὶ τούτοις ἐτρέφοντο δι᾽ ὅλου ἐνιαυτοῦ. [42]) Τοιαύτῃ συζῶντες τῇ εἱμαρμένῃ, βίον ἁπλοῦν καὶ ἀπέριττον καὶ φιλάλληλον εἶχον δίχα πυρὸς ἐπιγνώσεως, οὐ βασιλεῖς, οὐκ ἄρχοντας, οὐ δεσπότας [v]) κεκτημένοι, οὐ στρατείας, οὐ βίας, οὐχ ἁρπαγὰς, ἀλλὰ φιλαλληλίαν μόνον καὶ τὸν ἐλεύθερον καὶ ἀπέριττον [w]) τοῦτον βίον ζῆν εἰδότες. Ἐπεὶ δὲ προμηθέστεροι γεγονότες, καὶ προβουλευτικώτεροι, τὸ πῦρ ἐφεῦρον, καὶ θερμοτέρων, ἤγουν πανουργοτέρων πραγμάτων ὠρέχθησαν, καὶ τὴν τοῦ ἀπερίττου καὶ ἐλευθέρου βίου ἐκείνου [x]) μετέστρεψαν διαγωγὴν, καὶ εἱμαρμένην, ὡς εἴποι τίς. Κἀκ τῆς χρήσεως τοῦ πυρὸς αἱ τέχναι προσ-*

quam ex Veneta addidimus. Heinsius.

41) *δίκην ποιμνίων ἐπὶ νομὰς ἐξιόντες*] Male in Basiliensibus *ἐπιμονὰς* erat. Notum quid sit *ἐπὶ νομὰς, παρὰ τὸ νέμειν, τὸ ἀλᾶσθαι*: notum etiam qua ratione *ἐν Λιβύῃ, καὶ πρὸς τὰ τοῦ Βοῤῥᾶ* Nomadas constituat Geographia. Heinsius.

r) *συνάγειν* Trinc.

s) *κατὰ μικρὸν* restitui ex E. F. Trinc.

t) *συναγείραντες* F. Mox nescio an melius Trinc. *ἐναπετίθεντο*.

42) Ita excudi jussimus, cum in Basiliensi negligentissime praetermissum esset *τὸ. εἶχον*, quod sensum constituit. Heinsius.

v) *κεκτημένοι* restitui ex Trinc.

w) *τοῦτον* om. Trinc. Mox *προβουλευότεροι* E. *προβουλότεροι* F. Bas.

x) *μετέστρεψαν* Trinc. *μετέτρεψαν* Bas. Heins. Mox *αἱ τέχναι πᾶσαι* E. Trinc.

εφευρέθησαν, δι' ὧν ὁ βίος κοσμεῖται, καὶ τὰ ἡδέα ἡμῖν καὶ τερπνὰ καὶ y) ἁβρότατα γίνεται, δίκην γυναικὸς ἡμᾶς καταθέλγοντα, καὶ τρυφερωτέρους ἀπεργαζόμενα, ὃ καλεῖ πλάσιν γυναικὸς ὁ ποιητής. z) Ἐπεὶ ταῦτα ποθήσαντες ἐξευρήκαμεν, καθ' ἑαυτῶν ἐκτησάμεθα τὴν πανουργίαν ταύτην, καὶ τὴν προμήθειαν, καὶ τῶν τεχνῶν ἁπασῶν τὴν a) ἐφεύρεσιν, καὶ τὴν ἐκ τοῦ ἀπερίττου καὶ σκληροῦ βίου ἐκείνου ἐπὶ τὸ θηλυπρεπέστερον καὶ βλακωδέστερον μεταῤῥύθμησιν. ἃ καὶ γυναῖκα Πανδώραν, καὶ ἱστὸν πολυστήμονα, καὶ ἕτερα καλέσει τις μυρία. Οὕτω γοῦν ἐκ τῆς τοῦ πυρὸς κλοπῆς, ἤγουν τῆς ἐφευρέσεως καὶ τῆς χρήσεως, ἐφεύρομεν b) νέον κακὸν ἐπίσπαστον, τὴν τρυφερωτέραν ταύτην βιοτὴν, τὸ ἐπὶ στιβάδων καὶ ταπήτων μαλακῶν καθεύδειν, ὅπερ ἀμφαγαπῶμεν. Κακὸν δὲ ἡμέτερον, ὅτι ποθοῦντές τι τούτων τῶν c) λαμπρυνόντων τὸν βίον 60 προσεπικτήσασθαι, οὐδέποτε παυόμεθα καμάτου καὶ ὀϊζύος αἰνῆς. Καὶ τὸ πρὶν ζῶντες ἐλεύθεροι d) καὶ ἀπέριττοι καὶ ἀθόρυβοι, νῦν δοῦλοι γεγόναμεν δύστηνοι, βασιλεῖς καὶ ἄρχοντας καὶ δεσπότας ἡμῖν ἐπιστήσαντες καὶ τοῖς οἰκείοις πονήμασιν ὑπηρετοῦντες αὐτοῖς τρόμῳ πολλῷ· ἐντεῦθεν ἀνδροκτασίαι τε μάχαι τε, e) ἀνδροφόνοι τε κυδοιμοί. Εἰ δὲ ταύτας τὰς τέχνας οἱ ἐπιμηθέστεροι καὶ ὑστερόβουλοι μὴ ἐδέξαντο, τουτέστιν οἱ μετὰ τὸ πάθος τὴν γνῶσιν τούτων λαβόντες, καθάπερ f) ἂν οἱ προμηθέστεροί τινες καὶ τὸ μέλλον προβλέποντες τούτους ἐκώλυσαν, οἷα εἰδότες τὰ συμβησόμενα, 43) οὐδέν τι τούτων τῶν δυσχερῶν τῶν

y) ἁβρότητες γίνονται Trinc. Mox ἃ καλεῖ Trinc. E.

z) ἐπειδὴ Trinc. Deinde καθ' ἑαυτῶν ἐχρησάμεθα τῇ πανουργίᾳ ταύτῃ καὶ τῇ προμηθείᾳ καὶ τῶν τεχνῶν ἁπασῶν ῥυθμίσει καὶ ἐφευρέσει καὶ τῇ ἐκ τοῦ. E. ἐξευρήκαμεν καὶ καθ' F. Mox μεταῤῥυθμίσει E.

a) εὕρεσιν Trinc. τὴν θηλυπρεπεστέραν — βλακωδεστέραν Trinc.

b) ἐὸν F. Trinc. Post κακὸν * νέον Bas. τὴν τρυφερωτάτην ταυτηνὶ E. ταυτηνὶ Trinc. στοιβάδων Trinc. ὃ pro ὅπερ E. Deinde τι τούτων Trinc.

c) καλλυνόντων — ἐπικτήσασθαι F.

d) Duas voces adjeci ex E.

e) καὶ ἀνδροφόνοι γε Bas.

f) Ita F. ἂν εἰ Bas. E. καὶ Trinc. Heins. Mox τινες ex E. additum. Paullo supra τούτου pro τούτων E. Mox βλέποντες Trinc.

43) οὐδέν τι τούτων τῶν δυσχερῶν, τῶν ἐκ τῆς δυστυχοῦς μακαρίας, καὶ πλουσίας πενιχρᾶς, καὶ γλυκείας πικρᾶς συνέβαινεν] Male in ea quam secuti sumus editione legebatur, ἐκ τῆς εὐτυχοῦς, καὶ μακαρίας, καὶ ἁβρᾶς, καὶ γλυκείας πικρᾶς, pessime, ut videt lector: opponit enim in eadem vita, τὸ δυστυχὲς κατὰ τὸ δοκεῖν, de quo disputant philosophorum filii, et τὸ μακάριον κατὰ τὸ εἶναι. Heinsius.

[g]) *ἐκ τῆς δυστυχοῦς μακαρίας καὶ πλουσίας πενιχρᾶς καὶ γλυκείας
πικρᾶς συνέβαινεν ἂν ἡμῖν βιοτῆς, ἀλλ' ἐζῶμεν τὸν μακάριον βίον
ἐκεῖνον, τὸν ἐλεύθερον, καὶ λιτὸν καὶ ἀπέριττον καὶ φιλάλληλον,
καὶ τῶν* [h]) *νῦν κακῶν ἀνεπίδεκτον, μικροῖς τισι πονήμασι τὰ ὡραῖα
τῶν ἐδωδίμων ἀκρόδρυα καὶ πᾶν λάχανον πρὸς τροφὴν* [i]) *συναγεί-
ροντες, καὶ εἴ τι που ἕτερον* [k]) *τοιουτότροπον, καὶ τοῖς παρευρη-
μένοις ἀρκούμενοι. Τοῦτο γοῦν καὶ Ἡσίοδός φησι πρὸς Πέρ-
σην τὸν ἀδελφὸν διὰ τῶν παρόντων ἐπῶν·* [44]) *ὦ Πέρση, εἰ
τοιοῦτος ἦν ὁ βίος,* [l]) *ἀπέριττος οἷος ὁ πρὶν, ὡς ἐν μιᾷ ἡμέ-
ρᾳ συλλέγειν τὴν ἐτησίαν πᾶσαν τροφὴν, οὐκ ἄν σε ἀργὸν
61 ὄντα καὶ πρὸς τὰ πωλητήρια διατρίβοντα ὤχλουν καὶ συνώ-
θουν ἐργάζεσθαι· ἐπειδὴ δὲ δυσχερὴς ὁ βίος, καὶ ἡ εἱμαρμένη
ἐκείνη καὶ ὁ παλαιὸς βίος μετέστραπται, καὶ λίαν ἐστὶν νῦν δυσ-
χερέστατος, ὡς δυσπόριστος, καὶ κεχρημένος πολλῶν, δέον
σε μὴ διάγειν ἀργὸν, ἀλλὰ παντοίως πονεῖν καὶ ἐργάζεσθαι·
καὶ οὕτω γὰρ* [m]) *μόλις ἂν ἐκφύγοις τὴν τοῦ βίου δυσχέρειαν.
Ἀλλὰ ταῦτα μὲν οὕτως· φέρε δὲ κἂν τοῖς ἔπεσιν αὐτὰ σαφηνί-
σωμεν.* Tzetzes.

Ibid. *ΚΡΥΨΑΝΤΕΣ ΓΑΡ ΕΧΟΥΣΙ. Οἱ θεοὶ, ἤγουν ἡ εἱμαρμένη κέκρυφε τὸν πρὶν* [n]) *ἄπονον καὶ ἁπλοῦν βίον τοῖς*

g) *ἐκ τοῦ δυστυχοῦς καὶ μακαρίας καὶ ἀβρᾶς πενιχρᾶς, καὶ γλυκείας πικρῆς* E. *ἀβρᾶς* pro *πλουσίας* F. G. *ἐκ τῆς εὐτυχοῦς καὶ μακρᾶς καὶ ἀβρᾶς* Bas.

h) *γυναικῶν* pro *νῦν κακῶν* Trinc.

i) *συναγείροντες* E. G. *καὶ λαχάνων πρὸς τροφὴν συναγείροντες* F. *συνάγωντες* Trinc, *συναγείραντες* Bas. Heins.

k) *τοιοῦτον* Trinc. *καὶ τοῦ παρευρημένου* Bas.

44) *Ὦ Πέρση, εἰ τοιοῦτος ἦν ὁ βίος, καὶ ἡ εἱμαρμένη ἐκείνη, οὐκ ἂν ὤχλουν σε*] Chaos verborum erat hic in editione emendatissima: quod ut appareat, verba ipsa proponemus sicut ibi scripta erant sine sensu ullo: *Ὦ Πέρση εἰ τοιοῦτος ἦν ὁ βίος, καὶ ἡ εἱμαρμένη ἐκείνη, καὶ ὁ παλαιὸς βίος μετέτραπται, καὶ λίαν ἐστὶ νῦν δυσχερέστατος ὡς δυσπόριστος καὶ κεχρημένος πολλῶν, δέον σε μὴ διάγειν ἀργὸν, ἀλλὰ παντοίως πονεῖν καὶ ἐργάζεσθαι, καὶ οὕτω γὰρ μόλις ἐκφύγοις τὴν τοῦ βίου δυσχέρειαν.* quae verba ita edenda fuerant: *Ὦ Πέρση εἰ τοιοῦτος ἦν ὁ βίος καὶ ἡ εἱμαρμένη ἐκείνη, ...* . . . . est enim lacuna maxima, quae jam manifesta est, postquam ex altera eam supplevimus. Heinsius.

l) Hunc locum ex MSS. et ed. Trinc. emendavimus. *Εἰ τοιοῦτος ἦν ὁ βίος καὶ ἡ εἱμαρμένη ἐκείνη ουκ ἂν ὤχλουν σε καὶ συνώθουν ἐργάζεσθαι, ἐπεὶ δὲ ὁ παλαιὸς* Heins. et similiter fere Bas. nisi quod ibi absunt *οὐκ ἂν ὤχ. σ. κ. σ. ἐ. ἐ. δ.* Mox *καὶ πολλοῖς κεχρημένος* Trinc.

m) *μόλις ἂν ἐκφύγοις* Trinc. sine *γὰρ. μόλις ἐκφύγοις* Bas. Heins.

n) *ἄπονον* addidi ex E. F. Deest Trinc. a *φέρε δὲ κἂν* in Schol. graec. ad *καρπῶν* in Sch. seq.

ἀνθρώποις· καὶ ἔστι νῦν ὀδυνηρὸς καὶ ἐπίπονος. Tzetzes.

Ibid. ΚΡΥΨΑΝΤΕΣ ΓΑΡ ΕΧΟΥΣΙ ΘΕΟΙ. Ἀντὶ τοῦ ἔκρυψαν γὰρ οἱ θεοὶ τὸν βίον τῶν ἀνθρώπων, τὸν ἀπέριττον δηλονότι καὶ ἄπονον. Ὁ Ζεὺς ἔκρυψεν, οὐχὶ πάντες οἱ θεοί, ὡς ἐν τοῖς ἔμπροσθεν φαίνεται. Σύνηθες δὲ τοῦτο τῇ φύσει καὶ ἀκόλουθον, τὸ τοῦ ἑνὸς ἔργον ἐπὶ πάντας τοὺς ὁμοειδεῖς ἀναφέρειν. Moschop.

43. ῬΗΙΔΙΩΣ ΓΑΡ ΚΕΝ. Τοῦτο ἀκόλουθον τῷ κεκρύφθαι τὸν βίον ὑπὸ τῶν θεῶν, καὶ μὴ εἶναι πᾶσιν εὐπόριστον, εἰ γὰρ ἦν πᾶσιν εὐπόριστος, ῥᾴδιον ἂν ἦν καὶ ἐπ' ἤματι, [o]) τουτέστιν ἐν μιᾷ ἡμέρᾳ, μεταχειρίσασθαί τι τῶν ἔργων, ὥστε πάντα τὸν ἐνιαυτὸν ἀπὸ τούτου πορίσαντα τὴν τροφὴν, τοῦ ἔτους ἀργεῖν, μηκέτι δεόμενον τοῦ ἐργάζεσθαι. Proclus.

Ibid. ῬΗΙΔΙΩΣ ΓΑΡ ΚΕΝ. Τότε γὰρ τῷ πρὶν βίῳ μιᾷ ἡμέρᾳ ἐργασάμενος εἶχες ἂν ὁλοχρονιαίαν ζωήν. Ἐργασίαν δέ φησιν οὐ γεωργικὴν, οὐχ ἑτέραν τέχνην τινὰ, οὐ γὰρ ἦσαν, ἀλλὰ τὴν συλλογὴν τῶν καρπῶν. Tzetzes.

Ibid. ῬΗΙΔΙΩΣ ΓΑΡ ΚΕΝ. Ῥᾳδίως γὰρ, εἰ εὐπόριστος ἦν δηλονότι ὁ βίος, καὶ μὴ ἐκρύπτετο τοῦτο ὑπὸ τοῦ Διὸς, ἐπὶ μιᾷ ἂν ἡμέρᾳ εἰργάσω οὕτως, ὥστε ἔχειν σε καὶ μέχρις ὅλου τοῦ ἐνιαυτοῦ, καὶ ἀργὸν ὄντα. Moschop.

45. ΑΙΨΑ ΚΕ ΠΗΔΑΛΙΟΝ. Εἰ μὴ δυσπόριστος ἦν ὁ βίος καὶ τῶν ἐργαζομένων δεόμενος συνεχῶς, οὐκ ἔδει πλεῖν πολλάκις, ἀλλὰ τὸ πηδάλιον οἴκοι καπνισθησόμενον καταθεῖναι, ἅπαξ ποτὲ πλεύσαντα μόνον. Εἰώθεισαν γὰρ νεωλκήσαντες τὰ πηδάλια [p]) ὑπὲρ τῶν καπνιζομένων κρεμαννύναι τόπων ξηρανθησόμενα, τοῦ μὴ σῆψιν ὑπομεῖναι, χάριν [q]) τῆς ἐγκειμένης αὐτοῖς ὑγρότητος. Ἀλλ' οὐδὲ γεωργεῖν καθ' ἕκαστον

o) τουτέστιν additum ex A. Dorv. Mox ἀπὸ τούτου om. Dorv.

p) ὑπὸ et mox κρεμαννύναι Dorv. κρεμᾶν Gr. κρεμάναι edd.

q) ἐγκειμένης αὐτοῖς τῆς A. Dorv. αὐτῆς Trinc. B. Mox χαίρειν ante ἐᾶσαι redditum ex A. Dorv.

ἔτος, ἀλλ' ἅπαξ ποτέ· καὶ τοῦτο ποιήσαντα χαίρειν ἐᾶσαι τὰ τῶν βοῶν ἔργα, καὶ τῶν ἡμιόνων τῶν πρὸς γεωργίαν χρη-
62 σίμων. Νῦν δὲ, διὰ τὸ δυσπόριστον εἶναι τοῖς ἀνθρώποις τὸν βίον, εὕρηται καὶ ναυτιλία, καὶ γεωργία παρ' αὐτοῖς. Proclus.

Ibid. *ΑΙΨΑ ΚΕ ΠΗΔΑΛΙΟΝ.* Ἀντὶ τοῦ, ταχέως εἰς καπνὸν ἔῤῥιψας ἂν τὸ πηδάλιον, ἢ κατέκαυσας, ἢ ὡς καπνὸν καὶ οὐδὲν r) ἡγήσω· ἀντὶ τοῦ, οὐκ ἂν ὥσπερ νῦν ἐδεήθης ναυτιλίας. *ΑΠΟΛΟΙΤΟ ΔΕ.* Καὶ ἀπώλοντο s) ἂν καὶ αἱ ὑπηρεσίαι τῶν βοῶν, καὶ τῶν ἡμιόνων· οὐκ ἂν γὰρ ἦμεν οὐδὲ τούτων ἐν χρείᾳ. Οἱ δὲ ἐξηγούμενοι καὶ λέγοντες, ὅτι ἅπαξ πλεύσας, καὶ ἅπαξ ὁμοίως γεωργήσας, ἔθου τὸ πηδάλιον ὑπὲρ καπνοῦ κατικμάσθαι, καὶ τὰ κτήνη τῶν γεωργικῶν πόνων ἀπέλυσας, μάτην λαβράζουσιν. Οὐκ ἦν t) γὰρ τότε, ὡς ἔφην, οὔτε πλοῦς, οὔτε γεωργία· ὃ καὶ Ἡσίοδος ἀκριβῶς ἐπιστάμενος οὕτω φησὶν, ἢ ἴσως τὸν λόγον καὶ v) ἀναχρονίζει ὁ ποιητὴς, καὶ τὰ ἐπὶ τούτου γινόμενα προσάγει χρόνοις τοῖς παλαιοῖς. Ἀλληγορικώτερον δὲ οὑτωσὶ νοητέον· ἅπαξ ἐργασάμενος τὴν συλλογὴν τῶν καρπῶν, εἰ ἦν ὁ βίος w) ὥσπερ τὸ πρὶν, ἐκτὸς ἂν τοῦ καπνοῦ καὶ τῶν βιωτικῶν φροντίδων τὸν κυβερνήτην νοῦν ἔθου, καὶ ἀφροντίστως διῆγες· ἀπώλοντο δ' ἂν καὶ αἱ βοαὶ, καὶ αἱ μάχαι, καὶ οἱ θόρυβοι, καὶ αἱ πρὸς βάρβαρα ἔθνη x) ἐπιγαμίαι, αἳ διὰ τὰς ὑποψίας καὶ τοὺς πολέμους γινόμεναι. Ταύτας γὰρ ἡμιόνους καλεῖ· μᾶλλον δὲ τοὺς ἐκ τῶν τοιούτων ἐπιμίξεων τικτομένους. καὶ γὰρ τὸν Κῦρον ὁ χρησμὸς ἡμίονον ἔφη, ὡς ἐκ μητρὸς Μήδου, κατὰ πατέρα δὲ Πέρσην. 45) Ἔστι δὲ ὁ χρησμὸς οὗτος·

r) ἐλογήσω Trinc.
s) δὲ Trinc. Mox ἦμεν pro ὦμεν E. F. Trinc. Οἱ δὲ ἐξηγούμενοι ad τοῖς παλαιοῖς desunt Trinc.
t) γάρ τοι, ὡς ἔφην, τότε Bas. γὰρ, ὡς ἔφην, τῷ τότε E.
v) ἀναχρονίζει E. F. G. ἀναχωρίζει Heins. Bas. προσάγει E. F. antea προάγει.
w) οἷος Bas.
x) ἐπιγαμβρίαι E.
45) ἔστι δὲ ὁ χρησμὸς οὗτος] In nostra editione verba haec cum toto sequenti oraculo, quod apposuimus, desiderabantur: praeterea in illis quae praecedunt asteriscus erat hoc modo, ad illa: καὶ γὰρ τὸν Κῦρον ὁ χρησμὸς ἡμίονον ἔφη, ὡς ἐκ μητρὸς * Μήδου, κατὰ πατέρα δὲ Πέρσην. ἢ τὰς ἁπλῶς etc. quo neutiquam opus fuit: sunt enim desumpta haec ex Herodoti τοῦ χαρίεντος Clione: ἦν γὰρ δὴ Κῦρος οὗτος ἡμίονος· ἐκ γὰρ δυοῖν οὐκ ὁμοεθνέων ἐγεγόνει, μητρὸς ἀμείνονος, πατρὸς δὲ ὑποδεεστέρου. ἡ μὲν γὰρ ἦν Μηδὶς, καὶ Ἀστυαγέος θυγάτηρ τοῦ Μήδων βασιλέως· ὁ δὲ Πέρσης τε ἦν, καὶ ἀρχόμενος ὑπ' ἐκείνοισι καὶ ἔνερθε. Heinsius.

'Αλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται
Καὶ τότε Λυδὲ ποδαβρὲ πολυψηφῖδα παρ' Ἕρμον
Φεύγειν, μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

Καὶ τὰς ἁπλῶς νῦν ἐπιμιξίας καὶ μάχας καὶ συῤῥαγὰς ἐθνῶν ἔθνεσιν ἡμιόνους καλεῖ, καὶ ταλαεργοὺς, διὰ τὸ πολλὰ καρτερεῖν καὶ πάσχειν τοὺς [y]) συγκροτοῦντας πόλεμον. Tzetzes.

Ibid. *ΑΙΨΑ ΚΕ ΠΗΔΑΛΙΟΝ.* Ἤγουν ταχέως ἂν τὸ πηδάλιον μὲν κατέθου, ἀντὶ τοῦ ἔθου, ὑπὲρ καπνοῦ, τουτέστιν 63 ἀργὸν ἂν εἴασας καὶ οὐδεμίαν χρείαν ἔσχες αὐτοῦ. Τὰ ἔργα δὲ τῶν βοῶν ἀπώλετο ἂν, ἀντὶ τοῦ ἐν ἀφανείᾳ ἦν ἂν, καὶ τῶν ἡμιόνων τῶν ἐπ' ἔργοις καρτερικῶν, οἷς ἐπὶ τῷ ἐπιπόνῳ τούτῳ βίῳ ἀνάγκην ἔχομεν χρῆσθαι· εἶτα ἐπαναλαμβάνει τὸν λόγον, ἵνα δηλώσῃ τὴν αἰτίαν, δι' ἣν ὁ Ζεὺς τὸν τῶν ἀνθρώπων ἔκρυψε βίον· καὶ φησὶν, κ. τ. λ. Moschop.

47. [46]) *ΑΛΛΑ ΖΕΥΣ ΕΚΡΥΨΕ.* Τὸ μὲν κρύψαι τὸν βίον, ἐστὶ τὸ δυσπόριστον ποιῆσαι τοῖς ἀνθρώποις, καὶ μόλις ἀνυστὸν διὰ πολλῶν πόνων καὶ τληπαθείας· τὸ δὲ χολώσασθαι τὸν Δία τῇ περὶ γένεσιν ζωῇ, τὸ ἀσύμφορον εἶναι τὴν δόσιν αὐτοῦ ταῖς ψυχαῖς· [z]) διαιρετικὸν γὰρ ὁ χόλος. Proclus.

Ibid. *ΑΛΛΑ ΖΕΥΣ ΕΚΡΥΨΕ.* Ἀλλ' ἡ Εἱμαρμένη τὸν ἁπλοῦν καὶ ἀπέριττον ἐκεῖνον βίον, ἔκρυψεν ὀργισθεῖσα. [a]) Προσωποποιεῖ δὲ τὴν Εἱμαρμένην, καὶ ὀργὴν αὐτῇ περιτίθησιν. ΕΚΡΥΨΕ δὲ ὀργισθεῖσα, ὅτι ὁ Προμηθεὺς, ἤγουν ἡ προβουλὴ καὶ ἡ πρόγνωσις ἡμῶν, ἡ ἀγκύλα καὶ περίστρεπτα βουλευομένη, ἐξηπάτησε καὶ παρέτρεψέ [b]) μιν καὶ αὐτὴν τὴν

y) συγκροτοῦντας Trinc. συγκροτήσαντας τὸν π. alii.

46) Recte Proclus. Totus hic locus qui sequitur usque ad Pandorae finem uno nomine Peristasis dici potest: quam mira arte Hesiodus causam statuit totius operis sui instituti. Ratio enim vivendi et ars καὶ ἡ οἰκονομικὴ ex Perisfasi et objecta hac vivendi difficultate ortum trahit. Sapientissimus Maro operi suo diversi instituti Hesiodi Peristasin accommodavit, nec alio allusit quam ad locum hunc ex occasione descriptionis saeculi Hegemonici et Epithymetici. *Nec tamen (haec cum sint hominumque boumque labores Versando terram experti) nihil improbus anser*, etc. *Ignem removit* dixit, quod Hesiodus modo πῦρ κρύπτειν, modo βίον κρύπτειν; quod postremo versu rursus mollivit, ne suspicionem affectatae eruditionis incurreret. Sed quam paucorum est sincerum de his judicium ferre! Heinsius.

z) διαιρετικὸν γ. ὁ. χ. om. Dorv.

a) προσωποποιῶν et mox καὶ om. E. G. H. Bas.

b) μιν καὶ om. Trinc.

Εἱμαρμένην· [c])ἔκρυψε δὲ καὶ περιεφύλαξε τὸ πῦρ. [48])Ὅπερ καὶ δὴ αὖθις ὁ ΕΥΣ καὶ μέγας ΠΑΙΣ τοῦ ΙΑΠΕΤΟΥ, ἤγουν τῆς κινήσεως τοῦ νοῦ Προμηθεὺς ὁ ῥηθεὶς, ἤγουν ἡ [d])ἡμῶν προβουλὴ καὶ πρόσκεψις ἔκλεψεν, [e])καὶ κλέψας κατήγαγε τοῖς ἀνθρώποις παρὰ Διὸς γνώμην, ἤγουν τῆς Εἱμαρμένης, τῆς [f])μεγάλα βουλευομένης. Οὐ γὰρ μετατρέπεται ἡ τῆς εἱμαρμένης βουλή. [g])Κέκλοφε δὲ τοῦτο, ΕΝ ΚΟΙΛΩι ΝΑΡΘΗ-
64 ΚΙ ΛΑΘΩΝ Τὸν ΔΙΑ αὐτὸν τὸν ΤΕΡΠΙΚΕΡΑΥΝΟΝ, ἤγουν τὴν, ἣν ἔφην, εἱμαρμένην εἶπε μεταθετικῶς, ὡς τρέπουσαν καὶ [h])καταγωνιζομένην τοὺς ἐναντίους, καὶ ἀτυχεῖς, δίκην κεραυνῶν· ἢ τὴν τερπομένην καὶ χαίρουσαν τοῖς [i])ἑαυτῆς κεραυνοῖς, ἤτοι ἐπάρσεσι, καὶ φαντασίαις. Τίς δὲ ἡ τοῦ πυρὸς κλοπὴ, μάνθανε. Πρὶν μὲν ἡ τοῦ πυρὸς χρῆσις ἄγνωστος ἦν τοῖς ἀνθρώποις· οἱ προμηθέστεροι δὲ τῶν ἀνθρώπων, χειμῶνος γεγονότος, καὶ κεραυνωθέντος δένδρου τινὸς, ὡς πλησιάσαντες ἐκεῖσε τῆς θέρμης αἴσθησιν ἔσχον, μηχανῶνται φυλάξαι τὸ πῦρ· καὶ δὴ σομφοῖς τισι ξύλοις, καὶ νάρθηξι, δυναμένοις τοῦτο [k])φυλάξαι, κατέκρυψαν· καὶ οὐράνιον πῦρ ὑπάρχον τὸ πρὶν οὕτω κατασχεθὲν, καὶ γεγονὸς ἐν [l])χρήσει πᾶσιν ἡμῖν ἐμυθεύθη κλαπῆναι, παρ' Εἱμαρμένης βουλὴν, ἀλλὰ τῆς [m])προτέρας. Πρότερον γὰρ ἡμῖν εἱμαρμένον [n] εἶναί φησι, ζῆν, ὡς πρὶν ἔφην, ἁπλῶς, καὶ δίχα πυρὸς [o])ἐπιγνώσεως καὶ τεχνῶν· ἑτέρα δὲ εἱμαρμένη, ἤτοι σύμβαμα ἕτερον, ἐκ προβουλῆς ἡμετέρας ἐφεῦρε τὸ πῦρ καὶ τὰς τέχνας, ἃς γυναῖκα Πανδώραν καλεῖ. [p])Ἡ δὲ παρ' ἑτέρων τινῶν ἀλληγορουμένη ἐνταῦθα ψυχικῶς ἀλληγορία, ὡς τὸ πῦρ ἡ νοερὰ [q]) ζωὴ

48) Quid sit ἐΰς, ostendimus in introductione nostra in Hesiodi ἔργα καὶ ἡμέρας. HEINSIUS.

c) ἔστρεψε Trinc. et καὶ δὴ mox om.

d) πρόγνωσις ἡμῶν καὶ προβουλὴ ἔκλεψεν Trinc.

e) ἤγουν E. F. H. κλέψας om. Trinc.

f) μεγάλως E. Trinc.

g) κέκλοφε — εἱμαρμένην. Horum loco Trinc. habet tantum τερπικέραυνος δὲ αὐτὴν λέγει μετ'. Λαθὼν add. ex E. F. τερπικέραυνον τὴν ἣν ἔφην εἱμαρμένην. τερπικέραυνον δὲ νῦν εἶπε τὴν εἱμαρμένην μεταθετικῶς F.

h) κατηγωνισμένην F.

i) ἑαυτοῦ E. Mox ἐκεῖθεν Trinc. pro ἐκεῖσε.

k) φυλάσσειν Trinc.

l) χρείᾳ Trinc. πᾶσιν omisit Heins.

m) πρότερον E.

n) ἦν φασι ζῆν ἁπλῶς Trinc.

o) ἐπιγνώσεως ex Trinc.

p) ἡ δὲ ad εἱμαρμένη om. E.

q) ψυχὴ F.

ἐστι, καὶ νάρθηξ τὸ σῶμα, περιττὴ, καὶ οὐδὲ μέχρι παντὸς r)συνάδουσα διεξίκοιτο· νῦν δὲ ἡ ἀλληγορία s) ῥητορικὴ καὶ πραγματική ἐστιν, ἡ περὶ τοῦ ἐν χρήσει πυρὸς λέγουσα καὶ τῆς τούτου εὑρέσεως, ἥσπερ ἔφην, τῆς ἐκ προμηθείας ἡμῶν, καὶ περὶ τῆς τοῦ βίου διακοσμήσεως τῆς ἐκ τῶν τεχνῶν ἁπασῶν, ὥσπερ τὸ πῦρ συνεστήσατο· t)ἃς καὶ γυναῖκα Πανδώραν καλεῖ, καὶ Ἡφαίστῳ λέγει πλασθῆναι. Ἐν τῇ λεπτολογίᾳ δὲ τῶν ἐπῶν σαφέστερον εἴποιμι. Νῦν δὲ καὶ τὰ ἔπη συντακτέον. Ἀλλὰ Ζεὺς καὶ ἡ Εἱμαρμένη ἔκρυψε, χολωσαμένη, ὅτι μιν καὶ αὐτὸν ἐξηπάτησεν ὁ Προμηθεύς. Ἔκρυψε δὲ τὸ πῦρ ὁ αὐτὸς Προμηθεὺς ὁ ἀγκυλομήτης, τὸ μὲν καὶ ὅπερ πῦρ αὖθις, καὶ δὴ ὁ ἐῢς πάϊς τοῦ Ἰαπετοῖο, ἤγουν ὁ αὐτὸς Προμηθεὺς ἔκλεψε, καὶ κλέψας κατήγαγε τοῖς ἀνθρώποις ἐν κοίλῳ νάρθηκι. TZETZES.

Ibid ΑΛΛΑ ΖΕΥΣ ΕΚΡΥΨΕ. Ἀλλὰ ὁ Ζεὺς ἔκρυψε τὸν τῶν ἀνθρώπων βίον δηλονότι, χολωσάμενος κατὰ τὸν ἑαυτοῦ λογισμὸν, ἤγουν ἀγανακτήσας. Ποιητικὴ δὲ ἡ λέξις, διότι ἐξηπάτησεν αὐτὸν ἐν τῇ τοῦ βοὸς δηλονότι διανομῇ ὁ Προμηθεὺς ὁ ἀγκυλόμητις, ἤγουν ὁ ἑαυτὸν νοῶν καὶ εἰς ἑαυτὸν ἐπεστραμμένος· δηλοῖ δὲ τοὔνομα ἐνίοτε μὲν τὸν σοφὸν καὶ τὸν ἑαυτὸν νοοῦντα, ὡς ἐνταῦθα, ἐνίοτε δὲ τὸν πανοῦργον. Ἰστέον, ὅτι τὸ ἀγκυλόμητις, τὸ ποικιλόμητις, τὸ δολόμητις, 65
καὶ ὅσα ἀπὸ τοῦ μῆτις σύγκειται, προπαροξύνεται, καὶ διὰ τοῦ ῐ γράφεται. Κλίσιν δὲ οὐκ ἰδίαν ποιεῖται, ἀλλ' ἀγκυλομήτου, καὶ ποικιλομήτου, καὶ δολομήτου, κλίνεται ἑτεροκλίτως· ὡς πρέσβυς πρεσβύτου, καὶ πολὺς πολλοῦ, καὶ πολλὰ ἕτερα. Ὅτι δὲ ἐπὶ τῶν εὐθειῶν βραχυκατάληκτα ταῦτά ἐστι καὶ οὐδέποτε ἄλλως, δῆλον ἀπὸ τῶν μέτρων, εἴ τις τὰ τοιαῦτα ἐξετάζειν βούλεται. Mos.

48. *ΠΡΟΜΗΘΕΥΣ ΑΓΚΥΛΟΜΗΤΗΣ.* **Ὁ μὲν Προμηθεύς v)ἐστιν, ὁ τοῖς ἀνθρώποις τὸν νοῦν δωρούμενος, τὸν πρὸ τῶν ἀποβάσεων λογιστικὸν τῶν ἀποβησομένων, ὃν ἔχουσιν οἱ ἄνθρωποι, ζωὴν ὑποδεξάμενοι νοερὰν ἀπὸ τῶν τοῦ πατρὸς ἠθῶν ἥκουσαν εἰς τόνδε τὸν τόπον. Αἱ δὲ ἀπάται τοῦ**

r) συνάδουσα Ita F. Trinc. Al. συνάγουσα.

s) ῥητορικὴ καὶ om. Trinc. ἡ ἀλληγορία ἐστὶ περὶ τοῦ ἐν χρήσει πυρὸς διαλέγουσα F. ἡ — ἥσπερ ἔφην et περὶ om. Trinc.

t) Ab h. l. usque ad fin. Schol. Tzetzis v. 53. om. Trinc.

v) τίς ἐστι θεὸς τοῖς Dorv. Mox βάσεων Dorv.

Προμηθέως αἱ κατὰ τοῦ Διὸς δηλοῦσιν, ὅτι παρασκευάζει καὶ τῶν θείων ψυχῶν μετέχειν τὰ θνητὰ ὁ Προμηθεύς· τὸ γὰρ ἀπατώμενον, γίνεται πάντας ἀπατῶν. Αἰνίττεται δὲ ἡ ἀπάτη τὰ περὶ τὴν διανομὴν τοῦ βοὸς, ἣν w) ἐν τῇ Θεογονίᾳ παρέδωκεν. Εἰ δὲ ἀγκυλομήτης ὁ Προμηθεὺς, οὕτω γὰρ γράφειν δεῖ καθὰ καὶ Πλούταρχος, Κρόνιος τίς ἐστι καὶ νοερῶς ἑαυτὸν νοῶν, καὶ ἀγκύλως εἰς ἑαυτὸν ἐπεστραμμένος. Εἰ δὲ καὶ ποικιλομήτης γράφοιτο, σημαίνει τὸν ποικίλας x) εἰληχότα νοήσεις, ἃς δωρεῖται καὶ ταῖς ἀνθρωπίναις ψυχαῖς, εἰς τὸ σῶμα πεσούσαις, ὅτι τὸ προνοητικὸν τῶν ἀνθρώπων κρύπτει τὸν πλοῦτον, ἀνθ' ὅτου Προμηθεὺς αὐτὸν ἠπάτησεν. Ὁ δὲ Προμηθεὺς ἦν παῖς Ἰαπετοῦ καὶ Ἀσώπης, ἢ Κλυμένης, ἢ Θέμιδος. Proclus.

49. ΤΟΥΝΕΚ' ΑΡ' ΑΝΘΡΩΠΟΙΣΙΝ. Ἕνεκά φησι τῆς παρὰ τοῦ Προμηθέως ἀπάτης, ὁ Ζεὺς προεξένισε βίον y) ἐπίπονον τοῖς ἀνθρώποις. Ἔδει γὰρ πεσούσαις ταῖς ψυχαῖς πόνους καὶ τληπαθείας παρασκευάσαι, δι' ὧν μισήσουσι μὲν τὸν τῆς γενέσεως z) τόπον καὶ τὴν ἐν σώματι ἀναστροφὴν, ὑποστρέψουσι δὲ αὖθις εἰς τὴν τοῦ πατρὸς αὐλὴν, καὶ πρὸς τὴν, ἀφ' ἧς ἐξέπεσον, θείαν ζωήν. Proclus.

Ibid. ΤΟΥΝΕΚ' ΑΡ' ΑΝΘΡΩΠΟΙΣΙΝ. Ὁ Προμηθεὺς νῦν, ἤγουν ἡ ἡμετέρα προμήθεια, οὐχ ὁ Ζεὺς, ἤγουν ἡ Εἱμαρμένη. Tzetzes.

Ibid. ΤΟΥΝΕΚ' ΑΡ' ΑΝΘΡΩΠΟΙΣΙ. Τούτου δὴ ἕνεκα, ἤγουν τῆς παρὰ τοῦ Προμηθέως ἀπάτης, ἐβουλεύσατο ὁ Ζεὺς κατὰ τῶν ἀνθρώπων φροντίδας χαλεπάς· τουτέστιν τὸν ἐπίπονον βίον. Moschop.

50. ΚΡΥΨΕ ΔΕ ΠΥΡ. Ἡ τοῦ πυρὸς κρύψις τῆς νοερᾶς καὶ τεχνικῆς ἐστι ζωῆς ἀφανὴς περίληψις, ἣν ὁ Ζεὺς ἑκὼν πρῶτος δίδωσιν, δι' ἧς καὶ τὸν κόσμον ἐδημιούργησεν, ἄληπτον αὐτὴν a) φυλάττειν τὰς πολλὰς τῶν ἐλθουσῶν δεῦρο ψυχῶν.
66 Φωτὸς γὰρ αἴτιον τὸ πῦρ ὄν, εἰκόνα φέρει τοῦ νοῦ τοῦ τεχνικοῦ, b) καθ' ὃν οἱ ἄνθρωποι ζῶσι πρῶτον νοερῶς. Proclus.

w) ἐν pro ἐπὶ ex Dorv. Mox ἀγκυλομῆτις A. Locum sequentem inter Fragm. Comm. Plutarchi n. 1. retulit Wyttenbachius.

x) κεκτημένον Dorv. Mox Ὅτι ad Θέμιδος om. A. Dorv.

y) ἐπίπονον om. B. In pr. τοῦτο φησι ἕνεκα Dorv.

z) τρόπον Dorv. et mox ὑποστρέφουσι.

a) φυλάττει ταῖς πολλαῖς Dorv.

b) καθ' ἣν Dorv. Mox τῶν Ιαπετῶν οἰητέον Dorv.

Ibid. *ΠΑΙΣ ΙΑΠΕΤΟΙΟ.* Τὸν Ἰαπετὸν θεὸν οἰητέον εἶναι νοερὸν, αἴτιον [c]) πάσης τῆς πτηνῆς τοῦ οὐρανοῦ καὶ ὀξυτάτης ταύτης πάσης κινήσεως· διὸ καὶ Ἰαπετὸν κληθῆναι παρὰ [d]) τὸ ἴεσθαι καὶ πέτεσθαι, ὑπὸ τῶν θεολόγων. Τούτου δὲ πολλοὺς μὲν εἶναι παῖδας, ἐννέα καὶ εἴκοσι τοὺς πάντας· προέχειν δὲ ἐν αὐτοῖς Προμηθέα, καὶ Ἐπιμηθέα, καὶ Ἄτλαντα· ὧν καὶ Ἡσιόδος ἐν τῷδε τῷ συγγράμματι μέμνηται. PROCLUS.

Ibid. *ΚΡΥΨΕ ΔΕ ΠΥΡ.* Εἶχε δὲ τέως ὁ Ζεὺς κεκρυμμένον τὸ πῦρ· τοῦτο μὲν αὖθις ὁ καλὸς παῖς τοῦ Ἰαπετοῦ, ἤγουν ὁ Προμηθεὺς, ἔκλεψεν ἐν κοίλῳ νάρθηκι παρὰ τοῦ Διὸς τοῦ βουλευτικοῦ, χάριν τῶν ἀνθρώπων, λαθὼν τὸν Δία τὸν τερπικέραυνον· ὃν φασιν οὕτως ὀνομάσθαι, ἀπὸ τοῦ τρέπειν κατὰ μετάθεσιν τοῦ ρ, οὐκ ἀπὸ τοῦ τέρπεσθαι· ὡς τρέποντα δηλονότι τοὺς ἐναντίους τῷ κεραυνῷ, οὐχ ὡς τερπόμενον ἐν αὐτῷ. Εἶτα ἐπάγει κατ' ἠθοποιΐαν, τίνας ἂν λόγους εἶπεν ὁ Ζεὺς ὀργιζόμενος, πρὸς τὸν Προμηθέα διὰ τὴν κλοπὴν τοῦ πυρὸς, καὶ φησὶ, *ΤΟΝ ΔΕ ΧΟΛΩΣΑΜΕΝΟΣ*, πρὸς τοῦτον ὀργισθεὶς, ἔφη ὁ Ζεὺς ὁ τῆς ἀθροίσεως τῶν νεφελῶν αἴτιος, Ὦ Ἰαπετιονίδη, ἤγουν, υἱὲ τοῦ Ἰαπετοῦ, ἀπὸ τοῦ Ἰαπετὸς, Ἰαπετίων κατὰ παραγωγὴν, καὶ ἀπὸ τούτου Ἰαπετιονίδης, ὁ βουλὰς εἰδὼς περισσότερον πάντων, χαίρεις κλέψας τὸ πῦρ, πρωθύστερον, ἀντὶ τοῦ χαρὰν ἔχεις ἀπατήσας, τουτέστι παραλογισάμενος, λαθὼν τὰς ἐμὰς φρένας, καὶ κλέψας τὸ πῦρ, καὶ σοὶ αὐτῷ μεγάλη βλάβη τοῦτο δηλονότι, καὶ τοῖς ἀνδράσι τοῖς γενησομένοις· τούτοις γὰρ ἐγὼ ἕνεκα τοῦ πυρὸς, δώσω κακὸν, ἐφ' ᾧ ἂν ἅπαντες τέρπωνται, ἀντὶ τοῦ τερφθῶσι, κατὰ τὴν ψυχήν. *ΑΜΦΑΓΑΠΩΝΤΕΣ*, ἤγουν περιθάλποντες, περισσῶς ἀγαπῶντες τὸ ἑὸν κακὸν, ἀντὶ τοῦ τὸ σφέτερον. *ἙΟΝ* γὰρ, ὃ μόνος ἔχει τίς, σφέτερον δὲ ὃ πολλοὶ ἔχουσιν. MOSCHOP.

51. *ΕΚΛΕΨ' ΑΝΘΡΩΠΟΙΣΙ.* Ἡ κλοπὴ τοῦ [e]) πυρὸς δηλοῖ μετάθεσιν ἀπὸ τοῦ νοητοῦ καὶ ἀφανοῦς εἰς τὸ αἰσθητὸν καὶ ἀλλότριον. [f]) Ὡς δὲ πᾶσα κλοπὴ λεληθυῖα τοῦ ἀλλοτρίου μετάθεσίς ἐστιν ὄντως, καὶ ταῖς ἐν τῷ νοητῷ μενούσαις οἰκείως

c) πασι τοῖς πτηνοῖς Dorv. Mox ταύτης πάσης om. Dorv. ταύτης om. B.

d) Hanc Etymologiam sequitur Grammaticus Gudianus p. 269.

e) πυρὸς pro Διὸς ex Dorv. A.

f) ὡς καὶ Trinc. Dorv. Mox οἰκεία A. Dorv. τοσοῦ ὄντως Trinc.

ψυχαῖς, τοῦ τεχνικοῦ λόγου νοεροῦ ὄντος. Δέδωκεν οὖν ὁ Προμηθεὺς αὐτὸν [g]) ἐν ταῖς πεσούσαις ψυχαῖς ἐνταῦθα, Διὸ κλοπὴν ὁ μῦθος τὴν δόσιν ταύτην [h]) ἐκάλεσεν, ὡς ταῖς ψυχαῖς ταῖς εἰς τὸν ἀλλότριον αὐταῖς τόπον κατελθούσαις διὰ τοῦ Προμηθέως [i]) προσελθοῦσαν. Τὸ δὲ ΑΥΘΙΣ δηλοῖ, τὸ μετὰ
67 τὴν ἀπάτην, καὶ ταύτην προσθεῖναι τὴν [k]) δοκοῦσαν περὶ τὸν Δία ἐπιβουλήν. ΑΛΛΩΣ. Τῷ φυσικῷ λόγῳ ἐπιπλέκει τὸ μυθῶδες, ὅτι τὴν ὠφέλειαν τὴν ἐκ τῆς μαλάχης ἀγνοοῦσιν· ἐπεὶ Προμηθεὺς ἠπάτησεν αὐτόν. Δῆλον δὲ, ὡς προεκδέδοται ἡ Θεογονία· ἐκεῖ δὲ πλείονα περὶ τοῦ Προμηθέως λέγει, ὡς ἠπάτησε τὸν Δία. PROCLUS.

51. ΔΙΟΣ ΠΑΡΑ. Παρὰ γνώμην τοῦ Διὸς τοῦ μητιόεντος, λαθὼν αὐτὸν τὸν Δία τὸν τερπικέραυνον, νῦν τὴν εἱμαρμένην. TZETZES.

52. ΕΝ ΚΟΙΛΩι ΝΑΡΘΗΚΙ. Ἔστι μὲν πυρὸς ὄντως φυλακτικὸς ὁ νάρθηξ, ἠπίαν ἔχων μαλακότητα εἴσω, καὶ τρέφειν τὸ πῦρ, καὶ μὴ ἀποσβεννύναι δυναμένην. Ἐν δὲ τῷ μύθῳ τοῦ αἰσθητοῦ λαμβάνεται ὡς εἰκών· καὶ γάρ ἐστι Διονυσιακὸς, ὡς καὶ οἱ τελούμενοι τῷ Διονύσῳ [l]) δηλοῦσι, ναρθηκοφοροῦντες, ὃς τῶν αἰσθήσεων ἐστὶ ποιητὴς, καὶ προσάγεται ὑπὸ τῶν Τιτάνων τῷ Διονύσῳ. Τιτανικὸς δὲ θεὸς καὶ ὁ Προμηθεὺς, Ἰαπετοῦ παῖς ὢν, Τιτᾶνος ὄντος. ΑΛΛΩΣ. Μῦθος. Κλέψας ὁ Προμηθεὺς τὸ πῦρ, εἰς πόλιν ἦλθεν Αἰτωλίαν· ἀφ' οὗ συνέβη τὴν πόλιν κληθῆναι [m]) Πυρηνίαν. PROCLUS.

53. ΤΟΝ ΔΕ, ΧΟΛΩΣΑΜΕΝΟΣ. Τὸν δὲ προμηθέστατον ἡμέτερον νοῦν, ὀργισθεῖσα ἡ ὥσπερ ἀγείρουσα νεφέλας, καὶ ταύταις συγκαλυπτομένη, καὶ σκοτεινὴ καὶ ἀπροόρατος Εἱμαρμένη, πρὸ τοῦ εἰς ἔκβασιν ἀφικέσθαι, φησίν. TZETZES.

54. ΙΑΠΕΤΙΟΝΙΔΗ. [n]) Ἤγουν λογισμοῦ καὶ κινήσεως παῖ, πρόβουλον καὶ προμηθέστατον φρόνημα· ἀντὶ τοῦ, ὦ ἄνθρωποι προμηθέστατοι, χαίρετε τὸ πῦρ ἐφευρόντες, καὶ τὴν [o]) τοῦ προτέρου καὶ ἀπεριέργου βίου μετατρέψαντες εἱμαρμέ-

g) καὶ pro ἐν B. Dorv.
h) ἐδήλωσεν Dorv.
i) κατελθοῦσαι Trinc. B. προελθούσαις A. συμπροσελθοῦσαν Dorv. κατελθούσαις Heins.
k) δοκοῦσαν om. Dorv.
l) τελοῦσι Dorv. ubi desunt a ναρθηκοφοροῦντες ad Διονύσῳ.
m) Vide L. Holstenium ad Steph. Byzant. p. 268.
n) ὦ λογισμοῦ κιν. Trinc. λογισμένου Bas. Mox εὑρόντες Trinc.
o) τοῦ πρότερον ἀπεριέργου E. μεταστρέψαντες H. σημείωσαι ad ἔφημεν desunt Trinc. E.

νην. Σημείωσαι δὲ, ὅτι νεφεληγερέτην καὶ τερπικέραυνον Δία τὴν Εἱμαρμένην λέγει, καθὰ συνετυμολογοῦντες ἔφημεν. Tzetzes.

56. ΣΟΙ Τ' ΑΥΤΩι. Ἀντὶ τοῦ ὑμῖν [p]) τοῖς ἀνθρώποις τοῖς εὑρεταῖς, καὶ τοῖς ὕστερον γενησομένοις γενήσεται τοῦτο μέγα κακόν. Ἀνθ' ὧν γὰρ τοῦ προτέρου βίου ἐξέστητε, καὶ τοῦτο τὸ πῦρ ἐφευρήκατε, τέχναι δοθήσονται, κοσμοῦσαι μὲν τὸν βίον καὶ θέλγουσαι, καὶ μαλθάσσουσαι γυναικὸς δίκην· πλὴν οὐκ [q]) ἄτερ συμφορῶν, οὐδὲ περιστάσεων. Ἀγαπήσετε δὲ ὅμως τὸ [r]) καματηρὸν καὶ σκληρὸν τοῦτο τῆς διαγωγῆς, καὶ ἐπίπονον, διὰ τὰ ἐξ αὐτῆς τερπνὰ κλεπτόμενοι ταῖς ἐλπίσιν. Οὕτω μὲν ἡ Εἱμαρμένη ἔφη, καὶ προσεπένευσε. Καὶ τῷ Ἡφαίστῳ πυρὶ ἡ Πανδώρα ἐπλάσθη, καὶ ἐπεκοσμήθη γυνή, ἤγουν ἡ 68
πάντα δωρουμένη τῷ βίῳ συναγωγὴ τῶν τεχνῶν, ἢ ἡ ἐκ πάντων τῶν θεῶν καὶ τῶν ψυχικῶν δυνάμεων καθ' Ἡσίοδον συγκεκραμένη, καὶ δῶρα λαβοῦσα. Ἐκ μὲν γὰρ πυρὸς Ἡφαίστου τὰ ὑλικὰ καὶ ὀργανικά· ἐκ δὲ τῆς φρονήσεως Ἀθηνᾶς τὸ κατασκευαστικὸν καὶ ἀγχίνουν· ἐκ δὲ τῆς Ἀφροδίτης, ἤγουν τῆς συγκράσεως, τὸ ὡραῖον· τὸ δ' ἀναιδὲς καὶ δραστήριον, καὶ περὶ τὰς [s]) ἐμπορίας αἱμύλον, ἐκ τοῦ Ἑρμοῦ, ἤτοι τοῦ προφορικοῦ λόγου.

Ἐπεὶ δ' ἐκ πυρὸς καὶ φρονήσεως ἡ γυνή, ἤγουν τὸ κόσμιον ἐφάνη τῶν τεχνῶν, καὶ ὁ πολυστήμων ἱστὸς, καὶ ἡ [t]) σύστασις πασῶν τῶν τεχνῶν ἐδιδάχθη κατὰ πικρὰν εἱμαρμένην, καὶ τοῖς μεταγενεστέροις ἐδόθησαν. Καὶ οὕτως ὁ βίος συμφοραῖς ἐπεπλήμμυρεν. Ἡ ὀργὴ δὲ τοῦ Διὸς, ἤγουν τῆς εἱμαρμένης, καὶ ὁ χόλος, καὶ αἱ λαλιαὶ, καὶ τὰ λοιπὰ, προσωποποιΐα εἰσί. Παρεισάγει γὰρ τὴν εἱμαρμένην, ὡς διά τινα, ταῦτα δρῶσαν. [v]) Τοῦτο δὲ παρὰ τοῖς ῥήτορσι τὸ καθ' ὑπόθεσιν σχῆμα καλεῖται· οὕτω γὰρ ὤφειλεν εἰπεῖν· Εἰ ἦν αἴσθησις καὶ φωνὴ τῇ εἱμαρμένῃ, ἐφθέγξατο ἂν καὶ ὠργίσθη, ὅτι προβουλότεροι ἐξ ἀπλάστων γεγονότες οἱ ἄνθρωποι τὸ πῦρ κατέσχον, καὶ τὰς [w]) τέχνας ἐπεχείρουν διὰ τούτου εὑρίσκειν. Καὶ εἶπεν

p) τοῖς ἀνθρώποις om. E. Trinc. Mox ἐφευρέταις Trinc.

q) ἄνευ Trinc.

r) κοπηρὸν Trinc. κομπηρὸν E. Mox κλεπτόμενοι ex E. F. Edd. κλεπτόμενα.

s) ἐμπειρίας E. ἐμπορείας Trinc.

t) σύστασις ἐδείχθη mox omisso ἐδιδάχθη Trinc.

v) Hinc ad fin. Scholii des. Trinc.

ἂν ἐπεγγελάσασα τὸ σαρδόνιον· ὅτι ὑμεῖς ὄψεσθε· δώσω γὰρ ὑμῖν, ὃ ποθεῖτε ἐκ τοῦ πυρὸς εὑρεθῆναι, τὰς τέχνας, ὑφ' ὧν ἁβρότης μὲν καὶ ὡραιότης, καὶ πᾶν τερπνὸν τῷ βίῳ γενήσεται, ἀλλ' οὐ χωρὶς ὀδυνῶν καὶ διηνεκῶν μυρίων πόνων, καὶ περιστάσεων. *ΝΕΦΕΛΗΓΕΡΕΤΗΝ* δὲ νῦν καὶ *ΤΕΡΠΙΚΕΡΑΥΝΟΝ ΔΙΑ*, οὔτε τὸν οὐρανὸν, οὔτε τὸν ἀστέρα, οὔτε τὸν μυθικὸν βασιλέα ἐκεῖνον, οὔτε ἄλλο οὐδὲν, οὔτε τὸν νοῦν λέγει ὁ ποιητὴς, ἀλλὰ τὴν Εἱμαρμένην, καὶ τὸν τῆς Εἱμαρμένης νοῦν· διόπερ τὸ νεφεληγερέτης καὶ τερπικέραυνος οὕτως ἔφην ὡς εἶπον. Τὰ δὲ λοιπὰ ὡς μὴ ὄντα τῆς νῦν ὑποθέσεως, παρεῶ, ὡς καὶ ὑμῖν καταρχὰς ὑπεθέμην οὕτω ποιεῖν, πρὸς τὰ πρόσφορα τῶν ἐπῶν νοεῖν, καὶ Δίας καὶ Ἀθηνᾶς, καὶ Προμηθεῖς, καὶ τὰ ἕτερα, καὶ μὴ ἀνοήτως τῷ πολυσημάντῳ τούτων πλανᾶσθαι, καὶ συγχέειν τὰ ἔπη, καὶ τὴν διάνοιαν. [x])Ὅθεν κἀγὼ νῦν τῶν προκειμένων τοῖς ἔπεσι σημασίαν σκοπῶν, ταύτην ἐτυμολογῶ, καὶ περὶ ταύτης διαλαμβάνω, τὰ δὲ λοιπὰ ἐνίοτε παρατρέχω, τοὺς ἀκροωμένους ὁπότε βλάπτειν ἀντ' ὠφελείας ἐπίσταμαι, καὶ ἀχρεῖον πολύστιχον τὸ σύγγραμμα γίνεται. Τίς γὰρ οὐκ οἶδεν, ὡς ἀλλαχοῦ τῶν ἐπῶν, ὁ οὐρανὸς νεφεληγερέτης καὶ τερπικέραυνος [y])λέγεται; συνάγει γὰρ τὰς νεφέλας, καὶ παταγεῖ, καὶ τὸν ξηρὸν τῇ κινήσει ἐκθλίβων ἀέρα, τοὺς
69 κεραυνοὺς ἀπεργάζεται. Τοῦτόν τε καὶ τὸν νοῦν οἴδαμεν Δία καλεῖν, καὶ ἀλληγορεῖν ἀκριβῶς, καθὰ καὶ περὶ τῶν ἑτέρων ἁπάντων. Ἀλλ' οὐ νῦν περὶ τούτων, περὶ δὲ τῆς [z]) εἱμαρμένης, ἣν ἠλληγόρησά τε καὶ ἠτυμολόγησα. Tzetzes.

Ibid. *ΙΑΠΕΤΙΟΝΙΔΗ.*

Πάλιν ὁ Πρόκλος νῦν [a]) λαλεῖ βλασφημίας.
Καί τις ὁράτω τὴν ἐκείνου πυκτίδα,
Καὶ τὸν φορυτὸν εἰ θέλει [b]) συναγέτω.
Ἡμῖν δ' ἀνάγκη, προσφυῶς πάντα γράφειν.

[c]) Τριττῶς οἶδα νοούμενον τὸ Προμηθεὺς ὄνομα· τὴν ἐκ κινήσεως τοῦ οὐρανοῦ κοσμικὴν ἕδραν, καὶ ἐπιστήριξιν τοῦ παν-

w) τε χεῖρας F. Mox ἐπεγγελάσασα pro ἐπιγελάσασα ex E.

x) Ita E. Ὅθεν κ. αὐτὴν προκειμένην Bas. Heins. νῦν τὴν F. G. σκοπῶν deest E. Bas.

y) γίνεται F.

z) εἱμαρμένης ὁ λόγος ἦν F.

a) ἐξαποπτύει λόγους G.

b) μανθανέτω F. et H. pro v. l. Desunt Trinc. a πάλιν ad γράφειν.

c) Τὸ Προμηθεὺς ὄνομα περιττῶς αὐτὸς οἶδα νοούμενον. Trinc. τριττῶς αὐτὸς οἶδα E. περιττῶς F.

τος, καθ' Εἱμαρμένης βουλὴν γεγονυῖαν καθ' Ἕλληνας, ἢ καὶ τὴν βοὸς διαμοιρασίαν, καὶ τὴν ἀπάτην Διὸς [d]) ἀνατίθημι· περὶ ἧς νῦν ἀλληγορεῖν οὐχὶ πρόσφορον· στοιχειακὸν γὰρ τοῦτο, καὶ τῇ Θεογονίᾳ ἁρμόδιον. Οἶδα καὶ [e]) πραγματικῶς Προμηθέα λεγόμενον ἄνθρωπον, ἐξ ἀγροικίας τοὺς ἀνθρώπους μεταῤῥυθμίσαντα, ὃν διὰ τοῦτο πλάσαι τοὺς ἀνθρώπους μυθεύονται· οἶδα καὶ ψυχικῶς Προμηθέα, τὸ τῶν ἀνθρώπων προβούλευμα καὶ τὴν πρόγνωσιν, Ἰαπετοῦ καὶ κινήσεως λογισμοῦ παῖδα λεγόμενον, καὶ Κλυμένης τῆς ἐξακούστου φρονήσεως· ἡ γὰρ Θέμις, ἤτοι ἡ γῆ, τοῦ στοιχειακοῦ Προμηθέως μήτηρ ἐστί. Τοῦ Προμηθέως οὖν [f]) προβουλεύματος τούτου πατὴρ, ὡς ἔφην, ἡ τοῦ λογισμοῦ κίνησις, καὶ [g]) προσεκτικωτάτη περιστροφή. Ἰαπετὸς δὲ λέγεται, παρὰ τὸ [h]) ἰέναι, καὶ ὁρμᾶν καὶ πέτεσθαι πανταχοῦ, καὶ πάντα [i]) ἀνερευνᾶν, καὶ ζητεῖν περὶ πάντων. Ἔστι καὶ ἕτερος παῖς τῷ Ἰαπετῷ τούτῳ, ὁ βραδύνους καὶ [k]) ὑστερόνους, ὁ Ἐπιμηθεὺς, ὁ μὴ τὸν ἄκρον νοῦν καὶ τὴν φρόνησιν ἔχων, ὡς καὶ τὰ μέλλοντα συμβαίνειν γινώσκειν, ἀλλ' ὁ μετὰ τὸ συμβῆναι εἰδώς. [l]) Τὸ δὲ ὡς ἀπὸ τῆς Εἱμαρμένης λέγεσθαι ταῦτα, προσωποποιΐα ἐστὶν, ὡς ἔφην. Εἰ δ' οὐκ ἦν [m]) ἠλληγορημένως τεθὲν, κατὰ ῥητορικὸν σχῆμα τὸ καθ' ὑπόθεσιν λεγόμενον ὤφειλεν ἐξενεχθῆναι. Κλοπὴν πυρὸς εἶπον, τὴν ἐκ κεραυνοβόλου δένδρου ἐκ προμηθείας τῶν τότε ἀνθρώπων ἐφεύρεσιν. Ἠπεροπευσις καὶ ἀπάτη φρενῶν Εἱμαρμένης, τοῦ Διὸς λεγομένου νῦν, τὸ μετατραπῆ- 70 ναι ὑπὸ τῆς [n]) προβουλίας ταύτης ἐκείνην τὴν προτέραν τοῦ βίου διαγωγὴν ὑπὸ τῆς εὑρέσεως τοῦ πυρὸς, ὃ καὶ τοῖς εὑροῦσι καὶ μεταγενεστέροις γέγονε βλάβη. Δόσις γυναικὸς, ἀντὶ τῆς εὑρέσεως τοῦ πυρὸς παρὰ [o]) τῆς Εἱμαρμένης, ἤται τοῦ

d) ἀνατίθησι Trinc. et mox περὶ οὗ.

e) πρακτικῶς Trinc.

f) Sic F. Trinc. προβούλευμα Bas. Heins.

g) Sic E. Trinc. περιεκτικωτάτη Bas. Heins.

h) ἴεσθαι E. F.

i) ἐρευνᾶν Trinc.

k) ὑστερόνους νοῦς E. Trinc.

l) Hinc ad finem Scholii desunt Trinc.

m) ἀλληγορούμενον E. ἀλληγορημένος στίχος (q.?) κατὰ ὡς ἔφατ' ἐκ δ' ἐγέλασε πατὴρ ἀνδρῶν τε θεῶν τε. Ῥητορικὸν σχῆμα τὸν καθ' ὑπόθεσιν, ἔμελλεν ἐξενεχθῆναι. Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν, κλοπὴν πυρὸς εἶπε τὴν ἐκ κεραυνοβόλου δένδρου προμηθείας τῶν τότε ἀνθρώπων ἐφεύρεσιν, ἢ παρίπτευσιν καὶ ἀπάτην φρενῶν· ἡ εἱμαρμένη τοῦ διὸς λεγομένη τῷ μετατραπῆναι F.

n) προβούλου ταύτην ἐκείνης E. Mox ὃ καὶ — πυρὸς om. F.

o) τοῦ εἱμαρμένου E.

συμβάματος, ἀλλὰ [p]) τοῦ δευτέρου, τὸ ἐκ τῶν τεχνῶν ἡμῖν συμβὰν τοῦ βίου παντὸς ἐπικόσμημα, καὶ τὸ τρυφερὸν καὶ ἁβρὸν, ὃ ἐπικτήσασθαι ἀγαπῶντες καὶ σπεύδοντες οὐ μικρῶς ταλαιπωρούμεθα, καὶ κακῶς πάσχομεν. Τὸ [q]) ΕΟΝ καλλίστως κεῖται λίαν, ἡ τοῦ Πρόκλου δὲ μᾶλλον διόρθωσις δακρύων δεῖται. Tzetzes.

56. ΜΕΓΑ ΠΗΜΑ. Τὴν τοῦ πυρὸς κλοπὴν μέγα πῆμα λέγει τοῦ Προμηθέως ἔσεσθαι, λαβὼν τὸ αἴνιγμα [r]) ἀπὸ τῶν προνοουμένων αὐτῷ ψυχῶν. Ταύταις γὰρ ὄντως ἡ κάθοδος πῆμα καὶ τοῖς ἀνθρώποις, οἳ γεγόνασιν ἐκ τούτων τῶν πεσουσῶν ψυχῶν. Proclus.

57. ΤΟΙΣ Δ' ΕΓΩ. Τοῖς ἀνθρώποις καὶ τοῖς ὑποδεξαμένοις τὴν ἄνωθεν κλαπεῖσαν ψυχὴν καὶ [s]) δεῦρο πεσοῦσαν δώσειν κακὸν, τὴν Πανδώραν, ἤτοι τὴν ἄλογον ψυχὴν, ἢ τερπομένους βιώσεσθαι τὸ ἑαυτῶν ἀγαπῶντας κακόν. [t]) Τῷ λόγῳ γὰρ ἡ ἀλογία κακὸν, ἀναγκαία δὲ ὅμως, ἵνα μὴ αὐτόθεν ἡ ψυχὴ κοινωνῇ τῷ σώματι. ΑΛΛΩΣ. ἙΟΝ ΚΑΚΟΝ. Ἐνταῦθα τὸ, ἑὸν, οὐχ ὑγιῶς κεῖται· ὤφειλε γὰρ εἰπεῖν, σφέτερον· τὸ γὰρ σφῶν, αὐτῶν, τὸ δὲ [v]) ἑὸν, αὐτοῦ, σημαίνει. Μέμφονται δὲ τὸν Ἡσίοδον οἱ περὶ Ἀπολλώνιον, ὅτι ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο, ὁμοίως δὲ καὶ Καλλίμαχος αἰτιᾶται διὰ τὸ αὐτό. Proclus.

59. ΕΚ Δ' ΕΓΕΛΑΣΣΕ. Τὸ ἄθυμον δηλοῖ, καὶ ἀόργητον τοῦ θεοῦ. Proclus.

Ibid. ὩΣ ΕΦΑΤ' ΕΚ Δ' ΕΓΕΛΑΣΣΕ ΠΑΤΗΡ ΑΝΔΡΩΝ ΤΕ ΘΕΩΝ ΤΕ. Καὶ τοῦτο δὲ προσωποποιΐα, [w]) καὶ σχῆμα τὸ καθ' ὑπόθεσίν ἐστιν· ἀντὶ, εἰ ἦν αἴσθησις τῇ Εἱμαρ-

p) τὸ δεύτερον E. τὸ ἐκ τοῦ δευτέρου F.

q) μὲν F.

r) Ita Dorv. Al. ὑπὸ τ. π. ὑπ' αὐτοῦ.

s) καὶ οὐ δεῦρο Dorv. Paullo supra καὶ om. B. Mox βιώσασθαι Dorv.

t) τῷ om. A. B. τῷ ad κακὸν om. Dorv.

47) Optime hunc locum ita emendavit illustrissimus Scaliger, cum antea legeretur: τὸ γὰρ σφῶν αὐτῶν, τὸ δὲ εἰσιν ἀντὶ τοῦ σημαίνει, sensu omnino nullo: ex quo fecit: τὸ δὲ ἑὸν αὐτοῦ σημαίνει. Heinsius.

v) εἰσὶν ἀντὶ τοῦ A. Trinc. τὸ δὲ ἑὸν ἀντὶ τοῦ ἀυ^{τ} σ^{η} Dorv. τὸ δὲ ε. α. σ. om. B. Mox μέμφεται οὖν τὸν Ἡρόδοτον οἱ π. Α. A. ἑνικοῦ ἀ. π. ἐ. ἐν τῷ ἑὸν κακὸν ἀμφαγαπῶντες — et pro διὰ τὸ αὐτὸ, ὡς ὅμοιον ποιήσαντα Dorv. Ὁμοίως δὲ καὶ Καλλίμαχον αἰτιῶνται corrigit Ruhnkenius Ep. Crit. p. 178.

w) καὶ τ. π. ἐστι. Hinc ad σαρδώνιον om. Trinc.

μένη, ἐγέλασεν ἂν τὸ σαρδόνιον. Πατέρα δ' ἀνδρῶν καὶ
θεῶν τὴν Εἱμαρμένην λέγει, ὅτι καθ' Ἑλλήνων τινὰς, Εἱμαρ-
μένης βουλῇ οἵ τε θεοὶ, ἤγουν τὰ στοιχεῖα, καὶ οἱ ἄνθρωποι 71
γεγόνασιν. [u]) ἢ τὰ ἐν τοῖς στοιχείοις γινόμενα, καὶ τοῖς ἀν-
θρώποις συμβάματα· οἷον ὄμβροι, χειμῶνες, σεισμοὶ, κεραυ-
νοὶ, καὶ τὰ ὅμοια, καὶ ἀνθρώπων εὐβουλίαι καὶ δυσβουλίαι,
καὶ [x]) εὐτυχίαι καὶ ἀτυχίαι. Περὶ δὲ τοῦ Σαρδονίου γέλωτος,
εἰπεῖν δέον μοι·

Σαρδὼ τις ἔστι νῆσος Ἰβηροτρόφος,
Ἐν ᾗ βοτάνη φθαρτικὴ γῆς [y]) ἐκτρέχει,
Σελινοειδὴς, Σαρδάνη καλουμένη.
Βεβρωμένη δὲ τοῖς ἀπείροις αὐτίκα
Σπασμούς τε ποιεῖ, καὶ γελώτων [z]) ἐμφάσεις,
Καὶ πότμος εὐθὺς, καὶ γελάσιμος μόρος.
Ἄλλοι δὲ φασὶ [a]) Σαρδανεῖς τοὺς βαρβάρους
Γηρῶντας αὐτῶν τοὺς γενάρχας ἐσχάτως
Ἄγειν λαβόντας εἰς ἀπόκρημνον τόπον·
Κτείνειν τε τούτους ἐν ῥοπάλοις, καὶ λίθοις,
Ἔπειτα ῥίπτειν ἐκ πετρῶν τοὺς [b]) ἀθλίους,
Γελῶντας εἰκῇ παιδιαῖς πατροκτόνοις.
Ἄλλοις δὲ τοὺς θνήσκοντας ἀρέσκει πλέον
Γελᾷν, ὁρῶντας τεχνικὰς παροινίας,
Καὶ τὰς κυλίστρας καὶ στροφὰς τῶν πραγμάτων.

[49]) Οὕτω μὲν ὁ Σαρδόνιος γέλως ἔχων ἐστὶν, [c]) ὃν ὁ ποιητὴς φησι γελάσαι ἂν τὴν Εἱμαρμένην, εἴπερ αὐτῇ προσῆν αἴσθησις, ἣν καὶ πατέρα θεῶν καὶ ἀνδρῶν εἶπεν, ᾧ τρόπῳ εἰρήκαμεν. Tzetzes.

u) ἢ ὅτι τ. ε. τ. σ. γίνεται Trinc. γίνεται E. Mox σύμβαντα F.

x) εὐκληρίαι καὶ ἀτυχήματα Trinc. F. Mox σαρδανίου et σαρδάνιος Trinc.

y) ἐκφύει F. Mox κεκλημένη F. Trinc.

z) ἐκφράσεις H.

a) Σαρδανοὺς F. G. H. Trinc.

b) δυσμόρους Bas. Heins.

49) Potuissemus sine magno rei literariae detrimento carere communibus illis, et ut vulgo dicunt τοῖς κοινοῖς Tzetzae Iambis, qui praecesserunt. Editores, quasi non satis ineptiarum esset, addiderant verba illa superioribus tanquam et ipsum versus esset τῶν κοινῶν:

Οὕτω μὲν ὁ Σαρδώνιος γέλως ἔχων ἐστί.

nos id sejunximus, et excudi jussimus, assentiente Veneta, cum reliquis quae sequuntur καταλογάδην scriptis: quanvis dempta una voce scribi poterat, οὕτω μὲν ὁ Σαρδώνιος γέλως ἔχει: tempo a enim syllabarum quanvis negligunt versus illi, numerum observant tamen. Sed veniam petimus, si cum τῷ λεπτολογοῦντι λεπτολογεῖν interdum cogamur. Cepimus enim nostras horas male collocare. Heinsius.

Ibid. *ΩΣ ΕΦΑΤ'*. Οὕτως ἔφη, ἐξεγέλασε δὲ ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν, ἤγουν πλατὺν ἐγέλασε γέλωτα. Ἀνθρώπου ἦθος ἀπομιμεῖται δυναμένου τιμωρεῖσθαι τοὺς πε-
72 ριφρονοῦντας αὐτόν. Ὁ γὰρ ἐλπίζων κολάσειν ἐκ τοῦ ῥᾴστου τὸν περιφρονοῦντα, θυμοῦται μὲν περιφρονούμενος· γελᾷ δὲ πάλιν τῇ ἐλπίδι τῆς τιμωρίας. MOSCHOP.

60. *ΗΦΑΙΣΤΟΝ Δ' ΕΚΕΛΕΥΣΕ.* Τὴν ἄλογον ζωὴν δεῖ σωματικὴν εἶναι· διὸ καὶ γῆς καὶ ὕδατος χρεία, καὶ τῆς φυράσεως, ἣν ὁ Ἥφαιστος ποιεῖται· σωμάτων γὰρ οὗτος ὁ θεὸς ποιητής. [d])Ἐπειδὴ οὐχ ἁπλῶς ποιεῖ ψυχῆς ἀλόγου σῶμα, ἀλλ' ἀνθρωπίνης, ἐντίθησι τῷ σώματι τούτῳ ζωτικὴν δύναμιν ἀνθρωπίνης φωνῆς· εἴληπται δὲ ἀπὸ τῶν τεσσάρων στοιχείων τὰ δύο, ὡς στερεώτερα καὶ παχύτερα καὶ συγγενῆ πρὸς τὸ σῶμα τοῦτο μάλιστα τὸ σύνθετον. [e])Ἅμα δὲ τῷ λόγῳ, καὶ τὸ ἔργον προέβη, καὶ ὅτι οὐ Προμηθεὺς, ἀλλ' Ἥφαιστος ἔπλασε πρῶτον, δῆλον ἐντεῦθεν. Ἡ δὲ αἰτία τῆς [f])παρεκβάσεως, ὅτι θέλει βεβαιῶσαι τὸν λόγον τὸν ἴδιον,[g]) δι' ὧνπερ εἴρηκε τὸν Δία κρύψαι τὸν πλοῦτον. Τὸ δὲ ὕδει, ἀπὸ τῆς ὕδος εὐθείας, ὡς βέλος· τὴν γῆν τῷ ὕδατι φυράσαι· τουτέστι πηλὸν ποιῆσαι, Αἰολικῶς. Γέγονε δὲ κατὰ μεταπλασμὸν, ἀπὸ τῶν εἰς ας οὐδετέρων, εἰς ος, ὕδας, ὕδος, ὡς κῶας κῶος,

[h])κώεσιν ἐν μαλακοῖσιν. PROCLUS.

Ibid. *ΗΦΑΙΣΤΟΝ Δ' ΕΚΕΛΕΥΣΕ.* Τὸν δ' ἐξάκουστον Ἥφαιστον ἐκέλευσεν ὕδωρ καὶ γῆν μίξαι, καὶ ποιῆσαι ἀνθρώπου φωνὴν καὶ δύναμιν, ἀντὶ τοῦ [i]) ἄνθρωπον γυναῖκα, παρθένον καὶ ὁμοίαν θεοῖς. Ἀλλ' οὕτω μὲν τὸ μυθῶδες. Ἀλληγορητέον δὲ καὶ τοῦτο. Ἐκέλευσεν, ἤγουν ἐπένευσεν ἡ Εἱμαρμένη, ἐκ τοῦ περικλυτοῦ καὶ ἐξακούστου καὶ παντέχνου [k])πυρὸς κατ' Αἰσχύλον, μιγῆναι γῆν καὶ ὕδωρ, οὐχὶ πηλὸν, οὐχὶ γυναῖκα γενέσθαι, ἀλλὰ τὰς τέχνας, ἃς ἔφην, ὑφ' ὧν

c) Hinc ad fin. Scholii om. Trinc.

d) ἐπεὶ δὲ Dorv. δὲ post ἐντίθησι om. cum A. B. Dorv. ζωτικὴν δὲ Trinc.

e) ἄλλως. Ἅμα τῷ λ. A. B. Dorv.

f) παραβάσεως Dorv.

v

g) διον Dorv. et mox φῦραι.

h) Homer. Od. Γ. 38. κώσασιν Trinc.

i) Ita E. F. ἀνθρώπου γυναῖκα sine πάρθενον Heins. Bas. γυναῖκα πάρθενον sine ἄνθρωπον Trinc.

k) πυρὸς om. Trinc. F. Respicit Tzetzes ad Prom. init.

τεχνῶν τῶν ἐξ [l]) ἐφευρέσεως τοῦ πυρὸς, ξύλα ἐκ γῆς τμηθήσεται, καὶ γενήσεται πλοῖα, καὶ ἐμβληθήσεται τῇ θαλάσσῃ πρὸς πλοῦν. Καὶ οὕτω τοῖς ἀνθρώποις γῆ καὶ ὕδωρ [m]) κοινώσεται, καὶ ἐπὶ τῶν γεωδῶν δὲ τούτων πλοίων ὑπὸ τοῦ θαλαττίου φερόμενοι ὕδατος ἐμπορευόμενοι ἔσονται. Τζετζης.

Ibid. *ἩΦΑΙΣΤΟΝ Δ' ΕΚΕΛΕΥΣΕΝ.* Ἥφαιστος τὸ διακονικὸν πῦρ, καὶ ὁ ταῖς διὰ τοῦ πυρὸς ἐνεργουμέναις τέχναις ἐπιστατῶν θεός· ὃν Ὅμηρος μὲν Ἥρας καὶ Διὸς υἱὸν λέγει· οὗτος δὲ μόνης τῆς Ἥρας·

Ἥρη δ' Ἥφαιστον κλυτὸν [n]) οὐ φιλότητι μιγεῖσα Γείνατο.

Ἐνταῦθα ὁ τῶν τεχνῶν ἐπιστάτης δοκεῖ λέγεσθαι· ὃν ὁ Ζεὺς ἐπιτάττει τὴν Πανδώραν πλάττειν, εἰς τὰς τέχνας ἀλληγορουμένην. Συνεργὸν δὲ δίδωσιν αὐτῷ καὶ τὴν Ἀθηνᾶν τὴν αὐτὴν οὖσαν τῇ φρονήσει. Δεῖ γὰρ τῇ τέχνῃ φρονήσεως, ἵνα τε συσταίη, καὶ ἵνα κόσμια ἐξενέγκῃ τὰ τεχνουργούμενα. Ὅθεν [o]) αὐτὴ τὴν Πανδώραν ζώννυσι καὶ κοσμεῖ, καὶ τὴν ποικιλίαν τῶν ἔργων διδάσκει. Ἐπεὶ δὲ καὶ τὸ ἐπαγωγὸν δεῖ παρεῖναι τῇ τέχνῃ καὶ χάριεν, τὴν Ἀφροδίτην εἰσάγει, χάριν περιθεῖναι τῇ κεφαλῇ τῆς Πανδώρας, τὴν Ἀφροδίτην δὲ, ἐπεὶ γυναῖκα αὐτὴν ἔπλασεν· ἡ Ἀφροδίτη δὲ ἔφορος τῶν γυναικείων χαρίτων. Καὶ ἀνωτέρω δὲ τὴν Ἀθηνᾶν ἐπιτάξας ἔργα ταύτην διδάξαι, τὸν πολυδαίδαλον μόνον ἱστὸν ἐπάγει, ἔργον προσῆκον ταῖς γυναιξὶν, ἐπεὶ γυνὴ ἡ διδασκομένη· δεῖ γὰρ τὸν ἀλληγορούμενον λόγον, καὶ παρ' ἑαυτῷ σώζειν ἀκολουθίαν. Εἶτα ἐπάγει καὶ ἃ παρακολουθεῖ τοῖς ἀνθρώποις τοῖς χρωμένοις ταῖς τέχναις, ἀναιδῆ λέγων νοῦν, καὶ ἐπίκλοπον ἦθος, καὶ ψεύδη, καὶ λόγους αἱμυλίους. Τὸν Ἑρμῆν δὲ ταῦτα δοῦναι προστάττει, οὐκ ἔξω λόγου. Ἑρμῆς γὰρ ὁ αὐτός ἐστι τῷ λόγῳ· τοῦ λόγου δὲ, τὸ μέν ἐστιν ἐνδιάθετον, καθ' ὃ ποικίλον ἦθος φαίνεται καὶ ἁπλοῦν· τὸ δὲ, προφορικὸν, καθ' ὃ λόγοι προφέρονται ἀληθεῖς, καὶ ψευδεῖς, καὶ ἀπατηλοὶ, καὶ [p]) ἀπερίεργοι. Αἱ ὧραι δὲ περιστέφουσιν αὐτὴν, αἱ τροπαὶ δηλονότι τοῦ χρόνου. Αὗται γὰρ πολλῶν τεχνῶν ὕλην παρέχουσι, καὶ ἄλλως δὲ τὰ μεγάλα συναίρονται πάσαις σχεδὸν ταῖς τέχναις·

l) εὑρέσεως Bas. Heins.
m) μιγήσεται Trinc. κοινωνήσεται H. Mox πλοίων addidi ex E. G. H.
n) οὐ B. Trinc. ἐν Heins. V. Theog. 927.
o) αὐτὴν olim. Edidi ex B.
p) περίεργοι B.

ταῖς μὲν, εἰς σύστασιν, ταῖς δὲ, εἰς χάριν. *ΚΑΛΛΙΚΟΜΟΥΣ* δὲ λέγει αὐτὰς οἰκείως· κομῶσι γὰρ τοῖς φυτοῖς· Ἄνθεσι δὲ λέγει στεφανοῦν, ἀπὸ τοῦ ἀκολούθου· αἱ ὧραι γὰρ τίνι ἂν ἄλλῳ ἢ ἄνθεσι [q]) στεφανώσωσι; καὶ τὸν στέφανον δὲ ἀπὸ ἐαρινῶν πλέκουσιν ἀνθέων, ἀκολούθως καὶ τοῦτο· [r]) ἐν τῷ ἔαρι γὰρ τὰ φυτὰ ἀνθεῖ, ἀφ' ὧν οἱ στέφανοι πλέκονται. Moschop.

Ibid. *ΠΕΡΙΚΛΥΤΟΝ.* Ἤγουν περίφημον· τουτέστιν, οὗ ἡ φήμη ᾄδεται. Moschop.

Ibid. *ΟΤΙ ΤΑΧΙΣΤΑ.* Ἐπίτασιν ἔχει τὸ ὅτι· καὶ οὕτω δὲ ἔχον, μετὰ ὑπερθετικοῦ τίθεται καὶ παρὰ τῇ κοινῇ συνηθείᾳ, καθὰ λέγεται καὶ τὸ πρώτιστος ὑπερθετικὸν ἐπὶ ὑπερθετικῷ. Moschop.

61. *ΘΕΜΕΝ ΑΥΔΗΝ.* Αὐδὴν δὲ νῦν, οὐ τὴν φωνὴν λέγει, ἀλλὰ τὸν τόπον τῆς φωνῆς· ἤτοι τὰ φωνητικὰ ὄργανα. Proclus.

Ibid. *ΑΝΘΡΩΠΟΥ ΘΕΜΕΝ ΑΥΔΗΝ ΚΑΙ ΣΘΕΝΟΣ.* Τὸ, κυρίως τότε τὴν τοῦ ἀνθρώπου λαβεῖν ἐπωνυμίαν, καὶ ὀνοματοθετῆσαι [s]) τὸ καθέκαστον τῶν ἐν τῷ βίῳ, καὶ δύναμιν κατὰ θηρίων, καὶ τῶν λοιπῶν, καὶ μηχανὰς ἁπάσας ἐνδείξασθαι. [t]) Πρὸ τοῦδε κτηνωδῶς ζῶντες, κατ' οὐσίαν μόνον ἐλέγοντο ἄνθρωποι, καὶ οὐ κατὰ τὴν ἀνθρωπίνην ἐνέργειαν. [v]) Κλειτὸς, ὁ ἔνδοξος· *ΚΛΥΤΟΣ* δὲ, ὁ ἐξάκουστος καὶ ὁ μὲν
74 κλειτὸς, πάντως καὶ κλυτός ἐστιν, οὐ τοὐναντίον· ἐξάκουστον γάρ τινα καὶ ἐπὶ κακοῖς ἐστιν εὑρεῖν· οὐ πάντως δὲ οὗτος καὶ κλειτός. Tzetzes.

Ibid. *ΥΔΕΙ.* [51 x]) Τὸ κῶας καὶ τὸ ὕδας καὶ τὰ ὅμοια τὰ εἰς ας Αἰολικῶς μετατρέπονται εἰς ος· ὡς ἐκ τοῦ ὕδας γέγονεν ὕδος, ἐξ οὗ τὸ ὕδει. Tzetzes.

Ibid. *ΑΥΔΗΝ.* Αὐδὴ ἡ ἔναρθρος φωνὴ παρὰ ποιηταῖς·

q) Sic B. Trinc. στεφανωθῶσι Heins.

r) ἐν. Ita B. Olim καί.

s) ἕκαστον sine τὸ Trinc.

t) πρότερον γὰρ Trinc. Mox κατ' ἐξουσίαν F.

v) Hinc ad finem scholii om. Trinc.

53) τὸ κῶας καὶ τὸ ὕδας] Initio hujus glossae in ea quam expressimus editione ineptissime praetermissa erat vox Hesiodi ὕδει: nam quicquid περὶ τοῦ κῶας καὶ τοῦ ὕδας notat magister, ad vocem Hesiodi ὕδει notat; quae praetermissa erat. Nos eam adjunximus, judicio nostro subscribente Veneta. Heinsius.

x) Loco hujus Scholii in E. legitur, Ὕδος τὸ ὕδωρ, ἐξ οὗ τὸ ὕδει φύρειν· ἐργάσαι, μίξαι.

φθέγμα τὸ αὐτὸ παρὰ τοῖς κοινοῖς. Ἐνταῦθα δὲ αὐδὴν οὐ τὴν φωνὴν λέγει, ἀλλὰ τὰ ὄργανα τῆς φωνῆς· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν τῶν ἀνθρωπίνων μελῶν ἁρμονίαν. Moschop.

62. *ΑΘΑΝΑΤΑΙΣ ΔΕ.* Δαιμόνιον ὄντως ἐστὶ τοῦτο τὸ εἶδος τῆς ζωῆς τὸ ἐν ταῖς ψυχαῖς θῆλυ· διὸ καὶ τὴν ζωτικὴν ἔχει πρὸς τὸν ἄνθρωπον ὁμοιότητα καὶ δύναμιν ἀνθρωπικὴν, καὶ ταῖς ἀθανάταις δὲ θεαῖς ἔοικε κατὰ τὸ εἶδος. Μέσον οὖν πως ἐστὶ θείων καὶ ἀνθρωπίνων συστάσεων, ὡς ἡ λογικὴ θεῖόν ἐστιν ἁπλῶς ἀπ' αὐτῶν ἤκουσα τῶν θεῶν. Ἐοίκαμεν οὖν τρία εἶναι· κατὰ τὸν λόγον, θεῖοι· κατὰ τὸ ἄλογον, δαιμόνιοι· κατὰ τὸ σωματικὸν εἶδος, ἄνθρωποι τινές. Proclus.

Ibid. *ΑΘΑΝΑΤΗΣ ΔΕ ΘΕΗιΣ.* y) Ἀθανάτοις δὲ θεαῖς, ἤγουν τοῖς θηλυκῶς λεγομένοις στοιχείοις, z) ὁμοίαν λέγει τὴν τῶν τεχνῶν περίληψιν. καὶ a) *ΠΑΡΘΕΝΟΝ*, ὅτι οὐ φθαρήσονται αἱ τέχναι, ἀλλ' ἔσονται, ἔστ' ἂν καὶ τὰ στοιχεῖα συμπαραμένωσιν. Οἱ μὲν γὰρ τεχνῖται θνήσκουσιν, αἱ δὲ τέχναι ὡς ἀθάνατοι διαμένουσι. b) καὶ παρθένοι, ὅτι ἀεὶ νεάζουσι, καὶ προσεφευρίσκουσί τι. *ΚΑΛΟΝ ΔΕ ΕΙΔΟΣ*, ὅτι ὁ βίος ἐκ τῶν τεχνῶν γέγονεν ὡραιότερος. καὶ *ΕΠΗΡΑΤΟΝ*, ὅτι πάντες ἐρῶμεν τῶν τοῦ βίου ἡδέων. Tzetzes.

Ibid. *ΕΙΣ ΩΠΑ.* Ἀντὶ τοῦ εἰς ὄψιν· ἀπὸ τοῦ ὁρῶντος ὀφθαλμοῦ τὸ ὁρώμενον. Moschop.

63. *ΠΑΡΘΕΝΙΚΗΣ ΚΑΛΟΝ ΕΙΔΟΣ.* Καὶ τοῦτο τὸ εἶδος τῆς ζωῆς c) ἀδιάφθορον ὂν, ἀπὸ τῆς γενέσεως μετέχει τινὸς κάλλους· ὅπου γε καὶ μέχρι σώματος ἥκει τὸ καλόν· μόνη γὰρ αἰσχρὰ ἡ ὕλη, διότι ἀνείδεος. Proclus.

64. *ΕΡΓΑ ΔΙΔΑΣΚΗΣΑΙ.* Ἔστι γάρ τι τεχνικὸν καὶ ἐν τῷ θήλει τῆς ψυχῆς τῷ ἀλόγῳ κατὰ τὸ τῆς φαντασίας εὐμήχα- 75
νον καὶ ἀνατυπωτικὸν, ὃ δὴ καὶ αὐτὸ φαίης ἂν Ἀθηναϊκὸν εἶναι δίδαγμα· καθὸ καὶ ἐν ἀλόγοις ζώοις ἔστι τὶ φιλεργὸν καὶ τεχνοειδές. Καί τις καὶ νοῦν διὰ ταῦτα τὴν φαντασίαν ὠνόμα-

y) Ἀθ. δ. θ. ἢ. om. Trinc.
z) ὁμοίαν om. Trinc.
a) Ita E. H. παρθένοις Heins. Hanc v. et copulam om. Trinc.
b) παρθενικαῖς δὲ Trinc.

c) Olim ἀδιάφθορον, ὄν. Correxi ex B. ἀδιάφορον sine ὂν Dorv. Dein γε pro τε ex A. Dorv. Mox ὅτι ἀνίδιος Dorv.

σεν. Οὕτως οὖν ὑφαντικὸν τὸ ἄλογον καὶ ἐν ἡμῖν, ὡς ἐν [d]) τῷ ἀράχνῃ. PROCLUS.

Ibid. ΑΥΤΑΡ ΑΘΗΝΗΝ ΕΡΓΑ ΔΙΔΑΣΚΗΣΑΙ. Ὑλικὸν αἴτιον τῆς συστάσεως τῶν τεχνῶν τὸ πῦρ γέγονεν· ποιητικὸν δὲ ἡ κατασκευαστικὴ καὶ διδακτικὴ τούτων φρόνησις, ἣν Ἀθηνᾶν νῦν καλεῖ, καὶ διδάσκαλον τῶν ἔργων. Ἱστὸς δὲ, ἡ συμμιγὴς καὶ [e]) πολυμερὴς πασῶν τῶν τεχνῶν πολυπλήθεια. TZETZES.

65. ΑΜΦΙΧΕΑΙ ΚΕΦΑΛΗι. [f]) Σαφῶς ταῦτα προσήκει τῷ ἀλόγῳ καὶ ἐν ἡμῖν· προσαγωγὸν γάρ ἐστιν αὐτοῦ τὸ φιλήδονον τῶν πολλῶν καὶ ἐπέραστον τοῖς μὴ κρίνουσιν ὀρθῶς. Διὸ καὶ τὸν ΠΟΘΟΝ [g]) αὐτοῦ εἶπεν ΑΡΓΑΛΕΟΝ, οὐκ ὄντα καθαρὸν, ἀλλ' ὑλικὸν, καὶ διὰ τοῦτο χαλεπόν· καὶ τὰς ΓΥΙΟΚΟΡΟΥΣ δὲ ΜΕΛΕΔΩΝΑΣ, ὡς τὰ γυῖα κοσμούσας. Τὸ γὰρ κοσμεῖν καὶ καλλύνειν οἱ παλαιοὶ κορεῖν ἔλεγον· τὸ δὲ διδασκῆσαι ἀπὸ τοῦ διδασκῶ γέγονε περισπωμένου. ΑΛΛΩΣ. ΓΥΙΟΚΟΡΟΥΣ, τὰς εἰς κόρον ἀγούσας τὰ γυῖα, ἤτοι τὰς μέχρι κόρου ἐσθιούσας τὰ μέλη· ἢ τὰς φροντίδας τὰς κατεσθιούσας τὰ μέλη τοῖς χρωμένοις δηλονότι· ἢ μελεδῶνας τὰς τρεφούσας τὸ σῶμα, ὅθεν τὸ φροντίζειν περὶ τῆς γαστρός· γυναικὶ γὰρ οὐδὲν μέλει ἄλλο ἢ μόνον τὸ σῶμα [h]) κατακόρως τρέφειν, ἢ ὅτι παναίτιοι τοῖς ἀνδράσι φροντίδων εἰσίν. PROCLUS.

Ibid. ΚΑΙ ΧΑΡΙΝ ΑΜΦΙΧΕΑΙ ΚΕΦΑΛΗι. [i]) Ἀπὸ κοινοῦ τὸ ἐκέλευσεν, ἤγουν ἐπένευσεν ἡ Εἱμαρμένη ἐκ προμηθείας [k]) ἡμετέρας εὑρεθῆναι τὸ πῦρ, ὑλικὸν αἴτιον τῶν τεχνῶν· εἶτα φρονήσει παραχθῆναι τὰς τέχνας, ὕλῃ τῷ πυρὶ [l]) χρησαμένας· εἶτα τὴν κεφαλὴν καὶ τὸ ἀποτέλεσμα τῆς τέχνης κοσμηθῆναι ἐπιθυμίᾳ καὶ ὡραιότητι τῇ χρυσῇ καὶ ἱλαρᾷ, ὡς πόθον ἡμᾶς ἔχειν τοῦτο προσεπικτήσασθαι, καὶ φροντίδας

d) Sic A. Dorv. αὐτῷ edd.

e) πολυμιγὴς Bas. πᾶσα pro πασῶν Trinc. F.

f) Ἀσαφῶς Dorv. τῷ λόγῳ B. καὶ ἐν ἡμῖν om. Dorv.

g) αὐτὸν Dorv. Mox γυοκόρους bis A.

h) κατὰ κόρον Dorv. Paullo ante ὅθεν om. Dorv.

i) ἀπὸ ad ἤγουν om. Trinc.

k) ἑτέρας Bas. Heins. eaedem mox πραχθῆναι.

l) χρησαμένας Trinc. Olim χρησαμένη. Mox προεπικτήσασθαι Heins. Bas.

ἐσθιούσας τὰ μέλη, ἑλκομένους τῇ ἐπιθυμίᾳ τῆς [m]) τούτων [n]) εὐτεχνίας καὶ ὡραιότητος. Tzetzes.

66. *ΚΑΙ ΠΟΘΟΝ ΑΡΓΑΛΕΟΝ.* Ἤγουν ἀνιαρὸν ἄλγος ἔχοντα· ἕπεται γὰρ τῷ πόθῳ ἄλγος. *ΠΟΘΟΣ* δέ ἐστιν ἐπιθυμία πραγμάτων ἀπόντων· ἐπιθυμία δὲ καὶ ἵμερος τὸ αὐτὸ, καὶ λέγεται ἐπὶ τῶν παρόντων, δηλοῦσι δὲ ὁρμὴν ψυχῆς καὶ 76 κίνησιν ἐπί τι, τὸ μὲν ἀπὸ τοῦ θυμὸς, ἡ τῆς ψυχῆς κίνησις καὶ ζέσις, [o]) ὃ γίνεται ἀπὸ τοῦ θύειν, τὸ ὁρμᾷν· ὁ δὲ ἵμερος, ὅτι ἱέμενος ῥεῖ, καθά φησιν ὁ Πλάτων. [p]) Ἔρως δὲ, πάθος ἔξωθεν διὰ τῶν ὀμμάτων τῇ ψυχῇ προσγινόμενον, διὰ ταῦτα φησὶν ὁ αὐτὸς Πλάτων, ἀπὸ τοῦ ἐσρεῖν, ἔσρους τό γε παλαιὸν ἐκαλεῖτο. Τῷ γὰρ οὖ, φησὶν, ἀντὶ τοῦ ω ἐχρώμεθα· νῦν δὲ ἔρως κέκληται διὰ τὴν τοῦ ω ἀντὶ τοῦ ου μεταλλαγήν. Moschop.

Ibid. *ΚΑΙ ΓΥΙΟΚΟΡΟΥΣ ΜΕΛΕΔΩΝΑΣ.* Ἤγουν τὰς τὸ σῶμα καλλυνούσας· κορεῖν γὰρ τὸ καλλωπίζειν καὶ κοσμεῖν, ἀφ᾽ οὗ καὶ νεωκόρος. Moschop.

67. *ΚΥΝΕΟΝ ΤΕ ΝΟΟΝ.* Εἰκότως καὶ ταῦτα φέρειν [q]) ἂν εἴποις εἰς τὴν ἐν ἡμῖν ἄλογον ζωήν· ἀναιδῆ μὲν οὖσαν ὡς κατεξανισταμένην τοῦ λόγου πολλάκις καὶ μὴ ὑποστελλομένην [r]) τὸ τῇ φύσει κρεῖττον· ἀπατῶσαν δὲ τὸ ἐν ἐκείνῳ δυνάμενον κρίνειν καὶ γοητεύουσαν ταῖς ἡδυπαθείαις. Proclus.

Ibid. *ΕΝ ΔΕ ΘΕΜΕΝ ΚΥΝΕΟΝ ΤΕ ΝΟΟΝ.* Ἐπένευσεν ἡ Εἱμαρμένη καὶ τὸν προφορικὸν λόγον Ἑρμῆν, ἀναιδῆ

m) τοῦτον F. Trinc.

n) τέχνης F. ἐπιθυμίας E.

o) Etymologicon MS. Voss. in Bibl. Leidensi: Θυμὸς ἡ ὀργὴ, οἱονεὶ θυεμός τις ὤν· ἀπὸ τοῦ θύειν ὅ ἐστιν ὁρμᾷν. τρία δέ ἐστι μέρη τῆς ψυχῆς, ὡς Πλάτων φησί· θυμικὸν, ἐπιθυμητικὸν, καὶ λογιστικόν· καὶ τὸ μὲν λογιστικὸν καθίδρυται ἐν τῇ κεφαλῇ, τὸ δὲ θυμικὸν ἐν τῇ καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν ἐν τῷ ἥπατι τῷ περὶ γαστέρα· καὶ τοῦ μὲν λογιστικοῦ ἐστιν ἀρετὴ ἡ φρόνησις, κακία δὲ ἀφροσύνη· τοῦ δὲ θυμικοῦ ἀρετὴ ἀνδρία, κακία δειλία· τοῦ δὲ ἐπιθυμητικοῦ ἀρετὴ ἐγκράτεια, κακία δὲ ἀκρασία.

p) Vide Platonem in Cratyl. p. 419. E. seq. Mox non dubitandum est, quin Moschopulus dederit ἔσρους, mendoso Platonis exemplo usus. Nam in membranis antiquissimis Bodleianis primo quidem scriptum est ἔσρος, sed hoc postea factum est ἔσρους, deinde a tertio quodam, multum recentiore, rursus correctum ἔσρος. Orta est confusio, librariis non animadvertentibus elementum o a veteribus ου nuncupari. Paullo post ἀντὶ τοῦ recepi e MSS. pro εἰς τήν.

q) ἂν εἴπῃ τις Dorv.

r) Legendum videtur τῷ τῇ φύσει κρείττονι. Mox τὸ ἐν ἐκείνῳ Dorv. Al. τῷ. In extr. ἡδυπαθείαις pro ἡδοναῖς ex A. Dorv.

τε καὶ s) τολμηρὸν λογισμὸν, καὶ πανουργόν τι καὶ αἱμύλον ἦθος, ἐνθεῖναι ταῖς τέχναις καὶ τοῖς τεχνίταις. Τοιοῦτοι γὰρ
77 οἱ τὰς τέχνας μεταχειριζόμενοι. 54) Ἀλλὰ μὴ δὲ τοῦτο ἐάσωμεν, t) ὅθεν ὁ Ἑρμῆς ΔΙΑΚΤΟΡΟΣ, καὶ ΑΡΓΕΙΦΟΝΤΗΣ λέγεται· τὰ γὰρ τῶν ἑτέρων Ἑρμῶν οὐ φροντὶς ἡμῖν λέγειν. Ὁ μὲν μυθικὸς Ἑρμῆς διάκτορος λέγεται, ἐκ τοῦ διακτορεῖν, καὶ ἀγγέλλειν τὰ τῶν θεῶν· καὶ Ἀργειφόντης, ὅτι Ἄργον ἀνεῖλεν τὸν πανόπτην, ὃν ἡ Ἥρα φύλακα τῆς Ἰοῦς ἐπέστησε τῆς v) Ἰνάχου παιδός. Ὁ δὲ προφορικὸς λόγος Ἑρμῆς λέγεται, παρὰ τὸ ἑρμηνευτικὸς εἶναι, καὶ Διάκτορος, ὅτι w) ἐξηγεῖται καὶ διαγγέλλει τὰ τῆς ψυχῆς καὶ τοῦ νοῦ ἐνθυμήματα. x) Ἀργειφόντης δὲ, ὡς ἀργὸς καὶ καθαρὸς φόνου· παιδεύει γὰρ καὶ ῥυθμίζει, καὶ πραΰνει τὸ θυμικὸν τῆς ψυχῆς· ἢ ὅτι τὸν Ἄργον κύνα ἀναιρεῖ, τουτέστι τὰ λυσσώδη καὶ ἄτακτα ἐνθυμήματα. Tzetzes.

s) πολεμικὸν E. ἱλαρὸν F. Mox πανουργότατον καὶ αἱμύλον ἦθος ἐνθεῖναι E. G. πανουργότατον F. πανουργίαν καὶ αἱμύλον ἦ. ἐ. Trinc. Mox quaedam sunt male transposita in Heins. quae emendavimus ex Trinc.

54) Pessime haec in Basiliensi legebantur. Duo τῶν Ἑρμῶν sive Mercuriorum genera facit magister; τὸν μυθικὸν καὶ τὸν προφορικόν: inter quos haec differentia est in veterum Theologia, quae est inter τὸ δῶρον et τὸν θεὸν τὸν διδόντα. Deus ipse est ὁ Ἑρμῆς, qui distinctionis causa ὁ μυθικὸς dicitur, qua voce saepenumero utuntur οἱ ἔξωθεν, ad distinctionem inventoris dei ab invento. Eustathius de Baccho: καὶ κάρηαρ καρήατος, ἐξ οὗ κατὰ συγκοπὴν τὸ κάρητι παρὰ τῷ ποιήσαντι τὰ διονυσιακὰ, οἷον, Εὖ εἰδὼς πόνον ἄλλον ἐπὶ στονόεντι κάρητι, ἤγουν πεπειραμένος, ὁ Ζεὺς δηλαδὴ, πόνου, ὅτι τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς ἐγέννα, καὶ διὰ τοῦτο ῥάων ἐσόμενος, καὶ οὐ τοσοῦτον πονήσων ἐν τῷ γεννᾶν ἐκ τοῦ μηροῦ τὸν μυθικὸν διόνυσον. Alterum est ipsius donum, quod προφορικὸς Ἑρμῆς dicitur. De priore Grammaticus prius agit. Haec confusa erant in Basiliensi omnia et mutila, hoc modo: ἀλλὰ μηδὲ τοῦτο ἐάσωμεν ὅθεν ὁ προφορικὸς λόγος ὁ Ἑρμῆς διάκτορος καὶ Ἀργειφόντης λέγεται. Male. Mens Grammatici haec est; probare nimirum quatenus Ἑρμῆς ὁ μυθικὸς dicatur διάκτορος et Ἀργειφόντης. Rursus quatenus Ἑρμῆς ὁ προφορικὸς dicatur διάκτορος et Ἀργειφόντης. In Basiliensi editione bis reddit Tzetzes causam cur ὁ προφορικὸς Ἑρμῆς dicatur διάκτορος et Ἀργειφόντης: in nostro semel περὶ τοῦ μυθικοῦ, semel περὶ τοῦ προφορικοῦ agit. Verba enim illa praetermissa erant: τὰ γὰρ τῶν ἑτέρων Ἑρμῶν οὐ φροντὶς ἡμῖν λέγειν. ὁ δὲ μυθικὸς Ἑρμῆς διάκτορος λέγεται. Heinsius.

t) ὅθεν ὁ προφορικὸς λόγος ὁ Ἑρμῆς E. G. Bas. et mox τὰ γὰρ τῶν ad λέγεται Bas.

v) Vid. Herodot. I. 1. Apollodor. II. c. 1.

w) Sic Trinc. Etymol. M. p. 268, 14. διαγγέλλοντι καὶ σημαίνοντι τὰς ἀγγελίας. Edd. Bas. Heins. διεξάγει καὶ ἀγγέλλει.

x) Vide infra ad v. 84.

67. *ΚΥΝΕΟΝ ΤΕ ΝΟΟΝ.* Τὸν κυνὸς δηλονότι ἀναίδειαν ἔχοντα, ἀπὸ τοῦ κυνὸς κύνεος, ὡς ἀπὸ τοῦ χρυσὸς χρύσεος, καὶ ἄργυρος ἀργύρεος μετουσιαστικῶς. Moschop.

Ibid. *ΕΠΙΚΛΟΠΟΝ.* Τὸν ἐν κλοπῇ· τὸ δὲ ἐν κλοπῇ οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ κλεπτικὴν ἔχον δύναμιν. Ὡς γὰρ ἔνδροσον ταυτὸν τῷ δροσερῷ μετουσιαστικῷ ὄντι, οὕτω καὶ ἐπίκλοπον ταυτὸν τῷ κλεπτικῆς καὶ παραλογιστικῆς μετέχοντι δυνάμεως. Moschop.

68. *ἙΡΜΕΙΗΝ.* Ἑρμείας ποιητικόν· Ἑρμῆς κοινόν. Moschop.

Ibid. *ΔΙΑΚΤΟΡΟΝ.* Διάκτορος, ὁ μεγαλόφωνος. Πλεονάζει δὲ ἐν αὐτῷ τὸ κ', ὥσπερ ἐν τῷ ἀλυκτοπέδη. Τὸ μὲν γὰρ ἀπὸ τοῦ διάτορον, ὃ λέγεται ἐπὶ φωνῆς ἐντόνου καὶ ἰσχυρᾶς· τὸ δὲ ἀπὸ τοῦ ἄλυτος καὶ τοῦ πέδη. Ἀργειφόντης δὲ, ὡς τὸν Ἄργον τὸν πανόπτην φονεύσας τὸν τῆς Ἰοῦς φύλακα· γίνεται οὖν Ἀργοφόντης, εἶτα ποιητικῶς Ἀργειφόντης. Moschop.

69. [y]) *ὩΣ ΕΦΑΘ'· ΟΙ Δ' ΕΠΙΘΟΝΤΟ ΔΙΙ Κ. Α.* Οὕτω τῆς εἱμαρμένης ἐπινευσάσης, ταυτὶ πάντα γέγονε. Κρο- 78
νίωνα δὲ τὴν εἱμαρμένην λέγει, ὡς ἀφανῶς καὶ ἀδήλως ἀποτελουμένων τῶν εἱμαρμένων, ἐκ τοῦ κοροῦν καὶ [z]) θολοῦν τὸν νοῦν· οὐδεὶς γὰρ νοῦς ἀνθρώπινος ἀκριβῶς οἶδε τὰ εἱμαρμένα καὶ συμβησόμενα. Ἄνακτα δὲ καὶ βασιλέα ταύτην φησὶ, ὡς πάντων δεσπόζουσαν, καὶ δι' αὐτῆς γινομένων ἁπάντων. Tzetzes.

70. *ΑΥΤΙΚΑ Δ' ΕΚ ΓΑΙΗΣ ΠΛΑΣΣΕ.* Τὴν γυναῖκα ταύτην, ἤγουν τὴν τῶν τεχνῶν ἁπασῶν σύστασιν, ὁ Ἥφαιστος, ἤγουν τὸ πῦρ ἐκ γῆς πλάττει· ὅτι τὰ τῆς γῆς καὶ ἡ γεωργία, πρώτη καὶ [a]) τιμιωτάτη τῶν ἄλλων τεχνῶν· διὰ γὰρ τὸ ζῆν πᾶς ἄνθρωπος τὰς τέχνας [b]) μετέρχεται. *ΚΛΥΤΟΣ ἩΦΑΙΣΤΟΣ,* ἤγουν ἐξάκουστον τὸ πῦρ· ὅτι δι' αὐτοῦ πᾶσα γίνεται τέχνη, καὶ πᾶσι γινώσκεται. Ἥφαιστος δὲ λέγεται, ἐκ τοῦ ἅπτω,

y) Ad ἐπίθοντο habet ed. Heins, τὸ πι ἰωνικῶς ἰωταγραφεῖται, ἐκ τῆς πιθῶ Ἀττικῶς, quae desunt Trinc. Bas. E. γέγονεν, ἵνα μὴ ταυτολογοῦμεν πολλάκις· ἐπίθοντο· τὸ πι ἰωνικῶς ι γράφεται ἐκ τοῦ πιθῶ. F. ἐπιτελουμένων Trinc.

z) λιθώνειμα pro θολοῦν F.

a) τιμιωτέρα πασῶν τ. τ. Trinc. τιμιωτέρα E.

b) ἐργάζεται Trinc. Mox idem κλυτὸς ὁ Ἥφ. ὅτι ἐ. τ. π. δ. ἀ. γάρ. et dein, δὲ λέγεται om.

[b]) *ΑΜΦΙΓΥΗΕΙΣ*, ὁ ἀμφοτέρωθεν [c]) γυιῶν καὶ βλάπτων· ἀδδηφάγον γὰρ καὶ καυστικὸν τὸ πῦρ. ἢ ἀμφιγυιήεις, ὁ ἑκατέρωθεν χωλός· ἢ μᾶλλον, [d]) τὸ ἕτερον μέλος· ἀναφερόμενον γὰρ τὸ ἐν χρήσει πῦρ ὥσπερ ὑποχωλεύει, καὶ ὑποσκάζει· οὐ γὰρ παράμονόν ἐστιν, ἀναλισκομένης τῆς ὕλης. Τὸν μυθικὸν δέ φασι Ἥφαιστον ἀμφιγυιήεντα, [e]) ἢ ὅτι ἑνὶ μέρει χωλεύει, καὶ ὑποσκάζει, ὡς ὑπὸ τοῦ Διὸς ῥιφθέντα, καὶ χωλωθέντα τὰ γυῖα, ἤτοι τὰ μέλη. Tzetzes.

Ibid. *ΑΜΦΙΓΥΗΕΙΣ*. Γυῖα αἱ χεῖρες καὶ οἱ πόδες· ἀφ' οὗ γυοῦν, τὸ τὰ σκέλη βλάπτειν, καὶ Ἀμφιγυήεις ταυτὸν τῷ [f]) κυλλοπόδῃ, ἤγουν ὁ τοὺς πόδας βεβλαμμένος καὶ χωλός. Ὀνομάζεται δὲ τούτῳ τῷ ὀνόματι, καὶ τὸ παρ' ἡμῖν πῦρ, καὶ ὁ ἐπιστάτης τῶν διὰ τοῦ πυρὸς ἐνεργουμένων τεχνῶν, τὸ μὲν, ὡς ἄνευ τῆς τῶν ξύλων παραθέσεως οὐ δυνάμενον παραμένειν, ὥσπερ ὁ βεβλαμμένος τοὺς πόδας οὐκ ἂν σταίη μὴ ὄντος τινὸς τοῦ στηρίζοντος, ὁ δὲ, ὡς ἐπιστάτης καὶ ἔφορος αὐτοῦ τούτου
79 τοῦ πυρὸς χωλοῦ, καθὰ εἴρηται, συμβολικῶς ὀνομαζομένου· ὥσπερ βαρύκτυπος λέγεται ὁ Ζεὺς, οὐχ ὅτι αὐτὸς κτυπεῖ, ἀλλ' ὅτι αἴτιός ἐστι τῶν βαρυήχων βροντῶν. Moschop.

71. *ΑΙΔΟΙΗ*. Ὡς γελοῖος ὁ ἄξιος γέλωτος, οὕτω καὶ αἰδοῖος ὁ αἰδοῦς ἄξιος. Αἰδοῖος δέ ἐστι τίς τινι ἢ δι' ἃ ἔχει ἀγαθὰ, καθ' ὃ λέγεται ἐνταῦθα τὸ αἰδοίης· ἢ δι' ὃ εἰς αὐτὸν ἐξήμαρτεν ὁ αἰδούμενος. Φαίνεται δὴ τὸ αἰδοῖος ταυτὸν εἶναι τῷ αἰδέσιμος, πλὴν ὅτι τὸ μέν ἐστι ποιητικὸν, τὸ αἰδοῖος, τὸ δὲ παρὰ τοῖς κοινοῖς ἐν χρήσει· αἰδήμων δὲ ὁ εἰδὼς αἰδεῖσθαι. Τὸ πᾶν δὲ τοιοῦτον· οὕτως ἔφη· πλατὺν δὲ ἐγέλασε γέλωτα

55) In Basiliensi erat, σίνων καὶ βλάπτων, non male: in Veneta γυιῶν καὶ πλάττων. Vera lectio est: γυιῶν καὶ βλάπτων: quam praeferimus illi quam nihilominus recepimus. Vox autem καὶ apud Glossarios in Etymologiarum interpretatione ἀντὶ τοῦ ἤτοι vel ἤγουν ita sumitur: cum interpretantur τὸ κύριον ἢ τὸ πρωτότυπον vocis quae inde deducitur. Sic ἀμφιγυήεις, inquit, παρὰ τὸ γυιῶν καὶ βλάπτων, id est, ἤγουν βλάπτων. Nihil est usitatius: ut noverunt qui unam pagellam in Graecorum glossis legerunt. τὸ γυιοῦν est autem, teste Etymologo, τὸ βλάπτειν τὰ γυῖα, ἤτοι τὰ μέλη, ἁπλῶς δὲ καὶ τὸ βλάψαι, καὶ ἐπὶ βλάβης. Heinsius.

c) ὡς ἀμ. γυιῶν καὶ πλάττων Trinc. γυῶν E. F. G. σίνων Bas. Heins.

d) Ita Trinc, ὁ ἑτέρῳ μέλει χωλός Bas. Heins.

e) ἢ ὅτι—ὑποσκάζει om. F. Trinc.

f) Ita B. κοιλοπόδῃ Trinc. χωλοπόδῃ Heins.

ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν· τὸν Ἥφαιστον δὲ, οὗ ἡ φήμη περιᾴδεται, ἐκέλευσε γῆν ὕδατι μιγνύναι ὅτι τάχιστα, ἤγουν πηλὸν ποιεῖν· ἐνθεῖναι δὲ αὐτῷ ἁρμονίαν μελῶν ἀνθρωπίνων καὶ δύναμιν· ὁμοιοῦν δὲ τὸ πλάσμα εἰς ὄψιν ταῖς ἀθανάτοις θεαῖς ταῖς παρθένοις· τουτέστιν εἰς τύπον παρθένου αὐτὸ ποιεῖν, κατ᾽ εἶδος εὔμορφον, ἐπέραστον· τὴν Ἀθηνᾶν δὲ ἐκέλευσε διδάξαι αὐτὴν τὴν ὑπὸ τοῦ Ἡφαίστου πλασθησομένην παρθένον, ἐργασίας· λέγω, ὑφαίνειν ἱστὸν πάνυ ποικίλον· καὶ τὴν περικαλλῆ καὶ λαμπρὰν Ἀφροδίτην ἐκέλευσε περιχέαι τῇ κεφαλῇ αὐτῆς χάριν, καὶ πόθον ἀλγεινὸν, ἵνα ποθῇ δηλονότι καὶ ποθῆται, καὶ φροντίδας καλλυνούσας τὰ μέλη· τὸν Ἑρμῆν δὲ τὸν διάκτορον τὸν Ἀργειφότην ἤνωγεν, ἤγουν ἐκέλευσεν, ἐνθεῖναι αὐτῇ κυνὸς ἀναίδειαν ἔχοντα νοῦν, καὶ ἦθος κλεπτικῆς καὶ παραλογιστικῆς μετέχον δυνάμεως. Οὕτως εἶπεν· οἱ δὲ ἐπείθοντο τῷ Διῒ τῷ υἱῷ τοῦ Κρόνου τῷ ἄνακτι. Αὐτίκα δὲ ἔπλασεν ἀπὸ τῆς γῆς ὁ κλυτὸς Ἥφαιστος, ἤγουν οὗ ἡ φήμη ᾄδεται, πλάσμα ὅμοιον παρθένῳ αἰδοῦς ἀξίᾳ, διὰ τὴν βουλὴν τοῦ Κρονίδου, ἔζωσε δὲ καὶ ἐστόλισεν αὐτὴν ἡ θεὰ ἡ Ἀθηνᾶ ἡ ὀξὺ ὁρῶσα καὶ στιλπνόν. Περιέθεσαν δὲ τῷ χροῒ αὐτῆς, ἀντὶ τοῦ τῷ τραχήλῳ, αἱ θεαὶ αἱ Χάριτες, καὶ ἡ σεβασμία Πειθὼ, αἱ μὲν ἵνα χαριεστάτη δηλονότι ᾖ, ἡ δ᾽ ἵνα πείθῃ, ὡς ἡ κεκοσμημένη γυνὴ πείθει τὸν ἄνδρα εἰς συνουσίαν, ὅρμους χρυσοῦς· ἤγουν περιτραχήλιον κόσμον. Περιέστεφον δὲ αὐτὴν, ἤγουν ἐστεφάνουν, αἱ Ὧραι αἱ καλλίτριχες, ὡς γυναῖκας γὰρ αὐτὰς προσωποποιεῖ, ἄνθεσιν ἐαρινοῖς. Πάντα δὲ στολισμὸν ἐφήρμοσε τῷ σώματι αὐτῆς ἡ Παλλὰς Ἀθήνη· ἐν δὲ τοῖς στήθεσιν αὐτῆς κατεσκεύασεν ὁ διάκτορος Ἀργειφόντης ψεύδη τε καὶ λόγους ἀπατηλοὺς καὶ παραλογιστικὸν ἦθος, διὰ τὴν βουλὴν τοῦ Διὸς τοῦ τῶν βαρυήχων βροντῶν αἰτίου. Ἐνέθηκε δὲ αὐτῇ ὁ αὐτὸς Ἑρμῆς, ὁ κῆρυξ τῶν θεῶν, φωνήν. Ὠνόμασε δὲ ταύτην τὴν γυναῖκα Πανδώραν, [50]) διότι πάντες οἱ οἰκοῦντες τὰ οὐράνια οἰκήματα δῶρον αὐτῇ ἐδωρήσαντο, εἰς βλάβην τοῖς ἀνδράσι τοῖς ἐφευροῦσιν. Moschop.

50) Moschopulus vocem ἀλφηστῇσι per ἐφευροῦσι reddit, male: sunt enim ἀλφησταὶ οἱ ἐφευρετικοί, οἱ εὑρεῖν τὰ πρὸς τὸν βίον σπουδάζοντες, οἱ περὶ τὸν πόρον τῶν ἐπιτηδείων πρὸς τὸν βίον ἔχοντες, ut supra probavimus; et melius Proclus mentem Hesiodi ex antiquis opinionibus suae familiae percepit. Heinsius.

72. ΖΩΣΕ ΔΕ, ΚΑΙ ΚΟΣΜΗΣΕ. Ἀντὶ τοῦ ἐπέσφιγξε 80 καὶ ἐπεκόσμησεν, ἀπὸ μεταφορᾶς τῶν ζωννυμένων. Ἐκ τούτου δὲ σημειωτέον, ὅτι καὶ Ἡσίοδος ἀλληγορικῶς ταῦτα ἔγραψεν, [g]) ὥσπερ αὐτὸς νῦν ἀλληγορῶ. [56])Ἄνωθεν γὰρ εἰπὼν διδάξαι τὴν Ἀθηνᾶν τὸν ἱστὸν τὴν Πανδώραν, [h]) νῦν λέγει ζωννύειν καὶ κοσμεῖν· καὶ ἀντὶ Ἀφροδίτης νῦν τὰς Χάριτας εἰπὼν[i]) μανιάκας χρυσείους περὶ τὸν τράχηλον ἐκείνης τιθέναι, ἔδειξε τοῦτο καταφανέστερον, ὅτι γυναῖκα τὴν ἐκ τῶν τεχνῶν τοῦ βίου ἐπικόσμησιν καὶ ἁβρότητα λέγει, ἣν φρόνησις μὲν μετὰ τὸ πῦρ συνεστήσατο, ὡραιότης δὲ καὶ χάρις [k]) εἰς τέλος ἐκόσμησαν. [57]) Αἱ Ὧραι δὲ στεφανοῦσιν, ἀλλ' οὐκ ἐν ἐαρινοῖς ἄνθεσι, τοῖς δὲ καλλίστοις καὶ ἀεὶ θάλλειν ποιοῦσι τούτων δωρήμασιν. Ἔαρ, ὀπώραις, αἷς ἔχει, καὶ μυρίοις ἄνθεσι· Θέρος, σίτοις, καὶ τοῖς λοιποῖς· Φθινόπωρον, οἴνῳ, καὶ τοῖς ἑτέροις· Χειμὼν, ἐλαίῳ, καὶ ἄλλοις δωρήμασιν, ἢ τοῖς αὐτῶν καταστήμασιν· ὁ μὲν Χειμὼν ὑγραίνων, καὶ γαλακτοποιῶν τὰ σπαρέντα· τὸ Ἔαρ δὲ, φύον ταῦτα, καὶ αὖξον, [l]) καὶ περιπνέον εὐκράτῳ ἀέρι· τὸ δὲ Θέρος ἐξικμάζον, καὶ στερεοῦν· ὁμοίως τούτοις καὶ τὸ Φθινόπωρον. ΚΑΛΛΙΚΟΜΟΥΣ δέ φησι τοὺς καιροὺς, διὰ τὸ καλλίστως κομᾷν τοὺς ἔχοντας τὰ τούτων δωρήματα. TZETZES.

73. ΧΑΡΙΤΕΣ ΤΕ ΘΕΑΙ. Χάριτές εἰσι τρεῖς· Πειθὼ, Ἀγλαΐα, καὶ Εὐφροσύνη· Ὧραι τρεῖς· Εὐνομία, Δίκη, Εἰρήνη. PROCLUS.

74. ὉΡΜΟΥΣ ΧΡΥΣΕΙΟΥΣ. Ἐπειδὴ ἡ γυνὴ κεκοσμημένη πείθει τὸν ἄνδρα πρὸς [m]) συνουσίαν τάχος. Σαπφὼ δέ φησι τὴν Πειθὼ Ἀφροδίτης θυγατέρα. Καὶ τὸ ΕΙΑΡΙΝΟΙ-

g) ὥσπερ νῦν ἀλληγοροῦμεν Trinc.

56) Ineptissime in Basiliensi erat, ἄνωθεν γὰρ εἰπὼν διδάξαι τῇ Πανδώρᾳ ἱστὸν, dissimulato praeterea τῆς Ἀθηνᾶς nomine, cum locus Hesiodi quem alludit, ita se habeat: αὐτὰρ Ἀθήνην Ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν. HEINSIUS.

h) Sic E. Antea νῦν δὲ λέγων.

i) ὅρμους χρυσοῦς E. ὅρμους χρυσίους Trinc. Mox περιτιθέναι· ἤγουν κόσμον περιτραχήλιον Trinc.

k) εἰς om. E. ἐκόσμησεν Trinc. Mox στεφανοῦσιν Trinc. E. F. Antea στεφηφοροῦσιν. Deinde ποιήμασιν ἢ δωρήμασιν. Paullo post μύροις καὶ ἄνθεσι Bas. σίτῳ Trinc. ἐλαίαις E.

57) Ita scripsimus, cum in editione quam secuti sumus esset μύροις καὶ ἄνθεσιν, cum tamen τὰ μύρα nihil ad τὴν ὀπώραν τοῦ ἦρος. Venetam itaque hic expressimus. HEINSIUS.

l) ὥσπερ πνέον Trinc. ὡς pro καὶ E. Mox στερροῦν F.

m) συνουσίαν A. Dorv. Antea συνουσίας.

ΣΙΝ, ἀπὸ τοῦ πληρεστάτου τὰ ἄνθη τὰ κατὰ καιρὸν λέγει, καὶ τὸ, ΠΑΝΤΑ ΔΕ ΟΙ ΧΡΟΙ, ἀντὶ [n]) τοῦ τὸν λοιπόν. ΚΟΣΜΟΝ δὲ τὸ ἱμάτιον λέγει, ἐπειδὴ τὸ σῶμα κοσμεῖ. ΕΦΗΡΜΟΣΕ δὲ, ἐπειδὴ μετὰ μηχανῆς. Proclus.

76. ΠΑΝΤΑ ΔΕ ΟΙ ΧΡΟΙ. Τὸ πᾶν δὲ τῶν τεχνῶν ἡ φρόνησις πρὸς ἁρμονίαν ἐῤῥύθμισεν. ΑΘΗΝΑ δὲ ἡ φρόνησις, παρὰ τὸ τὰ πάντα ἀθρεῖν καὶ βλέπειν, καὶ περὶ πάντων νοεῖν. [o]) ἢ ἀθηλά τις οὖσα, ἡ μὴ θηλάζουσα, καὶ νηπιόφρων, 81
ἀλλὰ γενναιοτάτη καὶ ἐνδρανής. Καὶ τροπῇ τοῦ λάμβδα εἰς ν̄ δωρικῶς, Ἀθηνᾶ. Ὡς τὸ ἦνθον, ἀντὶ τοῦ ἦλθον.

[58]) ΠΑΛΛΑΣ δὲ ἡ παλλομένη, καὶ εὐκίνητος· ἢ ἡ ἐν τῷ ἐκ τῆς Διὸς κεφαλῆς γεννηθῆναι πάλλουσα καὶ κινοῦσα τὰ ὅπλα, [59]) ὡπλισμένη γὰρ ἡ φρόνησις καὶ [p]) στεῤῥὰ ἐκ τοῦ νοῦ ἐξέρχεται· ἢ ἡ Πάλλαντα ἕνα τῶν Γιγάντων ἀνελοῦσα· τουτέστιν ἡ τοὺς γηΐνους καὶ ἀλαζόνας λογισμοὺς καταβάλλουσα. Καὶ ΓΛΑΥΚΩΠΙΣ δὲ ἡ φρόνησις λέγεται, διὰ τὸ καταπληκτικὸν, καὶ [q]) ἔπανδρον, καὶ τὸ σταθερόν· τὰ γὰρ [r]) γλαυκόφθαλμα τῶν ζώων καταπληκτικὰ, καὶ θυμωδέστερα· ἢ γλαυκῶπις λέγεται μεταληπτικῶς, ἡ καθαρῶς καὶ ὀρθῶς ὁρῶσα καὶ κρίνουσα τὰ πράγματα. Ὡς τοὐναντίον, ὁ θυμὸς κελαινῶπις. Tzetzes.

77. ΕΝ Δ' ΑΡΑ ΟΙ ΣΤΗΘΕΣΣΙ. [51]) Καὶ ταῦτα ἀλη-

n) τοῦτο λοιπὸν edd. τοῦ τὸ λοιπὸν A. λοιπὸν sine art. Dorv. Dedi ex em. Ruhnkenii. Mox τὰ ἱμάτια Dorv.

o) ἀθηλὴς τις οὖσα, ἢ μὴ νηπιάζουσα καὶ θηλάζουσα ἀλλὰ κ. γ. κ. ἀκμάζουσα Trinc. ἐνδρανὴς ex E. F. ἐντρανὴς Heins. καὶ τροπῇ — ἦλθον om. Trinc.

58) In Basiliensi erat πάλλουσα solummodo: addidimus ex altera καὶ κινοῦσα. Diximus jam jam quomodo magistri soleant in verborum eorum interpretatione e quibus Etymologiam suam deducunt, τῷ καὶ uti, ἀντὶ τοῦ ἤτοι, ἤγουν, vel τουτέστι. Sic supra, γυιῶν καὶ βλάπτων. Taedet me harum ineptiarum, cum ab omnibus leptologiis Grammaticis abhorreat natura mea. Sed quid agas? hic labor γραμματικῶν παισὶν insumitur, quorum mysteria aliter non celebrantur. Heinsius.

59) Duae vel tres periodi quae sequuntur, a Basiliensi aberant; quas nos supplevimus, tam quae περὶ Πάλλαντος τοῦ γηΐνου, ut illi loquuntur, erant, quam reliqua usque ad τὸ λέγεται: scriptum enim erat ὡπλισμένη γὰρ ἡ φρόνησις λέγεται, διὰ τὸ καταπληκτικόν etc. Heinsius.

p) στεῤῥὰ τοῦ νοὸς ἐξέρχεται, καὶ ἀποτίκτεται· ἢ ἡ E. νοὸς ἐξεγήγερται F.

q) ἀνδρῶδες Trinc.

r) γλαυκὰ G. H. Bas. θυμοειδέστερα Trinc.

51) Scribe, καὶ ταῦτα ἀληθῆ περὶ τοῦ ἀλόγου. Pandoram esse τὸ ἄλογον supra conclusit Proclus, idemque postea semper secutus est. Quod ut etiam hic locum

θῆ περὶ τοῦ [s]) ἀλόγου. Τὸ γὰρ ἐν αὐτῷ γνωστικὸν οὐκ ἐφάπτεται τῆς ἀληθείας, ἀλλὰ φαντασίας ἴσχει ψευδεῖς παρακρουομένας τὸν λόγον, [t]) ἥπερ αὐτὰς ἐπιτρέψειεν. Proclus.

Ibid. *ΑΡΓΕΙΦΟΝΤΗΣ.* Πῶς ἄνω μὲν Ζεὺς Ἡφαίστῳ ἐκέλευσεν ἐνθεῖναι φωνὴν, νῦν δὲ ὁ Ἑρμῆς ἐντίθησι; [v]) Ῥητέον οὖν, ὡς τὸ μὲν ἐνδιάθετον ἐκεῖνος, τὸ δὲ προφορικὸν ὁ Ἑρμῆς ἐντίθησιν. Proclus.

Ibid. *ΕΝ Δ' ΑΡΑ ΟΙ ΣΤΗΘΕΣΣΙΝ.* Ἐν μέσῳ τῶν τεχνῶν, τουτέστι πάσαις ταῖς τέχναις καὶ τοῖς τεχνίταις, [w]) αἱμυλίας καὶ ψεύδη καὶ ἀναιδείας κατέσπειρεν. Βαρύκτυπον δὲ τὴν Εἱμαρμένην λέγει, διὰ τὰς βοὰς καὶ ἀναῤῥήσεις τῶν εὐτυχούντων, καὶ τὰ ὀνείδη καὶ καταῤῥήσεις τῶν δυσκληρούντων. Tzetzes.

79. *ΕΝ Δ' ΑΡΑ ΦΩΝΗΝ.* Τοῦτό τινες περιττόν φασιν· ἤδη γὰρ [x]) ὁ Ἥφαιστος δέδωκεν αὐδὴν τῇ γυναικί· εἰ δὲ καὶ τοῦτο γνήσιον εἴη τοῦ Ἡσιόδου, τὸν Ἥφαιστον τὸ ὄργανον ἐροῦμεν ὑποστῆσαι τοῦ ἀλόγου, δι' οὗ δύναται συμφθέγγεσθαι τῷ λόγῳ, τὸν δὲ Ἑρμῆν [y]) αὐτὴν δοῦναι τὴν δύναμιν τὴν λογοειδῆ· λόγων γὰρ δεσπότης οὗτος ὁ θεός. Πανδώρην δὲ, ἢ ὅτι πάντων δῶρα ἔλαβεν, ἢ ὅτι δῶρον πάντων τῶν θεῶν. *ΑΛΦΗΣΤΗΙΣΙ* δὲ, τοῖς διανοητικοῖς ἀνδράσι καὶ εὑρετικοῖς. Proclus.

Ibid. *ΕΝ Δ' ΑΡΑ ΦΩΝΗΝ.* Ὠνοματοθέτησε δὲ τὸ πᾶν ὁ προφορικὸς λόγος Ἑρμῆς ὁ θεῶν κῆρυξ, ἤτοι ὁ διαγγέλλων καὶ μηνύων τὰ τῆς ψυχῆς κινήματα, καὶ τοῦ νοῦ. [z]) *ΟΝΟΜΗΝΕ* γὰρ, ὂ μικρὸν Ἰωνικῶς. Tzetzes.

habere possit, illa quoque quae ad τὸν ἐνδιάθετον λόγον spectant, in ea ostendit esse ἄλογα, καὶ φαντασίας, καὶ τοῦ γνωστικοῦ μὴ ἐφάπτεσθαι ἀληθείας: quia in illa est non modo τὸ τῆς ψυχῆς θῆλυ, sed etiam τὸ ψεῦδος et alia. Non est dubitandum. Possemus ex Philosophis hic ostendere rationes Procli: sed jam non vacat: pluribus enim aliis autoribus eodem tempore distrahimur, in quos notas adornamus: et Typographi urgent. Heinsius.

s) ἀλόγου et mox γνωστικὸν ex Dorv. Prius erat λόγου — γνωστικῷ.

t) ἥπερ αὐτὸς ἐπιτρέψεις A. ἐπιτρέψεις B. ἅπερ αὐτὸς ἐπιτρέψειεν Dorv. ἥπερ αὐτὰς ἐπιτρέψωσιν ἂν Trinc. Heins.

v) Ὅτι Dorv. pro ῥητέον οὖν ὡς. Mox idem τὸ δὲ λογιστικὸν κατασκευάζει pro ἐντίθησιν.

w) αἱμυλίαν et ἀναίδειαν Trinc.

x) ὁ Ἥφαιστος add. ex A. Dorv.

y) δοῦναι αὐτῇ αὐτὴν Dorv. et mox om. λόγων — ὁ θεός.

z) Ὠνόμασε δὲ γυναῖκα τὴν τῶν τ, ϛ. Trinc.

Ibid. *ΓΥΝΑΙΚΑ ΔΕ.* Καὶ τὴν τῶν τεχνῶν σύστασιν· ἢ κατ' ἐξοχὴν, τὴν γεωργικήν· ἣν καὶ Πανδώραν καλεῖ, [a]) ὅτι πᾶσαι αἱ ψυχικαὶ δυνάμεις σὺν τῷ πυρὶ ταύτην ἐτέχνωσαν, καὶ ὑπέστησαν, τὸ οἰκεῖον ἑκάστη δωρησαμένη, ὡς ἔφημεν. [b]) Ἐπὶ δὲ τῆς γεωργίας καὶ τῶν γεωπονικῶν, ὅτι πᾶσι πάντα δωρεῖται τὰ πρὸς τὸ ζῆν, ἢ ὅτι οἱ θεοὶ, ἤτοι τὰ στοιχεῖα καὶ αἱ Ὧραι, αὐτῇ δωροῦνται τὰ οἰκεῖα, ὄμβρους, θέρμην, ἀνέμους· ὑφ' ὧν [c]) ἐκτρέφονται τὰ σπέρματα. Ἐκ δὲ τοῦ εἰπεῖν, *ΟΛΥΜΠΙΑ ΔΩΜΑΤ' ΕΧΟΝΤΕΣ*, δείκνυσιν, ὅτι περὶ τῶν ψυχικῶν δυνάμεων λέγει, τῶν κατοικουσῶν περὶ τὸν ἡμέτερον Ὄλυμπον καὶ οὐρανὸν, ἤγουν τὸ λογιστικὸν ἡμῶν. [d]) *ΕΔΩΡΗΣΑΝ*, Ἀττικὴ ἀποκοπή. κἂν καὶ τοῦτο ὁ Πρόκλος Ἰωνικὸν λέγῃ. Tzetzes.

82. *ΠΗΜ' ΑΝΔΡΑΣΙΝ ΑΛΦΗΣΤΗΙΣΙ.* Βλάβην λέγει τὰς τέχνας γενέσθαι τοῖς ἐφευροῦσιν ἀνδράσιν, δι' ἅπερ ἔφην τὸ πρότερον. Tzetzes.

83. *ΑΥΤΑΡ ΕΠΕΙ ΔΟΛΟΝ.* Ἐπεὶ δὲ νεύσει τῆς Εἱμαρμένης [e]) ἀπηρτίσθησαν αἱ τέχναι· τὴν γὰρ Εἱμαρμένην πα- 83
τέρα καλεῖ, ᾧ τρόπῳ πρώην εἰρήκειν· ὁ προφορικὸς καὶ διδασκαλικὸς καὶ ἑρμηνευτικὸς λόγος Ἑρμῆς εἰς τοὺς ἐπιμηθεστέρους καὶ ὑστερογνώμονας παρέπεμψε τὸ δῶρον, τὸ τῶν τεχνῶν, καὶ τὴν τούτων [f]) διδασκαλίαν. Οἱ δὲ οὐκ ἔγνωσαν ἀποδιῶξαι τοῦτο, καὶ μὴ δέξασθαι παρὰ τῆς δεινῆς Εἱμαρμένης· [g]) ὥσπερ ἂν εἰ εἶπε καὶ προεσκέψατό τις προμηθέστερος, μή πως γένηται βλάβη πολλοῖς. Τὸ δὲ *ΠΑΡ ΖΗΝΟΣ ΟΛΥΜΠΙΟΥ*, ἀντὶ τοῦ ἐκ τῆς Εἱμαρμένης τῆς ἐξ οὐρανοῦ διδομένης, ἢ τῆς ἐκ τοῦ ἡμετέρου Ὀλύμπου καὶ οὐρανοῦ δοθείσης, ἤτοι τῆς [h]) κακοβουλίας. Ἡμεῖς γὰρ τὴν παλαιὰν ἐκείνην μετεστρέψαμεν Εἱμαρμένην, ἐξ ἡμετέρου λογισμοῦ τὸ πῦρ καὶ τὰς τέχνας εὑρόντες·

[i]) ὧν περ φανεισῶν, δυσχερῆ ζῶμεν βίον. Tzetzes.

a) τὴν μὲν ὅτι Trinc. Mox ἐτέχνωσαν E. G. H. Trinc. ὑπέστη τῶν οἰκείων F.

b) τὴν δὲ γεηπονίαν ὅτι πᾶσι π. δ. π. ζωὴν Trinc.

c) ἐκτρέφει E. ἐκτρέφουσι Trinc.

d) ἐδώρησαν ad πρότερον om. Trinc.

e) ἀπηρτήθησαν E. ἀπηρτήσθησαν Trinc. Bas. Mox ᾧ προειρήκειν τρόπῳ E. Dein τρόπος pro καὶ ἑρμηνευτικὸς λόγος F.

f) διδάσκαλον Trinc.

g) ὥσπερ ἂν εἰ εἶπε τις προμηθέστερος καὶ διεσκέψατο Trinc.

h) Ita Trinc. Al. κακοβούλου.

i) ἐξ ὧν sine φανεισῶν Trinc.

Ibid. *ΑΥΤΑΡ ΕΠΕΙ ΔΟΛΟΝ.* *Δόλος*, μηχανὴ κακὸν ἔχουσα ἀγαθῷ δοκοῦντι κεκαλυμμένον· ἀπάτη, ὅταν λάθῃ τὶς ὑπό τινος ἐπί τι παρασυρείς· πλάνη δὲ, ὅταν ἀφ' ἑαυτοῦ τὶς λάθῃ ἐκτραπεὶς τοῦ προσήκοντος, καὶ φέρηται ἀλλοκότους ὁδούς. Δοκεῖ δὲ ὁ δόλος διαφέρειν τῆς ἀπάτης τῷ, τὸν μὲν ἐπὶ τῷ βλάψαι πᾶσαν ἔχειν τὴν μηχανὴν, τὴν δὲ ἀπάτην οὐκ αὐτὸ τοῦτο προύργου ἔχειν, δηλονότι τὸ βλάψαι, εἰ καὶ ἔστιν ὅτε καὶ τούτου στοχάζεται, ἀλλὰ τὸ λαθεῖν παρασῦραι εἰς ἃ βούλεται. Καὶ ἡ μὲν ἀπάτη ἐστὶν ὅτε καὶ ἐπ' ἀγαθῷ γίνεται, ὁ δὲ δόλος οὐδέποτε. Moschop.

84. *ΕΙΣ ΕΠΙΜΗΘΕΑ.* Θεός τίς ἐστι καὶ οὗτος, λογισμοῦ μὲν αἴτιος, ἀλλ' οὐ τοῦ προνοητικοῦ τῶν ἐκβησομένων, ὡς ὁ Προμηθεὺς, ἀλλ' ἐκείνου τοῦ μόλις ἐκ τῶν ἀποβάντων πρὸς ἑαυτὸν ἐπιστρέφοντος. Ὅθεν ἐκεῖνος μὲν k) προαγορεύει μὴ δέχεσθαι τὴν γυναῖκα, δεξάμενος δὲ οὗτος τότε δὴ γινώσκει τὸ κακόν. Ἃ δὴ πάσχουσιν αἱ ψυχαί· τούτων γὰρ, αἱ μὲν l) νοερώτεραι καὶ πρὸ τοῦ παθεῖν ἀποσκευάζονται τὴν ἀλογίαν· αἱ δὲ ἀσθενέστεραι μόλις ἐκ τῆς πρὸς αὐτὴν τὴν γένεσιν κοινωνίας εἰς ἔννοιαν ἄγονται τῶν ἀπ' αὐτῆς κακῶν. Ἃ δὲ αἱ ψυχαὶ πάσχουσιν, ὁ μῦθος ἐπὶ τοὺς προνοοῦντας αὐτῶν ἀναπέμπει θεούς. *ΑΛΛΩΣ. ΕΙΣ ΕΠΙΜΗΘΕΑ.* Εἰς τοὺς ἀπρονοήτους ἀνθρώπους, ἢ εἰς, m) ἀντὶ τοῦ πρός. Ἔστι δὲ τὸ σχῆμα Ἀττικὸν, ὅμοιον τῷ,

εἰς Ἀγαμέμνονα δῖον ἄγον.

52) *ΑΡΓΕΙΦΟΝΤΗΣ* δὲ, n) ἤτοι ὁ ἐν Ἀργῷ φωνῶν· εἰρηνι-

k) προσαγορεύει A.B.Dorv.Trinc.

l) νεώτεροι Dorv. et mox ἀποσκευάσασθαι. Dein αὐτὴν καὶ τὴν B. Dorv. προνοοῦντας αὐτὸν Dorv.

m) Ita A. In edd. ἀντὶ τῆς πρό.

52) Ἀργειφόντης δὲ, ἤτοι ὁ ἐν Ἀργῷ φωνῶν· εἰρηνικὸς γὰρ ὁ θεὸς καὶ ἀψευδής] Locum hunc ita corruptum Lilius et alii adducunt. Scribe: Ἀργειφόντης δὲ ἤτοι ὁ ἐναργῶς φωνῶν· ἑρμηνευτικὸς γὰρ ὁ θεὸς καὶ ἀψευδής. τὸ ἐναργὲς enim est τὸ σαφὲς, καὶ τὸ ἀψευδές. Non possum de hac emendatione dubitare, quae inter scribendum in animum venit, nisi quisquam certius quid attulerit: apud me enim semper meliori est locus. Heinsius.

n) Sequentia mutila esse vidit Hemsterhusius ad Lucian. T. I. p. 489. hunc in modum supplens et emendans: "Ἀργειφόντης δὲ ἤτοι ὁ ἀργὸς φόνου, ἢ ὁ ἀργῶς φαίνων· (nisi quis praeferendum censeat ἐναργῶς φωνῶν) εἰρηνικὸς γὰρ ὁ θεὸς καὶ ἀψευδής· οἱ δὲ νεώτεροι, ὅτι Ἄργον ἐφόνευσε τὸν πανόπτην. Διάκτορον δὲ Νέσσος ὁ Χῖος (hic tamen aliae vocis διάκτορος proprietates forte desunt, quibus ultimo demum loco fuerit adjectum Νέσσος δὲ ὁ Χῖος etc.) ἀπὸ τοῦ διάγειν τὰς τῶν τελευτώ-

κὸς γὰρ ὁ θεὸς καὶ ἀψευδής· οἱ δὲ νεώτεροι, ὅτι Ἄργον ἐφό- 84
νευσε τὸν πανόπτην· Νέσσος δὲ ὁ Χῖος, ἀπὸ τοῦ διάγειν τὰς τῶν τελευτώντων ψυχάς. Τὸ δὲ ΑΜΗΧΑΝΟΝ, ἀντὶ τοῦ ἀμηχάνως, ἐπιῤῥηματικῶς. PROCLUS.

85 ΘΕΩΝ ΤΑΧΥΝ ΑΓΓΕΛΟΝ. Οἰκείως ὁ Ἑρμῆς εἴληπται συναγωγεὺς τῶν δύο ψυχῶν, τῆς ἀλόγου καὶ λογικῆς, εἰς τὴν πρὸς τὸ σῶμα κοινωνίαν, μέσος γάρ °) ἐστιν ὡς ἄγγελος. Ὁ γὰρ ἄγγελος δύο τινῶν ἐστιν, ἄλλου πρὸς ἄλλον ἀγγέλλων διάνοιαν· καὶ τὸ ἄλογον δὲ, μέσον τοῦ τε σώματός ἐστι καὶ τῆς λογικῆς ψυχῆς. Στικτέον δὲ εἰς τὸ ἄγοντα, οὐ γὰρ πάντων τῶν θεῶν ἦν τὸ δῶρον, ἀλλὰ τοῦ Διός. PROCLUS.

Ibid. ΟΥΔ' ΕΠΙΜΗΘΕΥΣ. Ἀρχηγὸς γὰρ τοῦ τετάρτου γένους τοῦ ἡρωϊκοῦ, Δευκαλίων, ἐφ' οὗ ὁ κατακλυσμὸς, γαμεῖ Πύῤῥαν τὴν Πανδώρας καὶ Ἐπιμηθέως. Καὶ οὗτος δὲ ὁ

των ψυχάς." Eustathius ad Odyss. E. p. 1522, 52—206, 14. Ἀλληγορικῶς λάρῳ εἴκασται ὁ Ἑρμῆς διά τε τὸ λευκὸν καὶ ὡς εἰπεῖν ἐναργὲς ἀφ' οὗ καὶ ἀργειφόντης καλεῖται ὡς λόγος ἐναργῶς φαίνων τὰ κατὰ ψυχήν. Etymologus Parisiensis, olim Sorbonicus, in nonnullis Gudiano melior; Ἀργειφόντης, ὁ Ἑρμῆς παρ' Ὁμήρῳ, καὶ παρὰ πολλοῖς· παρὰ δὲ Σοφοκλεῖ καὶ ἐπὶ τοῦ Ἀπόλλωνος, καὶ παρὰ Παρθενίῳ καὶ ἐπὶ τοῦ Τηλέφου· ἢ παρὰ τὸ Ἄργον τὸν πολυόμματον κύνα πεφονεῦσθαι ὑπ' αὐτοῦ, τὸν Ἰοῦς φύλακα· ἢ παρὰ τὸ ἀργὸς, ὁ ταχὺς ἄγγελος· ἢ ὁ ἐναργεῖς τὰς φαντασίας ἀποτελῶν, ὀνειρόπομπος γάρ. ἢ ὅτι καταργεῖ τοὺς φόνους· εἰρηνικὸς γὰρ ὁ θεός· ἢ ὁ ἐν Ἄργει πρῶτον πεφηνώς· ἢ ὅτι ὄφιν τὸν Πύθωνα ἀνεῖλεν· κατὰ γὰρ τὴν Ἀργείων γλῶσσαν ὁ ὄφις ἀργὴν καλεῖται, ἵν' ᾖ ὁ ὀφιοκτόνος, καὶ εἶδος θηρίου οὕτω καλεῖται ἀργη, καὶ οἱ Κένταυροι οὕτως ὑπό τινων προσηγορεύθησαν:— Ἀργειφόντη, ἀργῷ καὶ καθαρῷ φόνου:— Ἀργειφόντης, παρὰ τὸ ἐναργεῖς τὰς φαντασίας ποιεῖν, ὥς φησιν Ἀλεξίων, καὶ Ἀρχίας, καὶ Ἀρίσταρχος· ἢ ἀρηφόντης, (ἀριφ) ὁ μεγάλως φανταζόμενος τοῖς ὀνείροις, ὡς Δίδυμος καὶ Τρύφων· ἢ παρὰ τὸ ἀργὸν συγκείμενον τὸ λευκὸν, ἀργοφόντης τις ὤν· ἢ ὁ ἀργὸς φόνου καὶ εἰρηνικός· ἢ ὁ φονεύσας Ἄργον τὸν πολυόμματον κύνα:—In alio MS. Paris. Ἀργειφόντης, παρὰ τὸ ἐναργεῖς τὰς φαντασίας ποιεῖν. Οὕτως εὗρον ἐν ὑπομνήσει Ἡσιόδου. Οἱ δὲ διὰ τοῦ ι γράφοντες φασὶ παρὰ τὸ αρι τὸ ἐπιτατικὸν μόριον, ὡς ἀρίζηλος, ἀρίδηλος, ἀριφόντης, ὅμως φανταζόμενος (l. ὁ μεγάλως φανταζόμενος) διὰ τοὺς ὀνείρους, καὶ πλεονασμῷ τοῦ γ. ἢ παρὰ τὸ ἀργὸν τὸ λευκὸν, ἀργοφόντης τίς ὤν, καὶ τροπῇ τοῦ ο εἰς ι ἀργειφόντης, ὡς ἀργίποδες κύνες. Δῆλον δὲ ὡς εἴρηται, τὸ ἀργὸν ἐπὶ τοῦ ταχέος καὶ ἐπὶ τοῦ λευκοῦ. Νῦν οὖν ἐπὶ τοῦ λευκοῦ κεῖται, ἵν' ᾖ ἐπὶ τοῦ ἐναργεῖς, τουτέστι προδήλους, τὰς φαντασίας ἐπιπέμπων· ἢ ὁ ἀργὸς φόνου· εἰρηνικὸς γὰρ ὁ θεὸς, ὅπερ Ὅμηρος φησὶ διὰ τῆς Ἴριδος γίνονται διαγγελίαι ἐν τοῖς πολέμοις, καὶ οὐχὶ διὰ τοῦ Ἑρμοῦ:—Confer cum his Eustathium ad Il. B. pp. 182, 183=138.

o) ἐστι παῖς ἄγγελος· ἄλλο δύο τινῶν A. B.

85 μῦθος ἐπιτηδειότατος πρὸς ἀποτροπὴν τοῦ ἀδελφοῦ, ὅπως μὴ σχολάζοι πόρναις· ἦν γὰρ περὶ αὐτὰς ἐπτοημένος. Ὅθεν φησὶ,

Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω. PROCLUS.

89. ὍΤΕ ΔΗ ΚΑΚΟΝ. Φησὶν, ὅτι Προμηθεὺς τὸν τῶν κακῶν πίθον παρὰ τῶν Σατύρων λαβὼν, καὶ παραθέμενος τῷ Ἐπιμηθεῖ, παρήγγειλε τὴν Πανδώραν μὴ δέξασθαι. Ὁ δὲ, ὅτε τὸ κακὸν ἔσχε παρ' αὐτῷ, τότε ἐνόησε τί αὐτῷ ἐπέμφθη· διὰ τοῦτο καὶ Ἐπιμηθεύς. Ἔστι δὲ ὅμοιον τῷ τοῦ Ὁμήρου,

Ῥεχθὲν δέ τε νήπιος ἔγνω. PROCLUS.

Ibid. ΑΥΤΑΡ Ὁ ΔΕΞΑΜΕΝΟΣ. Οἱ δὲ ἐπιμηθέστεροι καὶ ὑστερογνώμονες δεξάμενοι τὰς τέχνας, ὁπότε ἐπήλθοσαν ἡμῖν αἱ περιστάσεις, καὶ αἱ συμφοραὶ, τότε ἐπέγνωμεν. TZETZES.

Ibid. ΔΕΞΑΜΕΝΟΣ. Τὸ ΝΟΣ κοινὴ συλλαβὴ, καὶ ἔστι μακρόν. TZETZES.

90. ΠΡΙΝ ΜΕΝ ΓΑΡ. Οὐ χρόνῳ, τὸ πρὶν, ἀλλὰ κατὰ τὴν τάξιν μόνον τῶν πραγμάτων νοητέον. [p]) Σημαίνει γὰρ, ὅτι ἄνευ μὲν τοῦ ἀλόγου ζῶσιν αἱ ψυχαὶ πάντων ἔξω κακῶν καὶ ταλαιπωρίας· διὰ δὲ τὸ ἄλογον ὑποπεπτώκασιν καὶ τοῖς ἀπὸ τῆς Εἱμαρμένης πόνοις, ἵνα φύγωσι τὴν μετ' αὐτοῦ ζωήν· [q]) ἃς δὴ κῆρας ὀνομάζει καὶ αὐτὸς ὡς Ὅμηρος. PROCLUS.

Ibid. [r]) ΧΘΟΝΙ. Τῇ γῇ· ἐκ τοῦ χῶ, τὸ χωρῶ, χὼν, καὶ χθὼν, ἡ πάντα χωροῦσα. TZETZES.

Ibid. ΠΡΙΝ ΜΕΝ ΓΑΡ. Πρὶν ἀντὶ τοῦ πρότερον μετὰ παρεληλυθότος, καὶ πρὶν ἀντὶ τοῦ πρὸ τοῦ, μετὰ ἀπαρεμφάτου, οἷον, πρὶν τόδε γενέσθαι, ἐγένετο τόδε. Ἔστι δ' ὅτε δύο κεῖται πρὶν ἐν τῷ λόγῳ, ἔνθα τὸ ἓν ἐστιν ἐξ ἀνάγκης ἀντὶ τοῦ πρότερον· τὸ δὲ δεύτερον ἀντὶ τοῦ πρὸ τοῦ. MOSCHOP.

Ibid. ΖΩΕΣΚΟΝ. Ἤγουν ἔζων, τὴν ζωὴν διήνυον. Ζῶ κοινὸν, ἀφ' οὗ ζώω παρὰ ποιηταῖς· ὡς ὑπνώω, πλώω, ὁρόω· ἀφ' οὗ πάλιν ζωέσκω, κατ' ἀκολουθίαν τοῦ ἀναλίσκω, τιτρώσκω, κυΐσκω. MOSCHOP.

91. [s]) ΝΟΣΦΙΝ ΑΤΕΡ. Χωρὶς. Τοῦτο δὲ τὸ σχῆμα ποιητικῶς μὲν ἐκ παραλλήλου καλεῖται, ῥητορικῶς δὲ περιγραφή. TZETZES.

p) Σημειῶσαι Dorv. omisso νοητέον. et mox κακοῦ.

q) οὓς δὴ κήρυκας Dorv.

r) Deest hoc Scholion Trinc.

s) Desunt ab h. l. ad ἐπήγαγον τοῖς ἀνθρώποις Trinc.

92. *ΝΟΥΣΩΝ Τ' ΑΡΓΑΛΕΩΝ.* Ἀπὸ κοινοῦ τὸ, νόσφι τε ἀργαλέων νούσων ζώεσκον. Tzetzes.

Ibid. *ΑΙΤ' ΑΝΔΡΑΣΙ.* Αἵ τινες θάνατον ἐπήγαγον τοῖς ἀνθρώποις. Ἀπορία. Πῶς δὲ [t]) τληπαθέστατον μᾶλλον καὶ οἰκτρὸν βίον ζώντων ἐκείνων τῶν πρὶν, οὗτος φησὶ ζῆν ἐκείνους χωρὶς πόνων καὶ νούσων; Λύσις. Τληπαθῶς μὲν καὶ ἐπιπόνως ἔζων, καὶ νοσερῶς, ἀλλ' οὐκ ᾔδεισαν ὃ πάσχουσιν. Ἀλλ' ἡ γυνὴ, ἤγουν τὸ μαλθακὸν τὸ ἐκ τῆς ἐφευρέσεως τῶν 86 τεχνῶν, καὶ αἱ τούτων ἁβρότητες, ἔδειξαν ἡμῖν τοιουτοτρόπως τάς τε νόσους, καὶ τὰ σκληρά. Πρώην μὲν γὰρ οὔπω ἦν κλίνη καὶ στρωμνὴ μαλακὴ, οὐδὲ τάπητες, οὐδὲ χλαῖναι τῶν παχειῶν καὶ λασίων, οὐδὲ τοιοῦτον οὐδέν. Καὶ ἡ σκληρότης ἡ τότε, καὶ τὸ ψυχρὸν κοινὸν ὂν τοῖς πᾶσι, καὶ μηδέποτε μετασχὸν [v]) θέρμης, ἢ μαλακότητος, [65]) ὁμοίως καὶ τὰ λοιπὰ οὐκ ἐδόκουν [w]) ἀλγεινὰ καὶ ἐπίπονα· ἐπεὶ δὲ τὸ ἁβρὸν εὑρέθη ταῖς τέχναις, καὶ στρωμναὶ μαλακαὶ καὶ χλαῖναι, καὶ τὰ λοιπὰ, [x]) πεπτωκότες ἐπὶ στιβάδος, ἢ λασίαν ἐνδυσάμενοι χλαῖναν, ἢ τραφέντες ἁβρῶς. Ὕστερον δὲ σκληροκοιτήσαντες, ἢ γυμνητεύσαντες, ἢ [y]) ἀσιτήσαντες, ἐπέγνωμεν οὕτω τὰ δυσχερῆ, ὥσπερ ἐν πίθῳ καὶ ἀφανεῖ περιλήψει ὄντα πρὶν [z]) κεκρυμμένα. Φανερωθέντα δὲ καὶ ἐκχυθέντα τότε τῇ γυναικὶ, ἤγουν τῇ ἐκ τῶν τεχνῶν γενομένῃ τρυφηλῇ καὶ ἁβρᾷ βιοτῇ, καὶ πρὸς [a]) αὐτὴν ἡμᾶς ἐφελκούσῃ, δίκην γυναικὸς ὡραίας τε καὶ θυμήρους. Tzetzes.

94. *ΑΛΛΑ ΓΥΝΗ.* Ἔστι μὲν ὁ πίθος, ἡ μία δύναμις τῆς Εἱμαρμένης, ἡ πάντων τῶν ἀπονεμομένων ταῖς [b]) πεσούσαις εἰς τὴν γένεσιν ψυχαῖς χωρητικὴ, καλλιόνων ἢ χειρόνων, δι' ἃ εὔμοιροί τινες εἰσὶν ἢ κακόμοιροι. Περιέχει γὰρ οὗτος τοὺς παρ' Ὁμήρῳ δύο πίθους, τοὺς τῶν κηρῶν πλήρεις.

t) τληπαθέστερον E.

v) τύχον om. h. l. cum Trinc.

65) In Basiliensi et MS. erat ὁμοίως καὶ τὰ λοιπὰ οὐκ ἐδόκουν ἀλγηρὰ, οὐδ' ἐπιπεπτωκότες: quae verba ita edenda fuerant: Ὁμοίως καὶ τὰ λοιπὰ οὐκ ἐδόκουν ἀλγηρὰ . . . . ἐπιπεπτωκότες, etc. quae deerant ex altero exemplari supplevimus. Heinsius.

w) Sic E. F. Trinc. ἀλγηρὰ Heins. καὶ ἐπίπονα ad λοιπὰ om. Bas.

x) οὐδὲ ἐπιπεπτωκότες Bas. στοιβάδος Trinc.

y) ἀσιτίσαντες E.

z) ἐγκρυμμένα Bas. Mox ἐκχυθέντα τω τότε Trinc. Bas.

a) ἑαυτοὺς Bas.

b) Ita Dorv. Antea ποιούσαις. ἀπιούσαις conjecit Wyttenbach. ad Plutarch. de S. N. V. p. 35. et δωρητικὴ pro χωρητικὴ. Mox χειρειόνων A. χερειόνων B. παθῶν addit Dorv.

Διόπερ ἦν τούτῳ καὶ τὰ ἀγαθὰ, καὶ ἐλπὶς ἐν αὐτῷ μόνη, τοῖς δυστυχοῦσι παραμυθίαν φέρουσα διὰ τὴν τῶν ἀμεινόνων προσδοκίαν καὶ τὴν μεταβολὴν τῶν παρόντων κακῶν. Ἀναπετάννυσι δὲ ἡ γυνὴ τὸν πίθον, ὡς ἐκφαίνουσα τὰς κῆρας ταῖς ψυχαῖς, ὧν ἐστι [c]) παρεκτικὴ, καὶ ἀναγκαίας δεικνῦσα δι' ἑαυτὴν ἠλογημέναις αὐταῖς. Τούτων δὲ σωφρονιζουσῶν ἀπὸ τῆς πτώσεως καὶ ἐξανισταςῶν ἀπ' αὐτῆς. *ΑΛΛΩΣ.* Ποίου πίθου; τί γὰρ περὶ πίθου εἶπε; φαίνεται οὖν νεώτερος Ἡσίοδος Ὁμήρου. [60]) Κακῶς δὲ εἶπεν ΕΝ ΑΡΡΗΚΤΟΙΣΙ ΔΟΜΟΙΣΙΝ, ἐπὶ τοῦ πίθου δόμον εἰπών. Σέλευκος δὲ γράφει ΠΙΘΟΙΣΙ.
87 Πίθον δὲ τὰ ἐν οὐρανῷ. Οὐ πάντα δὲ τελειοῦνται τὰ τῆς ἐλπίδος· ὅθεν Θουκυδίδης κινδύνου παραμυθίαν εἶπε τὴν ἐλπίδα, καὶ Ὅμηρος,

ἐλπωρὴ ἔπειτα φίλους τ' ἰδέειν,

καὶ,

Ἔλπομαι εὐχόμενος Διΐ τ' ἄλλοισί τε θεοῖσιν. PROCLUS.

95. *ΕΣΚΕΔΑΣ'.* [d]) Ἀντὶ τοῦ ἡ ἐκ τῶν τεχνῶν τρυφηλὴ βιοτὴ ἐσκέδασεν καὶ ἐσκόρπισεν, ἤγουν εἰς φῶς ἐξήγαγε, τὰ πρὶν ἀγνοούμενα δυσχερῆ, καὶ γνωστὰ καὶ κατάδηλα πᾶσιν ἐποίησε.

[e]) Πίθους δ' ὁ Πρόκλος ψευσμάτων πεπλησμένους,
Πάλιν παράγει, καὶ σατύρους, καὶ κρότους. TZETZES.

96. *ΜΟΥΝΗ Δ' ΑΥΤΟΘΙ ΕΛΠΙΣ.* Πάντα μὲν [f]) ἐξήχθη καὶ πεφανέρωται τὰ πρὶν ἀγνοούμενα δυσχερῆ. Ἐλπὶς δὲ μόνη ἀφανὴς καὶ ἄδηλος, μένει [g]) ἐν τῷ πίθῳ, ᾧπερ εἰρήκειμεν, εὐκληρίας καὶ δυσκληρίας· ἄδηλον γὰρ τοῦτο· ἀλλ' ὅμως ἐλπίσι χρηστοτέραις τρεφόμεθα, ὥς φησι καὶ Θεόκριτος·

Ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες. TZETZES.

Ibid. *ΑΡΡΗΚΤΟΙΣΙ ΔΟΜΟΙΣΙ.* [h]) Μεταφορικῶς εἶπεν,

c) περιεκτικὴ Dorv. καὶ ἀναγκαίας addidi ex A. Dorv. Dubito tamen an copula in A. exstet. ἠλογημέναις γὰρ αὐταῖς. Dorv. Mox τούτων δὴ φροντιζουσῶν — ἐξανιστασῶν Dorv. ἐξανιστουσῶν edd. Locus Thucydidis est V. 103, ubi v. Wassium.

60) Causam non intellexit cur ita locutus sit poëta; de qua vide in Notis nostris. HEINSIUS.

d) ἡ ἐκ τῶν τεχνῶν δηλονότι Trinc.

e) Duos versus om. Trinc. E. πίθους F. G. H. λίθους Bas. Heins.

f) ἐξήχθη τὰ δυσχερῆ καὶ πεφανέρωται Trinc.

g) ἐν ᾧ εἰρήκειμεν πίθῳ Trinc.

h) Μεταφραστικῶς Trinc. Mox συγκρυβαῖς om. E. et in fin. ἀποβήσεται Trinc. συμβήσεται F.

ἀντὶ τοῦ ἰσχυραῖς συγκρυβαῖς. Τίς γὰρ οἶδεν, ὅπῃ τὰ τῆς ἡμῶν ἐλπίδος προβήσεται. Tzetzes.

97. ΕΝΔΟΝ ΕΜΙΜΝΕ ΠΙΘΟΥ. Ὥς φησιν, ἔμεινεν ἐν τῷ πίθῳ ἡ Ἐλπίς· [i]) ἔστι γὰρ τοῦτο ἐν ἀνθρώποις. Τοῦτο δὲ καὶ Κόμανος ὁ ἀρχιοινοχόος τοῦ βασιλέως προὔτεινε. Φησὶν οὖν Ἀρίσταρχος, ὅτι ἡ μὲν τῶν κακῶν ἔμεινεν, ἡ δὲ τῶν ἀγαθῶν ἐξῆλθεν· ὅθεν [k]) ἀκυρολογοῦμεν λέγοντες ἐλπίζειν κακά. Ἡ γὰρ ἐλπὶς κακῶν, οὐ θεῶν. Ὁ δὲ Ἡσίοδος ἀκύρως ἐπὶ κακῶν εἶπεν. ΑΛΛΩΣ. ΕΞΕΠΤΗ. Ὡς ἂν τὰ κακὰ ἐξελθόντα ἐκ τοῦ πίθου· ταῦτα δὲ λέγει αὐτῷ παραινῶν αὐτὸν ἀπέχεσθαι τῆς [l]) ἀδικίας, καὶ ἀντιλαμβάνεσθαι τῆς ἀληθείας, καὶ μιμεῖσθαι τοὺς τότε ἀνθρώπους μᾶλλον, [m]) καὶ μὴ τοὺς μετὰ ταῦτα γεννωμένους. Οἰκείως δὲ ὁ πίθος εἰσάγεται διὰ τὴν πειθὼ τὴν ἀπὸ τῶν γυναικῶν, ἀγαθῶν μὲν κενὸς, ἐλπίδας δὲ μόνας ἔχων κενάς. ΑΛΛΩΣ. ΠΩΜΑ ΠΙΘΟΙΟ. Πῶς [n]) ἐλθοῦσα ἐπὶ κακοποιΐᾳ ἐπέσχεν ὥσπερ φειδομένη; Ῥητέον [o]) οὖν, ὅτι ὥσπερ νομίσασα πάντα ἐξεληλυθέναι τὰ κακὰ τὸ πῶμα τῷ πίθῳ ἐπέβαλεν. Ἔνιοι δὲ ἀπ' αὐτοῦ τοῦ πώματος 88 ἐκδέχονται· ὅτι δι' [p]) ἑαυτοῦ συγκλεισθὲν ἐπέσχε τὴν ἐλπίδα. Τὸ δὲ ἀλάληται, ἀπὸ τοῦ ἀλῶ, ἄλημι, ἄλημαι, ἐνεστὼς παθητικὸς Αἰολικὸς, ὡς δίζημαι καὶ ἀκάχημαι· καὶ κατὰ ἀναδιπλασιασμὸν, ἀλήλημαι· καὶ κατὰ συστολὴν Αἰολικὴν, ἀλάλημαι. Proclus.

Ibid. ΘΥΡΑΖΕ. [q]) Θύραζε κυρίως, τὸ ἔξω τῆς θύρας· νῦν δὲ καταχρηστικῶς, καὶ τροπικωτέρως, τὸ ἁπλῶς ἔξω, κἂν ὁ Πρόκλος ἐν τοῖς τοιούτοις ψευδῶς αἰτιώμενος, καταφορικός ἐστι καὶ ἀφόρητος. Tzetzes.

92. [r]) ΑΡΓΑΛΕΟΝ. Ἐκ τοῦ ἔργου, τὸ δυσχερὲς, ἢ ἐκ τοῦ ἄλγος ἐμποιεῖν, ἀλγαλέον, καὶ ἀργαλέον. Tzetzes.

98. ΕΞΕΠΤΗ. Ἐξεπετάσθη. Μεταφορικὴ δὲ καὶ αὕτη ἡ λέξις, ἀντὶ τοῦ ἐξῆλθε. Tzetzes.

i) ἔνι Dorv. Mox δὲ καὶ om. Dorv.
k) ἀκυροῦμεν B. ἐλπίζει Dorv.
l) κακίας Dorv.
m) δὲ καὶ Dorv. pro καὶ μή. γενομένους Dorv.
n) Ita Dorv. ἐθέλουσα antea.
o) οὖν ὅτι et mox το — ἐπέβαλεν om. Dorv.
p) ἑαυτοὺς Dorv.
q) Deest hoc Schol. Trinc. E. καταφρονητικὸς pro καταφορικὸς G.
r) Deest Trinc. usque ad ἐξῆλθε.

Ibid. [64]) *ΠΡΟΣΘΕΝ ΓΑΡ* [s]) *ΕΠΕΜΒΑΛΕ ΠΩΜΑ.* Πρὸ γὰρ τοῦ ἐξελθεῖν τὴν Ἐλπίδα ἐκ τῆς ἀφανοῦς συνοχῆς τε καὶ περιλήψεως, τῇ τῆς Εἱμαρμένης βουλῇ ἐπέβαλε τὸ πῶμα, ἤγουν ἀφανῆ εἴασε ταύτην μένειν ἡ πάντα τὰ δυσχερῆ γνωρίσασα ἡμῖν τεχνουργία, τουτέστιν οὐκ ἠδυνήθη φανερὰν καὶ τὴν ἐλπίδα ποιῆσαι, εἱμαρμένῃ ἀφύκτῳ τινί. ἢ τὸ πῶμα μόνον ἤγουν ἡ ἀδηλία, [t]) ἐπέλαβε, καὶ ἐκράτησεν αὐτὴν βουλῇ τῆς Εἱμαρμένης. [v]) Ἀλλὰ Δία καὶ νεφεληγερέτην ὄπισθεν εἶπον, ὅτι τὴν Εἱμαρμένην καλεῖ. *ΑΙΓΙΟΧΟΝ* δὲ αὐτὴν λέγει, διὰ τὸ καταιγίζειν καὶ καταβάλλειν τοὺς δυσκληροῦντας, πολλῷ σφοδρότερον τῶν ἐξ οὐρανοῦ καταιγίδων. Tzetzes.

Ibid. *ΠΡΟΣΘΕΝ ΓΑΡ ΕΠΕΜΒΑΛΕ ΠΩΜΑ ΠΙΘΟΙΟ.* Ἀποροῦσι πῶς ἐλθοῦσα ἐπὶ κακοποιΐᾳ, ἐπέσχεν ὥσπερ φειδομένη; εἶτα πάλιν λύουσιν· ὅτι νομίσασα πάντα ἐξεληλυθέναι τὰ κακὰ το πῶμα ἐπέβαλε τῷ πίθῳ. Ἔνιοι δὲ λέγουσι λύοντες, ὅτι δι' ἑαυτοῦ τὸ πῶμα συγκλεισθὲν ἐπέσχεν τὴν ἐλπίδα. Δοκοῦσι δὲ καὶ ἑκάτεροι μὴ τῷ [w]) ἐπαγομένῳ προσχεῖν τὸν νοῦν· ἐπάγεται γὰρ ὅτι τῇ βουλῇ τοῦ Διὸς τοῦτο ἐγένετο. Εἰ οὖν τῇ βουλῇ τοῦ Διὸς ἐγένετο, ὁποτέρως ἂν ἐγένετο, ἡ αὐτὴ πάλιν ἀπορία πάντως μένει. Πῶς γὰρ ὁ Ζεὺς κακοποιήσειν βου-
89 λόμενος, τοῦτο πάλιν ὥσπερ φειδόμενος ἐβουλεύσατο; Ἴσως οὖν οὐ καλῶς ἠπορήθη τοῦτο. Πόθεν γὰρ δείκνυται ἡ ἀνάγκη αὕτη; ὅτι ἠθέλησεν ἡ Πανδώρα καὶ ὁ Ζεὺς οὕτω κακοποιήσειν τοὺς ἀνθρώπους, ὡς μηδὲ ἴχνος παραμυθίας αὐτοῖς ἐάσειν. Moschop.

100. *ΑΛΛΑ ΔΕ ΜΥΡΙΑ ΛΥΓΡΑ.* Ἡ ἐλπὶς μόνη ἀφανὴς ἔμεινε· [65]) ἄλλα δὲ πολλὰ χαλεπὰ, ἢ [x]) μυρία, καὶ θρηνη-

64) Tota glossa quae hic sequitur, nimirum, πρὸ γὰρ τοῦ ἐξελθεῖν et reliqua ignorabat MS. et Basiliensis: nam altera ex altera expressa erat: verba enim Hesiodi statim illa excipiebant, ἤγουν ἀφανῆ εἴασε ταύτην μένειν. Nos ex Veneta supplevimus. Heinsius.

s) ἐπέλαβε Bas. ἐπέβαλε Trinc. et paullo post ἐπέβαλε καὶ ἐπεβράτησεν αὐτῆς. πρὸ γὰρ ad πῶμα desunt Bas. E.

t) Ἐπέλλαβε lectio est MS. Paris. cujus variantes exhibui T. II. p. vij. Videntur antiquitus fuisse duae lectiones ἐπέλλαβε et ἐπέμβαλε, quas, ut poterant, explicare conati sunt Scholiastae.

v) ἀλλὰ — καλεῖ om. E, Trinc. Αἰγίοχον δὲ διὰ τὴν εἱμαρμένην Trinc.

w) Sic B. ἐπαρομένῳ Trinc. errore typothetae. ἀπορουμένῳ Heinsius e prava conjectura.

65) Fortasse, ἄλλα δὲ πολλὰ χαλεπὰ ἢ μυρία λυγρὰ, καὶ θρηνητικά. Nec dubito, facile enim nobis hic praeire potest Hesiodus. Heinsius.

x) ἢ μ. κ. θ. om. Trinc.

τικὰ κατ᾽ ἀνθρώπους πλανᾶται. Γέμει γὰρ πολέμων ἡ γῆ, πειρατῶν ἡ θάλασσα· νόσοι δὲ φανεραί τε καὶ y) ἀπρόοπτοι σιγῇ καὶ ἀγνώστως z) ἐπέρχονται. Τὰ ἑξῆς δῆλα. Tzetzes.

Ibid. *ΑΛΑΛΗΤΑΙ.* Ἀλῶμαι τὸ πλανῶμαι, καὶ προσθήκῃ συλλαβῆς ὡς ἐν τῷ ὀπιπτεύω, ἀλαλῶμαι. ἀφ᾽ οὗ ἀλάλημαι παθητικὸς παρακείμενος, ὡς πεπλάνημαι· τὸ τρίτον ἀλάληται. Πλανᾶσθαι δὲ λέγεται, τὰ μὴ τεταγμένην ὁδὸν ἐρχόμενα· ἀλλ᾽ ἐνίοτε μὲν ταύτην, ἐνίοτε δὲ ταύτην. Moschop.

102. *ΝΟΥΣΟΙ Δ᾽ ΑΝΘΡΩΠΟΙΣΙΝ.* Τὰς νόσους αὐτομάτως φοιτᾷν σιγώσας εἶπεν, ὡς ἀπὸ τοῦ παντὸς ἡμῖν προσπιπτούσας a) κατὰ τὰς τῆς Εἱμαρμένης περιόδους ἐξαίφνης. Ἐσωματοποίησε δὲ αὐτὰς προσιούσας ἀφώνους ποιήσας, ἐνδεικνύμενος, ὅτι καὶ τούτων ἔφοροι δαίμονές εἰσιν· οἵ τινες δρῶσιν ἀφανῶς ἐπιπέμποντες τὰς b) νόσους τὰς ὑπὸ τὴν Εἱμαρμένην τεταγμένας, καὶ τὰς ἐν τῷ πίθῳ κῆρας διασπείροντες. Καὶ τοῦτό ἐστι τὸ ἀφελεῖν αὐτῶν τὸν Δία τὴν φωνὴν, τὸ τοὺς ἐφόρους αὐτῶν δαίμονας κατ᾽ οὐσίαν τούτων εἶναι c) ποιητικοὺς, αὐτῷ τῷ εἶναι δρῶντας ἐφ᾽ οἷς ἐτάχθησαν. ΑΛΛΩΣ. *ΑΥΤΟΜΑΤΟΙ* δὲ, ἤγουν αὐθαίρετοι· λεληθότως γὰρ ἐπέρχεται τὰ κακά. Proclus.

104. *ΕΠΕΙ ΦΩΝΗΝ.* d) Ἀθετεῖται δὲ ὁ στίχος ὁ λέγων, ὅτι ἄφωνοι αἱ νόσοι. Ἀγνοοῦσι δὲ ὅτι σωματοποιεῖ e) ταύτας, ὡς Ὅμηρος Ἔριν καὶ Δεῖμον. Θέλει δ᾽ ἐμφανίσαι ὅτι καὶ αἱ νόσοι λεληθότως ἐπιφέρονται τὰ σημεῖα τῶν κακῶν. Proclus.

105. *ΔΙΟΣ ΝΟΟΝ ΕΞΑΛΕΑΣΘΑΙ.* Οὐ δυνατόν ἐστι **τοῦ Διὸς νοῦν ἐκκλῖναι, ὅ ἐστι τὴν Εἱμαρμένην· ταύτην γὰρ οἱ Στωϊκοὶ Διὸς νοῦν προσηγορεύκασι. Proclus.**

Ibid. f) ΟΥΤΩΣ ΟΥΤΙ ΠΟΥ ΕΣΤΙ. Τὸ σχῆμα ἐπιλογικὸν καὶ συμπερασματικώτατον· κατὰ δὲ ποιητὰς, καλεῖται ἀπόθεσις. ΟΥΤΩΣ ΟΥΤΙ ΠΗ ΕΣΤΙΝ. Οὕτως, ἐπείπερ ὁ μὲν ἁπλοῦς καὶ ἀπέριττος οὐκέτι πολιτεύεται βίος, ἀλλ᾽ εἱμαρ-

y) ἀφανεῖς Trinc.
z) ἐπέρχονται ad fin. om. Bas. E.
a) κατὰ τὰς εἱμαρμένας Dorv.
b) νόσους τὰς om. Heinsius.
c) ποιηταὶ αὐτῷ τὸ Dorv. αὐτῶν. αὐτῷ τῷ Trinc. Heins. αὐτῷ om. A. B.

d) Sic A. Dorv. Antea, ἀθετεῖται οὗτος ὁ στίχος ὅτι.
e) ταύτας om. A. Dorv. Mox iidem ὅτι αἱ νόσοι. In extr. προσηγόρευσαν Dorv.
f) Deest hoc Scholion Trinc.

μένῃ σκληρᾷ τινὶ, τὸ τῶν τεχνῶν ἐφάνη πολυσχιδὲς, καὶ πολύμοχθον, οὐκ ἔστιν ἐκφυγεῖν τὸν νοῦν τῆς Εἱμαρμένης· περιφραστικῶς αὐτὴν τὴν Εἱμαρμένην τὴν ἡμῖν τὸ ζῆν προσκυρώσασαν στερεαῖς ἀνάγκαις καὶ πόνοις. Λείπεται ἄρα, ὦ Πέρση, μὴ ἀργοὺς ἡμᾶς [g]) καθιδρυθῆναι, ἀλλὰ παντοίως μοχθεῖν, ὡς τὸν διαρκῆ πόρον τοῦ βίου συλλέγοιμεν. TZETZES.

Ibid. ΕΞΑΛΕΑΣΘΑΙ. Ἀλεύομαι ἐκφεύγω, ὡς παρὰ Θεόγνιδι, (748.)

Οὔτε τι ἀθανάτων μῆνιν ἀλευόμενος.

ἀλεύσομαι μέλλων· ἀλευάμην ἀόριστος πρῶτος χωρὶς τοῦ σ· ὡς ἀπὸ τοῦ χέω ἔχεα, ἐξέχεα· τὸ τρίτον ἀλεύατο, ἀφ' οὗ ἀλεύασθαι, καὶ ἀλέασθαι ἐκβολῇ τοῦ ύ, καὶ ἐξαλέασθαι. MOSCHOP.

106. ΕΚΚΟΡΥΦΩΣΩ. Τὸ ἐκκορυφῶσαι δηλοῖ, τὸ ἀποκαλύψαι καὶ εἰς ἄκραν γνῶσιν ἡμᾶς ἀναπέμψαι τῆς ἀνθρωπίνης φύσεως. Δηλοῖ δὲ τὸ ἐπαγόμενον. Τὸ γὰρ,

Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,

προτρεπτικῶς μὲν εἴρηται εἰς ἀρετήν. Εἰ γὰρ ἐκ τῶν αὐτῶν ἐσμὲν τοῖς θεοῖς, οὐχ ἡ φύσις ἡμῶν αἰτία τοῦ κακοῦ, ἀλλ' ἡ περὶ τὴν προσήκουσαν ἐπιμέλειαν καὶ τελειότητα ῥαθυμία. Πῶς δὲ ἐκ τῶν αὐτῶν ἐσμὲν οἱ ἄνθρωποι τοῖς θεοῖς, ποιήσει δῆλον εἰπὼν, ὅτι καὶ ἡμεῖς [i]) ποτὲ κρονίαν ἐξῶμεν ζωὴν, καὶ ἦμεν καθαροὶ κακῶν, ὡς οἱ θεοὶ, διὰ δὲ τὴν [k]) ὕφεσιν προήλθομεν ἀπὸ τῶν θεοειδῶν ἀνθρώπων εἰς τοὺς νῦν ὄντας καὶ ἐμπαθῶς ζῶντας. ΑΛΛΩΣ. [61]) Ἐκκορυφώσω, ἀνακεφαλαιώσομαι, δύναται μὲν ἀκούεσθαι ἐκτελέσω, οἷον κορυφὴν ἐπιθήσω. Δύναται δὲ καὶ οὕτως, ἑτέρου σοι λόγου [l]) ἀπάρξομαι· ἐπεὶ ἡ κορυφὴ ἀρχὴ τίς τοῦ σώματος ἐστίν. [m]) Ἀλαζονικὸς δὲ

g) ἐπιλογιστικὸν F. Mox συμπερασματικὸν ῥητορικώτατον E.

h) καθιδρύεσθαι F. καθίδρυσθαι E.

i) πρῶτον Dorv.

k) ἔφεσιν Dorv. Sed vulg. rectum videtur. ὕφεσις est ῥαθυμία, ἔφεσις, ἐπιθυμία.

61) Videtur haec glossa quae a reliquis distinguitur solemni illo, ἄλλως, excerpta esse e quodam Grammatico, a studioso videlicet librorum Hesiodi: iisdem enim pene verbis apud magnum Etymologum legitur: melius tamen fortasse, hoc modo: Ἐκκορυφώσω, δύναται μὲν ἀκούεσθαι ἀνακεφαλαιώσομαι, οἷον κορυφὴν ἐπιθήσω, δύναται δὲ καὶ οὕτως, ἕτερόν σοι λόγον ἐπάρξομαι· ἐπεὶ ἡ κορυφὴ ἀρχή τις ἐστὶ τοῦ σώματος. HEINSIUS.

l) ὑπάρξομαι Dorv.

m) ἀλλὰ ὀνειδιστικὸς Dorv. et mox τούτοις δὲ sine ἀλλά.

ὁ στίχος ἐστὶν, ἀλλὰ τούτοις πρὸς ἀρετὴν προτρέπεται. Εἰ γὰρ συγγενεῖς ἐσμὲν θεοῖς, τοῦ μὲν συγγενοῦς ἡμῖν ἀγαθοῦ φροντιστέον, [n]) ἀφεκτέον δὲ τῆς κακίας, ὡς κακοῦ καὶ ἀσυγγενοῦς. Τὸ, ὡς, ἀντὶ τοῦ, [o]) ὅτι· [62]) καὶ τὸ ΓΕΓΑΑΣΙΝ, ἀντὶ τοῦ !)1 ἐγένοντο ὁμοῦ ἐκ τοῦ αὐτοῦ γένους· ἀλλ' ἡ κακία ἐπεχώρησε. Καὶ τοῦτο δὲ μετὰ τῆς ἐπ' ἀρετὴν προτροπῆς, ἵνα καταιδέσῃ τῶν κακούργων τὸ γένος αἰσχύνεσθαι. [p]) Ἀπὸ δὲ τῆς ὕλης χαρακτηρίζει τὸ γένος. PROCLUS.

Ibid. [q]) ΕΙ ΔΕ ΘΕΛΕΙΣ ἝΤΕΡΟΝ ΤΟΙ ΕΓΩ ΛΟΓΟΝ. Τὸ σχῆμα προκατάστασις, καὶ προκατασκευὴ, καὶ ὑπόσχεσις. Κατὰ μέθοδον δὲ δεινότητος δι' ἑτέρων νῦν λόγων [r]) βουλεύεται εἰπεῖν ἅπερ πρότερον. Ἐν γὰρ τῇ πρὶν παραινέσει ἔφη, Πρὶν μὲν εὐπόριστος ἦν ὁ βίος, καὶ ἁπλοῦς, καὶ ἀπερίεργος· εἶτα τοῦ πυρὸς εὑρεθέντος, καὶ δι' αὐτοῦ τῶν τεχνῶν, δυσπόριστος καὶ ἐπιβλαβὴς γέγονε, καὶ ἔτι μᾶλλον ἐπὶ τὸ χεῖρον προβέβηκε, τῶν ἐπιμηθεστέρων δεξαμένων τὰς τέχνας. Καὶ ἔστιν, ὦ Πέρση, λίαν δυσπόριστος· καὶ χρὴ πόνων καὶ φροντίδων οὐ μετρητῶν. Ταῦτα μὲν εἶπε πρίν. Νῦν δὲ φησίν· ΕΙ Δ' ΕΘΕΛΕΙΣ, ἝΤΕΡΟΝ ΣΟΙ ΛΟΓΟΝ ΕΚΚΟΡΥΦΩΣΩ, καὶ κεφαλαιώσω, καὶ ἐκπληρώσω, εἰς κορυφὴν αὐτὸν καὶ τέλος ἀγαγὼν, ἢ ἀπὸ κορυφῆς καὶ ἐξ ἀρχῆς ἀρξάμενος. TZETZES.

107. ΒΑΛΛΕΟ. Βάλλω βέλος, ἀντὶ τοῦ πέμπω, καὶ βάλλω τινὰ τῷ βέλει, καὶ βάλλεται βέλος, ἀντὶ τοῦ πέμπεται, καὶ βάλλεταί τις τῷ βέλει, ἀφ' οὗ βάλλομαι ποιητικῶς, ὅταν μὴ μάτην ποιῶ ῥίπτεσθαι τοὺς πρὸς ἐμὲ τινὸς λόγους, ἀλλ' ἐπιτυχῶς ἐν τῇ ἐμαυτοῦ γνώμῃ δέχωμαι. Ἔστι δὲ ἐνεστὼς βάλλομαι, παρατατικὸς ἐβαλλόμην, ἐβάλλου τὸ β', ἀφ' οὗ προστακτικὸν βάλλου, καὶ κατὰ διάλυσιν τῆς ου διφθόγγου εἰς ε καὶ ο, ἀφ' ὧν πολλάκις αὐτὴ γίνεται κιρναμένων, βάλλεο, ὃ δύναται ταυτὸν τῷ ἐπιτυχῶς [s]) λάμβανε. Τὸ δὲ πᾶν ἔχει οὕτως· ἐπεὶ δὲ ὁ πατὴρ ὁ Ζεὺς τὸν χαλεπὸν δόλον τὸν κακομήχανον, ἤγουν τὴν πλάσιν τῆς Πανδώρας διόλου ἐτέλεσεν, ἔπεμψε τὸν κλυτὸν Ἀργειφόντην, τουτέστι τὸν Ἑρμῆν τὸν ταχὺν ἄγγε-

n) ἀφεκτὰ Dorv. et mox ὡς κακῆς καὶ ἀγενοῦς ἐκ τῶν ἡμῖν ἑαυτοῖς ὁμογενῶν.

o) ὅτου Dorv. et mox ἀπεχώρησε.

62) Scribe: καὶ τὸ γεγάασιν, ἀντὶ τοῦ ἐγένοντο. ὁμόθεν, ὁμοῦ, ἐκ τοῦ αὐτοῦ γένους. HEINSIUS.

p) Hinc ad fin. Scholii desunt in A. B. Dorv. Sed in Dorv. legitur Ἄλλως. πεπλασμένα τὸ φυσικὸν θεῷ ἀναπλάττει.

q) Deest hoc Scholion Trinc.

r) βούλεται E.

s) βάλλε B.

λον τῶν θεῶν, δῶρον ἄξοντα αὐτὴν δηλονότι τὴν πλασθεῖσαν, εἰς τὸν Ἐπιμηθέα· ὁ Ἐπιμηθεὺς δὲ οὐκ ἐνόησε, καθὰ εἶπεν αὐτῷ ὁ Προμηθεὺς, ὅτε, φασὶ, παρέθηκεν αὐτῷ τὸν τῶν κακῶν πίθον παρὰ τῶν Σατύρων λαβὼν, μή ποτε δέξασθαι δῶρον παρὰ τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν ὀπίσω πρὸς τὸν πέμψαντα δηλονότι, ἵνα μή τι κακὸν γένηται τοῖς ἀνθρώποις. Ὁ δὲ δεξάμενος τότε ἐνόησεν, ὅτε τὸ κακὸν εἶχεν. Ταῦτα δέ φησιν, ἐπεὶ εἰς τὴν τῶν τεχνῶν ἐπίνοιαν καθιστάμενοι ἄνθρωποι τότε μὲν τὸ ἀποβησόμενον ἀπὸ τούτων κακὸν οὐκ ἐφώρασαν· ὕστερον δὲ παθόντες ἐνόησαν. Τοῦτο γὰρ δύναται Ἑρμῆς τὸ δῶρον ἄγων, ὁ αὐτὸς ὢν, ὡς εἴρηται, τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ· καὶ Ἐπιμηθεὺς ἀπροβουλεύτως δεχόμενος. Πρότερον μὲν γὰρ
92 διήνυον τὴν ζωὴν τὰ γένη τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς χωρὶς κακῶν, καὶ χωρὶς ἐργασιῶν κοπηρῶν καὶ χαλεπῶν, καὶ χωρὶς νόσων ἐπιπόνων, αἳ θανάτους ἐπάγουσι τοῖς ἀνδράσι. Ταχέως γὰρ ἐν ταλαιπωρίᾳ καὶ πόνοις οἱ ἄνθρωποι γηρῶσιν, ἀντὶ τοῦ ἐξασθενοῦσι καὶ πρὸς φθορὰν νεύουσιν. Ἀλλὰ ἡ γυνὴ ἡ Πανδώρα τὸ μέγα πῶμα τοῦ πίθου ἀφελοῦσα, ἤγουν ἀπ' αὐτοῦ λαβοῦσα, ἐσκόρπισεν αὐτὰ δηλονότι, τουτέστι τοὺς πόνους καὶ τὰς νόσους καὶ τὰ κακά. Κατὰ τῶν ἀνθρώπων δὲ ἐβουλεύσατο φροντίδας χαλεπὰς, ἃς αὐτοὶ δηλονότι φροντίσειν ἔμελλον. Μόνη δὲ ἡ ἐλπὶς ἐναπελείφθη αὐτόθι, ἀντὶ τοῦ ἐκεῖ, σύνηθες δὲ τοῦτο καὶ παρὰ τοῖς κοινοῖς, λέγω ἔνδον ὑπὸ τοῖς χείλεσι τοῦ πίθου, ἐν δόμῳ ἀσφαλεστάτῳ καὶ ἀνεπιβουλεύτῳ, οὐδὲ ἔξω ἐξέπτη, πρότερον γὰρ ἐπέμβαλε τὸ πῶμα τοῦ πίθου, ἢ ἡ Πανδώρα, ἢ αὐτὸ δι' ἑαυτοῦ, διὰ τὴν βουλὴν τοῦ Διὸς τοῦ τῆς ἀθροίσεως τῶν νεφελῶν αἰτίου. Ἄλλα δὲ πλεῖστα κακὰ κατ' ἀνθρώπους στρέφεται· πλήρης μὲν γὰρ ἡ γῆ κακῶν, διὰ τὴν τῶν ἀνθρώπων πλεονεξίαν καὶ ἁρπαγὴν, καὶ τὰς ἀδίκους δίκας, καὶ τοὺς φόνους, καὶ τὰ λοιπὰ, πλήρης δὲ ἡ θάλασσα, διὰ τοὺς κλύδωνας, καὶ τὰ ναυάγια, καὶ τοὺς πειρατὰς, νόσοι δὲ ἐπάλληλοι ἔρχονται τοῖς ἀνθρώποις, κακὰ θνητοῖς φέρουσαι, (αὐτοῖς ὤφειλεν· ὁ δὲ ἐπάγει πάλιν τοῖς ἀνθρώποις· σύνηθες δὲ αὐτοῖς τὸ τοιοῦτον) ἐπὶ τῇ ἡμέρᾳ καὶ ἐπὶ τῇ νυκτὶ αὐθαίρετοι. ΣΙΓΗι. Ἤγουν ἡσύχως, ἐπεὶ τὴν φωνὴν αὐτῶν ἀφείλετο ὁ βουλευτικὸς Ζεύς· οὕτως οὐδαμῶς ἐστι δυνατὸν τὸν τοῦ Διὸς ἐκφυγεῖν νοῦν. Εἰ δὲ ἐθέλεις, ἑτε-

ρόν σοι ἐγὼ λόγον ὡς ἀπὸ ἄλλης ἀρχῆς ἀρξάμενος συντελέσω, καλῶς καὶ μετὰ ἀκριβοῦς ἐπιστασίας καὶ γνώσεως· σὺ δὲ ἐπιτυχῶς αὐτὸν ἐν τῷ σῷ λογισμῷ λάμβανε. Moschop.

108. [65])ὩΣ ὉΜΟΘΕΝ ΓΕΓΑΑΣΙ ΘΕΟΙ. Ὅτι ἐκ τῆς αὐτῆς αἰτίας καὶ ὕλης ὁμοῦ οἱ θεοὶ, ἤγουν τὰ στοιχεῖα, καὶ οἱ ἄνθρωποι γεγόνασιν. [t])Καὶ ταῦτα εἰπὼν, καὶ προκαταστήσας τὸν αὐτοῦ λόγον, εἰσβάλλει πρὸς τὴν ὑπόθεσιν, καὶ 93 λέγει ἅπερ καὶ πρότερον, δι' ἑτέρων μέντοι ἐννοημάτων καὶ λέξεων, ὅτι πρῶτον χρυσοῦν γέγονε γένος ἀνθρώπων, ἤγουν καθαρὸν πάντῃ, καὶ κακίας ἀνεπίδεκτον, ὥσπερ ὁ χρυσὸς ἰοῦ· εἶτα ἀργύριον, ἤγουν εὐτελέστερον τούτου, καὶ μικρῷ φαυλότερον, καὶ [v])πονηρότερον· εἶτα χαλκοῦν καὶ πολεμικὸν, λέγει δὲ τὸ Γιγαντικόν· εἶτα τὸ τῶν Ἡρώων τῶν ἐν Θήβαις καὶ Τροίᾳ στρατευσάντων. Νῦν δέ φησι σιδηροῦν γένος ἐστὶν, ἀντὶ τοῦ τληπαθέστατον, καὶ καρτερικὸν, καὶ πόνοις ἀεὶ [w])καὶ καμάτοις προςκαρτεροῦν, ὥσπερ ὁ σίδηρος· οὐ γὰρ σιδηροῦς ἦν οὔτε ὁ Πέρσης, οὔτε Ἡσίοδος· ἔτι δέ φησι καὶ τούτου χεῖρον ἀνθρώπων γένος γενέσθαι, τὴν καθ' ἡμᾶς γενεὰν δηλονότι, ὁπότε πᾶς ὑβριστὴς, καὶ πατραλοίας καὶ ἄθεος, ὑπὲρ δικαίους, καὶ σεμνοὺς, καὶ χρηστοήθεις τετίμηται. Καὶ

65) Post haec verba sequebantur talia in Basiliensi: ὡς περισσὸν γὰρ πρώην εἰρήκειν, οὕτω πρότερον ἔρεβος ἦν καὶ χάος. κινήσεως δὲ τοῦ ἀέρος τυχόντος καθ' ἕλιηνας, συνέβη τὰ στοιχεῖα πρὸς οἰκείων τόπων διακριθῆναι, καὶ ἀνθρώπους ἐξ ὧν εἶπον ὑμένων γενέσθαι, καὶ ἕτερα ζῶα παντοῖα. Ἐρῶ δέ σοι εὖ καὶ ἐπισταμένως. Σὺ δὲ θοῦ ταῦτα τῷ λογισμῷ. Quae cum a Veneta abessent, maluimus et a nostra editione: περιττὰ enim sunt καὶ μηδὲν συμπεραίνοντα. Postrema autem illa: Ἐρῶ δέ σοι, ad proxime praecedentem versum spectarent, non ad eum ad quem hic adducuntur. Si quis autem fatali Graeculi nostri loquacitati haec quoque asscribere velit, reliquisque addenda putet, nos officio nostro functi sumus: quos hujus temporis quod his impenditur paenitet, pudetque. Ad editionem nihilominus nostram necessarium est, ut ratio reddatur τῶν καλῶς ἐχόντων, καὶ τῶν ἔμπαλιν. Heinsius.

t) προκαταστήσας τὸν ἑαυτοῦ λόγον· καὶ εἰπὼν ἐρῶ σοι λόγον εὖ καὶ ἐπισταμένως, εἰσβάλλει Trinc. Scholion ita incipit in E. F. ἐρῶ δέ σοι εὖ καὶ ἐπισταμένως, σὺ δὲ θοῦ ταῦτα τῷ σῷ λογισμῷ, καὶ ταῦτα προειπὼν, καὶ προκαταστήσας. Cum ed. Bas. (vide Heinsii notam) concordat fere G. ubi tamen τυχόντος abest, et leg. πρὸς τοὺς οἰκείους τόπους. Hoc Scholion habet C. Ὁμόθεν] Ὅθεν καὶ ὁμόγνιος λέγεται διὰ τὴν τοῦ γένους κοινωνίαν θεοῖς καὶ ἀνθρώποις, καθά φησι Δίων. Or. p. 8. D. Vide Ruhnken. ad Tim. p. 193.

v) πονηρότατον E. Mox τὸ τῶν Γιγάντων Trinc.

w) ματαίοις pro καὶ καμάτοις Trinc.

ταραχῶν καὶ θορύβων ὁ βίος μεμέστωται, καὶ συμφορῶν χαλεπῶν, καὶ αἰδὼς οὐκ ἔστιν, οὐδὲ μέμψις καὶ ἐπιτίμησις [x]) δικαία τῶν πραττομένων ἀδίκως. Ταῦτά φησιν. Εἶτα παραίνεσιν μυθικὴν ἐπιφέρει τοῖς δικασταῖς, διὰ τοῦ μύθου τῆς ἀηδόνος, καὶ τοῦ ἱέρακος· ὡς οὐ χρὴ τοὺς δυνατοὺς καταβλάπτειν τοὺς ἀσθενεῖς. Τοῖς γὰρ ἀδίκοις ἀπό τινος εἱμαρμένης ἐπιγίνονται συμφοραὶ, τοῖς δικαιοπραγοῦσι δὲ παντοῖα χρηστά. Ταύτην τὴν παραίνεσιν καὶ πρὸς τὸν Πέρσην ποιεῖται. Καὶ τοῦτο δέ φησι πρὸς αὐτὸν, ῥάστη μὲν ἡ κακία, καὶ εὔκολος· δυσχερὴς δὲ ἡ ἀρετὴ, καὶ δυσπόριστος, ἥν σοι παραινῶν καταφαίνομαι, ἀλλὰ καὶ γλυκεῖα περὶ τὸ τέλος. Ἔνθεν τοι [y]) κατ' ἐμὴν ἐντολὴν ἐξ ἔργων καὶ πόνων οἰκείων κτῆσαι βίον ἐπαινετὸν, καὶ περὶ τὸ τέλος γλυκάζοντα, ἐργαζόμενος καὶ μοχθῶν, ὅσα χρὴ τὸν σπουδαῖον, καὶ μὴ τὸν ἀργὸν πρόκρινε βίον, καὶ ἅρπαγα, καὶ ἀγοραῖον. Ἀλλὰ ταῦτα μὲν οὕτω. [z]) Νῦν δὲ κατὰ λεπτὸν καὶ ταῦτα τοῖς οἰκείοις ἔπεσι προσαρμόσωμεν. Καὶ πρῶτον συντακτέον οὑτωσίν· Εἰ δ' ἐθέλεις ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω καὶ πληρώσω· ἢ ἐξ ἀρχῆς ἄρξομαι, ἢ συντόμως ἐρῶ. [a]) ὩΣ ὉΜΟΘΕΝ πως, ἤτοι ὁμόθεν καὶ ἐκ τῆς αὐτῆς αἰτίας καὶ ὕλης γεγόνασιν οἱ θεοὶ, ἤγουν τὰ στοιχεῖα καὶ οἱ ἄνθρωποι. ΕΚΚΟΡΥΦΩΣΩ δὲ, καὶ λέξω, ΕΥ ΚΑΙ ΕΠΙΣΤΑΜΕΝΩΣ· σὺ δὲ ταῦτα τῷ σῷ λογισμῷ θοῦ. Πῶς δὲ ὁμόθεν τὰ στοιχεῖα καὶ οἱ ἄνθρωποι; Οὕτω. Πρότερον ἔρεβος ἦν καὶ χάος, κινήσεως δὲ τοῦ ἀέρος τυχόντος καθ' Ἕλληνας, συνέβη τὰ στοιχεῖα πρὸς τοὺς οἰκείους τόπους διακριθῆναι, καὶ
94 ἀνθρώπους ἐξ ὧν εἶπον ὑμένων γενέσθαι, καὶ ἕτερα ζῶα παντοῖα. Οὕτως οὖν [b]) ὅμοθεν φησὶ στοιχεῖα καὶ ἀνθρώπους γενέσθαι. Tzetzes.

Ibid. ὩΣ ὉΜΟΘΕΝ ΓΕΓΑΑΣΙΝ. Ἴσθι, ὅτι ἀπὸ τῆς αὐτῆς ῥίζης ἐγεννήθησαν θεοὶ καὶ ἄνθρωποι θνητοί. Moschop.

109. ΧΡΥΣΕΟΝ ΜΕΝ. Πᾶς οὗτος ὁ περὶ τῶν ἀνθρωπίνων [c]) πολιτειῶν λόγος ἔνδειξιν ἔχει τῶν ἐν ταῖς ζωαῖς ταῖς ἀνθρωπίναις μεταβολῶν εἰς κακίαν ἐξ ἀρετῆς, καὶ εἰς ἀρετὴν ἐκ κακίας, καὶ

x) δικαία om. E. πραττόντων F.
y) κατ' ἐ. ἐ. om. Bas.
z) Hinc ad λογισμῷ θοῦ om. Trinc.
a) Hinc ad ἄνθρωποι in E. post θοῦ. Lin. pen. ἀέρος τυχόντα Trinc. τοῦ ἀέρος om. F.
b) ὅμοθεν Trinc. ὁ μῦθος alii.
c) πολυτελῶν Dorv. Mox μεταβολαῖς B.

μὴ εἶναι μίαν ἐν πᾶσι ζωὴν, ἀλλ' ἔχειν ποικιλίαν· εἰ δὲ ποτὲ ἄμεινον γένος εἶναί φησι, ποτὲ δὲ χεῖρον, ἀεὶ καὶ τῶν ἀμεινόνων [d]) ὄντων καὶ τῶν χειρόνων, (οὐ γὰρ ἀπολέσθαι τὰ κακὰ δυνατόν· οὐδὲ πολλῷ μᾶλλον τὰ ἀγαθὰ κατὰ φύσιν ὄντα τοῖς ἀνθρώποις,) οὐ δεῖ θαυμάζειν· ὡς γὰρ πρός τινα τόπον ὁρῶν, τὰς τοιαύτας ὅρα [e]) μεταβολάς. Κωλύει δὲ οὐδὲν ποιητικῶς, ὡδὶ μὲν εἶναι σιδηροῦν γένος, ὡδὶ δὲ χρυσοῦν. Εἰ δὲ τοῖς [f]) ἀμεταβόλοις εἰς ἔνδειξιν χρῆται τῶν ζώων τῷ χρυσῷ καὶ ἀργύρῳ καὶ σιδήρῳ, μὴ δὲ τοῦτο θαυμάζωμεν· ποιητικὸν γὰρ ἡ μεταφορὰ καὶ ἡ δι' εἰκόνων τῆς ἀληθείας παράστασις. PROCLUS.

Ibid. *ΧΡΥΣΕΟΝ ΓΕΝΟΣ.* Καθαρὸν, τίμιον, πονηρίας ἐκτὸς, ζῶν τὸν βίον ἐκεῖνον φιλαλλήλως, ὅνπερ ἔφην ἁπλοῦν καὶ ἀπρομηθέστατον, καὶ δίχα τεχνῶν· χρυσοῦν δὲ λέγει, διὰ τὸ λαμπρὸν, ἢ τὸ τίμιον, ἢ κακίας ἀνεπίδεκτον, ὡς ὁ χρυσὸς ἰοῦ [g]).

Χρυσὸν γὰρ ἰὸς τῶν κυνῶν ἰοῖ μόνος,
Ὡς τὸν μαγνῆτιν ἑλκτικοῦ θραύει σθένους
[h]) *Ἡ σκορδικὴ δύσπνοια προστετριμμένη.* TZETZES.

Ibid. *ΜΕΡΟΠΩΝ.* Μεμερισμένην ἐχόντων ὄπα τῶν διαλέκτων. Ἄλλως γὰρ ὁ Σκύθης, καὶ ἑτέρως ὁ Πέρσης, καὶ τὰ λοιπὰ τῶν ἐθνῶν ἄλλως πως διαφόρως ἀλλήλοις λαλοῦσιν. TZETZES.

Ibid. *ΧΡΥΣΕΟΝ ΜΕΝ ΠΡΩΤΙΣΤΑ.* Ἤγουν χρυσοῦν ἀντὶ τοῦ καθαρὸν καὶ ἀπαθές· λέγει δὲ τοῦτο κατὰ τὸ καθαρὸν τοῦ χρυσοῦ καὶ ἄσηπτον. Συμβολικῶς δὲ καὶ ταῦτα λέγεται κατὰ τὴν τῶν ποιητῶν φιλοτιμίαν. MOSCHOP.

110. *ΑΘΑΝΑΤΟΙ ΠΟΙΗΣΑΝ.* Ὁ Ζεὺς μόνος ἐποίησεν, ὡς ἀπὸ τῶν ἄλλων φανερὸν γίνεται· λέγει δὲ πάντας τοὺς θεοὺς, τὸ τοῦ ἑνὸς ἔργον ἐπὶ πάντας τοὺς ὁμοειδεῖς ἀναφέρων, οἷον ποιεῖ καὶ ἐν τῷ,

Κρύψαντες γὰρ ἔχουσι θεοί. 95

d) εἶναι Dorv.
e) μεταβολὰς ποιητικῶς Dorv. et mox ποιητικῶς om. et dein εἶναι καὶ σιδηροῦν.
f) Ita A. Dorv. εὐμεταβόλοις edd. Mox edd. διαφορά.
g) Inserit h. l. E. καὶ μαγνῆτις παύεται σίδηρον ἕλκειν.
h) δύναμις (suprascripto δύσπνοια) συντετριμμένη E. συντετριμμένη F. Trinc. Sequens Scholion deest Trinc.

Οὐ θέλει δὲ δηλοῦν ὅτι αὐτὸς καὶ τὰς διαφορὰς τῶν γενῶν ἐποίησεν, ἀλλὰ τὴν μὲν ποίησιν καὶ παραγωγὴν αὐτῶν λέγει αὐτοῦ· τὴν δὲ διαφορὰν τῆς πολιτείας ἀφ' ἑαυτῶν, ὥσπερ ἂν εἴτις εἴποι, ὁ δεῖνα κακότροπον ἐγέννησε παιδίον, ὁ αὐτὸς καὶ χρηστοῦ τρόπου παιδίον ἐγέννησε. Πρόδηλον γὰρ, ὅτι ἡ γέννησις μόνη τῶν παιδίων εἰς αὐτὸν ἀναφέρεται, οὐκέτι δὲ καὶ ὁ τρόπος αὐτῶν. Moschop.

Ibid. *ΟΛΥΜΠΙΑ ΔΩΜΑΤ' ΕΧΟΝΤΕΣ. Ἡ τὸν ὁλολαμπῆ οὐρανὸν κατοικοῦσα Εἱμαρμένη νῦν· πρότερον δὲ ἡ τὸν κόσμον ὑποστησαμένη. Κατὰ γὰρ τοὺς Ἕλληνας, εἵμαρτο γενέσθαι κόσμον, καὶ γέγονεν, ἣ κυρίως καὶ πρώτη Εἱμαρμένη καλεῖται· δευτέρα δὲ κατὰ μέθεξιν ἐκείνης* [i]) *Εἱμαρμένης, ἡ ἐξ οὐρανοῦ καὶ τῶν ἀστρικῶν κινημάτων πάντα τὰ κατὰ τὸν βίον πληροῦσα.* Tzetzes.

111. *ΟΙ ΜΕΝ ΕΠΙ ΚΡΟΝΟΥ. Ὅτι μὲν οἱ ἀπὸ χρυσοῦ γένους ἄνθρωποι ζωὴν εἶχον καθαρὰν καὶ* [k]) *ἄϋλον καὶ ἀπαθῆ· καὶ ταύτην ὁ χρυσὸς δηλοῖ, καθάπερ ἐξηγήσατο καὶ Πλάτων, φανερόν. Καὶ γὰρ ὁ χρυσὸς ἄδεκτος ἰοῦ καὶ σήψεως· καὶ διὰ τοῦτο φέρει τῆς ἀπαθείας εἰκόνα. Πῶς δὲ ἐπὶ Κρόνου ἔζων οἱ τοιοῦτοι, μάθοιμεν ἂν νοήσαντες, ὅτι τῆς νοερᾶς δοτήρ ἐστιν ὁ Κρόνος* [l]) *ζωῆς, κόρος ὢν τοῦ νοῦ, μᾶλλον δὲ κορὸς νοῦς, καὶ καθαρός· τὸ γὰρ κορὸν σημαίνει τὸ καθαρόν. Πάντες οὖν οἱ νοερῶς ζῶντες, Κρονίαν ἔχουσι πολιτείαν· καὶ διὰ τοῦτο λέγεται βασιλεύειν αὐτῶν ὁ Κρόνος, ὥσπερ ὁ Ζεὺς τῶν πολιτικῶς ζώντων, κατὰ τὴν ἀρίστην πολιτείαν τὴν πάντα κοινὰ τιθεμένην.* [m]) *Οὐχὶ τῶν θεῶν οὖν οἰητέον τὴν βασιλείαν*

i) *εἱμαρμένη* E. G. Trinc.

k) Ita A. B. Dorv. Proclus in Theolog. Platonis V. 5. p. 258. *Κρόνος δὴ οὖν νοῦς ἐστι καθαρὸς, καὶ ἄϋλος, καὶ τέλειος. ἄλυπον* edd. Mox *γὰρ* addidi ex Dorv. Quod ad Platonem paullo post citatum attinet, puto Proclum in animo habuisse Cratyl. p. 398. A *Οἶμαι ἐγὼ λέγειν αὐτὸν τὸ χρυσοῦν γένος οὐκ ἐκ χρυσοῦ πεφυκὸς, ἀλλ' ἀγαθόν τε καὶ καλόν.*

l) *ζωῆς* Deest A. B. Dorv. Sed habet Etymologus p. 540, 4. qui Proclum descripsit. Respicit Proclus ad Etymologiam a Platone traditam Cratyl. p. 396. *Τούτου δὲ Κρόνον υἱὸν εἶναι — κόρον γὰρ σημαίνει οὐ παῖδα, ἀλλὰ το καθαρον αὐτοῦ καὶ ἀκήρατον τοῦ νοῦ.* Eustathius Il. *B.* p. 203 = 154, 11. *ὁ τοῦ Διὸς πατὴρ Κρόνος εἰς νοῦν οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν καθαρὸν ἀλληγορούμενος, ὡς οἱά τις κόρος νοῦς.*

m) *οὐχὶ τῶν θεῶν οἰηταὶ τ. β. μεταβάλλει ἀλλὰ — ποιεῖσθαι* Dorv. et mox *ἐπὶ τῆς βασιλείας.*

τὴν πάντα κοινὰ τιθεμένην μεταβάλλειν, ἀλλὰ τῶν ψυχῶν τὴν ζωὴν μεταβαλλουσῶν, ἄλλον βασιλέα ποιῆσαι θεόν· τὸν δὲ μῦθον ἀφ' ἡμῶν ἐπὶ τοὺς βασιλέας μεθιστάναι τὴν μεταβολήν. Proclus.

Ibid. ΟΙ ΜΕΝ ΕΠΙ ΚΡΟΝΟΥ ΗΣΑΝ. Οὗτοι μὲν οἱ ἄνθρωποι οἱ τοῦ χρυσοῦ γένους, ἐπὶ τοῦ Κρόνου ἦσαν. Νῦν ἄκαιρόν ἐστι στοιχειακῶς λέγειν, [n]) ὅτι οἵ τινες ἄνθρωποι ἦσαν 96 ὁπότε ὁ Κρόνος καὶ τὸ σκοτεινὸν τοῦ ἀέρος ἔρεβος ἐβασίλευε, καὶ ἐπεκράτει τοῦ οὐρανοῦ· τότε γὰρ ἀδύνατον εἶναι ἀνθρώπους, ἢ ἕτερα ζῶα τινὰ, κἂν [o]) Ἐμπεδοκλῆς καὶ πρὸ τοῦ ἁπλωθῆναι τὸν ἥλιον, φησὶ φυτὰ γενέσθαι καὶ ζῶα. Οὕτω δὲ μᾶλλον τοῦτο [p]) ἀλληγορῶ· οἱ τοῦ χρυσοῦ γένους τότε ὑπῆρχον, ὁπότε ὁ Κρόνος καὶ ἡ ἄγνοια ἡ θολοῦσα τὸν νοῦν, καὶ ἡ τῶν πραγμάτων ἀνεπιστημοσύνη, καὶ ἀτεχνία τοῦ οὐρανοῦ, ἤγουν τῆς σφαιροειδοῦς κεφαλῆς, καὶ εἰς μίμημα οὐρανοῦ ὑπαρχούσης, καὶ τοῦ ἐν αὐτῷ λογιστικοῦ, ἐπεκράτει καὶ ἐβασίλευε, ὥσπερ ἀχλὺν καὶ ἀορασίαν τῷ νῷ καταχέασα, τουτέστιν, ὅτε [q]) οὔπω ἦσαν οἱ ἄνθρωποι προμηθέστεροι, καὶ τέχνας εἰδότες. Κρόνος γὰρ ἡ ἄγνοια νῦν, παρὰ τὸ κορὸν καὶ μέλανα καὶ σκοτεινὸν τὸν νοῦν ἀπεργάζεσθαι, ὡς μὴ δύνασθαι προβλέπειν καὶ προγινώσκειν τὰ μέλλοντα, καὶ τὰ συντείνοντα διαπράττεσθαι. Ἀθάνατα δὲ τὰ στοιχεῖα καλεῖ, ὅτι τινὲς ἄφθαρτα ταῦτα φασὶν, ἢ διὰ τὸ μακροχρόνιον· ἀθάνατον γὰρ καὶ τὸ ἄφθαρτον καὶ τὸ μακροχρόνιον λέγεται. Tzetzes.

111. ΟΙ ΜΕΝ ΕΠΙ ΚΡΟΝΟΥ ΗΣΑΝ. Οὗτοι μὲν, πρὸς τὸ σημαινόμενον ἀπέδωκεν, ἐπὶ τῆς βασιλείας τοῦ Κρόνου ἦσαν, ὅτε ἐν τῷ οὐρανῷ ἐβασίλευεν. ΕΖΩΟΝ ΔΕ, ἤγουν ἔζων, ὥσπερ θεοὶ, ἤγουν ἀπαθῶς, ψυχὴν ἔχοντες φροντίδων ἀπηλλαγμένην· τοῦτο γὰρ τὸ, ΑΚΗΔΕΑ ΘΥΜΟΝ ΕΧΟΝΤΕΣ ΝΟΣΦΙΝ ΑΤΕΡ, ἐκ παραλλήλου ἀντὶ τοῦ χωρὶς, ΠΟΝΩΝ ΚΑΙ ΟΙΖΥΟΣ, ἤγουν ὀδυνῶν καὶ ταλαιπωρίας. Ἔτι δὲ οὐδὲ δείλαιον γῆρας, ἤγουν ἄθλιον, ἐπῆν αὐτοῖς· ἀεὶ δὲ κατὰ τοὺς πόδας καὶ τὰς χεῖρας ὅμοιοι ὄντες, ἤγουν ἐν τῇ αὐτῇ ἀκμῇ ὄντες, οὐ τρεπόμενοι, ἐτέρποντο ἐν εὐωχίαις, ἤγουν ἀλύπως εὐωχοῦντο, ἀλγεινῶν ἁπάντων ἐκτός. Ἔθνησκον δὲ, καθὰ ὑπὸ ὕπνου χαυνωθέν-

n) ὅτι ἄνθρωποι τινες Trinc.

o) V. Sturzii Empedocl. p. 562. etc.

p) Ita E. H. ἀλληγορικῶς F. G. ἀλληγορεῖν Trinc. ἀλληγορεῖ Heins.

q) Deest Trinc. ubi mox ἀπρομηθέστεροι καὶ μὴ τ.

τες· τοῦτο γὰρ τὸ, ὡς ὕπνῳ δεδμημένοι. Ἐσθλὰ δὲ πάντα τούτοις ἦν· ἤγουν δικαιοσύνη καὶ φιλαλληλία καὶ τὰ τοιαῦτα. Ἔφερε δὲ καρπὸν πολύν τε καὶ ἄφθονον, (ἕπεται γὰρ τῷ πολλῷ τὸ ἄφθονον) ἡ ζείδωρος ἄρουρα, ἤγουν ἡ τὰ πρὸς ζωὴν δωρουμένη γῆ. Ἄρουρα γὰρ κυρίως ἡ ἠροτριασμένη γῆ. MOSCHOP.

112. ὩΣΤΕ ΘΕΟΙ. Εἰκότως οἱ παντὸς καθαρεύοντες πάθους, καὶ τῷ χρυσῷ διὰ τοῦτο τῷ ἀσήπτῳ καὶ καθαρῷ ὁμοιωθέντες, ὁμοιότατοι τοῖς θεοῖς λέγονται εἶναι. Καὶ γὰρ οἱ θεοὶ πρώτως εἰσὶν ἀπαθεῖς· αἱ ψυχαὶ δὲ κατὰ μίμησιν ἐκείνων ταύτης τυγχάνουσιν τῆς εὐδαιμονίας. PROCLUS.

Ibid. ὩΣ ΤΕ ΘΕΟΙ Δ' ΕΖΩΟΝ. Ἤγουν ἀκοπίαστον καὶ ἄμοχθον καὶ ἀφρόντιδα βίον ἔζων, ὥσπερ οἱ θεοὶ, ἤτοι
97 τὰ στοιχεῖα καὶ οἱ ἀστέρες· οὐ γὰρ μοχθεῖ ταῦτα καὶ κοπιᾷ· ἢ ὡς βασιλεῖς ἔζων, διὰ τὸ ἀπέριττον τῆς διαίτης, καὶ τὸ ἐλεύθερον· ἢ ὡς σοφοὶ, τουτέστι φιλόσοφον βίον ἔζων, ἀπράγμονα πάνυ καὶ ἀθόρυβον, ἀρκούμενοι τοῖς παρευρημένοις λαχάνοις, καὶ ἀκροδρύοις, καὶ ὕδασι, καὶ κεχρημένοι πρὸς κατοικίαν καὶ σπηλαίοις καὶ ὄρεσιν. r)Ὅτι δὲ τὸ θεὸς ὄνομα πέντε σημαίνει, τὰ στοιχεῖα, τοὺς σοφοὺς, τοὺς βασιλεῖς, τὰς ψυχικὰς δυνάμεις, καὶ τὰ πάθη, καὶ τὴν πρόνοιαν αὐτὴν, ἣν οἱ Ἕλληνες Εἱμαρμένην ἐκάλουν, πρώην ὄπισθεν εἶπον. TZETZES.

Ibid. ΑΚΗΔΕΑ. s)Ἀφρόντιδα, ἢ καὶ ἄλυπον· οὔπω γὰρ αὐτοῖς οὐδὲν ἀλγεινὸν ἐπεγινώσκετο, πρὸ τοῦ φανῆναι τὴν τρυφὴν καὶ τὰς τέχνας. t) Νῦν γὰρ ἐθάδες ὄντες εἱμάτων καὶ στρωμάτων, καὶ τρυφῶν, εἰ σκληροτροφήσομεν, ἢ γυμνητεύσομεν, ἢ δυσκολοκοιτήσομεν, εὐθὺς ἡμῖν ἄλγη καὶ νόσοι, καὶ ὅσα ἡ Πανδώρα τῶν τεχνῶν εὕρεσις τῷ βίῳ προσῆψε· πρότερον δὲ τοῖς τότε ἀνθρώποις οὐδὲν τούτων ἐπεγινώσκετο. TZETZES.

113. ΝΟΣΦΙΝ ΑΤΕΡ. Χωρὶς πόνων τε καὶ ὀϊζύος, καὶ ταλαιπωρίας ἐκτὸς ἔζωον ἢ τῶν ὀδυνῶν, οὐ γὰρ ἐγίνωσκον ταύτας. Ἢ χωρὶς κόπων, καὶ πόνων, καὶ ὀϊζύος, καὶ μόχ-

r) Ὅτι ad ὄπισθεν εἶπον desunt Trinc.

s) ἀφρόντιστον E. ἄτηρον Trinc. pro ἀλγεινόν.

t) Hinc ad ἐπεγινώσκετο om. Trinc.

θου, τοῦ περὶ τὰ βιωτικά. [v]) ΠΟΝΩΝ δὲ τὸ ΠΟ κοινή ἐστι συλλαβή. Ὑπὸ γὰρ τοῦ ν̄ ἀμεταβόλου ἐκτείνεται. Tzetzes.

Ibid. ΟΥΔΕ ΤΙ ΔΕΙΛΟΝ ΓΗΡΑΣ. Οὐδὲ κατά τι δειλὸν ὑπῆρχεν αὐτοῖς τὸ γῆρας, ὡς νῦν ἡμῖν· [w]) ἢ οὕτω, οὐδὲ ἔτι καὶ ἀκμὴν ἐπῆν γῆρας δειλὸν καὶ ἄθλιον, ἢ δειλίας ἀνάμεστον· καὶ ἀληθῶς λέγει· ἀώρως γὰρ ἐτελεύτων, καὶ πρὶν εἰς γῆρας ἐλάσαι. ἢ [x]) ὅτι ἀφρόντιδες ζῶντες, οὐκ ἂν ἐγήρασκον. Tzetzes.

Ibid. ΟΥΔΕ ΤΙ ΔΕΙΛΟΝ ΓΗΡΑΣ. Καὶ τοῦτο Κρόνιον ἐστί· καὶ γὰρ τὸν Κρόνον ἀεὶ μελαίνας ἔχειν τὰς ἐπὶ τοῦ γενείου τρίχας φησὶν [y]) Ὀρφεύς· Πλάτων δὲ [z]) τοὺς ἐπὶ τῆς Κρονίας περιόδου ἀποβάλλειν φησὶ τὸ γῆρας, καὶ ἀεὶ γίνεσθαι 98 νεωτέρους. Ἐνδείκνυται δὲ [a]) πάντως, ὡς ἄρα οἱ κατὰ θεὸν ζῶντες, καὶ διὰ τοῦτο Κρόνιον ἔχοντες βίον, ἀεὶ ἐπὶ τὸ ἀκμαιότερον ὁδεύουσι, τὴν τῇ γενέσει σύζυγον φθορὰν [b]) ἀφέντες· ἐν γὰρ τῇ γενέσει τὸ γῆρας, ἔξω δὲ τῆς γενέσεως ἀεὶ τὸ νέον ἐστὶ καὶ ἀκμάζον, τοῦ παρὰ φύσιν οὐκ ἔχοντος χώραν ἐν αὐτοῖς. Proclus.

114. ΑΕΙ ΔΕ ΠΟΔΑΣ. Ἀντὶ τοῦ καὶ κατὰ τὸ βαδιστικὸν εὔτονοι ὑπῆρχον, καὶ κατὰ χεῖρα γενναῖοι· καὶ οὐ μετα-

v) Πόνων ad ἐκτείνεται om. F. Trinc.

w) Hinc ad ἐλάσαι om. Trinc.

x) ἴσως καὶ E. Bas. Mox ὄντες pro ζῶντες E. ἂν om. Trinc.

y) Vide Fragm. XLII. p. 497. ed. Hermanni. Plato Politico p. 270. D. Ἣν ἡλικίαν ἕκαστον εἶχε τῶν ζώων, αὕτη πρῶτον μὲν ἔστη πάντων, καὶ ἐπαύσατο πᾶν ὅσον ἦν θνητὸν ἐπὶ τὸ γεραίτερον ἰδεῖν πορευόμενον· μεταβάλλον δὲ πάλιν ἐπὶ τοὐναντίον, οἷον νεώτερον καὶ ἁπαλώτερον ἐφύετο. Καὶ τῶν μὲν πρεσβυτέρων αἱ λευκαὶ τρίχες ἐμελαίνοντο, τῶν δ' αὖ γενειώντων αἱ παρειαὶ λεαινόμεναι, πάλιν ἐπὶ τὴν παρελθοῦσαν ὥραν ἕκαστον καθίστασαν. Sed praestabit integrum subjicere Procli in Platon. Theolog. Lib. V. c. 10. initium; Τῶν δὲ θεολόγων τὸ ἀγήρων τῇ τάξει ταύτῃ προσήκειν λεγόντων, ὡς οἵτε βάρβαροί φασι, καὶ ὁ τῶν Ἑλλήνων θεόλογος Ὀρφεύς, (καὶ γὰρ οὗτος ἀεὶ μελαίνας τὰς τοῦ Κρονίου προσώπου τρίχας μυστικῶς λέγει, καὶ μηδαμῶς γίγνεσθαι πολιάς) θαυμάζω τὸν τοῦ Πλάτωνος ἔνθεον νοῦν τὰ αὐτὰ περὶ τοῦ θεοῦ τούτου τοῖς κατ' ἴχνος αὐτοῦ πορευομένοις ἐκφαίνοντα. Ἐν γὰρ τῇ Κρονίᾳ περιόδῳ τὸ γῆρας ἀφιέναι φησὶ τὰς ψυχάς, ἐπὶ δὲ τὸ νέον ἀνακάμπτειν, καὶ τὸ πολιὸν μὲν ἀφαιρεῖν, τὰς δὲ τρίχας μελαίνας ἴσχειν. Τῶν γὰρ πρεσβυτέρων, φησίν, αἱ λευκαὶ τρίχες ἐμελαίνοντο, τῶν δὲ γενειώντων αἱ παρειαὶ λειαινόμεναι εἰς τὴν παρελθοῦσαν ὥραν καθίσταντο.

z) Hinc ad ἐνδείκνυται δὲ om. Dorv.

a) πάντες A. B. Dorv. θεὸν om. A. νοῦν Dorv.

b) ἀφιέντες B. Dorv. Trinc. Ad fin. αὐτῷ Dorv. pro ἐν αὐτοῖς.

τες· τοῦτο γὰρ … οἴκως
τούτοις ἦν· ἤγ …
Ἔφερε δὲ καρπ … τῆς
λῷ τὸ ἄφθονο … οἷον
δωρουμένη γῆ … αὕτη δὲ
Moschop.

112. Ὡ … Proclus.
πάθους, καὶ … τὴν παρ'
ὁμοιωθέντες … συν-
θεοὶ πρώτω … ἣν εἶχον
ταύτης τυγ … τῶν
Ibid. …
καὶ ἄμοχθ … Μειλήλιας,
97 τὰ στοιχεῖ … λέγει· τῶν
ἢ ὡς βασ … ἐπι-
θερον· … τούτοις
πάνυ κα … δι' ἀπει-
καὶ ἀκ …
σπηλ … τοῦτο ἑπόμε-
στοι … φύσιν ἀβίασ-
καὶ … εἶναι χιτῶνος
μέν … παρακλή-
… βαίνοντα καὶ
γ …
τ … σοῦντες [5]) ἐπι-
κ … τοῖτον ἐπὶ τὴν
… Tzetzes.
… ΣΙΝ ΕΗΝ.
… λληλία, συν-

… ima editionum
… erant: πάντα
… ἃ πρὶν εἶπον:
… ad intellectum
… ut ea quae se-
… nimirum φε-
… ῃ, et caetera,
… ante testatur.

διαγωγὴ καὶ συμβίωσις, καὶ ὅσα τοιαῦτα· ἔτι δὲ καὶ τὸ μὴ δεδιέναι τὸν θάνατον. [69]) Ἐτελεύτων γὰρ ὡς ὕπνῳ δεδμημένοι, ἤγουν ἀνωδύνως, οὐκ εἰδότες ὃ πάσχουσιν, καὶ τὸν θάνατον ἐπιγινώσκοντες. Τὸ γὰρ ἄγνωστον οὐκ ἀλγύνει, καὶ ἔστι λίαν βαρύτατον. TZETZES.

117. [i]) *ΚΑΡΠΟΝ Δ' ΕΦΕΡΕ ΖΕΙΔΩΡΟΣ ΑΡΟΥΡΑ.* Τὰς βαλάνους, καὶ τὰ ὡραῖα πάντα λέγει ἀκρόδρυα, καὶ ὅσα ἡ γῆ αὐτοματίζουσα δίδωσι. ΖΕΙΔΩΡΟΣ δὲ ἡ γῆ κατ' ἐμὲ, ἡ ἐν τῷ ζέεσθαι, καὶ θερμαίνεσθαι, ὑπὸ τοῦ ἡλίου δηλονότι, δωρουμένη πάντα· οὐχὶ τὰς ζειὰς [k]) μόνας, ὥσπερ τινὲς φάσκουσι. TZETZES.

118. *ΚΑΡΠΟΝ ΔΕ ΦΕΡΕΙ ΖΕΙΔΩΡΟΣ ΑΡΟΥΡΑ ΑΥΤΟΜΑΤΗ.* Κατὰ τὴν φύσιν τοῦτο τῆς ἀφθονίας καὶ εὐμοιρίας σημεῖον. PROCLUS.

Ibid. *ΕΘΕΛΗΜΟΙ.* Ἐκ παραλλήλου· ΕΘΕΛΗΜΟΙ γὰρ καὶ ἩΣΥΧΟΙ ταυτόν ἐστιν· ἡσύχως καὶ ἑκουσίᾳ γνώμῃ. [l]) Ἐμφαίνει δὲ διάθεσιν ψυχῆς ἀρίστης, ἀφ' ἧς ἐστι τὸ χαίρειν καὶ εὐφραίνεσθαι, καὶ ἀλύπως [m]) εὐωχεῖσθαι, ἀντὶ τοῦ μεθ' ἡδονῆς. PROCLUS.

Ibid. *ΟΙ Δ' ΕΘΕΛΗΜΟΙ.* Ἐθελουσίως ἔζων καὶ [n]) κατὰ βούλησιν ἀπέλαυον τῶν γινομένων. PROCLUS.

Ibid. *ΑΥΤΟΜΑΤΗ.* Τουτέστι κατὰ τὴν ἑαυτῆς φύσιν, μηδενὸς ἐπιμελουμένου. MOSCHOP.

Ibid. *ΟΙ Δ' ΕΘΕΛΗΜΟΙ.* Ἤγουν κατὰ τὴν ἑαυτῶν βούλησιν, ἥσυχοι, χωρὶς ταραχῆς, εἰρηνικῶς, ἐπιῤῥηματικῶς καὶ τὸ ἐθελημοὶ καὶ τὸ ἥσυχοι, τὰ ἔργα τῆς γῆς ἐκαρποῦντο, σὺν ἐσθλοῖς πολλοῖς, ἤγουν φιλαλληλίᾳ, δικαιοσύνῃ, καὶ τοῖς λοιποῖς. Ἐπειδὰν δὲ τοῦτο τὸ γένος κατεκάλυψεν ἡ γῆ, ἀντὶ τοῦ τὰ σώματα τούτων ἀποθανόντων, τοὶ μὲν, ἀντὶ τοῦ, οὗτοι μὲν, ἤγουν αἱ ψυχαὶ αὐτῶν, πρὸς τὸ σημαινόμενον δὲ κἀνταῦθα

h) τοῖσιν ad αὐτοῖς om. Bas. et mox ὡς ὑπ. δεδ. ἤγουν—et post pro οὐκ—θάνατον. habet αὐτὸν οὐκ. In extremis cum Bas. conspirant E. G.

69) In altera editionum quam secuti sumus, simpliciter erat: ἐτελεύτων γὰρ ἀνοδύνως, αὐτὸν οὐκ ἐπιγινώσκοντες. Plura Veneta et accommodatiora: quam expressimus. HEINSIUS.

i) καρπὸν δὲ φέρει Trinc.

k) μόνον Trinc.

ους

l) ἐφαίν δὲ διὰ θε Dorv.

m) Ita B. εὐωχοῦντο A. εὐωχοῦντα Dorv. εὐωχοῦν edd.

n) κατὰ μίμησιν ἀπήλαυνον Dorv. ἀπήλαυνον B. ἀπήλαυον edd.

μειβόμενοι πρὸς τὸ τρομερὸν καὶ ἀνίσχυρον, ἀλλ' ἀεὶ οὕτως ἔχοντες. Tzetzes.

115. ΘΑΛΙΗιΣΙ. Ἰστέον, ὅτι τὸ Θάλεια τὸ ἐπίθετον τῆς εὐωχίας καὶ ἡ Μοῦσα, διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ΔΑΙΤΑ ΘΑΛΕΙΑΝ, καὶ ΜΟΥΣΑΝ ΘΑΛΕΙΑΝ. Αὕτη δὲ ἡ εὐωχία, καὶ ἡ Χάρις, καὶ ἡ Νηρηΐς, διὰ τοῦ ι,

Ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ. Proclus.

Ibid. ΤΕΡΠΟΝΤ' ΕΝ ΘΑΛΙΗιΣΙ. Θαλία νῦν παρ' ἡμῖν, ἡ μεγάλη εὐωχία λέγεται. Ἐνταῦθα δὲ τὴν κοινὴν συνδιαίτησιν καὶ φιλάλληλον τῶν τότε ἀνθρώπων λέγει, ἣν εἶχον πρὸς συλλογὴν βαλάνων καὶ τῶν ὡραίων καὶ ἐδωδίμων, τῶν λοιπῶν ἀπεχόμενοι. Tzetzes.

Ibid. ΚΑΚΩΝ ΕΚΤΟΣΘΕΝ ἉΠΑΝΤΩΝ. Μισαλληλίας, κακοπραγμοσύνης, φθόνου, καὶ τῶν τοιούτων [d]) λέγει· τῶν γὰρ ἄλλων κακῶν ἀρκούντως εἶχον, ψύχους, καύσωνος, ἐπιθέσεως τῶν θηρίων, καὶ τῶν λοιπῶν· κἂν ἀλγεινὰ τούτοις οὐκ [e]) ἐδόκουν, διὰ τὸ συντρόφους εἶναι αὐτοῖς, καὶ δι' ἀπειρίαν ἑτέρας ζωῆς. Tzetzes.

116. ΘΝΗΣΚΟΝ Δ' ὩΣ ὙΠΝΩι. Καὶ τοῦτο ἑπόμενον τοῖς ἀνόσως ζῶσι, τὸ τὴν ἀπὸ τῶν σωμάτων λύσιν ἀβίαστον γίνεσθαι καὶ ἄπονον· καὶ οἷον ἀποβολὴν εἶναι χιτῶνος τὴν ἀπόθεσιν τοῦ σώματος. Καὶ διὰ τοῦτο ὕπνῳ παραπλήσιον εἶναι τὸν θάνατον εἶπε μετὰ ῥαστώνης συμβαίνοντα καὶ κατὰ φύσιν, ἀλλ' οὐ βιαίως. Proclus.

Ibid. [f]) ΘΝΗΣΚΟΝ Δ' ὩΣ ὙΠΝΩι. Νοσοῦντες [g]) ἐπιθανάτια, καὶ ὃ πάσχουσιν οὐκ εἰδότες, ὡς ἐπὶ κοῖτον ἐπὶ τὴν γῆν καταφερόμενοι ἔπιπτον, καὶ οὕτως ἀπέπνεον. Tzetzes.

99 Ibid. [68]) ΕΣΘΛΑ ΔΕ ΠΑΝΤΑ [h]) ΤΟΙΣΙΝ ΕΗΝ. Πάντα τὰ ἀγαθὰ ἦν αὐτοῖς, ἃ πρὶν εἶπον, φιλαλληλία, συν-

c) ὑπῆρχον ita Trinc. et mox χεῖρα. ὑπάρχοντες — χειρῶν Bas. Heins.

d) λόγων F. Deest Trinc.

e) ἐδόκει Trinc. E. Mox σύντροφα E. F. Trinc.

f) θνῆσκον ad ἀπέπνεον om. Trinc.

g) ἐπὶ θανάτου F. Mox κοίτην E.

68) In emendatissima editionum praetermissa haec erant: πάντα τὰ ἀγαθὰ ἦν αὐτοῖς ἃ πρὶν εἶπον: quae verba non tam ad intellectum requiruntur, quam ut ea quae sequuntur cohaereant: nimirum φιλαλληλία, συνδιαγωγή, et caetera, de quibus egisse se ante testatur. Heinsius.

διαγωγὴ καὶ συμβίωσις, καὶ ὅσα τοιαῦτα· ἔτι δὲ καὶ τὸ μὴ δεδίεναι τὸν θάνατον. [69]) Ἐτελεύτων γὰρ ὡς ὕπνῳ δεδμημένοι, ἤγουν ἀνωδύνως, οὐκ εἰδότες ὃ πάσχουσιν, οὐδὲ τὸν θάνατον ἐπιγινώσκοντες. Τὸ γὰρ ἄγνωστον οὐκ ἀλγύνει, κἂν ἔστι λίαν βαρύτατον. Tzetzes.

117. [i]) *ΚΑΡΠΟΝ Δ' ΕΦΕΡΕ ΖΕΙΔΩΡΟΣ ΑΡΟΥΡΑ.* Τὰς βαλάνους, καὶ τὰ ὡραῖα πάντα λέγει ἀκρόδρυα, καὶ ὅσα ἡ γῆ αὐτοματίζουσα δίδωσι. ΖΕΙΔΩΡΟΣ δὲ ἡ γῆ κατ' ἐμὲ, ἡ ἐν τῷ ζέεσθαι, καὶ θερμαίνεσθαι, ὑπὸ τοῦ ἡλίου δηλονότι, δωρουμένη πάντα· οὐχὶ τὰς ζειὰς [k]) μόνας, ὥσπερ τινὲς φάσκουσι. Tzetzes.

118. *ΚΑΡΠΟΝ ΔΕ ΦΕΡΕΙ ΖΕΙΔΩΡΟΣ ΑΡΟΥΡΑ ΑΥΤΟΜΑΤΗ.* Κατὰ τὴν φύσιν τοῦτο τῆς ἀφθονίας καὶ εὐμοιρίας σημεῖον. Proclus.

Ibid. *ΕΘΕΛΗΜΟΙ.* Ἐκ παραλλήλου· ΕΘΕΛΗΜΟΙ γὰρ καὶ ἩΣΥΧΟΙ ταυτόν ἐστιν· ἡσύχως καὶ ἑκουσίᾳ γνώμῃ. [l]) Ἐμφαίνει δὲ διάθεσιν ψυχῆς ἀρίστης, ἀφ' ἧς ἐστι τὸ χαίρειν καὶ εὐφραίνεσθαι, καὶ ἀλύπως [m]) εὐωχεῖσθαι, ἀντὶ τοῦ μεθ' ἡδονῆς. Proclus.

Ibid. *ΟΙ Δ' ΕΘΕΛΗΜΟΙ.* Ἐθελουσίως ἔζων καὶ [n]) κατὰ βούλησιν ἀπέλαυον τῶν γινομένων. Proclus.

Ibid. *ΑΥΤΟΜΑΤΗ.* Τουτέστι κατὰ τὴν ἑαυτῆς φύσιν, μηδενὸς ἐπιμελουμένου. Moschop.

Ibid. *ΟΙ Δ' ΕΘΕΛΗΜΟΙ.* Ἤγουν κατὰ τὴν ἑαυτῶν βούλησιν, ἥσυχοι, χωρὶς ταραχῆς, εἰρηνικῶς, ἐπιῤῥηματικῶς καὶ τὸ ἐθελημοὶ καὶ τὸ ἥσυχοι, τὰ ἔργα τῆς γῆς ἐκαρποῦντο, σὺν ἐσθλοῖς πολλοῖς, ἤγουν φιλαλληλίᾳ, δικαιοσύνῃ, καὶ τοῖς λοιποῖς. Ἐπειδὰν δὲ τοῦτο τὸ γένος κατεκάλυψεν ἡ γῆ, ἀντὶ τοῦ τὰ σώματα τούτων ἀποθανόντων, τοὶ μὲν, ἀντὶ τοῦ, οὗτοι μὲν, ἤγουν αἱ ψυχαὶ αὐτῶν, πρὸς τὸ σημαινόμενον δὲ κἀνταῦθα

h) τοῖσιν ad αὐτοῖς om. Bas. et mox ὡς ὑπ. δεδ. ἤγουν—et post pro οὐκ—θάνατον. habet αὐτὸν οὐκ. In extremis cum Bas. conspirant E. G.

69) In altera editionum quam secuti sumus, simpliciter erat: ἐτελεύτων γὰρ ἀνωδύνως, αὐτὸν οὐκ ἐπιγινώσκοντες. Plura Veneta et accommodatiora: quam expressimus. Heinsius.

i) καρπὸν δὲ φέρει Trinc.

k) μόνον Trinc.

ους

l) ἐφαίν δὲ διὰ θε Dorv.

m) Ita B. εὐωχοῦντο A. εὐωχοῦντα Dorv. εὐωχοῦν edd.

n) κατὰ μίμησιν ἀπήλαυνον Dorv. ἀπήλαυνον B. ἀπήλαυον edd.

ἀποδίδωσι, δαίμονές εἰσιν ἐπιχθόνιοι, ἀγαθοὶ, διὰ τὴν βουλὴν
100 τοῦ μεγάλου Διὸς, φύλακες τῶν ἀνθρώπων, ἤγουν ἔφοροι· οἵ τινες ἐφορῶσι καὶ τὰς δίκας, ἤγουν τὰ δίκαια, καὶ τὰ ἔργα τὰ σχέτλια, ἤγουν τὰ χαλεπά. Moschop.

Ibid. o) *ΠΟΛΛΟΝ ΤΕ ΚΑΙ ΑΦΘΟΝΟΝ.* Ἐκ παραλλήλου τὸ αὐτὸ, ἀντὶ τοῦ πολύν. Ἢ καὶ οὕτω· πολύν τε καὶ μὴ p) φθόνῳ ἁρπαζόμενον τοῖς τότε, ἀλλὰ φιλαλλήλως σιτούμενον. Τὸ δὲ *ΠΟΛΛΟΝ* νῦν, οὐκ ἐπίῤῥημα, ἀλλ' ὄνομά ἐστιν, ὁ πολλὸς, τοῦ πολλοῦ, τῷ πολλῷ, τὸν πολλόν. q) Εἰ δ' οὐκ ἦν ἡ εὐθεῖα ὁ πολλὸς, ἀλλ' ὁ πολὺς, ἡ δοτικὴ οὐ τῷ πολλῷ ἂν ἐγράφετο, ἀλλὰ τῷ πολεῖ, καὶ ὁ μεγάλος δὲ ὁμοίως εὐθεῖά ἐστι, καθὼς Αἰσχύλος δείκνυσι γράφων,

7o) Ὦ μεγάλε Ζεῦ, καὶ πολισσοῦχοι θεοί.

εἰ δὲ ἀπὸ τοῦ ὁ μέγας ἐκλίνετο, οὐκ ἂν τοῦ μεγάλου καὶ τοῖς μεγάλοις r) ἐκλίνομεν, ἀλλὰ τοῦ μέγα, καὶ τοῖς μέγαις, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. Tzetzes.

Ibid. *ΟΙ Δ' ΕΘΕΛΗΜΟΙ ΗΣΥΧΟΙ.* Ἐκ παραλλήλου τὸ αὐτὸ, ἀντὶ τοῦ ἥσυχοι. Ἢ ἐθελουσίᾳ γνώμῃ ὄντες ἥσυχοι· πολλοὶ γὰρ θορυβώδεις ὄντες, διά τινα περίστασιν ἄκοντες ἡσυχάζουσιν. Tzetzes.

119. *ΕΡΓ' ΕΝΕΜΟΝΤΟ.* Ἔργα νῦν τὴν συλλογὴν τῶν αὐτομάτων καρπῶν λέγει. Τὸ δὲ *ΕΝΕΜΟΝΤΟ*, ἢ ἤσθιον, ἢ ἔνεμον, καὶ διεμέριζον s) ἀλλήλοις. Tzetzes.

120. *ΑΥΤΑΡ ΕΠΕΙ ΚΕΝ.* Τίς μὲν ἡ ζωὴ τῶν ἐκ τοῦ χρυσοῦ γένους, εἶπεν. Ἀκολούθως δὲ φράζει, τίς ἡ μετὰ τὸν θάνατον αὐτῶν λῆξις καὶ τάξις. t) Τρία γὰρ, ὁ βίος, ὁ θάνατος, καὶ ἡ λῆξις. Εἴρηται δὲ, ἀπαθὴς μὲν ὁ βίος, ἄβλαστος δὲ ὁ θάνατος· τὸ δὲ τρίτον νῦν λέγεται δαιμονία v) ἡ λῆξις.

o) Sequens Schol. ad λοιπῶν ὁμοίως deest Trinc.

p) om. G.

q) εἰ μὴ γὰρ ἦν F. Mox τῷ πολλῇ pro οὐ τῷ πολλῷ G.

7o) * Ζεῦ. Tollo asteriscum, et versum Aeschyli hoc modo scribo: Ὦ μεγάλε Κρονίδη, καὶ πολισσοῦχοι θεοί. Heinsius. Non meminerat Heinsius haec verba derivari ex Sept. Theb. 828. (822.) ubi δαίμονες pro θεοί. Recte, opinor, ad eum locum observavit Butlerus, "Nescio an Tzetzes politicis versibus deditus verba illa Ὦ μεγάλε Ζεῦ καὶ πολισσοῦχοι θεοὶ pro praeclaro senario habuerit."

r) ἐλέγομεν E. G. Mox Ἐκ π.— ἥσυχοι. ἢ om. Trinc.

s) ἀλλήλοις. σὺν ἐσθλοῖς πολλοῖς, φιλαλληλία, δικαιοσύνῃ, καὶ τοῖς λοιποῖς Trinc.

t) τρίτον pro τρία γὰρ Dorv. et mox εὐδαιμόνων pro ἐν δαιμόνων.

v) Articulus accessit ex A. Dorv.

Οἱ γὰρ οὕτω βεβιωκότες, κατὰ βούλησιν θεῶν ἐν δαιμόνων τάξει καθίστανται, [67] [w]) τῶν ζωόντων θνητὸν βίον ἀνθρώπων, οἱ ἀγαθοὶ ὄντες καὶ τοῖς ἀνθρώποις ἀγαθῶν αἴτιοι, φυλάττοντες αὐτῶν ἀπήμονα τὸν βίον, εὔπορόν τε ποιοῦντες τὴν μετὰ τῶν σωμάτων αὐτῶν ζωήν. PROCLUS.

Ibid. [xx]) *ΑΥΤΑΡ ΕΠΕΙ ΚΕΝ.* Ἐπειδὴ δέ. Τὸ ΚΕ δὲ 101
μακρὸν, ὡς κοινὴ συλλαβή· εἰς μέρος γὰρ λόγου λήγει. Οἱ δὲ τὰ μέτρα οὐκ εἰδότες, καὶ ὅτι συμφώνου ἐπιφερομένου καὶ ταῦτα τὸ ν̄ ἀποβάλλουσι, μετὰ τοῦ ν̄ βούλονται γράφειν αὐτὸ κακῶς. TZETZES.

121. *ΤΟΙ ΜΕΝ ΔΑΙΜΟΝΕΣ.* Τοὺς μεθισταμένους τοῦ ζῆν, ὄντας δὲ φύλακας τοῦ βίου τῶν ἀνθρώπων, δαίμονας καλεῖ, παρὰ τὸ [x]) δαῆναι τὰ πάντα, ἢ μερίζειν τὰ ἀγαθὰ καὶ κακὰ τοῖς ἀνθρώποις. Ὅμηρος δὲ δαίμονας τοὺς ἀνθρώπους οὐ καλεῖ, ἀλλὰ τοὺς θεούς. Ἢ οὕτως· εἰς τέσσαρα διαιρεῖ τὴν λογικὴν πᾶσαν φύσιν· τὴν μὲν πρώτην θεῶν· τὴν δὲ δευτέραν δαιμόνων· τὴν δὲ τρίτην ἡρώων· καὶ τὴν τετάρτην ἀνθρώπων. Καὶ τὸ μὲν θεῖον ἡμῖν ἀνεπίμικτον· δαίμονας δὲ τοὺς ἐφορῶντας τὰ ἀνθρώπινα, ὡς καὶ Πλάτων φησίν. PROCLUS.

Ibid. *ΤΟΙ ΜΕΝ ΔΑΙΜΟΝΕΣ ΕΙΣΙ.* Ἤγουν θεοί. Ἐπιφωνηματικὸς δὲ ὁ λόγος, καὶ τολμηρὸς, θεοὺς [y]) ἐπιχθονίους λέγειν· δαίμονες γὰρ καὶ θεοὶ οἱ αὐτοὶ λέγονται κατά τινας. Ἄλλοι δὲ διαιροῦσι τοὺς δαίμονας, οὐσίας λέγοντες αὐτοὺς εἶναι ἀσωμάτους, τὰ περὶ γῆν ὁρῶντας καὶ ὑπὸ γῆν. Τινὲς δὲ καὶ τὰς ψυχὰς τῶν [z]) ἀποβιούντων. Ἥρωας δὲ καλοῦσι, τοὺς ἐκ τοῦ ζῆν [a]) μεταστάντας. Τὸ δὲ κρεῖττον, Θεοὶ οἱ θεώμενοι, καὶ βλεπόμενοι καὶ ὁρώμενοι ἀστέρες, καὶ τὰ στοιχεῖα· ἢ οἱ θέοντες καὶ τρέχοντες. *Δαίμονες* δὲ, αἱ ψυχικαὶ δυνά-

67) *τῶν ζωόντων θνητὸν βίον, ἀνθρώπων οἱ ἀγαθοὶ ὄντες*] Ita scripsi, cum male legeretur: *τῶν ζώων τὸν, θνητῶν βίον ἀνθρώπων.* HEINSIUS.

w) *ζώων τὸν θνητῶν βίον ἀνθρώπων ἀγαθοὶ* A. B. Trinc. *ζώντων ἔτι τὸν θνητὸν* Dorv.

xx) Deest hoc Scholion Trinc.

x) *δαῆναι ἤτοι ἐπίστασθαι* Dorv. Plato Legg. IV. p. 713. C. *Γιγνώσκων ὁ Κρόνος ἄρα, καθάπερ ἡμεῖς διεληλύθαμεν, ὡς ἀνθρωπεία φύσις οὐδεμία ἱκανὴ, τὰ ἀνθρώπινα διοικοῦσα αὐτοκράτωρ πάντα, μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεστοῦσθαι, ταῦτ᾽ οὖν διανοούμενος ἐφίστη βασιλέας τε καὶ ἄρχοντας ταῖς πόλεσιν ἡμῶν οὐκ ἀνθρώπους, ἀλλὰ γένους θειοτέρου τε καὶ ἀμείνονος, δαίμονας· κ. τ. λ.*

y) *ὑποχθονίους* Trinc.

z) *βιούντων* Trinc.

a) *μετὰ ταύτας* Trinc.

μεις καὶ αἱ ψυχαὶ, b) δαήμονες καὶ ἔμπειροι οὖσαι, ἢ δαΐζουσαι καὶ διαμερίζουσαι πάντα καὶ κρίνουσαι κατ' ἀξίαν. Ἥρωες δὲ, οἱ ζῶντες καὶ ὄντες ἀρετῆς τινὸς μέτοχοι· 71) ἄνθρωποι δὲ, οἱ c) ἀναθροῦντες καὶ γινώσκοντες ἃ ὀπώπασι. Θεοὺς δὲ καὶ ἐφόρους τῶν ἐπὶ γῆς, βουλῇ τῆς μεγαλοδυνάμου Εἱμαρμένης λέγει γενέσθαι, τοὺς ἀνεπιδέκτους κακίας ἀνθρώπους ἐκεί-
102 νους, καὶ τὰς ἐν ἀνθρώποις δικαιοσύνας καὶ ἀδικίας ὁρᾷν, ὅπως ἀναστέλλῃ τῆς ἀδικίας τὸν ἀδελφὸν, λογιζόμενον ὅτι δυνάμεις τινὲς εἰσὶν ἀφανῶς περιπολοῦσαι τὸν βίον, καὶ πάντα ὁρῶσαι καὶ κρίνουσαι. Tzetzes.

122. *ΕΣΘΛΟΙ, ΕΠΙΧΘΟΝΙΟΙ.* d) Πεπλασμένως, ἐπειδὴ οἱ θεοὶ ἐπουράνιοι, τούτους ἐπιχθονίους λέγει, ἵνα φόβος ἐγγένηται περισσὸς, διὰ τὸ πλησιάζειν τοὺς ἐφόρους. Proclus.

Ibid. e) *ΦΥΛΑΚΕΣ.* Ἐπιτηρηταὶ τῶν ἀνθρωπίνων πραγμάτων. *ΦΥΛΑΤΤΟΥΣΙΝ·* ἐπιτηροῦσιν. *ΔΙΚΑΣ* νῦν τὰς κρίσεις, μᾶλλον δὲ δικαιοσύνας. Tzetzes.

123. *ΣΧΕΤΛΙΑ.* Ἄδικα, φαῦλα· σχετικὰ γὰρ καὶ κρατητικὰ λίαν τὰ φαῦλα, καὶ παράμονα, καὶ μὴ συντόμως ἀφ' ἡμῶν ἀποτρέχοντα, καθάπερ τὰ χρηστά. Tzetzes.

124. f) *ΗΕΡΑ ἙΣΣΑΜΕΝΟΙ.* Ἀντὶ τοῦ ἀορασίαν ἐνδεδυμένοι. Λύσις δὲ τοῦτο τοῦ ἀντιπίπτοντος. Ἴσως γὰρ ἂν εἶπεν ὁ Πέρσης, εἰ ἐν γῇ εἰσὶ, πῶς οὐχ ὁρῶμεν αὐτούς· ὅθεν οὕτως εἶπεν. *ΗΕΡΑ* δὲ λέγει, τὴν ἀορασίαν· ὅτι ὁ ἀὴρ φύσει σκοτεινός ἐστιν, ὑπὸ δὲ τοῦ ἡλίου λαμπρύνεται. Τὸ *ΕΣΣΑΜΕΝΟΙ* δασυντέον· ἐκ τοῦ ἕω γὰρ, τὸ ἐνδύομαι· ὅθεν καὶ εἷμα, τὸ ἱμάτιον. Tzetzes.

Ibid. *ΗΕΡΑ ἙΣΣΑΜΕΝΟΙ.* Ἀντὶ τοῦ ἀορασίαν ἐνδυσάμενοι, πανταχοῦ κατὰ τὴν γῆν στρεφόμενοι. Moschop.

b) Ita Trinc. δαίμονες Heins. Mox μερίζουσαι Trinc.

71) ἀπώσασι. Verbum monstro non dissimile. Emenda hoc modo: ἄνθρωποι, οἱ ἄνω·ἀθροῦντες, καὶ γινώσκοντες ἃ ὀπώπασι. Male praeterea in editione emendatiore praetermissa erat vox, ἄνω. De emendatione si quis dubitet, audiat Etymologum iisdem verbis propemodum, ἢ παρὰ τὸ ἀθρεῖν ἃ ὄπωπεν, ἤγουν ἀναλογίζεσθαι ἃ εἶδε καὶ ἤκουσε. Ubi vox eadem quam emendavimus: nisi quod alter ἑνικῶς, alter πληθυντικῶς. Heinsius.

c) ἀναθροῦντες Ita E. Mox ἀπώσασι Bas. ex errore typothetae, ut videtur. Plato Cratyl. p. 399. c. ὁ ἄνθρωπος ἄνθρωπος ὠνομάσθη ἀναθρῶν ἃ ὄπωπε.

d) πεπλασμένως ad ἐπουράνιοι om. Dorv. Mox ibid. λέγεται—γένηται.

e) φύλακες ad πραγμάτων desunt Trinc. Mox φυλάττουσιν—δικαιοσύνας accesserunt ex E. F.

f) Hoc Scholion deest Trinc.

125. *ΠΛΟΥΤΟΔΟΤΑΙ.* Τοῦτο παιδευτικῶς εἶπεν, ἀποκρινόμενος πρὸς τοὺς βασιλεῖς, οἳ πολλοῦ δέουσιν εὐπόρους ποιεῖν τοὺς ἀνθρώπους δωροφάγοι τινὲς ὄντες. Μονονουχὶ λέγει σαφῶς, εἰ γέρας ἐστὶ g) βασιλικὸν προτεινόμενον ὑπὸ τῶν θεῶν τὸ ἀγαθοποιεῖν, καὶ πλουτοδότας εἶναι δεῖ τοὺς βασιλικοὺς ἄνδρας, h) καθαρεύειν τε πάσης κακουργίας, καὶ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὧν εἰσιν ἄλλοις χορηγοὶ κατὰ βούλησιν τῶν θεῶν. PROCLUS.

Ibid. *ΠΛΟΥΤΟΔΟΤΑΙ.* Τοῦτο εἶπεν, ἅμα καὶ τὸν ἀδελφὸν προτρέπων ἀγαθοεργεῖν, ἀνταμοιβὴν τοιαύτην ἐλπίζοντα· καὶ τοὺς δικαστὰς ἀποτρέπων δωροληπτεῖν, λέγων μᾶλλον βασιλεῦσι καὶ ἄρχουσιν ἁρμόδιον εἶναι τὸ διδόναι καὶ πλουτίζειν, ἢ τὸ λαμβάνειν. TZETZES.

Ibid. *ΠΛΟΥΤΟΔΟΤΑΙ.* Ἤγουν ταῖς ἑαυτῶν δωρεαῖς πλουτίζοντες τοὺς ἀνθρώπους. Καὶ τοῦτο, ἤγουν τὸ πλουτοδόται εἶναι, ἔσχον τιμὴν βασιλικὴν, ἤγουν βασιλεῦσι πρέπουσαν. MOSCHOP.

126. *ΔΕΥΤΕΡΟΝ ΑΥΤΕ ΓΕΝΟΣ.* Ὁ μὲν i) Ὀρφεὺς
τοῦ ἀργυροῦ γένους βασιλεύειν φησὶ τὸν Κρόνον, τοὺς κατὰ
τὸν καθαρὸν λόγον ζῶντας ἀργυροὺς λέγων, ὥσπερ τοὺς κατὰ
νοῦν k) μόνον χρυσοῦς. Ὁ δὲ Ἡσίοδος ἐθέλων τὴν μεταβο- 103
λὴν ἐνδείξασθαι τῆς ἀνθρωπίνης ζωῆς, τὸ ἀργυροῦν γένος τῶν
ἀνθρώπων ποιεῖ ῥᾴθυμον· πλὴν χεῖρον μὲν τὸ ἀργυροῦν γένος εἶναί φησι τοῦ χρυσοῦ, οὐκ εἰς ἄκραν δὲ κακίαν l) ὀλισθῆσαν, ἀλλ' εἰς ἀργίαν καὶ φυσικὴν ζωὴν ἀντὶ νοερᾶς. Ὅτι δὲ ἄργυρος ἰοῦ δεκτικὸς, m) ὃς καὶ διΐστησιν ἔξω τεμνόμενος ὑπὸ τῶν ὑγρῶν τὴν ὑγρότητα καὶ ψυχρότητα παντὸς μᾶλλον κεράμου καὶ χαλκοῦ, δῆλον. Ψύχεται γὰρ τὸ ὕδωρ ἐν αὐτῷ ῥᾳδίως καὶ θερμαίνεται περιτιθεμένων ψυχρῶν ἢ θερμῶν, ὥστε διὰ τῶν πόρων τούτων καὶ ἰὸν ἐνδέχεσθαι, τοῦ χρυσοῦ πυκνοτάτου ὄντος. PROCLUS.

Ibid. *ΠΟΛΥ ΧΕΙΡΟΤΕΡΟΝ.* Οὐχ ὅτι ἐκεῖνο κακὸν ἦν,

g) βασιλεῦσι Dorv.

h) καθαρεύειν πάσης τε καινουργίας B. Paul.o infra ἀνατρέπων pro ἀποτρέπων Trinc.

i) Vide Fragm. XLII. p. 497. ed. Herman.

k) μόνους B,

l) ἠλάθησαν Dorv.

m) ὡς A. B. Dorv. Trinc. ὑπὸ τῶν ὑγρῶν om. Dorv. qui habet

η٩

paullo post ψυχρότητα ϭ παντος μ.

ἀλλ' οὐχ ὅμοιον τῷ χρυσῷ. Τὸ δὲ ΠΟΛΥ ΧΕΙΡΟΤΕΡΟΝ, ἐστὶ συγκριτικὸν συγκριτικοῦ, αὐτὸ γὰρ τὸ χεῖρον συγκριτικόν. Ὡς εἶπε λωΐτερον· αὐτὸ γὰρ τὸ λῷον συγκριτικόν ἐστι. Τὸ δ' ἀργύρεον ἔνιοι τῇ γῇ ἀκούουσι, λέγοντες, ὅτι ἐν τοῖς μεγάλοις ἔργοις τὸ ἀργύριον τῆς γῆς γενεαλογεῖ. PROCLUS.

Ibid. [n]) ΔΕΥΤΕΡΟΝ ΑΥΤΕ ΓΕΝΟΣ ΠΟΛΥ ΧΕΙΡΟΤΕΡΟΝ. Γένους τοῦ χρυσοῦ πολὺ χειρότερον, ἤγουν τῶν ἀνεπιδέκτων κακίας ἀνθρώπων. Οἱ γὰρ τοῦ δευτέρου γένους προμηθέστεροι ἦσαν, καὶ τέχνας εὗρον. TZETZES.

Ibid. ΔΕΥΤΕΡΟΝ ΑΥΤΕ ΓΕΝΟΣ ΠΟΛΥ ΧΕΙΡΟΤΕΡΟΝ. Ἐπὶ ἀπαριθμήσεως τὸ δεύτερον, συγκριτικόν ἐστι συγκριτικοῦ τὸ χειρότερον, καὶ τὸ χεῖρον γὰρ συγκριτικόν. Ἔστι δὲ τὸ τοιοῦτον οὐδέποτε ἐν χρήσει παρὰ τοῖς κοινοῖς. Πολὺ χειρότερον, ἀντὶ τοῦ κατὰ πολὺ ἧττον τὴν ἀρετήν· οὐ γὰρ κακὸν ἦν τὸ πρότερον, ἵν' ᾖ τοῦτο χεῖρον. Τὸ ἑξῆς δῆλον. MOSCHOP.

128. ΟΥΤΕ ΦΥΗΝ. Τὸ μέγεθος, τὴν ἡλικίαν. Οἱ γὰρ [o]) πρότερον ἐκεῖνοι, ἅτε ἐκ τῆς γῆς γεννηθέντες, καὶ ἐξ ἀμιγῶν τῶν πρώτων στοιχείων, μεγάλοι τε ἦσαν τοῖς σώμασι καὶ εὐειδεῖς τὴν θέαν. Οἱ δὲ τοῦ δευτέρου γένους, ἅτε ἐξ ἀλληλογονίας ὄντες, ἥττονες τούτων ἐν ἀμφοτέροις ὑπῆρχον. ΦΥΗΝ, τὴν ἡλικίαν, παρὰ τὸ φύω, ἀπὸ μεταφορᾶς τῶν φυομένων δένδρων καὶ βοτανῶν. TZETZES.

Ibid. ΕΝΑΛΙΓΚΙΟΝ. Ἀλίγκιον καὶ κατ' ἐπέκτασιν, ἐναλίγκιον, τὸ ὅμοιον, ἀπὸ τοῦ ἅλις ἔγγιον, καὶ πλησίον καὶ ἐμφερὲς εἶναι. Καὶ τροπῇ τοῦ γ εἰς κ. TZETZES.

Ibid. ΟΥΤΕ ΝΟΗΜΑ. Κατὰ τὸ ἁπλοῦν ἐκεῖνο λέγει,
104 καὶ [p]) ἀπάνουργον. Οὗτοι γὰρ πολὺ τῶν προτέρων προμηθέστεροι, καὶ πανουργότεροι. TZETZES.

Ibid. ΧΡΥΣΕΩι ΟΥΤΕ ΦΥΗΝ ΕΝΑΛΙΓΚΙΟΝ, ΟΥΤΕ ΝΟΗΜΑ. [72]) Τῷ χρυσῷ γένει οὔτε κατὰ τὴν ἀναδρομὴν τοῦ σώματος ὅμοιον, οὔτε κατὰ τὴν γνώμην. MOSCHOP.

n) χεῖρόν φησι τὸ γένος τὸ δεύτερον, τῶν προτέρων ἀνθρώπων τῶν ἀνεπιδέκτων κακίας. προμηθέστερον δὲ, ὅτι τὰς τέχνας εὗρε. τὸ δ' οὔτε φυὴν ἐναλίγγιοι ἀντὶ τοῦ τὴν ἡλικίαν. Trinc.

o) πρότεροι Trinc.

p) πανουργίας ἐκτὸς ὄν Trinc.

72) Eleganter Moschopulus τὸ φυὴν, cum τῷ νοήματι opponitur, τὴν τοῦ σώματος ἀναδρομὴν exponit, quae quo tardius fiebat, eo tardius πρὸς τὸ μέγεθος perveniebant hujus aetatis homines: in

129. *ΑΛΛ' ἙΚΑΤΟΝ ΜΕΝ ΠΑΙΣ.* Ὀρθῶς τοῦ κακοῦ βίου τὴν ἀρχὴν ἐν τῇ μοχθηρᾷ τίθεται τροφῇ· τοιαύτη δὲ ἡ πολὺν χρόνον ἐν τῇ γυναικωνίτιδι q) γενομένη. Καὶ γὰρ Πλάτων τῶν Περσικῶν τινος τοῦτο κατέγνω βασιλέων τὸν υἱὸν ἐάσαντος πολὺν χρόνον r) ὑπὸ ταῖς γυναιξὶ τεθράφθαι. Εἰκότως οὖν ἀποβαίνειν τὸν οὕτω τρεφόμενον μέγα νήπιον, ὡς ἀμαθῆ πάντων ὧν δεῖ πράττειν, τὸν ἀνδρικὸν καὶ γεννάδα τὸ ἦθος. Proclus.

Ibid. s) *ΑΛΛ' ἙΚΑΤΟΝ ΜΕΝ.* Πάνυ φιλοσόφως ἀρχὴν φαύλου βίου καὶ κακοδαίμονος τὴν ἀνατροφὴν ὑποτίθεται· καὶ γὰρ ὁ Πλάτων ἔφη Κῦρον καὶ Δαρεῖον στρατιωτικοῖς ἔθεσι παιδευθέντας, ἄνδρας ἀγαθοὺς γενέσθαι· τοὺς δὲ παῖδας αὐτῶν, ἀσχολουμένους ἐν γυναιξὶ νεοπλούτοις καὶ τρυφώσαις, διαφθαρῆναι. ΑΛΛΩΣ. Κατὰ σύγκρισιν. Ἐπεὶ οὐ τῶν ρ' ἐλάττους ἔζων. Τὸ δὲ ἑκατὸν οὐκ ἐπὶ ὡρισμένου χρόνου, ἀλλ' ἐπὶ πλήθους· ἔστι γὰρ ἀόριστον ἀντὶ τοῦ πολλά. Proclus.

Ibid. *ΑΛΛ' ἙΚΑΤΟΝ ΜΕΝ ΠΑΙΣ ΕΤΕΑ.* Οἱ μὲν πρότεροι διόλου συνέζων ἀλλήλοις· οἱ δὲ τοῦ δευτέρου γένους προμηθέστεροι γεγονότες πολλὰ τὸν πρὶν βίον t) ἐκαινοτόμησαν, τέχνας καὶ ἕτερα εὑρόντες· καὶ τοῦτο δὲ προσεξεῦρον, μέχρι μὲν πολλοῦ τινὸς χρόνου τοῖς γονεῦσι συνεῖναι, καὶ οἰκουρεῖν μᾶλλον σὺν ταῖς μητράσι· καὶ οὕτω γυναικωδῶς v) ἀνετρέφοντο, ἐξελθόντες δὲ καὶ χωρισθέντες τῶν οἴκων τῶν πατρικῶν, τὰς ἀλλήλων ὕβρεις μὴ φέροντες, μηδὲ τὰ πρέποντα λογιζόμενοι, βραχύβιοι ἐγένοντο, ὑπὸ θλίψεών τε καὶ ὑπ' 105
ἀλλήλων ἀναιρούμενοι. Εἰκὸς δὲ καὶ τοὺς ἐν γυναικωνίτιδι

quo consistit horum ἐλάττωμα, primorum πλεονέκτημα. Φυὴν enim poetae ἐν τοῖς Ἡρωϊκοῖς ponunt: nostris vero demunt: qui propterea illis inferiores sunt. Εἶδος enim et μέγεθος in corpore praeclaro formam perficiunt, id est, ἡ φυὴ, καὶ ἡ μορφή. Unde illud: εἶδεΐ τε μεγέθει τε apud poetam: pulchritudo enim absque μεγέθει veteribus non considerabatur. Praeclare philosophus Ethicorum ad Nicomachum tertio: ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, ὥσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι. Οἱ μικροὶ δ' ἀστεῖοι καὶ σύμμετροι, καλοὶ δ' οὔ. Heinsius.

q) γινομένη Dorv. Platonis locus est Legg. III. p. 694. C. D. E. 695. D. E.

r) ἐν ταῖς Dorv.

s) Hinc ad διαφθαρῆναι om. A. Dorv.

t) ἐκαινοτόμησαν, καὶ ἕτερα πολλὰ εὑρόντες, προσεξεῦρον καὶ τοῦτο τὸ μέχρι πολλοῦ Trinc. ubi om. πρίν.

v) ἀνατρέφεσθαι. ἀλλὰ μετὰ τὴν ἥβην ἐξελθόντες καὶ Trinc.

τεθραμμένους, καὶ οἰκοσίτους, καὶ ἀταλοὺς, καὶ μὴ δυναμένους τλῆναί τι, βραχυβίους εἶναι, καὶ οὕτω τελευτᾷν· ὅθεν καὶ [w]) μεγαλονηπίους αὐτοὺς λέγει, διὰ τὴν τοιαύτην ἀνατροφήν. Ἀλλ' ἴσως ἐρεῖ τις, καὶ τί λοιπὸν ἦν τούτοις ἀγαθόν· πολλὰ ἦν ἐκείνοις τὰ ἀγαθὰ, ὅσα καὶ τοῖς προτέροις· ἓν δὲ ἢ δύο τὰ ἐλαττώματα· τὸ μὴ φέρειν ἀλλήλων τὴν ὕβριν, ἀλλ' ὀξυχολεῖν· καὶ τὸ μὴ θεραπεύειν θεοὺς, ἤγουν τὰς ψυχικὰς δυνάμεις· τουτέστι, τὸ [x]) μὴ προσκοπεῖν καὶ προλογίζεσθαι, στεῤῥονούστερόν τε καὶ πανουργότερον [y]) ποῖ τὰ τοῦ θυμοῦ τούτοις προβήσεται. Tzetzes.

Ibid. *ΑΛΛ' ἙΚΑΤΟΝ ΜΕΝ ΕΤΗ.* Ἤγουν πολλὰ ἐτρέφετο παῖς, ἤγουν διῃτᾶτο, παρὰ τῇ ἑαυτοῦ μητρὶ τῇ ἀγαθῇ. Moschop.

130. [a]) *ΑΤΑΛΛΩΝ.* Ὁ μετ' ἐπιμελείας τρεφόμενος, καὶ ὡς ἂν νηπιάζων ἀταλλόφρων, ὁ μηδὲ καρτερεῖν δυνάμενος, ὅθεν καὶ τὸ, Τέτλαθι. Proclus.

Ibid. [a]) *Ὧι ΕΝΙ ΟΙΚΩι.* Ἐνὶ ᾧ, τουτέστιν ἐν τῷ ᾧ, καὶ ἐν τῷ ἰδίῳ. Ἔστι δὲ τὸ σχῆμα ἀντιστροφὴ καὶ ἐπέκτασις. Tzetzes.

Ibid. *ΑΤΑΛΛΩΝ.* Τουτέστι μετ' ἐπιμελείας τρεφόμενος καὶ ὡς ἂν νηπιάζων ἐν τῷ σφετέρῳ οἴκῳ. Moschop.

Ibid. *ΜΕΓΑ ΝΗΠΙΟΣ.* Ἤγουν μεγάλως ἀμαθὴς καὶ ἀνόητος. Ἀλλ' ὅταν ἤκμασε καὶ εἰς μέτρον ἀκμῆς ἀφίκετο, ἐπὶ παυρίδιον χρόνον, ἤγουν πάνυ ὀλίγον, ἔζων. Moschop.

131. [b]) *ΗΒΗΣΕΙΕ, ΚΑΙ ἹΚΟΙΤΟ.* Ἀντὶ τοῦ ἥβησε, καὶ ἵκετο, Ἀττικῶς. Ἥβης δὲ μέτρον, ἡ ἥβη περιφραστικῶς. Ἥβη δὲ ἡ ἐνηλικίωσις λέγεται. Tzetzes.

132. *ΠΑΥΡΙΔΙΟΝ ΖΩΕΣΚΟΝ.* [c]) Εἰ πολλῷ χρόνῳ, ἐτρέφοντο, ὀλίγον δὲ διέζων καὶ ἤκμαζον, πῶς οἱ τρέφοντες αὐτοὺς διέζων; ἴσως οὖν πρὸς [d]) ἀπολογίαν τῆς ἐκτροφῆς.

w) Ita E. *μεγάλους νηπίους* Bas. G. *μεγάλως ν.* Heins. *μεγάλος αὐτοὺς νηπίους* Trinc.

x) *μὴ* om. Trinc. *στεῤῥονούστερον τ. κ. π.* om. Trinc.

y) *πῇ* Trinc. *ποῦ* E.

z) Hunc locum respicit Etymologus p. 161, 52. quem confer p. 753, pen.

a) Deest hoc Scholion Trinc.

b) Deest hoc Scholion Trinc.

c) *Ἀπορία. Διὰ πολλοῦ χρόνου* Dorv.

d) *ἀναλογίαν* Dorv. qui mox habet *ἀρετῶν* pro *ἑκατὸν ἐτῶν* (i. e. *ρ̄ ἐτῶν.*)

Τὸ δὲ παυρίδιον ζώεσκον, ὡς πρὸς σύγκρισιν τῶν ἑκατὸν ἐτῶν. Proclus.

Ibid. [e]) *ΠΑΤΡΙΔΙΟΝ.* Ὀλίγον· γίνεται δὲ ἐκ τοῦ παύω, παῦρον, τὸ ὀλίγον καὶ βραχὺ, καὶ συντόμως παυθῆναι δυνάμενον, καὶ παραγωγῇ ὑποκοριστικῇ Ἀττικῇ παυρίδιον. Εἰκότως δὲ οὗτοι βραχὺν τὸν χρόνον διέζων, τῶν πατρικῶν οἴκων ἐκστάντες. Ἀπραγμόνως γὰρ ἦσαν καθεδούμενοι τοῖς πα- 106
τρικοῖς οἴκοις, καὶ ἐξ ἐκείνων τρεφόμενοι. Ἐκστάντες δὲ τούτων, καὶ φροντίσι τρυχώμενοι, ἔτι δὲ καὶ πρὸς ἀλλήλους ὀξυχολοῦντες, καὶ διαπληκτιζόμενοι, συντόμως τὸν βίον κατέστρεφον. Tzetzes.

Ibid. *ΑΛΓΕ' ΕΧΟΝΤΕΣ.* Ἤγουν λύπας, διὰ τὰς ἑαυτῶν ἀφροσύνας. Ἀπὸ τοῦ μερικοῦ δὲ ἀποτείνει εἰς τὸ καθόλου· τοῦτο δὲ σύνηθες καὶ παρὰ τοῖς κοινοῖς· οὐκ ἐδύναντο γὰρ ἀλλήλων ἀπέχειν, ἤγουν μακρὰν ἔχειν χαλιναγωγεῖν ἀπ' ἀλλήλων. Moschop.

133. *ΥΒΡΙΝ ΓΑΡ.* Ταῦτα ἑπόμενά ἐστι ταῖς ῥαθύμοις ζωαῖς τῶν ἀνθρώπων, διὰ μαλθακίαν ἐξυβρίζειν, καὶ μήτε τῶν εἰς ἀλλήλους ὕβρεων ἀπέχεσθαι, μήτε τῶν εἰς τοὺς θεοὺς τιμῶν ἀντέχεσθαι· ζῆν δὲ ὁμοίως φυτοῖς πίνοντας καὶ ἐσθίοντας. Οὕτω [f]) ζήσαντες Συβαρῖται καὶ Κολοφώνιοι πρότερον ἀπώλοντο, Περσῶν δὲ καὶ Μήδων ἥψατο τὸ πάθος. Proclus.

Ibid. [g]) *ΥΒΡΙΝ ΓΑΡ ΑΤΑΣΘΑΛΟΝ.* Τὴν θάλλουσαν ἐν κακοῖς, ἤτοι τὴν ἄδικον ὕβριν ἀπέχειν καὶ κωλύειν ἀπ' ἀλλήλων οὐκ ἠδύναντο. Tzetzes.

Ibid. *ΥΒΡΙΝ ΑΤΑΣΘΑΛΟΝ.* Ἤγουν ἀθέμιτον, παράνομον· ἀτάσθαλοι γὰρ οἱ εἰς θεὸν ἐξαμαρτάνοντες, καὶ ἀτάσθαλον ἔργον δηλονότι τὸ ἀθέμιτον καὶ παράνομον. Οὐδὲ θεοὺς ἤθελον τιμᾶν, οὐδὲ θύειν ἐπὶ τοῖς ἱεροῖς βωμοῖς τῶν μακάρων, ἤγουν τῶν θεῶν, καθὰ πρέπον ἐστὶ τοῖς ἀνθρώποις κατ' ἔθος. Τούτους μὲν δὴ ὁ Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου ἠφάνισεν ὀργιζόμενος· τοῦτο γὰρ τὸ ἔκρυψε χολούμενος, ὅτι οὐκ ἐδίδουν τοῖς θεοῖς τιμὰς, οἳ τὸν οὐρανὸν οἰκοῦσιν. Ἐπειδὴ δὲ καὶ τοῦτο τὸ γένος κατεκάλυψεν ἡ γῆ, ἀντὶ τοῦ τὰ σώματα

e) Deest hoc Scholion Trinc.

f) συζήσαντες οἱ Π. Dorv. Mox καὶ Περσῶν A. B. Dorv. δὲ om. B.

g) Usque ad ἠδύναντο om. Trinc.

αὐτῶν ἀποθανόντων, οὗτοι μὲν, ἀντὶ τοῦ αἱ ψυχαὶ τούτων, καλοῦνται ὑποχθόνιοι μάκαρες θνητοί. MOSCHOP.

134. *ΟΥΔ' ΑΘΑΝΑΤΟΥΣ ΘΕΡΑΠΕΥΕΙΝ.* Οὐδὲ τὰς ψυχικὰς δυνάμεις καὶ τὰ πάθη ἤθελον θεραπεύειν, ἤγουν κρατεῖν θυμοῦ, καὶ τοῦτον πραΰνειν, h) καὶ τὰ ὅμοια δρᾷν. TZETZES.

135. *ΟΥΔ' ΕΡΔΕΙΝ ΜΑΚΑΡΩΝ ἹΕΡΟΙΣ ΕΠΙ ΒΩΜΟΙΣ.* Οὐδὲ ἐν τῷ βωμῷ καὶ κατοικίᾳ καὶ θυσιαστηρίῳ τῶν θεῶν, ἤγουν τῶν ψυχικῶν δυνάμεων, ἤθελον ἔρδειν καὶ πράττειν καὶ θύειν· τουτέστι, συλλογίζεσθαι καὶ καταπείθεσθαι· ἀλλ' ἐδίδουν αὐτοὺς ἐκ μικρᾶς ἀφορμῆς τῷ θυμῷ. Βωμὸς δὲ τῶν θεῶν τούτων, ὁ περὶ τὴν κεφαλὴν ἡμῶν τόπος, ἤτοι τὸ λογιστικόν· ὡς καὶ Εὐριπίδης φησί που i),

Οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος·
Καὶ βωμὸς αὐτῆς ἔστ' ἐν ἀνθρώπου φύσει.

Τὰ δὲ περὶ τῶν μυθικῶν θεῶν, ὅτι οὐκ ἔθυον θεοῖς, ἐῶ λέγειν, ὡς προχείρως καὶ βρέφεσιν εὔληπτα. TZETZES.

107 135. *ΜΑΚΑΡΩΝ.* Μάκαρες οἱ μὴ κηρὶ καὶ k) θανατηφόρῳ μοίρᾳ ὑποπίπτοντες. TZETZES.

136. *Ἡι ΘΕΜΙΣ.* Οὕτω συντακτέον· οὐδ' ἤθελον ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς, κατὰ τὰ ἤθεα, καὶ τὰς διαγωγὰς αὐτῶν, καὶ διατριβάς· ἤγουν τὴν ἑαυτῶν ζωὴν, καθὰ θέμις καὶ δίκαιόν ἐστι τοῖς ἀνθρώποις. ΘΕΜΙΣ δὲ, ἡ εὐθεσία, καὶ τὸ δίκαιον· παρὰ τὸ συγκατατίθεσθαι πάντας αὐτῷ ὡς καλῶς ἔχοντι. TZETZES.

140. l) *ΤΟΙ ΜΕΝ ὙΠΟΧΘΟΝΙΟΙ.* Οἱ μὲν πρὸ τούτων ἐπιχθόνιοι ἦσαν κατὰ τὴν λῆξιν καὶ ἀγαθῶν χορηγοὶ καὶ φύλακες τῶν θνητῶν, οὗτοι δὲ θνητοὶ φύλακες καὶ ὑποχθόνιοι λέγονται, ὡς ἐν τοῖς ὑπὸ m) τὴν γῆν ταχθέντες τόποις, διότι φυσικὴν εἶχον ζωὴν ἀντὶ νοερᾶς, ἐοικότες τοῖς φυτοῖς τοῖς τὰς κεφαλὰς n) ὑπὸ γῆν ἔχουσιν· εἰκότως οὖν o) ὑποχθόνιοι, θνητοὶ δὲ φύλακες, ὡς ζῶντες κατὰ τὸ θνητὸν ἑαυτῶν·

h) Hinc ad βωμοῖς om. Trinc.

i) Antig. Frag. 2. Τὰ δὲ ad fin. om. Trinc. λέγειν accessit ex E.

k) θανατηφόρῳ dedi ex E. Mox ἱεροῖς ex E. et αὐτῷ ex F. Deest hoc Schol. cum seq. Trinc.

l) τῶν ἐπιχθονίων Dorv.

m) τὴν et mox τόποις om. Dorv.

n) ὑπὸ γῆν om. A. ἔχουσιν ὑπὸ τὴν γῆν B. ἔχουσιν ἐν γῇ κατερριζωμένας· αἱ γὰρ ῥίζαι τῶν φυτῶν κεφαλαί εἰσιν Dorv.

o) ἐπιχθόνιοι Dorv.

τοιαύτη γὰρ ἡ φυσικὴ ζωή. Τίνων δὲ φύλακες; ἢ δηλονότι [p]) ψυχῶν, αἵ τινες ἐν ἐκείνοις τοῖς τόποις διατρίβουσιν οὐκέτι φυσικῶς ζήσασαι, ἀλλ' εἰς πᾶσαν ὀλισθήσασαι κακίαν· διὸ περὶ τούτων προσέθηκεν, ὅτι καὶ αὐτοῖς τιμὴ τὶς ὀπηδεῖ, καθόσον οὐ μεγάλα ἐξειργάσαντο κακὰ, οἷα τῶν ἐφεξῆς τούτοις· PROCLUS.

Ibid. [q]) ΖΕΥΣ ΚΡΟΝΙΔΗΣ. Ἡ ἀπροόρατος εἱμαρμένη νῦν. TZETZES.

Ibid. [79]) ΤΟΙ ΜΕΝ ΕΠΙΧΘΟΝΙΟΙ ΜΑΚΑΡΕΣ. Μὴ

p) ψυχῶν, ἐν ἐκ. τ. τ. διατριβουσῶν, ὀ. φ. ζησασῶν — ὀλισθησασῶν A. B. Dorv. Mox οἷα τὰ τῶν Dorv.

q) Deest hoc Scholion Trinc.

79) Gravissima videlicet lis, quam Proclo scribit Tzetzes: eam nos, tanquam τῆς δίκης κύριοι, decidemus. Disputarunt olim veteres Critici, quae ἐπιπολάζουσαι λόγων ἔριδες hodieque saeculum nostrum exercent, utrum de secundo Δαιμόνων genere cum agit Hesiodus, eos ὑποχθονίους dixisset, atque ita legendum esset; an vero ἐπιχθονίους, sicut vocantur primi. Proclus ὑποχθόνιοι legit: in quem propterea invehitur Tzetzes, τῷ ἀνδρὶ κατὰ τὸ τραχύτερον προσφερόμενος, ut mos ipsius est, et ἐπιχθόνιοι legendum vult: hoc argumento, quod δεύτεροι dicantur ἐπιχθόνιοι, hi secundi: sicut primi, πρῶτοι ἐπιχθόνιοι. En cor Xenocratis, (Zenodoti) jecur Cratetis! Argumentum infirmum. Quis enim Tzetzen docuit δεύτεροι et ἐπιχθόνιοι conjungendum esse? ex quo infinitae absurditates sequentur. Primo sicut sunt δεύτεροι ἐπιχθόνιοι, ita δεύτεροι erunt θνητοί. Ex quo sequetur, etiam primos fuisse θνητούς. Quod contra disciplinam Platonicam est. Illud vult Hesiodus: τοὶ δὲ δεύτεροι, nimirum δαίμονες, ὑποχθόνιοι θνητοὶ μάκαρες καλέονται. Ita secundi a primis distinguuntur. Primo quod ὑποχθόνιοι sunt sicut primi ἐπιχθόνιοι: quod θνητοὶ sunt, sicut primi ἀθάνατοι: ita enim peculiariter ab Hesiodo οἱ τῆς πρώτης τάξεως Δαίμονες vocantur, in quo infra quoque misere lapsus est Tzetzes, in illo nimirum: ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες Ἀθάνατοι λεύσσουσιν: et in illo: Τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ Ἀθάνατοι Ζηνός. Quem locum fastuose risit cum non perciperet. Primi igitur Daemones ab Hesiodo, δεύτεροι ἀθάνατοι ἐπιχθόνιοι dicuntur: secundi Daemones, θνητοὶ ὑποχθόνιοι μάκαρες. Tyrius Maximus: Θεὸς μὲν οὖν αὐτὸς κατὰ χώραν ἱδρυμένος, οἰκονομεῖ τὸν οὐρανὸν καὶ τὴν ἐν οὐρανῷ τάξιν· εἰσὶ δ' αὐτῷ φύσεις ἀθάνατοι, οἱ καλούμενοι ἀθάνατοι δεύτεροι, ἐν μεθορίῳ γῆς καὶ οὐρανοῦ τεταγμένοι· θεοῦ μὲν ἀσθενέστεροι, ἀνθρώπων δὲ ἰσχυρότεροι· θεῶν μὲν ὑπηρέται, ἀνθρώπων δὲ ἐπιστάται· θεῶν μὲν πλησιαίτατοι, ἀνθρώπων δὲ ἐπιμελέστατοι. Primi sunt ἀθάνατοι, secundi θνητοί: primi sunt δεύτεροι ἀθάνατοι, πρῶτοι δαίμονες: secundi sunt δεύτεροι δαιμομονες, πρῶτοι θνητοί. Primi dicti sunt ἐπιχθόνιοι, διὰ τὸ ἐν μεθορίῳ γῆς τε καὶ οὐρανοῦ τετάχθαι, qua ratione et ἐγκόσμιοι dicuntur, ut alibi diximus, et aliis nominibus: secundi ὑποχθόνιοι, διὰ τὸ κατὰ λῆξιν ὑπὸ τῆς χθονὸς τετάχθαι. Apparet fastus Tzetzis ἀλόγιστος: quem omnia haec Proclus, merito διάδοχος magni viri, et familiae principis, καὶ τὸν καθηγητὴν ἐπιγεγραμμένος, docere potuisset, nisi se jam scire putas-

ὑποχθόνιοι εἴπῃς, ὡς ὁ Πρόκλος. Τὸ γὰρ δεύτερον ἀπαιτεῖ καὶ αὐτοὺς ἐπιχθονίους δευτέρους λέγεσθαι μάκαρας. Tzetzes.

141. ΔΕΥΤΕΡΟΙ. Ἤγουν ἀπολειπόμενοι τῆς τοῦ πρώτου γένους τάξεως, ἀλλ' ὅμως τιμὴ ἀκολουθεῖ καὶ τούτοις. Moschop.

142. ΤΡΙΤΟΝ ΑΛΛΟ ΓΕΝΟΣ. Τοῦτο τὸ γένος εἰκότως τρίτον, οὔτε r) νωθρὸν ὄν, οὔτε πανοῦργον, ἀλλὰ δεινὸν ὄντως καὶ εἰς τυραννικὴν δυναστείαν ἐκλακτίσαν καὶ φονικὸν, τῶν σωμάτων μόνων ἐπιμελούμενον. Διό φησιν,

Ἄπλατοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον—

δηλοῖ γὰρ, ὅτι τῶν σωμάτων τὴν ῥώμην ἤσκουν οἱ ἐν τούτῳ τῷ γένει, τῶν δ' ἄλλων ἀμελοῦντες περὶ τὴν τῶν s) ὅπλων κατασκευὴν διέτριβον, καὶ τῷ χαλκῷ πρὸς τοῦτο ἐχρῶντο, ὡς τῷ σιδήρῳ πρὸς γεωργίαν, διά τινος βαφῆς τὸν χαλκὸν t) στεῤῥοποιοῦντες, ὄντα φύσει μαλακὸν, ἐκλιπούσης δὲ τῆς u) βαφῆς ἐπὶ τὴν τοῦ σιδήρου καὶ ἐν τοῖς πολέμοις χρῆσιν ἐλθεῖν. Τοῦτο δὴ τὸ χαλκοῦν γένος ἐκ μελιᾶν εἶπε v) φῦναι Δωρικῶς, ἀντὶ τοῦ ἐκ τῶν μελιῶν τῶν δένδρων, οὐχὶ ἐκ τῶν Μελιῶν Νυμ-
109 φῶν· καὶ γὰρ Μελίας w) Νύμφας εἶναι φασίν· ἄτοπον γὰρ τοὺς ἐκ τοῦ θείου γένους ὄντας θηριώδεις φῦναι· ἀλλ' ὡς ἐκ δένδρων στερεῶν καὶ x) δυσσήπτων γεγονότας, τά τε σώματα γενέσθαι ἰσχύοντας, καὶ τὰ ἤθη ἀτεράμονας καὶ βιαίους· τοῦτο γὰρ αἰνίττεται ἡ ἐκ τῶν μελιῶν αὐτοῖς γένεσις. Proclus.

set. Aristidem, qui τοὺς πρώτους δαίμονας, ὑποχθονίους vocari meminerat, memoria fefellit: καὶ ὑπὸ γῆς ὄντες, inquit apud Photium orator ille, τὴν γῆν φυλάττοντες αὐτὴν, ἀλλ' οὐχ' ὑπ' αὐτῆς ἐχόμενοι· τῆς Ἡσιόδου προῤῥήσεως ἐγγύτατα ἥκοντες μετέχειν, ἣν ἐκεῖνος εἰς τὴν τοῦ χρυσοῦ γένους τελευτὴν ἐποίησεν, εἰπών· Οἱ μὲν δαίμονες ἁγνοὶ ὑποχθόνιοι καλέονται· Ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων. Qui versus longe aliter, quam apud Hesiodum leguntur hodie, concepti sunt alibi, ut supra diximus. Heinsius.

r) νοερὸν Dorv. et mox φοινικόν et μωρίων pro μόνων. ἐπιμελὲς A. Dorv.

s) πόλεων Dorv.

t) στεροποιούσης Dorv.

u) βαφῆς ἦλθον Dorv. Mox ἐλθεῖν om. A. Dorv.

v) φᾶναι Dorv.

w) Deest Dorv. Νύμφης Trinc. Mox φησὶν A. Trinc. ἄτοπον γὰρ τοὺς B. θείου γένους φῦντας εἶναι θηριώδεις. Dorv. ἄτοπον δὲ τὸ ἐκ Trinc.

x) δυσπίπτων Dorv. τάγε σώματα A. Dorv.

141. *ΑΛΛ' ΕΜΠΗΣ.* [y])Ὅμως. Ἔστι δὲ ἐναντιωματικὸς σύνδεσμος· ἀντὶ τοῦ, ὅμως καὶ ὀξυχόλοις οὖσι, καὶ τινὰ κεκτημένοις ἐλαττώματα, ἕπεται καὶ τούτοις τιμή. TZETZES.

142. *ΖΕΥΣ ΔΕ ΠΑΤΗΡ.* [80]) Χάλκειον γένος τοὺς γίγαντας λέγει, διὰ τὸ [z])πολεμικοὺς εἶναι· χαλκοῖς γὰρ τὸ παλαιὸν καὶ ὅπλοις, καὶ ξίφεσι, καὶ γεωργικοῖς ἐργαλείοις ἐχρῶντο, βαφῇ τινὶ ταῦτα στομοῦντες. [a])Ἀπολλυμένης δὲ τῆς στομούσης βαφῆς τὸν χαλκὸν, χρώμεθα τῷ σιδήρῳ. Χαλκὸς δὲ λέγεται, χάλυβός τις ὤν· ὅτι πρῶτοι Χάλυβες αὐτὸν εὗρον. Ἐγὼ δὲ ἀρχῆθεν τὸν σίδηρον εἶναί φημι. Λέγεσθαι δὲ [b])τὸν πολεμικὸν καὶ ἀναιρετήριον ὑφ' Ὁμήρου χαλκὸν ἐπιθετικῶς, παρὰ τὸ χέειν τὴν ἀλκήν· οἷον, ξίφος χάλκεον, [c])ἔγχεϊ χαλκείῳ, τῷ χέοντι τὴν ἀλκὴν καὶ τὴν δύναμιν τῶν ἀναιρουμένων. Ἢ πειστέον μοι τῷ Ἡσιόδῳ, καὶ τοῖς λοιποῖς·

Ἃ γὰρ ἀκριβῶς οὐκ ἐπίσταμαι λέγειν
Στέργω σιωπᾷν, ἢ λαλεῖν οὐ καιρίως. TZETZES.

Ibid. *ΖΕΥΣ ΔΕ ΠΑΤΗΡ.* Ὁ Ζεὺς δὲ ὁ πατὴρ τῶν ἀνθρώπων καὶ τῶν θεῶν ἐποίησεν ἄλλο γένος ἀνθρώπων τρίτον, χάλκειον, ἤγουν χαλκοῦν, οὐχ ὅμοιον οὐδαμῶς τῷ ἀργύρῳ. MOSCHOP.

144. [d])*ΕΚ ΜΕΛΙΑΝ.* Νυμφῶν, ἢ Δωρικῶς Μελιᾶν εἶπεν, ὅτι (οὐκ) ἐκ τῶν [73])ἐξ γόνων τοῦ οὐρανοῦ· τινὲς δὲ ἀλληγοροῦσι μελίας τὰς φροντίδας. *ΑΛΛΩΣ.* Ἀπὸ ξύλου τινὸς ἀνόητον γένος λέγει καὶ ἀσύνετον· οὗτοι, φησὶν, οὐκ ἐκ γένους θεῶν. PROCLUS.

Ibid. [e]) *ΕΚ ΜΕΛΙΑΝ.* Τρίτον φησὶ γενέσθαι γένος παρὰ τῆς Εἱμαρμένης, τὸ Γιγαντικὸν ἐκεῖνο, τὸ μάχιμον. [f])Οἱ

y) Hinc ad *ἀντὶ τοῦ* om. Trinc.

80) *Ζεὺς δὲ πατὴρ*] Haec verba in emendatiore tale quid sequebatur, *καὶ μερόπων ἐῤῥέθη ὄπισθεν*: quae ex authoritate alterius, ut glossam ineptam, delevimus. Irrepserant autem ex Hesiodi verbis: *Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων* etc. HEINSIUS.

z) *πολεμικὰ* Trinc.

a) *ἀπολωλυίας* Trinc.

b) *τῶν πολεμικῶν ὅπλων καὶ ἀναιρετικῶν ξιφῶν τὸν σίδηρον χαλκὸν ἐπιθετικῶς* Trinc.

c) *χαλκῷ ὑποχέοντι* Trinc. Mox *ἀλκὴν καὶ τὴν* om. Trinc.

d) Deest hoc Scholion A. Dorv.

73) *ἐξ γόνων*] *Ἴσως ἐκγόνων.* HEINSIUS. Malim *ἀπογόνων*. Praepositiones *ἐξ ἀπὸ* in MSS. facile confundi posse monstrabit Tabula Bastiana V. n. 18.

e) Hinc ad *γένος ποδαπὸν* om. Trinc.

f) *Οἱ περὶ Πρόκλον* dedi ex E. F. Mox *μάνθανε* pro *μάθε* ex E.

110 περὶ Πρόκλον τὸ ΕΚ ΜΕΛΙΑΝ, Δωρικῶς περισπῶσιν, ἐκ τῶν μελιῶν λέγοντες γενέσθαι τοὺς γίγαντας, ἀλλ' οὐκ ἐκ Νυμφῶν· ὧν, εἰ χρεία σοι, ἐξ ἐμοῦ μάνθανε καὶ τὰ ὀνόματα. Ἑλίκη, Κυνόσουρά τε καὶ Ἀρέθουσα καὶ Ἴδη, Κρώμνη, Βριθὼ, Καλαινὼ, Ἀδράστεια, καὶ Γλαύκη. Οὐκ ἐκ τούτων τῶν μελιῶν, ἀλλ' ἐκ μελιῶν δένδρων φασὶν αὐτοὺς, ἤγουν στερεούς. Ἐγὼ δέ φημι, ἡ Εἱμαρμένη ἐποίησεν g) τρίτον ἄλλο γένος, ποδαπόν; ἐκ μελιᾶν, ἤγουν σκληρόν. Ἢ h) ἀπὸ τῶν μελιῶν δένδρων ὧν κἀκεῖνοι φασὶν, ἢ i) ἀπὸ τῶν ἔξω μελῶν καὶ σωμάτων ἀνθρωπίνων δοκεῖν εἶναι, διά τε τὸ ὑπέρογκον αὐτῶν, καὶ τὸ φονικόν. Οὐκ ἐφείδοντο γὰρ τῶν οἰκείων σωμάτων, ὥσπερ εἰ λίθος χρὼς ἦν k) αὐτοῖς ἠὲ σίδηρος,

Χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοισιν.

l) Οὕτω γοῦν ἐγὼ φημὶ ἐκ μελιᾶν λέγεσθαι. Ἢ παρὰ τὸ ἐκμελὲς καὶ ἄῤῥυθμον εἶναι, καὶ ἀπειθὲς ἀπὸ μεταφορᾶς τοῦ μέλους τοῦ μουσικοῦ. Tzetzes.

Ibid. m) ΟΜΒΡΙΜΟΝ. Ἰσχυρόν. Βριμὼ δὲ καὶ ὀβριμὼ κυρίως ἡ Περσεφόνη, ἤγουν ἡ γῆ καὶ ὁ θάνατος, καλεῖται· ὅθεν τὸ ὄβριμον λέγεται. Tzetzes.

Ibid. ΕΚ ΜΕΛΙΑΝ. Ἤγουν ἐκ τῶν μελιῶν τῶν δένδρων τοῦτο, φησὶν, ἐποίησεν, ἃ στερεὰ καὶ δύσσηπτά ἐστιν, ἀντὶ τοῦ σκληρὸν καὶ ἀπάνθρωπον. Moschop.

Ibid. ΔΕΙΝΟΝ ΤΕ ΚΑΙ ΟΜΒΡΙΜΟΝ. Ἤγουν χαλεπὸν καὶ φοβερόν· διὰ φροντίδος γὰρ ἦν τούτοις τὰ ἔργα τοῦ Ἄρεως, ἤγουν τοῦ πολέμου, τὰ στονόεντα, ἤγουν τὰ στεναγμῶν αἴτια· καὶ ὕβρεις, ὅτι οὐδὲ σῖτον ἤσθιον, ἤγουν ἀνθρωπίνην τροφήν. Ἀπὸ τῆς διαίτης δὲ τὴν γνώμην ἐμφαίνει, ὡς εἰ ἔλεγεν, οὐδὲ ἀνθρωπίνην εἶχον γνώμην, ἤγουν ἥμερον, ἔξω θηριωδίας, πρὸς ὃ ἐπάγεται οἰκείως, ἀλλὰ ψυχὴν εἶχον ἀπὸ ἀδάμαντος, τουτέστιν ἀδαμαντίνην. Moschop.

g) Sic H. ἄλλο γένος τρίτον F. ἀλλότριον γ. edd.

h) ὑπὸ E. σκληρὸν καὶ στερεὸν ἀπὸ Trinc. ὧν mox addidi ex E. F. οὗ G. κἀκεῖνοι φασιν om. Trinc.

i) ἀπὸ τοῦ ἔξω Trinc. Bas. δοκεῖ Trinc.

k) αὐτοῖς om. E. Bas. Mox βαλλομένων γε. Trinc.

l) οὕτω — λέγεσθαι om. Trinc. καὶ ἄρρυθμον om. Trinc. γενέσθαι pro λέγεσθαι F.

m) ὄβριμον Trinc. ἰσχυρὸν ἀπὸ τῆς βριμοῦς Trinc. ὅθεν καὶ ὁ. Trinc.

n) Deest hoc Scholion A. Dorv.

145. *ΟΥΔΕΤΙ ΣΙΤΟΝ.* Ἀλληλοφαγίαν ἴσως [74]) ἐνόσουν, ἤγουν θηρίων κρέα ἤσθιον· παρέλιπε γὰρ τὸ εἰπεῖν τί ἤσθιον. Ἀδάμας δέ ἐστιν εἶδος σκληροῦ λίθου σίδηρον τέμνοντος. PROCLUS.

Ibid. *ΟΥΔΕ ΤΙ ΣΙΤΟΝ ΗΣΘΙΟΝ.* [o]) Τῷ μὴ δ' ἐν τοῖς καιροῖς τῶν τραπεζῶν αὐτοὺς ἠρεμεῖν, ἀλλ' ἐνόπλους καὶ πεφυρμένους ἐσθίειν ἐν αἵμασιν, εἶπεν αὐτοὺς μηδὲ σῖτον ἐσθίειν. Τραπέζης γὰρ καὶ σίτων καιρὸς, ὁ εἰρηναῖος, καὶ τερψίθυμος. TZETZES.

Ibid. *ΑΔΑΜΑΝΤΟΣ ΕΧΟΝ ΘΥΜΟΝ.* Τουτέστι, σκλη- 111
ρὰν ψυχὴν εἶχον, καὶ ἀκαμπεῖς ἦσαν, ὥσπερ ὁ ἀδάμας. Ἀδάμας δέ ἐστιν καὶ εἶδος σιδήρου, καὶ λίθος στεῤῥὸς, ὃς δι' ὑπερβάλλουσαν πυκνότητα οὔτε πυροῦται, οὔτε σιδήρῳ τέμνεται· ἀλλὰ μολίβδῳ, καὶ [p]) αἵματι τράγου. TZETZES.

146. *ΚΡΑΤΕΡΟΦΡΟΝΑ.* Ἤγουν σκληρογνώμονα. MOSCHOP.

147. [q]) *ΑΠΛΑΣΤΟΙ.* Ἀπροσπέλαστοι, οἷς οὐδεὶς πλησιάζει, ἄγριοι. TZETZES.

Ibid. *ΑΑΠΤΟΙ.* Ἀκράτητοι, ἢ ἄφοβοι. Ἄπτωος γὰρ ὁ ἄφοβος, Αἰολικῶς [r]) μικρογραφεῖται. TZETZES.

Ibid. *ΑΠΛΑΤΟΙ.* Τουτέστιν, ἀπλήρωτοι, μεγάλοι τὰ σώματα· τὴν ῥώμην γὰρ ἤσκουν τῶν σωμάτων καὶ τὴν ἐπιμέλειαν. Μεγάλη δὲ βία καὶ ἰσχὺς ἦν δηλονότι αὐτοῖς. MOSCHOP.

Ibid. *ΚΑΙ ΧΕΙΡΕΣ ΑΑΠΤΟΙ.* Ἤγουν ἄψαυστοι· διὰ τὸ φοβερὸν δηλονότι καὶ ἰσχυρὸν, *ΕΞ ΩΜΩΝ ΕΠΕΦΥΚΟΝ* ἐξετείνοντο ἐπὶ συγκεκροτημένοις καὶ ὄγκον ἔχουσι μέλεσιν, ἀπὸ τοῦ πέφυκα παρακειμένου, ἐνεστὼς πεφύκω, ὡς ἀπὸ τοῦ δέδοικα δεδοίκω. Τούτοις δὲ ἦν χαλκᾶ μὲν τὰ τεύχη, ἤγουν τὰ ὅπλα, χαλκοῖ δέ [s]) τε οἶκοι, ἀντὶ τοῦ, τὰ ἐν τῷ οἴκῳ σκεύη. Τὸ ἦν ἀντὶ τοῦ ἦσαν, ὡς καὶ παρὰ Σοφοκλεῖ·

Ἦν δ' ἀμφιπλεκτοὶ κλίμακες.

Καὶ ἀπὸ τούτου γίνεται κατὰ συγκοπὴν τῆς σα συλλαβῆς. Διὰ

74) ἐνόσουν] Scribe ἐνόουν. HEINSIUS.

o) Διὰ τὸ Trinc.

p) καὶ λέοντος αἵματι καὶ τράγου μαλάσσεται. τὰ ἑξῆς δῆλα Trinc.

q) Deest hoc Scholion Trinc.

r) μικρὸν γράφεται E. Eustath. Il. Α. p. 150, 14. χεῖρες ἄαπτοι, αἱ δειναὶ καὶ ἀπτόητοι κατὰ Ἀρίσταρχον.

s) οἱ pro τε Trinc. B. mox καὶ addidi ex B. ἀμφὶ πλεκταὶ male ed. Heins.

τοῦ χαλκοῦ δὲ τὰ γεωργικὰ ἔργα εἰργάζοντο, διά τινος βαφῆς στεῤῥοποιοῦντες αὐτόν. Μέλας δὲ σίδηρος οὐκ ἔσκεν, ἤγουν οὐκ ἦν. Καὶ οὗτοι μὲν δαμασθέντες, τουτέστι φονευθέντες, ὑπὸ ταῖς σφετέραις, ἀντὶ τοῦ ταῖς ἀλλήλων, χερσίν. Ἡ δοτικὴ δὲ μετὰ τῆς ὑπὸ, τὴν ὑποταγὴν δηλοῖ καὶ ἧτταν Ἀττικῶς· ἔβησαν εἰς τὸν οἶκον τοῦ ψυχροποιοῦ Ἅιδου, τὸν εὐρώεντα, ἤγουν τὸν σκοτεινὸν, ἢ τὸν πλατὺν, ἀνώνυμοι. Θάνατος δὲ κατέσχεν αὐτοὺς μέλας, ἀντὶ τοῦ σκότου ποιητικὸς, καί περ ὄντας ἐκπάγλους, κατὰ μετάθεσιν τοῦ λ' ἀπὸ τοῦ ἐξεπλάγην, ἤγουν ἐκπληκτικούς. Τὸ λαμπρὸν δὲ ἔλιπον φῶς τοῦ ἡλίου. Ἐπειδὴ δὲ καὶ τοῦτο τὸ γένος κατεκάλυψεν ἡ γῆ, αὖτις ἔτι ἄλλο τέταρτον, ἤγουν ἐπὶ τούτοις πάλιν ἄλλο τέταρτον γένος, θείων ἀνδρῶν ἡρώων, δίκαιον καὶ καλὸν, ὁ Ζεὺς ὁ Κρονίδης ἐποίησεν ἐπὶ τῇ χθονὶ τῇ πολυειδεῖς τροφὰς δωρουμένῃ, οἳ καλοῦνται ἡμίθεοι (πρὸς τὸ σημαινόμενον ἀποδέδωκε) τῇ προτέρᾳ ἡμῶν γενεᾷ γεγονότες κατὰ τὴν ἄπειρον γῆν, ἤγουν τὴν κυκλοτερῆ. Καὶ τούτους μὲν πόλεμός τε κακὸς καὶ μάχη χαλεπὴ ὤλεσε· τοὺς μὲν ἐπὶ ταῖς ἑπταπύλαις Θήβαις, τῇ γῇ λέγω τῇ τοῦ Κάδμου, μαχομένους ἕνεκα τῶν μήλων τοῦ Οἰδίποδος, ἀντὶ τοῦ τῆς κτήσεως, ἀπὸ τοῦ πλείονος (οἱ παλαιοὶ γάρ, φασὶ, τὴν κτῆσιν ἐν τοῖς
112 τετράποσιν εἶχον) τοὺς δὲ, καὶ εἰς Τροίαν ἀγαγὼν ἐν ναυσὶν, ἐπὶ τοῦ μεγάλου κύματος τῆς θαλάσσης, ἕνεκα τῆς Ἑλένης τῆς καλλίτριχος, ὤλεσεν, ὁ πόλεμος δηλονότι ἀπὸ κοινοῦ. Ἐνταῦθα δὴ, ἤγουν ἐν τῇ Τροίᾳ καὶ ταῖς Θήβαις. Τὸ ΗΤΟΙ ἐνταῦθα ἀντὶ τοῦ δή. Τούτους μὲν τὸ τοῦ θανάτου τέλος περιεκάλυψεν, ὁ Ζεὺς δὲ ὁ Κρονίδης ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν, ζωὴν καὶ διατριβὰς τούτοις παρασχὼν ἰδίᾳ ἀπὸ τῶν ἀνθρώπων, εἰς τὰ πέρατα τῆς γῆς φέρων ᾤκισε· καὶ οὗτοι μὲν οἰκοῦσιν ἐν ταῖς νήσοις τῶν μακάρων, κατὰ τὸν Ὠκεανὸν τὸν βαθύῤῥουν, ψυχὴν ἔχοντες φροντίδων ἀπηλλαγμένην, ὄλβιοι ὄντες ἥρωες· ἤγουν μακάριοι, τούτων γὰρ χάριν φύει ἡ γῆ ἡ τὰ πρὸς ζωὴν δωρουμένη καρπὸν μελιηδέα, ἤγουν γλυκὺν, θάλλοντα τρὶς ἐπὶ τοῦ ἔτους. MOSCHOP.

148. [1]) ΕΞ ΩΜΩΝ ΕΠΕΦΥΚΟΝ. Δίκην δένδρων ἐφύοντο, ἐκ τοῦ πεφύκω ῥήματος. Διὰ δὲ τοῦ ἐπέφυκον, δείκνυσι τὸ πελώριον τούτων, καὶ γιγαντόσωμον. TZETZES.

[1]) Deest hoc Schol. Trinc. et seq.

149. *ΧΑΛΚΕΟΙ ΔΕ ΤΕ ΟΙΚΟΙ.* Οὐχὶ χαλκοὶ ἦσαν. Διὰ δὲ τὸ εἶναι πεπληρωμένους τευχέων v) πολεμικῶν, χαλκοὺς αὐτοὺς λέγει. Tzetzes.

151. *ΚΑΙ ΤΟΙ ΜΕΝ ΧΕΙΡΕΣΣΙΝ.* w) Αὐτοὶ παρ' ἑαυτῶν κατέῤῥευσαν, ὡς δύσμικτοι καὶ θηριώδεις ὄντες, οἷον ἀλληλοφονοῦντες, καὶ εἰκότως εἰς τὸν ὑποχθόνιον τόπον καταδύντες, ἐν ᾧ τὸ ἄτακτον x) συνέωσται τοῦ κόσμου, καὶ τὸ θηροφανὲς τῶν δαιμόνων γένος, 75) οὓς κύνας εἴωθε τὰ λόγια καλεῖν. Εἰσὶ μὲν οὖν οὗτοι τρίτοι τινὲς εἰκότως ἀπὸ τῶν χρυ- 113 σῶν· ἐκεῖνοι μὲν γὰρ ἀπαθεῖς, οἱ δὲ μετ' αὐτοὺς οὔτε ἀπαθεῖς, οὔτε ἐμπαθεῖς, y) εἰ καὶ τελευτῶντες ἐξύβριζον διὰ τὴν εὐπορίαν τῶν ἀναγκαίων· οὗτοι δὲ οὐ μόνον ὑβρισταὶ, ἀλλὰ καὶ φονικοὶ καὶ ἐμπαθεῖς, καὶ εἰς ἐσχάτην ἐλθόντες μοχθηρίαν, ὥστε ἐν τῇ τριάδι περιειλῆφθαι τὴν ἀνθρωπίνην ζωὴν, τῷ χρυσῷ, τῷ ἀργύρῳ, τῷ χαλκῷ· καὶ γὰρ τούτων ἡ τάξις τῶν ὑλῶν z) τοιαύτη ἐστίν· ὁ μὲν χρυσὸς ἡλιοειδὴς, διότι φῶς μόνον ὁ ἥλιος ἄϋλον· ὁ δὲ ἄργυρος a) σεληνιαῖος· διότι καὶ ἡ σε-

v) πολλῶν F.

w) περὶ ἑαυτῶν A. παρ' ἑαυτοῖς Dorv. An παρ' ἑαυτούς?

ν

x) συνίενται Dorv. συνεώσται B. Mox θηριοφανὲς Dorv. et deinde εἰκότως pro μὲν οὖν Dorv.

75) Notat Proclus ἐν τοῖς λογίοις primam post Deos potestatem, nimirum τοὺς Δαίμονας, appellari κύνας solere: procul dubio, quod ministri et custodes vicem Deorum obtinerent: ita Apollonius Harpyias a Jove missas, κύνας Διὸς dixit: *Οὐ θέμις, ὦ υἱεῖς Βορέω, ξιφέεσσιν ἐλάσσαι Ἁρπυίας, μεγάλοιο Διὸς κύνας.* Et Euripides Bacchas, sacrificulas et ministras τοῦ θεοῦ τοῦ φιλοπαίγμονος, κύνας Διονύσου dixit, et Erinnyas κύνας τῆς Ἑκάτης Lucanus (VII. 733.) Nec aliam ab hac causam dispicio cur apud Aristotelem lib. Rhetor. secundo Pindarus Pana, κύνα μεγάλας θεοῦ, dicat. Philosophus enim ubi agit de peculiari quadam specie τῶν φαινομένων ἐνθυμημάτων, hoc exemplo utitur: ἢ εἴ τις τὸν κύνα ἐγκωμιάζων, τὸν ἐν οὐρανῷ συμπαραλαμβάνει· ἢ τὸν Πᾶνα, ὅτι Πίνδαρος ἔφη, *ὦ μάκαρ ὅν τε μεγάλας θεοῦ κύνα παντοδαπὸν καλέουσιν ὀλύμπιοι.* Veteres ministrum et administratorem τῆς φύσεως Pana statuebant, quam μεγάλαν θεὸν vocavit Pindarus, cujus eum κύνα dixit. Aliter certe neque Philosophi mentem neque Pindari assequor. Nec enim Lycophron alia ratione κύνας Ἀπόλλωνος, τοὺς μάντεις dixit: ubi de vatibus Mopso et Amphilocho: *Δοιοὶ δὲ ῥείθρων Πυράμου παρ' ἐκβολαῖς Αὐτοκτόνοις σφαγαῖσι Δηραίνου κύνες Δμηθέντες, αἰχμάσουσι λοισθίαν βοὴν Πύργων ὑπὸ πτέρνῃσι Παμφύλου κόρης.* Vocavit eos Apollinis Deraeni *canes*, ut Proclus τοὺς δαίμονας κύνας τοῦ Διός. Isacius aliquid fortasse notavit ad locum illum, cum dixit: κύνας Ἀπόλλωνος τοὺς μάντεις εἶπεν, ἀπὸ μεταφορᾶς τοῦ φιλοδεσπότου τῶν κυνῶν: nihil vero, cum addidit: ἢ ὅτι τῶν ἄλλων ἁπάντων ἀλόγων μόνος ὁ κύων ἀποβλέπει πρὸς τὰ ἀγάλματα. Heinsius.

λήνη σκιᾶς δεκτική, καθάπερ καὶ ἄργυρος ἰοῦ· ὁ δὲ χαλκὸς χθόνιος, καθόσον οὐκ ἔχων [b])ὁμοίως τὸ φωτεινὸν, πολλῆς ἐστιν ἀνάπλεως σήψεως. PROCLUS.

150. [c])*ΧΑΛΚΩι Δ' ΕΡΓΑΖΟΝΤΟ.* Ἐν χαλκῷ ἐργαλείῳ· δικέλλαις, ἀξίναις, καὶ λοιποῖς. TZETZES.

151. *ΣΦΕΤΕΡΗιΣΙ.* Καταχρηστικῶς, ἀντὶ τοῦ ἑαῖς καὶ ἰδίαις. Τὸ γὰρ σφετέραις κυρίως ἐπὶ δευτέρου προσώπου ἐστὶν, ἀντὶ τοῦ ὑμετέραις· κἂν ὁ Πρόκλος μᾶλλον ὄπισθεν ἀντιστρόφως ἐδίδασκε καταφορικῶς καὶ ἀφορήτως, κατὰ Ἡσιόδου [d])φερόμενος. TZETZES.

152. *ΕΥΡΩΕΝΤΑ ΔΟΜΟΝ.* Σκοτεινὸν, ἢ πλατύν. [e])Ἀττικῇ ἐκτάσει τὸ ρω μέγα· ἢ παρὰ τὸ εὐρεῖαν καὶ πλατεῖαν ἔχειν τὴν ὤαν καὶ ὀροφὴν, καὶ τὴν χώρησιν ἁπλῶς. Καὶ μετὰ τοῦ β δὲ γράφειν οὐκ ἀπαναίνομαι, ἐβρώεντα αὐτὸν λέγων, ὡς σήψεως [f])ἀνάμεστον· ὥσπερ καὶ κρυερὸν, διὰ τὸ ψυχροὺς εἶναι τοὺς ἀποθνήσκοντας, ἐκλείποντος τοῦ ζωτικοῦ θερμοῦ. TZETZES.

153. [g])*ΕΚΠΑΓΛΟΥΣ.* Καταπληκτικοὺς, φοβεροὺς, ἐκ τοῦ ἐκπλήσσω. Ἀλλὰ τί ἐν τοῖς πάνυ σαφέσι πολυλογοῦμεν; καθάπερ τινὲς ἕτεροι, οἳ τὰ λόγου ἐχόμενα καὶ τὰς ἀλληγορίας παρέντες, περὶ τὰ τοιαῦτα ἐχρονοτρίβησαν, πολλὴν [h]) κἂν νέοις τούτων ἀντὶ καθάρσεως βατίαν καὶ ἄχερδον ἐπισπείραντες. TZETZES.

114 154. *ΗΕΛΙΟΙΟ.* Ἁλιός τις ὢν, ὡς ἐξ ἁλὸς, ἤγουν θαλάσσης, τὴν γένεσιν ἔχων. Ἢ δήλιός τις ὢν, καὶ φανερὸς, καὶ ἀφαιρέσει τοῦ δ ἥλιος. TZETZES.

y) οἱ pro εἰ καὶ Dorv. et mox idem κακῶν pro ἀναγκαίων.

z) τοιαύτη τις Dorv.

a) σεληναῖος Dorv. mox καὶ ante ἄργυρος om. A. B. Dorv. ὢν pro ὁ δὲ Dorv.

b) ὁμοίους Dorv. τὸ φωτεινὸν pro τῷ φωτεινῷ ex A. Dorv.

c) Desunt in Trinc. ad Ἡσιόδου φερόμενος.

d) φερόμενος· καί τοι γε μᾶλλον ἐκείνῳ τοῦ ποιητοῦ καλῶς χρησαμένου· νῦν γὰρ μᾶλλον κατεχρήσατο. E.

e) Ἀττικῇ ἐ. τ. ρ. μ. om. Trinc. ἀπὸ τοῦ Trinc. pro παρὰ τὸ—καὶ τὴν ὀρ. ἤγουν την Trinc. καὶ μετὰ ad λέγων om. Trinc.

f) ἢ εὐρώεντα ὡς σ. πεπλησμένον Trinc. κρυερὸν αὐτὸν λέγουσι Trinc. E. Mox θνήσκοντας Trinc.

g) Hinc ad fin. Schol. om. Trinc.

h) ἐνίοις E. κἂν ἐν νεοῖς G. πολλὴν ἐν τούτοις ἐνίοις ἀντὶ καθάρσεως βατίαν καὶ ἄχερδον ἐπισπείραντες. *ΠΕΡ ΕΟΝΤΑΣ.* ἐναντιωματικὸς σύνδεσμος. *ΘΑΝΑΤΟΣ ΜΕΛΑΣ.* Σκοτεινὸς, παρὰ τὸ λάω τὸ βλέπω· φάος ἐκ τοῦ φῶ, τὸ λαμπρύνω. F. et fere E.

156. *ΕΤ' ΑΛΛΟ ΤΕΤΑΡΤΟΝ.* Τὸ μὲν τρίτον γένος ἐξέλιπε διὰ τοῦ κατακλυσμοῦ φησι. Μετὰ δὲ τὸν κατακλυσμὸν, γένος παρῆλθεν εἰς τὸν βίον [i]) ἱερὸν, τὸ τῶν ἡμιθέων, ἀρκέσαν ἕως τῶν Τρωϊκῶν ἐπὶ ἑπτὰ ἢ καὶ ὀκτὼ γενεάς· καὶ γὰρ Εὔμηλος ὁ στρατεύσας ἐπὶ Τροίαν υἱὸς ἦν Ἀδμήτου, αὐτὸς δὲ Φέρητος, οὗτος δὲ Κρηθέως, [k]) ὁ δὲ Αἰόλου, ὁ δὲ τοῦ Ἕλληνος, οὗτος δὲ Δευκαλίωνος· καὶ Γλαῦκος τοῦ Ἱππολόχου, τοῦ Βελλεροφόντου, τοῦ Γλαύκου, τοῦ Σισύφου, τοῦ Αἰόλου, [l]) τοῦ Ἕλληνος, τοῦ Δευκαλίωνος· ὁ οὖν Γλαῦκος, ὄγδοος. Τὸ [m]) τοίνυν Ἡρωϊκὸν γένος ἄχρι τοσούτου διήρκεσεν ἀρετῇ διαπρέψαν. *ΑΛΛΩΣ.* Ἔτ' ἄλλο τέταρτον, τουτέστι τὸ ἐκ Πανδώρας γένος, ἥτις ἦν κατὰ τὸν [n]) Αἰσχύλον,

Τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνή.

Ὥσπερ δὲ τὰ ἄλλα γένη ἀπὸ τῆς περὶ αὐτὰ ὕλης ἐκάλεσεν, χρυσοῦν καὶ ἀργυροῦν, οὕτω καὶ τοῦτο ἀπὸ τῆς γῆς, ὃν ἡρωϊκόν. Ἔρα γὰρ ἡ γῆ, καὶ ἠρία τὰ χώματα· προείρηκε δὲ ὅτι ὁ Ζεὺς ἐκέλευσεν Ἥφαιστον

περίκλυτον ὅττι τάχιστα
[o]) γαῖαν ὕδει φύρειν.

Ἐπλάσθη τοίνυν πρώτη ἡ Πανδώρα, ἣν ἔγημεν Ἐπιμηθεὺς, ἐξ ὧν Δευκαλίων, καὶ [p]) Πύῤῥα. Ἀλόγως δὲ λέγουσιν ὅτι Προμηθεὺς ἀνθρώπους ἔπλασεν, ὃς τοσοῦτον ἀποδεῖ τοῦ μὴ πεπλακέναι, ὥστε καὶ προσέτασσεν Ἐπιμηθεῖ μὴ προσίεσθαι τὴν Πανδώραν. Πανδώρας [q]) γοῦν καὶ Ἐπιμηθέως γίνεται Δευκαλίων, καὶ Πύῤῥα· Δευκαλίωνος δὲ Ἕλλην, τούτου Αἰόλος, οὗ Κρηθεὺς, [r]) οὗ Φέρης, οὗ Ἄδμητος, οὗ Εὔμηλος ὁ ἐπὶ Τροίαν στρατεύσας· διὰ δὲ τοῦ ἀληθοῦς πιστοῦται [s]) τὸ ἡγούμενον, ἵνα μὴ ἔγκλημα φύσεως ἐπὶ τὸ χεῖρον ῥεπούσης λέγῃ. Τὸ δὲ *ΔΙΚΑΙΟΤΕΡΟΝ*, ἀντὶ τοῦ δίκαιον· οὐ γὰρ ἔδωκε σύγκρισιν πρὸς ἕτερον· τὸ δὲ *ΑΡΕΙΟΝ*, ἢ βέλτιον, ἢ πολεμικόν. PROCLUS.

i) ἱερὸν τὸ om. Dorv. qui mox addit νεκρῶν post ἡμιθέων.

k) οὗτος δὲ Αἰόλου οὗτος δὲ Ἑλ. Dorv.

l) τοῦ Ἕλληνος om. B.

m) δ' οὖν pro τοίνυν Dorv. et mox om. ἄχρι.

n) Fr. inc. CXXIII.

o) γάλα Dorv. Mox καὶ ἡ Π. Dorv. sine τοίνυν.

p) πῶρος Dorv. et mox λέγεται pro λέγουσιν.

q) om. A. Dorv. οὖν B. γίνεται δὲ Dorv.

r) τούτου φ. τούτου E. Dorv.

s) τὰ ἡγούμενα Dorv.

Ibid. *ΑΥΘΙΣ.* t) Τὸ *ΑΥΤΙΣ* φασι ἐπὶ τοῦ εἰς τοὐπίσω τίθεσθαι, τὸ δὲ *ΑΥΘΙΣ*, ἐπὶ τοῦ πάλιν, καὶ ἐκ δευτέρου.
115 Ἐγὼ δὲ Ἰωνικῶς μὲν αὖτις φημὶ λέγεσθαι ἐπ' ἀμφοτέρων. Ψιλωταὶ γὰρ οἱ Ἴωνες. Ἐπ' ἁρμάτων γάρ φασι, καὶ λευκίππην, καὶ ἀπηλιώτης, καὶ τὰ ὅμοια. Ἀττικῶς δὲ, τό τε εἰς τοὐπίσω, καὶ τὸ ἐκ δευτέρου αὖθις. Δασυνταὶ γὰρ οἱ Ἀττικοὶ, τοὺς λίσπους λίσφους λέγοντες, καὶ τὰ σπέτλα σφέτλα, καὶ ἀμπέχει ἀμφέχει, καὶ ἐπίσης ἐφίσης, καὶ τὰ ὅμοια. Ὅθεν εἴ σοι ἀρεστὸν, σημείωσαι τοῦτο. Εἰ δ' οὐ θέλεις, πλανῶ σὺν τοῖς ἄλλοις. Tzetzes.

157. v) *ΔΙΚΑΙΟΤΕΡΟΝ.* Ἀντὶ τοῦ δίκαιον, ἢ δικαιότατον, τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ, ἢ ἀντὶ τοῦ ὑπερθετικοῦ. Οὐ γὰρ δικαιοτέρους αὐτοὺς λέγει τῶν Γιγάντων, οἵ τινες w) Γίγαντες κατὰ μὲν τὴν ἡμετέραν γραφὴν κατεκλύσθησαν, κατὰ δὲ τὸν Ἡσίοδον ἐμφυλίῳ πολέμῳ ὑπ' ἀλλήλων ἀνῃρέθησαν. Εἰ γὰρ δικαιοτέρους τῶν ἀπηνῶν καὶ x) σκληροτέρων ἐκείνων Γιγάντων αὐτοὺς λέγει, ὑβρίζων ἐστὶ τοὺς Ἥρωας, ὅπερ οὐ φαίνεται ποιῶν· θεῖον γὰρ γένος, καὶ ἡμιθέους τούτους καλεῖ. y) *ΑΡΕΙΟΝ* δὲ ἢ πολεμικὸν, ἢ ἀντὶ ὑπερθετικοῦ ἄριστον καὶ βέλτιστον. Tzetzes.

158. *ΚΑΛΕΟΝΤΑΙ ΗΜΙΘΕΟΙ.* Ἥρωας μὲν αὐτοὺς z) ἐκάλουν, ἢ ὡς ἐκ τῆς ἔρας, ὡς εἴρηται, ἢ ὡς ἐξ ἔρωτος γεγονότας, ἢ θεῶν ἐρασθέντων γυναικῶν, ἢ θεαινῶν ἐρασθεισῶν ἀνδρῶν· ἡμιθέους δὲ, ὡς τὸ μὲν ἔχοντας θεῖον, τὸ δὲ ἀνθρωπικὸν κατὰ τὴν γένεσιν. Ὥσπερ οὖν ἐστι θεῶν μόνον a) τὸ ἐξ ἀμφοτέρων θεῶν, καὶ b) ἀνθρώπων τὸ ἐξ ἀμφοτέρων ἀνθρώπων, οὕτω δὴ καὶ τὸ σύμμικτον ἔκ τε θεῶν καὶ ἀνθρώπων, ἡμίθεοι λέγονται. Αὐτὴν δὴ ταύτην τὴν ἐν τῇ γενέσει διαφορὰν ἀναφέρειν δεῖ πρὸς τὸ εἶδος τῆς ζωῆς· ὅσοι μὲν γὰρ κατὰ τὴν ἀνάγωγον ζωὴν μᾶλλον διέπρεψαν, τούτους ἐκ πατρὸς μὲν θεοῦ, μητρὸς δὲ c) ἀνθρώπου

t) Hinc ad σὺν τοῖς ἄλλοις desunt Trinc.
v) τὸ τέταρτον γένος δικαιότερον λέγει ἀντὶ τοῦ Trinc.
w) om. Trinc.
x) σκληρῶν γιγάντων ἐκείνους Trinc. F. Mox ποιητικῶς pro πολεμικὸν F.
y) Hinc ad fin. om. Bas. G.
z) ἐκάλεσεν Dorv. Mox ἢ ὡς ἐκ τῆς ε. ὡ. ἢ. om. A. B. Dorv. De Etymologia consulatur Plato Cratyl. p. 398. D.
a) ὡς τὸ Dorv.
b) ἀνθρωπίνων Dorv. Mox οὕτω ad λέγονται om. Dorv.
c) ἀνθρώπου γενέσεως Dorv.

παρέδοσαν· οσοι δὲ κατὰ τὴν πρακτικὴν ἀρετὴν, τούτους ἀνάπαλιν ἐκ θεαίνης μὲν μητρὸς, πατρὸς δὲ ἀνθρώπου. Καὶ γὰρ ἄμφω μὲν θεῖα, καὶ τὸ ἀνάγωγον καὶ τὸ πρακτικόν· ἀλλὰ τὸ μὲν ἀῤῥενωπὸν, ὡς ἐῤῥωμενεστέρας ὂν ζωῆς, τὸ δὲ θηλυπρεπὲς, ὡς ὑφειμένον κατὰ τὴν δύναμιν, καὶ ὡς τὸ μὲν ἀπαθέστερον, τὸ δὲ συμπαθέστερον τοῖς θνητοῖς.

ΤΗΛΟΥ ΑΠ' ΑΘΑΝΑΤΩΝ ΤΟΙΣΙ ΚΡΟΝΟΣ ΕΜΒΑΣΙΛΕΥΕ. Τοῦτον καὶ τὸν ἑξῆς, ὡς φληναφώδεις, ἐξοικίζουσι τῶν Ἡσιόδου, τά τε ἄλλα φαυλίζοντες, [76]) καὶ τὸ ἐνθουσιαστικὸν τῆς εἰσβολῆς τῶν μετ' αὐτοὺς στίχων ἀφαιρεῖν [d]) εἰπόντες. Ὡς γὰρ ἀποβλέψας εἰς τὸ κατ' αὐτὸν τῶν ἀνθρώπων 116
γένος μετὰ τὴν ἐξύμνησιν τῆς τῶν ἡμιθέων λήξεως, ἐπάγει, (172.)

Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.

[77] [e]) δι' ὧν οὐ μόνον δηλοῖ τὴν ἀπὸ τῶν κρειττόνων εἰς τὸ χεῖρον εἶδος τῆς ζωῆς μεταβολὴν, ἀλλὰ καὶ ἀνάπαλιν ἔσεσθαι ἀπὸ τῶν χειρόνων εἰς τὸ κρεῖττον. Τὸ γὰρ Η ΕΠΕΙΤΑ ΓΕΝΕΣΘΑΙ εὔχεσθαι δηλοῖ, καὶ ἀμείνους ἔσεσθαί τινας τῶν κατ' αὐτὸν ἀνθρώπων ὕστερον· ὥστε καὶ ἐκ τούτου δῆλον, ὅτι τὰς μεταβολὰς ἠθέλησε παραδοῦναι τῶν περιόδων τῆς ἀνθρωπίνης ζωῆς εἰς τἀναντία γινομένας. Proclus.

158. ΗΡΩΩΝ. Ἥρωες λέγονται ἢ ἀπὸ τῆς ἔρας, ἤγουν τῆς γῆς, κατὰ διάλεκτον· ἐξ ἧς πᾶς ἄνθρωπος ἥρως ἂν λεχθείη. Ἢ ἀπὸ τοῦ ἀέρος· αἱ ψυχαὶ γὰρ τῶν ἀγαθῶν ἀνθρώπων διαζυγεῖσαι [f]) σωμάτων καθ' Ἕλληνας, τὸν ἀέρα περιπολοῦσαι ἐφορῶσι τὰ τῇδε. Ἢ ἀπὸ τῆς Ἀρετῆς, ὥς φησιν Ὀρφεύς: (ΛΙΘ. 63.)

Μητέρα δ' ἡρώων Ἀρετὴν [g]) ἀπάτερθε κλύοντες.

76) καὶ τὸ ἐνθουσιαστικὸν τῆς εἰσβολῆς τῶν μετ' αὐτοὺς στίχων ἀφαιρεῖν εἰπόντες] Ita emendavi hunc locum, cum legeretur, καὶ τὸ ἐνθουσιαστικὸν τῆς εισβολῆς, τὸν μετ' αὐτοὺς στίχων ἀφαιρεῖν εἰπόντος. Sine sensu ullo. Heinsius.

d) εἰπόντος A. B. ἀπόντος Trinc.

77) Tota haec glossa post versus illos, Μηκέτ' ἔπειτα, usque ad verba illa Hesiodi, Καὶ τοὺς μὲν etc. παρέγγραπτος est, et ab imperito librario addita: infra suo loco iterum eandem habes. Heinsius.

e) Haec ad finem Scholii h. l. retinui cum MSS. Eadem auctoritate delevi infra ad v. 172. ubi repetuntur in edd.

f) σωμάτων om. Trinc. Mox περὶ πολοῦσι καὶ Trinc.

g) ἀπάτερθε Trinc. G. H. ἀπάπαρθε E. ἐπάνερθε F. ἀπάνερθε Bas. ἀπένερθε Heins.

[82]) Ἡ ἀπὸ τῆς ἐράσεως καὶ μίξεως τῶν θεῶν· ληροῦσι γὰρ, ὅτι οἱ θεοὶ θνηταῖς γυναιξὶ μιγνύμενοι, [h]) καὶ ἀνδράσι θεαὶ, ἐποίουν τὸ τῶν ἡρώων γένος. Ἰστέον δὲ, ὅτι ἄνδρες θνητοὶ καὶ γυναῖκες θνηταὶ τὸ φθαρτόν ἐστι τῆς ἡμῶν φύσεως· αἱ ψυχικαὶ δὲ δυνάμεις, ἃς καὶ [i]) θεὰς ἔφασαν, τῇ ἡμετέρᾳ ταύτῃ φθαρτῇ φύσει μιγνύμεναι, ἡμιθέους καὶ ἥρωας τοὺς κτησαμένους αὐτὰς ἀπεργάζονται. [83]) Ὑπὸ γοῦν τοῦτο [k]) ἥρωες, καὶ τὰ ἕτερα τρία ἀνάγονται, [l]) τὸ ἐξ ἔρας καὶ γῆς, τὸ ἐν τῷ ἀέρι πολεῖν τὰς ψυχὰς, καὶ τὸ ἐξ ἀρετῆς ἥρωας λέγεσθαι· καὶ τοῦτο δὲ σὺν τούτοις ἰστέον, θεῶν μὲν πατέρων, θνητῶν δὲ
117 μητέρων ἐκείνους [m]) καλεῖν, ὅσοι τὴν [n]) θεωρητικὴν ἀρετὴν ἔχουσιν, ἥτις καὶ [o]) γενναία, καὶ ἀνδρώδης ἐστὶ, μετὰ καὶ τῆς λογικῆς. Ὅσοι δὲ τῇ κατὰ χεῖρας καὶ πρακτικῇ διαπρέπουσιν, θεαινῶν μὲν καλοῦνται παῖδες μητέρων, θνητῶν δὲ πατέρων. Τζετζες.

159. *ΚΑΤ' ΑΠΕΙΡΟΝΑ ΓΑΙΑΝ.* Ἀπείρονα, τὴν σφαιροειδῆ· οὔτε γὰρ σφαῖρα, οὔτε κύκλος πέρας, ἀλλ' οὐδὲ ἀρχὴν ἔχουσι. Καί τινες μὲν τῶν φιλοσόφων, μᾶλλον δὲ οἱ πλεῖους, σφαιροειδῆ πάντα τὰ στοιχεῖα φασί. Τινὲς δὲ τὴν γῆν τυμπανοειδῆ, ἕτεροι δὲ κωνοειδῆ ἔφασαν· ἀλλὰ τὰ τῶν φιλοσόφων [p]) διανοήματα, καὶ διαφωνήματα, νῦν ἐατέον μοι. [q]) Πρὸς δὲ τὴν τοῦ ποιητοῦ γνώμην τοῦτο ἐξηγητέον. *ΓΑΙΑ*, τὸ γαῖ δίφθογγος, Ἀττικῶς. Αἶα γὰρ, καὶ προσθήκῃ γαῖα. Ἰωνικῶς δὲ γέα, τὸ γε ψιλόν. Ἐξ οὗ συναίρεσις γῆ. Τζετζες.

82) ἡ ἀπὸ τῆς ἐράσεως] Aliquando aliter legendum suspicatus eram: sed compilavit autorem veterum Etymologiarum Tzetzes, nisi quod addidit ληροῦσι γὰρ, pro eo quod ille καταφατικῶς pronunciat: ἀπὸ τῆς ἐράσεως, inquit, τουτέστι μίξεως τῶν θεῶν. Οἱ γὰρ θεοὶ, θνηταῖς γυναιξὶ συνερχόμενοι, ἐποίουν τὸ τῶν ἡρώων γένος etc. Heinsius.

h) Tres voces addidi ex E.

i) θεοὺς Trinc.

83) ὑπὸ γοῦν τοῦτο ἥρωες, καὶ τὰ ἕτερα τρία ἀνάγονται] Tria illa quae sequuntur haec verba et de quibus agit, τὸ ἐξ ἥρας καὶ γῆς, τὸ ἐν τῷ ἀέρι πολεῖν τὰς ψυχὰς, καὶ τὸ ἐξ ἀρετῆς ἥρωας λέγεσθαι, ab altera aberant: et vereor ne adnotata fuerint: nam ἔρας ut supra legendum videtur. Heinsius.

k) τὸ ἥρως Bas. E. F. G. τούτου F. Mox περιπολεῖν E.

l) τὸ ἐξ ad λέγεσθαι om. Bas.

m) καλεῖ Trinc. F.

n) θεωριτικὴν καὶ λογικὴν Trinc.

o) γενναῖος Trinc. μετὰ κ. τ. λ. om. F. Trinc. et mox eadem om. μητέρων. In Sch. seq. πέρας ἢ ἀρχὴν Trinc.

p) διανοήματα καὶ om. Trinc. E.

q) Hinc ad fin. om. Trinc.

160. *ΚΑΙ ΤΟΥΣ ΜΕΝ ΠΟΛΕΜΟΣ ΤΕ.* Τοὺς περὶ Τυδέα καὶ Καπανέα καὶ τοὺς λοιποὺς ἑπτὰ λοχαγούς, οἳ καλέονται ἡμίθεοι κατὰ σύγκρισιν πρὸς ἡμᾶς, ὑστέρους ὄντας ἐκείνων. Ὅμηρος,

καὶ ἡμιθέων γένος ἀνδρῶν.

ΠΡΟΤΕΡΗ δὲ, ἤτοι προτέρων ἀνθρώπων. PROCLUS.

Ibid. [r]) *ΚΑΙ ΤΟΥΣ ΜΕΝ ΠΟΛΕΜΟΣ ΤΕ ΚΑΚΟΣ.* Τὸ σχῆμα τοῦτο κατὰ ῥήτορας ἄθροισις, καὶ μερισμὸς καλεῖται· τὸ μὲν πρῶτον τοὺς μὲν, ἄθροισις, ἀντὶ τοῦ πάντας· τὸ δὲ δεύτερον, τοὺς μὲν, τοὺς δὲ, μερισμὸς, ἀντὶ τοῦ τινὰς μὲν, τινὰς δέ. Συντακτέον δὲ οὕτως· Καὶ τοὺς μὲν πόλεμός τε κακὸς, καὶ φύλοπις αἰνὴ ὤλεσεν, τοὺς μὲν ὑφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ, μαρναμένους ἕνεκεν τῶν μήλων τοῦ Οἰδιπόδου· τοὺς δὲ καὶ ἐν νήεσσιν. Αἱ ἱστορίαι δὲ δῆλαι, τῆς τε Θηβαϊκῆς, καὶ τῆς ἐπὶ Τροίαν στρατείας. *ΦΥΛΟΠΙΣ* κυρίως ἡ ἐμφύλιος μάχη· καταχρηστικῶς δὲ πᾶς πόλεμος. TZETZES.

161. *ἙΠΤΑΠΥΛΩι ΘΗΒΗι.* [84]) Τρεῖς εἰσι Θῆβαι· αἱ ἑπτάπυλοι, ἃς ὁ Κάδμος ἔκτισεν, ἐν Βοιωτίᾳ· αἱ ἑκατοντάπυλοι ἐν Αἰγύπτῳ· καὶ αἱ Ὑποπλάκιοι περὶ τὸ [s]) Ἀτραμύτειον, ὃ ἐκλήθη οὕτως διὰ [t]) Ἀτράμυτον τὸν Κροίσου ἀδελφόν. TZETZES.

Ibid. *ΚΑΔΜΗΙΔΙ.* Ὁ Κάδμος γὰρ ἔκτισε τὰς ἑπταπύλους 118 Θήβας. TZETZES.

162. *ΜΗΛΩΝ* [v]) *ἙΝΕΚ'.* Ἕνεκεν τῆς περιουσίας καὶ βασιλείας τοῦ Οἰδίποδος, δι' ἣν Ἐτεοκλῆς καὶ Πολυνείκης οἱ ἀδελφοὶ μονομαχήσαντες ἀλλήλους ἀπέκτειναν. Μήλων ἕνεκα λέγεται, ὅτι τὸ παλαιὸν βασιλεῖς πολυθρέμμονες, καὶ ποιμε-

r) Hinc ad *πᾶς πόλεμος* om. Trinc.

84) *τρεῖς εἰσι Θῆβαι*] Pro his in emendatiore erat: *εἰσὶ γὰρ καὶ ἑκατοντάπυλοι Θῆβαι τῆς Αἰγύπτου, καὶ Θῆβαι Ὑποπλάκιοι, περὶ τὸ Ἀτραμυτειον.* Nos glossam meliorem secuti sumus, deteriorem et ἀτελῆ praetermisimus. HEINSIUS.

s) *Ἀδραμύτειον* F. *Ἀτραμύττιον* G.

t) *Ἄτραμυν* E. *ἀδάμαν* F. *ἀτράμυττον* G. *ἀτράμυντον* Trinc. De scriptura hujus nominis consulatur Stephanus Byz. in v. *Ἀδραμύττειον*, ibique Holsteinius, et Berkelius. Pro *Καδμηΐδι—Θήβας* Trinc. habet *αἱ ἱστορίαι δὲ δῆλαι τῆς τε ἐπὶ τὰς Θήβας καὶ ἐπὶ τὴν Τροίην στρατείας.*

v) *ἕνεκα λέγει ἤγουν τ. π.* Trinc. *Οἰδίποδος ἀπὸ μέρους. τὸ παλαιὸν γὰρ* mediis om. Trinc. Mox *πολυθρέμμονα* Trinc.

νικὸν ἔξων βίον· [w])μῆλον δὲ λέγεται τὸ πρόβατον Αἰολικῶς. Λέγεται δὲ παρὰ τὸ μηλὸν καὶ ἥμερον καὶ χαῦνον εἶναι· ἢ παρὰ τὸ μέλω, τὸ φροντίζω, περὶ πολλοῦ γὰρ ἦν, ὡς ἔφην, ἡ χρῆσις τῶν θρεμμάτων τοῖς παλαιοῖς. Tzetzes.

Ibid. ΟΙΔΙΠΟΔΑΟ. Τοῦ Οἰδίποδος. Ἀπὸ εὐθείας τῆς ὁ Οἰδιπόδης τοῦ Οἰδιπόδου, καὶ Οἰδιπόδαο, διαλύσει Ἰωνικῇ. Ἔστι δὲ καὶ ἑτέρα εὐθεῖα, ὁ Οἴδιπος, καὶ ὁ Οἰδίπους, καὶ ὁ Οἰδιπόδας. Tzetzes.

Ibid. ΜΗΛΩΝ ἙΝΕΚ' ΟΙΔΙΠΟΔΑΟ. Διὰ τῶν μήλων πᾶσαν δηλοῖ τὴν κτῆσιν, δι' ἣν οἱ τοῦ Οἰδίποδος παῖδες καὶ πόλεμον ἤραντο πρὸς ἀλλήλους, καὶ συναπέθανον ἀλλήλοις, καὶ μιᾷ πυρᾷ παρεδόθησαν. ΑΛΛΩΣ. [78])Οἱ γὰρ παλαιοὶ

w) Hinc ad fin. om. Trinc. habens solum τὰ ἑξῆς δῆλα.

78) Hinc apud Homerum aetas est in regum filiis, quae ἐπὶ βουσὶν a poeta dicitur: ii enim regum filii, qui aetate prima ante res gestas interficiuntur, aut fato cedunt, ἐπὶ βουσὶ κτείνεσθαι ἢ θνήσκειν a poeta dicuntur ἐμφατικῶς: quod non satis excutiunt grammatici qui haec notant. Itaque omnes Andromaches fratres, qui ante rerum gerendarum tempus et aetatem virilem sublati sunt, κατέπεφνεν Ἀχιλλεὺς, ἐπὶ βουσὶν, id est, *aetate prima, ad huc pueros*: Locus est Iliad. Z. Οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν, Οἱ μὲν πάντες ἰῷ κίον ἤματι ἄϊδος εἴσω· Πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς, Βουσὶν ἐπ' εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσι. Et Odysseae N. Minerva formam assumit ἐπιβώτορος νέου. Οἷοι, inquit poeta, ἀνάκτων παῖδες ἔασι. —σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη, Ἀνδρὶ δέμας εἰκυῖα νέῳ ἐπιβώτορι μήλων, Παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν. Aeneas negat Iliad. Τ. metuere se Achillem, quod alias cum eo congressus esset ἐπὶ βουσίν: quod circumscribit hoc modo: Οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος Στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοθι δουρὶ φόβησεν, Ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι. Primae enim excursiones quibus se mutuo exercebant regum filii, erant βοηλασίαι. Unde illud: οὐ γάρ πώποτ' ἐμὰς βοῦς ἤλασαν, viri magnanimi. Cujusmodi excursores λῃστὰς primo dixerunt ἀπὸ τῆς λείας: eos propulsabant οἱ βουκόλοι. Nec aliam causam antiqui Graecorum commentarii reddunt, cur Ἀλέξανδρος dictus sit notissimus ille τοῦ Πριάμου, quam διὰ τὸ γεγεννῆσθαι αὐτὸν ἐν πρώτῃ ἡλικίᾳ βουκόλον, καὶ ἀλεξῆσαι ἐκεῖ τοὺς ἐπιβουλεύοντας τοῖς βουσί; non aliter quam a Capitolino senior Maximinus *pastor* fuisse dicitur, aetate prima, et, ut ille loquitur, *procer qui latronibus insidiaretur, et suos ab incursibus vindicaret.* Propterea sicut Hectores, Astyanactes, ἐν τῇ ποιήσει, regum filiorum sunt ὀνόματα ἐπώνυμα: sic Βουκολίων, Iliad. Z. Βῆ δὲ μετ' Αἴσηπον, καὶ Πήδασον, οὕς ποτε Νύμφη Νηῒς Ἀβαρβαρέη τέκ' ἀμύμονι Βουκολίωνι. Βουκολίων δ' ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος Πρεσβύτατος γενεῇ —qui filios suos genuit ἐπ' ὄεσσιν. etc. Quamvis et honestum olim nomen erat βουκόλου καὶ ποιμένος. Exstant hujus rei etiamnum hodie vestigia ἐν τῇ βουκολικῇ πραγματείᾳ, dum praecipue passim, ut nuper multis in publicis nostris ad Theocritum lectionibus ostendimus, τῶν βουκόλων

ἐν τοῖς τετράποσι τὴν κτῆσιν εἶχον, ἀμέλει καὶ οἱ βασιλέων 119
παῖδες ἐποίμαινον πρὸ τοῦ γάμου, καὶ ταῖς νύμφαις πρόβατα καὶ βόας ἐχαρίζοντο· ὅθεν καὶ *ΑΛΦΕΣΙΒΟΙΑΙ*. Proclus.

163. [x]) *ΛΑΙΤΜΑ*. Ἡ θάλασσα, καὶ τὸ θαλάσσιον κῦμα, παρὰ τὸ λαιὸν καὶ ἀριστερὸν τμῆμα καὶ ἀπαίσιον εἶναι. Εἰς δύο γὰρ τμήματα ἡ καθ' ἡμᾶς οἰκουμένη διαιρεῖται, εἰς γῆν καὶ θάλασσαν. Καὶ δεξιὸν μὲν τμῆμα, καὶ κάλλιστον ἡ γῆ. λαιὸν δὲ καὶ φαῦλον ἡ θάλασσα, καὶ τὰ ἐξ αὐτῆς κύματα. Ὅτι δὲ χαλεπὸν ἡ θάλασσα, καὶ Ἄρατός φησι,

Χαλεπὴ δ' ἐπέκειτο θάλασσα. Tzetzes.

164. *ΕΣ ΤΡΟΙΗΝ ΑΓΑΓΩΝ*. Κατ' ἐξοχὴν λέγει τοὺς δύο πολέμους τὸν Θηβαϊκὸν καὶ τὸν Ἰλιακόν. Proclus.

Ibid. [y]) *ΗΥΚΟΜΟΙΟ*. Εὐκόμου. Tzetzes.

165. *ΕΝΘ' ΗΤΟΙ*. Ὅπου δὴ, ἢ τότε δὴ, τὸ γὰρ ἔνθα τοπικὸν καὶ χρονικόν ἐστι. Tzetzes.

166. *ΤΟΙΣ ΔΕ ΔΙΧ' ΑΝΘΡΩΠΩΝ*. Περὶ τῆς τῶν Ἡρώων λήξεως ὁ λόγος, καὶ ὅτι καὶ βίον καὶ τόπους οἰκείους, οὓς ἐκάλεσεν ἤθη, χωρὶς τῶν ἀνθρώπων ἀπένειμεν [z]) αὐτοῖς ὁ Ζεὺς ἐν τοῖς πέρασι τῆς γῆς. *ΑΛΛΩΣ*. Ἀπεχώρισεν αὐτοὺς τῶν ἀνθρώπων, καὶ ἔδωκεν αὐτοῖς ἴδιον τόπον καὶ ζωὴν, καὶ ζῶσιν ἀβλαβεῖς, πέραν τοῦ Ὠκεανοῦ, τὰς διατριβὰς πορίσας, ὅ ἐστι παρασχών. Proclus.

Ibid. [a]) *ΔΙΧ' ΑΝΘΡΩΠΩΝ*. Χωρίς. Tzetzes. 120

καὶ ποιμένων τάξει, tanquam eminentiori, **ἡ αἰπολικὴ τάξις** opponatur, quae erat hominum potissimum mercede conductorum et illiberalium. Est enim *ἐν τῇ βουκολικῇ πραγματείᾳ ποιμὴν* non minus quam *βουκόλος τῶν πρός τι*, ut ostendimus cum alias tum praesertim cum egimus de vetusta *βουκολικῇ ἀλληλογραφίᾳ*, quam *βουκολίαν* dicebant. Ita ut Theocritus opponat interdum *τοὺς βουκόλους τοῖς ἀνελευθέροις καὶ δούλοις*, sicut et *τοὺς ποιμένας*. Nam quod haec *τάξις* etiam in regum liberis fuerit, ex Aenea, Anchise, Endymione, Paride, et aliis, ac praesertim *ὅλης τῆς βουκολικῆς* autore, Daphnide, satis monemur: cujus querela primam huic scribendi generi occasionem praebuit, et *τὸ ἄλγος τοῦ Δάφνιδος* a Theocrito dicitur: quod nuptiae regiae probant apud Aelianum: unde illae lachrymae. Quod nec ignorasse videtur Silius, qui Daphnin quendam nobilissimum, ab hoc Daphnide deducit lib. 14. *Hos inter Daphnis, deductum ab origine nomen Antiqua, fuit infelix, cui linquere saltus Et mutare casas infido marmore visum. At princeps generis quanto majora paravit Inter pastores sibi nomina* etc.—Heinsius.

x) Deest hoc Scholion Trinc.

y) Deest hoc Scholion Trinc.

z) *αὐτοῖς* om A. B. Dorv. Mox *τὰς διατριβὰς κ. τ. λ.* om A. Dorv.

a) Deest hoc Scholion Trinc.

Ibid. *ΒΙΟΤΟΝ ΚΑΙ ΗΘΕΑ.* Ζωὴν, καὶ διατριβὰς, καὶ διαγωγήν. Tzetzes.

167. *ΖΕΥΣ ΚΡΟΝΙΔΗΣ.* Ἡ Εἱμαρμένη. Tzetzes.

169. *ΠΑΡ' ΩΚΕΑΝΟΝ.* Ἔνθα κατοικοῦσιν. Αὐτοῖς δὲ μελιηδέα καρπὸν τρὶς τοῦ ἔτους φέρειν λέγει τὴν γῆν. Δηλοῖ οὖν τὸ αἴνιγμα λῆξιν μὲν αὐτοὺς ἔχειν θειοτέραν τῆς ἐν τῇ γενέσει ζωῆς, καὶ διὰ τοῦτο λέγεσθαι τῶν μακάρων νήσους οἰκεῖν, ἃς αἱ εὐδαίμονες εἰλήχασι ψυχαὶ, νήσοις εἰκασμένας, ὡς b) ὑπερεχούσας τῆς γενέσεως, καθάπερ αἱ νῆσοι τῆς θαλάσσης· παρ' Ὠκεανὸν δὲ οἰκεῖν λέγεσθαι τὸν διορίζοντα τὸν νοητὸν τόπον ἀπὸ τῆς τοῦ Ἅιδου βασιλείας, ὃν καὶ πρῶτον περαιοῦσθαι τοὺς εἰς Ἅιδου πορευομένους. Φέρειν δὲ αὐτοῖς τρὶς τὴν γῆν τοῦ ἔτους καρπὸν, ὡς τελείων ἀγαθῶν ἀπολαύουσι τῶν τροφιμωτάτων, ἐκ τῶν ζωογόνων δυνάμεων τῶν ἐπὶ τῆς γῆς. Διὰ γὰρ τοῦτο καὶ οὐχὶ ἁπλῶς εἶπε τὴν γῆν φέρειν τοὺς καρποὺς τρὶς, ἀλλὰ τὴν ζείδωρον ἄρουραν. *ΑΛΛΩΣ.* Μακάρων c) νήσους νῦν τὸν Παράδεισον αἰνίττεται, ἤτοι τὸ παρ' αὐτοῖς Ἠλύσιον πεδίον λεγόμενον, παρὰ τὸ ἄλυτα τηρεῖν τὰ σώματα, ἢ παρὰ τὴν λύσιν τῶν κακῶν. Proclus.

Ibid. *ΕΝ ΜΑΚΑΡΩΝ ΝΗΣΟΙΣΙΝ.* Ὥσπερ ἡμεῖς τοῖς ἀγαθοῖς ἀνδράσιν ἀποκληροῦμεν τὴν ἐν Παραδείσῳ διατριβὴν, οὕτω τοῖς Ἥρωσιν Ἕλληνες ἀπονέμουσι τὰς Μακάρων Νήσους, καὶ Ἠλύσιον τὸ πεδίον, καὶ τὸν ἀσφοδελὸν λειμῶνα, τὸν ἄδιψον. Τοῦτο γοῦν φησι καὶ ὁ Ἡσίοδος, ὅτι θανόντες οἱ ἥρωες οἱ περὶ τὰς Θήβας καὶ Τροίαν στρατεύσαντες τὴν μακαρίαν ἐκείνην διατριβὴν ἐκληρώσαντο. Περὶ δὲ τῶν ἐν Ὠκεανῷ νήσων Ὅμηρος, καὶ οὑτοσὶν ὁ Ἡσίοδος, καὶ d) Λυκόφρων, καὶ Πλούταρχος, καὶ Φιλόστρατος, καὶ Δίων, καὶ ἕτεροι τινὲς e) συγγεγραφήκεσαν, ὡς ἀγαθή τε ἡ χώρα ἐστὶ, καὶ ἀεὶ καταπνεομένη ζεφύρῳ, τρὶς ἔτους ἑκάστου ἀναδίδωσι τοὺς καρπούς. Ἐκεῖσε δέ φασι καὶ τὰς τῶν ἀποβεβιωκότων ψυχὰς διαπορθμεύεσθαι, γράφοντες τοιάδε. "Περὶ τὴν ἀκτὴν τοῦ περὶ τὴν Βρεταννίαν

b) Sic Dorv. ὑπερέχουσαι Vulgo. Dorv. mox ἀπολαύσουσι. διορίζοντα ad περαιοῦσθαι om. B.

c) νήσους νῦν· τὸν Π. νῦν αἰ. A.

d) V. 1200. ubi conferatur Tzetzes. Haec posuit Wyttenbachius n. 2. inter fragmenta Plutarchei commentarii in Hesiodum, comparatis Defect. Orac. p. 419. et Facie Lunae p. 941. Philostrati locus est Vit. Ap. V. 3.

e) συνεγράψαντο Trinc. Mox τρὶς τοῦ ἔ. ἔ. δίδωσι.

νῆσον Ὠκεανοῦ, ἄνθρωποί τινες οἰκοῦσιν ἰχθυοθῆραι, [f]) κατήκοοι μὲν Φράγγοις, φόρον δὲ μὴ τελοῦντες αὐτοῖς. Οὗτοι περὶ τὰς αὐτῶν οἰκίας καθεύδοντες φωνῆς ἀκούουσι καλούσης αὐτοὺς, καὶ κρότου περὶ τὰς θύρας αἰσθάνονται· ἀναστάντες 121 *δὲ πλοῖα εὑρίσκουσί τινα, οὐχὶ τὰ αὐτῶν, ἐπιβατῶν μεστά. Εἰς ταῦτα οὖν εἰσελθόντες μιᾷ ῥοπῇ πρὸς τὴν Βρεταννίαν νῆσον καταίρουσι κωπηλατοῦντες· καίπερ μόλις ὅλῳ νυχθημέρῳ [g]) λαίφεσι πεπταμένοις καταπλέοντες εἰς αὐτὴν, ὅτε ταῖς ἰδίαις ναυσὶ κέχρηνται. Ἐκεῖ γοῦν ἀποβάντες ἐξάγουσιν οὓς οὐκ εἰδότες φέρουσιν ἐπιβάτας. Οὐδένα δὲ ὁρῶντες ἀκούουσι φωνῆς τῶν ὑποδεχομένων αὐτοὺς κατ' ὄνομα, καὶ κατὰ [h]) φυλὴν, καὶ κατὰ συγγένειαν καὶ τέχνην καλούσης αὐτούς· καὶ αὐτῶν δὲ ὁμοίως ἀποκρινομένων. Καὶ οὕτω πάλιν μιᾷ ῥοπῇ πρὸς τὴν ἑαυτῶν ἀποπλέοντες αἰσθάνονται τῶν νηῶν ἐλαφροτέρων, ἢ ὅτε οὓς εἶχον ἀπεκόμιζον." Ἐκ τούτου [i]) πάντες ἔφασαν παῖδες Ἑλλήνων, ἐκεῖ τὰς τῶν ἀποβεβιωκότων διάγειν ψυχάς· ὃ νῦν καὶ Ἡσίοδός φησι περὶ τῶν ἡρώων.* Tzetzes.

171. *ΤΡΙΣ ΤΟΥ ΕΤΟΥΣ ΘΑΛΛΟΝΤΑ.* *Ζεφύρῳ [k]) ἔφην τὴν χώραν καταπνεῖσθαι, καὶ τρὶς τοῦ ἔτους τὰ ἐκεῖ δένδρα καρποφοροῦσιν, ὥς φασιν οἱ ἱστορικοὶ, ὡς ἀληθὲς καὶ οὐχ ὡς [l]) μῦθος. Τίς δὲ καὶ Γάϊον Ἰούλιον Καίσαρα εὐτυχέστατον ὄντα ἐν πολλοῖς, καὶ τοῦ Ὠκεανοῦ εὔρου τυχόντα, διαπεραιωθῆναί φησι τριήρει μιᾷ καὶ ἑκατὸν ἐπιβάταις, ἀρεσθέντα δὲ τῷ λίαν περικαλλεστάτῳ [m]) τῆς χώρας ἐκεῖ θελῆσαι κατοικῆσαι, ἐξωσθῆναι δὲ ὑπὸ τῶν ἐκεῖ καὶ ἄκοντα.* Tzetzes.

172. *ΜΗΚΕΤ' ΕΠΕΙΤ' ΩΦΕΙΛΟΝ.* *Ἐπιμνησθεὶς ὁ Ἡσίοδος τοῦ ἡρωϊκοῦ γένους, καὶ δείξας τοῦτο ἀγχίθεον, [n]) ἐπεύχεται μήτε ὕστερος τοῦ ἡρωϊκοῦ τούτου γένους γενέσθαι, μήτε ὑστερώτερος, ἀλλὰ θανεῖν [o]) ἐν τῇ τούτων γενεᾷ. Οὕτω*

f) *κατήκοοι* Trinc. G. *ὑπήκοοι* Tzetz. ad Lycoph. *κάτοικοι* Bas. Heins.

g) *νέφεσι* G. *πεταμένοις* E. *περιϊπταμένοις* Trinc. Supra *εἰς* ante *ταῦτα* om. Trinc. Mox *ταύτην* Trinc.

h) Sic E. Trinc. *φυλακὴν* Bas. Heins. *δὲ* post *αὐτῶν* om. Trinc. *ἐν μιᾷ ῥοπῇ* Trinc. *πρὸς τὰ ἑαυτῶν* Trinc. *νεῶν* E. G. Trinc.

i) om. Trinc.

k) *δὲ* Trinc. Mox *ἐκεῖσε* Bas. *δενδρία καρποφορεῖν* Trinc. et *ὡς* om.

l) *μῦθον* E. Trinc. *καί τις αὐτῶν Γάϊον* Trinc. Mox *μιᾷ* om. G.

m) *χώρῳ* Trinc. Mox *ἐκεῖ ἐθελῆσαι* Trinc. *ἐκεῖσε* Heins. Bas.

n) *ἀπεύχεται* Bas. *ὑστερότερος* Trinc. Bas.

o) *ἐν τῇ γενεᾷ αὐτοῦ* Trinc. et ult. *τούτῳ* pro *τῷ Ἡσιόδῳ*.

δὲ συντακτέον· Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι ἀνδράσιν, ἢ ἔπειτα γενέσθαι, ἀλλ' ἢ πρόσθε θανεῖν, ἤγουν ἐν τῇ ἡρωϊκῇ γενεᾷ. Οἱ δὲ λέγοντες τοὺς ἔπειτα ἀνθρώπους λέγειν τὸν Ἡσίοδον ἀγαθοὺς μέλλειν γενέσθαι, ἐναντίως τῷ Ἡσιόδῳ καὶ οὐ κατ' ἐκεῖνον φασί. Tzetzes.

Ibid. ΜΗΚΕΤ' ΕΠΕΙΤ' ΩΦΕΙΛΟΝ. Εἴθε μὴ ἐχρεώστουν ἐγὼ ἐν τοῖς τοῦ πέμπτου γένους ἀνδράσιν εἶναι· ἀντὶ τοῦ, εἴθε μὴ ἀποκείμενον ἦν, ἐμὲ ἐν τοῖς τῆς πέμπτης τάξεως ἀνδράσιν εἶναι. Τὸ ἔπειτα περισσὸν, ἡ δὲ μετὰ, ἀντὶ τοῦ τῆς ἐν. Ἀλλ' ἢ πρόσθεν, ἀλλ' ἢ πρότερον τούτων ἀποθανεῖν, ἢ ἔπειτα γενέσθαι. Οὐκ εὐθύς φησι, μετὰ τοὺς πέμπτους· τοὺς γὰρ μετὰ τούτους εὐθὺς, χείρονας ἔσεσθαι τούτων νομίζει, ἀλλ' ἁπλῶς
122 ἐν ταῖς ἔπειτα περιόδοις, ἐφ' αἷς οὐκ ἀπαγορεύει μὴ καὶ μεταβολὴν ἐπὶ τὸ κρεῖττον ποτὲ γενήσεσθαι, ὡς ἀπὸ τοῦ τρίτου γένους, τοῦ χαλκοῦ καὶ θρασέος, ἐπὶ τὸ τῶν Ἡρώων ἐγένετο. Moschop.

174. ΝΥΝ ΓΑΡ ΔΗ ΓΕΝΟΣ. Διὰ τὸ σκληρὸν καὶ τὸ μέλαν ὁ σίδηρος εἰκόνα φέρει τῷ ποιητῇ πρέπουσαν τῆς ἐμπαθοῦς ζωῆς τῶν ψυχῶν, δι' ἧς σκότιον μὲν ἔχουσι τὸ γνωστικὸν, ἀντίτυπον δὲ τὸ ζωτικὸν πρὸς τὸν ὀρθὸν λόγον. p) Τῷ δὲ εἰπεῖν,

Ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν,

ἐνδείκνυται μὴ πάντη κεκρατηκέναι τὴν μοχθηρίαν τῶν ἀνθρώπων· εἶναι γὰρ ἔτι μετρίαν αἰδῶ κατ' αὐτὸν τῶν ἀδικημάτων καὶ τῶν ἀδικούντων. Τοῦτο δὲ q) εἶπεν, ἵνα προτρέψῃ τὸν Πέρσην μὴ παντελῶς ἀπερυθριάσαντα γενέσθαι περὶ αὐτὸν ἐσχάτως πονηρόν. Proclus.

Ibid. ΣΙΔΗΡΕΟΝ. Κακίας παντοίας ἀνάμεστον, καὶ πόνοις καὶ κόποις παντοίοις προσκαρτεροῦν. Tzetzes.

Ibid. ΝΥΝ ΓΑΡ ΔΗ. Καὶ γὰρ δή ἐστι γένος σιδηροῦν, ἀντίτυπον δηλονότι καὶ σκληρὸν καὶ τὴν γνώμην ἐσκοτισμένον. Τοιοῦτος γὰρ ὁ σίδηρος σκληρὸς καὶ μέλας. Moschop.

Ibid. ΟΥΔΕ ΠΟΤ' ΗΜΑΡ. Οὐδέποτε κατ' ἦμαρ παύσονται πόνου καὶ ταλαιπωρίας, ἤγουν ἡ ὁρμὴ αὐτῶν οὐκ ἐπαγγέλλεται παῦλαν τῶν κακῶν. οὔτι δὲ οὐδὲ κατὰ τὴν νύκτα

p) Τῷ δὲ ἐ. om. Dorv. Mox πάντη ex A. Antea πάνυ παντάπασι Dorv.

q) εἶπεν deest A. B. Dorv.

παύσονται φθειρόμενοι, χαλεπὰς δὲ μερίμνας δώσουσιν αὐτοῖς οἱ θεοί. Τοῦτο γὰρ ἀκόλουθον τοῖς μὴ διόρθωσιν ἐπαγγελλομένοις καὶ ὑπὸ τῶν θεῶν παροράσθαι, καὶ εἰς μερίμνας ἐμβάλλεσθαι. Moschop.

177. [r]) *ΑΛΛ' ΕΜΠΗΣ ΚΑΙ ΤΟΙΣΙ ΜΕΜΙΞΕΤΑΙ.* Τοῦτο δέ φησι, πρὸς τὸ μὴ ἐξοκεῖλαι πρὸς παντελῆ κακίαν τὸν Πέρσην, ἀκούοντα ὅτι καίπερ κακοῖσιν οὖσι τοῖς νῦν, ὅμως παραμέμιγε καί τινα τῶν ἀγαθῶν, πρὸς τοὺς ὕστερον μέλλοντας γενέσθαι. Tzetzes.

Ibid. *ΑΛΛ' ΕΜΠΗΣ ΚΑΙ ΤΟΙΣΙΝ.* Ἀλλ' ὅμως καὶ ἐπὶ τούτοις μεμιγμένα ἔσται ἀγαθὰ κακοῖς· ὁ Ζεὺς δὲ ὀλέσει καὶ τοῦτο τὸ γένος τῶν ἀνθρώπων, ὁπηνίκα ἂν οἱ γινόμενοι πολιοκρόταφοι ὦσιν, ἅμα τῷ γενέσθαι δηλονότι, ἤγουν πολιοὶ τοὺς κροτάφους. Ἀπὸ τῶν κροτάφων γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἄρχονται πολιοῦσθαι οἱ ἄνθρωποι. Ὑπερβολικῶς τοῦτο εἴρηται, ἀντὶ τοῦ ὅταν ὀλιγοχρόνιοι ὦσι καὶ τάχιστα γηρῶντες. Moschop.

178. *ΖΕΥΣ Δ' ΟΛΕΣΕΙ.* Οὔπω πάντη [s]) διεφθαρμένον ὂν καὶ τοῦτο τὸ τῶν ἀνθρώπων γένος ἀπολέσθαι φησί· τούτου δὲ ἀπολλυμένου, παντοίαν ἔσεσθαι [t]) κακίαν· ὡς τῶν ἀνθρώπων τῶν μετ' αὐτοὺς τότε ζῶντας ἐσομένων παμπονήρων, ὧν 123 ἐφεξῆς διέξεισι τὴν ζωήν, ὁποία τίς ἐστιν αἰσχρὰ χρησμῳδῶν. Proclus.

179. *ΕΥΤ' ΑΝ ΓΙΝΟΜΕΝΟΙ.* [v]) Ἡνίκα τελέθωσι καὶ ὑπάρχωσι πολιοκρόταφοι καὶ γηραιοί, γεινόμενοι καὶ τεχθέντες. Πολιῶσι δὲ οἱ κρόταφοι [w]) πρότερον τῶν τοῦ ἀνθρώπου λοιπῶν μερῶν, ὅτι ταῦτα τὰ μέρη ὑγρότερα, καὶ φλεγματικώτερα, ἤπερ τὰ ὄπισθεν. Ἡ πολιὰ δὲ ἐνδείᾳ γίνεται ὑγρᾶς θερμότητος· μασχάλαι δὲ οὐ πολιῶσιν, ὅτι θερμαὶ καὶ ἀρτηριώδεις. Αἱ μήνιγγες δὲ λέγονται, καὶ κρόταφοι, ἀπὸ τῶν κερασφόρων ζώων μεταφορικῶς· ἐκεῖθε γὰρ τοῖς [x]) κερατοφό-

r) ἀλλ' ὅμως μεμίξεται καὶ τούτοις ἐσθλὰ Trinc.

s) διεφθαρμένον καὶ ταυτὸν εἶναι Dorv.

t) κακίαν. ἔχου τὸ γνωστικὸν ἀντίτυπον δὲ τὸ ζωτικὸν πρὸς τὸν ὀρθὸν λόγον μετὰ τὸ τῶν Dorv. v. ad v. 174. Mox id. μετὰ τοὺς τότε.

v) ἡνίκα—τεχθέντες om. Trinc. et eorum loco habet tantum ἤγουν γηραιοί.

w) πρότεροι Trinc. Mox τῶν pro ἤπερ τά.

x) κερασφόροις Trinc. et mox φύεται κ. τινες ὄντες.

ροις τὰ κέρατα ἐκφύονται, κερατόφυοί τινες καὶ κρόταφοι. Εἶπε δὲ τελευτᾷν γηρῶντας, [y]) καίπερ καὶ νέων καὶ βρεφῶν τελευτώντων πολλάκις, διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον, καὶ τὸ μᾶλλον προσδόκιμον. Tzetzes.

Ibid. *ΤΕΛΕΘΩΣΙΝ.* Τελῶ τὸ ποιῶ καὶ τὸ ὑπάρχω, ἀφ' οὗ κατὰ παραγωγὴν τελέθω, ὡς ἀπὸ τοῦ νέμω νεμέθω, καὶ φλέγω φλεγέθω, καὶ θάλλω θαλέθω· ὃ τρέπει τὸ θ' εἰς τ', καὶ τὸ ά εἰς ή, καὶ γίνεται τηλέθω· ἀφ' οὗ τηλεθάω τηλεθῶ, καὶ τηλεθόω, προσθήκῃ τοῦ ό, ὡς ἐν τῷ ὀρόω. Moschop.

180. *ʽΟΜΟΠΟΣ.* ʽΟμονοητικὸς, σύμφωνος, ἢ ὅμοιος τῇ γνώμῃ, ἢ τῇ ἰδέᾳ, ὡς μοιχείας δηλονότι πλεονασάσης. Ἀνάληψις δέ ἐστι τὰ ἑξῆς· οὐδὲν γὰρ πλέον δηλοῖ. *ΑΛΛΩΣ.* Τὸ μὲν ʽΟΜΟΠΟΣ δηλοῖ τὸ κοινωνικὸν καὶ προσήγορον καὶ φίλιον· φιλία γὰρ δι' ὁμοιότητος ἐπιτελεῖται. Πάντα δὲ [z]) ἐκτραγῳδεῖ τὰ ἐπεισελθόντα κακὰ [a]) ἐν τῷ βίῳ μετ' αὐτὸν, τὴν ἀπιστίαν τῶν παίδων καὶ πατέρων, τὴν τῶν ξένων καὶ ξενοδόχων, τὴν τῶν ἑταίρων πρὸς ἀλλήλους. Τριττὴ γὰρ ἡ φιλία· συγγενικὴ, ἑταιρικὴ, [b]) ξενική. Proclus.

Ibid. *ΠΑΙΔΕΣΣΙΝ ΟΜΟΠΟΣ.* Διὰ τούτων τὴν κρίσιν διαβάλλει τῶν μετ' αὐτὸν ἐσομένων, ὡς ἐπίπροσθεν [c]) ἀξόντων ἀδικίαν δικαιοσύνης, ἐπιορκίαν εὐορκίας, ἀναίδειαν αἰδοῦς, σκολιότητα ἁπλότητος· ἃ δὴ πάντα καὶ ὁ καθ' ἡμᾶς ἔχει βίος· ἐν δὴ τούτοις, ὅτι καὶ κατὰ ἀλλήλων ἀδίκως [d]) χωροῦσι καὶ ἀναιδῶς λέγουσι. Καὶ τοῦτο ἦν ὃ καὶ πρῶτον δηλῶν [e]) *ΧΕΙΡΟΔΙΚΑΣ* αὐτοὺς ἐκάλεσεν, ὡς τῇ δυνάμει τὸ δίκαιον [f]) τῇ
124 διὰ τῶν χειρῶν ὁρίζοντας, καὶ τῇ [g]) βίᾳ χρωμένους. Καὶ οὐ μάχεται τὸ, χειροδίκας εἶναι, καὶ τὸ δίκην ἐν χειρὶ μὴ ἔχειν. Διὰ γὰρ τοῦτο ἔσονται χειροδίκαι, διότι τὸ δίκαιον ἐν ταῖς χερσὶν αὐτῶν οὐκ ἔστι· τοῦτο μὲν γὰρ παρὸν, οὐκ ἐπιτρέπει ταῖς χερσὶ βιάζεσθαι· τοὺς δὲ χειροδίκας ἐκείνους εἶναι, τοὺς τὸ δίκαιον τῇ βίᾳ μόνῃ τῶν χειρῶν ὁρίζοντας, ὡς μὴ τὰς χει-

y) καίτοι G. Trinc. Mox ἐπιπλεῖστον Bas. Heins. καὶ τὸ μ. π. om. Trinc.

z) τραγῳδεῖ B.

a) ἐν om. A. B. Dorv.

b) φιλικῇ Dorv.

c) αὐξόντων Dorv. et mox id. om. εὐορκίας.

d) χωρήσουσι—λέξουσι Dorv. et mox πρότερον.

e) χειροδίκους et mox ἐκέλευσεν Dorv.

f) τῇ διὰ A. Dorv. τὸ διὰ edd.

g) κακίᾳ Dorv. μάχεται ταῦτα τὸ χειροδίκας Dorv. χειροδίκας A. χειροδίκαια edd.

ρας ὑπὸ τὴν δικαιοσύνην πράττειν, ἀλλ' αὐτὰς εἶναι τοῦ δικαίου μόνας ἀφοριστικάς. PROCLUS.

Ibid. *ΟΥΔΕ ΠΑΤΗΡ ΠΑΙΔΕΣΣΙΝ ὉΜΟΙΙΟΣ.* Τὸ ὅμοιος πάντως ἢ ἐπὶ τῆς γνώμης λέγεται, ἢ ἐπὶ τῆς ἰδέας. Δοκεῖ δὲ ἐνταῦθα κατ' ἀμφότερα τὰ σημαινόμενα χώραν ἔχειν κατὰ διάφορον σύνταξιν. Ἔστω δὴ ἐπὶ τῆς γνώμης, καὶ ἔχει πᾶς ὁ λόγος οὕτως· οὐδὲ ὁ πατὴρ τοῖς παισὶν ὁμονοητικὸς καὶ σύμφωνος ἔσται, οὔτι δὲ οὐδὲ οἱ παῖδες τοῖς πατράσιν, οὐδὲ ὁ ξένος τῷ ξενοδόχῳ, καὶ ὁ ἑταῖρος ἤγουν ὁ φίλος καὶ συνήθης τῷ ἑταίρῳ· ἀλλ' ἄπιστοι δηλονότι καὶ ἀσύμφωνοι ἔσονται καὶ πατέρες πρὸς παῖδας, καὶ παῖδες πρὸς πατέρας, καὶ ξένοι πρὸς ξενοδόχους, καὶ τὸ ἀνάπαλιν, καὶ ἑταῖροι πρὸς ἑταίρους. Κατὰ δὲ τὸ β' σημαινόμενον λέγοιτο ἂν οὕτως· οὐδὲ ὁ πατὴρ τοῖς παισὶν ἔσται ὅμοιος τὴν ἰδέαν, ὡς μοιχείας δηλονότι πλεοναζούσης, οὔτι δὲ οὐδὲ οἱ παῖδες τοῖς πατράσι. Τοῦτο ἐπὶ τοῦ αὐτοῦ ἀντιστρόφως· εἰ γὰρ ὁ πατὴρ οὐχ ὅμοιος τὴν ἰδέαν τοῖς παισὶ, δηλονότι οὐδὲ οἱ παῖδες τοῖς πατράσι. Τὰ δὲ ἑξῆς ἔχει τὸ φίλος ἀπὸ κοινοῦ, οὐ γὰρ ἁρμοδίως ἐπ' αὐτῶν ἔχει τὸ ὅμοιος ἐπὶ τῆς ἰδέας, οἷον, οὐδὲ ὁ ξένος τῷ ξενοδόχῳ ἔσται φίλος. MOSCHOP.

181. [h]) *ΟΥΔΕ ΞΕΙΝΟΣ ΞΕΙΝΟΔΟΚΩι.* Ἀπὸ κοινοῦ τὸ ὁμοίϊος, ἤγουν ὁμογνώμων. Ὁ μὲν γὰρ τυχὼν ξενίσει· ὁ δὲ πρὸς τὸ μὴ [i]) ἀντιξενίσαι, ἴσως καὶ βλάψει. Φίλος ὁ συγγενὴς λέγεται, καὶ ὁ παρὰ τῇ συνηθείᾳ λεγόμενος. Ἑταῖρος ὁ συμπολίτης. Ξένος δὲ ὁ ἀφ' ἑτέρας χώρας φίλος. TZETZES.

182. *ὩΣ ΤΟ ΠΑΡΟΣ ΠΕΡ.* Ἤγουν ὡς τὸ πρότερον· οὐδὲ ὁ ἑταῖρος τῷ ἑταίρῳ, οὐδὲ ὁ κασίγνητος τῷ κασιγνήτῳ. Εἶτα ὡς ἀπὸ ἄλλης ἀρχῆς, *ΑΙΨΑ ΔΕ ΓΗΡΑΣΚΟΝΤΑΣ ΑΤΙΜΗΣΟΥΣΙ ΤΟΚΗΑΣ.* Τουτέστι, ταχέως καὶ ῥᾳδίως, οἱ ἐσόμενοι ἄνθρωποι ἀτίμους ποιήσουσι τοὺς ἰδίους πατέρας γεγηρακότας. Μέμψονται δὲ, ἤγουν κακῶς ἀγορεύσουσι τούτους, λοιδοροῦντες διὰ χαλεπῶν λοιδοριῶν. Τοῦτο γὰρ τὸ, *ΧΑΛΕΠΟΙΣ ΒΑΖΟΝΤ' ΕΠΕΕΣΣΙ ΣΧΕΤΛΙΟΙ*, ἤγουν ἄθλιοι. MOSCHOP.

183. *ΑΙΨΑ ΔΕ ΓΗΡΑΣΚΟΝΤΑΣ ΑΤΙΜΗΣΟΥΣΙ ΤΟ-*

h) Deest hoc Scholion Trinc.

i) ξενίσαι E. In extr. addidi χώρας ex E. G. Bas.

ΚΗΑΣ. [k]) *Οἱ παῖδες δηλονότι. Προλέγει δὲ τὰ μέλλοντα καταλήψεσθαι τὸν βίον ἀνιαρά.* Moschop.

125 184. *ΒΑΖΟΝΤ' ΕΠΕΕΣΣΙ. Βάζοντε, ἀντὶ τοῦ βάζοντες τὸ δυϊκὸν, ἀντὶ τοῦ πληθυντικοῦ· ὡς καὶ παρ' Ὁμήρῳ·*

Ὦ Λύκιοι πόσε φεύγετε; νῦν θοοὶ ἐστόν.

καὶ τὸ,

Ἄσσον ἴονθ' ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.

Τὸ ἴοντε, ἀντὶ τοῦ ἴοντες. Tzetzes.

185. *ΟΥΔΕ ΘΕΩΝ ΟΠΙΝ ΕΙΔΟΤΕΣ. Τὴν ἐντολὴν τῶν θεῶν, ἤγουν τὰ φρόνιμα καὶ συνετά. Νῦν γὰρ θεοὺς τὰς ψυχικὰς δυνάμεις φησίν.* Tzetzes.

Ibid. *ΟΥΤΕ ΘΕΩΝ ΟΠΙΝ. Ὁ ΤΕ σύνδεσμος πλεονάζει.* Tzetzes.

Ibid. *ΟΥΤΕ ΘΕΩΝ ΟΠΙΝ ΕΙΔΟΤΕΣ. Τουτέστιν οὔτε εἰς θεοὺς εἰδότες ἐπιστρέφεσθαι· οὐδὲ μὴν οὗτοι γηράσασι τοῖς ἑαυτῶν πατράσιν ἀποδοῖεν θρεπτήρια, ἀντὶ τοῦ τροφεῖα.* Moschop.

186. *ΓΗΡΑΝΤΕΣΣΙ ΤΟΚΕΥΣΙΝ. Οὐδὲ τοὺς γονεῖς* [l]) *γηροβοσκοῦσι· γέγονε δὲ ἐκ τοῦ γήρημι. ΧΕΙΡΟΔΙΚΑΙ δὲ, οἱ ἑαυτοῖς πειθόμενοι, καὶ ἐκ χειρὸς τὴν ἄμυναν ποιούμενοι, καὶ οὐ κατὰ νόμον.* Proclus.

Ibid. [m]) *ΓΗΡΑΝΤΕΣΣΙ. Γηράσασιν, ἐκ τοῦ γήρημι ἡ μετοχὴ ὁ γηράς.* Tzetzes.

Ibid. [85]) *ΑΠΟ ΘΡΕΠΤΗΡΙΑ. Διατροφάς· οἱ παλαιοὶ γὰρ τοῖς γονεῦσιν ἐδίδουν τὰ* [n]) *θρέπτρα. Οὗτοι δὲ, ὥς φησι, πρὸς τῷ μὴ διδόναι καὶ ἀτιμήσουσιν αὐτούς. Συντακτέον δὲ οὕτως· Αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας, οὐδὲ μὲν γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν.* Tzetzes.

Ibid. *ΓΗΡΑΝΤΕΣΣΙ. Γηράω γηρῶ, γηράσω, ἐγήρασα, ὁ γηράσας, τοῦ γηράσαντος, καὶ κατὰ συγκοπὴν γηράν-*

k) Hoc Scholion om. Trinc.

l) *γηροβοσκήσουσι* Dorv. *οὐδὲ τοῖς γονεῦσι γηροτροφεῖα ἐδίδουν* B.

m) Hinc ad *γηράς* om. Trinc.

85) *ἀποθρεπτήρια*] Scribe *θρεπτήρια:* ne turbentur rudiores, cum τὸ *ἀπὸ* alio spectet in Hesiodico quod interpretatur Tzetzes: *ἀπὸ θρεπτήρια δοῖεν, ἀποδοῖεν θρεπτήρια.* Heinsius.

n) *θρεπτήρια* Trinc. et mox *οὓς* pro *ὥς.* in fin. Post *δοῖεν* Trinc. habet *τὰ δὲ λοιπὰ διὰ μέσου.*

τος. Ἀφ' οὗ γηράντε εὐθεῖα καὶ αἰτιατικὴ τῶν δυϊκῶν. Καὶ γηράντεσσι δοτικὴ τῶν πληθυντικῶν. Moschop.

187. *ΕΤΕΡΟΣ Δ' ΕΤΕΡΟΥ ΠΟΛΙΝ.* Ἤτοι δι' ἑαυτοῦ ποιῶν τὴν ἐκδίκησιν· τουτέστιν ἐν τῇ ἰσχύϊ τὸ δίκαιον ἔχοντες· καὶ οὐδὲ ὁ εὐορκῶν, τουτέστιν ὁ εὐσεβὴς, χάριν ἔχει παρ' αὐτοῖς, οὐδὲ ὁ δίκαιος, οὐδ' ὁ ἀγαθός. Καὶ τὸ,

— κακῶν ῥεκτῆρα καὶ ὕβριν,

ἀντὶ τοῦ κακοῦργον καὶ ὑβριστὴν ἄνθρωπον. Τοιοῦτον καὶ τὸ παρ' Εὐριπίδῃ,

[o])Ἔριν Θυέστῃ πόλεμον,

ἀντὶ τοῦ ἐριστικὸν πόλεμον. Proclus.

Ibid. [p]) *ΧΕΙΡΟΔΙΚΑΙ.* Οἱ μὴ κρίσει καὶ νόμοις πειθόμε- 126
νοι, ἀλλὰ χερσὶ καὶ ἰσχύϊ πάντα δρῶντες. Tzetzes.

Ibid. *ΕΞΑΛΑΠΑΞΕΙ.* Πορθήσει· ἀλάπαθα γὰρ Ἀττικῶς τὰ κενώματα. [q])Ἔστι δὲ καὶ λάπαθος βοτάνη κενωτικὴ, η καὶ ἀλάπαθος λέγεται. Ἧς ἡ ῥίζα τὸ λεγόμενον ῥέων. Tzetzes.

Ibid. *ΧΕΙΡΟΔΙΚΑΙ.* Ἤγουν τῇ βίᾳ τῶν χειρῶν ἔσονται τὸ δίκαιον ὁρίζοντες. Πορθήσει δὲ πόλιν ἑτέρου ἕτερος. Moschop.

188. *ΟΥΔΕ ΤΙΣ ΕΥΟΡΚΟΥ ΧΑΡΙΣ ΕΣΣΕΤΑΙ.* Ἤγουν οὐδεμία δὲ εὐχαριστία ἔσται τοῦ εὐόρκου, τουτέστι τοῦ εὐσεβοῦς, ἣν ἄλλοι δηλονότι ἕξουσι πρὸς αὐτὸν, οὔτε τοῦ δικαίου ἀνθρώπου, οὔτε τοῦ ἀγαθοῦ, μᾶλλον δὲ τιμήσουσιν ἄνδρα ῥεκτῆρα καὶ ἐργάτην κακῶν. Moschop.

189. *ΚΑΙ ΥΒΡΙΝ.* Ἤγουν ὑβριστήν· ἢ τιμήσουσι καὶ ὕβριν· οὐκ ἔσται δὲ ἐν ταῖς χερσὶν, ἤγουν ἐν τῇ ἐργασίᾳ αὐτῶν, δίκη καὶ αἰδώς· ἀναιδῶς γὰρ καὶ ἀδίκως ἅπαντα ἔσονται πράττοντες· βλάψει δὲ ὁ κακὸς τοὺς τρόπους τὸν ἀρείονα φῶτα, ἤγουν τὸν ἀγαθὸν τοὺς τρόπους ἄνδρα, τὸ συγκριτικὸν ἀντὶ τοῦ ἁπλοῦ. *ΕΝΕΠΩΝ*, ἤγουν διαστρέφων καὶ διαβάλλων αὐτὸν ἐν λόγοις σκολιοῖς, ἤγουν πανούργοις. Moschop.

o) Locum hunc exhibui quomodo in Dorv. legitur. Edd. priores dant, *ἐν Θυέστῃ πόλεμον ἀ. τ. ἐ. πολέμιον.* Ex MSS. Parisinis nihil enotatum reperio.

p) Hinc ad *δρῶντες* om. Trinc.

q) *καὶ ἡ ἀλάπαθος βοτάνη ἢ καὶ λάπαθος κενωτικὴ ἐστίν :· οὐδέ τις εὐόρκου :— οὐδὲ τοῦ εὐόρκου καὶ εὐσεβοῦς τίς χάρις καὶ ἡδονὴ καὶ*

190. *ΔΙΚΗ Δ' ΕΝ ΧΕΡΣΙΝ.* Ἀντὶ τοῦ δικαιοσύνη. Καὶ ΖΗΛΟΣ νῦν ὁ φθόνος· ὁ δὲ φθόνος, φησὶν, ὁ ταραχώδης καὶ ΚΑΚΟΧΑΡΤΟΣ, ἐπακολουθήσει τοῖς ἀνθρώποις. PROCLUS.

Ibid. *ΔΙΚΗ Δ' ΕΝ ΧΕΡΣΙ ΚΑΙ ΑΙΔΩΣ.* [r]) Τὸ δίκαιον ἔσται οὐ κρίσει καὶ νόμοις, ἀλλὰ δυνάμει χειρῶν, καὶ ἰσχύϊ. Αἰδὼς καὶ αἰσχύνη κατὰ Ἀριστόξενον τὸν Μουσικὸν διαφέρουσι· καὶ ἵνα [s]) τὰ πολλὰ τούτου παρεάσω, αἰδὼς μὲν ἡ μικρὰ καὶ ἐπὶ τοῖς τυχοῦσι γινομένη [t]) ὑποστολὴ, εὐλαβεῖ λογισμῷ· αἰσχύνη δὲ ἡ ἐν κακοῖς ἀτιμία. TZETZES.

127 192. [v]) *ΕΠΙ Δ' ΌΡΚΟΝ ΟΜΕΙΤΑΙ.* Βλάψει, φησὶ, τὸν ἀγαθὸν ἀφαιρούμενος τὰ αὐτοῦ, καὶ αὐτὸν λοιδορῶν· καὶ πρὸς τούτοις καὶ ὅρκῳ χρήσεται, ὀμνύων αὐτοῦ εἶναι τὰ ἀφαιρεθέντα. TZETZES.

Ibid. *ΕΠΙ Δ' ΌΡΚΟΝ ΟΜΕΙΤΑΙ.* Ἀντὶ τοῦ, ἐπὶ δὲ ταῖς διαστροφαῖς αὐτοῦ καὶ πανουργίαις ὅρκον ὀμεῖται βεβαιῶν αὐτάς. ῾ΟΜΑΡΤΗΣΕΙ δὲ, ἤγουν ἀκολουθήσει, ἅπασι τοῖς ὀϊζυροῖς, ἤγουν τοῖς ταλαιπώροις ἀνθρώποις, ΖΗΛΟΣ, ἤγουν φθόνος. MOSCHOP.

193. *ΖΗΛΟΣ Δ' ΑΝΘΡΩΠΟΙΣΙΝ.* Τὸν φθόνον ἐν τούτοις ζῆλον [w]) ἐκάλεσε· δυσκέλαδον μὲν αὐτὸν ὀνομάσας, ὡς τὰς εὐπραγίας τῶν φίλων λοιδοροῦντα, καὶ λέγοντα κακῶς ὡς ἀναξίους ἐκείνων. ΚΑΚΟΧΑΡΤΟΝ δὲ, ὡς ἐπιγηθοῦντα τοῖς κακοῖς καὶ [x]) ἐπιχαίροντα. ΣΤΥΓΕΡΩΠΟΝ δὲ, ὡς

ὄφελος ἔσται. ὕβριν, τὸν ὑβριστικὸν ἄνθρωπον E. et fere F. Sic etiam G. ubi tamen om. οὐδὲ—ἄνθρωπον. Vide Schol. Theocriti II. 85.

r) τὸ δίκαιον ad ἰσχύϊ om. Trinc.

s) τἄλλα Trinc. pro τὰ πολλὰ, et mox ἐάσω.

t) συστολὴ F. Trinc. Ammonius de diff. p. 5. ita in Cod. Sorbon Etymolog. legitur: Αἰδὼς καὶ αἰσχύνη διαφέρει· Αἰδὼς μὲν γάρ ἐστιν ἐντροπὴ πρὸς ἕκαστον ὃν τις σεβασμίως ἔχει· Αἰσχύνη δὲ, ἐφ' οἷς ἕκαστος ἁμαρτάνων αἰσχύνεται, ὡς μὴ δέοντα πράξας. Καὶ αἰδεῖται μὲν τις τὸν πατέρα· αἰσχύνεται δέ τις μεθύσκεσθαι. Διαστέλλει δὲ τοῦτο Ἀριστόξενος ὁ Μουσικὸς, φησὶ γοῦν· Διαφορὰν τήνδε νομιστέον αἰδοῦς τε καὶ αἰσχύνης, ὅτι ἡ μὲν αἰδὼς πρὸς ἡλικίαν, πρὸς ἀρετὴν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν· ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσέρχεται οὕτω διακείμενος οὐ διὰ τὸ ἡμαρτηκέναι τι, ἀλλὰ σέβεσθαι καὶ τιμᾶν τὰς προειρημένας ὑπεροχάς· ἡ δὲ αἰσχύνη πρῶτον μὲν πρὸς πάντα ἄνθρωπον, ἔπειτα ἐπὶ τοῖς νομιζομένοις αἰσχροῖς. Haec in pluribus locis emendatiora sunt iis, quae habet Etym. Gudian. p. 16.

v) Deest hoc Soholion Trinc.

w) ὠνόμασε Dorv. et mox καλέσας — εὐπραξίας — ἀναξίας idem.

x) ἐπιχαιρέκακον Dorv.

ὦπας ἔχοντα μίσους ἀξίους, καὶ ἀεὶ βλέποντας πρὸς τὸ κακὸν, καὶ ἄθεον, καὶ τὸ βλαπτικόν. Proclus.

Ibid. [y]) *ΖΗΛΟΣ.* Τὸν φθόνον νῦν λέγει. Ὁ γὰρ ζῆλος κυρίως ἐπαινούμενόν ἐστιν· ἔρις γὰρ ἀγαθή, ἤτοι μίμησίς ἐστιν. Ὁ δὲ φθόνος, ἐπίμομφον. Tzetzes.

194. *ΔΥΣΚΕΛΑΔΟΣ.* Κακοκέλαδος, καὶ οἱονεὶ [z]) κακόφωνος· ἐπεὶ κακολογοῦντες οἱ φθονοῦντες καὶ οὐδὲ ἀγαθὸν λέγουσι περὶ τῶν πέλας. Ὁ φθόνος μισητὸς ἐν τῷ στυγερῶς ὁρᾷν ἢ ὁρᾶσθαι· οὐκέτι γὰρ αἰδοῦνται κακῶς πράττοντες. Οταν δὲ ταῦτα ᾖ, ἡ αἰδὼς καὶ ἡ νέμεσις ἀμφιασάμεναι φάρεα λευκὰ πρὸς οὐρανὸν ὁρμῶσι, λιποῦσαι τοῖς ἀνθρώποις ἄλγεα λυγρά. Proclus.

Ibid. *ΔΥΣΚΕΛΑΔΟΣ, ΚΑΚΟΧΑΡΤΟΣ.* Προσωποποιεῖ τὸν φθόνον, καὶ τὰ τῶν φθονούντων ἴδια πρὸς τοῦτον μεταφέρει. Οἱ φθονοῦντες γὰρ κελάδους καὶ θορύβους [a]) ποιοῦσι καὶ ἐγείρουσι, καὶ χαίρουσι τοῖς κακοῖς τῶν φθονουμένων, καὶ στυγερῶς καὶ μισητῶς αὐτοὺς ὁρῶσι. Tzetzes.

Ibid. *ΔΥΣΚΕΛΑΔΟΣ.* Τουτέστι κακὰς φήμας ἐγείρων· τοιοῦτο γὰρ ὁ φθόνος, μεμψίμοιρον κακὸν, καὶ λάθρα φήμας ὑποσπεῖρον κακάς. Moschop.

Ibid. *ΚΑΚΟΧΑΡΤΟΣ.* Ἤγουν χαιρέκακος, ἐπὶ κακοῖς χαίρων. Moschop.

Ibid. *ΣΤΥΓΕΡΩΠΗΣ.* Ἤγουν μισητὸς τὴν ὄψιν, τουτέστιν ἀποτρόπαιος. Καὶ τότε δὴ ἡ αἰδὼς καὶ ἡ νέμεσις καταλιποῦσαι τοὺς ἀνθρώπους, ἴτον, ἤγουν ἐλεύσονται, πρὸς τὸν οὐρανὸν ἐπὶ τὸ γένος τῶν θεῶν, ἀπὸ τῆς εὐρυχόρου χθονὸς, καλυψάμεναι τὸ καλὸν πρόσωπον λευκοῖς ἱματίοις. Αἱ δὲ χαλεπαὶ λύπαι, αἱ ἀπὸ τῆς ἀναιδείας καὶ τοῦ φθόνου, καταλειφθήσονται τοῖς θνητοῖς ἀνθρώποις· τοῦ κακοῦ δὲ ἀποσόβησις οὐκ ἔσται. *ΙΤΟΝ*, ἀντὶ τοῦ ἐλεύσονται. Εἶμι ὃ 128
δύναται καὶ ἐπὶ ἐνεστῶτος λαμβάνεσθαι καὶ ἐπὶ μέλλοντος, τὸ τρίτον τῶν δυϊκῶν, ἴτον, ἐνταῦθα ἐπὶ μέλλοντος ἀντὶ τοῦ ἐλεύσονται. Moschop.

y) Deest hoc Scholion Trinc.
z) Ita A. Dorv. Suidas Δυσκελάδου, κακοήχου. Edd. κακόφθονος. Mox κακολούουσιν Dorv. Ὁ φθόνος ad fin. om. A. Dorv.
a) ποιοῦσι καὶ om. Trinc.

195. *ΠΡΟΣ ΟΛΥΜΠΟΝ.* Ὄλυμπος, ὁ οὐρανὸς, καὶ ἡ τοῦ παντὸς κόσμου ὅλη περιοχὴ, παρὰ τὸ ὁλολαμπὴς εἶναι. [k]) Ψιλοῦται δὲ, ὅτι συνεκόπη Αἰολικῶς, ὁλόλαμπος. Καὶ Ὄλυμπος· τρέπουσι γὰρ καὶ τὸ α εἰς υ, τὰς σάρκας σύρκας λέγοντες. Οὕτω το Ὄλυμπος ψιλοῦται. Τῶν γὰρ τοιούτων τὰ ἐντελῆ δασύνεται, τὰ δὲ συγκοπέντα ψιλοῦται. Ὡς τὸ ὁλόλαμπος, ἁρμοζόμενος, ἀλλόμενος, ἅρμενος, ἅλμενος. Ψιλοῦται οὖν τὸ Ὄλυμπος. Εἰ δέ μοι δυσπιστεῖ τις ὡς εὑρεσιεπεῖ, ἀκουέτω καὶ χρήσεων·

Ἧτε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει
——— ἐπάλμενος ὀξέϊ δουρί.

Ὄλυμπος οὕτω ψιλοῦται, καὶ οὕτω λέγεται οὐρανός. Ὁμοίως δὲ τῷ οὐρανῷ καὶ ἡ σφαιροειδὴς ἡμῶν κεφαλὴ, ἐν ᾗ τὸ ὁλολαμπὲς λογιστικὸν ἵδρυται, Ὄλυμπος λέγεται. [l]) Περὶ γὰρ ὄρους Ὀλύμπου νῦν λέγειν, ψυχρολογία καὶ λῆρος ἐνταῦθα ἔμελλεν εἶναι. Tzetzes.

196. *ΛΕΥΚΟΙΣΙΝ ΦΑΡΕΕΣΣΙ.* Τοῦτό φησι, ὅτι κἂν τισι τῶν ἀνθρώπων, ἢ καὶ σχεδὸν πᾶσιν, ἡ αἰδὼς καὶ ἡ νέμεσις τοῦ βίου ἐξοστρακίζονται, καὶ [b]) ἀφανισμῷ παραδίδονται, ὅμως οὐκ εἰσὶ σκοτειναί τε καὶ μελαγχίτωνες, ἀλλὰ λευκοχίτωνες, καὶ ἡλίου λαμπρότερον ἀπαστράπτουσαι. Τὸ τούτων γὰρ ὄνομα περιτεθρύλληται πανταχοῦ. Tzetzes.

197. *ΑΘΑΝΑΤΩΝ ΜΕΤΑ ΦΥΛΟΝ.* Τῶν στοιχείων νῦν, ἢ τῶν φρονίμων. Προσωποποιεῖ δὲ ἐνταῦθα τὴν δικαίαν μέμψιν, καὶ τὴν αἰδῶ [c]) μέλλουσαν φεύγειν διὰ τὰς τῶν ἀνθρώπων ἀδικίας καὶ βίας, καὶ ἀπέρχεσθαι ἐν τοῖς στοιχείοις, ἢ τοῖς φρονίμοις καὶ δικαίοις· μόνοις γὰρ ἐξ ἀνθρώπων τούτοις ἡ αἰδὼς καὶ ἡ νέμεσις [d]) πρόσεστι. Τὸ ὕδωρ γὰρ τὸ θαλάττιον [e]) ἔχει τὴν ψάμμον ὡς ὅριον, καὶ μέχρι ταύτης προβαῖνον, κἂν ἀγριοῦται τοῖς κύμασιν, ὅμως [f]) ὥσπερ αἰδεῖται καὶ νεμεσίζεται περαιτέρω χωρεῖν, καὶ τῆς γῆς καταβλάπτειν τὰ ὅρια. Τούτοις ὁμοίως ὅ τε ἀὴρ καὶ τὸ πῦρ, ἀλ-

k) Hinc ad λέγεται οὐρανὸς om. Trinc.

l) περὶ δὲ Ὀλύμπου ὄρους νῦν λέγειν, ψυχρολόγου. Trinc. ubi rell. om.

b) Ita E. G. Trinc. ἀφορισμῷ Bas. Heins.

c) μελλούσας E.

d) ἔνεστι Trinc.

e) ἔχον Trinc. Mox ἀγριῶται G.

f) ὥσπερ om. Trinc. mox νεμεσεῖ Trinc.

λήλων μὴ [g]) ὄντα πολέμια, τόποις δὲ τοῖς οἰκείοις ἐμμένοντα. Ἔτι πρὸς τούτοις χειμὼν, ἔαρ, θέρος, φθινόπωρον, ἡμέρα, νὺξ, καὶ τὰ λοιπὰ, τὴν αἰδῶ καὶ τὴν νέμεσιν [h]) ταύτην φυλάττουσιν, ἐξιστάμενα ὅτε δεῖ, καὶ ἐγκαίρως ἀλλήλοις ὑπείκοντα, καὶ οὐ πλεονεξίαν καὶ βίαν ἢ τόπῳ ἢ χρόνῳ κατ' ἀλλήλων [86]) νοσοῦντα· καὶ ὅσα φησὶ ὁ Σοφοκλῆς, ἁπλῶς ἐκ τοῦδε τοῦ 129
[l]) Ἡσιοδείου λόγου ταῦτα λαβών·

Καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα
Τιμαῖς ὑπείκει· τοῦτο μὲν νιφοστιβεῖς
Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει·
Ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
Τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.

Καὶ τὰ λοιπά. Tzetzes.

198. *ΤΑ ΔΕ ΛΕΙΨΕΤΑΙ.* Τουτέστι, τὸ τῶν κακῶν ἔσχατον· ἀναιδείας γὰρ κρατησάσης καὶ φθόνου τῶν ἀνθρώπων, [m]) πάντη τὸ γένος ἡμῶν ἀπολιπεῖν αἰδῶ καὶ νέμεσιν· τούτων γὰρ ἀπόπτωσίς ἐστιν ἡ ἀναίδεια καὶ ὁ φθόνος. Ἀλλ' οὗτος μὲν εἴδωλον ὢν νεμέσεως· δοκεῖ γὰρ [n]) αὐτὸς ἐπὶ τοῖς παρ' ἀξίαν εὐτυχοῦσιν ἀγανακτεῖν, ἀλλ' ἡ μὲν νέμεσις ἐπὶ τοῖς ὡς ἀληθῶς παρὰ τὴν ἀξίαν εὐτυχοῦσιν. Ἡ δὲ ἀναίδεια οὐχὶ εἴδωλον τῆς αἰδοῦς, ἀλλὰ τὸ ἐναντιώτατον πρὸς αὐτὴν ὑποκρινόμενον τὴν παῤῥησίαν. Εἰ δὲ λευκὰ τὰ φάρη τῆς αἰδοῦς καὶ νεμέσεως, ἐν φωτὶ μὲν [o]) αὐταῖν ἡ ὑπόστασις. Νοεραὶ δὲ αἱ δυνάμεις· πόῤῥω δέ εἰσι τῆς ἀθέου καὶ σκοτώδους τῶν παθῶν οὐσίας. Διὸ τὴν μὲν αἰδῶ, θεῖον φόβον [p]) ὑμνοῦσι·

g) *καθεστηκότα* Trinc.

h) Ita F. Trinc. *ταῦτα* alii. *ἐξανιστάμενα* Trinc. Mox *μετ' ἀλλήλων* Trinc.

86) *νοσοῦντα*] Scribe, *νοοῦντα*: quamvis librarii recens error aut typographi videatur. Heinsius.

l) *Ἡσιόδου* Trinc. Mox *καρτερικώτατα* G. Bas.

m) *ταύτην* Dorv.

n) *καὶ αὐτὸν* Dorv. *ἀτυχοῦσιν* edd. Mox *ἀλλ' ἡ μὲν — εὐτυχοῦσιν* addidi ex Dorv. Exscribam pauca ex Aristotelis de Rhet. II. c. 11. codicis MS. ope vulgatis paullo emendatiora: *Δόξειε δ' ἂν καὶ ὁ φθόνος τῷ ἐλέειν τὸν αὐτὸν ἀντικεῖσθαι τρόπον, ὡς σύνεγγυς ὂν καὶ ταυτὸν τῷ νεμεσᾶν· ἔστι δὲ ἕτερον· λύπη μὲν γὰρ ταραχώδης καὶ ὁ φθόνος ἐστὶ, καὶ ἐπὶ εὐπραγίᾳ, ἀλλ' οὐ τοῦ ἀναξίου, ἀλλὰ τοῦ ἴσου* (*ἀξίου* habet MS. a m. sec.) *καὶ ὁμοίου.* Alexander Aphrodisiensis in Topic. II. p. 76. apud Suidam in v. *Νεμεσητικός. Νεμεσητικὸς, ὁ ἐναντίος τῷ φθονερῷ. Ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις· ἐπεὶ καὶ ὁ φθόνος τοιοῦτον. Νεμεσητικὸς δὲ, ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις, τοιοῦτον γὰρ ἡ νέμεσις.*

o) *αὐτῶν* Dorv. Mox edd. habent *νοεραὶ αἱ δ. καὶ π. τῆς.*

p) *τιμῶσι* Dorv. et. mox *καλῶς*

τὴν δὲ νέμεσιν, δίκης ἄγγελον. Καλῶς οὖν καὶ Πλάτων ἐρωτηθεὶς τί ποτε προςγέγονε τοῖς κατ' αὐτὸν ἀνθρώποις, ἀπεκρίνατο, μὴ αἰσχύνεσθαι κακοὺς ὄντας. Ὅτι δὲ θεῖον πρᾶγμα καὶ ἡ νέμεσις, δηλοῖ τὸ καὶ q) θεοῖς αὐτὴν ὑπάρχειν·

—νεμέσησε δὲ πότνια Ἥρη,

130 φησὶν ἡ ποίησις. Φθόνος δὲ ἔξωθεν θείου χοροῦ παντός. Proclus.

Ibid. r) ΤΑ ΔΕ ΛΕΙΨΕΤΑΙ ΑΛΓΕΑ ΛΥΓΡΑ. Τὰ δὲ ἄλγεα ἐναπολειφθήσεται μόνα τοῖς ἀνθρώποις. 87) ΛΥΓΡΑ, τὰ χαλεπὰ, παρὰ τὸ λίαν ὑγρὰ εἶναι· καὶ γὰρ ἐκ τῶν ὑγρῶν καὶ ψυχρῶν φασὶν εἶναι πάντα τὰ λυπηρὰ, ὡς ἐκ τῶν θερμῶν τὰ ἡδέα. ΑΛΚΗ νῦν ἀποσόβησις. Tzetzes.

200. ΝΥΝ Δ' ΑΙΝΟΝ. Ὁ μὲν κατὰ τὴν Πανδώραν μῦθος τὴν αἰτίαν τῶν ἐν ἀνθρώποις κακῶν εἰς τὸ θῆλυ τῆς ψυχῆς s) ἀνέφερεν, καὶ τὴν ἄλογον ζωὴν ἐκ τῶν οὐρανίων ἡμῖν προσπλασθεῖσαν. Ὁ δὲ περὶ τῶν t) γενεῶν λόγος δύο τὰς παντοίας μεταβολὰς τῶν ἀνθρωπίνων ζωῶν, τὰς διὰ τὴν v) ἀναλογίαν ἐπεισελθούσας ζώντων ἡμῶν, τοτὲ μὲν κατὰ λόγον, τοτὲ δὲ κατὰ τὸ ἄλογον. Ὁ δὲ αἶνος οὗτος τρίτος παραίνεσίς τις ὢν καὶ νουθέτησις ἐπικεκαλυμμένη πρὸς τοὺς κατὰ πάθος ζῶντας, ἔνδειξίς ἐστι τῆς βιαίου καὶ πλεονεκτικῆς ζωῆς καὶ θηριώδους κατὰ τῶν βιασθῆναι μὲν δυναμένων, ὅμως δὲ ἱεροπρεπεστέρων ὄντων. Καὶ ὁ μέν γε ἱέραξ ἁρπακτικόν· ἡ δὲ ἀηδὼν μουσικόν. Παιδευτικὸς w) οὖν ὁ λόγος·

ἄρα. καλῶς μὲν οὖν B. Aristoteles Rhet. I. c. 16. Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος ῷ (MS. optimus habet ὃ) Πλάτων εἶπε πρὸς Ἀρχίβιον, ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι. Quae verba Platon Comico tribuenda censet Ruhnkenius Hist. Crit. Or. Gr. p. LXVII. (sive p. 147. T. VIII. Or. Gr. Reiske) consentiente, ut videtur Valckenaerio. Ad hunc locum credo Proclum respexisse.

q) Ita recte MS. Trinc. Aristot. ubi supra, θεοῖς ἀποδίδομεν τὸ νεμεσᾶν. Male Heinsius θεόν. Ultima hujus Scholii verba petita sunt ex Platone, loco celeberrimo Phaedr. p. 247. A.

r) Usque ad ἀνθρώποις om. Trinc. In fine Ἀλκὴ ν. ἀ. addidi ex E. F.

87) Vitiose in emendatiore erat, λυγρὰ τὰ λεπτὰ, ἐπὶ τὸ λίαν etc. Saepe mutuas operas tradunt Isacius et Johannes Tzetzii: nam totidem propemodum verbis hic locus apud illum ad poetam obscurum. (Lycophr. 63.) Heinsius.

s) ἀνέφερεν. Ita Dorv. Antea ἐνέφερεν. Mox Dorv. προπλασθεῖσαν.

t) γενῶν Trinc. A. B. Dorv. Mox mendosum est δύο. An leg. δηλοῖ?

v) ἀλογίαν Dorv. Mox ib. deest articulus ante ἄλογον.

w) οὖν pro δέ ἐστιν A. B. Dorv.

δεικνὺς οὗ μὲν οἱ δωροφάγοι τεταγμένοι τυγχάνουσιν, οὗ δὲ οἱ Μουσῶν θεραπευταί· καὶ τίνες οἱ ἄδικοι, τίνες δὲ οἱ θεοῖς φίλοι, διὰ τούτων τῶν εἰκόνων. [x]) Καὶ γὰρ ἱέραξ φέρει τὴν ἀηδόνα μεμαρπὼς, καὶ τοῖς ὄνυξιν εἰς αὐτὴν ἐμπεπηγόσι κατέχων· ἡ δὲ ἔχεται καὶ πάσχει ὑπὸ τοῦ δυνατωτέρου κακῶς. ΕΛΕΟΝ γὰρ, φησὶ,

[y]) γναπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι Μύρετο·

τουτέστιν ἐλεεινόν. Τὸ γὰρ ἐλεὸν ὀξυτόνως σημαίνει τὸ ἐλεεινόν. Ὑπὸ τῶν ὀνύχων κατεχομένη φωνὴν ἀφίησιν ἐλεεινὴν, [z]) ὡς οἱ ἀδικούμενοι ὑπὸ τῶν βασιλέων καὶ βιαζόμενοι πλέον οὐδὲν ἔχοντες τῶν ὀδυρμῶν. ΑΛΛΩΣ. Αἶνος ὁ παροιμιώδης λόγος, ὁ ἐπὶ παραινέσει λεγόμενος· ὥσπερ γὰρ ἡ ἀηδὼν ἐν τοῖς ποσὶ τοῦ ἱέρακος, οὕτω κἀγὼ ἐν ταῖς χερσὶν ὑμῶν· καλῶς γὰρ [a]) ἑαυτὸν ἀηδόνι ἀπείκασε· μουσικὸν γὰρ τὸ ὄρνεον· [b]) καὶ τοὺς κριτὰς, ἱέρακας, ὡς ἁρπακτούς. Τὸ δὲ ΛΕΛΗΚΑΣ δηλοῖ τὸ βεβόηκας, καὶ ΔΑΙΜΟΝΙΗΝ τὴν ἀηδόνα φησὶ, διὰ τὸ μουσικὸν καὶ ἱερόν. ΑΡΕΙΩΝ δὲ ὁ δυνα- 131
τώτερος εἴρηται. Τὸ τοίνυν ΔΑΙΜΟΝΙΗ ΤΙ ΛΕΛΗΚΑΣ; καὶ τὰ ἑξῆς, ὁ τῶν ἁρπακτικῶν λέγει νόμος ταῦτα, οἷον καὶ Θρασύμαχος ἐτίθει καὶ πᾶς ὁ τοιοῦτος, εἴτε Φάλαρις, εἴτε Ἀπολλόδωρος, ἰκτίνοις ἐοικότες καὶ λύκοις καὶ ἄλλοις τοιούτοις, [c]) καὶ ὑπὸ τοῦ χείρονος, δυνατωτέρου δὲ, τὸ ἀσθενέστερον, κἂν κρεῖττον ᾖ, πάσχειν κακῶς, καὶ ἐπιτωθάξειν τὸν ποιοῦντα τῷ πάσχοντι. Τὸ [d]) γὰρ,

Τῇ δ' εἷς ᾗ σ' ἂν ἐγώ περ ἄγω,

δηλοῖ τὸν μὲν βιαιότερον ἄγειν, ἄγεσθαι δὲ, ὅπου ἂν ἐκείνῳ δοκῇ, τὸν ἀσθενέστερον. Πρόσκειται δὲ, καὶ τὸ ΑΟΙΔΟΝ περ ΕΟΥΣΑΝ, διὰ τὸ ἄγεσθαι τὸν Ἡσίοδον ἐνδεικνύμενον [e]) τὸ ἱερὸν τῶν Μουσῶν ἀναγκάζεσθαι τοῖς βασιλεῦσιν ἀδι-

δεικνὺς μὲν οὖν μὲν οἱ B. Mox τεταμένοι Dorv.

x) Καὶ γὰρ ἱέραξ addidi ex A. Dorv.

y) Ita Trinc. Dorv. γναμπτοῖσι Heins.

z) καὶ Dorv. mox ibid. καὶ om.

a) αὐτὸν Dorv. ἀηδόνα B. Dorv. Trinc.

b) ἱέρακας ἁρπακτικὰ ζῶα. A. Dorv. καὶ δαιμονίην τὴν ἀ. A. Antea καὶ δαιμονᾶς. δαιμονίην δὲ τὴν Dorv.

c) καὶ τὴν ὑπὸ Dorv. et mox ib. δυνατωτέρους.

d) δὲ Dorv. Mox ib. ἀηδὼν pro ἀοιδὸν et διὰ τὸ om.

e) τὸ ἱερὸν τῶν M. ἀναγκάζε(τ) Dorv. τῶν ἱερῶν M. edd.

κοῦσιν εἴκειν. Ἐπ' ἐκείνοις γὰρ εἶναι καὶ δεῖπνον αὐτὸν ποιήσασθαι καὶ μεθεῖναι, καθάπερ ἐπὶ τῷ ἱέρακι τὴν ἀηδόνα. Καὶ τέλος ἐπήγαγεν, ὅτι ἄφρονος ἔργον ἐστὶν ἀντιβαίνειν τοῖς ἰσχυροτέροις, ὡς ἂν οὐδὲ αὐτὸς ἐναντιωθησόμενος τοῖς ἄρχουσι βιαζομένοις. Διπλοῦν γὰρ εἶναι τὸ ἐκ τῆς πρὸς τοὺς δυνατωτέρους ἀντιβάσεως κακόν· τό τε ἐκ τῆς ἥττης ὄνειδος, ὅ περ ἐκάλεσεν αἶσχος, καὶ τὴν ἐπὶ τῷ κρατηθῆναι λύπην, ἣν εἶπε πάθος ἀλγεινόν. Τούτων δὲ τῶν στίχων ὁ Ἀρίσταρχος ὀβελίζει τοὺς τελευταίους, ὡς ἀλόγῳ γνωμολογεῖν οὐκ ἂν προσῆκον. PROCLUS.

Ibid. [92]) ΝΥΝ Δ' ΑΙΝΟΝ. [f]) Μυθικὴν παραίνεσιν. Εἰκάζει δὲ ὁ ποιητὴς ἑαυτὸν ἀηδόνι, διὰ τὸ τῆς ποιητικῆς ᾠδικόν· τοὺς δὲ κριτὰς ἱέρακι, διὰ τὸ ἁρπακτικόν. Γνωστὸν δὲ τοῦτο πᾶσι, καὶ οὐ δεῖ ἐνταῦθα Προκλικῶν ματαίων πλασμάτων· ἐν γὰρ τοῖς σπουδαίοις ὁ Πρόκλος οὐδὲν γράφων, ἐν τοῖς τοιούτοις μεγαλήγορος, καὶ μακρότερα γράφειν τῆς Ἰλιάδος οὐκ ἀπαναίνεται. Ἡμεῖς δὲ ταῦτα παρέντες τὰ δεόμενα ἐξηγήσεως λέξομεν· καὶ πρῶτα ταύτην τὴν σύνταξιν καίπερ κακῶς ἔχουσαν.

[93]) Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω [g]) ὧδε, τουτέστι μυθικῶς, φρονέουσι καὶ αὐτοῖς· εἶτα ἄρχεται τοῦ μύθου· ἴρηξ
132 ὀνύχεσι μεμαρπὼς ἀηδόνα ποικιλόδειρον, ὕψι μάλ' ἐν νεφέεσσι φέρων, προσέειπεν· δαιμονίη, τί λέληκας, ἔχει νύ σε πολλὸν ἀρείων. Ἡ δ' ἐλεὸν γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι, μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε· τῇδε καὶ ἐνταῦθα εἶσι καὶ εἴσιθι καὶ πορεύου, ὅπου σε ἂν ἐγὼ ἄγω· δεῖπνον δ' αἴκ' ἐθέλω ποιήσομαι, ἠὲ μεθήσω. Μέχρι τοῦδε ὡς ἀπὸ τῶν ὀρνέων ὁ ποιητὴς τοὺς λόγους ποιεῖται. Ἐντεῦ-

92) Pessime in Basiliensi erat: νῦν δὲ θυμικὴν παραίνεσιν: sed θυμικὴν pro μυθικὴν, sicut θυμὸς pro μῦθος facile mutari potuit: quod in authoribus saepe factum est: exempli ergo sit illud Dionysiac. 5. Φαιδρὸν ἐὸν γένος εἶπε, καὶ ἀενάων στίχα θυμῶν Οἰγομένου κρουνηδὸν ἀνήρυγεν ἀνθερεῶνος: ubi μύθων legendum per se apparet, ut in reliquis nostris quae in illo poeta emendavimus, brevi, ut spero, dicemus. Lapsus proclivissimus est. Bene altera, et ut emendavimus. HEINSIUS.

f) Νῦν δὲ μῦθον παραίνεσιν E. Post ἁρπακτικόν inserit Trinc. τὰ ἑξῆς δῆλα, et reliqua Scholii om.

93) Puto scripsisse Tzetzen: νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι] τουτέστι μυθικῶς φρονέουσι. Caeterum de hac interpretatione quam affert, et ipsius sententia vide quae infra ad Moschop. HEINSIUS.

g) ὧδε pro ὥστε ex E. F. G.

θεν δὲ ἀναλαμβάνει τὸ ἴδιον πρόσωπον, καὶ λέγει τὸ ἐπιμύθιον, τοῦτο τὸ δίστιχον τοῖς κριταῖς, τὸ,

Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·

καὶ τὸν ἕτερον στίχον· [h]) εἶτα πρὸς τὸν Πέρσην [i]) ἀποστρέψας τὸν λόγον, φησὶ τὸ,

Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ.

[94])Καὶ οὕτως, οὐδὲ ὁ παρὰ Πρόκλῳ Ἀρίσταρχος σχεῖ χώραν ὀβελίζειν τοὺς δύο στίχους τούτους, τὸ ἐπιμύθιον. [k])Ἀκούσατε δὲ ὦ Πρόκλε τε καὶ Ἀρίσταρχε, κἄν περ ἡμεῖς τοῦτο οὐ διορθώσαμεν, οὐ γελοῖον ἦν καθ' ἡμᾶς, τὸ τὰ ἄλογα μὲν [l])καὶ ἀνθρωπίνως λαλεῖν συγχωρεῖν, μὴ μέντοι δὲ γνωμολογεῖν. [m]) ἀλλ' ἰστέον, ὅτι ὁ λαλεῖν ἀνθρωπίνως εἰδὼς, καὶ γνωμολογήσει θελήσας, καὶ ᾧ τινι συγκεχώρηται τὸ λαλεῖν, καὶ τὸ γνωμολογεῖν [95]) δηλονότι συγχωρηθήσεται. Ἀλλ' οὐκέτι τὴν ὑμετέραν ἀλαζονείαν ἐλέγχων μακρηγορήσω· παραδραμοῦμαι δὲ, τοῦτο μόνον ἀποφαινόμενος, ὅτι κακῶς λέγετε. Ὑμῖν δὲ τοῖς ἀκροωμένοις φημὶ, ὅτι ἐν τῷ ῥηθέντι νῦν [n])χωρίῳ τῶν ἐπῶν οὐκ ἔδει πολυλογίας, λέξεων δὲ βραχειῶν τινῶν. Καὶ γέγραφα ταύτας ἄνωθεν τῶν ἐπῶν. Οἷον τὸ ΠΟΙΚΙΛΟΔΕΙΡΟΝ, τὴν ποικιλόφωνον λέγει, ἢ τὴν ἐστιγμένην καὶ ποικίλην ἔχουσαν τὴν δειρὴν, ἤγουν τὸν τράχηλον. Tzetzes.

Ibid. [88]) ΝΥΝ Δ' ΑΙΝΟΝ. Νῦν δὲ παροιμιώδη λόγον ἐπὶ παραινέσει τοῖς κριταῖς ἐρῶ, γινώσκουσι καὶ αὐτοῖς. Moschop.

h) Ita E. F. G. Edd. εἶπε· πρὸς δέ.

i) ἀντιστρέψας E.

94) καὶ οὕτως οὐδὲ ὁ παρὰ Πρόκλῳ Ἀρίσταρχος] Suspecta. Heinsius.

k) Ita F. ἄλλως τε edd.

l) ἐνανθρωπίνως G.

m) Lacunam supplevi ex F. G. vulgo desunt ἀλλ' —γνωμολογεῖν.

95) δηλονότι συγχωρηθήσεται] Jussimus includi uncis haec, quod vacent, et a male feriato aliquo qui in Tzetze notarat τὸ τῆς συντάξεως ἐλλελειμμένον in verbis illis praecedentibus appicta sint. Heinsius.

n) χωρίῳ τῷ τῶν F.

88) Fatetur satis hac glossa tam sterili non percepisse se mentem venustatemque hujus loci cum reliquis et Moschopulus: duplici quidem modo. Primo cum αἶνον, παροιμιώδη λόγον hic interpretatur, quod a Proclo hauserat, ex quo nunquam mentem hic Hesiodi tyrones percipient, ac ne docti quidem. Secundo cum, φρονέουσι καὶ αὐτοῖς, altera glossa illustrat, ut arbitratur, γινώσκουσι καὶ αὐτοῖς. Saltem aliquid tentasse videretur, si τὸ καὶ per καίπερ reddidisset, quod nec vulgus ignorare potuit. Hinc tamen error Tzetzis dimanavit, qui, φρονέουσι καὶ αὐτοῖς, exponit, μυθικῶς καὶ αὐτοῖς

133 201. *ʹΩΔʹ ʹΙΡΗΞ ΠΡΟΣΕΕΙΠΕ.* Παραβολὴ μυθική· οὕτως εἶπεν ἱέραξ πρὸς ἀηδόνα ποικιλόφωνον, ὕψου μάλα ἐν νέφεσι φέρων αὐτὴν, τοῖς αὐτοῦ ὄνυξι μεμαρπὼς, ἤγουν συλλαβών. Εἶτα πρὸ τοῦ ἀποδοῦναι ἐπάγει διὰ μέσου, ἡ δὲ ἐλεεινὸν ὠδύρετο πεπερονημένη ἐν ὄνυξι γναπτοῖς, τουτέστι κεκαμμένοις, ἀγκύλοις, πρὸς ὃ ἀποδίδωσιν ὃν ἤρξατο λόγον ἐπαναλαμβάνων, τὸ τοιοῦτον δὲ γίνεται καὶ παρὰ τῷ πεζῷ λόγῳ,

φρονέουσι. Tanquam, si Diis placet, subintelligendum esset ἔξωθεν in verbis Hesiodi vox *μυθικῶς*. Idem Tzetzes tanquam in paedagogica provincia sua Hesiodo dies dicenda esset, ad virgam et ferulam eum vocat, et quod solent cerebrosi *παιδαγωγῶν παῖδες* inter discipulos suos, ubi rerum potiuntur, in hoc loco *ὅλην τὴν σύνταξιν* damnat, *ὡς κακῶς ἔχουσαν*. Saltem doceret nos quid hic sit vel *σόλοικον*, vel *ὑποσόλοικον*, vel *σολοικοφανὲς*, ut aliquam apud imperitos gratiam inire posset. Sed sibi has delicias servare maluit. Caeterum procul a venustate aberrarunt tam Graeci quam Latini. Tota venustas in vocibus duabus consistit, *ἐν τῷ αἶνος, καὶ τῷ φρονέουσι*. *Αἶνον* poeta vocat quem Rhetores *προγυμναστικοὶ μῦθον ἠθικὸν* dicunt, cum quo directe pugnat *ὁ λογικὸς*, ex parte *ὁ μικτός*. Philosophus Rhetor. 2. communiori voce *λόγον* appellat: qui *λόγον μικτὸν* adducit ex Stesichoro *περὶ ἀνθρώπου καὶ ἵππου*: *ἠθικὸν* vero ex Aesopo *περὶ ἐχίνου καὶ ἀλώπεκος*. Diximus supra ejusmodi *μύθους* originem ex Hegemonico saeculo sumpsisse, quibus vox et prudentia tribuebatur *τοῖς ἀλόγοις*. Hesiodus, post prolixum illud *διήγημα* de saeculis, affert *μῦθον*, sed *ἀπὸ ἀλόγων* desumptum, quem proprie *αἶνον* vocat cum omnibus veteribus. Hoc *αἴνῳ* ab irrationabilibus desumpto ait se docere velle *τοὺς δικαστὰς, καίπερ φρονοῦντας*, hoc est, *καίπερ ἀνθρώπους*, et per consequens *λογικοὺς ὄντας*. Pugnant directe inter se objectum *τοῦ αἴνου* et *οἱ φρονοῦντες*. *Φρονοῦντες* sunt *οἱ λογικοὶ*, hoc est, *οἱ ἄνθρωποι*, quales sunt Hesiodi judices, quorum causa affertur. Personae quae in *αἴνοις* introducuntur, sunt *ἄλογοι* tantum; quales hic *ἴρηξ καὶ ἀηδὼν*, accipiter, et luscinia. Sensus hujus loci hic est: *Νῦν δὲ τοῖς δικασταῖς καίπερ λογικοῖς οὖσι μῦθον ἐξ ἀλόγων πεπλασμένον φράσων ἔρχομαι: Nunc*, inquit, *judicibus quanvis ratione praeditis fabellam ab irrationabilibus deductam proponam.* Haec ratio, haec venustas hujus versus. Tzetzi, dum tanquam scurram aliquem, e plaustro miserum Proclum *κωμῳδεῖ, καὶ πομπεύει*, non vacabat inquirere quae Lucius Tarraeus prolixe olim *περὶ αἴνου* disputabat, et ex eo posteriores quidam: quae si notasset, facilius vidisset quid hoc loco esset, *φρονέουσι καὶ αὐτοῖς*, quod intelligi non potest nisi e contrario opposita voce *αἶνος*: cum praesertim omnia ex hoc Hesiodi loco deduxerint illi qui *αἶνον* notarunt praecise esse, *λόγον κατὰ ἀναπόλησιν μυθικὸν, ἀπὸ ἀλόγων ζώων*: quod nunquam notassent, nisi animadvertissent quomodo hic sumeretur vox *φρονέουσι*: pro quo et *νοέουσι* adducitur: quod non magis displicet. Porro ostendit hic primus omnium Hesiodus quantum fidei tribuendum sit acutis illis *τεχνογράφοις*, qui post Aphthonium in arte progymnastica notarunt: *οἱ μὲν ποιηταὶ ἡδονῆς χάριν τῷ μύθῳ ἐχρήσαντο, οἱ δὲ ῥήτορες διὰ παραίνεσιν*: quasi hoc loco aliud agat Hesiodus quam dicendi magistri. HEINSIUS.

καὶ φησὶ πρὸς ταύτην, οὗτος λόγον εἶπεν ἐπικρατέως, ἀπηνῶς, τουτέστι μετὰ γνώμης τὴν αὐτοῦ ἐπικράτειαν ἐμφαινούσης, ὅ ταυτὸν τῷ ὑπεροπτικῶς. Moschop. 134

205. *ΔΑΙΜΟΝΙΗ*. Ἤγουν κακόδαιμον, τί βοᾷς; **κατέχει σε** κατὰ πολὺ ἰσχυρότερος, ἐκεῖσε πορεύσῃ, ὅποι **ἂν ἐγώ σε** ἄγω, καίπερ οὖσαν μουσικὴν μελῳδόν· δεῖπνον δὲ, ἤγουν τροφὴν, ποιήσομαί σε ἂν θέλω, ἢ ἀπολύσω. Ἄφρων **δέ ἐστιν**, ὅς ἂν ἐθέλῃ πρὸς ἐπικρατεστέρους ἀντιτάττεσθαι· **καὶ νίκης** γὰρ στέρεται, ἤγουν ἀπολείπεται, ἀποπίπτει, τουτέστι **καὶ νίκην** οὐ κατορθοῖ, καὶ πρὸς τοῖς ὀνείδεσι τοῖς ἀπὸ τῆς ἥττης, **λύπας** ὑπομένει. Moschop.

209. *ΝΙΚΗΣ ΤΕ ΣΤΕΡΕΤΑΙ, ΠΡΟΣ Τ' ΑΙΣΧΕΣΙΝ*. Αἶσχος φησὶ προσγίνεσθαι ἐκ πληγῶν ἢ ὕβρεων πρὸς **τῷ ἡττηθῆναι** τοῖς ἥττοσι συμβάλλουσιν ἔριν μετὰ κρειττόνων. Ὁ δὲ Πρόκλος λεγέτω ὅσα καὶ βούλεται. *ΩΣ ΕΦΑΤ' ΩΚΥΠΕΤΗΣ ΙΡΗΞ*· ἐπιλογιστικὸν τὸ σχῆμα καὶ ἀνακεφαλαιωτικόν· **ΙΡΗΞ**, ψιλωτέον. Ἐκ τοῦ ἴω γὰρ, τὸ πορεύομαι. Καὶ Ὅμηρος,

Αὐτὸς δ' ὥς τ' ἴρηξ.

Ἀττικῶς δὲ δασύνεται, ἐκ τοῦ ἵημι, τὸ πέμπω. Tzetzes.

210. *ΩΣ ΕΦΑΤ'*. Οὕτως εἶπεν ὁ ἱέραξ, ὁ ταχέως **πετόμενος**, ὁ ὄρνις ὁ ἐπὶ πολὺ παρατείνων τὴν πτῆσιν· **ὦ Πέρση**, σὺ δὲ μὴ κατὰ τὸν ἀετὸν ποίει, δηλονότι ἄλογον **ὄντα ζῶον**, ἀλλὰ λογικὸς ὢν ὑπάκουε δίκης, μὴ δ' ὕβριν ἐπίτεινε. **Τὴν** ὕβριν δὲ ἀντιτίθησι τῇ δίκῃ, ὡς ταυτὸ δυναμένην **τῇ ἀδικίᾳ**· ἕπεται γὰρ τοῖς ὑβρισταῖς τὸ ἀδικεῖν· καὶ γὰρ ἡ ὕβρις **ἡ κακὴ** τῷ ἀγεννεῖ ἀνθρώπῳ ὑπάρχει εἰς τὸ χρῆσθαι αὐτὸν **αὐτῇ κατ'** ἄλλων· οὐ μὴν δύναται φέρειν αὐτὴν ῥᾳδίως, οὐδὲ **ὁ ἐσθλὸς**, τουτέστιν ὁ κατ' ἀρετὴν προέχων· βαρύνεται δὲ ὑπ' **αὐτῆς ἐντυχὼν** βλάβαις, αὐτῇ ὤφειλεν, λέγει δὲ βλάβαις, **ἐπιτείνων** τὸ κακὸν τῆς ὕβρεως. Moschop.

Ibid. [p]) *ΤΑΝΥΣΙΠΤΕΡΟΣ*. Ὁ λίαν τανύων **τὰ πτερὰ**, ταχὺς, ὡς τὸ *ΔΟΜΟΙΣΙ ΠΟΙΗΤΟΙΣΙ*, τοῖς λίαν **καὶ καλῶς** πεποιημένοις. Tzetzes.

211. *ΣΥ Δ' ΑΚΟΥΕ ΔΙΚΗΣ*. Ἀντέθηκε τῇ **δίκῃ τὴν** ὕβριν· ὡς τῶν ὑβριστῶν μάλιστα ἀδίκων ὄντων, διότι **χωρὶς** αἰτίας χρώμενοι πολλῇ κακίᾳ προπηλακίζουσι τοὺς ἀσθενεστέ-

o) Ad ἀνακεφαλαιωτικὸν ex E. F. addita.

p) Deest hoc Schol. Trinc.

ρους. ᾿Ην δὲ καὶ ἐν τοῖς εἰρημένοις γένεσιν ἡ ὕβρις ἡ ἀποστήσασα τοὺς ἐκ τοῦ β' ἀπὸ τοῦ πρώτου. q) *ΑΛΛΩΣ.* Πρὸς ἀντιδιαστολήν φησι τῶν ἀλόγων ζώων· σὺ λογικὸς ὢν καὶ λόγοις καὶ νόμοις πολιτευόμενος, ἄκουε δίκης, μὴ δ' αὔξανε τὴν ὕβριν καθάπερ τὰ ἄλογα ζῶα· τούτοις γὰρ ἴδιον τὸ ἀδικεῖν μὴ
135 νόμῳ κυβερνωμένοις, ἀνθρώποις δὲ τὸ δικαιοπραγεῖν καὶ νόμοις ὑπείκειν καὶ πείθεσθαι. PROCLUS.

Ibid. *ΣΥ Δ' ΑΚΟΥΕ ΔΙΚΗΣ.* Τὴν ἔκθεσιν τοῦ μύθου ἐπαγαγὼν, καὶ δείξας ὅτι ὑπὸ τῶν r) σθεναρῶν καταβλάπτονται οἱ ἀσθενεῖς ἀδίκως, ἀποστρέφει τὸν λόγον πρὸς τὸν Πέρσην, καί φησι· σὺ δὲ πειθόμενος ἔσο δικαιοσύνῃ καὶ κρίσεσι, μὴ δὲ ἄνευ δίκης, καθάπερ οἱ ἀλαζόνες καὶ ἄδικοι, ὄφελλε καὶ αὔξανε τὴν ὕβριν καὶ βλάβην καὶ ἀδικίαν. TZETZES.

212. *ΟΥΔΕ ΜΕΝ ΕΣΘΛΟΣ.* Οὐδὲ ὁ πάνυ ἀγαθὸς οἰστὴν νομίζει τὴν ὕβριν· οὐ γάρ ἐστιν ὕβρεως ἀφορητότερον οὐδὲν, βαρύνεται δὲ ὑπ' αὐτῆς καὶ ἀγανακτεῖ. Λέγει δὲ ἐσθλοὺς οὐ τοὺς τῇ τύχῃ καὶ τῇ δυνάμει s) προέχοντας, ὥς φησι Πλούταρχος, ἀλλὰ τοὺς κατ' ἀρετὴν προέχοντας, ἐκ τούτου μᾶλλον δεικνὺς τὴν ὕβριν ἀφόρητον. Οἱ μὲν γὰρ ἐν δυνάμει καὶ σφόδρα δυσχεραίνουσιν ἐπὶ ταῖς ἐκ τῶν ἀσθενεστέρων εἰς αὐτοὺς ὕβρεσιν· οἱ δὲ κατ' ἀρετὴν ζῶντες καὶ ταύτας τὰς ὕβρεις t) διαπτύουσιν. Οὐδὲ γὰρ χείρων ἐγὼ, φησὶν ὁ Σω-

q) Hanc vocem inserui ex A. in extr. ὑπείκων καὶ πολιτευόμενος B.

r) δυνατῶν Trinc. et mox δικαιοσύναις.

s) προσέχοντας bis Dorv. et credo A. Inseruit hunc locum Wyttenbachius inter fragm. Comm. Plutarch. n. 5.

t) περιπτύοντες Dorv. mox ibid. ἐν ᾧ pro ἐγὼ — ἣν ὁ δ. ε. κόρης κατάξει — καὶ οὗτος. — Οὐδὲ γὰρ χείρων κ. τ. λ. Eadem fere verba habet Thomas Magister in v. ᾽Επὶ κόρρης, ubi duo Platonis loca e Gorgia apponunt interpretes, sed illum, quo respexit Grammaticus, praetermittunt. Is est nempe Gorg. p. 506. E. = 508. C. Τούτων δὲ οὕτως ἐχόντων, σκεψώμεθα, τί ποτ' ἐστὶν, ἃ σὺ ἐμοὶ ὀνειδίζεις, ἄρα καλῶς λέγεται ἢ οὔ, ὡς ἄρα ἐγὼ οὐχ οἷός τ' εἰμὶ βοηθῆσαι οὔτε ἐμαυτῷ οὔτε τῶν φίλων οὐδενὶ οὔτε τῶν οἰκείων, οὐδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων, εἰμὶ δὲ ἐπὶ τῷ βουλομένῳ, ὥσπερ οἱ ἄτιμοι τοῦ ἐθέλοντος, ἄν τε τύπτειν βούληται, τὸ νεανικὸν δὴ τοῦτο τὸ τοῦ σοῦ λόγου, ἐπὶ κόρρης, ἐάν τε ἐκβάλλειν ἐκ τῆς πόλεως, ἐάν τε τὸ ἔσχατον ἀποκτεῖναι, καὶ οὕτω διακεῖσθαι πάντων δὴ αἴσχιστόν ἐστιν, ὡς ὁ σὸς λόγος· ὁ δὲ δὴ ἐμὸς, ὅστις πολλάκις μὲν ἤδη εἴρηται, οὐδὲν δὲ κωλύει καὶ ἔτι λέγεσθαι, οὔ φημι, ὦ Καλλίκλεις, τὸ τύπτεσθαι ἐπὶ κόρρης ἀδίκως αἴσχιστον εἶναι, οὐδέ γε τὸ τέμνεσθαι κ. τ. λ. Citat hos Hesiodi versus a 211. ad 216. codex Etymologi M. MS. Vossianus in Bibl. Leidensi,

o

post verba poetae subjiciens, σχ. ὕβρις γ. τ. κ. δ. β. ἣν οὐδεὶς ἡδέως

κράτης, ἂν ὁ δεῖνα ἐπὶ κόῤῥης πατάξῃ με ἀδίκως. Καὶ οὗτοι μὲν ὅλως βαρύνονται ἐπὶ ταῖς παρ' ἄλλων ὕβρεσιν ἐγκύρσαντες [v]) ταῖς ἄταις. Ὡσεὶ ἔλεγε περιπεσόντες ταῖς ὕβρεσιν, ἃς ἐκάλεσαν ἄτας. Proclus.

Ibid. [96]) ΥΒΡΙΣ ΓΑΡ ΤΕ ΚΑΚΗ ΔΕΙΛΩι ΒΡΟΤΩι. Ἡ ὕβρις γὰρ, καὶ ἡ λοιδορία, [w]) καὶ ἡ βλάβη κακὴ τῷ δειλῷ καὶ τῷ 136 ἀγεννεῖ ἀνθρώπῳ ὑπάρχει εἰς τὸ χρῆσθαι αὐτὸν αὐτῇ κατ' ἄλλων, οὐχ ὡς ὁ Πρόκλος λέγει. Tzetzes.

Ibid. [x]) ΕΣΘΛΟΣ. Ἐθέλω, ἐθελὸς, καὶ ἐσθλός. Tzetzes.

Ibid. ΡΗΙΔΙΩΣ ΦΕΡΕΜΕΝ. Τὸ φερέμεν, μὴ ὡς Πρόκλος εἴπῃς, ὅτι οὐ δύναται φέρειν ὁ ἐσθλὸς τὴν ὕβριν, ἀλλὰ ἀντὶ τοῦ φερέμεν καὶ ἔχειν τὴν ὕβριν, τουτέστιν, ὁ ἀγαθὸς οὐκ εὐκόλως καὶ ἐπὶ μακραῖς αἰτίαις δύναται φέρειν καὶ ἔχειν τὴν ὕβριν, ἢ τὴν λοιδορίαν, ἢ τὴν κατά τινος βλάβην. Tzetzes.

214. ΟΔΟΣ Δ' ΕΤΕΡΗΦΙ. Ἐκ τῆς πρὸς τὴν ὕβριν παραθέσεως προτρέπει τῇ δικαιοσύνῃ μᾶλλον ἕπεσθαι· [y]) κρείσσων γάρ ἐστι, φησὶν, ἡ εἰς τὰ δίκαια ὁδὸς, ἑτέρα οὖσα τῆς ὕβρεως· κρείσσων δὲ εἰς τὸ δι' αὐτῆς παρελθεῖν μᾶλλον, ἢ διὰ τῆς ἐναντίας τῆς κατὰ τὴν ὕβριν. Proclus.

Ibid. [z]) ΒΑΡΥΘΕΙ δὲ καὶ βαρύνεται ὑπ' αὐτῆς. ΕΓΚΥΡΣΑΣ ΑΤΗιΣΙΝ, ἤτοι ἐμπεσὼν βλάβαις. Τουτέστιν, ἐὰν ἄκων καὶ ὀψέ ποτε ὁ ἀγαθὸς ὑπό τινος [a]) πικρανθεὶς

ἔχει ὑβριζόμενος· οὔτε πένης οὔτε πλούσιος, οὔτε μωρὸς οὔτε φρόνιμος, ἀλλὰ βαρέως φέρει ὁ ἐντυχὼν αὐτῇ. ὁδὸς — ἴσχει. ἄλλη ἐστὶ κρείσσων ὁδὸς εἰ ἐθέλεις ἀπελθεῖν εἰς τὰ δικαιότερα· ἡ δὲ δικαιοσύνη τῆς ὕβρεως ὑπερέχει.

v) τὰς ἄτας — ταύταις ταῖς ὕβ. Dorv.

96) In exemplari quod secuti sumus, sine ullo sensu legebatur: ἡ ὕβρις γὰρ καὶ ἡ λοιδορία τῷ δειλῷ, καὶ τῷ ἀγενεῖ ἀνθρώπῳ ὑπάρχει etc. praetermissis illis librarii incuria, καὶ ἡ βλάβη ἡ κακή. Ubi articulus pessime directam interpretationem sustinebat, quem ejecimus. Ὕβρις, inquit Grammaticus, κακὴ ὑπάρχει δειλῷ καὶ ἀγεννεῖ: quod dixerat Hesiodus, dissimulato τῷ οὐσιαστικῷ ὑπάρχω. Heinsius.

w) καὶ ἡ βλ. κ. om. Bas. In fin. οὐχ ὡς ὁ Π. λ. om. Trinc.

x) Hinc ad ὅτι οὐ om. Trinc. ubi hoc Schol. sic incipit; οὐδὲ μὲν ἐσθλός· οὐ ῥαδίως ὁ ἐσθλὸς δύναται φέρειν τ. ὕ. et mox ἀλλὰ — ὕβριν om. ἀλλὰ ἀντὶ — ὕβριν ἢ om. E. ubi καὶ τὴν λ.

y) κρεῖσσον bis Trinc. Post hoc Schol. deficit Procli commentarius in Dorv.

z) Locum dedi secundum E. Ἐγκύρσας ἄ. ἤ. om. Trinc. et mox καὶ ὄψε.

a) κινηθεὶς Trinc. ἢ λοιδορήσῃ dant F. Trinc.

ὑβρίσῃ ἢ λοιδορήσῃ ἢ βλάψῃ τινά, τοῦτο ποιήσας μεταμέλεται, ὅτι [b]) ποσῶς πρὸς τοῦτο κεκίνηται. Εἰ μὴ γὰρ δύναται κατὰ τὸν Πρόκλον τὴν ὕβριν ἢ τὴν λοιδορίαν ἢ τὴν βλάβην ὑπομεῖναι, τί σημεῖον χρηστότητος κέκτηται; Tzetzes.

Ibid. [97])ʽΟΔΟΣ Δʼ ʽΕΤΕΡΗΦΙ ΠΑΡΕΛΘΕΙΝ. ʽΥποδείξας τῷ ἀδελφῷ, ὅτι ἡ ὕβρις καὶ ἡ βία τῶν φαύλων εἰσὶν, οἱ δʼ ἀγαθοὶ οὐχὶ τοιοῦτοι, ἀλλʼ ἑτέρου τρόπου εἰσὶ, φησὶ πρὸς αὐτόν· σὺ γοῦν μὴ τὴν ὁδὸν καὶ τὸν τρόπον [c]) τῶν φαύλων τούτων πορευθῇς καὶ μετέλθῃς. Ἔστι δὲ ὁδὸς καὶ τρόπος ἕτερος κρείσσων ἀποκομίζων ἐς τὰ δίκαια, δηλονότι ὁ τῆς ἀγαθοεργίας, ὃν οἱ χρηστοὶ καὶ σπουδαῖοι μετέρχονται, [d]) ἣν καὶ σὲ πορευθῆναι βούλομαι. Tzetzes.

137 Ibid. ʽΟΔΟΣ Δʼ ʽΕΤΕΡΗΦΙ. ʽΟδὸς δέ ἐστι καθʼ ἑτέραν μερίδα, κρείττων, ὥστε παρελθεῖν αὐτὴν, λέγω ἡ εἰς τὰ δίκαια ἄγουσα. Moschop.

215. ΔΙΚΗ Δʼ ʽΥΠΕΡ ʽΥΒΡΙΟΣ ΙΣΧΕΙ. ʽΗ δίκη, φησὶ, κἂν τὸ πρῶτον ἔλαττον σχῇ τῆς ὕβρεως, ἐν τῷ τέλει πάντως ἐκλάμπει, καὶ δείκνυται [e]) δὲ διὰ τῶν πραγμάτων κρείσσων οὖσα τῆς ὕβρεως· τῷ χρόνῳ γὰρ αὕτη μὲν φωρᾶται, καὶ περὶ αὐτὴν καταῤῥεῖ καὶ ταπεινοῦται· ἡ δὲ δίκη τὸ κράτος τὸ ἑαυτῆς ἀναδείκνυσιν οἷς ἐπακολουθεῖ· τὸν γὰρ τῇ ὕβρει χρώμενον, μετὰ τὸ παθεῖν τὰ ἀπὸ τῆς ὕβρεως κακὰ, [f]) δόντα τιμωρίαν, γινώσκειν ποιεῖ ἡλίκον ἡ ὕβρις κακόν. Τῆς δὲ δίκης δύο δηλούσης, ἢ τὴν θεὸν αὐτὴν, ἢ τὸ ἀπʼ αὐτῆς ἔργον, τοτὲ μὲν τὴν θεὸν καλεῖ δίκην, ἣν καὶ παρθένον ὀνομάζει· τοτὲ δὲ τὴν κρίσιν καὶ τὴν ποινήν· ὡς ὅταν λέγῃ,

Τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρυόπα Ζεύς.

Proclus.

b) πῶς Trinc. et mox εἰ μὴ γὰρ ad fin. om. Ante ὁδὸς addunt E. F. Βαρύθει, βαρύνεται τὸ θέμα βαρύθω· ἐγκύρσας ἄτησιν, ἐμπεσὼν ταῖς βλάβαις, ἤτοι κινηθεὶς εἰς αὐτὸ τὸ λοιδορῆσαι ἢ βλάψαι.

97) Sub finem annotationis hujus pro verbis illis, ἣν καὶ σὲ πορευθῆναι βούλομαι, nullo omnino sensu legebatur: ἣν δηλονότι πορευθέντες: quae nauci non sunt. Heinsius.

c) τὸν φαῦλον τοῦτον Trinc. ἔστι γὰρ ὁ. Trinc.

d) ἣν δηλονότι πορευθέντες Bas.

e) δὲ addidi ex A. Mox κρεῖσσον Trinc. Sequentia sunt ex Demosthene sumta p. 21. ed. Reisk.

f) δόντες B. τιμωρίαν om. A. Mox αὐτίκα — δεδικασμέναις om. A. B. Mox dedi ἀπʼ αὐτῆς pro ἐπʼ α.

Ibid. *ΔΙΚΗ Δ' ΎΠΕΡ ΎΒΡΙΟΣ ΙΣΧΕΙ.* [g]) Ὑπερίσχει δὲ καὶ ὑπερέχει, ἀντὶ τοῦ τιμιωτέρα ὑπάρχει τῆς ὕβρεως, καὶ βλάβης, καὶ ἀδικίας ἡ δικαιοσύνη. Tzetzes.

Ibid. *ΔΙΚΗ Δ' ΎΠΕΡ ΎΒΡΙΟΣ ΙΣΧΕΙ.* Ἡ δίκη δὲ ὑπερέχει τῆς ὕβρεως,

[89]) *εἰς τέλος ἐξελθοῦσα,*

ἀντὶ τοῦ ἐλθοῦσα, καὶ μὴ ὑπὸ τῶν κριτῶν διαφθαρεῖσα. Τετραχῶς τίθησι τὴν δίκην· ἐπὶ τῆς σωματοειδοῦς θεᾶς, ἣν καὶ παρθένον ὀνομάζει· ἐπὶ τοῦ δικαίου· ἐπὶ τῆς κρίσεως· καὶ ἐπὶ τῆς τιμωρίας· ἐνταῦθα ἐπὶ τοῦ δικαίου. Moschop.

216. *ΕΣ ΤΕΛΟΣ ΕΞΕΛΘΟΥΣΑ.* [h]) Τὸ ἀντιπίπτον λύει ὁ ποιητής. Εἰπὼν γάρ, ὅτι ἡ δικαιοσύνη ὑπερέχει ὕβρεως καὶ ἀδικίας, ἤκουσεν ἂν παρὰ τοῦ Πέρσου, ἢ ἑτέρου τινός, ὅτι καὶ μὴν τοὺς ἀδίκους ὁρῶμεν πλέον τῶν χρηστῶν εὐθηνουμένους καὶ χαίροντας. Λύων γοῦν τοῦτο τὸ ἀντιπίπτον φησίν,

Ἐς τέλος ἐξελθοῦσα.

[i]) Οἷον, ἀντὶ τοῦ κἂν μὴ παραυτίκα φανῇ τῆς δικαιοσύνης ἡ 138
δύναμις, ἀλλὰ χρόνῳ ποτὲ ὕστερον ὁρᾶται, περιπιπτόντων συμφοραῖς τῶν ἀδίκων. Tzetzes.

Ibid. [k]) *ΠΑΘΩΝ ΔΕ ΤΕ ΝΗΠΙΟΣ ΕΓΝΩ.* Καὶ τοῦτο τοῦδε τοῦ ἀντιπίπτοντος στήριγμα, μετὰ καὶ παραινέσεως καὶ ἀποτροπῆς τῆς ἐκ τῆς ὕβρεως. Εἰπὼν γὰρ τὸ δίκη δ' ὑπερέχει τῆς ὕβρεως, τὸ ἀντιπίπτον λύσας εἰρήκει *ΕΣ ΤΕΛΟΣ ΕΞΕΛΘΟΥΣΑ*, ἤτοι πληρωθεῖσα καιρῷ τινί. Εἶτα καὶ ἐκφοβῶν καὶ ἀποτρέπων τὸν Πέρσην τῆς ὕβρεως λέγει,

Παθὼν δέ τε νήπιος ἔγνω·

g) ὑπερ. δὲ καὶ om. Trinc. et mox ἐστι pro ὑπάρχει.

89) Frustra est: εἰς τέλος ἐξελθοῦσα, nihil aliud est, quam τὸ τελευταῖον. Ἡ δίκη τὸ τελευταῖον ὑπὲρ τῆς ὕβρεως ἔχει, optime Proclus: ἡ δίκη, φησί, κἂν τὸ πρῶτον ἔλαττον σχῇ τῆς ὕβρεως, ἐν τῷ τέλει πάντως ἐκλάμπει, καὶ δείκνυται διὰ τῶν πραγμάτων κρείσσων οὖσα τῆς ὕβρεως. Nec ulterius argutari debuit: Tzetzes quoque non male. Heinsius.

h) Om. Trinc. hinc ad ἀντιπίπτον φησίν. Sed post συμφοραῖς τῶν ἀδίκων addit, τοῦτο δὲ λύσις ἐστὶ τοῦ ἀντιπίπτοντος· ἤκουσε γὰρ ἄν, ὅτι καὶ μὴν τοὺς ἀδίκους ὁρῶμεν πλέον τῶν δικαίων εὐθυνουμένους καὶ χαίροντας. λύον γοῦν τοῦτο, ἐς τέλος ἐξελθοῦσα φησί.

i) οἷον om. Trinc. mox ib. τῇ δικαιοσύνῃ et ὕστερον om. Paullo post ἐπιστήριγμα E. F. G.

k) Desunt Trinc. hinc ad ὕβρεως λέγει.

τουτέστιν, ὁ [l]) ἀπρόβουλος μὴ ποιῶν τὸ δίκαιον τότε γινώσκει, ὁπότε περιπέσῃ ταῖς συμφοραῖς· ὃ δηλονότι μὴ γένοιτό σοι παθεῖν, Πέρση, ἀλλὰ προβουλεύου, καὶ προόρα τὸ μέλλον, καὶ δίκαιος ἔσο. TZETZES.

Ibid. *ΠΑΘΩΝ ΔΕ ΤΕ ΝΗΠΙΟΣ ΕΓΝΩ.* Τουτέστι, δίκην δοὺς ἐπὶ τῇ ὕβρει, ἔγνω ἡλίκον κακὸν ἡ ὕβρις. *Αὐτίκα* γὰρ τρέχει ἅμα, ἤγουν ἀκολουθεῖ, ὅρκος ταῖς δίκαις, ἤγουν ταῖς κρίσεσι ταῖς οὐκ ὀρθῶς δεδικασμέναις. ῬΟΘΟΣ δὲ, ἤγουν ἦχος, γίνεται ἑλκομένης τῆς δίκης, σὺν βίᾳ ἀγομένης ὅποι ἂν ἄγωσιν αὐτὴν οἱ ἄνδρες οἱ δωροφάγοι, ἤγουν οἱ κριταὶ, οἱ τὰ δῶρα πόρον ζωῆς ποιούμενοι, κρίνωσι δὲ τὰς θέμιστας, ἤγουν τὰς δίκας καὶ τὰς κρίσεις, ἐν κρίσεσι σκολιαῖς, ἤγουν ἀδίκως. Ἡ δὲ ἕπεται καὶ ἀκολουθεῖ κλαίουσα καὶ τὴν πόλιν ἐκείνην, ἐν ᾗ τοιοῦτοι δικάζουσι, καὶ τοὺς τρόπους τῶν λαῶν τῶν χαιρόντων τοιούτοις δικασταῖς, ἐνδυσαμένη ἀορασίαν, φέρουσα τοῖς ἀνθρώποις ἐκείνοις κακὸν, ἤγουν τιμωρίαν, οἵτινες ἐξελαύνουσιν αὐτὴν, καὶ οὐκ εὐθεῖαν, ἤγουν δικαίαν, ἔδωκαν, τοῖς δικαζομένοις δηλονότι. MOSCHOP.

217. *ΑΥΤΙΚΑ ΓΑΡ ΤΡΕΧΕΙ ὉΡΚΟΣ.* Ἤγουν ἀκολουθεῖ ὅρκος ταῖς δίκαις, ἤγουν ταῖς κρίσεσι [90]) ταῖς ὀρθῶς δεδικασμέναις. PROCLUS.

Ibid. *ΣΚΟΛΙΗιΣΙ ΔΙΚΗιΣΙΝ.* Σκολιὰς δὲ δίκας λέγει νῦν τὰς κακῶς δεδικασμένας, διὰ τὸ μηδὲν ὑγιὲς φρονεῖν τοὺς δικάζοντας, ἀλλ' ἐμπαθῶς δικάζειν· πᾶν γὰρ πάθος σκολιὸν, ὡς ἁπλοῦν τὸ ἀπαθές. Ταῖς οὖν σκολιαῖς δίκαις ἕπεται καὶ ἡ ἐπιορκία· [m]) οἱ γὰρ ὀρθῶς δικάζειν δόξαν ἔχειν ἐθέλοντες, ὤμνυον ὀρθῶς [n]) δικάσειν, ἀλλ' οὐ σκολιῶς. Τρέχει γὰρ ὁ ὅρκος ἅμα ταῖς σκολιαῖς δίκαις, ὁμοῦ τε θέων πρὸς τοὺς μὴ δικάσαντας ὀρθῶς. Δηλοῖ δὲ τὸ θέειν, τὸ παρὰ πόδας ἐπακολουθεῖν τὴν ἐκ τῆς ἐπιορκίας τιμωρίαν τοῖς σκολιῶς δικάσασι. PROCLUS.

139 Ibid. *ΑΥΤΙΚΑ ΓΑΡ ΤΡΕΧΕΙ ὉΡΚΟΣ.* Κατασκευάζων πῶς ἡ δικαιοσύνη ὑπερφέρει τῆς ὕβρεως, φησί. Σκολ-

l) ἀπροβούλευτος καὶ μὴ Trinc. et mox περιπέσοι et μὴ γένοιτο δηλονότι παθεῖν σε. ὅτε περιπέσοι τ. σ. ἢ δηλονότι E.

90) Scribe, ταῖς οὐκ ὀρθῶς δεδικασμέναις. HEINSIUS.

m) διότι δικάζειν A. B. pro οἱ γὰρ — ἔχειν.

n) Ita A. B. Trinc. δικάζειν Heins.

ῶν γὰρ δικῶν, [o]) καὶ κακοκρισιῶν γινομένων, ἕπονται ὅρκοι· [p]) τῆς δὲ δικαιοσύνης ἑλκομένης, καὶ μετατρεπομένης, ᾗ καὶ ὅπου ἂν ἄγωσιν αὐτὴν οἱ δωροφάγοι κριταὶ, ῥόθος, καὶ ἦχος, καὶ θόρυβος γίνεται τῶν ἀδικουμένων, δηλονότι ὀδυρομένων καὶ θρηνούντων, καὶ [q]) ἑτέρων πολλῶν καταβοωμένων τὴν ἄδικον κρίσιν αὐτῶν. Tzetzes.

218. ῬΟΘΟΣ ἙΛΚΟΜΕΝΗΣ. Τὸν ῥόθον οἱ μὲν ἤκουσαν τὸν ψόφον, ὅθεν καὶ ῥόθιον καλεῖσθαι τὸ κτυποῦν κῦμα καὶ ῥεῦμα. Πλούταρχος δὲ βοιωτάζων (οὕτω γὰρ καλεῖν [r]) φασὶ Βοιωτοὺς) τὰς ὀρεινὰς ὁδοὺς τὰς στενὰς καὶ δυσάντεις ῥόθους ὀνομάζεσθαί φησιν. Εἰ οὖν τοῦτο κρατοίη, λέγοι ἂν ὅτι τῆς δίκης ἑλκομένης ὑπὸ τῶν ἐπὶ δώροις τὰς δίκας κρινόντων σκολιῶς, ῥόθος ἐστὶ, τουτέστι, δυσάντης ἡ ὁδὸς καὶ τραχεῖα, δι' ἧς ἕλκεται ὑπὸ τῶν δικαστῶν· ἀντίκειται γὰρ τῷ εὐθεῖ τὸ σκολιὸν, καὶ τῷ λείῳ τὸ τραχὺ, καὶ τῷ εὐδιοδεύτῳ τὸ στενὸν καὶ δυσχωρίαν ἔχον· τοιαύτη δέ ἐστι πᾶσα μοχθηρὰ κρίσις. Proclus.

219. [s]) ΣΚΟΛΙῌΣΙ ΔΙΚῌΣΙΝ. Τῆς ἀδίκου δίκης κρίνωσι τὰς θέμιστας, καὶ συγκαταθέσεις νῦν. Ταῦτα δὲ οὐδὲν ἔχουσι περινενοημένον, οὐδὲ ἑρμηνείας δεόμενον. Πρόκλος δ' ἐν τούτοις μᾶλλον πολυλογεῖ, ῥόθους λέγων τὰς τραχείας ὁδοὺς, καὶ λόγους ἀκαίρους ἐπαύξων. Διὸ καὶ ἡμεῖς τὸ τῶν νέων ψευδόλιχνον δεδιότες, ματαίως τοσαῦτα γεγράφαμεν· ἀλλ' οὐκέτι τοῖς σαφεστάτοις πάνυ ληρήσομεν. Ἡ δὲ σύνταξις οὕτως ἔχει· Τῆς δὲ δίκης ἑλκομένης ᾗ κεν ἄνδρες ἄγωσι δωρο-

o) καὶ κακοκρισιῶν om. Trinc. γὰρ κρισέων καὶ κακοδικῶν γ. F.

p) τῆς δὲ δίκης καὶ δικ. Trinc. Mox ὅπου ἄγουσιν Bas. Heins.

q) ἑτέρων π. om. Trinc. Post αὐτῶν legitur in E. ἄγωσι δὲ καὶ κρίνωσι γραπτέον· ὁ γὰρ τὲ καὶ ὁ κὲ παρὰ Ἀττικοῖς καὶ ποιηταῖς ὑποτάσσει· αἱ γὰρ ἐκτάσεις τῶν Ἀττικῶν εἰσίν· αἱ δὲ συστολαὶ τῶν Ἰώνων.

r) φασὶ addidi ex B. Wyttenbachio fragm. Comm. Plut. sect. 4. videntur duae lectiones in hanc vitiosam confusae esse: altera, οὕτω παρὰ Βοιωτοῖς — ὀνομάζεσθαί φησιν: altera, οὕτω καλεῖν Βοιωτοὺς — ῥόθους φησιν. Heinsterhusius in notis MSS. "Deest aliquid. Sensus postulat βοιωτάζειν φησὶ τὸν Ἡσίοδον. Quid si totum locum ita constituas? Πλ. δ. βοιωτάζειν φησὶ τὸν Ἡσίοδον ῥόθους γ. κ. β. τ. ὁ. ὁ. τ. στ. καὶ δ. deletis quae sequuntur ῥ. ὂν φ. nihil enim ad rem faciunt. Scripserat, ut credo, aliquis ad marginem τὰς ὀρεινὰς ὁδ. τ. στ. καὶ δ. ῥόθους ὀνομάζεσθαί φησι, quorum pars posterior in textum illata." Idem mox ad v. δυσάντης. "Sic et ἀνάντης ὁδὸς apud Basil. Hom. πρὸς τοὺς νέους etc. ubi ad Hesiodi vv. de Virtute v. 286. alludit."

s) Deest hoc Scholion Trinc.

φάγοι, κρίνωσι δὲ τὰς θέμιστας τῆς σκολιᾶς δίκης, ῥόθος καὶ θόρυβος καὶ ἦχος γίνεται, ἀπὸ μεταφορᾶς τῶν κυμάτων. Ἢ κατὰ Πρόκλον ῥόθος, ἡ τραχεῖα ὁδός. [98])Ἄγωσι δὲ καὶ κρίνωσι γραπτέον· ὁ γὰρ τε καὶ ὁ κε παρὰ ποιηταῖς καὶ τοῖς Ἴωσιν ὑποτάσσει. Tzetzes.

220. Ἡ Δ' ἝΠΕΤΑΙ ΚΛΑΙΟΥΣΑ. Ἕπεται μὲν ἑλκομένη διὰ τραχείας ὁδοῦ καὶ δυσβάτου· καὶ οὐκ αὐτὴ ἄγουσα ἡ δίκη, ἀλλ' ἀγομένη βιαίως, ὃ δηλοῖ τὸ ἕλκεσθαι αὐτὴν ὡς βιαζομένην ὑπὸ τῶν δωροφάγων κριτῶν. Ἕπεται δὲ ἀποκλαίουσα τὴν πόλιν, ἐν ᾗ τοιοῦτοι δικάζουσι, καὶ τὰ ἤθη τῶν χαιρόντων τοιούτοις δικασταῖς· κακὸν δὲ φέρει ἀνθρώποισι, μετ' οὐ πολὺ τιμωρίαν αὐτοῖς ἐπάγουσα τῆς πονηρᾶς κρίσεως. Ὁ μὲν οὖν κλαυθμὸς, δηλοῖ τὸν ἔλεον τῆς μοχθηρᾶς προαιρέσεως· ἡ δὲ φορὰ τοῦ κακοῦ τὴν ἴασιν. Οὕτως γὰρ ἡμᾶς ἐλεοῦν τὸ θεῖον ποινὰς ἀπαιτεῖ, καὶ τοὺς ἐξελαύνοντας [t])οὖν τὴν ὡς ἀληθῶς δίκην, ἐλέους μέτεισιν ἡ δίκη. Καὶ τοὺς οὐκ ἰθεῖαν αὐτὴν νείμαντας τοῖς δικαζομένοις ἐπὶ τὸ ἰθὺ μεθίστησιν ἀπὸ τοῦ σκολιοῦ ἤθους. Καὶ γὰρ ἑλκομένη διὰ τῆς στενῆς ὁδοῦ καὶ τραχείας ἐπανακαλεῖται τοὺς ἕλξαντας αὐτὴν εἰς τὴν πλατεῖαν ὁδὸν αὐτῇ καὶ λείαν, ὥστε δοκεῖν μὲν ἕλκεσθαι ὑπὸ τῶν κακῶς αὐτὴν μετιόντων, ἐκεῖνοι δὲ εἵλκοντο ὑπὸ τῶν ἐν αὐτοῖς παθῶν δοκοῦντες ἕλκειν. Proclus.

Ibid. Ἡ Δ' ἝΠΕΤΑΙ ΚΛΑΙΟΥΣΑ. Τοῦτο προσωποποιΐα ἐστὶ, ὃ καὶ ἔμψυχος καὶ γλυκὺς λόγος [v])λέγεται· εἰσάγει γὰρ τὴν δικαιοσύνην ἡττωμένην, καὶ κατόπιν ἐρχομένην τῆς ἀδικίας, ἤγουν τὰ δευτερεῖα φέρουσαν, καὶ ὀδυρομένην καὶ κλαίουσαν τὴν πόλιν, καὶ τὰ ἤθεα, ἤτοι τοὺς [w])τύπους καὶ τὴν διατριβὴν τῶν λαῶν, καὶ ἀοράτως βλάπτουσαν τοὺς ἀδίκους ἀνθρώπους. Ταῦτα σαφῆ καὶ μὴ μακρηγορίας δεόμενα. Ὁ δὲ μακρηγορίας ἀκαίρους ζητῶν, ὁράτω τὸν Πρόκλον. Ἡμεῖς γὰρ οὐ λῆρον ἀσκοῦμεν ψυχρῶν λογυδρίων, ἀλλὰ τὰ καίρια γράφομεν, μὴ δὲ τὰς λέξεις φυσσῶντες, καὶ [x])διογκύλλοντες στομφαστικοῖς καὶ μετεώροις λαβράσμασιν, ἀλλὰ πεζῇ καὶ ἁπλοϊκῇ καὶ συνηθεστέρᾳ

98) Totum hoc τηρησείδιον in Basiliensi alium locum (Sc. v. 217.) possederat: unde nos id emigrare jussimus. Heinsius.

t) οὖν τὴν — δίκην Trinc. A. B. αὐτὴν τῶν — δικαίων Heins.

v) καλεῖται Trinc.

w) τρόπους Trinc. Mox ταῦτα ad fin. om. Trinc.

x) διαγγέλοντες P. διογγύλλοντες Bas. στομφακοῖς E.

τῇ λέξει κεχρήμεθα, διδασκαλικῷ κεχρημένοι τῷ τρόπῳ, καὶ μὴ τὴν ἑαυτῶν δύναμιν ἐνδεικνύμενοι περὶ τὴν τῶν λέξεων ἀποτόρνευσιν. Tzetzes.

223. *ΟΙ ΔΕ ΔΙΚΑΣ ΞΕΙΝΟΙΣΙ.* Ταῦτα παιδευτικῶς σωφρονίζει τοὺς δικαστὰς, εἰς τὸ δίκαιον ὁρᾷν παραινοῦντος, κἀπὶ πολιτῶν κἀπὶ ξένων, καὶ μάλιστα ἐπὶ τούτων, διότι τοὺς βοηθοῦντας οὐκ ἔχουσι, καὶ βιάσασθαι ῥᾴδιον ἐρήμους ὄντας αὐτούς. Ἀνθεῖ οὖν ἡ πόλις, ἐν ᾗ δικασταὶ δίκαιοι κάθηνται, καὶ εἰρήνη πάντως ἐστὶν ἀνὰ τὴν πόλιν ταύτην. Τὰ γὰρ δίκαια [y]) φρονοῦσι πόλεμος οὐκ ἐπάγεται παρὰ θεοῦ δίκην αὐτοὺς ἀπαιτοῦντος. Proclus.

Ibid. *ΟΙ ΔΕ ΔΙΚΑΣ ΞΕΙΝΟΙΣΙ.* [z]) Οὐκ ἔχω πῶς ἐξηγήσομαι τὰ ἐνταῦθα Ἡσιόδου σαφέστερον, ἢ ὅτι παιδευτικῶς 141 φησὶ ταῦτα πρὸς τὸν ἀδελφὸν, ἀποτρέπων μὲν αὐτὸν ἀδικίας καὶ ἁρπαγῶν, προτρέπων δὲ πρὸς τὸ τὰ δίκαια δρᾷν· ἐν τῷ πρώην μὲν δεῖξαι, οἷον ἐστὶ τὸ τέλος τοῖς ἀδικοῦσι. Νῦν δὲ [a]) λέγει καὶ τὸ ἀντίθετον, ὁποῖα ἕπεται τοῖς δικαιοπραγοῦσιν. Tzetzes.

Ibid. *ΟΙ ΔΕ ΔΙΚΑΣ ΞΕΙΝΟΙΣΙΝ.* Οἱ δὲ διδοῦσι δίκας δικαίας, ἤγουν κρίσεις, τοῖς ξένοις καὶ τοῖς ἀστοῖς, καὶ μὴ κατά τι ἐκκλίνουσι τοῦ δικαίου, τούτων ἡ πόλις εὐπραγεῖ, οἱ λαοὶ δὲ ἀνθηροί εἰσιν ἐν αὐτῇ. Τῷ ξένῳ ἀντίκειται ὁ ἀστὸς, τῷ ἐνδήμῳ δὲ ὁ ἀπόδημος. Ἄλλως ἀρξάμενος, ἄλλως ἀποδίδωσι τὸν λόγον, ὥσπερ ἀπὸ μεταμελείας· συνήθης δὲ οὗτος ὁ σχηματισμὸς καὶ παρὰ τῷ πεζῷ λόγῳ. Φαρέτραι μὲν οὖν χρυσόπαστοι, καὶ χρυσαῖ, καὶ τὰ ἐν αὐταῖς βέλη, γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα. Moschop.

225. *ΤΟΙΣΙ ΤΕΘΗΛΕ ΠΟΛΙΣ.* Εἰ γὰρ ὁ πόλεμος φθαρτικὸς καὶ ὀλιγανθρωπίας αἴτιος, εὔδηλον ὅτι ἡ εἰρήνη πολυανθρωπίαν ἐργάζεται, καὶ διὰ τοῦτο ΚΟΥΡΟΤΡΟΦΟΣ· ἄλλοι μὲν οὖν τὴν γῆν κουροτρόφον ὕμνησαν, ὡς καρποὺς ἐκφέρουσαν· οὗτος δὲ τὴν εἰρήνην, οὐ μόνον ὡς τῶν πολεμίων ἐκτεμνόντων τοὺς [b]) καρποὺς, οἷς ἂν ἐπίωσιν· ἀλλὰ καὶ ὡς σώζουσαν τοὺς οὓς ἀπολλύουσιν οἱ πολέμιοι. Proclus.

y) φρονούσῃ Trinc. B. Mox αὐτὴν Trinc. αὐτοῦ B. ἀπαιτῶν A.
z) οὐκ ἔχω ad ἢ ὅτι om. Trinc.
a) λέγειν Trinc. ubi mox καὶ τὸ ἀντίθετον om. Post δικαιοπραγοῦσιν, Δίκας νῦν τὰς κρίσεις. Ξείνοισι νῦν ου τοῖς φίλοις, ἀλλὰ τοῖς ἐν συνηθείᾳ λεγομένοις ξένοις. E. F.
b) κούρους οὓς A. Mox οὓς αν ὀλύωσιν B.

Ibid. [c] *ΤΕΘΗΛΕ ΠΟΛΙΣ.* Ἀντὶ τοῦ χαίρει, αὔξει, πληθύνεται. Τροπικὴ δὲ ἡ λέξις, ἀπὸ τῶν θαλλόντων δένδρων. Tzetzes.

Ibid. *ΑΝΘΕΥΣΙΝ.* Ἀνθοῦσιν, Αἰολικῶς καὶ Δωρικῶς. Τὸ γὰρ ε̄ καὶ ο τριχῶς συναιρεῖται· Αἰολικῶς εἰς τὴν ευ δίφθογγον· τοῦ Ἀχιλλέως γὰρ ἡμεῖς φαμὲν, ἐκεῖνοι δὲ τοῦ Ἀχιλλεῦς. Ἀττικῶς δὲ τὸ ε καὶ ο̄ εἰς τὴν ει δίφθογγον [d] κιρνᾶται, δέον δεῖν, πλέον πλεῖν· Ἰωνικῶς δὲ, εἰς τὴν ου δίφθογγον, ἐμέο ἐμοῦ, σέο σοῦ, καὶ τὰ ὅμοια. Τὸ ἀνθοῦσι τροπικῶς εἶπεν, ἀντὶ τοῦ θάλλουσιν, καὶ ἐν εὐθυμίᾳ καὶ ἀγλαΐᾳ καὶ χαρᾷ διάγουσι. Tzetzes.

226. *ΚΟΥΡΟΤΡΟΦΟΣ.* Κουροκτόνος μὲν ὁ πόλεμος, κουροτρόφος δὲ ἡ εἰρήνη. [e] Καὶ τοῖς μὲν ἀδίκοις, φησὶν, ἡ Εἱμαρμένη πολέμους ἐπάγει τοὺς ἀνδροκτόνους. Ἐκ γὰρ μικρᾶς ἀφορμῆς ἀναῤῥιπίζονται [f] φόνοι. Οἷς δὲ τιμᾶται τὸ δίκαιον, εἰρήνη λαοτρόφος ἀνθεῖ. Κουροτρόφον δὲ αὐτὴν εἶπε, καίτοι γε καὶ γηροτρόφον οὖσαν, καὶ βρεφοτρόφον, ἀπὸ τῆς
142 τῶν ἡλικιῶν βασιλικωτάτης καὶ κρείττονος. [g] Κουροτρόφος ἐνεργητικὸν, ἡ τρέφουσα τοὺς κούρους· κουρότροφος δὲ παθητικὸν, ὁ τρεφόμενος κοῦρος. Tzetzes.

Ibid. *ΕΙΡΗΝΗ Δ' ΑΝΑ ΓΗΝ.* Εἰρήνη δέ ἐστι κατὰ τὴν γῆν αὐτῶν τοὺς νέους αὔξουσα. Ἀπὸ τοῦ ἐναντίου τοῦτο κατασκευάζει· εἰ γὰρ ὁ πόλεμος φθαρτικὸς τῶν ἀνθρώπων, τῇ τε τῶν καρπῶν ἀπωλείᾳ δι' ὧν τρέφονται ἄνθρωποι, καὶ τοῖς φόνοις, εὔδηλον ὅτι ἡ εἰρήνη πολυανθρωπίαν ἐργάζεται· καὶ διὰ τοῦτο κουροτρόφος. Οὐδέποτε βουλεύει κατ' αὐτῶν ὁ τῶν βροντῶν αἴτιος Ζεὺς πόλεμον ἀνιαρὸν, ἤγουν λυπηρόν· οὐδέποτε ἀκολουθεῖ τοῖς ἀνθρώποις τοῖς εὐθείας ποιοῦσι τὰς κρίσεις λιμὸς, ἤγουν τροφῶν ἔνδεια, οὐδὲ ἄτη, ἤγουν βλάβη· ἔργα δὲ καρποῦνται, ἀπολαύουσι, διὰ φροντίδος ὄντα θαλίαις, εὐωχίαις, ἤγουν θαλερὰ καὶ εὐθηνούμενα· τὸ γὰρ διὰ φροντίδος ὂν τῇ θαλίᾳ, οὐδὲν ἄλλο πάντως ἂν εἴη. Ἔργα δὲ λέγει τοὺς ἀπὸ ἐργασίας καρπούς. Moschop.

227. [h] *ΑΡΓΑΛΕΟΝ.* Ἐκ τοῦ ἔργου τὸ χαλεπὸν καὶ δυσ-

c) Hinc ad καὶ τὰ ὅμοια om. Trinc.
d) κιρνῶνται G.
e) τοῖς μὲν γὰρ sine καὶ Trinc.
f) πόλεμοι Trinc.
g) Hinc ad fin. om. Trinc.
h) Hoc Scholion deest Trinc.

χερὲς, ἐργαλέον, καὶ ἀργαλέον. Ἢ παρὰ τὸ ἄλγος, ἀλγαλέον, καὶ ἀργαλέον. Tzetzes.

Ibid. *ΤΕΚΜΑΙΡΕΤΑΙ.* *Νῦν πληροῖ, ἐπιφέρει.* Tzetzes.

Ibid. [105]) *ΕΥΡΥΟΠΑ ΖΕΥΣ.* *Ἡ μεγαλόφωνος Εἱμαρμένη. Μεγαλόφωνον δὲ τὴν Εἱμαρμένην λέγει, ὡς ὄπισθεν ὑψιβρεμέτην διὰ τὰς βοάς τε καὶ ἀναῤῥήσεις τῶν εὐτυχούντων, τῶν* [i]) *ἀτυχούντων δὲ καταῤῥήσεις καὶ ὀνειδισμούς.* Tzetzes.

228. *ΟΥΔΕ ΠΟΤ' ΙΘΥΔΙΚΑΙΣΙ.* *Ταῦτά ἐστι τὰ μάλιστα πιέζοντα τὸν βίον, πόλεμοι καὶ λιμοί· ταῦτα οὖν* [k]) *ἀπεληλάσθαι τῶν πόλεων φησὶν, ἐν αἷς ἰθυδίκαι εἰσὶν οἱ ἄρχοντες, πάσης ἄτης* [l]) *ἐξεληλαμένης τῆς ἐκ τῶν παρανόμων· ἐν θαλίαις δὲ ἀεὶ ζώντων τῶν ἀνθρώπων, καὶ τὰ ἔργα τὰ περὶ τὴν γῆν νεμομένων ἐν ταύταις. Οὔκουν οὐδ' οἱ Λακεδαιμόνιοι λιμὸν* [m]) *εὐλαβοῦντο δι' εὐτέλειαν διαίτης, ἣν ἔχοντες τῶν ἀδικιῶν ἐκαθάρευον· ταῖς γὰρ πολυτελείαις ἡ πλεονεξία συνεισελθοῦσα λιμοῦ γίνεται πρόξενος.* Proclus.

Ibid. *ΟΥΔΕ ΠΟΤ' ΙΘΥΔΙΚΑΙΣΙ.* *Τοῖς δικαίως κρίνουσιν ἀνδράσιν οὔτε λιμὸς ἐπέρχεται, διὰ τὸ πανταχόθεν ἐμπόρους καταίρειν* [n]) *αὐτοῖς, ὡς τοῦ δικαίου ἀντεχομένοις· οὔτε βλάβαι καὶ πόλεμοι, καὶ μοιχεῖαι, οὐχ ἁρπαγαὶ, οὐκ ἄλλο* 143 *τοιοῦτον οὐδέν. Αἰδεῖται γὰρ καὶ βάρβαρος ἀδίκου πολέμου κατάρχεσθαι. Μοιχεία δὲ, καὶ τὰ τοιαῦτα, παντελῶς τοῖς ἐκ νόμων δικαίοις ἐκκόπτεται τιμωρήμασιν.* Tzetzes.

230. *ΤΟΙΣΙ ΦΕΡΕΙ.* *Τοῖς θεοφιλέσιν· οὗτοι δέ εἰσιν οἱ κατὰ δίκην ζῶντες, οἷς καὶ τὰ ἀπὸ τοῦ παντός φησιν ἐπακολουθεῖν, προτρέπων εἰς εὐζωΐαν, τῷ τὴν γῆν φέρειν* [o]) *τούτοις καρποὺς ἱκανούς. Βίον γὰρ τούτους καλεῖ, πρὸς διατροφὴν ὄντας ἐπιτηδείους, τῷ τὰς δρῦς ἔν τε τοῖς ἄκροις βαλάνους, καὶ ἐν τοῖς μέσοις αὐτῶν κατὰ τὰ ἔγκοιλα μελίσσας*

105) Nihil vanius his omnibus. Heinsius.

i) *δυστυχούντων* E.

k) Ita A. *ἀπελήλαται* edd.

l) Ita B. *ἐξεληλάμενοι* A. Trinc. *ἐξεληλαμένοι* Heins.

m) Ita A. *εὐλαβοῖντο* edd. (Nescio an in seqq. Proclus spectet oraculum Lacedaemoniis olim editum *Ἁ φιλοχρηματία Σπάρταν ἑλοῖ, ἄλλο δὲ οὐδὲν,* de quo vide Wyttenbach. ad Plutarch. II. p. 239. F.

n) *ἐν αὐτοῖς, ὡς καὶ τοῦ δ. α. οὐδ' ἄτη καὶ βλάβη. οὐ πόλεμοι· οὐ μ.* Trinc. et mox *κατάρξασθαι,* et *ταῖς — δικαίαις — τιμωρίαις.*

o) *τοὺς* B.

ἐκτρέφειν· (εἰώθεσαν [p]) γὰρ ἐν ἐκείνοις τὴν τῶν μελισσῶν ἐργάζεσθαι τιθασσείαν οἱ μελισσουργοί·) τῷ τὰς ὗις σκέπην παρέχειν τοῖς ἐρίοις οἷς ἐκφέρουσιν ἢ ἐκφύουσι, τῷ τὰς γυναῖκας ὅμοια τίκτειν τοῖς ἀνδράσι σωφρονούσας· καὶ γὰρ τὰ πολλὰ τῶν ἀμβλωθριδίων καὶ τῶν τεράτων ἐξ ἀκρασίας γίνονται καὶ πλησμονῆς· ἕπεται δὲ τούτοις μηδὲ δεῖσθαι πλούτου, καὶ ἐμπορίας καὶ [q]) πλοίων, ἀρκούντων τῶν ἐκ τῆς χώρας γινομένων εἰς διατροφὴν τοῖς σωφρονοῦσιν. ΑΛΛΩΣ. Ἀπὸ μέρους ὅλα εἶπε τὰ δένδρη, ὅτι ἐν τοῖς ὄρεσι φέρουσι καρπὸν, [r]) καὶ διπλοῦν καρπόν. Ἄνωθεν μὲν ἐπὶ τὸ ἄκρον καρπὸν, ἐν δὲ τῷ μέσῳ μέλι. Ἔχουσι γὰρ κοιλώματα εἰς ἃ τὸν ἄνεμον φεύγουσαι αἱ μέλισσαι δύνουσι καὶ [s]) μελιττοποιοῦσι. Διὸ καὶ μέλισσαι ὑπ' ἐνίων καλοῦνται, διὰ τὸ ἐν μελίαις εἶναι. Οἰκεῖα δὲ ταῦτα πρὸς φιλάργυρον διεγεῖραι αὐτὸν εἰς τὸ δικαιοπραγεῖν. Διὰ δὲ τοῦ εἰπεῖν, ΟΥΔ' ΕΠΙ ΝΗΩΝ ΝΙΣΣΟΝΤΑΙ, ὑπόνοιαν δίδωσιν, ὅτι μυσάττεται καὶ αὐτὸς τὸν πλοῦν, διὰ τοὺς πολλοὺς παρ' ἐλπίδα κινδύνους. Proclus.

Ibid. [t]) ΦΕΡΕΙ ΜΕΝ ΓΑΙΑ ΠΟΛΥΝ ΒΙΟΝ. Γαῖαν νῦν τὴν ἀρόσιμον λέγει· ΒΙΟΝ δὲ τὰς τροφὰς τὰς ἐκ τῶν σπερμάτων. Tzetzes.

Ibid. ΟΥΡΕΣΙ ΔΕ ΔΡΥΣ. Οὐχ ὅτι τὰ ὄρη γῆ οὐκ εἰσὶν, ἀλλ' ἐκ τοῦ κυριωτέρου τὴν ἀρόσιμον ἐκάλεσε γῆν. Ἐν τοῖς ὄρεσι δὲ καὶ τοῖς ἀγεωργήτοις τῆς γῆς μέρεσιν αἱ δρῦς, ἀντὶ τοῦ πάντως τὰ δένδρα, ἐν τῇ ἄκρῃ μὲν φέρουσιν ὀπώρας· ἐν τῇ μέσῃ δὲ, ἤτοι ἐν τοῖς κοιλώμασι τῶν στελεχῶν, μελίσσας. Tzetzes.

Ibid. ΤΟΙΣΙ ΦΕΡΕΙ ΜΕΝ. Τούτοις τοῖς κατὰ δίκην ζῶσιν, ἤγουν χάριν τούτων, φέρει ἡ γῆ πολὺν βίον, ἤγουν καρποὺς πολλοὺς εἰς ζωάρκειαν· ἐν τοῖς ὄρεσι δὲ ἡ δρῦς, ἀπὸ μέρους πάντα τὰ δένδρα δηλοῖ, κατὰ τὴν ἄκραν μὲν, ἤγουν τὴν κορυφὴν, φέρει βαλάνους, ἤγουν ποιεῖ, γεννᾷ, κατὰ τὴν μέσην δὲ μελίσσας, ἐκτρέφει δηλονότι· οὐ γὰρ δυνατὸν λαμβάνεσθαι ἀπὸ κοινοῦ τὸ φέρειν κατὰ τὸ αὐτὸ σημαι-

p) γὰρ καὶ ἐν A. Mox μελισσουργῶν B.
q) Sic A. πλοίου edd.
r) καὶ δ. κ. om. B.
s) μελιτοποίουσι B. Legendum videtur μελιποιοῦσι.
t) Deest hoc Scholion Trinc.

νόμενον. Συνυπακούεται οὖν τὸ οἰκεῖον κατ' ἀναλογίαν τοῦ προῤῥηθέντος. Moschop.

232. v) ΕΙΡΟΠΟΚΟΙ Δ' ΟΙΕΣ. Πόκους ἐρίων τρέφοντες. 144 Tzetzes.

Ibid. ΕΙΡΟΠΟΚΟΙ Δ' ΟΙΕΣ. Αἱ ὄϊες δὲ, ἀφ' ὧν οἱ πόκοι τῶν ἐρίων, ὑπὸ τῶν μαλλῶν καταβαροῦνται. Τίκτουσι δὲ αἱ γυναῖκες τέκνα ὡμοιωμένα τοῖς γονεῦσι κατὰ τὸ εἶδος δηλονότι, διὰ τὸ μὴ μοιχεύεσθαι. Θάλλουσι δὲ, ἤγουν εὐθηνοῦνται, ἐν ἀγαθοῖς διαπαντὸς, διὰ τέλους, ἀπὸ τῆς διᾶ προθέσεως καὶ τοῦ πέρας τὸ τέλος, τὸ ΔΙΑΜΠΕΡΕΣ· πλεονάζει δὲ ἐν αὐτῷ τὸ μ̄. Moschop.

233. w) ΕΟΙΚΟΤΑ ΤΕΚΝΑ ΓΟΝΕΥΣΙΝ. Διὰ τὸ σφοδρῶς ἐν τοῖς δικαιοπραγοῦσι τιμωρεῖσθαι τοὺς μοιχεύοντας. Tzetzes.

234. ΟΥΔ' ΕΠΙ ΝΗΩΝ ΝΕΙΣΣΟΝΤΑΙ. Ὁρμῶσι, πλέουσι. Δείκνυσι δ' ἐντεῦθεν Ἡσίοδος, ὡς x) ἀπηχθημένως τῇ ναυτιλίᾳ διάκειται· καὶ ὅτι τοῖς ἀγαθοῖς καὶ δικαίοις οὐκ y) ἀναγκαῖόν ἐστιν ἐμπορεύεσθαι, καὶ τῆς πατρίδος ἀποδημεῖν. Ἄλλοι γὰρ ἀλλαχόθεν καταίροντες διὰ τὰς τούτων εὐθυδικίας τοὺς τούτων λιμένας καὶ τὰ νεώρια τῶν ἐμποριῶν πληροῦσι. Ταῦτα δὲ πάντα, ὡς ἔφημεν, παιδευτικῶς φησὶ πρὸς τὸν ἀδελφὸν, ἵνα τὰς ἀμοιβὰς τῆς βίας καὶ ὕβρεως καὶ τῆς δικαιοσύνης εἰδὼς, z) ἀνθέξηται πάντως τῆς κρείττονος μοίρας. Tzetzes.

Ibid. ΟΥΔ' ΕΠΙ ΝΗΩΝ ΝΕΙΣΣΟΝΤΑΙ. Ἤγουν οὐδὲ ἐπὶ νηῶν ἐπιβεβηκότες πορεύονται, καρπὸν δὲ φέρει αὐτοῖς δηλονότι ἡ ζείδωρος ἄρουρα, ἤγουν ἡ εἰργασμένη γῆ ἢ τὰ πρὸς ζωὴν δωρουμένη. Ἀνωτέρω εἴρηκε τὴν γῆν ἁπλῶς φέρειν αὐτοῖς βίον, ἐνταῦθα δὲ τὴν ἠροτριασμένην· ἐπεὶ ἡ γῆ τὰ μὲν δίδωσιν μηδενὸς ἐπιμελείας ἐπιμελουμένου, τὰ δὲ ἀρουμένη καὶ ἐπιμελείας τυγχάνουσα. ΝΕΙΣΣΟΝΤΑΙ διὰ διφθόγγου καὶ δύο σσ, τὸ μὲν ὅτι ἀπὸ τοῦ νέομαι, τὸ δὲ ὅτι τετάρτης ἐστὶ συζυγίας, ὡς τὸ βδελύσσομαι καὶ φοινίσσομαι. Moschop.

236. ΟΙΣ Δ' ΥΒΡΙΣ ΤΕ ΜΕΜΗΛΕ. Ἀντὶ τοῦ, ὅσοις.

v) Deest hoc Scholion Trinc.

w) Deest hoc Scholion Trinc.

x) ἐπαχθῶς Trinc.

y) ἀναγκαῖον ex Trinc. Alii ἀγαθόν. Mox νεώρια πληροῦσιν ἐμποριῶν Trinc.

z) ἀνθέξεται E. F. H. Trinc. Bas. Ad finem Sch. τὰ ἑξῆς δῆλα addit Trinc.

Ἐπανακυκλοῖ δὲ τὸν λόγον, ἵνα μὴ λάθῃ τῆς ἀπειλῆς. Τὰ οὖν ἀνταποδιδόμενα τῇ μοχθηρίᾳ διὰ τούτων παρίστησιν, δεικνὺς τίνα ἔκγονα ἐκ τῆς ὕβρεως· κατὰ δίκην ἐστὶ τὸ τελευτᾷν εἰς τιμωρίαν τοῖς πονηροῖς τὴν τοιαύτην ζωήν. Proclus.

Ibid. ΟΙΣ Δ' ΥΒΡΙΣ ΤΕ ΜΕΜΗΛΕ. *Οὐκ οἶδα ποίαν ἀβελτηρίαν τῶν ἀνδρῶν καταγνῶ, οἳ τὸν Ἡσίοδον Ὁμήρῳ συγκρίνουσι, καὶ οὐκ ἐρυθριῶσι λέγειν, ὡς νενίκηκεν. Εἰ μὲν σκυτέα τινὰ* a) *νενίκηκεν Ὅμηρον, οὐκ ἔχω λέγειν* b) *τὸ*
145 *ἀκριβές· Ὅμηρον δὲ μή τοι γε τὸν Φωκέα, καὶ τὸν* c) *Εὔφρονος, ἀλλ' οὐδὲ τὸν νεώτερον τὸν Βυζάντιον, τὸν Ἀνδρομάχης υἱὸν, ἀποπεφασμένως εἴποιμι ὡς νενίκηκεν. Ὅμηρον δὲ τολμῆσαι τὸν μέγαν εἰπεῖν, παραπληξίας καὶ μανίας καὶ ἀτοπίας ἐσχάτης ἐστί. Καὶ γὰρ τὰ ἔπη τούτου κίβδηλα ἐν πολλοῖς·* 106) *ἀλ-*

a) *ὡς καὶ νενίκηκεν* E. Scholion hoc deest Trinc.

b) Ita E. G. H. *τὸ ἀληθὲς* F. *τὸν ἀκριβέα* edd.

c) *Εὔφρονος* E. F. H. Tzetzes Chil. XII. 209. *Ἔμφρονος* edd. Mox *Ἀνδρομάχου* E.

106) Magister Tzetzes in longa hac disceptatione, in qua tanquam *λιποτάκτης* improbus Hesiodi causam partesque scelerate deserit, inter alia quibus haec scripta longe ab Homeri elegantia, longe ab ejus aetate, longe a ratione scribendi segregat, argumentum *περὶ τῶν διχρόνων* affert: quibus Hesiodum promiscue, sicut sui temporis homines, usum fuisse toto hoc opere notat; quae calumnia quam sit putida, foeda, inepta, falsa, videbunt, qui unum ex ipsius iambis quos huic operi tanquam delicias illius aevi, aut praeclara tragemata interserit, examinabunt. Fatemur in quibusdam Hesiodum vocibus *ἀδιαφορίαν* circa *τὰ δίχρονα* admisisse: sed et ab Homero idem factum ubique, quis tam trivialis est, ut ignoret? ita ut certas jam olim voces annotarint apud poëtam veteres, in quibus constanter id observavit poeta ut inconstans esset. Recte Eustathius p. 556. ad illud: *φίλε κασίγνητε. Τὸ φίλε, ἐκτείνει καὶ ἐνταῦθα τὸ τῆς ἀρχούσης δίχρονον, ὡς καὶ ἐν τῇ γ̄ ῥαψῳδίᾳ, φησὶ γάρ· φίλε κασίγνητ' ἐκκόμισαί τέ με, δός δέ μοι ἵππους· διὸ καὶ ὁ Ἀσκαλωνίτης, φασὶ, περιέσπα τὸ φῖ· καὶ ὅρα τὴν ἀδιαφορίαν καὶ νῦν τῶν διχρόνων, εἴγε καὶ τὸ φίλος ποτὲ μὲν ἐκτείνει, ποτὲ δὲ συστέλλει τὴν ἄρχουσαν. Σημειοῦνται δὲ καὶ ὅτι ἐν τῷ, αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἐν τῷ, προσέφη ἱερὴ ἲς Τηλεμάχοιο, συστέλλεται τὸ ἰ τοῦ ἱερόν· ἐν δὲ τῷ ἱερὸν ἰχθῦν, ἐκτείνεται.* Sed infinita apud poetam sunt, ut et apud autorem *τῆς Ἀσπίδος*: quo poemate interim nihil fortasse plenius, elaboratius, tersius ad nos pervenit. Et Isaacius non modo veteres *τῶν διχρόνων*, sed et *τῶν διπλῶν* usum promiscuum permisisse sibi annotat ex Hipponacte, et Lycophrone: quorum alter, *Καύηκας οὐκ ἄποθεν Ἀλέντα ποτῶν*, non *ἄπωθεν*. Alter, *τὴν αὐτὸν ὄφις τ' ἀντικνήμιον δάκῃ*. Verba Isaacii sunt: *ἄποθεν, το πο̄ μικρὸν γράφε. Οὗτοι δὲ ἀγνοήσαντες τὸ μέτρον, μέγα τοῦτο γράφουσι, σὺ δὲ γίνωσκε, ὅτι τὸ δασὺ ἐκτείνειν δύναται, ὅτε βούλεται ὁ στιχιστὴς, ἴσως τοῖς διπλοῖς, ὡς καὶ πρώην ἔφην σοι, εἰς παράδειγμα παραγαγὼν, τὸ, Τρῶες δ' ἐῤῥίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν. Εἰ δὲ μείουρον τοῦτον νομίζεις, ἄκουσον καὶ τῶν κατὰ τοῦ Μιμνητοῦ ζωγράφου, χωλῶν Ἰάμβων*

ληνάλλως γὰρ κέχρηται τοῖς διχρόνοις, [107]) ὥσπερ οἱ καθ' ἡμᾶς· 146
[108]) καὶ ὁ νοῦς δὲ τῶν ἐπῶν τοῦ ἀνδρὸς παρεφθορώς τε καὶ ἀφαυρὸς, καὶ πολλάκις μεταπηδῶν, καὶ μὴ ἔχων τὸ βέβαιον. Ὡς νῦν τὸ,

Οἷς δ' ὕβρις τε μέμηλε,

καὶ ἕτερα· τὰ δὲ τοῦ θείου Ὁμήρου, ἀμβροσίᾳ πάντα καὶ νέκταρι συγκέκραται, καὶ οὐδὲ νυγμὴν ἢ ξυσμὴν ἐπιλήψιμον ἔχουσιν. Tzetzes.

Ἱππωνακτείων στίχων. Postea inter reliquos versum adducit quem supra habuimus Hipponactis. Ita poetae libere grammaticorum *τεχνογραφίας* plorare jubent: minorem interim ob causam infra Hesiodum exulatum mittit Tzetzes, non ex poetarum numero, sed bonorum civium. Ubi videbimus quibus armis pugnet. Heinsius.

107) Duplex erat scribendi tum temporis ratio: quarum altera introducebat *ἀδιαφορίαν* circa *τὰ δίχρονα*, de qua jam agit: altera circa omnes syllabas. Utrique *κοινοὶ* dici possunt. Posteriores tamen magis, quos proprie propterea politicos dicebant, quibus in Ecclesiis suis hodie Graecorum Idiotae utuntur. Vidi volumen integrum manu exaratum apud illustrem Scaligerum. Priorum exemplum repraesentant nobis iambi quos toto hoc opere Johannes, aliquando et Isaacius ad Lycophronem proponit. Posteriorum illa: *Ἀκριβεστάτως ἐκμαθεῖν φίλτατε κεχρημένος Μιᾶς ἐμῆς ἐπιστολῆς σύμπασαν ἱστορίαν, Εὐκρινημένως μάνθανε πρῶτον ἐκ τῆς τοῦ Κροίσου*. Quibus Chiliadas suas conscripsit: qui nihil quam cantillantur: quo pacto illa Catulliana: *Cinaede Thalle mollior cuniculi capillo, Vel anseris medullula, vel imula oricilla*. Illud Comici: *Ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θυμὸν φαγόντες*. et Hipponacteis: *Εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα*. Ex tetrametris enim Hipponacteis, quales superiores sunt, Politicos suos formarunt. Heinsius.

108) Respondimus *περὶ διχρόνων*: quae res quod syllabica esset, permisimus in eo Grammaticum nostrum ostentare acumen suum. Ulterius vero ut tendat, et de caeteris libere judicare audeat, non est ferendum. Hesiodus si superesset, homini huic suo jure responderet, quod olim Euripides, teste Aristotele: cui cum Hygiaenon quidam diem diceret, quod sententiam illam in Hippolyto suo protulisset, *ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος*, quasi publico perjuriorum patrono, et qui ejusmodi scelerum viam commonstraret populo, nihil respondit ille, quam peccare eum graviter, quod causam quae ad *τοὺς Διονυσιακοὺς ἀγῶνας* spectaret, in forum transferret: ibi et sibi respondendum de hac re, et illi accusandum fuisse. Quis enim Grammaticum harum causarum judicem constituit? qui semper extra praetorium suum jus dicit, cum literas et syllabas transcendit. Aliud enim est esse miserum *στιχιστὴν*, aliud poetam. Quanquam Tzetzen tautologias in alio accusare quis ferat, qui saepe plus decies eandem sententiam inculcat. Minus tamen multo est *τὸ ταυτολογεῖν*, quam *τὸ περιαυτολογεῖν*: quo homo natus sat scio nunquam insolentius peccavit quam hic noster: cujus scripta sunt *ἀλαζονείας* et fastus intolerabilis *μουσεῖον*. Mihi certe saepe nauseam movet: qui existimo totius vitae fructum esse in modestia. Heinsius.

Ibid. [109]) *ΟΙΣ Δ' ΥΒΡΙΣ ΤΕ ΜΕΜΗΛΕ.* *Ἄκαιρος ταυτολογία ἐνταῦθά ἐστιν· εἶπε γὰρ καὶ πρώην περὶ τούτου,*

147 *Ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ,* —

109) Adversus ineptias hujus hominis bonum semper habere stomachum id vero difficillimum est. Expectaveramus ab eo ut versum Hesiodi explicaret supra, *οἷς δ' ὕβρις τε μέμηλε*: at vero contra ille tanquam nocturnus praemiator aliquis in civitate libera existimationem ejus et famam, quam vel antiquitatis authoritate munitus sartam tectam conservare debebat, parat detexere: quae omnia eo spectant ut nequitiae inertiaeque eos condemnet, qui Hesiodum ab Homero palmam in extemporali *καὶ αὐτοσχεδιαστικῷ* certamine retulisse notarant. Quod sive eos respiciat qui *τὸ τεθρυλλημένον* et omnibus notum Hesiodi et Homeri certamen vulgarunt, sive alios, quorum scripta desideramus, nescio. Id vero scio, quod hunc librum Hesiodi Tzetzes, qui tot veterum philosophorum commendationibus, tot magnorum virorum testimoniis ornatus, quasi de manu in manum ad nos pervenit, propter *τὸ ἰσοδυναμοῦν τῶν λέξεων, τὰς ταυτολογίας, τὰ παράλληλα*, quae hic et ibi occurrunt, quae nihil aliud sunt quam notae illius aevi, quae hoc scriptum tanquam vetustum lucum commendare poterant, tam maligne, et furiose sugillet, nihil facere praeter morem suum: multo vero impudentius, cum Homerum ab his vindicet: ut Hesiodo ne exemplo quidem se tueri liceat. Ejusmodi naevulorum nos, qui semper cum veneratione de antiquioribus agendum putamus, causam aliquam asscribimus saeculo, quod nihil aliud quam scientiarum et artium omnium delineationem proposuit; majorem vero Grammaticorum scelestae audaciae: qui hoc ipsum in ejusmodi scriptoribus primi desiderare caeperunt, quod a familia sua commissum fuit. Qui petulantiam, quam gens illa in Homeri et Hesiodi versibus exercuit, ignotam habet, *καὶ τὰς ὀβελίσεις, καὶ τὰς διαγραφὰς, καὶ τὰς παρεμβλήσεις, καὶ τὰς νυγμὰς, καὶ ξυσμὰς*, et reliquas ineptias, in literis exulat et in veteribus interpretibus, praesertim nostro Proclo, et iis qui in poetam commentati sunt. Possem ostendere in Homero multa quae sine commiseratione et risu legere non possum: quae tam scio Grammaticorum esse quam Tzetzen in hac re nihil videre. Inter eos qui religiosissimi fuerunt, Homerum Homero suppleverunt, et quae uno loco apte dicebantur, altero ineptissime ingesserunt. Iliad. χ. in elegantissima et divina Andromaches querela invenies versum illum: *Ἀστυάναξ ὃν Τρῶες ἐπίκλησιν καλέουσιν*: qui non modo sine detrimento reliquorum abesse potest, sed et *τὸ αὐτοκάβδαλον* et ineptias Grammaticorum redolet. Nihil praeterea certius est quam infinita Hemistichia *παρεμβεβλημένα* esse. Sicut nostro tempore non nemo cum Virgilio egisset, nisi se opposuisset saeculi felicitas. In Capitolino qui literatoris Fabilii Graecos versus hoc modo translatos legit, existimet se imaginem eorum habere quae in Homero saepe nobis sordent. *Qualis ubi Oceani perfusus Lucifer unda Extulit os sacrum caelo, tenebrasque resolvit, Talis erat juvenis primo sub nomine clarus.* Quae quia multis exemplis probanda sunt, quia non omnium est hoc videre, cum pauci ea judicii felicitate et acrimonia sint, ut aliter quam omnes sentire audeant, seorsum aliquando hac de re acturi sumus. Ad *τὸ ταυτόλογον* quod attinet, cujus ne suspicionem ullam apud Homerum relictam esse Tzetzes tam fastuose affirmat, nescio quo pacto excuset illud Odyss. Ξ. ubi bis supplendi versus gratia, de Eumaeo dicitur, modo, *φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσι:*

*καὶ τὰ τῇ ὕβρει, ἤγουν τῇ βίᾳ, ἑπόμενα· καὶ νῦν δὲ πάλιν
περὶ τούτου φησὶν ἐπιλαθόμενος, ὥσπερ οἱ ἐν βαλανείῳ οὐ-
ρήσαντες, καθάπερ λέγουσι τὰ γραΐδια. Τοῖς δὲ δίκην καὶ* 148
*τιμωρίαν τεκμαίρεται, καὶ πληροῖ, καὶ δίδωσιν ἡ Εἱμαρμένη.
Καὶ τὸ τοῦ Διὸς ὄνομα, ἤτοι τῆς Εἱμαρμένης, τετράκις
ἐνταῦθα κεῖται ἀδολεσχούμενον· ΕΥΡΥΟΠΑ ΖΕΥΣ, ΚΡΟ-
ΝΙΩΝ, ΖΗΝΟΣ ΦΡΑΔΜΟΣΥΝΗΙΣΙΝ· καὶ τὸ ΚΡΟΝΙΩΝ
ΑΠΟΤΙΝΝΥΤΑΙ· συντακτέον καὶ οὕτως, ἢ καθεξῆς τοὺς
στίχους ὡς κεῖνται. Τὸ δὲ ΤΟΙΣΙΝ Δ' ΟΥΡΑΝΟΘΕΝ, οὐ
σολοικόν ἐστιν, ἀλλὰ περιληπτικὸν, ἤγουν τῇ πόλει. Ἡ γὰρ
πόλις ἑνικῷ ἀριθμῷ τοὺς ἐν αὐτῇ πάντας περιέχει. Καὶ τὸ
ὍΣ ΤΙΣ δὲ ὁμοίως τῇ ἀδηλίᾳ πλῆθος σημαίνει. Συντακτέον
γοῦν ἢ καθεξῆς τοὺς στίχους ὡς κεῖνται, ἢ οὕτως,*

Οἷς δ' ὕβρις τε μέμηλε —

καὶ τὸ,

Τοῖς δὲ δίκην τεκμαίρεται εὐρυόπα Ζεύς.
Τοῖσι δὲ —

modo, *περὶ γὰρ φρεσὶν αἴσιμα ᾔδη:* et infinita alia, cujusmodi ne in hoc scripto fortasse notabit: sed ejusmodi quia sunt *ἀναρίθμητα*, et temporis et ocii majoris sunt, et seorsim probari merentur. Sicut igitur impune poetae quidlibet appinxerunt, ita nunquam rationem reddent, cur tum multos ex ejus scriptis versus, in quos ne suspicio quidem cadebat ulla, et ex quibus fortasse mens dependebat, libere loco moverint. Exemplo sit locus ille Iliad. χ. in Hectoris *ἑλκυσμῷ· Νῦν δ' ἄγ' ἀείδοντες Παιήονα κοῦροι Ἀχαιῶν, Νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν· Ἤράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον, Ὧι Τρῶες κατὰ ἄστυ θεῷ ὡς εὐχετόωντο. Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα, Πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε.* Nunquam causam reddent cur secundus a fine versus, qui fortasse reliquis numerosior est, ejici meruerit, cum tamen in nullis nos eum Homeri editionibus repraesentatum viderimus. Eodem modo nusquam hi duo versus *συνημμένως* leguntur: *Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο. Ζεὺς γάρ οἱ νεμέσασχ' ὅτ' ἀρείονι φωτὶ μάχοιτο.* Alter quidem Iliados λ. reperitur: quo loco posterior inseri non posse videtur: nisi quis scribat: *Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο, Ζεὺς γάρ οἱ νεμέσασχ' ὅτ' ἀρείονι φωτὶ μάχοιτο. Ζεὺς δὲ πατὴρ Αἴανθ' ὑψίζυγος ἐν φόβον ὦρσε.* Ita ut manifesto uterque alibi ejectus sit. Idem in hoc opere factum fuisse, ut et nonnulli desiderentur, nonnulli contra redundent, supra, adductis aliquot, probavimus. Quae obiter nunc a nobis dicuntur, non ut divinae illi naturae quicquam detrahamus, sed ut adversus putidos Grammaticorum impetus incorruptum et sincerum judicium conservemus. Quicquid enim summis illis viris demi aut addi potest, id Apollo pater et justissima Nemesis in eorum caput vertat, qui primi Grammaticam hanc tyrannidem exercuerunt. Tantum abest ut Tzetzae accedamus, qui saepe Hesiodum ob easdem vibices flagellat, quas ab aliis accepit, Heinsius. Deest hoc Schol. Trinc.

Ἀντὶ τοῦ, τοῖσιν οὐρανόθεν μὲν ἐπήγαγεν πῆμα Κρονίων. Μέχρις ὅλου τοῦ,

Ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνννται αὐτῶν.

εἶτα τοὺς δύο στίχους, τὸν

Πολλάκις,

καὶ τὸν

Ὅς τις ἀλιτραίνει. Tzetzes.

Ibid. ΟΙΣ Δ᾽ ῞ΥΒΡΙΣ ΤΕ ΜΕΜΗΛΕ. Ἐπανακυκλοῖ τὸν λόγον κατ᾽ εἶδος παριστῶν τὰ ἀνταποδιδόμενα τῇ μοχθηρίᾳ· καὶ φησὶν, ὅσοις δὲ διὰ φροντίδος ἐστὶ καὶ ὕβρις κακὴ, καὶ
149 χαλεπὰ ἔργα, τούτοις, ἤγουν κατὰ τούτων, τιμωρίαν βουλεύει ὁ τῶν βροντῶν αἴτιος Ζεύς. Πολλάκις καὶ ὁλόκληρος πόλις ἀπολαύει κακοῦ ἀνδρὸς, ἀντὶ τοῦ βλάβης ἐπακολουθούσης κακίᾳ κακοῦ ἀνδρὸς, ὅστις ἁμαρτάνει καὶ ἀνόσια μηχανᾶται. Κατασκευαστικὰ δὲ ταῦτα τίθησι διὰ μέσου, ὥστε δηλονότι εἰ δι᾽ ἕνα κακὸν πᾶσα ἡ πόλις ἀπολαύει πολλάκις κακοῦ, τί ἂν ταύτῃ τῇ πόλει γένοιτο, ὅταν ἐν αὐτῇ πολλοὶ ἁμαρτάνωσιν. Εἶτα συνάπτει τὸν λόγον πρὸς τὰ ἀνωτέρω· καί φησι,

τοῖσιν δ᾽ οὐρανόθεν κ. τ. λ. Moschop.

238. ΠΟΛΛΑΚΙ ΚΑΙ ΞΥΜΠΑΣΑ ΠΟΛΙΣ. Τοῦτο δοκεῖ μὲν οὐκ εἶναι κατὰ δίκην, τὸ ἑνὸς ἕνεκα πονηροῦ πόλιν ὅλην διδόναι ποινήν. Δύναται δὲ λέγειν, ὅτι μοχθηροῦ ἑνὸς ὄντος, ὥσπερ νοσήματος, ἡ πόλις παραπολαύουσα, πολλάκις εἰς ὅλην ἑαυτὴν ἀναμάττεται τὴν πονηρίαν ἐξομοιουμένη τῷ ἑνί. Δύναται δὲ κἀκεῖνο σημαίνειν, ὅτι ἑνὸς ὄντος πονηροῦ, δίδωσιν ἡ πᾶσα πόλις δίκην, ὡς, ἐξὸν κωλύειν, μὴ κωλύουσα τὴν τοῦ ἑνὸς πονηρίαν. Οὕτω καὶ τοῦ Ἀγαμέμνονος αὐθαδῶς τῷ ἱερεῖ προσενεχθέντος, εἰς πάντας Ἕλληνας διέτεινεν ὁ λοιμὸς, ὡς παρέντας βοηθῆσαι τῷ ἱερεῖ· καὶ τοῦ Αἴαντος ἀσεβήσαντος περὶ τὸ τῆς Ἀθηνᾶς ἱερὸν, πάντες ἔνοχοι τῇ δίκῃ γεγόνασιν, ὡς μὴ ἀγανακτήσαντες ἐπὶ τῷ ἀσεβήματι. Δεῖ γὰρ μὴ ἐπιτρέπειν τοῖς ὑβρισταῖς, μὴ δὲ συνεπινεύειν τοῖς ἀδίκοις, [d]) δυναμένους μὲν παῦσαι, περιο-

d) Thucydid. I. 69. Οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ᾽ ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ, ἀληθέστερον αὐτὸ δρᾷ. Sequens Schol om. Triuc.

ϱῶντας δὲ τοῦ παῦσαι τὴν ἐξουσίαν τῶν πονηϱῶν. Proclus.

Ibid. *ΠΟΛΛΑΚΙ.* Αἰολικόν· οἱ μὲν γὰϱ Αἰολεῖς πῆ μὲν διπλασιάζουσι τὸ σ, ὡς τὸ πάντεσσι, χείϱεσσι, καὶ τὰ ὅμοια· πῆ δὲ ἐκθλίβουσιν αὐτὸ, τὸ ὄπισθεν ὄπιθεν λέγοντες, καὶ τὸ πολλάκις πολλάκι, καὶ τὰ ὅμοια. Tzetzes.

Ibid. *ΑΠΗΥΡΑ.* Ἀπέλαυσε. Καὶ τοῦτο δὲ λύσις [e]) τυγχάνει τοῦ ἀντιπίπτοντος. [f])Ἴσως γὰϱ ἂν εἶπεν ὁ Πέϱσης, ἀλλ' ὀλίγοι μέν εἰσιν οἱ κακουϱγοῦντες, [g]) πολλῷ δὲ πλείους οἱ ἀγαθοί· καὶ πῶς τί τῶν δυσχεϱῶν ἡμῖν ἀπαντήσει; τοῦτο γοῦν [h]) λύων τὸ ἀντιπίπτον ἐπιτατικῶς εἶπεν, ὅτι πολλάκις καὶ δι' ἕνα πόλις ὁλόκληϱος ὄλλυται, ἢ τῆς κακίας ἐκείνου μεταδοθείσης [i]) τοῖς λοιποῖς, ἢ φαῦλόν τι πϱάξαντος, διὸ καὶ πόλεις πολλαὶ, καὶ [k]) οὐ μία, πολλάκις ἀνάστατοι ἐγεγόνεισαν, ὡς μὴ τῷ κακούϱγῳ τιμωϱίαν ἀξίαν ἐπενεγκοῦσαι τοῦ ἐγχειϱήματος. Ἔχεις παϱάδειγμα τὸν Πάϱιν Ἀλέξανδϱον, δι' ὃν ἡ Τϱοία ἀπώλετο· [l]) ἔχεις τὸν Ξέϱξην τὸν βάϱβαϱον, δι' 150 ὃν ἐδάκϱυσεν ἡ Πεϱσὶς, παντὸς αὐτῆς τοῦ ἄνθους ἀπολωλότος τῆς στϱατιᾶς· [m]) ἔχεις σπινθῆϱα Μεγαϱικὸν, δι' οὗ Πεϱικλῆς συμφοϱῶν τὴν πᾶσαν Ἑλλάδα πεπλήϱωκεν. Tzetzes.

Ibid. *ΑΠΗΥΡΑ.* Ἀπέλαυσε [n]) τῆς ἀβουλίας. Tzetzes.

239. *ΑΤΑΣΘΑΛΑ.* Τὰ θάλλοντα ἐν ταῖς ἄταις, ἤγουν βλάβης ἀνάμεστα. Tzetzes.

240. *ΤΟΙΣΙΝ Δ' ΟΥΡΑΝΟΘΕΝ.* Τὰ ἔϱγα τῆς δίκης διέξεισιν, ὅσα ἐπήϱτηται ταῖς τοὺς ἀδίκους ἐώσαις τὰς ἑαυτῶν ἐκπληϱοῦν ἀδικίας πόλεσι, λιμὸς καὶ λοιμὸς, καὶ ἀπώλεια στϱατεύματος διὰ [o]) πολέμων, καὶ πόϱθησις τῆς πόλεως τοῦ τείχους αἱϱεθέντος, καὶ ναυτικοῦ ὄλεθϱος. Ταῦτα γὰϱ ἐπάγει ταῖς τῶν ἀδίκων πόλεσιν ὁ θεός. Ὁ μὲν οὖν λιμὸς γίνεται, ὡς τὰ πολλὰ γεωϱγίας ἀμελούντων καὶ πεϱὶ δικαστήϱια στϱεφο-

e) ἔστι Trinc.

f) εἶπε γὰϱ ἂν Trinc.

g) πολλὺ Trinc. et mox ἀπαντήσεται.

h) λύων φησι πολλάκις mediis omissis Trinc.

i) καὶ πϱὸς ἄλλους Trinc.

k) οὐδεμία Trinc. et mox ἐγένοντο. Δι' ὃν ἡ Τ. ἀ. om. Bas.

l) καὶ pro ἔχεις Trinc.

m) Hinc ad fin. Scholii om. Trinc. Respicit Tzetzes ad Aristoph. Pac. 608. [In hoc Scholio Plutarchea inesse videntur. *Ex Addendis.*]

n) τῆς ἀβόλου μετέσχε συμφοϱᾶς F. Hoc et duo seqq. Tzetzis Schol. om. Trinc.

o) πολεμίων A.

μένων· ὁ δὲ λοιμὸς ἐκ τοῦ λιμοῦ συμπίπτει, μοχθηρίᾳ διαίτης, ᾗ χρῆσθαι ἀναγκάζονται λιμώττοντες οἱ ἄνθρωποι. Ὁ δὲ πόλεμος τῶν στρατευμάτων ὄλεθρον ἔχει διὰ πλεονεξίαν (ὡς τὰ πολλὰ) τῶν ἐν ταῖς πόλεσι [p]) δυνατῶν ἐγειρόμενος. Ὁμοίως δὲ καὶ ὁ τὴν τῆς πόλεως πόρθησιν προξενῶν, καὶ τὴν τῶν νεῶν ἀπώλειαν. Ταῦτα μέν ἐστι τὰ ἐπίχειρα τῆς ἀδικίας. Δεῖ δὲ συνάπτειν τὸ,

Λιμὸν ὁμοῦ καὶ λοιμὸν, ἀποφθινύθουσι δὲ λαοὶ

[q]) τοῖς ἐν πολλοῖς φερομένοις, ὑπερβάντα δύο στίχους,

ἢ τῶν γε στρατὸν ἀπώλεσεν,

καὶ τὰ ἑξῆς. Οὕτω Πλούταρχος. PROCLUS.

Ibid. *ΚΡΟΝΙΩΝ.* Ἡ ἀφανὴς καὶ ἀπροόρατος Εἱμαρμένη, ἡ κοροῦσα καὶ μελαίνουσα τὸν νοῦν, καὶ σκιάζουσα. TZETZES.

Ibid. *ΟΥΡΑΝΟΘΕΝ ΔΕ.* Ἐκ τῆς τῶν ἀστέρων κινήσεως. TZETZES.

Ibid. *ΤΟΙΣΙΝ Δ' ΟΥΡΑΝΟΘΕΝ.* Ἐπὶ τούτοις, ἤγουν κατὰ τούτων, ἤγαγεν ὁ Ζεὺς ὁ Κρονίων, ἤγουν ὁ υἱὸς τοῦ Κρόνου, οὐρανόθεν μέγα πῆμα, ἀντὶ τοῦ μεγάλην βλάβην. MOSCHOP.

241. *ΛΙΜΟΝ ὉΜΟΥ ΚΑΙ ΛΟΙΜΟΝ.* Τῷ μὲν λιμῷ ὁ λοιμὸς ἕπεται, κακοχύμοις τροφαῖς κεχρημένων τῶν λιμωττόντων, διὰ τὴν ἔνδειαν· καὶ ἁπλῶς εἰπεῖν, ταῖς παρατυχούσαις αἷς καὶ ἄκοντες τρέφονται. Ὁ δὲ λιμὸς γίνεται, ἢ κακοσχόλῳ γνώμῃ, τῶν ἀνθρώπων μὴ προσεχόντων τῇ γεωργίᾳ· ἢ πολεμίων ἐφόδοις, τὴν γῆν μὴ τολμώντων ἐργάζεσθαι· ἢ
151 ξηρότητι τῶν [s]) αὐχμῶν, ἢ χαλάζης καταφοραῖς· ἢ ἐπομβρίαις ἀμέτροις ἐνίοτε τῶν γεωργιῶν ἀπολλυμένων. TZETZES.

Ibid. [110]) [t]) *ΦΘΙΝΥΘΟΥΣΙ.* Φθείρονται. Ἔστι δὲ Ἀτ-

τῶν

p) δυναμενων A.

q) Forte, καὶ τὰ ἑξῆς. Ἢ τῶν γε στρατὸν ἀπώλεσεν, τοὺς ἐν πολλοῖς φερομένους ὑπερβάντα δύο στίχους. WYTTENBACH. ad Plut. fragm. Comm. sect. 5. Sed nescio an vulgaris ordo retineri debeat, διὰ μέσου positis τοὺς ἐν π. φερομένους ὑ. δ. σ. et addito καὶ ante ἢ τῶν, vel τὸ post συνάπτειν in τῷ mutato. Certe haec est simplicior ratio.

r) Hinc ad καὶ τὰ ὅμοια om. Trinc.

s) αὐχμῷ Trinc. sine ξηρότητι τῶν. Mox ib. γεωργικῶν.

110) παραλόγως] Scribe παραγώγως. HEINSIUS. Sic E. F. G.

t) Hinc ad fin. Schol. om. Trinc.

τικὴ παραγωγή· ἐκ τοῦ φθίνω γὰρ παραγώγως λέγουσι φθινύθω. Tzetzes.

Ibid. *ΛΙΜΟΝ ὉΜΟΥ ΚΑΙ ΛΟΙΜΟΝ.* Ἤγουν ἔνδειαν τροφῶν καὶ λοιμικὸν νόσημα· ἕπεται γὰρ τῇ τῶν τροφῶν ἐνδείᾳ ἡ λοιμικὴ νόσος· ἀναγκαζόμενοι γὰρ οἱ λιμώττοντες μοχθηρᾷ χρῆσθαι διαίτῃ, τούτῳ περιπίπτουσιν ἐξ ἀνάγκης τῷ νοσήματι· οὐκ ἀπὸ ταύτης δὲ μόνης τῆς αἰτίας ἡ λοιμικὴ συμπίπτει νόσος, ἀλλ' ἔστιν ὅτε καὶ ἀπὸ διεφθορότων ἀέρων καὶ ἑτέρων αἰτιῶν, ὥστε λιμοῦ μὲν γεγονότος, ἐξ ἀνάγκης λοιμικὰ συμπίπτειν νοσήματα, οὐκέτι δὲ καὶ λοιμικῶν ὄντων νοσημάτων ἐξ ἀνάγκης λιμὸς προηγήσατο. Moschop.

Ibid. *ΑΠΟΦΘΙΝΥΘΟΥΣΙ ΔΕ ΛΑΟΙ.* Ἤγουν φθείρονται· ἀπὸ τοῦ φθίνω φθινύθω, ὡς ἀπὸ τοῦ νέμω νεμέθω. Moschop.

242. *ΟΥΔΕ ΓΥΝΑΙΚΕΣ ΤΙΚΤΟΥΣΙ.* v) Καὶ τοῦτο λίαν ἐστὶ συμφανέστερον· λιμὸς μὲν γὰρ καταστέλλειν οἶδε τὰ ἀφροδίσια, ὁ δὲ λοιμὸς τῷ w) πυρφόρῳ τῆς νόσου διαφθείρει τὸ κυοφόρημα. Tzetzes.

Ibid. *ΜΙΝΥΘΟΥΣΙ ΔΕ ΟΙΚΟΙ.* Ἀντὶ τοῦ σμικρύνονται, φθείρονται. Μινυὸς γὰρ ὁ μικρός. Καὶ εἰκότως οἱ οἶκοι φθείρονται παντελῶς. Τοὺς μὲν γὰρ ἄνδρας ὁ πόλεμος ἀναιρεῖ· ὁ δὲ λιμὸς τὰς συναφείας ἀπείργει· ὑπὸ δὲ τοῦ λοιμοῦ καταφθείρονται τὰ x) κυοφορεῖσθαι προφθάσαντα. Tzetzes.

Ibid. *ΟΥΔΕ ΓΥΝΑΙΚΕΣ ΤΙΚΤΟΥΣΙΝ.* Ὑπὸ τοῦ λιμοῦ δηλονότι φθειρομένων τῶν ἐμβρύων. Moschop.

Ibid. *ΜΙΝΥΘΟΥΣΙ ΔΕ ΟΙΚΟΙ.* Ἤγουν σμικρύνονται, ἐλαττοῦνται. Moschop.

243. *ΖΗΝΟΣ ΦΡΑΔΜΟΣΥΝΗΙΣΙΝ ΟΛΥΜΠΙΟΥ.* Διὰ τὰς βουλὰς τοῦ Διὸς τοῦ οὐρανίου. Διὰ μέσου οὗτοι οἱ δύο στίχοι· τὸ ἑξῆς δὲ πρὸς τὸ λαοὶ συνάπτεται. Moschop.

Ibid. *ΑΛΛΟΤΕ Δ' ΑΥΤΕ.* Ἄλλοτε δὲ δὴ ἢ στρατὸν τούτων εὐρὺν, ἤγουν πλατὺν, πολὺν ἐπέχοντα τόπον, ἀπώλεσεν· ἢ ὅγε, ἤγουν ὁ Ζεὺς, τεῖχος, ἤγουν πόλιν αὐτῶν, ἢ

v) καὶ τ. λ. ε. σ. om. Trinc. ἐμφανέστατον E. ἐμφανέστερον F. συμφανέστατον G.

w) πορφύρῳ Trinc. et mox τὰ κυοφορούμενα. σμικρύνονται δὲ οἱ οἶκοι καὶ φθείρονται παντελῶς. Trinc. mediis omissis. Paullo ante

x) κυοφορηθῆναι Trinc. φθάσαντα F. ad fin. τὰ ἑξῆς δῆλα Trinc.

ναῦς αὐτῶν ὁ αὐτὸς Ζεὺς ὁ Κρονίδης τιμωρεῖται ἐν τῇ θαλάσσῃ. Moschop.

244. *ΣΤΡΑΤΟΝ ΕΥΡΥΝ ΑΠΩΛΕΣΕΝ.* [y]) Ἐκστρατευ-
152 σάντων δηλονότι πρὸς ἄλλους, ἢ τεῖχος ἐπιστρατευσάντων αὐτοῖς πολεμίων, ἢ νέας τριήρεις, ἢ τὰς ἐμπορικάς. Τὸ δὲ *ΝΕΑΣ*, συστολή ἐστιν, ἥ τις ὑπάρχει τῶν Ἰώνων. Tzetzes.

245. *ΤΙΝΝΥΤΑΙ.* [z]) Τιμωρεῖται. Tzetzes. [Ἐστὶ τὸ τίννυμαι καὶ ἀντὶ τοῦ λαμβάνω ποιητικῶς, ὡς παρὰ Εὐριπίδῃ τίννυμαι δίκην. MS. Schellershem. Ex Addendis.]

246. *Ω ΒΑΣΙΛΕΙΣ, ΥΜΕΙΣ ΔΕ.* Οὐκ ἔστι θεῶν ἔννοιαν [a]) ἔχοντας ἀδίκως ζῆν. Εἰκότως οὖν παρακελεύεται τοῖς βασιλεῦσι μὴ ἀπολαύειν τῆς ἐξουσίας, ἀλλ' ἐννοεῖν ὡς θεῶν καὶ δαιμόνων παρόντων πᾶσι καὶ ἐφορώντων ἡμᾶς, καὶ δῆλός ἐστιν [b]) ἐν τούτοις διαφορὰν θεῶν εἰδὼς καὶ δαιμόνων. Τὸ μέντοι ἀθάνατον, κοινὸν αὐτῶν εἶναι· οἱ γὰρ ἀθάνατοι, φησὶν, ἐγγὺς ὄντες ἡμῶν τῶν ἀνθρώπων ὁρῶσιν ἐκείνους ὅσοι σκολιαῖς χρώμενοι δίκαις καὶ κρίσεσι διεφθαρμέναις ἀλλήλους τρίβουσι, τουτέστι καταπονοῦσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες· καὶ τούτοις ἑπόμενος ἐπάγει τρισμυρίους εἶναι φύλακας τῶν ἀνθρωπίνων ἐκ τοῦ Διὸς ταχθέντας ἀθανάτους. Ἐκ δὴ τούτων δῆλον, ὅτι μόνος ἄρχει Ζεὺς τῶν θεῶν· ἄρχονται δὲ πάντες οἱ θεοί. Φύλακες δέ τινες εἰσὶ τῶν ἀνθρωπίνων ἄλλοι μετὰ θεοὺς, μεταξὺ θεῶν καὶ ἀνθρώπων ὄντες, οἵ τινες ἂν εἶεν δαίμονες, ἄλλοι τινὲς οὗτοι παρ' ἐκείνους, οὓς ἐκ τῶν ἀνθρώπων εἶπε γεγονέναι δαίμονας. Ἐκεῖνοι μὲν γὰρ θνητὸν γένος ἦσαν, τούτους δὲ ἀθανάτους εἶναί φησι· ὥστε οὗτοι μὲν κατ' φύσιαν δαίμονες· ἐκεῖνοι δὲ, διὰ τὴν πρὸς τούτους ὁμοιότητα καὶ δαίμονες ἐκλήθησαν, καὶ φύλακες ἀνθρώπων. Proclus.

Ibid. [e]) *Ω ΒΑΣΙΛΕΙΣ.* Ἀποστροφὴ τὸ σχῆμα· ἀποστρέφει γὰρ τὸν λόγον πρὸς τοὺς δικαστὰς, καί φησι, βουλεύεσθαι καὶ νοεῖν περὶ τῆς [f]) αὐτοῦ δίκης· θεοὶ γὰρ ἐφορῶσι τὰ ἀνθρώπινα, καὶ τοὺς ἀδικουμένους, καὶ τοὺς ἀδικοῦντας. Tzetzes.

y) Deest hoc Schol. Trinc.
z) Sic E. Antea τιμωρεῖ.
a) Ita B. Antea ἔχοντος.
b) ἐνταῦθα B.
e) Deest hoc Schol. Trinc.
f) αὐτῆς E. αὐτῶν F.

Ibid. *Ω ΒΑΣΙΛΕΙΣ.* Ἤγουν ὦ δικασταὶ, ὑμεῖς δὲ κατασκευάζεσθε καὶ αὐτοὶ, ἀντὶ τοῦ φράζεσθε, σκοπεῖτε τήνδε τὴν δίκην, τουτέστι τὴν τιμωρίαν. Ἐγγὺς γὰρ ὄντες τῶν ἀνθρώπων οἱ θεοὶ, ὁρῶσιν ἐκείνους δηλονότι, ὅσοι ἐν κρίσεσι σκολιαῖς, τουτέστι διεφθαρμέναις, ἀδίκοις, κατατρίβουσι, καταπονοῦσιν ἀλλήλους, οὐκ ἀλέγοντες τὴν ὄπιν καὶ ἐπιστροφὴν τῶν θεῶν, ἤγουν οὐκ ἐν φροντίδι τιθέμενοι τὸ ἐπιστρέφεσθαι τῶν θεῶν. Ἀλέγω τὸ φροντίζω, ἀλογῶ δὲ τὸ καταφρονῶ. Moschop.

Ibid. [g]) *ΚΑΤΑΦΡΑΖΕΣΘΕ.* Βουλεύεσθε, νοεῖτε. Παρολκὴ ἡ *ΚΑΤΑ*, τουτέστι περιττεύει. Tzetzes.

249. *ΤΡΙΒΟΥΣΙ.* Κατατρίβουσι, πιέζουσι, δαπανῶσιν. Tzetzes.

Ibid. *ΟΠΙΝ.* Ἐπιστροφὴν, φροντίδα, κατὰ παρασχηματισμὸν, ὃ δὲ καὶ μεταπλασμὸς καλεῖται· ἡ ὄψ γὰρ ἦν, ὀπὸς, ὄπα· οὗτος δὲ ἀπὸ εὐθείας τῆς ὄπις εἶπεν, ὄπις, ὄπιδος, ὄπιδα, καὶ ὄπιν. Tzetzes.

250. *ΤΡΙΣ ΓΑΡ ΜΥΡΙΟΙ ΕΙΣΙΝ.* Ἡ μὲν μυριὰς δηλοῖ 153
τὸν πάντα τῶν δαιμόνων ἀριθμὸν, ἐν ᾧ [h]) πάντως παραλαμβάνεται τὸ δαιμόνιον γένος· ἡ δὲ τριὰς τὸ τέλειον καὶ ἐν ὅροις ἑστὼς, πρώτοις, μέσοις, τελευταίοις. Εἰσὶ γὰρ τὰ γένη τῶν δαιμόνων τὰ μὲν λογικὰ μόνως, τὰ δὲ ἄλογα μόνως, τὰ δὲ μεταξὺ τούτων, δηλοῖ ἐξ ἀμφοτέρων, τὸ παντοδαπὸν φῦλον τῆς δαιμονίας τάξεως, ἣν φύλακα μὲν εἶναι τοῦ ἀνθρωπείου γένους, ὑπουργὸν δὲ τοῦ Διός. Διὰ τοῦτο γὰρ εἶπε ΖΗΝΟΣ, διότι ὑπηρέται πάντες οὗτοι, φύλακες δὲ θνητῶν ἀνθρώπων, ὡς ἐφεστῶτες αὐτοῖς. Proclus.

Ibid. *ΤΡΙΣ ΓΑΡ ΜΥΡΙΟΙ.* Ἀντὶ τοῦ πολλοὶ, ἢ κατὰ σύνθεσιν, ἢ κατὰ διάστασιν συλλαβῶν. [i]) Μύριοι δὲ, οἱ πολλοί· ἐκ τοῦ μύρω, τὸ πλημμυρῶ. Tzetzes.

Ibid. *ΤΡΙΣ ΓΑΡ ΜΥΡΙΟΙ.* Πολλάκις γὰρ πολλοί εἰσιν ἐπὶ τῇ γῇ τῇ τὰς πολυειδεῖς τροφὰς δωρουμένῃ. Moschop.

251. *ΑΘΑΝΑΤΟΙ ΖΗΝΟΣ.* Τὸ ἀθάνατοι ἁπλοῦν καὶ ἀπολελυμένον· οὗτος δὲ ὡς [k]) κτητικὸν ἢ ὡς πρός τι τοῦτο

g) Deest hoc Schol. Trinc.

h) πάντως A. πάντες B. Trinc. πᾶν Heins.

i) γίνεται δὲ μύριοι E.

k) Ita E. Olim Ἀττικόν. Deest hoc Scholion Trinc. ad νοεῖται τό.

ἐδέξατο, ὁ τὸν μέγαν νενικηκὼς Ὅμηρον. Καὶ οὐκ ἔχω πῶς καταγνῶ τῆς ἀπαιδευσίας τῶν τολμησάντων εἰπεῖν ὑπὸ τούτου νικηθῆναι τὸν ἡμίθεον Ὅμηρον. Οὕτω δὲ νοεῖται τὸ *ΑΘΑΝΑΤΟΙ ΖΗΝΟΣ*, μυθικῶς μὲν, οἱ μετὰ τοῦ Διὸς ὄντες οὐρανίωνες, κἂν ἀντιφάσκῃ ἑαυτῷ χθονίους τούτους καλῶν· ἀλληγορικῶς δὲ, [l]) πολλαὶ δυνάμεις καὶ ἐκδικήσεις τοῦ Ζηνὸς καὶ τῆς Εἱμαρμένης εἰσὶν ἐν τοῖς χθονίοις καὶ τοῖς καθ' ἡμᾶς πράγμασι γινόμεναι. Tzetzes.

Ibid. *ΑΘΑΝΑΤΟΙ ΖΗΝΟΣ.* Τουτέστι θεοὶ, ὑπηρέται τοῦ Διὸς, φύλακες, ἔφοροι, ἐπιστάται τῶν θνητῶν ἀνθρώπων, ἀορασίαν ἐνδυσάμενοι, ἤγουν ἀθέατοι ὄντες, ἐν παντὶ μέρει κατὰ γῆν θαμινῶς ἀναστρεφόμενοι. Moschop.

253. *ΗΕΡΑ ἘΣΣΑΜΕΝΟΙ.* Τὸ μὲν ἠέρα [m]) ἐνδεδύσθαι δηλοῖ, τὸ ἡμῖν ἀφανεῖς εἶναι καὶ ἀοράτους, ὡς ὁ ἀήρ· ἢ καὶ τὸ τὰ σώματα αὐτῶν ἀέρια εἶναι κατὰ τὴν σύστασιν, ὥσπερ τὰ τῶν θεῶν ἐμπύρια, καὶ τὰ ἡμέτερα χθόνια. Τὸ δὲ *ΠΑΝΤΗ ΦΟΙΤΑιΝ*, τὸ τὰς κινήσεις αὐτῶν ὀξείας εἶναι, καὶ τὰς ἐφοράσεις [n]) αὐτῶν δι' ὅλων διήκειν, ὧν πράττομεν, ὧν φανταζόμεθα, ὧν διανοούμεθα. Καὶ γὰρ εἰ ἀερίοις χρῶνται σχήμασιν, οὐδὲν θαυμαστὸν ὀξέως αὐτοὺς ἐπιπορεύεσθαι πανταχοῦ ὅπου περ ἂν ἐθέλωσιν. Proclus.

Ibid. [o]) *ΗΕΡΑ ἘΣΣΑΜΕΝΟΙ.* Ἢ λεπτόσωμοι καὶ ἀεροειδεῖς, ἢ ἀορασίαν ἐνδεδυμένοι· τί δὲ μὲ χρὴ περὶ τῶν αὐτῶν πολλάκις τὸν Διὸς [p]) Κόρινθον γράφειν. Tzetzes.

254. *Ἡ ΔΕ ΤΕ ΠΑΡΘΕΝΟΣ.* Παρθένος μὲν ἡ δίκη
154 τοῖς θεολόγοις εἴρηται, διότι πᾶν τὸ [q]) δικαστικὸν γένος ἀδιάφθορον εἶναι δεῖ καὶ καθαρόν· καὶ τούτου σύμβολον ἡ παρθενία. Παῖς δὲ τοῦ Διὸς, διότι νομοθέτης οὗτός ἐστι κοσμικὸς, ὡς ἄρχων καὶ βασιλεὺς τῶν ὅλων. Τὴν δὲ δικαστικὴν ἐξῆφθαι δεῖ τῆς νομοθετικῆς, ὡς τὴν ἀνθρωπίνην τῆς

l) ἀντὶ τοῦ πολλαὶ Trinc.
m) ἐνδύσασθαι B. Mox διὰ τὸ τὰ σώματα Heins.
n) om. A.
o) Deest hoc Schol. Trinc.
p) Ita E. F. H. In edd. Bas. Heins. κιόνα. Editor Basiliensis scripturam codicis, quo utebatur, non intellexit; in eo enim exstare puto vocem sic compendiose exaratam κῖ. Lineola, quae κ sequitur, non est elementum ἰῶτα, ut ille censebat, sed nota contractionem indicans. Διὸς Κόρινθος notius est proverbium quam ut explicatione egeat.
q) διδακτικὸν A. B. ἀδιάφορον B.

ἀνθρωπικῆς, καὶ τὴν θείαν τῆς θείας. *ΑΙΔΟΙΗ* δὲ καὶ r) *ΚΥΔΝΗ* παρὰ τοῖς Ὀλυμπίοις θεοῖς, ὡς πάντων κατὰ δίκην ἐνεργούντων καὶ σεβόντων αὐτὴν, ὡς πᾶσι τὸ κατ' ἀξίαν ἀπονέμουσα, ὃ δὴ μάλιστα φίλον ἐστὶ τοῖς θεοῖς. PROCLUS.

Ibid. *Ἡ ΔΕ ΤΕ ΠΑΡΘΕΝΟΣ.* Καὶ ἡ δικαιοσύνη παρθένος ἐστὶ, σὺν ταῖς δυνάμεσι τῆς Εἱμαρμένης, καὶ ἐκδικήσεσιν, s) αἷς πρὶν ἔφην. TZETZES.

Ibid. *ΔΙΟΣ ΕΚΓΕΓΑΥΙΑ.* Ἡ ἐκ τῆς Εἱμαρμένης, ἢ τοῦ οὐρανοῦ, ἢ τοῦ νοὸς γεννηθεῖσα. t) Τὸ Ζεὺς γὰρ ὄνομα πολλὰ σημαίνει, καθάπερ εἰρήκειν καὶ πρότερον. Καὶ ἡ δικαιοσύνη παῖς ἂν τῆς Εἱμαρμένης καλοῖτο, ὅτι ἐξ Εἱμαρμένης πάντα καθ' Ἕλληνας. v) Πρότερον δὲ τῶν φαύλων καθέστηκε τὰ χρηστὰ, ὧν ἓν ἡ δικαιοσύνη. Νοὸς δὲ παῖς, ὅτι οἱ ἐχέφρονες καὶ συνετοὶ τὰς δικαίας κρίσεις γεννῶσιν. Οὐρανοῦ δὲ παῖς, ὅτι ἐν τοῖς στοιχείοις καὶ τῷ παντὶ κόσμῳ, ὧν περιοχὴ τυγχάνει ὁ οὐρανὸς, ὁρᾶται τὸ δίκαιον. Ἡλίου γὰρ ὑπὸ γῆν ἐλθόντος, ἐξίσταται μὲν τὸ φῶς τῆς ἡμέρας, νὺξ δὲ ἀντ' αὐτῆς w) ὑπεισέρχεται. Καὶ ὅσα πρώην εἰρήκαμεν· ἵνα μὴ κατὰ Πρόκλον, ἐν οἷς οὐ χρὴ, μᾶλλον x) μακρηγορῶμεν. TZETZES.

Ibid. *Ἡ ΔΕ ΤΕ ΠΑΡΘΕΝΟΣ.* Ἡ δὲ παρθένος Δίκη, ἡ ἀπὸ τοῦ Διὸς γεγεννημένη, ἔνδοξος τέ ἐστι καὶ αἰδέσιμος, αἰδοῦς ἀξία παρὰ τοῖς θεοῖς οἳ τὸν οὐρανὸν οἰκοῦσι· καὶ ὅταν βλάπτῃ αὐτὴν τὶς, σκολιῶς ὀνοτάζων, ἤγουν πανούργως εὐτελίζων, αὐτίκα παρὰ τῷ Διῒ τῷ πατρὶ αὐτῆς τῷ υἱῷ τοῦ Κρόνου καθεζομένη ἀπαγγέλλει τὸν ἄδικον νοῦν τῶν ἀνθρώπων, ἵνα ἀποδῷ ὁ δῆμος τὰς ἁμαρτίας, ἀντὶ τοῦ τὴν ἁρμόζουσαν δίκην ταῖς ἁμαρτίαις τῶν βασιλέων, οἳ χαλεπὰ νοοῦντες ἀλλαχόσε παρατρέπουσι τὰς κρίσεις, διεστραμμένως αὐτὰς ἀποφαινόμενοι. MOSCHOP.

255. y) *ΘΕΟΙΣ ΟΙ ΟΛΥΜΠΟΝ ΕΧΟΥΣΙΝ.* Ἢ ταῖς 155
ψυχικαῖς δυνάμεσιν, ἢ τοῖς στοιχείοις. TZETZES.

r) κυδρὴ A. Trinc.

s) αἷς ἔφη Trinc. Mox idem νοῦ et postea τοῦ νοῦ.

t) Τὸ Ζεὺς ad δικαιοσύνη om. Trinc. Dein τῆς εἱμαρμένης δὲ παῖς ἂν καλεῖτο ἡ δίκη.

v) πρότερα Trinc. F. H.

w) ἐπισέρχεται Trinc. ubi εἰρήκαμεν γίνεται, et ἵνα μὴ ad fin. absunt.

x) Sic F. G. μακρηγοροῦμεν E. κατηγορῶμεν edd.

y) αἰδοίη δὲ ὑπάρχει τοῖς θεοῖς pro θεοῖς οἳ Ὀλ. ἔχ. Trinc.

256. *ΑΝ ΤΙΣ ΜΙΝ ΒΛΑΠΤΗι.* Ἐάν τις τὸ δίκαιον βλάπτῃ παραχαράττων. Οὕτω γὰρ βλάπτει ὁ [z]) σκολιῶς τοῦτο πράττων, καὶ διὰ πανουργίας ὀνοτάζων τὴν Δίκην, ἤγουν οὐχ ἁπλῶς λοιδορῶν, ἀλλὰ καὶ ἐξευτελίζων ὡς εὐκαταφρόνητον διὰ τὸ τοῦ δικαίου καταφρονεῖν. Ὁ γὰρ τὰ ἀγάλματα τῶν θεῶν ὑβρίζων αὐτοὺς ὑβρίζει τοὺς θεούς· ἄγαλμα δὲ τῆς Δίκης τὸ δίκαιον. Ἐὰν οὖν τὶς τοιοῦτόν τι πράττῃ, καθημένη παρὰ τῷ Διῒ ἡ Δίκη γηρύεται τὸν ἄδικον νοῦν τῶν ἀνθρώπων καὶ ἀπαγγέλλει τῷ πατρὶ, ὡς ἂν ἀπ' αὐτοῦ] δικάζειν, ταχθεῖσα καὶ κρίνειν πάντα ὅσα ἐφορᾷ ὁ Ζεύς. Δηλοῖ δὲ τὸ καθῆσθαι τὸ παρὰ τῷ θεῷ τάξιν αὐτὴν καὶ ἕδραν ἔχειν ἀμετακίνητον· ὡς καὶ ἐκεῖνόν φησιν Ὅμηρος ἐν τῇ τοῦ Ὀλύμπου κορυφῇ

ἄτερ ἥμενον ἄλλων. PROCLUS.

257. *ΟΦΡ' ΑΠΟΤΙΣΗι ΔΗΜΟΣ.* Τοῦτο ἤδη ἔργον τοῦ Διὸς, ὡς βασιλέως, κοινὴν ἐπάγειν τιμωρίαν ταῖς πόλεσιν ὑπὲρ τῶν ἀδίκων κρίσεων τῶν ἀρχόντων, [99]) οἳ παρατρέπουσι τὸ δίκαιον. Τοῦτο γὰρ δηλοῖ τὸ *ΠΑΡΑΚΛΙΝΕΙΝ*, καὶ τὸ *ΣΚΟΛΙΩΣ ΕΝΕΠΟΝΤΕΣ*, ἤτοι πανούργως λέγοντες τὰς κρίσεις, ἀντὶ ἐμφρόνων καὶ παρανόμους, ἀντὶ ἐννόμων. Διότι δὲ κοινὴν ὑπέχουσι δίκην αἱ πόλεις, εἴρηται πρότερον. Ὡς ἐπιτρέπειν οὐκ ἔδει τούτοις τὰς ἀρχάς. PROCLUS.

Ibid. [a]) *ΟΝΟΤΑΖΩΝ.* Μεμφόμενος, ἐφυβρίζων. TZETZ.

Ibid. [b]) *ΠΑΡ ΔΙΙ ΠΑΤΡΙ ΚΑΘΕΖΟΜΕΝΗ.* Ἡ τῇ Εἱμαρμένῃ, ὡς ἔφην, μοῖρα γάρ τις οὐκ εὐτυχὴς [c]) συνελαύνει τοὺς ἀδικοῦντας πρὸς ὄλεθρον· ἢ *ΔΙΙ ΚΡΟΝΙΩΝΙ*, τῷ νοΐ. Ἀδικίας γὰρ πολλάκις γενομένης, [d]) δίκαιον θυμὸν καὶ πρέποντα νοῦν οἱ ἠδικημένοι λαβόντες, σπινθῆρα μικρὸν ἐπαγαγόντες τινῶν [e]) περιστάσεων, πόλιν ὅλην ἐτέφρωσαν· ὡς Ἀχιλλεὺς τὴν Ἑλλάδα τῆς Βρισηΐδος τῇ μήνιδι. TZETZES.

259. [f]) *ΔΗΜΟΣ ΑΤΑΣΘΑΛΙΑΣ.* Συνίζησίς ἐστιν ἐν τῷ στίχῳ τούτῳ· τὸ γὰρ *ΛΗΩΝ ΟΙ* ἀντὶ τοῦ σπονδείου δέ-

z) σκολιὸς A. Trinc.

99) οἱ προτρέπουσι] Scribo οἳ παρατρέπουσι. HEINSIUS. Mox omnes libri ἀντὶ τοῦ: bis Articulum expunxit Heinsius.

a) Hoc Schol. dedi ex E. F.

b) τὸ δὲ πὰρ Δ. Trinc. ubi mox om. ὡς ἔφην.

c) προσελαύνει Trinc. et mox ἢ τῷ νῷ sine Διῒ Κρ.

d) om. Trinc. δίκαιον νοῦν καὶ πρέποντα θυμὸν E.

e) παράστασιν Trinc. et mox τὴν διὰ τὴν βρησηΐδα μήνηδι (sic) τὰ ἑξῆς δῆλα.

f) Scholion hoc deest Trinc.

χεται· συνιζάνει γὰρ τὸ *ΛΗ* καὶ τὸ *ΩΝ* εἰς μίαν μακράν. g) *ΝΟΕΥΝΤΕΣ*, νοοῦντες Αἰολικῶς καὶ Δωρικῶς· ἄλλη ἀλλαχοῦ. Tzetzes.

260. *ΠΑΡΑΚΛΙΝΟΥΣΙ.* Τὸ *ΠΑ* μακρὸν ἐδέξατο, καὶ τὸ *ΚΑΙ* βραχύ· ὢ τῆς ἀβελτηρίας τῶν τολμησάντων τοῦτον καλεῖν Ὁμήρου ἀνθάμιλλον, καὶ τῆς ἐσχάτης ἀτοπίας, καὶ 156 νικητήν! ἀλλὰ τοῦ μὲν *ΠΑΡΑΚΛΙΝΩΣΙ* τὸ *ΠΑ*, καὶ μακρὸν ἴσως δεχθήσεται δι' ὅν περ κανόνα οἱ παλαιοὶ ποιηταὶ καὶ μέτρων εἰδήμονες, καὶ αὐτὸς ἐξεπίσταμαι. iii) Κλῖναι δὲ τὸ *ΚΑΙ*, εἰ καὶ σκυτεύς τις ἐτόλμησε βραχὺ δέξασθαι, καὶ τῆς πόλεως ἂν τοῦτον ἐξέωσα, ἐν ᾗπερ διέτριβον, εἰ δυνατῶς εἶχον, ὡς μὴ τὸ τῆς τοιαύτης κακίας μύσος γένοιτο διαδόσιμον, h) πολλοῦ ἂν ἐδέησε τὸ τοῦτόν με κρῖναι Ὁμήρου ἀνθάμιλλον· ὃς ἐν πάσαις ταῖς ἐπιστήμαις, καὶ τέχναις ταῖς λογικαῖς, ἁπάντων ὑπερανέστηκεν, οὐ μόνον ἀνθρώπων, τολμῶ δὲ καὶ ἀγγέλων εἰπεῖν, εἴπερ ἄρα καὶ ἄγγελοί εἰσιν ἐπιστημονάρχαι, ἢ τεχνάρχαι. Tzetzes.

261. *ΒΑΣΙΛΗΕΣ.* Νῦν κριταί. Tzetzes.

Ibid. *ΤΑΥΤΑ ΦΥΛΑΣΣΟΜΕΝΟΙ.* Ταῦτα ἐκφεύγοντες, ὦ δικασταὶ δωροφάγοι, εὐθείας ποιεῖτε τὰς κρίσεις· τῶν διεφθαρμένων δὲ κρίσεων ἐπιλάθεσθε παντελῶς. Moschop.

g) Hinc ad ἀλλαχοῦ dedi ex E.

iii) Optarem mehercule videre Rempublicam a Tzetze constitutam: in qua publicitus leges, non de sicariis aut adulteris, sed de poetis rogarentur. In ea pro tribunali sederet ipse, qui primo omnium de Hesiodo pronunciaret, cui aqua et igni interdiceret, non propter τὰς τῶν θεῶν μοιχείας aut πολέμους, sed quod utranque syllabam in παρακλίνουσι produxisset: nam tale quid nobis verba haec denunciant. Cum ad prius quod attinet, ita peccarit et Homerus, in eo: οὐκ ἂν ἔγωγε Ἄλλα παρὲξ εἴποιμι παρακλιδόν: ad posterius vero, eodem modo princeps poetarum: ἔστασαν σάκε' ὤμοισι κλίναντες. Ut innumera ejusmodi praetermittam. Videte Dii optimi, et Boeoticae Musae, cujusmodi pugionibus sacrum Ascraei caput conficiat Graeculus agyrta: Solon grammaticorum, lex et regula syllabarum, quas nusquam observat tamen. Dubium non est quin Sibyllarum olim oracula aliquid de regno Tzetzico praedixerint: cujus cives futuri sunt τὰ συλλαβίζοντα παιδάρια, regni constitutio γραμματικοκρατία aut παιδαγωγία, ne quis novam monarchiam suspicetur: nam illa Homeri commendatio quae sequitur, ὃς ἐν πάσαις ταῖς ἐπιστήμαις, καὶ τέλος ταῖς λογικαῖς, ἁπάντων ὑπερανέστηκεν, οὐ μόνον ἀνθρώπων, τολμῶ δὲ καὶ ἀγγέλων εἰπεῖν, εἴπερ ἄρα καὶ ἄγγελοί εἰσιν ἐπιστημονάρχαι καὶ τεχνάρχαι, non modo furiosi hominis, sed etiam mali Christiani est. Heinsius.

h) πολλοῖς ἂν ἐδέησε τοσοῦτον μὴ κρῖναι ἀνθάμιλλον G. ἄν με ἐδέησε F. τέχναις pro τέλος G. Deest hoc Schol. Trinc.

263. **ΟΙ ΑΥΤΩι ΚΑΚΑ ΤΕΥΧΕΙ.** *Δαιμονίως ἀνεφθέγξατο ταῦτα τὰ ἔπη καὶ σωφρονιστικῶς. Εἰ γὰρ εἰδείημεν ἑαυτοὺς μείζονα βλάψαντες ἐξ ὧν ἄλλους βλάπτειν ἐπιχειροῦμεν, [i]) ἀφεξοίμεθα τοῦ βλάπτειν· οὐδεὶς γὰρ ἑκὼν ἂν ἑαυτὸν βλάψειε· ἀλλὰ δι' ἄγνοιαν ἁλισκόμεθα τῷ κακῷ τούτῳ, καὶ οἰόμενοι ὠφελεῖν ἑαυτοὺς βλαπτόμεθα ὑφ' ἑαυτῶν, καὶ μείζω τῷ βλάπτειν ἄλλους ἑαυτοὺς βλάπτομεν· εἰς χρή-*
157 *ματα μὲν γὰρ, εἰ τύχοι, ζημιοῦμεν ἐκείνους, ἡμᾶς δὲ αὐτοὺς εἰς τὸ κυριώτατον, τὴν ψυχήν. Τὸ γὰρ ἀδικοῦν αὐτή ἐστιν, ὁ δὲ βλαπτόμενος ἐν τοῖς ἐκτὸς ἀδικεῖται. Εἰκότως ἄρα φησὶν ἑαυτῷ κακὰ τεύχειν τῷ ἄλλῳ κατασκευάζοντα κακὸν, καὶ τὸν κακῶς περὶ ἄλλου βουλευόμενον ἑαυτῷ γίνεσθαι πρόξενον κακοῦ μείζονος· καὶ γὰρ μὴ συντελεσθεῖσα μὲν ἡ βουλὴ τὸν βουλευσάμενον ἀνιᾷ πικρῶς, συντελεσθεῖσα δὲ λωβᾶται μειζόνως. Τὸ γὰρ κακοποιεῖν μεῖζον τοῦ πάσχειν τὰ κακὰ πάντως κακόν· ὡς καὶ τὸ ἀγαθοποιεῖν μεῖζον ἀγαθὸν τοῦ πάσχοντος εὖ.* PROCLUS.

Ibid. [k]) **ΟΙ ΑΥΤΩι.** *Αὐτὸς ἑαυτῷ γίνεται βλάβης αἴτιος ὁ καταβλάπτων ἑτέρους. Οἱ βλαπτόμενοι γὰρ περὶ χρήματα, καὶ τὰ ἐκτὸς βλάπτονται· ὁ δὲ βλάπτων καὶ ἀδικῶν, εἰς τὴν ἑαυτοῦ ψυχήν. Καὶ*

ἡ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη,

τῷ αὐτῷ τρόπῳ. TZETZES.

Ibid. **ΟΙ ΑΥΤΩι ΚΑΚΑ ΤΕΥΧΕΙ ΑΝΗΡ.** *Ἑαυτῷ, ἤγουν καθ' ἑαυτοῦ, βλάβας κατασκευάζει ἀνὴρ ἄλλῳ κακὰ τεύχων, ἀντὶ τοῦ κατ' ἄλλου βλάβας κατασκευάζων. Ἡ δὲ κακὴ βουλὴ, ἡ κατ' ἄλλου δηλονότι, τῷ βουλεύσαντί ἐστι κακίστη ἤγουν πάνυ μείζονος κακοῦ πρόξενος.* MOSCHOP.

265. **ΠΑΝΤΑ ΙΔΩΝ ΔΙΟΣ ΟΦΘΑΛΜΟΣ.** *Ἄλλος μὲν τὸν ὀφθλμὸν τοῦ Διὸς εἶπεν εἶναι πᾶν τὸ μέσον γῆς τε καὶ οὐρανοῦ ἀστερόεντος· οὗτος δὲ ἁπλῶς καὶ ὁρᾷν αὐτὸν λέγει πάντα, καὶ νοεῖν πάντα, τοῦτο προσθεὶς, ἵνα μὴ τὴν ὅρασιν σωματικὴν ὑπολάβωμεν, ἀλλὰ νοερὰν [l]) καὶ θείαν καὶ προνοητικήν. Πάντα, φησὶν, ὁ Ζεὺς ὁρῶν καὶ νοῶν ὁρᾷ καὶ*

i) *ἀφεξόμεθα* A. B. Trinc. In seqq. dedi *κατασκευάζοντα* pro *κατασκευάζοντι.*

k) Deest hoc Scholion Trinc.

l) *καὶ θείαν* addidi ex A. B. Trinc. Mox *ἰάσῃ* Trinc. A.

ἐφορᾷ κατὰ τὴν ἑαυτοῦ θέλησιν, καὶ τὰ ἡμέτερα. Τίνα δέ ἐστι ταῦτα; τὴν δίκην, ἥν μοι ἀπειλεῖς, ὦ Πέρση, τὴν τῶν βασιλέων ἐν τῇ πόλει ταύτῃ πονηρὰν οὖσαν, ὁρῶν δὲ καὶ ἐφορῶν, καὶ ταύτην οὐκ ἂν ἀτιμώρητον ἐάσειε τὸν ἀδικοῦντα. PROCLUS.

Ibid. [m]) *ΔΙΟΣ ΟΦΘΑΛΜΟΣ.* Ἡ τῆς Εἱμαρμένης ἐφορατικὴ δύναμις μᾶλλον δὲ περιφραστικῶς, αὐτὴ ἡ Εἱμαρμένη. TZETZES.

Ibid. *ΠΑΝΤΑ ΙΔΩΝ ΔΙΟΣ ΟΦΘΑΛΜΟΣ.* Ἤγουν πάντα βλέπων ὁ Ζεὺς, καὶ πάντα γινώσκων, καὶ τάδε ἐπιδέρκεται, ἤγουν βλέπει, ἐὰν θέλῃ. MOSCHOP.

266. *ΟΥΔΕ Ἑ ΛΗΘΕΙ.* Τὸ μὲν λήθει ζητεῖ εὐθεῖαν, τὸ δὲ ἐέργει αἰτιατικήν. Ὀφείλων οὖν εἰπεῖν, οὐδὲ λανθάνει αὐτὸν αὕτη ἡ δίκη, ἣν ἡ πόλις ἐντὸς κατέχει, ὁ δὲ συνυπάγει τὸν λόγον τῷ ἀνταποδοτικῷ ταυτὸ δυναμένῳ τῷ ὑποτακτικῷ ἄρθρῳ· καί φησιν, οὐδὲ λανθάνει αὐτὸν ὁποίαν τήνδε τὴν δίκην καὶ τὴν κρίσιν ἡ πόλις ἐντὸς κατέχει. Τὸ τοιοῦτο δὲ σύνηθες καὶ παρὰ τῷ πεζῷ λόγῳ. MOSCHOP.

263. [100]) *ΝΥΝ ΔΕ ΕΓΩ ΜΗΤ' ΑΥΤΟΣ.* Τὸ μὲν λεγό- 158
μενον, φανερόν· εἰ μὴ ἔστι δίκη καὶ τιμωρία κατὰ τῶν ἀδίκων, μὴ δ' ἔξουσί τι πλέον οἱ δίκαιοι τῶν ἀδίκων ἐν τῷδε τῷ παρόντι, ὃ ἐφορᾷ ὁ Ζεὺς, μήτ' αὐτὸς εἴην δίκαιος, μήτε παῖς ἐμός· δίκης γὰρ οὐκ οὔσης, ὄνομα μόνον ἔσται τὸ δίκαιον. [n]) Εἰ δὲ διὰ τὸ δίκαιον καὶ αἱρετὸν κἂν μὴ ᾖ πρόνοια καὶ φευκτὸν τὸ ἄδικον, δῆλον ὅτι πᾶς οὗτος ὁ λόγος περιττός.

m) Deest hoc Scholion Trinc. Ἐφορικὴ F.

100) Ad verba illa paulo post notat Proclus locum hunc ejecisse ad septem versus Plutarchum: διόπερ ὁ *Πλούταρχος* τοὺς ἑπτὰ τούτους στίχους ἐκβάλλει, ἀπὸ τοῦ etc. Nos in eo Plutarchum non sequemur, cum sciamus totum illius loci colorem hinc deduxisse Aristophanem, qui manifeste haec expressit, tanto antiquior Plutarcho: apud quem Chremylus: Ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεὸν, Τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν Ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον. Τὸν δ' υἱὸν, ὅσπερ ὢν μόνος μοι τυγχάνει, Πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους, Εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδεέν. Ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν. Notum autem viris doctis, quas delicias ex Homeri et Hesiodi scriptis antiqua et media comoedia soleant contexere. HEINSIUS.

n) Forte, εἰ δὲ δὴ τὸ δ. Wyttenbach. ad Fr. Plut. Comm. n. 6. Mox dedi μητιόεντα pro τερπικέραυνον ex Trinc. B.

Διόπερ ὁ Πλούταρχος τοὺς ἑπτὰ τούτους στίχους ἐκβάλλει, ἀπὸ τοῦ,

Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς,—

ἕως τοῦ,

Ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία μητιόεντα,

ὡς ἀναξίους τῆς Ἡσιόδου περὶ δικαίων καὶ ἀδίκων κρίσεως. *ΑΛΛΩΣ.* *Νῦν οὖν ὁ ἀδικώτερος ἄνθρωπος τοῦ δικαίου μεῖζον ἔχει, μήτ' ἐγὼ δίκαιος εἴην, μήτ' ἐμὸς υἱός. Ἐπήγαγε δὲ τούτῳ, ἀλλὰ ταῦτα οὐ* o) *νομίζω τὸν Δία τελεῖν, τὸ τὸν ἄδικον* o) *μείζονος δίκης τῶν δικαίων τεύξασθαι, ἢ ποιήσει τὸν ἄτιμον ἐν τιμῇ. Ἰστέον δὲ, ὅτι υἱός Ἡσιόδου Μνασέας ἐστί. Φιλόχορος δὲ Στησίχορον φησὶ τὸν ἀπὸ Κλυμένης. Ἄλλοι δὲ Ἀρχιέπης.* Proclus.

Ibid. *ΝΥΝ ΔΕ ΕΓΩ ΜΗΤ' ΑΥΤΟΣ. Ὁ Πλούταρχος, καθά φησι Πρόκλος, ὀβελίζει τοὺς ἑπτὰ τούτους στίχους· ἀπὸ τοῦ ΠΑΝΤΑ ΙΔΩΝ, μέχρι τοῦ, ΑΛΛΑ ΤΑΓ' ΟΥΠΩ ΕΟΛΠΑ, ὡς* p) *ἀνάξια Ἡσιόδου, καὶ βλάσφημα. Ἐγὼ δὲ τοῦτο τὸ καθ' ὑπόθεσιν σχῆμα εἶναι ἐπίσταμαι. Φησὶ ὁ Ἡσίοδος μετὰ βαρύτητος, Μὴ εἴην μήτε αὐτὸς ἐγὼ δίκαιος, μήτε ἐμὸς παῖς· ἐπεὶ κακὸν ὑπάρχει τὸ εἶναι ἄνθρωπον νῦν δίκαιον. Εἶτα ἐπιφέρει τοῦτο τὸ καθ' ὑπόθεσιν σχῆμα· εἰ μείζονα δίκην καὶ τάξιν καὶ τιμὴν ὁ ἄδικος ἕξει. Εἶτα πεποιθότως ἐπάγει τὸν οἰκεῖον σκοπὸν, καὶ λύει τὸ ἀντιπῖπτον, λέγων· ἀλλὰ ταῦτα μὲν οὔπω ἔολπα πληροῦν τὴν Εἱμαρμένην. ΤΕΡΠΙΚΕΡΑΥΝΟΝ δὲ εἶπον ὅπως ταύτην καλεῖ.* Tzetzes.

Ibid. *ΝΥΝ ΔΕ ΕΓΩ ΜΗ Τ' ΑΥΤΟΣ. Καὶ τοῦτο ἀν-*
159 *τίστροφον θαύμασον, ὡς ἄξιον ἀνθαμίλλου Ὁμήρου, καὶ νικητοῦ ποιητοῦ.* Tzetzes.

Ibid. *ΝΥΝ ΔΕ ΕΓΩ. Ἀρξάμενος ἀφ' ἑαυτοῦ, εἶτα ὥσπερ μεταμεληθεὶς, ὡς ἀπὸ ἄλλης ἀρχῆς λαβὼν, ἐπαναλαμβάνει μὲν ἑαυτόν· προστίθησι δὲ καὶ τὸν ἑαυτοῦ υἱόν· καὶ φησὶ, Νῦν δὲ ἐγὼ, εἴθε μήτε αὐτὸς ἦν δίκαιος, μήτε ὁ ἐμὸς υἱός, ἐπεὶ κακόν ἐστιν εἶναι ἄνδρα δίκαιον, εἰ μείζω δίκην ἕξει ὁ ἄδικος, ἤγουν εἰ μείζονος ἄξιος κριθήσεται δίκης ὁ ἄδικος, τοῦ δικαίου δηλονότι. Τὸ νῦν οὕτω λέγεται, ὡσανεὶ εἴποι, εἰ μὲν τόδε*

o) Ita A. B. edd. *νομίζων.* Mox *ποιήσει* pro *ποιήσειν.* *μείζονος δίκης τ. δ.* ex A. pro vulg. *μείζονα τῶν δικαίων,* et postea

p) *ἀνάξια* E. Bas. *οὐκ ἄ.* Heins. Deest hoc Schol. Trinc.

ὁ δεῖνα ἐποίει, ἣν ἂν τόδε, νῦν δὲ οὐδὲ εἰς νοῦν τοῦτο ἔστρεψεν, οὐχ ὅτι πάντως νῦν οὐ διενοήσατο τοῦτο, ἀλλ᾽ ὅτι εἰ καὶ μὴ πρότερον ἐγινώσκετο, ὅτι οὐ διενοήσατο· ἀλλὰ νῦν δῆλος ἐστὶ μὴ διανοησάμενος, κἀνταῦθα οὐ λέγει μὴ ἐθέλειν εἶναι νῦν δίκαιος, εἰ ὁ ἄδικος πλέον ἕξει τοῦ δικαίου, ὡς κατ᾽ ἄλλον χρόνον ἄλλο ἂν ἐθελῆσαι, ἀλλὰ θέλει δηλοῦν, ὅτι νῦν φημι τοῦτο εἰ καὶ μήπω πρότερον. MOSCHOP.

269. *ΕΜΟΣ ΤΙΟΣ.* q) *Σημείωσαι τίς παῖς Ἡσιόδου. Παῖδα οἱ μὲν Μνασέα, οἱ δὲ Ἀρχιέπην, ἕτεροι δὲ Στησίχορον τὸν μελῳδὸν ἐξεδέξαντο.* TZETZES.

271. *ΑΛΛΑ ΤΑΓ᾽ ΟΤΠΩ ΕΟΛΠΑ.* Ἀλλὰ ταῦτα, ἤγουν τὸ τὸν ἄδικον μείζονα δίκην ἔχειν τῶν δικαίων, οὐδαμῶς ἐλπίζω, ἀντὶ τοῦ νομίζω, τελεῖν τὸν Δία τὸν τερπικέραυνον. Ἐλπίζω κοινὸν, ἔλπομαι παρὰ ποιηταῖς τὸ αὐτό· ἀφ᾽ ὧν ὀνόματα ἐλπὶς καὶ ἐλπωρὴ, τὸ μὲν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, τὸ δὲ ἐλπωρὴ παρὰ ποιηταῖς. Ἔλπομαι ἐνεστὼς, ἔλψομαι μέλλων, ἔολπα μέσος παρακείμενος, τροπῇ τοῦ ε τοῦ ἐν τῷ μέλλοντι εἰς ο, κατὰ τὴν ἀκολουθίαν τοῦ μέσου παρακειμένου, καὶ προσθήκῃ τοῦ ε. Δεῖ γὰρ τὸν παρακείμενον αὔξειν κατὰ τὴν ἄρχουσαν, ἀφ᾽ οὗ ὑπερσυντελικὸς ἐώλπειν κατὰ τὸ ο ηὐξημένος. MOSCHOP.

272. *ΣΤ ΔΕ ΤΑΤΤΑ.* Ὅσοι μὲν εἰς τὴν χρείαν τὴν ἀνθρωπίνην ἀνήγαγον τὸ κοινωνικὸν, οὐκ ἔλαβον ἀρχὴν ἀσφαλῆ τοῦ τῆς πρὸς ἀλλήλους ἡμῶν κοινωνίας δόγματος. Ἡ γὰρ χρεία, εἰ καὶ ἀναγκάσασα, ἀλλ᾽ οὔπω ἀγαθόν. Ὅσοι δὲ εἰς τὸ κατὰ φύσιν ἡμῖν εἶναι τὸ πρὸς ἀλλήλους δίκαιον ἀπέβλεψαν, ἀῤῥαγῆ τὴν ὑπόθεσιν ἔλαβον τοῦ τῆς κοινωνίας ἡμῶν σκοποῦ. Πάντων γὰρ τῶν κατὰ φύσιν ἕκαστον ἀγαθόν. Τοῦτο δὴ οὖν καὶ Ἡσίοδος εἰδὼς, τὸν τοῦ Διὸς νόμον ἀξιοῖ τὸν Πέρσην ὁρᾷν, τοῖς μὲν ἄλλοις ζώοις δεδωκότα ἐσθίειν ἄλληλα, καὶ τῶν ἀσθενεστέρων τὰ δυνατώτερα κρατεῖν, θοινᾶσθαί τε αὐτά· τοῖς δὲ ἀνθρώποις δικαιοσύνην σύμφυτον ἐνέσπειρε, καὶ τὸ κοινωνικὸν ἐνέθηκεν αὐτῶν τῇ φύσει. Διόπερ οἱ ἄδικοι τοῖς ἀλόγοις ἐοίκασι 101) τὴν ἀνθρωπίνην ἀπο- 160
δρῶντες r) ζωήν. Μηδεὶς οὖν προάγων s) ἡμῶν τὴν ἀλληλοφα- 53

q) *σημείωσαι τις* G. *σημαίνεται παῖς* Heins. *σημαίνει τις* Bas. Deest hoc Schol. Trinc.

101) Scribo: *τὴν ἀνθρωπίνην κοινωνίαν ἀποδρῶντες*: ut ex sequentibus apparet. HEINSIUS.

r) *ζωήν* addidi ex A.

s) An *ἡμῖν*?

γίαν τῶν θηρίων, ἀξιούτω καὶ ἡμᾶς οὕτω ζῇν. Κοινωνικὸν γὰρ ζῶον γέγονεν ὁ ἄνθρωπος, καὶ ὁ τῆς κοινωνίας αὐτῷ νόμος ἐκ τοῦ πατρὸς ἔγκειται κατὰ φύσιν. [t]) Ἀδικία δὲ πάσῃ πρὸς κοινωνίαν καὶ κοινωνίᾳ πρὸς ἀδικίαν ἔστι πόλεμος· στάσεων γὰρ αἰτία πάντων μάλιστα ἡ ἀδικία. Τὸ δὲ κοινωνικὸν ἀστασίαστον· καὶ ὀρθῶς ὁ Πλάτων εἶπεν, οὐδὲ συστῆναι δυνατὸν εἶναι τὴν ἀδικίαν χωρὶς δικαιοσύνης· δεῖν γὰρ τοὺς συναδικήσαντας, τά γε πρὸς ἀλλήλους δίκαια φυλάττειν, εἰ καὶ ἀλλήλους ἀδικοῦντας μηδὲν δύνασθαι κοινῇ ποτε πρᾶξαι. Εἰ οὖν ἄνθρωπος εἶ, φύσει κοινωνικὸν ζῶον εἶ, [v]) εἰ δὲ φύσει κοινωνικὸν ζῶον εἶ, παρὰ φύσιν σοι τὸ ἀδικεῖν. Οὐ γὰρ κοινωνίας, ἀλλὰ διασπασμοῦ τὸ ἀδικεῖν αἴτιον, τῶν ἀδικουμένων τοῖς ἀδικοῦσιν ὁμονοεῖν οὐ δυναμένων. Proclus.

Ibid. [w]) *Ω ΠΕΡΣΗ.* Ἀποστροφὴ τὸ σχῆμα. Tzetzes.

Ibid. *Ω ΠΕΡΣΗ.* Σὺ δὲ ἐν τῷ σῷ λογισμῷ ἐπιτυχῶς λάμβανε ταῦτα, καὶ τοῦ δικαίου ἄκουε, ἤγουν αἴσθησιν ἔχε· τῆς δὲ δυναστείας ἐπιλανθάνου παντελῶς· τοῦτο γὰρ τὸ,

— βίης δ' ἐπιλήθεο πάμπαν. Moschop.

273. *ΚΑΙ ΝΥ ΔΙΚΗΣ ΕΠΑΚΟΥΕ.* Καὶ νῦν τῆς κρίσεως, ἢ τῆς δικαιοσύνης ἐπάκουσον, ἤτοι [x]) καταπειθὴς ἔσο ταύτῃ. Tzetzes.

Ibid. *ΒΙΗΣ ΔΕ.* Ἤγουν πλεονεξίας καὶ ἀδικίας ἐπιλανθάνου· ἀλλὰ ταῦτα σαφῆ καὶ ἀπεραντολογίας οὐ δεῖται. Tzetzes.

274. *ΤΟΝ ΔΕ ΓΑΡ ΑΝΘΡΩΠΟΙΣΙΝ.* Ἐπαγγειλάμενος οὐκ εἶπε ποῖον νόμον. Λέγει δὲ τί τοῖς ἀνθρώποις ἐστὶν, ἵνα φύγωμεν τὰ τῶν ἀλόγων. *ΝΟΜΟΝ* δὲ *ΔΙΕΤΑΞΕ ΚΡΟΝΙΩΝ.*

t) Vide Platonem Rep. I. pp. 351. 352.

v) εἰ δὲ φ. κ. ζ. ἐ. om. B.

w) Deest hoc Scholion Trinc.

x) καταπειθὴς F. G. καταπεισθεὶς Heins.

102) Scribe: τοῦτο σήμηνον ὅτι οὐδέποτε Ὅμηρος. Illud autem σήμηνον, nota est Scholastici cujusdam, quae ex margine in textum irrepsit: studiosi enim Graecorum hanc notam praefigebant iis quae observatione digna putabant: diligenter autem observavit quisquis fuit, τὸ νόμον, esse vocem quam ignorat ἡ ποίησις: ex quo infert argumentum, περὶ τῶν ἡλικιῶν τοῖν ποιηταῖν, τοῦ τε Ὁμήρου καὶ τοῦ Ἡσιόδου: cui rei illustrandae omnia quae poterant congerebant veteres. Heinsius.

102 y) Τοῦτο σημείωσαι ὅτι οὐδέποτε[z]) Ὅμηρος νόμον εἶπε. [a]) Τὸ δὲ ΓΗΡΥΕΤΑΙ, γίνεται ἀπὸ τοῦ γῆρυς, ὃ σημαίνει τὴν φωνὴν, ἢ ἀπὸ τοῦ γέρας. PROCLUS.

Ibid. [b]) *ΤΟΝ ΔΕ ΓΑΡ ΑΝΘΡΩΠΟΙΣΙ ΝΟΜΟΝ.* Καὶ 161 τοῦτο ἄξιον ποιητοῦ νικήσαντος Ὅμηρον. Ὅμως οὐδὲν ἀπεικὸς εἰ συμμορίαν μεθύσων καὶ ἀγοραίων τινῶν περὶ αὐτὸν ἔχων Ἡσίοδος ὑπ' αὐτῶν ἐκηρύχθη νενικηκέναι τὸν Ὅμηρον, καίπερ μακροῖς τισι καὶ κατ' ἐμὲ χρόνοις ἐκείνου τυγχάνων μεταγενέστερος. Καὶ νῦν γὰρ οἱ ἀγοραῖοι καὶ σύρφακες πολλοὺς ποιητὰς μὴ δ' ἀκριβῶς τὰ μέτρα εἰδότας, ὡς τῆς αὐτῶν συμμορίας ἀνακηρύττουσι ποιητικῆς ἀκροθίνια. Ἀλλὰ ταυτὶ, παρέντες τὸν νικητὴν Ὁμήρου, καθάπερ καὶ τὰ ἔπη κιβδήλως ἐξέθετο, ἐπεξεργασαίμεθα. TZETZES.

Ibid. *ΤΟΝ ΔΕ ΓΑΡ ΑΝΘΡΩΠΟΙΣΙ ΝΟΜΟΝ.* Τὸ κατὰ μερισμὸν σχῆμα, ὁ σοφὸς οὑτοσὶ ποιητὴς, ἢ κατὰ ἄθροισιν καὶ μερισμὸν ἅμα ἐνταῦθα, οὕτως ἔμελλεν ἐξαγαγεῖν χωρὶς τοῦ ἀνθρώποισι. Τὸν δὲ γὰρ νόμον διέταξε Κρονίων, ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖσι πετεηνοῖς ἔσθειν ἀλλήλους. Καὶ τοῦτο τὸ κατὰ μερισμόν ἐστι σχῆμα, ἢ κατὰ ἄθροισιν καὶ μερισμὸν οὕτω·

Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων.

Εἶτα μερίσας τὸ ἀνθρώπους, κατ' ἄθροισιν ὂν, εἰς τομὰς, ἔμελλεν εἰπεῖν Ἕλλησι μὲν τὸ, Ῥωμαίοις δὲ τό· καὶ Ῥωμαίοις τάδε, καὶ λοιποῖς τάδε. Καὶ οὐδὲ τὸ, ἀνθρώποισι δ' ἔδωκε δίκην, ὤφελεν εἰπεῖν, ἵνα μὴ μάτην διττολογήσῃ. Καὶ οὕτως ἂν οὐδὲν εἶχεν ἁμάρτημα· νῦν δὲ τὰ ἔπη ταυτὶ δύο ἁμαρτήματα φέρει, ἀρτιγένεια καὶ ἀκμάζοντα, καὶ ὧν οὐδέποτε τῆς ἀβελτη-

y) Edd. vett. *τὸ σημεῖον*, nec e MSS. ad h. l. quicquam habeo enotatum. Vitium recte indicavit Heinsius, minus tamen bene reposuit *σήμηνον*, nam semper hoc sensu utuntur *σημείωσαι* Grammatici, de compendiosa cujus vocabuli scriptura in primis consulendus est Bastius ad Gregorium p. 215. 216.

z) Idem testatur Josephus c. Apion. II. p. 481. c. 15. Hesychius: *Νομὸς, ἀπὸ τῆς νεμήσεως. Ὁ Ποιητὴς τὸν καθ' ἡμᾶς νόμον οὐκ οἶδε, Θέμιστας δὲ καὶ Εὐνομίας λέγει· Ἀνθρώπων ὕβριν τε καὶ Εὐνομίαν.* Sic ille locus corrigendus videtur. Scholiastes Venetus ad Il. *T.* 249. *Νομὸς ὀξυτόνως, ἵνα σημαίνηται ὡς ἐν τῇ συνηθείᾳ ἡ νέμησις.*

a) Ita A. In edd. *τ. δ. γ. ἀπὸ τοῦ γῆρυς ἡ φωνή.*

b) Om. hoc et seq. Schol. Trinc.

ρίας γῆρας γενήσεται, τοῖς ποιητικῶς ἅμα καὶ ῥητορικῶς βασανίζουσι. Διὰ μὲν γὰρ τοῦ εἰπεῖν,

— ἀνθρώποισι νόμον διέταξε Κρονίων,

εἶτα ἐπενεγκεῖν,

Ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖσι,

δοκεῖ ταῦτα c) τάττειν ἐν τοῖς ἀνθρώποις. Διὰ δὲ τοῦ ἐπαγαγεῖν,

Ἀνθρώποισι δ' ἔδωκε δίκην,

φαίνεται ἀκαίρως καὶ μάτην διττολογῶν ὁ νικητὴς τοῦ Ὁμήρου, οὗ τοῖς ἔπεσιν οὐδὲ θεὸς κἂν τὴν τυχοῦσαν λαβὴν τῆς οἵας δήποτε τέχνης εὑρήσειε. Ταῦτα δ' εἴτε ὀρθῶς εἴτε κιβδήλως ἔχοντα, φησὶ πρὸς τὸν ἀδελφὸν, ἐκτρέπων αὐτὸν τῆς d) θηριώδους ἀλληλοφαγίας, καὶ τῶν ἁρπαγῶν, καὶ τῆς βίας· προτρέπων δὲ πρὸς τὸ δίκῃ πάντα ποιεῖν. Tzetzes.

Ibid. *ΤΟΝΔΕ ΓΑΡ ΑΝΘΡΩΠΟΙΣΙ ΝΟΜΟΝ.* Τοῦτον γὰρ τὸν νόμον, ὃν ἐρῶ δηλονότι, ἔταξεν ὁ Κρονίων τοῖς ἀνθρώποις· εἶτα οὐ πρὸς τοῦτο ἀποδίδωσι τὸν λόγον, ἀλλὰ κἀνταῦθα ὥσπερ μεταμεληθεὶς, καὶ ὡς ἀπ' ἄλλης ἀρχῆς λαβὼν,
162 προσθεὶς καὶ τὰ ἄλογα ζῶα τῷ λόγῳ διαιρεῖ, καὶ φησίν· ἰχθύσι μὲν καὶ θηρσὶ καὶ ὀρνέοις πτηνοῖς ἔταξε νόμον, δηλονότι ἐσθίειν ἀλλήλους· ἐπεὶ οὐ δίκη, ἤγουν δικαιοσύνη, ἐστὶν ἐπ' αὐτοῖς ἀλόγοις οὖσι· τοῖς ἀνθρώποις δὲ ἔδωκε δίκην ἔμφυτον, ἤγουν δικαιοσύνην, ἣ κατὰ πολύ ἐστιν ἀρίστη. Πετεηνὸν ποιητικῶς, κοινῶς δὲ πτηνὸν καὶ πετεινόν. Ἔσθειν παρὰ ποιηταῖς, ἐσθίειν παρὰ τοῖς κοινοῖς· διδοῖ ποιητικὸν, δίδωσι κοινόν. Moschop.

275. *ΟΙΩΝΟΙΣ.* Οἰωνοὶ κυρίως οἱ γύπες, ὡς οἶωοι, ἤτοι μόνοι δίχα συνουσίας ἄῤῥενος ᾠὰ ὑπηνέμια γεννῶντες· νῦν δὲ πάντα τὰ ὄρνεα λέγει. *ΠΕΤΕΙΝΟΝ*, παρὰ τὸ ἐν τῷ πέτεσθαι τείνειν τὸ πτερόν· *ΠΕΤΕΗΝΟΝ* δὲ, παρὰ τὸ ἐν τῷ πέτεσθαι ἄνω, οἱονεὶ τὸ ὑψιπετές· ὅθεν τὸ μὲν δίφθογγος, τὸ δὲ ἦτα γραφεῖται. Tzetzes.

278. *ΕΙ ΓΑΡ ΤΙΣ Κ' ΕΘΕΛΟΙ.* Ὃς γὰρ εἰδὼς τὰ δίκαια e) μὴ ἀποκρύπτει διὰ σκολιότητα ἤθους, ἀλλ' ἀγορεύει,

c) Ita E. G. Antea πράττειν. Mox pro λαβὴν manus ignota ad marg. exempl. Heins. ed. quod meum est, posuit βλαβήν.

d) θηριωδίας ἀλληφάγου E. Mox ἄῤῥενος addidi ex eodem.

τούτῳ καὶ ὁ παρὰ τοῦ Διὸς ὄλβος ἕπεται. Πρόσκειται δὲ τὸν γινώσκοντα τὰ δίκαια χρῆναι λέγειν αὐτὰ, διότι κατ' ἄγνοιαν τινὲς τῶν δικαίων εἴποιεν ἂν τὰ ἄδικα ὡς δίκαια, ὧν οὐκ ἄν τις μέμψαιτο τὴν προαίρεσιν, ἀλλὰ τὴν ἀμαθίαν. ΑΛΛΩΣ. Γινώσκων ὅτι ἔστι δίκη· εἰσὶ γὰρ βάρβαροι, μὴ εἰδότες τί ἐστι τὸ δίκαιον. ΟΛΒΟΣ δὲ ὁ παρὰ τῶν καρπῶν πλοῦτος. Τετραχῶς δὲ τίθησι τὴν δίκην· ποτὲ μὲν ἐπὶ τῆς σωματοειδοῦς θεᾶς, ποτὲ δὲ ἐπὶ τοῦ δικαίου, ποτὲ δὲ ἐπὶ τῆς κρίσεως, ποτὲ δὲ ἐπὶ τῆς τιμωρίας. Ἀπὸ δὲ τοῦ κῦδος γίνεται κυδρὸς καὶ κυδρὴ, ὡς ἀπὸ τοῦ ἔχθος ἐχθρός. Proclus.

Ibid. ΔΙΚΑΙ' ΑΓΟΡΕΥΕΙΝ ΓΙΝΩΣΚΩΝ. Καλῶς εἶπε τὸ ΓΙΝΩΣΚΩΝ· πολλοὶ γὰρ ἄκοντες ὁμολογοῦσι τὸ δίκαιον, καὶ δρῶσιν αὐτὸ, νομίζοντες διὰ τούτου μᾶλλον ἀδικῆσαι καὶ βλάψαι τινάς· οἷς οὐκ ἔστι χάρις, ὡς f) ἀκουσίως δράσασι τὸ δίκαιον, οὐδὲ εὐδαιμονία καὶ πλοῦτος παρὰ τῆς εἱμαρμένης δοθήσεται αὐτοῖς· οἷος ἦν g) Λακύδης ὁ Ἀργεῖος. Οὗτος γὰρ θέλων ἀνελεῖν Προμηθέα τινὰ Θετταλὸν φῦμα ἔχοντα, παίσας τῷ ξίφει παρὰ τὸ φῦμα, ἰάσατο. Καὶ h) Σμικύθης δὲ Νικάνορα διαβαλὼν τῷ Φιλίππῳ ὠφέλησε. i) Καὶ ἡμᾶς δέ τις 112) ἐκ Συννάδων διαβαλὼν τοῖς οἷς ἐθητεύομεν, ὅτι πᾶσι δόν-

e) Vulgo ἀποκρύπτῃ.

f) Ita E. H. Trinc. ἀκουσία Bas. Heins. Mox τοῖς τοιούτοις pro αὐτοῖς E. Trinc.

g) Λακύδης Trinc. Ληκίδης Bas. Λευκύδης E. Λυκίδης Heins. Mox Προμυθέα E. De hac historia vide quos laudat Wyttenbachius ad Plutarch. II. p. 89. C.

h) Σμικύνθης F. Trinc. et mox ἐφίππῳ Trinc. quam lectionem sic facete interpretatur Caelius Rhodiginus Antiq. Lectt. VII. 21. *Smicynthes Nicanora ephippo percutiens salutare intulit vulnus.* Historia est apud Plutarchum Apophth. p. 177. D. ubi Tzetzis locum praetermisit Wyttenbachius.

i) Hinc ad finem Scholii om. Trinc.

112) Male in editionibus legebatur, ἐκ συνάδων. Σύνναδα vel ex solo συνναδικῷ λίθῳ nobilissimum est oppidum τῆς μεγάλης Φρυγίας: de cujus praeclaro λατομίῳ lib. 12. Geographus. Romani lapidem Symnadicum, marmor Symnadicum, incolae λίθον Δοκιμίτην et Δοκιμαίαν dicebant, a Docimia pago, ἐπέκεινα τῶν Συννάδων: quod cum notare vellet autor urbium, mutilatus fuit. Qui, Σύνναδα, inquit, πόλις Φρυγίας· καὶ Δοκίμεια, κώμη ἐπέκεινα αὐτῆς. οἱ δ' ἐπιχώριοι Δομικίτην, καὶ Δοκιμαίαν. Quae hoc modo edenda erant: Σύνναδα, πόλις Φρυγίας. Καὶ Δοκίμεια, κώμη ἐπέκεινα αὐτῆς . . . . οἱ δ' ἐπιχώριοι Δοκιμίτην καὶ Δοκιμαίαν. Supplenda autem hoc modo: Σύνναδα πόλις Φρυγίας. Καὶ Δοκίμεια κώμη ἐπέκεινα αὐτῆς, καὶ τὸ λατόμιον: vel ὅπου τὸ λατόμιον τοῦ συνναδικοῦ λίθου· οὕτω μὲν Ῥωμαῖοι καλοῦσιν· οἱ δ' ἐπιχώριοι Δοκιμίτην καὶ Δοκιμαίαν. Non enim τὴν κώμην ita dicebant, sed Symnadicum mar-

163 τες μῆλα κυδώνια, ἡμῖν οὐ δεδώκασι· καὶ τούτου ἕνεκεν αὐτὸς δῆθεν ἠγανάκτησα, ὡς ἐκεῖνος ἐπλάσατο, [k]) ἔπεισα αὐτοὺς οὕτω προσεκτικῶς πρὸς ἡμᾶς ἀεὶ διακεῖσθαι μεθ' ὑπερβαλούσης φιλοστοργίας, ὡς καὶ τῶν ἰδίων παίδων ἐν πολλοῖς ἡμᾶς προτιμᾷν. Καὶ ἑτέρους ἔχω μυρίους ἐπενεγκεῖν, ἀλλὰ σιωπῶ, τὸν κόρον ἐκφεύγων. Tzetzes.

Ibid. *ΕΙ ΓΑΡ ΤΙΣ Κ' ΕΘΕΛΗι.* Ἐὰν γάρ τις γινώσκων τὰ δίκαια προθυμῆται ἀγορεύειν αὐτὰ, καὶ μὴ ἀποκρύπτειν διὰ σκολιότητα γνώμης, τούτῳ μὲν δίδωσιν ὁ εὐρύοπα Ζεὺς πλοῦτον· ὃς δ' ἂν ἐν μαρτυρίαις, εἰδὼς δηλονότι, τὰ δίκαια ἀποκρύψῃ καὶ ἑκὼν ψεύσεται, ἀντὶ τοῦ ψεύσηται, ὅμοιον τῷ, ἵνα εἴδομεν, ἐπίορκον ὀμόσας. Moschop.

280. *ΟΣ ΔΕ ΚΕ ΜΑΡΤΥΡΙΗιΣΙΝ.* Οὗτός ἐστιν ὁ ἀντίθετος τῷ εἰδότι τὰ δίκαια καὶ μὴ κρύπτοντι, ὁ ἑκὼν ψευδόμενος καὶ μαρτυρῶν τοῖς ἀδίκοις, καὶ ὀμνὺς καὶ ἐπιορκῶν, διὰ πονηρὰν πρόθεσιν. Τούτου οὖν τοῦ τὰ ψευδῆ μαρτυροῦντος ἑκουσίως εἰδότος τἀληθὲς ὁ τρόπος μιαρός. Proclus.

Ibid. *ΟΣ ΔΕ ΚΕ ΜΑΡΤΥΡΙΗιΣΙΝ ΕΚΩΝ.* Ὥσπερ ὁ μὴ ἀκουσίως, ἀλλὰ μετὰ γνώμης τὸ δίκαιον δρῶν, [l]) εὐδαιμονίας παρὰ τῆς εἱμαρμένης τυγχάνει, οὕτω πάλιν ἀντιθέτως,
164 ὁ μετὰ [m]) γνώμης ἐπίορκος ὀμνύων, καὶ αὐτὸς τυγχάνει τιμωρίας, καὶ εἰς τοὺς ἀπογόνους αὐτοῦ ἀφανισμὸς ὕστερον καὶ [n]) ἀνωνυμία ἐπέρχεται. Καὶ ταῦτα δὲ τὰ ἔπη ἄξια νίκης Ὁμή-

mor. Idem auctor in *Δοκίμειον*. *Δοκίμειον, πόλις Φρυγίας, ὡς Εὐδαίμων. Τὸ ἐθνικὸν Δοκιμεύς, κατὰ τέχνην. Κατὰ δὲ τὴν συνήθειαν, Δοκιμηνός· ἀφ' οὗ τὰ μάρμαρα οὕτω φασί.* Locus quem supplevimus, ex Geographo *κατὰ λέξιν* descriptus fuit. qui lib. 12. *Σύνναδα δ' ἐστὶν οὐ μεγάλη πόλις· πρόκειται δ' αὐτῇ ἐλαιόφυτον πεδίον, ὅσον ἑξήκοντα σταδίων. Ἐπέκεινα δ' ἐστὶ Δοκιμία κώμη, καὶ τὸ λατόμιον τοῦ Συνναδικοῦ λίθου· οὕτω μὲν Ῥωμαῖοι καλοῦσιν· οἱ δ' ἐπιχώριοι Δοκιμίτην καὶ Δοκιμαίαν.* Sed ad rem. Fuit igitur *Συνναδεὺς* qui nostro Graeculo intentavit hanc non dicam *συκοφαντίαν*, sed *μηλοφαντίαν*. Haec videlicet fabella ad intellectum Hesiodi necessaria erat. Et hic est qui in Hesiodo et Proclo *πολυλογίαν* explodat, cum nobis stultissimas fabellas, tanquam rem mirificam, vendat, non aliter quam Prodicus in mediis orationibus, cum discipulos suos dormitantes videret, aliquid *τῆς πεντηκονταδράχμου* afferebat. Heinsius. *κυράδων* pro *Συνάδων* F.

k) *ἔπεισεν* F. mox *ἑκατὸν* pro *ἐκεῖνος* G.

l) *εὐδαιμονίαν — ἐντυγχάνει* Bas. *εὐγνωμόνως π. τ. ἑ. τ. τιμωρίας* F.

m) Ita E. *γ. ἐπιόρκου* Trinc. *γ. ἐπιόρκως* G. H. *ἐπιόρκων* sine *γνώμης* Bas. Heins.

n) *ἀνομοία* Trinc. *καὶ ταῦτα* ad fin. om. Trinc.

ρου, καὶ προσεκτέον τῷ o) στεφάνῳ. Ἄκαιρον ἔχουσι τὴν διττολογίαν τὰ ἔπη, ὡς πολλαχοῦ·

— εἰ γάρ τίς κ' ἐθέλῃσι τὰ δίκαι' ἀγορεύειν,

καὶ τὸ,

Ἀνδρὸς δ' εὐόρκου γενεὴ, —

οὐκ ἄρα τὸ αὐτὸ εἰσὶν ἄμφω. Ἀλλ' ὅμως καὶ τοιαῦτα συγγεγραφὼς, τοῖς κατὰ τὸν κωμικὸν p) κολοκύντας λημῶσι ἐπεκρίθη νικᾷν τὸν θειότατον Ὅμηρον. Ὦ τῆς ἀβελτερίας! ὢ τῆς ἀνοίας! ὢ τῆς ἀπαιδευσίας! ὢ λόγου ἀρετὴ καὶ παιδεία, οὐχὶ δακρύετε; καὶ σὺ δὲ ἥλιε στύγνασον τοῖς τούτων ληρήμασι, καὶ τῇ ἀβλεψίᾳ τῇ τῶν ἀνδρῶν. Tzetzes.

281. *ΕΝ ΔΕ ΔΙΚΗΝ ΒΛΑΨΑΣ.* Ὃς ἂν ψευδῆ μαρτυρήσας ἑκὼν ἀποκρύψῃ τὸ δίκαιον, καὶ ὅρκον προσθεὶς νήκεστον βλάβην καὶ ἀνίατον ὑπομείνῃ διὰ τῆς ψευδομαρτυρίας καὶ ἐπιορκίας, ἀμαυροτέρα ἡ τούτου γενεὰ γίνεται, ὡς τοῦ εὐόρκου ἀμείνων ἡ γενεά. Τὰ γὰρ τῶν πατέρων ἀδικήματα χραίνει καὶ τοὺς ἐκγόνους αὐτῶν, καὶ εὐνούχους ἀποφαίνει ταῖς τιμωρίαις· καὶ γὰρ ὀνείδη καὶ ἀδοξίαι ἐκ τῶν ἀδικιῶν συμβαίνουσι, καὶ τίσεις ἐκ τῶν ἁμαρτημάτων ἀπολαμβάνοντες, ὧν ἔσχον ἀδικήσαντες οἱ πατέρες αὐτῶν, συναπολαύουσι τῶν ὀφειλομένων ἐκείνοις κολάσεων q) ἀνθ' ὧν ἠδίκησαν. Ἄλλως δὲ γινώσκει τὸ θεῖον, ὡς τοῖς ἤθεσιν αὐτῶν ἐμπέφυκέ τι τῆς ἀδίκου τῶν γεννησάντων προαιρέσεως κἂν ἡμᾶς λανθάνωσι, καὶ εἰκότως ταύτην ἐν αὐτοῖς ὁρῶντες τὴν ῥίζαν ἐκκόπτουσι διὰ τῶν τιμωριῶν, καὶ τοῦ μὴ ἐνεργῆσαι κωλύουσιν, ὡς ἰατροὶ προκαθαίροντες τινὰς ὧν ὑφορῶνται νόσους. Proclus.

Ibid. *ΕΝ ΔΕ ΔΙΚΗΝ ΒΛΑΨΑΣ.* Ἡ ἐν περισσὴ, ἀντὶ τοῦ δίκην δὲ βλάψας ἀνιάτως ἐβλάβη. Νήκεστον καὶ νώνυμον r) οἱ ποιηταί· οἱ δὲ κοινοὶ ἀνήκεστον καὶ ἀνώνυμον. Ἐπίορκος ὁ τῶν ὅρκων καταφρονῶν, εὔορκος ὁ ἀντικείμενος τούτῳ. Moschop.

o) Ita E. F. G. κειμένῳ edd. Τὸ κείμενον significat verba scriptoris sive textum, ad discrimen scholiorum.

p) Aristoph. Nub. 326. κολοκύντας dedi ex G. H. Bas. κολοκύνταις Heins. κολοταύτας F.

q) ἀνθ' ὧν ἠδ. om. A. B. Dein Ἄλλως. γινώσκει δὲ B.

r) οἱ ποιηταὶ — ἀνώνυμον addidi ex B.

282. s) *ΑΜΑΥΡΟΤΕΡΗ.* Καὶ μαυροτέρη, ἡ ἀφανής. Tzetzes.

Ibid. *ΤΟΥ ΔΕ Τ' ΑΜΑΥΡΟΤΕΡΗ ΓΕΝΕΗ.* Τούτου δὲ ἡ γενεὰ μετ' αὐτὸν ὕστερον ἀμαυροτέρα λείπεται, ἀντὶ τοῦ ἀμαυρὰ, ἤγουν σκοτεινὴ, ἀφανής. Moschop.

165 283. t) *ΑΝΔΡΟΣ Δ' ΕΥΟΡΚΟΥ ΓΕΝΕΗ.* Τοῦτο ἐστὶν ἡ ἄκαιρος διττολογία. Ἄνω γὰρ εἶπεν,

— εἰ γάρ τις κ' ἐθέλησι τὰ δίκαι' ἀγορεύειν,

νῦν δὲ,

Ἀνδρὸς δ' εὐόρκου. —

Εὔορκος δὲ καὶ δίκαι' ἀγορεύων, νῦν ὁ αὐτός ἐστιν. Οὐ γὰρ λέγει περὶ τοῦ καλῶς ὀμνύοντος, ἀλλὰ τοῦ ἁπλῶς ἀγαθοῦ καὶ δικαίου. Tzetzes.

Ibid. *ΑΝΔΡΟΣ Δ' ΕΥΟΡΚΟΥ.* Τοῦ ἀνδρὸς δὲ τοῦ εὐόρκου ἡ γενεὰ μετ' αὐτὸν ὕστερον ἀμείνων, ἀντὶ τοῦ λαμπρά. Σοὶ δ' ἐγὼ ἐσθλὰ καὶ ἀγαθὰ νοῶν, ἐρῶ καὶ εἴπω ταῦτα μεγάλα ἀνόητε Πέρση. Moschop.

284. *ΣΟΙ Δ' ΕΓΩ ΕΣΘΛΑ ΝΟΕΩΝ.* Κάλλιστα τὸ φιλόσοφον ἦθος οἷόν ἐστιν εἶπεν διὰ τούτων ὁ v) Πλούταρχος δηλοῦσθαι. Τὸν μὲν γὰρ Ἀρχίλοχον καὶ τὸν Ἱππώνακτα βλασφημίας συγγράψαι κατὰ τῶν λυπησάντων· Τιμοκράτην δὲ καὶ Μητρόδωρον τοὺς Ἐπικουρείους, ἀδελφοὺς ὄντας καὶ προσκρούσαντας ἀλλήλοις, ἐκδοῦναι κατ' ἀλλήλων συγγράμματα. 103) Καὶ τί δεῖ τούτους λέγειν; ὅπου γε καὶ Ξενοφάνης διά δή τινα πρὸς τοὺς κατ' αὐτὸν φιλοσόφους καὶ ποιητὰς μικροψυχίαν, σίλλους ἀτόπους w) ἐκθεῖναι λέγεται κατὰ πάντων φιλοσόφων καὶ ποιητῶν. Ἀλλὰ τὸν ὄντως μουσικὸν Ἡσίοδον μηδὲν τοιοῦτο παθεῖν· οὐ γὰρ μουσικοῦ τὸ μελαγχολᾶν· λυπηθέντα δὲ πρὸς τὸν ἀδελφὸν, ἀντὶ τοῦ βλασφημεῖν, νουθετεῖν, εἰδότα τοῦτο δὴ τὸ τοῦ Σωκράτους, x) ὅτι πᾶς ὁ κακὸς, ἄκων ἐστὶ κακός·

s) Deest hoc Scholion Trinc.

t) Deest hoc Scholion Trinc.

v) Fragment. Comm. Hesiod. sect. 7.

103) Et in his Homerum et Hesiodum depinxit. Laertius: γέγραφε δὲ καὶ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα: ad Philosophos quod attinet, ἀντιδοξάσαι τε Θαλῇ καὶ Πυθαγόρᾳ, καθάψασθαι δὲ καὶ Ἐπιμενίδου cum narrat. Heinsius.

w) συνθεῖναι A. λέγεται om. A. Trinc. Mox πρὸς τοῦ ἀδελφοῦ B.

δεῖται οὖν νουθεσίας, καὶ ἴσως ἐπιγνώσεται ἑαυτὸν ὄντα κακόν. Proclus.

Ibid. *ΜΕΓΑ ΝΗΠΙΕ ΠΕΡΣΗ.* Καλῶς αὐτὸν οὕτω καλεῖ, ὡς εὐδιακρίτου μὲν καὶ [y]) εὐεπιγνώστου τῆς δικαιοσύνης οὔσης, αὐτοῦ δὲ ἀδικίαις ἠσχολημένου καὶ ἁρπαγαῖς· μιγνύει δὲ τῇ παραινέσει καὶ ὄνειδος. Tzetzes.

285. *ΤΗΝ ΜΕΝ ΤΟΙ ΚΑΚΟΤΗΤΑ.* Τὸ μὲν ἕπεσθαι τὰς κακίας ἀλλήλαις, ὥσπερ καὶ τὰς ἀρετὰς, ψεῦδός ἐστιν. Ἀρεταὶ μὲν γὰρ ἐναντίαι οὐκ εἰσὶ, κακαὶ δὲ ἐναντίαι εἰσί· τὰ δ' ἐναντία ἀλλήλοις οὐχ ἕπεται. Τούτου δὲ ὄντος ψευδοῦς, οὐκ ἀποδεκτέον τὸ, Ἰ*ΛΑΔΟΝ*, ὡς [z]) Πλούταρχος ἐξηγήσατο, τὸ πᾶσαν ἐγκολπίσασθαι κακίαν ὁμοῦ δηλοῦν· ἀλλὰ τὸ, ἑκάστην ἀθρόαν λαβεῖν, μὴ 166
κατὰ μικρὸν ὑποφερομένην, ἀλλ' ὁμοῦ πᾶσαν ἐφελκόμενον· οἷον ἀκολασίαν ὅλην, ἅμα καὶ ἀδικίαν ὡσαύτως. Διὸ καὶ Ἰ*ΛΑΔΟΝ* εἶπε, δηλῶν ὡς οὐ μόνον κατὰ βραχὺ κακωθῆναι τινὰς δυνατὸν, ἀλλὰ καὶ ἀθρόως. Καὶ τὴν αἰτίαν προσέθηκεν, ὅτι ἐγγὺς ἡμῶν ἡ κακία, καὶ ἡ ἐπ' αὐτὴν ὁδὸς ὀλίγη, καθάπερ ἡ πρὸς τοὺς ἐγγὺς οἰκοῦντας. Αἴτιον δὲ τοῦ ἐγγὺς ἡμῶν αὐτὴν οἰκεῖν, τὸ τὴν γένεσιν τόπον εἶναι τῶν κακῶν. Ὥσπερ οὖν τῶν ἐν λοιμώδει τόπῳ κατοικούντων ἐγγὺς κατοικοῦσιν αἱ νόσοι, οὕτω δὴ καὶ τῶν ἐν γενέσει ψυχῶν ἐγγὺς οἰκεῖν τὴν κακίαν ἀληθὲς, ἧς ἐστιν οἶκος ἡ γένεσις. Τὴν δ' αὖ ἀρετὴν [a]) οὐκ οὖσαν τῇ γενέσει σύμφυλον, ἀλλὰ τοῖς ἔξω τῆς ὑλικῆς [b]) στάσεως, εἰκότως φησὶ πόῤῥω μὲν οἰκεῖν ἡμῶν, ἱδρῶτα δὲ πρὸ ἑαυτῆς εἶναι ὑπὸ τῶν θεῶν τεθέντα, δι' οὗ χρὴ πρὸς αὐτὴν ἐλθεῖν καὶ πόῤῥω οὖσαν ἑλεῖν, ἐπίπονον οὖσαν τὴν θήραν αὐτῆς καὶ δυσέφικτον, καθὰ τὰ ἑξῆς δηλοῖ. Proclus.

Ibid. *ΚΑΙ ΙΛΑΔΟΝ ΕΣΤΙΝ ἙΛΕΣΘΑΙ.* Ἰλαδὸν, καθ' ὁλοκληρίαν. Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι κἂν ἐπίκτητος ἡμῖν ἡ κακία, ὅμως πάνυ ῥαδίως καὶ ἀκαριαίᾳ ῥοπῇ καθ' [c]) ὁλοκληρίαν ἐπικτᾶται, καὶ οὐχ ὥσπερ ἡ ἀρετὴ δυσπόριστός ἐστι καὶ χρονία. Ἅπαξ γάρ τις κεκλοφὼς τὴν κλεπτικὴν κακίαν καθ' [d]) ὁλοκληρίαν καὶ ἀκαριαίως ἐκτήσατο, καὶ

x) Hujus sententiae meminit supra v. 15.
y) Sic Trinc. ἐπιγνώστου Bas. Heins. Mox καὶ ὄν. Trinc. pro τὸ ὄν.
z) Comm. Hesiod. Fragm. 8.

a) οἰκοῦσαν B.
b) τάξεως B.
c) ὁλοκλήρου E.
d) ὁλοκλήρως Trinc. ὁλοκλήρου ἐπικ. κ. ἀ E.

[e]) τὴν μοιχικὴν δὲ ὁμοίως, καὶ τὰς λοιπάς· ἡ ἀρετὴ δὲ ὡς ἔφημεν, χρονία καὶ δυσχερής. Τυχὸν γάρ τις ἐθέλει γραμματικὴν ἀρετὴν ἐπικτήσασθαι, καὶ οὐκ εὐθέως αὐτῆς γίνεται μέτοχος, ἀλλὰ πρότερον αὐτὸν ἐκδίδωσι τοῖς στοιχειώδεσι γράμμασιν, εἶτα ταῖς συλλαβαῖς, καὶ τῇ λοιπῇ παιδείᾳ, ἔπειτα τῇ [f]) Διονυσίου βίβλῳ προσέχων, καὶ τοῖς Θεοδοσίου κανόσι καὶ ποιηταῖς· εἶτα σχεδογραφίας ἀπάρχεται· καὶ πολλὰ πολλοῖς μογήσας τοῖς χρόνοις, μόγις τὴν ἀρετὴν ἐπικτᾶται. Tzetzes.

Ibid. *ΤΗΝ ΜΕΝ ΤΟΙ ΚΑΚΟΤΗΤΑ.* Τὴν μὲν κακίαν. *ΚΑΙ ΙΛΑΔΟΝ ΕΣΤΙΝ ἙΛΕΣΘΑΙ.* Ἀντὶ τοῦ ἀθρόως ἑκάστην ἑλεῖν, ἤγουν λαβεῖν ῥᾳδίως. Ὀλίγη μέν ἐστιν ἡ ὁδὸς ἡ ἐπ᾽ αὐτὴν δηλονότι, λίαν δὲ ἐγγὺς, ἤγουν πλησίον οἰκεῖ. Κακότης ἡ κάκωσις καὶ ἡ κακία· ἔστι δὲ ἡ λέξις ποιητική· ἐγγύθι ποιητικῶς, ἐγγὺς κοινῶς. Moschop.

286. *ΟΛΙΓΗ ΜΕΝ ὉΔΟΣ, ΜΑΛΑ Δ᾽ ΕΓΓΥΘΙ ΝΑΙΕΙ.* [g]) Προσωποποιεῖ τὴν κακίαν καὶ ἀρετὴν, καὶ οἰκίας αὐτῶν ὑποδείκνυσι καὶ ὁδούς· τῆς μὲν κακίας [h]) ὀλίγην, διὰ τὸ,
167 ὅπερ ἔφην, εὐπόριστον· τῆς δ᾽ ἀρετῆς μακρὰν καὶ ὀρθίαν, διὰ τὸ πόνου καὶ χρόνου προσδεῖσθαι, ἣν ὕστερον καὶ ῥᾳδίαν εἶναί φησι, διὰ τὸ γλυκεῖαν καὶ εὔκολον εἶναι αὐτὴν μετὰ τὴν ἐπίκτησιν. Ὅθεν καὶ [i]) Κόϊντος προσωποποιεῖ αὐτὴν ἐπὶ τραχέος λόφου καὶ ὑψηλοῦ, [k]) ἐπάνω φοίνικος δένδρου καθιδρυμένην· τὸ ἐπίπονον πάντως καὶ χρόνιον καὶ αὐτὸς ἐνδεικνύμενος, ἢ αἰνιττόμενος. Tzetzes.

287. *ΤΗΣ Δ᾽ ΑΡΕΤΗΣ.* Τὴν ἀρετὴν δὲ προπάροιθεν, ἤγουν ἔμπροσθεν, ἔθηκαν οἱ ἀθάνατοι θεοὶ ἱδρῶτα, ἀντὶ τοῦ κόπου. Moschop.

288. *ΜΑΚΡΟΣ ΔΕ ΚΑΙ ΟΡΘΙΟΣ.* Μακρὸς μὲν οἶμος, εἰκότως· ὅσον γὰρ θεὸς ὕλης, τοσοῦτον ἀρετὴ κακίας διέστηκεν· εἴπερ ἀρετὴ μέν ἐστιν ἐν τῷ συνεῖναι θεῷ· κακία δὲ, ἐν τῷ ζῆν ἐν ὕλῃ. Μακρὸς δὲ ὢν, καὶ ὄρθιός ἐστιν ὡς εἰς τὸ ἄναν-

e) *τὴν τῆς μοιχείας* Trinc. *τυχὸν* ad finem Scholii om. Trinc.

f) Innuit Dionysii Thracis Grammaticen, quam edidit Bekkerus Anecdot. T. II. p. 629.

g) Ita Trinc. et MSS. *προσωποποιεῖται* Bas. Heins.

h) *ὀλίγους* Bas. *ὅπερ ἔφην* om. Trinc.

i) Vid. Quint. Cal. XIV. 195. sq.

k) *καὶ ἐπ. — καθεζομένην.* Trinc. *ἐνδεικνύμενος ἢ* om. E. F. Trinc.

τες ἀνάγων ἡμᾶς· ἄνω γὰρ ἀρετὴ, κάτω δὲ ἡ κακία· τραχὺς δ' αὖ ὁ οἶμος, ὡς δύσβατος. Χρὴ γὰρ πολλὰ μὲν ὧν ἀγνοοῦμεν μαθεῖν, οἷς τὴν πρώτην δυσκόλως ἐπιβάλλομεν, πολλὰ δὲ ἀποθέσθαι ἔθη πονηρὰ ὧν δυσαποσπάστως ἔχομεν συντρόφων ἡμῖν ὄντων· ὅλως δὲ διὰ πολλῶν ὁδεῦσαι καὶ ἐπιπόνων ἀσκήσεων· πρὸς ἃς ἀπιδὼν, τραχὺν εἶπεν εἶναι τὸ πρῶτον τὸν οἶμον. [104]) Τέλος δέ φησιν, ἐπειδὰν εἰς τὸ ἄκρον ἔλθῃ τῆς πορείας, [l]) ῥᾳδία λοιπὸν ἡ ἀρετὴ, καὶ ταῦτα οὖσα χαλεπὴ, καὶ δυσέφικτος. Ζῶσι γὰρ οἱ τὴν ἀρετὴν ἔχοντες ἤδη μετ' εὐφροσύνης, καὶ ἔοικεν Ἡσίοδος πρὸ [m]) Πλάτωνος εἰπεῖν, ὅτι οὐ μόνον ἄριστος, ἀλλὰ καὶ ἥδιστος ὁ κατ' ἀρετὴν βίος. Ἡ γὰρ μετὰ ῥᾳστώνης ζωὴ τὴν εὐφροσύνην δηλοῖ τῆς τοιαύτης ἕξεως. Μὴ οὖν ἀποφευγέτω τὶς διὰ τοὺς πόνους τὴν τῆς ἀρετῆς ἄσκησιν, πρῶτον μὲν ἐννοῶν, ὅτι ἄτοπον ἵνα τέχνην μέν τινα κτησώμεθα, τοὺς διὰ τὴν κτῆσιν αὐτῆς πόνους ὑπομένειν, ἢ ἵνα ἄλλου τινὸς τῶν ἀναγκαίων τύχωμεν· ὅπως δὲ τὴν τῆς ἀρετῆς κτησώμεθα, τὴν τελειότητα μόνην οὖσαν ἡμῶν, μὴ αἱρεῖσθαι τοὺς δι' αὐτὴν πόνους, δι' ὧν μέλλομεν ὠνεῖσθαι τὴν ἀρετῆς κτῆσιν. Ἔπειτα τοῦτο σκοπεῖν, ὅτι τοῖς μὲν τὴν φύσιν ἀσθενῆ λαχοῦσιν οἱ προτεινόμενοι πόνοι δειλίαν ποιοῦσι καὶ φυγάδας αὐτοὺς ἀποφαίνουσι τῶν τῆς ἀρετῆς ἐπιτηδευμάτων· τοῖς δὲ φύσει γενναίοις μείζων ἔρως ἐγγίνεται τούτων, ὧν τὴν θήραν οὐκ εὐπετῆ, μετὰ πολλῶν δὲ ἱδρώτων μόνως τοῖς ἀνθρώποις ἀκούουσι παραγίνεσθαι. Διὸ καὶ Πλάτων παρακελεύεται χρῆναι τοῖς προσιοῦσι φιλοσοφίας ἕνεκα παραδεικνύναι τὸ ἐπίπονον τῆς τοιαύτης ζωῆς, διὰ πεῖραν τῆς ἀγεννοῦς, καὶ γενναίας φύσεως. Πρὸς δὲ τούτοις, ὅτι τῶν 168
μετὰ πόνων κτηθέντων ἡδίων ἡ ἀπόλαυσις, τῶν δὲ μετὰ εὐπετείας ὡς ἡ λῆψις πρόχειρος, οὕτω καὶ ἡ καταφρόνησις· διόπερ, ὡς ἔοικεν, ἡ ἀρετὴ μάλιστα τίμιον πολλῶν δεομένη πόνων· καὶ οἱ λαβόντες φιλοχωροῦσιν ἐν αὐτῇ, τοὺς ἱδρῶτας

104) Mirum non legisse Proclum suo tempore, in Hesiodico versu ἵκηαι, quemadmodum emendavimus, sed ἵκηται. Heinsius.

l) ῥᾳδία dedi ex A. ῥᾳδίως B. et edd.

m) Plato Legg. V. p. 734. D. ὥστε ἡδίους εἶναι τοὺς βίους τῶν ρίων, σώφρονα καὶ ἀνδρεῖον καὶ φρόνιμον καὶ ὑγιεινὸν δειλοῦ καὶ ἄφρονος καὶ ἀκολάστου καὶ νοσώδους, καὶ ξυλλήβδην τὸν ἀρετῆς ἐχόμενον κατὰ σῶμα ἢ καὶ κατὰ ψυχὴν τοῦ τῆς μοχθηρίας ἐχομένου βίου ἡδίω τε εἶναι καὶ τοῖς ἄλλοις ὑπερέχειν ἐκ περιττοῦ κάλλει καὶ ὀρθότητι καὶ ἀρετῇ καὶ εὐδοξίᾳ.

οὓς ὑπέμειναν εἰδότες, καὶ προέσθαι μὴ βουλόμενοι πρᾶγμα διὰ μυρίων πόνων κτηθὲν, ἀλλ' ἀπρὶξ ἔχονται, ὥσπερ δυσθήρατον, οὕτω καὶ δυσαφαίρετον αὐτὴν ἀποφαίνοντες. Proclus.

Ibid. ΜΑΚΡΟΣ ΔΕ ΚΑΙ ΟΡΘΙΟΣ ΟΙΜΟΣ ΕΠ' ΑΥΤΗΝ. Ἤγουν ἐπιπολὺ παρατεινομένη καὶ ἀνάντης ὁδὸς ἐπ' αὐτὴν ἄγει, καὶ τραχεῖα καὶ σκληρὰ τὸ πρῶτον· ἐπειδὰν δὲ εἰς τὸ ἄκρον ἔλθῃ τῆς πορείας, ῥᾳδία δὴ ἔπειτα ὑπάρχει ἡ ἀρετὴ, καί περ οὖσα χαλεπὴ, ἤγουν δυσέφικτος. Moschop.

291. m) ΟΥΤΟΣ ΜΕΝ ΠΑΝΑΡΙΣΤΟΣ. Ζήνων μὲν ὁ Στωϊκὸς ἐνήλλαττε τοὺς στίχους, λέγων·

Οὗτος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται,
Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς αὐτῷ πάντα νοήσει,

τῇ εὐπειθείᾳ τὰ πρωτεῖα διδοὺς, τῇ φρονήσει δὲ τὰ δευτερεῖα. Ἀρίστιππος δὲ ἀπ' ἐναντίας ὁ Σωκρατικὸς ἔλεγε, τὸ n) συμβούλου δεῖσθαι χεῖρον εἶναι τοῦ προσαιτεῖν. Ὁ δὲ Ἡσίοδος τοῦ μέτρου μάλιστα τυγχάνει, τρεῖς ἕξεις διελὼν, τὴν ἔμφρονα, τὴν ἀνόητον, τὴν μέσην· ὧν ἡ μὲν ἀρίστη καὶ τῷ θείῳ παραπλησία· καὶ γὰρ τὸ θεῖον αὔταρκες· ὥστε καὶ ὁ ἑαυτῷ πάντα νοῶν καὶ προορῶν ὅσα ἂν ᾖ καὶ εἰς τὸν ἔπειτα χρόνον ἀμείνω· ἡ δὲ φευκτοτάτη, τὸ μήθ' ἑαυτῷ δύνασθαι τὰ ὀρθὰ λογίζεσθαι, μήτ' ἄλλοις ἕπεσθαι συμβούλοις ἐθέλειν· μέση δὲ τούτων ἡ τοῦ συνορατικοῦ μὲν τῶν ἀμεινόνων οὐκ οὖσα δύναμις, ἐπακολουθητικὴ δὲ τοῦ συνορῶντος. Καὶ ταῦτα μὲν οὕτως ἔχει· μάλιστα δὲ ἄξιον ἐπαίνου τὸ εἰπεῖν τί τοῦ ἔμφρονος ἴδιον· οὐ γὰρ τὸ τὰ

m) Idem notat Laertius, apud quem versus paulo aliter leguntur: φασὶ δὲ καὶ πρῶτον καθῆκον ὠνομακέναι, καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι· τούς τε Ἡσιόδου στίχους μεταγράφειν οὕτω, Κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται· Ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς αὐτὸς πάντα νοήσει· κρείττονα γὰρ εἶναι τὸν ἀκοῦσαι καλῶς δυνάμενον τὸ λεγόμενον, καὶ χρῆσθαι αὐτῷ, τοῦ δι' αὐτοῦ τὸ πᾶν συννοήσαντος. Τῷ μὲν γὰρ εἶναι μόνον τὸ συνεῖναι· τῷ δ' εὖ πεισθέντι προσεῖναι καὶ τὴν πρᾶξιν. Eustath. ὅτι Ἡσιόδῳ μὲν δοκεῖ ἐκεῖνον πανάριστον εἶναι, ὃς ἑαυτῷ πάντα νοεῖ, πρὸς ἰδιώτην λαλοῦντι, δευτερεύειν δὲ τὸν ὃς ἂν ἑτέρῳ εὖ εἰπόντι πίθηται. Εἰ καί τις ὕστερον μετέγραψε, ὡς ἐκεῖνος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται, Ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς αὐτῷ πάντα νοήσει. Heinsius. Mox εὐπαθείᾳ. Trinc.

n) τοῦ συμβούλου A. Vulgo deest articulus. Hoc Scholion Plutarcho assignat Wyttenbachius n. 9, qui exhibet χ. εἶ. ἢ προσαιτεῖν, quo auctore nescio. Praestat, me judice, quod edidi. Mox ἀμείνων. ἐκβήσεται Heinsius. ἐκβήσεται deest A. B. Trinc. Dedi ἀμείνω ex B. Paullo infra vide an leg. ἔπειτα ἀμείνω pro ἐπὶ τοῦ ἀμείνω.

παρόντα ὁρᾷν καὶ τὰ ἐγγὺς, ἀλλὰ καὶ τὸ τὰ ἐσόμενα προορᾷν· 169
τοῦτο μὲν δηλοῖ τὸ, *ΦΡΑΣΑΣΘΑΙ* ἅπερ ἂν εἴη ἐπὶ τοῦ ἀμείνω. Τὸ *ΔΙΟΝ ΓΕΝΟΣ* δηλοῖ, ἢ ὅτι θεοῖς ἀνέφερον τὴν γένεσιν, εἰς γὰρ Ὀρφέα καὶ Καλλιόπην τὸ γένος ἀνῆγον· o) ἢ εὐμενοῦς οὔσης τῆς θεοῦ τῆς δωρησαμένης αὐτούς. Εἰ δὲ φιλίαν τῆς Δήμητρος εἶπεν εἶναι τὴν πρὸς τὸν λιμὸν ἀλλοτριότητα, θαυμαστὸν οὐδέν· τῶν γὰρ Δημητριακῶν καρπῶν ἀφθονίαν ἔχοντες οἱ ἄνθρωποι τῶν ἀπὸ τοῦ λιμοῦ κακῶν εἰσὶν ἀπείραστοι. Τούτους δὲ ἄλλως ὑπάρχειν ἀδύνατον. *ΕΥΣΤΕΦΑΝΟΣ* οὖν *ΔΗΜΗΤΗΡ*, ἡ περιουσία τῶν καρπῶν καὶ ἡ συγκομιδή. *ΚΑΛΙΑ* δὲ κυρίως μὲν ἡ νεοττία, νῦν δὲ τὴν οἰκίαν εἶπεν. PROCLUS.

Ibid. *ΟΥΤΟΣ ΜΕΝ ΠΑΝΑΡΙΣΤΟΣ.* Μετὰ τὴν πρὸς τὸν ἀδελφὸν νουθεσίαν, καὶ τὴν γνωμικὴν ταύτην εἰσφέρει παραίνεσιν, καί φησι, p) Πανάριστος ἐστὶ, ὅς τις ἀφ' ἑαυτοῦ καὶ αὐτοδιδάκτως τὸ πρέπον νοεῖ, προβουλευσάμενος καὶ προγνοὺς ἃ καὶ μέχρι τέλους εἰσὶ βέλτιστα, ἀγαθὸς q) δὲ κατὰ δεύτερον λόγον, καὶ ὁ μὴ ἀφ' ἑαυτοῦ μὲν γνοὺς, πεισθεὶς δὲ τοῖς καλῶς συμβουλεύουσιν· ὁ δὲ r) ἀπρόβουλος ἅμα καὶ ἀνουθέτητος, λίαν ἐστὶ φαυλότατος. Τοῦτο δὲ εἴρηκεν, οἱονεὶ λέγων αὐτῷ, ὅτι ἐχρῆν σε ὦ Πέρση νοῦν ἔχοντα μόνον εἰδέναι τὸ ἀγαθὸν, καὶ μὴ δεῖσθαι s) συμβουλίας. 115) Ἐπεὶ δὲ μόνος οὐκ ἔγνως, κἂν ἐμοὶ τὰ λῷστα συμβουλευομένῳ σοι πείσθητι. Εἰ δὲ μὴ, φαῦλος ἂν εἴης, καὶ μάταιος. Τοὺς δὲ τοῦ Πρόκλου Ζήνωνας καὶ Ἀριστάρχους παρεατέον, ὡς περιττούς. TZETZES.

Ibid. *ΟΥΤΟΣ ΜΕΝ ΠΑΝΑΡΙΣΤΟΣ.* Ἤγουν οὗτος μὲν ἐστιν ἄριστος, ὃς δι' ἑαυτοῦ πάντα νοήσει, στοχασάμενος, προϊδὼν, ἅτινα ἂν ἧσιν, ἀντὶ τοῦ ᾖ, ὡς λάβῃσιν ἀντὶ τοῦ λάβῃ, ἔπειτα καὶ εἰς τέλος ἀμείνω, ἀντὶ τοῦ καλά. Τοῦτο δὲ σύνηθες οὕτω καὶ παρὰ τοῖς κοινοῖς. MOSCHOP.

293. *ΕΣΘΛΟΣ Δ' ΑΥ ΚΑΚΕΙΝΟΣ.* Ἐσθλὸς δὲ πάλιν

o) ἢ εὐμ. — αὐτούς in A. B. Trinc. leguntur infr. post ἀδύνατον.

p) πανάριστος μὲν ἐ. ὅς ἀφ' Trinc. Mox προβουλόμενο Bas.

q) δὲ μετὰ Trinc.

r) ἀπροβούλευτος καὶ ἄνους Trinc. Mox αὐτῷ om. ib. οὐ χρὴ ib.

s) συμβούλου ἀλλ' ἐπεὶ Trinc. κἂν ib. E. F. pro οὐκ ἄν. et συμβουλευομένῳ pro βουλευομένῳ. εἰ δὲ μὴ ad fin. om. Trinc.

115) Forte, σὺ ἂν ἐμοὶ τὰ λῷστα etc. HEINSIUS.

ἐστὶ καὶ ἐκεῖνος, ὃς ἂν τῷ καλῶς εἰπόντι πείθηται. Ἐσθλὸς κυρίως ὁ ἐθελοντὴς μαχόμενος, ἤγουν ὁ ἀνδρεῖος, ᾧ ἐναντίον ὁ δειλὸς, καὶ ἀπὸ τούτου ἐσθλὸς ὁ ἀγαθὸς τοὺς τρόπους, καὶ ἐσθλὰ τὰ ἀγαθά. Διὰ τὸ μέτρον συστέλλεται ἐνταῦθα τὸ πῖ ἐν τῷ πίθηται· ὡς ἐν τῷ,

— οἳ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι. MOSCHOP.

294. ὋΣ ΔΕ ΚΕ ΜΗΘ' ΑΥΤΩι ΝΟΕΗι. Ὃς δ' ἂν μήτε δι' ἑαυτοῦ νοῇ μήτ' ἄλλου ἀκούων ἐν τῷ λογισμῷ εὐστόχως λαμβάνῃ, οὗτος δὲ δή ἐστιν ἀνὴρ ἀχρεῖος, ἤγουν ἐν οὐδενὶ χρήσιμος. Ἀλλὰ, ὦ Πέρση, Δῖον γένος, μεμνημένος
170 τῆς ἡμετέρας ἐφετμῆς, ἀντὶ τῆς ἐμῆς ἐντολῆς, τῆς παραινέσεως, ἀπὸ τοῦ ἐφίεμαι, τὸ ἐντέλλομαι, ἐργάζου, ἵνα σε ἐχθαίρῃ, ἤγουν μισῇ, ἀποστρέφηται, ὁ λιμὸς, φιλῇ δέ σε ἡ εὐστέφανος Δημήτηρ, ἤγουν ἡ τῶν καρπῶν ἔφορος θεός. Εὐστέφανον δὲ αὐτὴν λέγει διὰ τὸ ἀνθηρὸν τῶν καρπῶν, οὓς παρέχει. MOSCHOP.

297. ΠΕΡΣΗ, ΔΙΟΝ ΓΕΝΟΣ. Υἱὲ Δίου, ἢ εὐγενὲς γένος. Δεινοτάτως [t]) δὲ αὐτὸν διὰ τοῦ παρόντος ἐγκωμίου πρὸς ἀγαθοεργίαν προτρέπεται· ἀπρεπὲς γὰρ ἀνδρὶ εὐγενεῖ τῶν μὲν χρηστῶν ἀποτρέχειν, τῶν δὲ φαύλων ἀντέχεσθαι. [v])Ἀλλὰ ταῦτα κἀμὲ καταπέπεικε τὸν [w]) [116]) ἀτεράμονα καὶ σκληρὸν, ὡς Ἡσίοδος τὸν Ὅμηρον ἐκνενίκηκε. Τὸ ταυτὸν γὰρ συνεχόμενον ἀεὶ ἐν τοῖς ἔπεσι, τὸ,

Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι·

καὶ τὸ παρακατιὸν,

— σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω·

καὶ τὸ νῦν,

Ἐργάζευ Πέρση [x]) δῖον γένος.

Πρὸς τούτοις δέ με καὶ τὸ ἀφελὲς τοῦτο καὶ ὑπόψυχρον καταπέπεικε, τὸ, ΟΦΡΑ σε, καὶ τὸ ΦΙΛΕΗι ΔΕ ΣΕ, καὶ ἕτερα

t) καὶ αὐτὸ edd. Bas. Heins. δεινότερον καὶ αὐτὸς G. δὲ αὐτὸν Trinc., E. F. H.

116) Ita scripsi: male legebatur prius τὸν ἀτέρμονα. HEINSIUS.

v) Ἀλλὰ ταῦτα — ἐπέγνωσαν om. Trinc.

w) ἀτέραμνον E. ἀτέρμονα Bas. Mox γὰρ om. E. τὸ ταῦτα συνεχιζόμενον ἀεὶ H. συνεχόμενον pro ἀεὶ συνεχιζόμενον E.

x) διος Bas.

μυρία. Ἐξ ὧν ὁ καθ' ἡμᾶς ἀμαθὴς καὶ μὴ δυνάμενος ἀνδρῶν διακρίνειν ποιήματα μόλις γινώσκει τὸ ἀληθὲς, ὡς τοιούτων ἐπῶν ποιητὴς νενίκηκεν Ὅμηρον. Οἱ δὲ ἀγχινούστατοι καὶ ὀξεῖς καὶ [y]) κριτικοὶ, καὶ πολυμαθέστατοι, καὶ πρὸ τούτων ἐκ τοῦ ῥᾴστου καὶ αὐτοσχεδίου τοῦτο ἐπέγνωσαν. TZETZES.

Ibid. ΟΦΡΑ ΛΙΜΟΣ ΕΧΘΑΙΡΗι. Προσωποποιεῖ τὸν λιμὸν καὶ τὴν γεωργίαν, ὅπερ ἐστὶ τῆς γλυκύτητος, [z]) καί φησιν, ἐργάζου, ἵνα σε ὁ λιμὸς μισῇ, φιλῇ δὲ ἡ Δημήτηρ καὶ ἡ γῆ, ἤγουν ἡ φυτεία καὶ γεωργία, καὶ πληροῖ σοῦ τὸν οἶκον ζωῆς τῆς ἐκ τῶν τροφῶν. Οὐ δεῖ δὲ ἐνταῦθα πολυλογίας, διὰ τὸ σαφὲς τῶν ἐπῶν. [117]) ΕΥΣΤΕΦΑΝΟΝ δὲ εἶπε τὴν γῆν, ἢ διὰ τὸ εὔκυκλον τῆς ἅλωνος, ἢ διὰ τὸ στεφανοῦσθαι ἡμᾶς τοῖς αὐτῆς δωρήμασιν, ὀπώραις παντοίαις καὶ [a]) στάχεσι. TZETZES.

299. ΒΙΟΤΟΥ. Τῆς ἐκ τῶν τροφῶν ζωῆς. TZETZES. 171

Ibid. ΚΑΛΙΗΝ. Μεταφορικῶς τὸν οἶκον. TZETZES.

Ibid. ΑΙΔΟΙΗ. Ἤγουν ἡ αἰδοῦς ἀξία· πίμπλησι δὲ καὶ πληροῖ τὴν σὴν καλιὰν, ἤγουν τὴν οἰκίαν, βιότου, ἀντὶ τοῦ τῶν πρὸς ζωὴν χρησίμων. Δῖον γένος τὸν Πέρσην λέγει, ἢ διότι παῖδες Δίου τινὸς ἦσαν, ἢ διότι εἰς θεοὺς ἀνέφερον τὴν γένεσιν· εἰς γὰρ Ὀρφέα καὶ Καλλιόπην τὸ γένος ἀνῆγον. MOSCHOP.

Ibid. ΠΙΜΠΛΗΣΙ Ποιητικῶς, πιμπλῶ κοινῶς. Καλιὰ κυρίως ἡ νεοττιά. ἐνταῦθα δὲ καταχρηστικῶς ἡ οἰκία. MOSCHOP.

300. ΛΙΜΟΣ ΓΑΡ ΤΟΙ. Λιμὸς θηλυκῶς λέγεται παρὰ τοῖς Δωριεῦσι. PROCLUS.

Ibid. ΛΙΜΟΣ ΓΑΡ ΤΟΙ ΠΑΜΠΑΝ ΑΕΡΓΩι ΣΥΜΦΟΡΟΣ ΑΝΔΡΙ. Τὸ μὲν σύμφορον οὐ λέγει τὸν συμφέροντα, ἀλλὰ τον συμφερόμενον καὶ συνόντα, ὡς ὅπου ἀργία ἐστὶ,

y) Dedi ex E. F. Olim Κριταὶ — τούτου.

z) Hinc ad τῶν ἐπῶν om. Trinc. ubi paullo ante om. τῆς ἡ φύτευσις καὶ ἡ E.

117) Nulla ex tot interpretationibus vera est. Potuisset hoc modo: νῦν δὲ εὐστέφανον εἶπε τὴν Δήμητραν. Εἰώθεισαν γὰρ οἱ εὐμενεῖ ἐντετυχηκότες τῇ θεῷ, μετὰ τὴν τῶν καρπῶν συγκομιδὴν στεφανοῦν τὸν ναὸν τῆς θεοῦ, ἐστὶν ὅτε καὶ τὸ ἄγαλμα αὐτῆς. Nam ideo ita dici deam illam, vel in triviis notum esse potest, tam Graecis quam Latinis. HEINSIUS.

a) ἄνθεσι Trinc. sequens Schol. om. Trinc.

καὶ λιμὸν εἶναι ἀναγκαῖον ἐκεῖ. Τὸ δὲ τῷ ἀργῷ νεμεσᾷν τοὺς θεοὺς, ἀληθές· χρῆναι γὰρ τὸ σῶμα τρέφειν διὰ τῶν σωματικῶν πόνων, καὶ τὰ ἀναγκαῖα πορίζειν ἑαυτῷ διὰ τῶν οἰκείων ἔργων. ΑΛΛΩΣ. Τὸ μὲν ἀργὸν ζῆν ἑπόμενον ἔχει λιμὸν, τὸ δ' ἐθέλοντα μὴ λιμώττειν, ἀντὶ τοῦ ἐργάζεσθαι πράγματα παρέχειν ἄλλοις, ἵνα ἀπὸ τούτων τρέφηται, κηφῆνος ἔργον ἐστὶ κεκεντρωμένου, τὸ μέλι κατεσθίοντος, ὅσον αἱ μέλισσαι συνάγουσι. Κόθουρος οὖν ὁ κηφὴν, ὡς [b]) *κεύθερος τὶς ὢν καὶ τὸ κέντρον κεκρυμμένον ἔχων· καὶ παρέλαβεν αὐτὸν ὡς ἀργόν· μόνον γὰρ τὸ ζῶον τοῦτο οὐ δύναται τροφὴν ἑαυτῷ πορίσασθαι. Ἢ τὸ κοθούροις, ἀντὶ τοῦ ἀργοῖς, παρὰ τὴν καθέδραν. Ἢ* [c]) *κολούροις τὴν οὐρὰν καὶ τὸ κέντρον· καὶ γὰρ καὶ ἀργὸς καὶ ἄκεντρος. Ἢ κοθούροις, ἀντὶ τοῦ κόρῳ πλήθουσι. Καταγέλαστος γὰρ ἂν εἴη τὶς τῶν μὲν ἀνθρώπων ἐλαττούμενος, τοῖς δὲ κηφῆσιν ὁμοιούμενος. ΑΛΛΩΣ. Κηφὴν ζῶον μελισσῶν ἀργότατον καὶ ἄκεντρον· κόθουροι δὲ, ἢ ὅτι κάθηνται, τουτέστι παρατηροῦνται τὴν ὥραν, ἐν ᾗ ἐκβαίνουσιν αἱ μέλισσαι, ἵνα ἐκλαθόντες ἐσθίωσι τὸ μέλι· ἢ τοῖς κολοβὴν οὐρὰν ἔχουσιν· ἀποκρύπτουσι γὰρ τὴν οὐράν. Δίδυμος δὲ κοτούροις, ὅτι κότον ἔχουσιν ἐν τῇ οὐρᾷ· κατὰ δὲ* [d]) *Ἀριστοτέλην, ἀκέντροις· Ἀμερίας δὲ, κακούργοις· μόνος δὲ Ἡσίοδος ἅπαξ τῇ λέξει ἐχρήσατο.* Proclus.

Ibid. [e]) *ΣΥΜΦΟΡΟΣ. Συνοπαδὸς, συνακόλουθος· τουτέστιν, ὁ ἀργὸς συμφέρεται πενίᾳ, καὶ συζῇ τῷ λιμῷ.* Tzetzes.

Ibid. ***ΛΙΜΟΣ ΓΑΡ ΤΟΙ.*** **Ὁ λιμὸς γὰρ διόλου ἐστὶ τῷ ἀργῷ ἀνδρὶ συμφερόμενος, συνὼν, τούτῳ, ἤγουν κατὰ τούτου, νεμεσῶσι καὶ ἀγανακτοῦσιν οἱ θεοὶ καὶ οἱ ἄνδρες, ὃς ἂν ζῇ ἀργὸς, ὅμοιος κατὰ τὴν ὁρμὴν τοῖς κηφῆσι τοῖς κοθούροις, ὅτι κεύθουσι τὴν οὐρὰν, τουτέστι τὸ κέντρον. Νεμεσᾷν, τὸ**
172 **ὑπὲρ δικαίου ἀγανακτεῖν. Ἀεργὸς ποιητικὸν, ἀργὸς κοινόν.** Moschop.

b) *κεύθερος* A. B. Trinc. quibuscum concordat Etymologi M. MS. Dorvill. p. 524, 43. *κεύθουρος* Heins.

c) Dedi ex A. B. pro *κοθούροις*.

d) Hist. Animal. V. 22. p. 144. ed. Sylburg. *ὁ κηφὴν μεγέθει μὲν μέγιστος πάντων, ἄκεντρος δὲ καὶ νωθρός.*

e) Deest hoc Scholion Trinc.

301. *ΘΕΟΙ ΚΑΙ ΑΝΕΡΕΣ.* Θεοὺς νῦν τοὺς σοφοὺς, καὶ τοὺς τὰ θεῖα εἰδότας καλεῖ, ἀνθρώπους δὲ τοὺς ἀνθρωπίνως [f]) μόνως καὶ παχυλῶς ζῶντας· καί φησιν, ὅτι τῷ ἀργῷ δικαίως ἅπαντες μέμφονται, σοφοί τε καὶ ἄσοφοι. Tzetzes.

302. [g]) *ΖΩΗ.* Ζώω ζώεις ζώει. Ζώῃ δὲ, εὐκτικὸν καὶ ὑποτακτικόν ῃ. Τὸ ὥς κε, καὶ τὸ κε παρὰ Ἴωσιν οὔ, παρὰ δὲ Ἀττικοῖς ὑποτάσσει. Tzetzes.

Ibid. *ΚΗΦΗΝΕΣΣΙ ΚΟΘΟΥΡΟΙΣ.* [h]) Ὅμοιος ὑπάρχων κατὰ τὴν ὁρμὴν, ἢ τὴν ὀργήν. Τουτέστιν ἁρπακτικὸς καὶ [i]) ἀλλοτριοφάγος, ὥσπερ οἱ κηφῆνες· κηφὴν δέ ἐστιν ζωΰφιόν τι ἐμφερὲς μελίσσῃ, ἀργὸν καὶ ἄκεντρον, ἐσθίον λαθραίως τὸν πόνον τῶν μελισσῶν. Tzetzes.

Ibid. [k]) *ΚΟΘΟΥΡΟΙΣ.* Κακούργοις, ἢ ἀκέντροις. Ἢ κοτούροις, τοῖς κότον ἔχουσιν ἐν τῇ οὐρᾷ. Ἢ τοῖς κολοβὴν ἔχουσιν οὐρὰν καὶ ἀποκρύπτουσιν αὐτήν. Ἢ τοῖς καθεύδουσι, καὶ ἐπιτηροῦσι τὴν ὥραν ὅταν αἱ μέλισσαι ἐξέρχωνται, ἵνα λαθόντες ἐσθίωσι τὸ μέλι.

Τούτῳ μὲν αὐτὸς Προκλόθεν κεχρημένος,
Τέθηκα τοῖς χρήζουσιν ἐκμακρηγορῶν. Tzetzes.

303. *ΟΙΤΕ ΜΕΛΙΣΣΑΩΝ.* Οἵ τινες ἀργοὶ ὄντες ἀναλοῦσι τὸν πόνον τῶν μελισσῶν ἐσθίοντες· ἀντὶ τοῦ τὸ ἔργον, ὃ καμοῦσαι εἰργάσαντο αἱ μέλισσαι. Σοὶ δὲ φιλούμενα ἔστω ἔργα τὰ τὰ σύμμετρα τῇ σῇ δυνάμει, ἤγουν τὰ δυνατά σοι· ὥστε κοσμεῖν αὐτὰ, ἤγουν κατὰ κόσμον ἐργάζεσθαι, ὡς ἂν σοι αἱ οἰκίαι πεπληρωμέναι ὦσι πλούτου, ὃν αἱ ὧραι παρέχουσιν. Moschop.

304. *ΣΟΙ Δ' ΕΡΓΑ ΦΙΛ' ΕΣΤΩ.* [118]) Σοὶ δὲ προσφιλῆ ἔστωσαν τὰ μέτρια ἔργα, ἤτοι τὰ σεμνὰ καὶ μὴ ἀπρεπῆ, ὥς τε κοσμεῖν δηλονότι σεαυτὸν, καὶ μὴ ἄκοσμον εἶναι τὰ φαῦλα μετερχόμενον. Tzetzes.

f) μόνον Trinc. et mox om. καὶ παχυλῶς et post τὸν ἀργόν.

g) Deest Trinc. ad ὑποτάσσει.

h) ὅμοιος κατὰ τ. ὁ. ἢ τ. ο. τοῖς κηφῖσι τοῖς κοθούροις, ἤγουν τοῖς κεύθουσι τὸ ἐν τῇ οὐρᾷ κέντρον Trinc.

i) τὰ ἀλλοτρίων ἐσθίων Trinc.

k) Deest hinc ad fin. Scholii Trinc.

118) Bis in nostra peccatum erat,

306. *ΕΞ ΕΡΓΩΝ Δ' ΑΝΔΡΕΣ.* Παντὶ τῷ τὸ κατὰ φύσιν ἔργον ἐκπληροῦντι τοῖς θεοῖς ἀρέσκειν ἕπεται. Καὶ τοῖς ἀνθρώποις οὖν ἐργαζομένοις, καὶ τὰ ἀναγκαῖα διὰ τῶν ἔργων πορίζουσιν ὑπάρχει θεοφιλῶς πράττειν· ὡς καὶ τοῖς ἀργοῖς μὲν, τὰ δὲ τῶν ἐργαζομένων καρποῦσθαι βουλομένοις,
173 ὑπάρχει νεμεσᾶσθαι παρὰ τῶν θεῶν. Οἱ μὲν οὖν πολλοὶ καὶ καπηλεύειν διὰ ταῦτα, καὶ τὰ ἄλλα [l]) ἔργα μετιέναι τὸν σπουδαῖον δεῖν οὐκ ἀπέγνωσαν, διὰ ταῦτα τὰ ῥήματα τοῦ Ἡσιόδου μηδὲν ἐπαχθὲς εἶναι λέγοντες. Εὖ δ' ὁ Πλάτων ἐξηγήσατο τὸ ἔπος. Ἔργα γὰρ καλεῖν τὸν Ἡσίοδον, ἑκάστου τῶν ὄντων τὰ κατὰ φύσιν ἔργα. Ταῦτα οὖν καὶ τῷ σπουδαίῳ πρέποντα ἔργα, ὅσα οἰκεῖα σπουδαίῳ· διὸ καὶ Ὅμηρος τὰ μὲν βέλτιστα τῶν ἔργων μόνον ἔργα καλεῖ· τὰ δὲ φαῦλα μετὰ προσθήκης κακὰ ἔργα, ὡς ἂν τοῦ ἔργου καθ' αὑτὸ τὸ καλὸν δηλοῦντος.

— εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένηται.

Καὶ

— δύο δ' αἰὲν ἔχον πατρώϊα ἔργα.

Τὰ δὲ μεμπτὰ, δῆλα·

οὐκ ἀρετᾷ κακὰ ἔργα.

ΑΛΛΩΣ. Οὐκ ἄρα τὸ κλέπτειν καὶ τὸ πορνοβοσκεῖν ὄνειδος· ῥητέον ὅτι τὸ ἔργον τῆς γεωργίας ὄνειδος οὐκ ἔχει, οἷον, τὸ βοηλατεῖν, τὸ σκάπτειν. Ἢ ἁπλῶς ῥητέον ἔργα ὡς παρὰ τοῖς παλαιοῖς, τὰ σπουδαῖα. Ὅτε γὰρ τὰ φαῦλα σημαίνει προστιθέασι τὸ κακὸν,

[114]) οὐκ ἀρετᾷ κακὰ ἔργα

καὶ

σχέτλια ἔργα. Proclus.

Ibid. *ΕΞ ΕΡΓΩΝ Δ' ΑΝΔΡΕΣ ΠΟΛΥΜΗΛΟΙ Τ' ΑΦΝΕΙΟΙ ΤΕ.* Ἐξ ἐπιτηδευμάτων καὶ ἐργασιῶν [m]) καὶ τεχνῶν, οὐκ ἐξ ἀργοῦ βίου, οἱ ἄνδρες πολυθρέμμονες γίνου-

cum ita scriberetur: σοὶ δὲ προσφιλῆ ἔστωσαν ἔργα, ἤτοι τὰ σεμνὰ καὶ μὴ ἀτερπῆ: praetermissa voce μέτρια, et substituto ἀτερπῆ, pro ἀπρεπῆ. Quae ad hunc Hesiodi locum a nobis notata sunt in Notis vide. Heinsius.

l) Vocem addidi ex A. B. Locum Platonis e Charm. p. 163. citavi ad Hesiodi contextum.

114) Ita scripsimus, [et supra] cum male legeretur, οὐκ ἀρεστά: ex versu Homerico notissimo: οὐκ ἀρετᾷ κακὰ ἔργα, κιχάνει τοι βραδὺς ὠκύν. Heinsius.

m) καὶ τεχνῶν om. Trinc.

ται, καὶ τὰς [n]) ἐτησίας προσόδους κεκτημένοι διαρκεστάτας. Καὶ τ' ἐργαζόμενος πολὺ πλέον ἀγαπηθήσῃ καὶ σοφοῖς καὶ ἀσόφοις. Tzetzes.

Ibid. *ΕΞ ΕΡΓΩΝ Δ' ΑΝΔΡΕΣ.* Ἐκ τῶν ἐργασιῶν γὰρ οἱ ἄνδρες, γίνονται δηλονότι, πολυθρέμμονές τε καὶ πλούσιοι τὸν ἀπὸ τοῦ χρόνου καὶ τῶν ὡρῶν πλοῦτον. Ἄφενος ὁ ἀπὸ τῶν ὡρῶν πλοῦτος, ἀφ' οὗ ἀφνειὸς ὁ πλούσιος τοῦτον τὸν πλοῦτον. Moschop.

307. *ΚΑΙ Τ' ΕΡΓΑΖΟΜΕΝΟΣ.* Καὶ ἐργαζόμενος ἔσῃ καταπολὺ φιλούμενος τοῖς θεοῖς καὶ τοῖς βροτοῖς· λίαν γὰρ στυγοῦσι, μισοῦσιν, οἱ θεοὶ καὶ οἱ ἄνθρωποι τὸν ἀργόν. Moschop.

309. [o]) *ΕΡΓΟΝ Δ' ΟΥΔΕΝ ΟΝΕΙΔΟΣ.* Εἰς τόνδε τὸν λόγον ὑποδιάστελλε, ἵνα δηλοῖ τὸ ἔργον, ἤτοι τὸ σπουδαῖον οὐδὲν κατ' οὐδὲν ὑπάρχει ὄνειδος· ἐὰν γὰρ εἴπῃς, Ἔργον δ' οὐδὲν ὄνειδος, μὴ διαστείλας ὡς εἶπον, δεικνύεις μὴ δὲ τὸ μαστροπεύειν, μὴ δὲ τὰ λοιπὰ τῶν αἰσχρῶν ἔργων εἶναι 174
ὄνειδος. Tzetzes.

Ibid. *ΕΡΓΟΝ Δ' ΟΥΔΕΝ ΟΝΕΙΔΟΣ.* Ἡ ἐργασία δὲ οὐδαμῶς ἐστὶν αἰσχρὸν, ἡ ἀργία δὲ αἰσχρόν. Ὄνειδος τὸ αἶσχος, ὥσπερ ἔγκλημα τὸ ἁμάρτημα· ἀκολουθεῖ γὰρ ὥσπερ τῷ ἁμαρτήματι τὸ ἐγκαλεῖσθαι, οὕτω τῷ αἴσχει τὸ ὀνειδίζεσθαι· ἐνταῦθα δὲ ὄνειδος οὐ τὸ αἶσχος, ἀλλὰ τὸ αἰσχρὸν, ἤγουν τὸ μετέχον αἴσχους. Moschop.

310. *ΕΙ ΔΕ ΚΕΝ ΕΡΓΑΖΗι.* Ἐὰν δὲ ἐργάζῃ, ζηλώσει σε ἴσως, ἀντὶ τοῦ μιμήσεται, ὁ ἀργὸς πλουτοῦντα· τῷ πλούτῳ δὲ τῷ ἀπὸ τῶν οἰκείων ἔργων δηλονότι καὶ πόνων πορισθέντι τινὶ ἀρετὴ καὶ δόξα ἕπεται, ἀντὶ τοῦ σύνεστιν· ἢ ἡ ἀρετὴ μὲν συμφαίνεται τῷ τοιούτῳ πλούτῳ, ἅτε ἀπὸ καρτερίας καὶ πόνων κτηθέντι· ἡ δόξα δὲ ἕπεται, ἀγαθὴ τῶν ἀνθρώπων οὖσα ὑπόληψις. Moschop.

311. *ΠΛΟΥΤΩι Δ' ΑΡΕΤΗ.* Μηδεὶς λοιδορείτω τὸν στίχον εἰς τὸν [p]) πολυάρατον πλοῦτον ὁρῶν πόῤῥω τῆς ἀρετῆς ἐσκηνωμένον, ἀλλὰ πλοῦτον οἰέσθω νῦν λέγεσθαι τὴν ἀπὸ τῶν ἔργων πορισθεῖσαν ἀφθονίαν τοῖς ἐργαζομένοις δικαίαν

n) ἐτησίους προσόδους διαρκεστάτας προσεπικτῶνται Reliqua om. Trinc.

o) Deest hoc Scholion Trinc.

p) πολυέρατον B. Mox ἐνσκηνημένον A. ἐνεσκηνημένον B.

οὖσαν, καὶ ἀπὸ τῶν οἰκείων πόνων ἠθροισμένην. Εἴρηται γὰρ ἐν τοῖς ἔμπροσθεν, ἐκ τῶν ἔργων τοὺς ἀνθρώπους γίνεσθαι πολυμήλους καὶ ἀφθόνους καὶ ἀφνειούς. q)Τῷ δὲ τοιούτῳ πλούτῳ ἕπεσθαι πάντως ἀνάγκη τὴν ἀρετὴν καὶ τὴν δόξαν· ἕπεσθαι δὲ οὐχ ὡς παρακολουθήματα ὄντα ταῦτα τῆς εὐπορίας, ἀλλ' ὡς συνυπάρχοντα τῷ τοιούτῳ πλούτῳ. Καὶ ὡς παντὸς, ὃς ἂν οὕτω πλουτῇ, καὶ δόξαν ἀγαθὴν κεκτημένου καὶ δηλοῦντος, ὅτι ἀρετὴν ἔχει, δι' ἣν προσκαρτερεῖ τοῖς οἰκείοις ἔργοις. ΑΛΛΩΣ. Ὥσπερ ἕπεται r) ἡ ὑγεία τῇ ἰατρικῇ, οὕτω τῇ ἀρετῇ οὐ πάντα, ἀλλ' ὁ πλοῦτος ὑπουργεῖ. Εἰ μὴ γὰρ ὁ πλοῦτος ὑπουργήσοι, οὐ παιδεύεταί τις ἀλύπως, οὔτε πρὸς ἀρετὴν ἐκδίδωσιν ἑαυτὸν, κἂν ἐκδῷ δὲ, δυσκατόρθωτον αὐτῷ τὸ ἔργον φαίνεται περὶ τὴν τῶν ἀναγκαίων χρείαν ὑστερουμένῳ. Proclus.

Ibid. ΠΛΟΥΤΩι Δ' ΑΡΕΤΗ. Πῶς τοῦ πλούτου πρὸς s) ἀκρασίαν καὶ ὕβρεις μᾶλλον προτρέποντος οὗτός φησιν ἀρετὴν αὐτῷ ἕπεσθαι; Καὶ οἱ μὲν φασὶ τῷ ἐξ ἔργων πλούτῳ
175 ἕπεσθαι τὴν ἀρετὴν, καὶ καλῶς φασί. Ἐγὼ δὲ φημὶ καὶ τῷ οἱῳδήποτε πλούτῳ ἕπεσθαι ἀρετὴν, τὴν μὴ οὖσαν t) δὲ, ἀλλὰ τὴν δοκοῦσαν. Τῶν γὰρ πλουτούντων τοὺς μὲν φασι σώφρονας, τοὺς δὲ ἀνδρείους, καὶ ἕτεροι v) ἑτέρους, θεραπεύοντες τὴν τοῦ πλούτου ὑπεροχήν. Ἢ καὶ ἄλλως· τέσσαρές εἰσὶν αἱ πρῶται καὶ γενικαὶ ἀρεταὶ, ἀνδρεία, φρόνησις, σωφροσύνη, καὶ δικαιοσύνη. Ἀλλὰ καὶ τὸ κάλλος, καὶ τὸ τάχος, καὶ τὸ περιβλέπεσθαι, καὶ ἕτερα μυρία τοιαῦτα ἀρετὰς ἐκάλουν οἱ παλαιοί. Τούτων δέ τινα πρόσεστι τοῖς πλουσίοις·

q) τῷ δὲ τούτῳ π. A. et mox ἀνάγκη om. A. B.

r) τῇ ὑγείᾳ ἡ ἰατρικὴ A. B. et sic codex Etymologi Vossianus in Bibl. Leidensi, ubi Scholion hoc ita legitur: Ἀεργία· Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις· ἔργον οὐδὲν ὄνειδος ad ὀπηδεῖ. (sine l. v.) οὐ πάντως· ἀλλ' ὁ πλοῦτος ὑπουργεῖ, εἰ μὴ γὰρ ὁ πλοῦτος ὑπουργήσει, οὐ παιδεύεται τις τὰ λοιπὰ, οὐδὲ πρὸς ἀρετὴν ἐκδίδωσιν ἑαυτὸν, κἂν ἐκδῷ δὲ δυσκατόρθωτον αὐτῷ φανήσεται τὸ ἔργον, παρὰ τὴν τῶν ἐπιτηδείων χρείαν ὑστερούμενος· ὥσπερ γὰρ ἕπεται τῇ ὑγείᾳ ἡ ἰατρικὴ, οὕτως τῇ ἀρετῇ ὁ πλοῦτος.

s) ἀκρασίαν μᾶλλον καὶ ὕβριν μετατρέποντος Trinc. et mox ib. ἕπεσθαι τῷ πλούτῳ ἀρετήν. Deinde καὶ καλῶς φασὶ om.

t) μὲν Trinc.

v) Vocem addidi ex G. ἕτερα τοιαῦτα Trinc. ἢ καὶ ἄλλως ad fin. om. Trinc.

τοῖς δὲ πενεστέροις, κἂν ὦσιν, ὅμως ἡ ἔνδεια ταῦτα συγκρύπτει, ὥσπερ τις μυθολογουμένη κυνέα τοῦ Ἄϊδος. Tzetzes.

312. [119]) *ΔΑΙΜΟΝΙ Δ' ΟΙΟΣ ΕΗΣΘΑ.* [w]) Δαίμων οὐ μόνον ὁ ἀπονέμων ἡμῖν τὸν βίον καὶ διοικῶν τὰ ἡμέτερα, κρείττων ἡμῶν, καλεῖται, ἀλλὰ καὶ αὐτὸς ὁ ἀπ' ἐκείνου βίος ἑκάστοις ἀπονεμόμενος, εἰς ὃν βλέποντες τοὺς μὲν εὐδαιμονεῖν φαμὲν, τοὺς δὲ κακοδαιμονεῖν· ὡς καὶ τύχη λέγεται ἤτε ἐπιτροπεύουσα τοὺς βίους ἡμῶν, καὶ τὸ ἀποδιδόμενον ἑκάστοις παρ' αὐτῆς· ὅθεν καὶ εὐτυχεῖν τινὰς καὶ δυστυχεῖν λέγομεν. Τοῦτο οὖν φησὶν ὁ Ἡσίοδος, [x]) προτρέπων εἰς τὸ μὴ ζῆν ἀργὸν, ὅτι ὁποῖος ἂν ἑκάστῳ τυγχάνῃ βίος ἀποδεδομένος, τούτῳ ἄμεινον ἐργάζεσθαι εἴτε ἀμείνων εἴτε χείρων· καὶ μὴ ποιεῖσθαι πρόφασιν ἀργίας ἡλικίαν, ἢ τύχην, ἢ ἄλλό τι τοιοῦτον· ἀλλὰ πάντως ἔργον τὶ ζητεῖν, ἢ γεωργικὸν, ἢ τεκτονικὸν, ἢ ἐμπορικὸν, ἢ ἄλλ' ὁτιοῦν. Proclus.

Ibid. *ΔΑΙΜΟΝΙ Δ' ΟΙΟΣ ΕΗΣΘΑ.* Τοῦτο τὸ σχῆμα, λύσις ἐστὶ τοῦ ἀντιπίπτοντος· [y]) προτρεπόμενος γὰρ πρὸς ἐργασίαν ὁ Πέρσης ἴσως ἂν κώλυμα πενίαν καὶ ἀτυχίαν προὐβάλλετο· [121]) ὃ λύων Ἡσίοδός φησι, τῷ δαίμονι δὲ καὶ τῇ τύχῃ οἷος ὑπάρχεις, ἀτυχὴς ἢ εὐτυχὴς, ἢ πένης ἢ πλούσιος, *ΤΟ ΕΡΓΑΖΕΣΘΑΙ ΑΜΕΙΝΟΝ.* Ἐάν κε δὴ μελετᾷς καὶ φροντίζῃς τοῦ βίου ὥς [z]) σε κελεύω, τρέψεις τὸν ἀεσίφρονα θυμὸν καὶ [a]) περιπετασμένον εἰς τὸ ἔργον ἀπὸ τῶν ἀλλοτρίων **176**

119) Malim ὁ *κρείττων ἡμῶν καλεῖται.* Hesychius: *κρείττονας τοὺς ἥρωας οὕτω λέγουσιν. Δοκοῦσι δὲ κακότυχοι τινὲς εἶναι· διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρωϊκὰ σιγὴν ἔχουσι, μή τι βλαβῶσι. Καὶ οἱ θεοὶ δὲ, Αἰσχύλος Αἴτνᾳ.* Nec aliter vox Hesiodi hic accipienda quam Hesychio vox *κρείττων* ex Aeschylo: male enim argutantur omnes. Heinsius.

w) *δαίμων οὐ μόνον ὁ τὰ ἡμέτερα ἀπονέμων καὶ διοικῶν κρείττων ἡμῖν τὸν βίον ἡμῶν καλεῖται* B.

x) Ita A. Antea *ἀποτρέπων.* Mox *ἑκάστου* B. Prope fin. *ἢ ἐμπορικὸν* addidi ex B.

y) *τρεπόμενος* Trinc. Mox ib. *πενίας καὶ δυστυχίας* et *διὸ* pro *ὁ λύων Ἡσ. φ.* ibid. *οἷος δὲ ὑπάρχεις τῷ δαίμονι εὐτυχὴς ἢ ἀτυχὴς* — et post, *ἐάν κε δὴ* ad fin. om.

113) Nescio cur hic tam subtiliter et stulte argutetur Tzetzes, cum simpliciter potuerit exponere: *θεῷ δὲ ὅμοιος ἔσῃ*: nam nihil aliud est *δαίμονι ἴσος ἔησθα.* Sed et reliqui duo *παραπαίουσι.* Heinsius.

z) *σε* addidi ex E. H. *ὥσπερ* G. et mox *τρέψας* Bas. G. H.

a) *περιπετασμένον* F. Antea *πεπετασμένον.*

κτημάτων καὶ [b]) κτεάνων, τουτέστιν ἀπὸ τοῦ ἁρπάζειν τὰ ἀλλότρια. Tzetzes.

Ibid. *ΔΑΙΜΟΝΙ Δ' ΟΙΟΣ ΕΗΣΘΑ.* Τῇ δαιμονίᾳ δὲ δόσει, τῇ τύχῃ δηλονότι καὶ τῇ τάξει, οἷος ἄρα εἶ, ἤγουν ὑπάρχεις. Moschop.

Ibid. *ΤΟ ΕΡΓΑΖΕΣΘΑΙ ΑΜΕΙΝΟΝ.* Ἀντὶ τοῦ καλόν. Moschop.

313. *ΕΙΚΕΝ ΑΠ' ΑΛΛΟΤΡΙΩΝ.* Μὴ ἐπαισχύνεσθαι παραινεῖ μεταχειρίσασθαι τὶ τῶν ἔργων, εἰ καὶ ἀπὸ [c]) εὐπορωτέρων ἀπορώτερος γέγονεν, ἵν' αὖθις εὐπορήσῃ. Τοῦτο γὰρ ἄμεινον εἶναι, ὁποίαν ἂν ἔχῃ τὴν δαιμονίαν δόσιν, ἔργον τι μετιέναι, κἂν πλούσιός τις, κἂν πένης ἐστίν. Ἄμεινον δ' οὖν εἶναι τοῦτο, ἀπὸ τῶν ἀλλοτρίων κτημάτων τὴν ψυχὴν τρέψαι ἐπὶ τὸ ἔργον, μελετήσαντα διὰ τούτου τῶν πρὸς τὸν βίον ἀναγκαίων εὐπορῆσαι, κακοπραγιῶν μὲν ἀποσχόμενον, ἑαυτῷ δὲ πορίζοντα διατροφήν, καὶ μὴ ἁπλῶς μετιέναι τὸ ἔργον. Ἀλλὰ μελετᾷς βίου φησί· τοῦτο δέ ἐστι μετὰ φροντίδος καὶ ἐπιμελείας προσιόντα τῷ ἔργῳ, δι' οὗ συλλέξεις βίον. Ταῦτα μὲν παραινεῖ, καὶ τὸ ΚΕΛΕΥΕΙΝ τοῦτο δηλοῖ. Τὸν δὲ ΑΕΣΙΦΡΟΝΑ ΘΥΜΟΝ, ἤτοι τὸν ἀερσίφρονα ῥητέον, ὅ ἐστιν ὁ μετέωρος καὶ πρὸς μηδὲν τῶν ἀναγκαίων συντεταγμένος, ἢ τὸν βλαψίφρονα· [d]) τὸ γὰρ ἄσαι, τὸ βλάψαι [e]) σημαίνει. Τὸν οὖν μετέωρον θυμὸν τὸν βεβλαμμένον ἀξιοῖ τρέπειν ἀπὸ τοῦ ἀποβλέπειν εἰς τὰ ἀλλότρια κτήματα εἰς τὸ ἐργάζεσθαι, καὶ διὰ τούτου ἐπιμελεῖσθαι τοῦ βίου. ΒΙΟΣ δέ ἐστιν, ἡ τῶν ἀναγκαίων περιποίησις, ἀφ' ἧς ὑπάρχει τὸ βιοῦν καὶ ζῇν. Proclus.

314. *ΜΕΛΕΤΑΙΣ ΒΙΟΥ.* Ἀντὶ τοῦ, ἐὰν φροντίδα ἔχῃς καὶ μελέτην τῶν πρὸς ζωάρκειαν, καθὰ παραινῶ σε, ποιεῖν δηλονότι. Moschop.

Ibid. *ΤΡΕΨΑΣ ΤΟΝ ΑΕΣΙΦΡΟΝΑ ΘΥΜΟΝ.* Ἤγουν τὴν ἐπηρμένην σου ψυχὴν εἰς ἔργον ἀπὸ τῶν ἀλλοτρίων κτημάτων· τουτέστιν, ἐὰν οὕτως ἐργάζῃ ὥστε μὴ ζημιοῦν τινα. Moschop.

315. *ΑΙΔΩΣ Δ' ΟΥΚ ΑΓΑΘΗ.* Καὶ τοῦτον καὶ τὸν

b) κτεάτων Bas. G.

c) εὐπόρων A. Paullo post διαμελετήσαντα B.

d) ἀπὸ τοῦ ἄσαι B. Ab hoc loco desunt A. usque ad 334. v.

e) σημαίνει deest B. σημαίνειν Trinc.

ἑξῆς στίχον παρεμβεβλῆσθαι ληφθέντας ἀπὸ τοῦ Ὁμήρου, καὶ Πλούταρχος εἶπε. Δηλοῖ δ' ὅμως δι' αὐτῶν, ὅτι οὐ χρὴ αἰδεῖσθαι μετιέναι τὶ ἔργον, ἀφ' οὗ βίον συλλέξεις· ἡ γὰρ χρεία κρείττων τῆς αἰδοῦς. Καὶ οὐκ ἂν εἴη ἡ αἰδὼς ἀγαθὸν, ἀλλ' ἔστιν ὅτε καὶ βλαβερόν· τῶν γὰρ μέσων ἐστὶ καὶ [f]) καιροῦ προσδεόμενον. ΑΛΛΩΣ. Ὅτι ὁ ἐνδεὴς οὐκ ὀφείλει αἰδεῖσθαι· τὸν γὰρ τοιοῦτον οὐκ ἀγαθὴ αἰδὼς ἄγει. Proclus.

Ibid. [g]) ΑΙΔΩΣ Δ' ΟΥΚ ΑΓΑΘΗ. Ὁ μὲν στίχος τοῦ 177 Ὁμήρου τῷ Ἡσιόδῳ ἐχρήσθη. Ὁ δὲ νοῦς οὗτος ἐστίν· οὐκ ἀγαθὴ αἰδὼς τὸν κεχρημένον καὶ πενόμενον κομίζει καὶ κατέχει, [124]) τουτέστι πενόμενος οὐκ ὀφείλεις αἰδεῖσθαι πρὸς τὴν ἐργασίαν. Tzetzes.

Ibid. ΑΙΔΩΣ Δ' ΟΥΚ ΑΓΑΘΗ ΚΕΧΡΗΜΕΝΟΝ ΑΝΔΡΑ ΚΟΜΙΖΕΙ. Αἰδώς με ἄγει, καὶ αἰδῶ ἔχω, καὶ αἰδοῦμαι ταυτόν· ὥστε τὸ οὐκ ἀγαθὴ αἰδὼς ἄγει τὸν ἄνδρα τὸν ἐνδεῆ, ταυτὸν ἂν εἴη τῷ οὐκ ἀγαθὴν αἰδῶ ἔχει ὁ ἐνδεὴς ἀνὴρ, καὶ τοῦτο πάλιν ταυτὸν τῷ ὁ ἐνδεὴς ἀνὴρ οὐ καλῶς αἰδεῖται. Ἐπεὶ δὲ καὶ διὰ τούτων οὔπω καθαρῶς ἡ ἔννοια δηλοῦται, ποιεῖ δὲ τὴν σύγχυσιν ἐν αὐτοῖς τὸ οὐ καλῶς, καὶ τὸ οὐκ ἀγαθὴ, σκεπτέον τὸν λόγον χωρὶς τούτων ἐπὶ τῶν δοκούντων μάλιστα σαφεστέρων. Καὶ ἔχει οὕτως· ὁ ἐνδεὴς ἀνὴρ οὐκ ἔχει αἰδῶ, ἀντὶ τοῦ οὐκ ὀφείλει ἔχειν αἰδῶ· καὶ ὁ ἐνδεὴς ἀνὴρ οὐκ αἰδεῖται, ἀντὶ τοῦ οὐκ ὀφείλει αἰδεῖσθαι. Εἶτα προσληπτέον καὶ ταῦτα, καὶ δῆλον πάντως εὐθὺς γίνεται, ὅτι ὑποθετικὸς ὁ λόγος γίνεται, ἔχων οὕτως· ὁ ἐνδεὴς ἀνὴρ οὐκ ὀφείλει ἔχειν αἰδῶ, ἐπὶ τὰ ἔργα δηλονότι, ἀφ' ὧν βίον ἑαυτῷ πορίσεται· ταῦτα γὰρ ἀπὸ τῶν προτέρων λόγων συνυπακούεται· εἰ δὲ ἔχει, οὐκ ἀγαθὴν αὐτὴν ἔχει. Καὶ ὁ ἐνδεὴς ἀνὴρ οὐκ ὀφείλει αἰδεῖσθαι τὴν ἐπὶ τὰ ἔργα αἰδῶ δηλονότι· εἰ δὲ αἰδεῖται, οὐ καλῶς τοῦτο ποιεῖ. Αἰδὼς, κατὰ ἐπανάληψιν, ἥτις μέγα σίνεται καὶ μεγάλως βλάπτει τοὺς ἄνδρας, καὶ ὀνίνησι, καὶ ὠφελεῖ. Moschop.

316. ΑΙΔΩΣ, ΗΤ' ΑΝΔΡΑΣ. Τὸ σχῆμα ἐπανάληψις

f) καιρῷ B. Trinc. Plutarch. fr. Comm. n. 10.

g) Deest hoc Scholion Trinc.

124) Ineptum omnino est, et frivolum. Heinsius.

h) καὶ ὀν. καὶ. om. Trinc.

[h]) *καὶ ἐπαναδίπλωσις καλεῖται. Λέγει δὲ τὴν αἰδῶ καὶ βλάπτειν, καὶ ὠφελεῖν τοὺς ἀνθρώπους· διπλῆν γὰρ εἶναι* [i]) *αὐτὴν φησίν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν,* [k]) *ὡς πλέον διὰ τοῦ κατωτέρου στίχου φανεροῦται· ἐάν τις πενόμενος αἰδῆται ἐργάζεσθαι, καὶ ἕτερόν τι ποιεῖν ἀγαθὸν, καταβλάπτεται· ἐὰν δὲ αἰδῆται πράττειν αἰσχρὰ, ὠφελεῖται·* [l]) *ὥσπερ καὶ ἐὰν αἰδῆται κλέπτειν, ἢ τυχὸν ἐὰν στρατιώτης ὢν αἰδῆται λειποτακτεῖν· αὕτη γὰρ ἡ αἰδὼς ἀγαθὴ, φαύλη δὲ ἡ προτέρα.* [125]) *ΑΙΔΩΣ*
178 *ΤΟΙ ΠΡΟΣ ΑΝΟΛΒΙΑΝ.* [m]) *ἐπισφραγίζων δὲ ταῦτα καὶ δεικνὺς πῶς ἡ αἰδὼς σίνεται καὶ ὀνίνησι, φησίν· αἰδὼς ἔστω σοι,* [n]) *ἢ ὑπαρχέτω, πρὸς ἀνολβίαν, θάρσος δὲ* [o]) *καὶ τόλμα πρὸς ὄλβον. Τουτέστιν, αἰδοῦ ἀργὸς ὢν καὶ κινδυνεύων* [p]) *πενητεῦσαι· θρασὺς δὲ καὶ ἀναιδὴς ἔσο πρὸς τὸ πλουτῆσαι, πάντα τὰ πρὸς τοῦτο συντείνοντα ἐργαζόμενος. Καὶ ὁ μὲν μουσικὸς Ἀριστόξενος αἰσχύνης οἶδε καὶ αἰδοῦς διαφορὰν, αἰσχύνην μὲν*

i) *αὐτὴν* e Trinc. pro *ταύτην*.

k) *ὡς* ad *φανεροῦται* om. Trinc.

l) *ὥσπερ* ad *ἀνολβίαν* om. Trinc.

125) Argutantur interpretes. Videtur legisse, *πρὸς ἀνολβίαν*: quod satis manifeste asseverat, quomodo et Stobaeus. Mens Hesiodi quae sit, ex superioribus petendum: vult enim *τὴν αἰδῶ ἕπεσθαι τῇ ἀνολβίᾳ, τὸ θάρσος δὲ τῷ ὄλβῳ*: propterea ad consequendum alterum, alterum fugiendum hortatur. Frustra itaque est, cum *ὑπαρχέτω* exponit. Reliqui quoque duo aliud hic agunt, cum ad intellectum hujus loci praeire debuerit poeta, qui Odyss. P. *Δὸς τῷ ξείνῳ ταῦτα φέρων· αὐτόν τε κέλευε Αἰτίζειν μάλα πάντας ἐπερχόμενον μνηστῆρας. Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ προΐκτῃ*: quae verba alibi repetuntur. Sensus totius Hesiodi loci hic est: *ἐὰν ἐργάσῃ, τῇ εὐδαιμονίᾳ τοῖς θεοῖς ὅμοιος ἔσῃ· τὸ γὰρ ἐργάζεσθαι ἄμεινον τοῦ ἀργῶς διακεῖσθαι.* Hinc paulo post infert: *αἰδώς τις οὐκ ἀγαθὴ τοῖς μηδὲν ἐργαζομένοις, καὶ διὰ ταῦτο πενομένοις, ἕπεσθαι καὶ ἀκολουθεῖν φιλεῖ. Αἰδὼς ἡ ὠφελοῦσα πολλάκις καὶ βλάπτουσα τοὺς ἀνθρώπους. Ἡ γὰρ αἰδὼς τῆς πενίας ἴδιον, τοῦ δὲ πλούτου τὸ θάρσος.* Si in Homero cum quibusdam pro voce *προΐκτῃ*, *κομίζει* legamus, et *κεχρημένον*, idem quod Hesiodus ad verbum infert. In toto hoc loco audiendi neutiquam sunt Moschopulus, Proclus, Tzetzes: qui fortasse non sine authoritate veterum erraruut. Sed verum est quod saepe dico, nihil esse ineptius Grammatico, qui in loco facili et *εὐδιανοήτῳ* difficultatem quaerit: tanquam tota haec vita nostra non brevissima esset ad ea perdiscenda, quae ignorari non possunt. Heinsius.

m) *σφραγίζων διὰ τοῦ νῦν στίχου τὸν τροπον· καὶ ἔστιν ἡ αἰδὼς σ. κ. ὀ. ἢ τάσσει καὶ διαθροῖ, ποῖα αἰδὼς ἡ βλάπτουσα, καὶ ποία ἡ ὠφελοῦσα. καὶ φ. αἰδὼς σοι ἢ σὴ ὑπαρχέτω πρὸς ἀνολβίην* Bas.

n) *ἢ ὑπαρχέτω* om. Trinc.

o) *καὶ τόλμα* om. Trinc.

p) *πενιτεῦσαι* Trinc. Mox *καὶ ὁ μὲν μουσικὸς* ad fin. Schol. om. Trinc. vide supra ad v. 190.

καλῶν τὴν γενομένην ἀτιμίαν ἐπ' αἰσχροῖς, οἷον τὸ μετὰ τὴν κλοπὴν ἁλῶναι τινὰ, καὶ καρῆναι, καὶ δημοσίως τυφθῆναι· Αἰδῶ δὲ τὴν εὐλάβειαν καὶ σεμνὴν ὑποστολήν. [126]) Ὁ δὲ Ἡσίοδος νῦν καλλίστως αὐτὴν τὴν αἰδῶ εἰς δύο διήρηκεν, ὡς ἔφημεν, ὡς ὠφελοῦσαν, καὶ σίνουσαν. Αἰδώς τοι πρὸς ἀνολβίην ἐγὼ μὲν γράφω μετὰ τοῦ ν, καθὰ καὶ ἐξηγησάμην· οἱ δὲ λοιποὶ χωρὶς τοῦ ν γράφουσι. Θράσος, ἡ ἀναιδὴς καὶ ἀλόγιστος τόλμα· θάρσος δὲ, ἡ λελογισμένη. Tzetzes.

317. *ΑΙΔΩΣ ΤΟΙ ΠΡΟΣ ΑΝΟΛΒΙΗι.* Διὰ τὴν αἰδῶ ταύτην ἄνολβος ἔσῃ καὶ ἄπορος, αἰσχυνόμενος ἐργάζεσθαι· διὰ δὲ τὸ θάρσος, τὸ ἀντικείμενον ταύτῃ τῇ αἰδοῖ, ὄλβος σοι περιέσται καὶ εὐπορία. Τὸ δὲ θάρσος ἐστὶ τὸ μὴ ἐπαισχύνεσθαι τὰ ἔργα δι' ὧν προξενήσεις σαυτῷ τινὰ εὐπορίαν. *ΑΛΛΩΣ.* Ἡ αἰδὼς κακὴ τῷ μὴ ἔχοντι, τῷ δὲ πλουσίῳ κακὸν τὸ θάρσος. Ἡ αἰδὼς σύνεστι τῇ πτωχείᾳ, τὸ αἰσχύνεσθαι ἐργάζεσθαι· τὸ δὲ πρὸς τὰς ἐργασίας θάρσος σύνεστι τῷ πλούτῳ. Ἡ αἰδὼς σύνεστι τῇ πενίᾳ, πτωχὸς γὰρ οὐχ ὑφίσταται ἀπειλήν· θάρσος ἕπεται τῷ πλούτῳ, ὁ γὰρ πλοῦτος θάρσος τίκτει. Proclus.

Ibid. *ΑΙΔΩΣ ΤΟΙ ΠΡΟΣ ΑΝΟΛΒΙΗι.* Ἡ αἰδὼς, ἡ ἐπὶ τὰ ἔργα δηλονότι, παράκειται τῇ ἀνολβίᾳ, ἤγουν τῇ πτωχείᾳ καὶ ἀπορίᾳ· τὸ θάρσος δὲ, τὸ ἀντικείμενον ταύτῃ τῇ αἰδοῖ, ἤγουν τὸ μὴ ἐπαισχύνεσθαι τὰ ἔργα δι' ὧν προξενήσει τις ἑαυτῷ εὐπορίαν, παράκειται τῷ ὄλβῳ ἤγουν τῷ πλούτῳ· εἶτα μεταβαίνει ἐφ' ἑτέραν παραγγελίαν· καί φησιν χρήματα κ. τ. λ. Moschop. 179

318. [q]) *ΑΙΔΩΣ* κ. τ. λ. Αἰδῶ, φησὶ, ἔχε πρὸς τὴν πενίαν, θρασὺς δὲ ἔσο πρὸς τὸ ἐξ ἔργων πλουτεῖν. Τὰ *ΧΡΗΜΑΤΑ* δὲ τὰ *ΘΕΟΣΔΟΤΑ*, [r]) πολλὸν καὶ κατὰ πολὺ κρείττω, οὐχὶ τὰ ἐξ ἁρπαγῆς καὶ βίας. Tzetzes.

Ibid. *ΧΡΗΜΑΤΑ Δ' ΟΥΧ ἉΡΠΑΚΤΑ.* Τὰ χρήματα δὲ τὰ οὐχ ἁρπακτὰ, ἤγουν τὰ οὐκ ἀπὸ πλεονεξίας, τὰ θεόσδοτα· ταῦτα δ' ἂν εἴη τὰ ἀπὸ τῶν ἔργων, κατὰ πολὺ ἀμείνω τῶν ἀπὸ πλεονεξίας δηλονότι. Moschop.

126) **διήρηκεν**] Ita emendavit illustris Scaliger, cum male legeretur, **διῆκεν**. Heinsius.

q) Desunt hinc usque ad **πλουτεῖν** Trinc.

r) **πολλὸν καὶ** om. Trinc. **ἐστι κρείττω** Trinc. **κρεῖττον** Bas.

319. *ΕΙ ΓΑΡ ΤΙΣ ΚΑΙ ΧΕΡΣΙ.* Δύο γενικὰς διαφορὰς παραδίδωσι τῶν ἁμαρτημάτων ἐν τούτοις· τὴν μὲν δι' ἔργων, τὴν δὲ διὰ λόγων. Ἢ γὰρ βιαζόμενοι τινὲς ἀδικοῦσι τυραννικῶς, ἢ ἀπατῶντες διὰ τῆς γλώσσης, οἷα δὴ πολλὰ εἰώθασι γίνεσθαι, διά τι κέρδος ἀπατῆσαν ὡς ἀγαθὸν, ἢ ἔργοις ἢ λόγοις τινῶν μετιόντων ἐκεῖνο τὸ κέρδος. Πάντες μὲν οὖν φανερῶς ἢ ἀφανῶς τὰ ἀλλότρια σφετεριζόμενοι, τὴν διὰ τῶν χειρῶν βίαν δείκνυνται. Τὸ γὰρ ἀκούσιον πᾶν, βίαιον ἐστίν· ὥστε καὶ ὁ κλέψας, βιαίως ἐποίησε. Διότι οὐδεὶς ἂν ἑκὼν τοῦτο πάθοι· πάντες δὲ οἱ ψευδόμενοι καὶ ἐπιορκοῦντες, ἢ παραλογιζόμενοι, διὰ τῆς κατὰ τὴν γλῶσσαν ἀπάτης τοῦτο δρῶσι. Γενικαὶ κακίαι δύο, ἡ βία, καὶ τὸ ψεῦδος· καὶ ἡ μὲν βία τῶν χειρῶν καὶ τῶν ἔργων, τὸ δὲ ψεῦδος τῶν λόγων. Διαιρεῖται δὲ ἡ μὲν βία, εἰς τυραννίδα, ἁρπαγὴν, κλοπήν· τὸ δὲ ψεῦδος εἰς συκοφαντίαν καὶ ἐπιορκίαν. PROCLUS.

Ibid. *ΕΙ ΓΑΡ ΤΙΣ ΚΑΙ ΧΕΡΣΙ.* Ἐὰν γάρ τις τῇ δυνάμει τῶν χειρῶν ἁρπάξας, ἢ ψευσάμενος, ἢ ἐπιορκήσας κτήσηταί τι, τῇ φιλαργυρίᾳ τὸν νοῦν τυφλωθεὶς, αὐτός τε καὶ ὁ οἶκος αὐτοῦ φθείρεται, καὶ ἐπ' ὀλίγον χρόνον ἔσται ὁ πλοῦτος αὐτοῦ. PROCLUS.

Ibid. s) *ΕΙ ΓΑΡ ΤΙΣ ΚΑΙ ΧΕΡΣΙ ΒΙΗι.* Ἐὰν γάρ τις κατασχών τινα πράγματα χειρὶ καὶ βίῃ ὀμόσῃ, ἢ ἴσως μὲν οὐ κατέχων αὐτὰ, ἐπιθυμίᾳ δὲ τοῦ κέρδους καὶ τῆς αὐτῶν κατασχέσεως ὀμόσῃ, ''') ληϊσάμενος αὐτὸς καὶ αἰχμαλωτίσας τὸν ὅρκον τῇ γλώσσῃ, τουτέστι ψευδορκήσας, οἷα γίνεται
180 t) τὸ καὶ τὸ, καὶ δικαιοσύνη κατοπάζει τὴν ἀναίδειαν, ἤγουν
ὅταν ἐν v) παρέργῳ καὶ ὑστέρῳ λογισθῇ ταύτης, εὐκόλως τὸν

s) Hoc Scholion om. Trinc.

127) Aut insanit funditus Tzetzes, cum *ληϊσάμενος ὅρκον*, *ψευδορκήσας* exponit, aut legit in Hesiodi versibus aliter quam reliqui omnes: *Εἴ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται, Ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται.* Qua quidem lectione nihil stultius excogitari potest. Optime hunc locum illustrat Procli glossa: *Δύο γενικὰς διαφορὰς παραδίδωσι τῶν ἁμαρτημάτων ἐν τούτοις· τὴν μὲν δι' ἔργων, τὴν δὲ διὰ λόγων. Ἢ γὰρ βιαζόμενοι τινὲς ἀδικοῦσι τυραννικῶς, ἢ ἀπατῶντες διὰ τῆς γλώσσης* etc. HEINSIUS.

t) Sic E. *ὁπόταν τὸ καὶ τὸ, καὶ τὴν δικαιοσύνην κατοπάζῃ ἡ ἀναίδεια* Heins. *ἡ δικαιοσύνη—τὴν ἀναίδειαν* Bas. *ὁπόταν τὸ* F. in ceteris cum E. consentiens, et sic G.

v) Sic G. *περιέργῳ* edd. Mox *ποιοῦντα* pro *ποθοῦντα* ex E.

ταῦτα ποιοῦντα οἱ θεοὶ, ἤγουν ἡ τῆς Εἱμαρμένης παντοδαπὸς δύναμις, μαυροῖ καὶ ἀφανίζει. Tzetzes.

Ibid. *ΕΙ ΓΑΡ ΤΙΣ ΚΑΙ ΧΕΡΣΙΝ.* Εἰ γάρ τις καὶ ἰσχύϊ τῶν χειρῶν αὐτοῦ μέγαν πλοῦτον ἀφέληται, ἢ οὗτος ἀπὸ τῆς ἐνεργείας τῆς γλώττης, ψευδομαρτυρῶν δηλονότι, ἢ ἐπιορκῶν, ἢ παραλογιζόμενος, ληΐσσεται, τουτέστιν ἀποστερήσει, ἀπὸ μεταφορᾶς τῶν πολεμίων τῶν τὰς λείας ἑλόντων, ὁποῖα πολλὰ εἴωθε γίνεσθαι, ὁπηνίκα ἂν τὸ κέρδος παρασύρῃ τὸν νοῦν τῶν ἀνθρώπων, τὴν αἰδῶ δὲ ἡ ἀναίδεια κατοπάζῃ, ἤγουν κατόπιν ἑαυτῆς ποιῇ, ἀποκρύπτῃ, καταβάλλῃ, ῥᾳδίως δὴ αὐτὸν μαυροῦσιν, ἤγουν ἀφανίζουσιν, οἱ θεοί. Ἄλλως κἀνταῦθα ἀρξάμενος ἄλλως ἀποδίδωσι· σύνηθες δὲ, ὡς εἴρηται, τὸ τοιοῦτον καὶ τῷ πεζῷ λόγῳ. Moschop.

322. *ΑΝΑΙΔΕΙΗ ΚΑΤΟΠΑΖΗι.* Τοῦτο συνεχὲς τῆς διανοίας ἐστὶν, εἴτις ἢ βιαίως ἀλλότριον πλοῦτον ἀφέληται, ἢ ἀπατήσας, οἷα συμβαίνει τοῖς διὰ τὸ κέρδος ἐπὶ ταῦτα ὁρμῶσι τὰ ἔργα, ἢ ἐπὶ λόγους τοιούτους. Εἴτις οὖν εὔπορος οὕτω γένηται, καὶ τὴν αἰδῶ ἡ ἀναίδεια νικήσει· τοῦτο γὰρ τὸ, κατοπάζειν· τὸν τοιοῦτον πάντες οἱ θεοὶ ἀμαυροῦσιν, ὅπερ δηλοῖ τὸ, ἀφανίζοντες αὐτοῦ τὴν ζωὴν καὶ τὸν οἶκον ἐλαττοῦντες τιμωρίαν ἐπάγουσι τῆς ἀπὸ τῶν ἀλλοτρίων εὐπορίας, καὶ ἐπ' ὀλίγον ὁ τοιοῦτος γενόμενος πλούσιος, ἀπόλλυσι τὴν περιουσίαν, διὰ τὴν ἀπὸ ἀδίκων ἔργων ἢ λόγων περιποίησιν. Ἡ αἰδὼς ὄπισθεν οὖσα καὶ παρευδοκιμηθεῖσα τὴν ἀναίδειαν ἔχει ἔμπροσθεν ὡς νικήσασαν, καὶ ἀκολουθεῖ κατόπιν αὐτῆς. Proclus.

323. [w]) *ΜΙΝΥΘΟΥΣΙ ΔΕ ΟΙΚΟΙ.* Ἐλαττοῦνται οἱ οἶκοι τῷ ἀνέρι τούτῳ· τουτέστιν, ἐκ θεοεχθρείας τῆς Εἱμαρμένης καὶ τῆς Προνοίας οἰκοφθορίαν ὁρᾷ παντελῆ. Tzetzes.

Ibid. *ΜΙΝΥΘΟΥΣΙ ΔΕ.* Ἤγουν σμικρύνονται, φθείρονται οἱ οἶκοι τοῦ ἀνδρὸς τούτου· ἐπ' ὀλίγον δὲ χρόνον ὁ πλοῦτος ἀκολουθεῖ. Moschop.

w) Deest hoc Schol. Trinc. In extr. παντελῆ pro παντελῶς ex E. F.

324. [x]) *ΠΑΤΡΟΝ ΔΕ Τ' ΕΠΙ ΧΡΟΝΟΝ.* Καὶ τοῦτο λύσις τοῦ ἀντιπίπτοντος· εἶπε γὰρ ἂν ἴσως ὁ Πέρσης, καὶ μὴν τοὺς ἐπιόρκους καὶ ἀναιδεῖς καὶ τοὺς τοιούτους ὁρῶμεν μᾶλλον εὐθηνουμένους. Ὅθεν ὁ ποιητὴς λύων τὸ ἀντιπίπτον οὕτως εἰρήκει· ἀλλὰ τὸ μὲν *ΜΙΝΥΘΕΙ*, τὸ ἐλαττοῦται, εἴπομεν [y]) πρὶν, ὅτι ἀπὸ τοῦ μιννὸς ὁ μικρὸς λέγεται Ἀττικῶς·
181 τὸ δὲ *ΠΑΥΡΟΝ*, τὸ ὀλίγον, ἀπὸ τοῦ παύω παύσω, τὸ συντόμως παυόμενον. Ἐῤῥέθη δὲ ἢ ἀπὸ ἀνέμων τινῶν πνευσάντων καὶ πνευσθέντων, οἱονεὶ τὸ ἀνεμῶδες καὶ μικρὸν καὶ εὔπαστον· ἢ ἀπὸ τοῦ προφορικοῦ βραχυλογήματος, ὃ ἐξαχθὲν καὶ βραχυλογηθὲν διὰ γλώσσης εὐθὺς παύεται. Tzetzes.

325. *ΙΣΟΝ Δ' ὍΣΘ' ἹΚΕΤΗΝ.* Διὰ τούτων καὶ τῶν ἑξῆς εἰρημένων στίχων ὀκτὼ, τοῖς εἰρημένοις ἁμαρτήμασιν, οἷς ἔφατο δίκην ἀκολουθεῖν παρὰ τῶν θεῶν, ἄλλα συναριθμεῖ δι' ἔργων ἁμαρτήματα, ἀπὸ ἀνοσίου γινόμενα ζωῆς· ταῦτα δέ ἐστιν ἱκέτην παριδεῖν, εἰς ξένους κακουργεῖν, ἀδελφοῦ διαφθείρειν εὐνὴν, ἁμαρτάνειν περὶ ὀρφανοὺς, ὑβρίζειν εἰς γονέας γέροντας. Παντὶ γὰρ τῷ τοιούτῳ φησὶν ὁ *ΖΕΥΣ ΑΓΑΙΕΤΑΙ*, τουτέστι μέμφεται καὶ τιμωρίαν ἐπάγει. Διαφερόντως δὲ τοῦ Διὸς ἐμνημόνευσεν, ἐπειδὴ πάσας εἰς τὸν θεὸν τοῦτον ἀνῆγον τὰς τοιαύτας προσηγορίας, Ἱκέσιον καλοῦντες ὡς ἔφορον τῶν ἱκετῶν, καὶ Ξένιον ὡς τῶν ξένων προστάτην, Ὁμόγνιον ὡς τῶν συγγενῶν μάλιστα φύλακα, καὶ τῶν πρὸς τοὺς ὁμογνίους καθηκόντων. Οὕτω γὰρ καὶ τῶν ἐν ὀρφανίᾳ ζώντων αὐτὸν ἔλεγον κηδεμόνα, πατέρα νομίζοντες πάντων, καὶ ὧν οὐκ εἰσὶν ἄνθρωποι πατέρες, καὶ βοηθὸν τῶν ἀδικουμένων πατέρων ὑπὸ τῶν παίδων. Ἀγάλματα γάρ εἰσιν οἱ πατέρες τοῦ πάντων πατρὸς, τοῦ Διός· οἱ δὲ εἰς τὰ ἀγάλματα τῶν θεῶν δυσσεβεῖς, εἰς αὐτοὺς ἀναφέρουσι τοὺς θεοὺς, ὧν τὰ ἀγάλματα, τὴν δυσσέβειαν, ὥστε εἰκότως ἔφη τὸν Δία καὶ νεμεσᾷν τούτοις, καὶ πᾶσιν ὁμοῦ τῶν ἀδίκων ἔργων, ἅπερ διηριθμήσατο, χαλεπὴν ἀποδιδόναι ἔκτισιν. [z]) Αὕτη γὰρ ἡ

x) Deest hoc Scholion Trinc. Mox dedi *εὐθηνουμένους* pro vulg. *εὐθυνουμένους*.

y) *πρὶν ὅτι* ex E. *γίνεται* pro *λέγεται* F. Mox *ἢ ἀπὸ ἀνέμων—εὔπαστον* accesserunt ex E. In fin. *ταχέως* pro *εὐθὺς* E.

z) Wyttenbachius Anim. ad Plutarch. de S. N. V. p. 48. notat Proclum imitatum esse Platonem Legg. V. p. 604. F.

ἀμοιβὴ τῶν ἀδικημάτων τιμωρία τὶς οὖσα τῆς ἀδικίας ἀκόλουθος. PROCLUS.

Ibid. *ΙΣΟΝ Δ' ὉΣΘ' ἹΚΕΤΗΝ.* Εἰπὼν ὄπισθεν, οτι τῷ ἐπιόρκῳ καὶ βιαίῳ τιμωρία καὶ ἀφανισμὸς εὐκόλως παρὰ τῆς Εἱμαρμένης καὶ τῆς Προνοίας δυνάμεως ἐπέρχεται, καὶ ἐπ' ὀλίγον χρόνον εὐδαιμονία τούτῳ ἐπακολουθεῖ, λύει καὶ τὸ ἴσως [a])ἀντιπεσούμενον παρὰ τοῦ Πέρσου· ἐγὼ γὰρ, ἂν ἴσως εἶπεν, οὐκ εἰμὶ ἐπίορκος. [128])Ὅθεν ὁ ποιητὴς τοῦτο λύων, φησί· ἶσον τῷ ἐπιόρκῳ δρᾷ, ὅστις εἰς ἱκετεύοντα καὶ εἰς φίλον, ἢ εἰς ἀλλοδαπὸν, [b])ἔρξει καὶ ποιήσει βλαβερόν τι. Ὅστις δὲ ἀναβαίνει διὰ κρυπταδίης εὐνῆς ἀνὰ τὰ δέμνια τῆς ἀλόχου τοῦ ἑοῦ κασιγνήτου παρακαίρια ῥέζων, τουτέστιν, ὅστις κρυφίως μοιχᾶται τὴν γυναῖκα τοῦ ἀδελφοῦ, ὅστις τε εἰς τεῦ καὶ τινὸς ὀρφανὰ τέκνα ἁμαρτάνει, τουτέστιν, ὅστις καταβλάπτει τοὺς ὀρφανούς. TZETZES.

Ibid. *ΚΑΚΟΝ ΕΡΞΕΙ.* Ῥέξω ἐνεστὼς, ῥέξω μέλλων, 182
ἀφ' οὗ κατὰ μετάθεσιν ἔρξω. MOSCHOP.

Ibid. *ΙΣΟΝ Δ' ὉΣΘ' ἹΚΕΤΗΝ.* Ὅμοιον δὲ ἁμαρτάνει καὶ ὅστις ἱκέτην κακὸν πράξει, καὶ ὅστις ξένον, (τὸν ἐναντίον τῷ ἀστῷ λέγει, οὐ τον φίλον) καὶ ὅστις εἰς τὴν στρωμνὴν ἀναβαίνει τοῦ ἑοῦ ἀδελφοῦ, ἤγουν τοῦ ἑαυτοῦ, ἕνεκα κρυφίου εὐνῆς τῆς ἀλόχου, τουτέστιν ἐπὶ τῷ λάθρα συνευνάξεσθαι τῇ γυναικὶ τοῦ ἀδελφοῦ. MOSCHOP.

327. *ΠΑΡΑΚΑΙΡΙΑ ῬΕΖΩΝ.* Ἤγουν ἀπρεπῆ καὶ ἀνάρμοστα πράττων, καὶ ὅστις δι' ἀφροσύνην εἰς ὄρφανα τέκνα τινὸς ἁμαρτάνει, καὶ ὅστις πατέρα γέροντα ἐπὶ τῷ κακῷ γήρᾳ ὄντα νεικείει, ἤγουν φιλονεικεῖ, χαλεποῖς λόγοις λυπῶν αὐτόν. Τούτῳ δὴ τῷ τοιοῦτό τι ἐργασαμένῳ ὁ Ζεὺς αὐτὸς ἀγαίεται, ἤγουν νεμεσᾷ, ἀγανακτεῖ. Περὶ δὲ τὸν θάνατον αὐτοῦ ἀντὶ τῶν ἀδίκων ἔργων χαλεπὴν ἀνταπόδοσιν ἐπέθηκεν, ἀντὶ τοῦ ἐπιτίθησιν. MOSCHOP.

329. *ΓΗΡΑΟΣ ΟΥΔΩι.* [c])Τῇ φλιᾷ, τῷ γήρει περιφραστικῶς. Ἶσον δὲ εἶπεν ἁμάρτημα ταῦτα πάντα τελεῖν, ἀντὶ τοῦ

a) Ita E. F. ἀντιπεσόμενον edd. Mox εἶπον E. Deest hoc Scholion Trinc.

128) Scribe λέξει καὶ ποιήσει βλαβερόν τι. Illustris Scaliger unco incluserat vocem ἔξει. HEINSIUS.

b) ἔρξει. Ita E. F. H. ῥέξει G. ὡς ἔξει, vulgo. Mox ἀναβαίνει pro ἀντιβαίνει ex E.

c) Deest hoc Scholion Trinc. φλιᾷ pro φλοιᾷ ex F. H.

ὅμοιον· ὁμοίως γὰρ πάντα ἁμαρτήματα λέγονται. Οὐ μὴν ἰσόμετρον εἶπε· ποῦ γὰρ ταῦτα ἰσόμετρα; Οἱ παλαιοὶ δὲ, τὸ ἴσον ἀντὶ τοῦ ὅμοιον ἔλεγον· ἕως ὁ Πυθαγόρας, ἀρχηγὸς [d]) φιλοσοφίας γενόμενος, Ἀρχύτας τε καὶ Ἀριστοτέλης καὶ οἱ μετὰ αὐτοὺς τὴν πολυπραγμοσύνην τὴν περὶ πάντων φιλοσοφίαν καλέσαντες, τὸ ἴσον ἐθεσμοθέτησαν ἐπὶ τοῦ ποσοῦ λέγεσθαι, τὸ δὲ ὅμοιον ἐπὶ τοῦ ποιοῦ. Tzetzes.

333. [e]) *ΑΛΛΑ ΣΥ ΤΩΝ ΜΕΝ.* Ἀλλὰ σὺ παντελῶς ἀπὸ τῶν τοιούτων ἔεργε καὶ κώλυε τὸν περιπετασμένον καὶ μάταια φρονοῦντα θυμὸν, ἤτοι τὴν ψυχήν. Tzetzes.

Ibid. *ΑΛΛΑ ΣΥ.* Τούτων μὲν παντελῶς ἄπεχε τὴν σὴν ψυχὴν τὴν ἐπηρμένην, ἀφ' ὧν δὲ εὐπορεῖς θέλε θύειν ἱερεῖα τοῖς ἀθανάτοις θεοῖς, ἤγουν θυσίας διὰ σφαγίων ποιεῖν, ἁγνῶς, ἤγουν ἔξω ἀσελγείας καὶ ἀδικίας, καὶ ἐμπαθείας, καὶ τῶν τοιούτων. Moschop.

334. *ΚΑΔΔΥΝΑΜΙΝ Δ' ΕΡΔΕΙΝ.* Τὸ μὲν θύειν, ὅπερ εἰώθασιν οἱ νεώτεροι λέγειν, ἔρδειν ὠνόμαζον οἱ παλαιοὶ, καὶ ῥέζειν. Τὸ δ' ἀπάρχεσθαι τῶν παρόντων διὰ τοῦ θύειν ἐδήλουν, καὶ θυηλὰς τὰς ἀπαρχὰς ἐκάλουν.

ὁ δ' ἐν πυρὶ βάλλε θυηλὰς

φησὶν Ὅμηρος. Ἀμφοτέρων οὖν ὁ Ἡσίοδος κελεύει λιπαρῶς ἀντέχεσθαι, κατὰ δύναμίν τε ἱερὰ ῥέζοντας, ἀφ' ὧν εὐποροῦ-
183 μεν, ἁγνῶς καὶ καθαρῶς, καὶ θυέεσι καὶ σπονδαῖς ἱλασκομένους τοὺς θεοὺς ἀρχομένης ἡμέρας· τοῦτο γὰρ τὸ,

ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ,

καὶ εἰς ὕπνον τρεπομένους, νυκτὸς ἐπιούσης. Τὸ μὲν οὖν κατὰ δύναμιν ἔρδειν ἀφαιρεῖται [f]) πᾶσαν τὴν πολυτέλειαν ἐπὶ τῇ προφάσει τῆς εὐσεβείας ἡδυπάθειαν εἰσάγουσαν. Καλῶς οὖν τοῦ Λάκωνος [g]) εἰπόντος, ὃς ἐρωτηθεὶς, διὰ τί εὐτελῆ θύουσιν; ἔφη, ὅτι ἵνα πολλάκις θύωσιν. Οὕτω γὰρ καὶ Νουμᾶς Ῥωμαίοις, ὡς Λυκοῦργος [h]) Λακεδαιμονίοις προσέταξεν,

d) *φιλοσοφίας γενόμενος* edidi ex E. Antea *φιλόσοφος*. Vide Diogenem Laert. Prooem. sect. 12. Ex Schol. vett. ad v. 331. exceptum erat ab Etymologo M. p. 5, 15. *Ἀγαίεται· Τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται· βασκαίνει, ὀργίζεται, χολοῦται.*

e) Deest hoc Scholion Trinc.

f) *παντάπασι τὴν πολυτέλειαν πᾶσαν περὶ τῇ προφάσει* B. *περὶ* Trinc.

g) Plutarch. Apophth. Lac. II. p. 228. C.

h) Plutarch. Vit. p. 52. A.

ἀπὸ τῶν εὐτελεστάτων θύειν. Τὸ γοῦν μὴ ὑπερβάλλειν τὴν περιουσίαν ἐν τῇ θεραπείᾳ τῶν θεῶν πρεπωδέστατόν ἐστι παράγγελμα τοῖς εἰς αὐτὸ μόνον βλέπουσι τὸ ὅσιον· τὴν δ' ἁγνείαν καὶ καθαρότητα μάλιστα προηγουμένως δεῖ σπουδάζεσθαι τοῖς ἱερουργεῖν μέλλουσι, τὴν μὲν ἐν αὐτῇ τῇ ζωῇ· τοιαύτη δέ ἐστιν, ὅση ἂν ἐξάντης ᾖ πάσης ἀσελγείας, πάσης ἀδικίας, πάσης ἐμπαθείας, ταύτην γὰρ ἂν εἴποιμεν κυρίως ἁγνεύειν· καὶ μετὰ ταύτην, τὴν ἀποχὴν τῶν βρωτῶν καὶ τῶν ποτῶν κατὰ τὰ πάτρια ἔθη· καὶ γὰρ ἄλλα ἄλλοις ἐστὶν, ὧν ὁ μετασχὼν εἴργεται τῶν νομίμων θυσιῶν· τὴν δὲ ἐν τοῖς ὀργάνοις πᾶσι καὶ τοῖς ἱεροῖς τόποις, ἐν οἷς δεῖ θύειν, καὶ τοῖς περὶ τὸ σῶμα ἡμῶν κόσμοις. Γελοῖον γὰρ τοῖς καθαρωτάτοις προσιόντας οἷς θύουσιν, ἀκαθάρτοις χρῆσθαι τισὶν, ἢ ἐν τοῖς μεμολυσμένοις οἴκοις τοῦτο πράττοντας, ἢ μοῖραν τῷ ἱερῷ προσάγοντας ἔκ τινος μεμιασμένης ἐνεργείας, ἢ ἐσθῆτα φέροντας ἀκάθαρτον, ὅπου γε καὶ τῷ [i]) πάντα καθαίροντι πυρὶ παρήγγελται χρῆσθαι μὴ ἐξ ἀκαθάρτου οἰκίας ληφθέντι. Τὸ αὖ ἱλάσκεσθαι τοὺς θεοὺς ταῖς [k]) ἀπαραλήπτοις σπονδαῖς, καὶ τοῖς μετὰ τούτων θυέεσιν, ἀρχομένης ἡμέρας ἢ νυκτὸς, οἷον ψαιστοῖς ἢ ἄλλοις τισὶ τοιούτοις, ἐνδείκνυται· καὶ ὅτι χρὴ ταῖς τοιαύταις ἀπαρχαῖς ταῖς εὐπορίστοις ἀπάρχεσθαι τῶν [l]) προσόδων αὐτοῖς, διὰ τῆς συνεχείας τηροῦντας αὐτῶν τὸ πρὸς ἡμᾶς εὐμενές· ἡ γὰρ ἱλέωσις οὐκ ἐκείνοις προστίθησιν [m]) ἃ μὴ εἶχον, ἀλλ' ἡμᾶς ἐπιτηδειοτέρους ποιήσει πρὸς τὸ μενόντων αὐτῶν ἀεὶ τούτων οἷοί πέρ εἰσι μετέχειν ἀκωλύτως· καὶ τοῦτο δηλοῖ τὸ εὐμενὲς, τὸ μένειν ἡμῖν τὸ εὖ ἀεὶ παρὰ τῶν θεῶν, καὶ ὡς ἐκεῖνοι διαμένουσιν ἀεὶ ὅμοιοι ὄντες. PROCLUS.

Ibid. *ΚΑΔΔΥΝΑΜΙΝ Δ' ἘΡΔΕΙΝ.* Κατὰ τὸ δυνατόν σοι ἔρδε καὶ θύε τοῖς θεοῖς, τουτέστι ταῖς ψυχικαῖς δυνάμεσιν, ἤγουν, ὡς [n]) δύνῃ, βουλεύου καὶ δρῶ τὰ λῷστα καὶ κάλ-

Apophth. p. 172. B. ubi Wyttenbachius monet haec e Plutarchi commentario desumta esse.

i) Dedi *πάντα* pro vulg. *παντὶ* ex verissima emendatione Creuzeri ad Plotinum de Pulcrit. p. 375.

k) *απαλήπτοις* B. et mox *ἀρχομένους*.

l) *περιόδων αὐτοῦ* B. et mox *τηροῦντες*. *περιόδων* et *τηροῦντες* Trinc.

m) *ὃ μὴ* A. *ἀλλ' ἡμᾶς—τόπων* om. B. *τούπων* Trinc. *τόπων* Heins.

n) *δύνασαι* Trinc. et mox *πράττε* pro *δρῶ*.

184 λιστα. Ἢ θεοῖς [o]) θύε, τοῖς στοιχείοις νῦν καὶ τοῖς ἄστρασιν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· κατὰ δύναμιν πρὸς τοὺς οἰκείους καιροὺς ἐργάζου, ἃ μέλλεις ἐργάζεσθαι, ἐν ἔαρι ἃ δεῖ, καὶ θέρει, καὶ τοῖς λοιποῖς ὁμοίως καιροῖς. Μετέχουσι γὰρ καὶ οἱ καιροὶ στοιχειακῶν [p]) συγκραμάτων. Προόρα δὲ καὶ τοὺς ἐφεστῶτας ἀστέρας, [q]) ὡς δυνατόν. Συμβάλλονται γὰρ καὶ οἱ ἀστέρες τὰ μέγιστα πρός τε γεωργίαν καὶ φυτουργίαν καὶ ἐμπορίαν, καὶ συνόλως εἰπεῖν, πρὸς πάντα τὰ κατὰ τὸν βίον γινόμενα· [r]) τὰ δὲ περὶ θυσίας τῶν μυθουργουμένων θεῶν, δῆλα τοῖς βαναύσοις. Tzetzes.

335. *ἉΓΝΩΣ ΚΑΙ ΚΑΘΑΡΩΣ.* Ἁγνῶς ἐπὶ ψυχῆς λέγεται, καθαρῶς δὲ τὸ ἀῤῥυπάντως ἔχειν, ὡς ἐπὶ τοῦ σώματος. Tzetzes.

Ibid. *ΕΠΙ Δ᾽ ἈΓΛΑΑ ΜΗΡΙΑ ΚΑΙΕΙΝ.* [s]) Πραγματικῶς μὲν, δῆλον ὅτι μηριαῖα ὀστέα τοῖς θρυλλουμένοις θεοῖς ἔθυον· συμβολικώτερον [t]) δὲ, διὰ τούτων ἐπηύχοντο τὰς κατὰ τὸν βίον αὐτοῖς πορείας, καὶ τὰ ὁρμήματα, καὶ τῶν ἐνθυμήσεων καὶ τῶν λογισμῶν τὰ κινήματα εἰς αἴσιον ἀποβαίνειν, καὶ θεοειδῆ καταφαίνεσθαι· ὃ καὶ νῦν δηλοῖ, εὔθυνέ σου τὰς τῶν ἐργασιῶν πορείας, καὶ τὰ κινήματα τῶν λογισμῶν πρὸς τὸ θεοειδέστερον καὶ αἴσιον. Tzetzes.

Ibid. *ΚΑΙ ΚΑΘΑΡΩΣ.* Τουτέστι σὺν νεοπλυνεῖ ἐσθῆτι, καὶ ὀργάνοις καθαροῖς. Moschop.

Ibid. *ΕΠΙΚΑΙΕΙΝ ΔΕ ἈΓΛΑΑ ΜΗΡΙΑ.* Τουτέστι τὰ ὀστᾶ τῶν μηρῶν ἃ διὰ τὸ λευκὸν ἀγλαὰ λέγει. Ἄλλοτε δὴ διὰ σπονδῶν καὶ θυσιῶν, ἤγουν ἀπαρχῶν, ψαιστῶν δηλονότι, ἢ τοιούτων τινῶν, ἃ αἱ ὧραι δωροῦνται, θέλε ἐξευμενίζεσθαι αὐτοὺς, δηλονότι τοὺς θεούς· καὶ ὅτε εἰς ὕπνον τρέπῃ, τουτέστι νυκτὸς ἐπιούσης, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ, ἤγουν καὶ ἀρχομένης ἡμέρας, ὡς ἄν σοι ἔχωσιν εὐμενῆ τὴν καρδίαν καὶ τὸν λογισμὸν, ἵνα ἄλλων ἀνθρώπων κληρονομίαν σὺ ὠνῇ, ου τὴν σὴν ἄλλος. Moschop.

o) θύε om. Trinc. Mox idem ἄστροις. Ibid. κατὰ τὸ δυνατόν.

p) συγκράσεων Trinc.

q) κατὰ τὸ δ. E.

r) τὰ δὲ ad ἔθυον om. Trinc.

s) Ita E. G. πραγματικὸν edd. δῆλα E.

t) ὅτι Trinc. Paullo post ἐνθυμήσεων E. Trinc. ἐνθυμημάτων Bas. Heins. Mox ἀποβαίνειν E. Trinc. ἀποφαίνειν Bas. Heins. Infra διαλογισμῶν Trinc.

336. *ΣΠΟΝΔΗιΣΙ.* *Σπονδὴ ἡ τοῦ οἴνου ἐπίχυσις, [v]πρὸς τὰ ἱερουργούμενα· θῦος δὲ τὸ θυμίαμα, καὶ ἄρωμα [w]καὶ ὀσφράδιον. [x]Τοῦτο δέ φησι νῦν, προτρεπόμενος δεόντως πάντα ποιεῖν, βουλευόμενος καὶ φροντίζων, καὶ οἰκονομῶν σου τὸν βίον, ὁτὲ μὲν [y]πρὸς τοὺς περὶ σὲ χρῶ δικαίῳ θυμῷ, ὁτὲ δὲ διακεχυμένος [z]ἔσο καὶ ἱλαρὸς, καὶ μὴ ἀναι-* 185 *τίοις οὖσι χαλέπαινε. Ἀντὶ θυμοῦ δὲ λέγει νῦν τὴν σπονδήν· ὁ γὰρ οἶνος τὰς φρένας ἐξιστᾷ· ἐνίοτε καὶ θυμὸν ἐπάγει, ὡς καὶ Ἱππῶναξ,*

Ὀλίγα φρονοῦσιν οἱ χάλιν πεπωκότες.

καὶ Μελάνθιος ὁ Τραγικὸς περὶ θυμοῦ φησι,

Πράσσει τὰ δεινὰ, τὰς φρένας μετοικίσας.

[a]*οὕτω γοῦν τέθεικε τὴν σπονδὴν, ἀντὶ τοῦ θυμοῦ· τὸ θῦος δὲ, ἀντὶ τοῦ ἱλαρότητος· τὸ γὰρ θυμίαμα εὐφραίνει ψυχάς. Ἢ καὶ τοὐναντίον· ὅτι τὸ ἄρωμα καπνὸν ἐγείρει, κἂν αἴσιον· ὁ δὲ οἶνος [b]φιλιοῖ, καὶ συμπότας ποιεῖ.* TZETZES.

337. *Ἡ ΜΕΝ ΟΤ' ΕΥΝΑΖΗι.* *Καὶ νυξὶ καὶ ἡμέραις τὰ δέοντα [c]πράσσε.* TZETZES.

338. *ὩΣ ΚΕ ΤΟΙ ἹΛΑΟΝ.* *Ὅπως τὰ δέοντα βουλευομένῳ τε καὶ δρῶντι, ἔκ τε τῆς σῆς εὐβουλίας, καὶ τῆς τῶν στοιχείων καὶ τῶν καιρῶν εὐκρασίας, [d]καὶ εὐκαιρίας, καὶ ἐπιστάσεως τῶν ἀστέρων, πάντα σοι γένοιτο κάλλιστα.* TZETZES.

339. [e]ΟΦΡ' *ΑΛΛΩΝ ΩΝΗι ΚΛΗΡΟΝ.* Ὅπως οἰκονο*μικῶς καὶ εὐβούλως πάντα ποιῶν τὰς ἑτέρων αὐτὸς κληροδοσίας ὠνῇ.* TZETZES.

v) *ἐπὶ* Trinc.

w) *καὶ* male omittunt Bas. Heins. *ὀσφράδιον* substantivum est. Hoc exemplum addas iis quae congessit Ducangius.

x) *τοιοῦτο* Trinc. *τοῦτο δὲ τι φησὶ νῦν βουλόμενος* Bas. *φησὶ πρ. δ. π. π. νῦν* Heins. In E. desunt *προτρεπόμενος δ. π. π.*

y) *εἰς* Trinc. F. G. *προτρέπων ἐ. τ. δ. π. ποιεῖν* om. cum Trinc.

z) *ἔσο* et mox *μὴ* om. Trinc. ib. *καὶ γὰρ οἶνος φ. ἐξιστᾷ* E. Trinc. pro *μεθιστᾷ*. Melanthii versum citat Plutarchus T. II. p. 453. E. et p. 551. A. De hoc scriptore vide quae congessit Elmsleius ad Euripidis Medeam p. 98. Pro *Μελάνθιος* Trinc. habet *Μελάνθης*.

a) *οὕτω* om. Trinc. *τέθεικε γοῦν* ibid. et *θυμοῦ* pro *θῦμα*. Mox *ἀντὶ τοῦ* pro *ἀ. τῆς* ex E.

b) *εὐφραίνει* Trinc. *φίλους* F.

c) *πράττε ὅπως ταῦτα ποιοῦντι σοι ἔκ τε τῆς* mediis omissis Trinc.

d) *καὶ εὐκαιρίας* om. Trinc. Mox ibid. *πάντα γίνοιτο καλά*.

e) Deest hinc ad fin. Trinc.

340. ΤΟΝ ΦΙΛΕΟΝΤ' ΕΠΙ ΔΑΪΤΑ. Ταῦτα καὶ τὰ ἑπόμενα τούτοις περὶ τῶν πρὸς τοὺς φίλους καὶ γονέας καθηκόντων ἔχει τὴν παραίνεσιν οὐκ ὄντα ἠθικὰ, ὥς τισιν ἔδοξεν, ἀλλ' εἰς εὐγενὲς ἦθος καὶ δεξιὸν προσάγοντα τὸν πειθόμενον. Οὐ γὰρ δεῖ τὰ αὐτὰ φίλοις καὶ ἐχθροῖς ἀποδιδόναι, οὐδ' ὁμοίως ἑκατέρους ὁμοτραπέζους ποιεῖσθαι καὶ ὁμοσπόνδους, ἡγουμένους καὶ τράπεζαν βωμὸν εἶναι τῆς ἑστίας καὶ πάντων τῶν τὴν τροφὴν δωρησαμένων. Θύειν μὲν οὖν καὶ ἡμῖν νόμος πρὸ τοῦ τῆς τροφῆς ἅψασθαι· δεῖ οὖν μὴ τοὺς ἐχθροὺς ἄγειν ἐπὶ δαῖτα φιλίαν [f]) δὴ ὑποκρινομένους, ἀλλὰ τοὺς ὄντως φίλους, οἷς καὶ κοινωνεῖν ὅσιον, ὡς τῆς ἄλλης φιλίας οὕτω καὶ ἁλῶν καὶ σπονδῶν καὶ ἑστίας θεῶν καὶ φιλοφροσύνης. Καὶ γὰρ εἰ ὡς ἔτυχε καὶ τοὺς ἐχθροὺς ἑστιῶμεν, τί ποιήσομεν ἐκείνων ἡμᾶς ἐν μέρει καλούντων ἐπὶ τὰ ὅμοια; Μὴ ὑπακούοντες γὰρ ἀδικήσομεν τοὺς ὑπακούσαντας, ὑπακούοντες δὲ προησόμεθα ἑαυτοὺς ἀνθρώποις ἀπεχθῶς διακειμένοις. Ταῦτα μὲν οὖν
186 περὶ τῶν φίλων καὶ ἐχθρῶν τῆς συνεστιάσεως. Τὸν δὲ γείτονα τοῦ μὴ γείτονος αἱρετώτερον εἰς τοιαύτην ἡγεῖσθαι κοινωνίαν· δῆλον μὲν οὖν ὅτι λέγεται τῆς φιλίας κοινῆς οὔσης, οὐ γάρ που τὸν μὴ φίλον, γείτονα δὲ, [g]) δι' αὐτὸ τοῦτο παραινεῖ μᾶλλον τοῦ φίλου ποιεῖσθαι συνέστιον, προειπὼν τὸν φιλέοντα ἐπὶ δαῖτα καλεῖν· τούτου δὲ ὄντος φανεροῦ, πῶς οὐκ εὔλογον πλέον τοῖς γείτοσι νέμειν, ἢ τούτους μὲν παρεῖναι, τοὺς δὲ μὴ γείτονας εὐφραίνειν ταῖς φιλοτησίαις; Οὐδὲ γὰρ τὰς γειτονίας [h]) ἴσως οἴεσθαι δεῖ μάτην ἡμῖν ἀπονέμεσθαι τοιῶν ἢ τοιῶν ἀνθρώπων θεόθεν, ἀλλὰ καὶ τοῦτο εἰς τάξιν εἱμαρμένης φέρειν ἔχειν, καὶ προσήκει καὶ πρὸς ταύτην ἀφοσιοῦσθαι τὸν ἔχοντα νοῦν· τρόπον γάρ τινα καὶ ὁ γείτων ἡμῖν σύνοικός ἐστι καὶ ὁμωρόφιος. PROCLUS.

Ibid. [i]) ΤΟΝ ΦΙΛΕΟΝΤ' ΕΠΙ ΔΑΙΤΑ ΚΑΛΕΙΝ. Ἠθικὴ καὶ εὔληπτος ἡ παραίνεσις, καὶ μακρηγορίας οὐ χρὴ πρὸς τὴν ταύτης ἐξήγησιν. [129]) Εἰ δὲ ψευδοὺς μακρηγορίας τις δέ-

f) Ita A. Antea μή. Mox τοῖς ὄ. φίλοις B. Trinc.

g) Ita A. Antea τὸ αὐτό.

h) εἰσοίεσθαι A. Paullo post φέρειν omittunt A. B.

i) Deest hoc Schol. Trinc.

129) εἰ δὲ ψευδοῦς μακρηγορίας τις δέοιτο, τὸν Πρόκλον ὁράτω] Haec in Proclo non sunt, qui simpliciter exponit: δεῖν μὴ τοὺς ἐχθροὺς ἄγειν ἐπὶ δαῖτα, φιλίαν μὴ ὑποκρινομένους, ἀλλὰ τοὺς ὄντας φίλους: causam itaque non dico quin sequatur, ἢ καταψεύδεσθαι

οιτο, τὸν Πρόκλον ὁράτω. Τὸν φιλέοντα γὰρ **νῦν**, **τὸν φιλικὴν** καὶ εἰρηναίαν καὶ ἡσύχιον ἔχοντα γνώμην **φησίν· ἐχθρὸν** δὲ τὸν ἐχθρογνώμονα καὶ ταραχώδη τόνδε **μάλιστα καλεῖν**. Τοῦτον τὸν φιλόφιλον καὶ εἰρηναῖον καὶ **ἡσύχιον κάλει, καὶ** ὁμοτράπεζον ποίει, ὅστις πρὸς τῷ τοιοῦτος **εἶναι γειτνιᾷ** σοι. Tzetzes.

Ibid. *ΤΟΝ ΦΙΛΕΟΝΤ' ΕΠΙ ΔΑΙΤΑ ΚΑΛΕΙΝ.* Τὸν φιλοῦντα θέλε καλεῖν ἐπὶ ἑστίασιν, τὸν δὲ ἐχθρὸν **ὄντα, φιλίαν** δὲ ὑποκρινόμενον ἐᾶσαι. Πάλιν ἀπὸ τῶν ὄντως **φίλων τοῦτον** μάλιστα θέλε καλεῖν, ὅστις πλησίον οἰκεῖ· **τὸν πλησίον δὲ** λέγω μάλιστα καλεῖν, ἐπεὶ εἰ καὶ ἄλλη τὶς χρεία **ἐγχώριος γένηται**, οἱ γείτονες ἄζωστοι ἔκιον, ἀντὶ τοῦ **ἀπροφασίστως καὶ** χωρὶς ἀναβολῆς ἔρχονται. Moschop.

342. *ΕΙ ΓΑΡ ΤΟΙ ΚΑΙ ΧΡΗΜ' ΕΓΚΩΜΙΟΝ.* Ταῦτα τὴν τῶν γειτόνων εἰς τὸ βοηθεῖν ἡμῖν ἐν ταῖς **χρείαις προθυμίαν** παρίστησιν, ἀζώστων ἐκτρεχόντων καὶ **μονονουχὶ γυμνῶν**, μὴ δεομένων περιμεῖναι ζωσαμένους ἐξελθεῖν· **ἀλλ' ἅμα τῷ** συναισθέσθαι τῆς χρείας, [k]) τὴν παρ' ἑαυτῶν **συμμαχίαν ἕτοιμον** παρεχόντων. Τοὺς συγγενεῖς ὁπωσοῦν **ἐκάλεσε πηούς**, τοὺς ἐξ ἐπιγαμίας [l]) συναφθέντας λέγων, **οὕτω δεομένους καὶ** ζώσασθαι καὶ στείλασθαι τοιῶσδε, καὶ οὑτωσὶ **προσελθεῖν οἴ- 187**
κοθεν, ἵν' ἐπαμύνωσιν ἡμῖν δεομένοις. Τὸ μὲν **ΕΓΚΩΜΙΟΝ** *ΧΡΗΜΑ* δηλοῖ τὴν χρείαν τὴν συμπίπτουσαν **πᾶσι τοῖς ἐν τῷ** αὐτῷ δήμῳ κατοικοῦσι· κώμας γὰρ ἐκάλουν **τοὺς δήμους, ἢ** ἀπὸ τῶν χωμάτων ἃ περιέβαλον ταῖς οἰκήσεσιν, **εὐερκεῖς αὐτὰς** ποιοῦντες, ἢ κατὰ τὴν τοῦ διατρίβοντος ἔξω τῶν **οἰκήσεων ἕνεκα** τῶν ἔργων, διὰ τὸ κοιμᾶσθαι καὶ ἀναπαύεσθαι, **καὶ τὰς οἰκήσεις** ποιεῖσθαι· διὸ [m]) καὶ τὰ συστήματα τῶν οἰκήσεων, **κώμας ὠνόμα-**

τοῦ *Πρόκλου τὸν Τζέτζην*, vel quiddam Procli hic desiderari. Ipse tamen Tzetzes tali interpretatione utitur, ad locum illum, *τὸν φιλέοντα φίλει, τὸν μὲν φιλικὴν γνώμην ἔχοντα καὶ εἰδότα φιλεῖν, φίλει.* Heinsius.

k) Ita A. Vulgo deest *τήν*. Mox *τοὺς συγγενεῖς — δεομένους* ex B. pro *τῶν συγγενῶν — δεομένων*.

l) Ita A. Antea *συνελθόντας*. Mox *ἵν'* ex B. In seqq. sensu postulante dedi *ἐγκώμιον* pro *ἐγχώριον*. Dein *πᾶσαν* A. pro *πᾶσιν — ἢ κατὰ τῶν χωμάτων* B. Tr. *διατρίβοντας* B. Sequentia videntur mutila.

m) Inserui *καὶ* ex B. Mox pro *ἐζῶσθαι* legendum *ἄζωστοι*. Sed ne sic quidem omnia sana videntur, quomodo enim eadem vox significare potest *τὸ ἄοπλον καὶ τὸ ὡπλισμένον*? Excidit, ni fallor, aliquid ita fere restituendum; *Τὸ δὲ ἄζωστοι δ. μ. δ. τ. ἄ. ὡς καὶ ζώσαντο τὸ ὡπλισμένον.*

ζον. Τὸ δὲ ΕΖΩΣΘΑΙ, δύναται μὲν δηλοῦν τὸ ἄοπλον καὶ τὸ ὡπλισμένον· [120]) καὶ γὰρ Ὅμηρος τὸ ὁπλίζεσθαι, ζώννυσθαι, προσεῖπε·

— ζώννυσθαι ἄνωγεν Ἀργείους.

ἢ τὸ μὴ δὲ ζώνης δεηθῆναι, ὡς ἐπὶ ἔργον ἐξιόντας, [121]) δεόμενον τοῦ μὴ ἐμποδίζειν τὸν χιτῶνα χωρὶς ζώνης περικεχυμένον [n]) εἰς τὸ ἔργον, ἀλλὰ τὴν προθυμίαν φθάσαι τὸν ἐν τούτῳ λογισμόν· ὥσπερ τὸ ζώσασθαι, τὸ διὰ τὴν εἰρημένην τῆς ζώνης περίθεσιν ἀναβολὴν παρασχεῖν τῇ πρὸς τὴν καλοῦσαν χρείαν ἀπροφασίστως παῤῥησίᾳ. Proclus.

Ibid. [o])ΕΙ ΓΑΡ ΤΟΙ ΚΑΙ ΧΡΗΜ᾽ ΕΓΧΩΡΙΟΝ. Κατασκευάζει καὶ δείκνυσι, δι᾽ ἣν αἰτίαν λέγει τὸν φιλικὸν γείτονα προτιμᾷν τῶν ἄλλων φίλων, καὶ τινων συγγενῶν· καί φησιν, εἰ γὰρ ὑπόθεσίς τις, ἢ θόρυβος ἐγχώριος παρεμπέσοι, οἱ μὲν τοιοῦτοι γείτονες ἄζωστοι καὶ ἄοπλοι ἢ ἡμίγυμνοι μονονουχὶ καὶ συντόμως ἐκθέουσι πρὸς ἀρωγὴν καὶ βοήθειαν. Tzetzes.

343. ΖΩΣΑΝΤΟ ΔΕ ΠΗΟΙ. Ἠμέλησαν καὶ ἀνεβράδυναν οἱ πηοί. Πηοὶ δὲ λέγονται οἱ κατ᾽ ἐπιγαμίαν συγγενεῖς, ἐκ τοῦ πέος ὃ δηλοῖ τὸ αἰδοῖον· καταχρηστικῶς δὲ καὶ πάντες οἱ συγγενεῖς. Tzetzes.

Ibid. ΖΩΣΑΝΤΟ ΔΕ. Ἀντὶ τοῦ προφάσει χρῶνται καὶ ἀναβολῇ, οὐ μόνον οἱ φίλοι οἱ μακρὰν ὄντες, ἀλλὰ καὶ οἱ κατά τι προσήκοντες ἐν γένει. Πηοὶ γὰρ οἱ ἐξ ἐπιγαμίας συγγενεῖς. Moschop.

344. ΠΗΜΑ ΚΑΚΟΣ ΓΕΙΤΩΝ. Ταῦτα καὶ διὰ τῆς ἱστορίας ὁ Πλούταρχος [p])ἐπιστώσατο· καὶ γὰρ Αἰτωλοὺς καὶ

120) καὶ γὰρ Ὅμηρος τὸ ὁπλίζεσθαι, ζώννυσθαι προσεῖπε] Antiquiores omnes, si Pausaniae stamus: qui non aliam rationem reddit τοῦ ἀγάλματος τῆς Ζωστηρίας Ἀθηνᾶς in Boeoticis. Πλησίον δὲ Ἀμφιτρύωνος δύο ἀγάλματα λίθινα λέγουσιν Ἀθηνᾶς ἐπίκλησιν Ζωστηρίας. Λαβεῖν γὰρ τὰ ὅπλα αὐτὸν ἐνταῦθα, ἡνίκα Εὐβοεῦσι καὶ Χαλκώδοντι ἔμελλεν ἀντιτάξασθαι. Τὸ δὲ ἐνδῦναι τὰ ὅπλα, ἐκάλουν ζώσασθαι· καὶ δὴ Ὅμηρον Ἄρει τὸν Ἀγαμέμνονα ποιήσαντα ἐοικέναι τὴν ζώνην, τῶν ὅπλων τὴν σκευήν φασιν εἰκάζειν. Heinsius.

121) Fortasse δεόμενοι. Heinsius.

n) πρὸς A.

o) Deest hoc Scholion Trinc.

p) Comment. fragm. n. 11. Mox Χαλκηδονίους edidi pro Καρχηδονίους ex Graevii et aliorum emendatione, quam scripturam etiam libri tantum non exhibent in Tzetze. Grammaticus Anecdot. Bekkeri p. 303, 27. Σῦλα δοῦναι κατὰ τῆς Χαλκηδονίων πόλεως· ἐπι-

Ἀκαρνᾶνας Ἕλληνας ὄντας καὶ γείτονας ἐκτρίψαντας διὰ πλεονεξίαν ἀλλήλους, καὶ Χαλκηδονίους καὶ Βυζαντίους [q]) διὰ ἔμφυτον δυσμένειαν περὶ σκαλμοῦ διενεχθέντας ἐν τῷ Βοσπόρῳ ναυμαχήσαντας, καὶ ἐπὶ τῶν ἰδιωτικῶν γειτνιάσεων πολλὰ μὲν ἀγαθὰ συμβαίνειν διὰ ταύτας, ὡς ἐπὶ [r]) Φλάκκου καὶ Κάτωνος· πολλὰ δὲ τὰ ἐναντία. Τὰς γὰρ γειτνιάσεις, ἀφορμὰς προξενεῖν ἐνίοτε πολλῶν ἐπηρειῶν. Αὐτὸς μὲν οὖν τὸν βοῦν εἰς παράδειγμα παρέλαβε· δεῖ δὲ ἐκτείνειν ἐπὶ τὰ ὅμοια τὸν λόγον, ὡς οὐκ ἂν οὐδὲν ἀπόλοιτο διὰ τὸν γείτονα. [122]) Πρὸς ἃ καὶ οἱ παλαιοὶ νόμοι βλέποντες, ἐδικαίωσαν [s]) τῶν ἀπολλυμένων τοὺς γείτονας συναλλαγμάτων. PROCLUS. 188

Ibid. ΠΗΜΑ ΚΑΚΟΣ ΓΕΙΤΩΝ. Τοῦτο [t]) δηλοῖ καὶ ἐξ ἱστορίας. Αἰτωλοὶ γὰρ καὶ Ἀκαρνᾶνες γείτονες ὄντες ἀλλήλοις κακοὶ, διὰ τὴν τοῦ Καλυδωνίου συὸς κεφαλὴν, καὶ τὸ δέρμα, πρὸς ἀλλήλους πολεμήσαντες συνετρίβησαν. Ὁμοίως [v]) δὲ τούτοις καὶ [w]) Χαλκηδόνιοι καὶ Βυζάντιοι, [x]) διὰ πλοιαρίου σκαλμόν τινὸς διενεχθέντες, δεινῶς ἐναυμάχησαν ἐν τῷ Βοσπόρῳ, καὶ ἐπὶ τῶν κατὰ μέρος [y]) γειτνιάσεων πολλὰ τοιαῦτά τις καὶ ἐφευρήσειεν. TZETZES.

Ibid. ὍΣΣΟΝ Τ' ΑΓΑΘΟΣ ΜΕΓ' ΟΝΕΙΑΡ. Δείκνυσι τοῦτο Πλούταρχος. Θεμιστοκλέα γάρ φησιν, ἢ [130 z]) Κάτωνα, πιπράσκοντα τὸν ἀγρὸν λέγειν, ὅτι ἀγαθὸν ἔχει γείτονα. TZETZES.

γράψαι τὴν πόλιν λῃστεῦσαι. Aristot. Rhet. I. c. 13. Ἀδικοῦσι τοὺς πόρρω, καὶ τοὺς ἐγγύς· τῶν μὲν γὰρ λῆψις ταχεῖα, τῶν δὲ ἡ τιμωρία βραδεῖα· οἷον, οἱ συλῶντες τοὺς Καρχηδονίους. Lege Χαλκηδονίους, et refer ad τοὺς ἐγγύς. Paullo ante ἐκτρίψας A. Ἕλληνας ὄ. κ. γ. om. B.

q) διὰ τὴν ἔμφυτον A. Hemsterhusius in notis MSS. "Bas. ed. Hesiodi cum Schol. Tzetzis habet διὰ πλοιαρίου σκαλμὸν, quod rectum est. Legendum itaque hic περὶ σκαλμοῦ πλοιαρίου τινὸς, ac ita Tzetzi cum Proclo convenit."

r) φυλάκου A. B. Trinc. Mox οὐδὲν om. A. B. Trinc.

122) Scribe ἐδικαίωσαν περὶ τῶν et συναλλάγματα. HEINSIUS.

s) Haec, uti nunc leguntur, proculdubio mendosa sunt. Sententia videtur postulare ut hoc fere modo emendemus; εἰς τὰ ἀπολλύμενα τοὺς γείτονας συμβάλλεσθαι. Allusio est ad Cumaeorum institutum, cujus meminit Heraclides citatus ad Hesiodum h. v.

t) λέγει Trinc. et mox κατετρίβησαν.

v) δὲ τούτοις om. Trinc.

w) Καλχηδόνιοι H. Ita MS. apud Graevium. Καλχιδόνιοι F. Alii Καρχηδόνιοι.

x) περὶ πλοιαρίου τινὸς δ. πάνυ δ. Trinc. σκαλμὸν Bas. E. F. G.

y) δὲ γειτόνων E. γειτονιάσεων ed. Heins. Mox ἴδῃ τις ἂν pro τις καὶ ἐφ. Trinc.

130) Scribe Κάτωνα, ut apud Proclum est. HEINSIUS.

z) Dedi Κάτωνα ex Trinc. MS.

189 Ibid. *ΠΗΜΑ ΚΑΚΟΣ ΓΕΙΤΩΝ.* Βλάβη μεγάλη ἐστὶν ὁ κακὸς γείτων, καθ' ὅσον μεγάλη ὠφέλεια ὁ ἀγαθός. Moschop.

345. [a]) *ΕΜΜΟΡΕΝ.* Ἔτυχεν, ἐκ τοῦ μείρω, μερῶ, μέμορα, καὶ ἐκθλίψει ἔμορα, καὶ Αἰολικῶς ἔμμορα. Ἢ ἐκ τοῦ μοῖρα, ἡ μερὶς, ἔμοιρε τὸ ἔχειν, καὶ τροπῇ τοῦ ν εἰς μ, ἔμμοιρε, καὶ συστολῇ ἔμμορε. Tzetzes.

Ibid. *ΤΙΜΗΣ.* Τιμῶσι γὰρ ἀλλήλους οἱ χρηστοὶ τῶν γειτόνων. Tzetzes.

Ibid. *ΕΜΜΟΡΕ* καὶ ἔτυχε τιμῆς, ὅστις ἔτυχε γείτονος ἀγαθοῦ, οὐκ ἂν ἀπόλοιτο βοῦς τούτου, ἢ ἄλλο τι τοιοῦτον, εἰ μὴ ὁ γείτων εἴη κακός. Moschop.

346. *ΒΟΥΣ ΑΠΟΛΟΙΤ'.* Λέγεται ὅτι Θεμιστοκλῆς χωρίον πιπράσκων ἐκέλευσε κηρύττεσθαι, ὅτι ἀγαθὸν ἔχει γείτονα. Ἔνιοι δὲ βοῦν ἐδέξαντο τὴν γυναῖκα ἀπὸ τοῦ ἀλφεσίβοια, ὅτι οὐδ' ἂν γυνὴ μοιχευθείη, εἰ μὴ γείτων κακὸς εἴη. Ἢ οὐ μόνον τὸν κατὰ τὴν κώμην γείτονα, ἀλλὰ τὰ κτήνη τὰ ἐν τῇ ἀγροικίᾳ, ἢ πᾶν ὁτιοῦν κτῆμα. Proclus.

Ibid. *ΟΥΔ' ΑΝ ΒΟΥΣ.* Ἤγουν τὸ ἐργατικὸν αὐτὸ κτῆνος, [b]) οὐκ ἂν ἀφανισθείη, ἀγαθοῦ καὶ προσεκτικοῦ τοῦ γείτονος ὄντος· ἢ συμβολικώτερον, ἡ βοῦς ἡ ὑπὸ ζυγὸν, ἤγουν ἡ γυνὴ, οὐκ ἂν μοιχευθείη, μὴ κακοῦ γείτονος ὄντος. Tzetzes.

347. *ΕΥ ΜΕΝ ΜΕΤΡΕΙΣΘΑΙ.* Ὁποῖον εἶναι παρακελεύεται. Μετρεῖσθαι γὰρ καλῶς, τοῦτο δέ ἐστιν, ὁμολογοῦντα χάριν ἐν τῷ [c]) μετρεῖσθαι τῷ μετροῦντι, καὶ ἀποδιδόναι τὰ δοθέντα παρὰ τοῦ γείτονος, *ΑΥΤΩι ΤΩι ΜΕΤΡΩι.* Τοῦτο μὲν οὖν ὡς ἀναγκαῖον· τὸ δὲ *ΑΙΚΕ ΔΥΝΗΑΙ ΚΑΙ ΛΩΙΟΝ,* ἵνα τὶ [d]) κερδάνῃ καὶ ὁ γείτων ἄρξας τῆς χάριτος, ὡς μὴ μόνον, ὅσον ἐλάβομεν, ἀποδιδόναι, μετὰ δέ τινος προσθήκης τῆς ἡμῖν δυνατῆς. Τοῦτο γὰρ καὶ ποιήσει καὶ ἡμᾶς αὖθις

Graev. *Πλάτωνα* Heins. Bas. Verba ἢ *Πλάτωνα* delet Wyttenbachius. Stobaeus XXXVII. p. 221, 24. Θεμιστοκλῆς χωρίον πωλῶν, ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. Mox ὅτι γείτονα ἀγαθὸν οὐκ ἔχει Trinc.

a) Hinc ad fin. Scholii om. Trinc.

b) οὐκ ἂν ad ὄντος om. Trinc. Extrema sic habet id. ἢ συμβολικῶς ἡ ὑπὸ ζυγὸν γυνὴ οὐκ ἂν μιχθείη ἑτέρῳ, μὴ κακοῦ τοῦ γ. ὄ.

c) v. Salmas. de Usuris p. 275.

d) κερδάνῃ ex A. B. Trinc. κερδαίνῃ Heins.

χρήζοντας τυχεῖν ἐπαρκοῦντος τοῦ γείτονος. Ἡ γὰρ περὶ τὰ μικρὰ τῶν συναλλαγμάτων ἔλλειψις τῆς χάριτος ἐμποδὼν γίνεται ἡμῖν περὶ τὰ μείζονα, προδιαβάλλουσα τὴν τῶν λαμβανόντων γνώμην, ὡς ἀχαρίστου· τοῦ δὲ πρέποντος τυχοῦσα προξενεῖ καὶ τὴν ἐν τοῖς μείζοσι τῆς χρείας ἐκπλήρωσιν. Proclus.

Ibid. ΕΥ ΜΕΝ ΜΕΤΡΕΙΣΘΑΙ ΠΑΡΑ ΓΕΙΤΟΝΟΣ. Εἰδὼς ὁ ποιητὴς τὸν ἀδελφὸν Πέρσην ἅρπαγά τε καὶ ἀργὸν, μεταῤῥυθμίζει τῆς τοιαύτης τοῦτον κακίας, ἠθικωτέρως παιδεύων, καὶ οἰκονομικὸν αὐτὸν [e]) ἀπεργάζεσθαι βούλεται, προνουθετήσας ὅσα προείρηκεν· εἰδὼς δὲ αὐτὸν τοῖς δανείζουσιν ἀποστεροῦντα τὰ δάνεια, καὶ περὶ τούτου διδάσκει καὶ νουθετεῖ, λέγων, καλῶς μὲν μετροῦ καὶ δανείζου παρὰ τοῦ γείτο- 190
νος [f]) ἐν μέτρῳ καὶ σκεύει, καὶ μεδίμνῳ τινὶ, λαμβάνων ἅπερ δανείζῃ, οἷον σῖτον, ἔλαιον, οἶνον καὶ τὰ τοιαῦτα· καλῶς δὲ ἀπόδος [g]) τῷ γείτονι αὐτὸ τὸ μέτρον καὶ τὸν μοδισμὸν ὡς εἴπῃ τις· καὶ κρεῖττον, ἐὰν δύνῃ, ὅτι προκατήρξατο χάριτος, ὅπως καὶ ὕστερον χρηΐζων καὶ δανείζεσθαι ἐπιθυμῶν εὕρῃς αὐτὸν ἐπαρκοῦντα. Διαφέρει τὸ μετρεῖν, σταθμᾶν, ἀριθμεῖν. Τὸ μὲν γὰρ ἀριθμεῖν ἐπὶ ψήφου λέγεται, οἷον ἓν, δύο, καὶ τὰ λοιπὰ τῶν ἀριθμῶν· τὸ δὲ σταθμεῖν, ἐπὶ ζυγῶν, ὡς τὸ εἰπεῖν τυχὸν, ἐσταθμήθη καὶ ἔστι ταλαντιαίας ὁλκῆς· μετρεῖν δὲ λέγεται, τῷ μεδίμνῳ καὶ ἀγγείῳ τινὶ ἀποτίθεσθαί τι, ἢ διδόναι, οἷον σῖτον μεδίμνῳ, οἶνον καὶ ἔλαιον μετρηταῖς καὶ προχόοις. Tzetzes.

Ibid. ΕΥ ΜΕΝ ΜΕΤΡΕΙΣΘΑΙ. Καλῶς μὲν θέλε μέτρῳ δανείζεσθαι παρὰ γείτονος, καλῶς δὲ θέλε ἀποδοῦναι τοῦτο δι' αὐτοῦ τοῦ μέτρου, καὶ κρείττονος ἐὰν δύνῃ, ὅπως ἂν χρήζων καὶ ἐς ὕστερον, ἤγουν εἰς τὸ ἐπιὸν, εὕρῃς τὸ ἀρκοῦν σοι. Μέτρον λέγεται τὸ μετροῦν καὶ τὸ μετρούμενον· ἐνταῦθα τὸ πρότερον. Moschop.

e) ἀπεργαζόμενος Trinc. et mox νουθετήσας et τὸ δάνειον. Infra μέτρει.

f) Hinc ad τὰ τοιαῦτα om. Trinc. Mox καλῶς δὲ ἀποδίδω ἐν ταυτῷ τῷ μέτρῳ καὶ ἀγγείῳ δηλονότι ᾧ ἐδανείσω, ἢ καλῶς ἀποδίδωθι αὐτῷ τῷ γείτονι τὸ μέτρον E. καλῶς δὲ ἀποδίδωθι ἐν αὐτῷ τ. μ. κ. α. δ. ὃ ἐδανείσω ἢ κ. δὲ ἀ. ἀ. τ. γ. τ. μ. Καὶ τὸν μοδισμὸν ὡς εἴποι τις H.

g) Pro sequentibus habet Trinc. αὐτῷ τῷ μέτρῳ ἢ καὶ κρείττονι· ὅπως καὶ ὕστερον χρήζων εὕρῃς αὐτὸν ἐπαρκοῦντα· λέγεται δὲ τὸ

350. *ΜΗ ΚΑΚΑ ΚΕΡΔΑΙΝΕΙΝ.* *Τὰς ἄτας ταῖς ζημίαις εἶναι τὰς αὐτάς φησι, τὰ δὲ κέρδη περιποιητικὰ τινῶν ὠφελημάτων. Ὅσοι οὖν κακὰ κερδαίνουσιν,* [h]) *οὗτοί εἰσιν οἱ αἰσχροκερδεῖς. Τὰ δὲ κέρδη ταῖς ζημίαις ἴσα κερδαίνουσι· διὰ γὰρ τὴν αἰσχροκέρδειαν ταύτην μείζοσιν ἔσθ' ὅτε ζημίαις ἐνίσχονται.* Proclus.

Ibid. *ΜΗ ΚΑΚΑ ΚΕΡΔΑΙΝΕΙΝ.* *Μὴ κακῶς κέρδαινε, καὶ ἀπὸ φαυλοτάτων τρόπων.* Tzetzes.

Ibid. *ΜΗ ΚΑΚΑ ΚΕΡΔΑΙΝΕΙΝ.* *Μὴ κακὰ κέρδη θέλε κερδαίνειν· τὰ κακὰ κέρδη ἴσα ἄταις, ἀντὶ τοῦ ζημίαις· διὰ γὰρ τὴν αἰσχροκέρδειαν ἔσθ' ὅτε μείζοσι ζημίαις ἐνίσχονται ἄνθρωποι.* Moschop.

351. *ΤΟΝ ΦΙΛΕΟΝΤΑ ΦΙΛΕΙΝ.* *Τούτους ὁ* [i]) *Πλούταρχος ἐκβάλλει τοὺς στίχους. Ὁ γὰρ μέλλων λέγειν ὅτι τοῖς ἀγαθοῖς τὸ διδόναι προσήκει, καὶ ὡς χαίρουσι διδόντες, ἄτοπος ἂν εἴη λέγων καὶ διδόναι τῷ διδόντι, καὶ μὴ διδόναι τῷ μὴ διδόντι. Οὕτω γὰρ ἂν τὰς δόσεις ἀναγκαίας ἐποίει, τὰς δὲ προκαθηγουμένας τῶν εὐεργεσιῶν ἐξέκοψεν.* Proclus.

Ibid. *ΤΟΝ ΦΙΛΕΟΝΤΑ ΦΙΛΕΙΝ.* *Ὁ μὲν Πλούταρχος τούτους ὀβελίζει τοὺς στίχους, λέγων οὐδέποτε ἂν γενέσθαι φίλον, εἰ τῶν φιλιωθησομένων ἑκάτερος ἀναμένει* [k]) *παρὰ τοῦ*
191 *ἑτέρου προσφιλιωθῆναι. Οὐκ ἔστι δὲ τοῦτο, ἀλλ' οὕτως ἔχει τὰ ἔπη· τὸν μὲν φιλικὴν γνώμην ἔχοντα καὶ εἰδότα φιλεῖν φίλει· καὶ τῷ προσιόντι, καὶ εὐόμιλον γνώμην ἔχοντι, προσίεσο, καὶ εὐόμιλος ἔσο.* Tzetzes.

Ibid. *ΤΟΝ ΦΙΛΕΟΝΤΑ ΦΙΛΕΙΝ.* *Τὸν εἰδότα φιλεῖν, φίλει· καὶ τῷ προσερχομένῳ σοι θέλε προσεῖναι· ἀπὸ τοῦ προσιέναι κατὰ μετάθεσιν καὶ συναίρεσιν. Καὶ θέλε δοῦναι ἐκείνῳ ὃς ἂν δῷ, ἤγουν ὃς μεταδοτικός ἐστι, καὶ εἰ ἔχει, δοίη ἄν·* [l]) *καὶ μὴ θέλε δοῦναι ἐκείνῳ, ὃς οὐκ ἔστι μεταδοτικὸς, καὶ εἰ ἔχει οὐκ ἂν δοίη· τῷ μεταδοτικῷ μὲν ἔδωκέ τις, ἤγουν ἔχει λόγον δοῦναί τινα· τῷ μὴ μεταδοτικῷ δὲ οὐδεὶς ἔδωκεν, ἤγουν*

μὲν ἀριθμεῖν ἐπὶ ψήφου, τὸ δὲ σταθμεῖν ἐπὶ ζηγοῦ· τὸ δὲ μετρεῖν ἐπὶ δεμνίου καὶ τῶν τοιούτων· τὰ ἑξῆς δῆλα.

h) *οὗτοι δὲ* A.

i) Fragm. Comment. n. 14.

k) Ita E. Erat in edd. *πρὸ τοῦ ἑτέρου φιλιωθῆναι.* Deest hoc Scholion Trinc.

l) Accesserunt *καὶ μὴ—ἂν δοίη* ex B. Eadem auctoritate *οὐκ* statim delevi.

οὐκ ἔχει λόγον δοῦναι τινά. Ἡ δωρεὰ, ἀγαθόν ἐστι τῷ λαμβάνοντι δηλονότι, ἡ ἁρπαγὴ δὲ κακὸν τῷ ἁρπάσαντι. Moschop.

352. ΔΟΜΕΝ ὋΣ ΚΕΝ ΔΩι. Εἰς ἀπανθρωπίαν παρεισίησι τὸν βίον ὁ Ἡσίοδος· εἰ γὰρ ἐκδεξόμεθα μὴ μεταδιδόναι τισὶν, ἕως οὗ λάβωμεν, οὐδὲν οὔτε ληψόμεθα οὔτε δώσομεν· ἀλλ' ὃ βούλεται λέγειν, τοιοῦτόν ἐστι· τῷ μέντοι μεταδοτικῷ, εἰ καὶ μηδὲν ἔχει, φαίνοιτο δὲ ὅτι ἀεὶ ἐδίδου εἴπερ εἶχεν, μετεδίδου τῷ τοιούτῳ. Αὐτὸς γάρ φησιν ἐπεξηγούμενος, δώτῃ μέν τις ἔδωκε, τουτέστι τῷ μεταδοτικῷ ἔδωκέ τις· τῷ δὲ μὴ οὐκ ἔδωκε. Proclus.

Ibid. [m]) ΚΑΙ ΔΟΜΕΝ ὋΣ ΚΕΝ ΔΩ. Ὅστις εἰ εἶχε δωρητικὸς ἦν, καὶ εὐμετάδοτος. Tzetzes.

Ibid. ΚΑΙ ΜΗ ΔΟΜΕΝ. [n]) Τῷ τούτῳ ἐναντίον. Ὡς δόμεν, καὶ μὴ δόμεν, Ἰωνικῶς ἐνταῦθα ἐγράφησαν, καὶ τὸ, δώτῃ καὶ ἀδώτῃ, ὁμοίως τούτοις νοητέον τῷ δωρητικὴν γνώμην ἔχοντι, καὶ μὴ τοιαύτην· δότης δὲ καὶ ἀδότης [o]) ὁμικρογραφεῖται· Ἀττικῶς δὲ ἐνταῦθα ἐξετάθησαν. Tzetzes.

353. ΔΩΤΗι ΜΕΝ ΤΙΣ ΕΔΩΚΕ. Τὸν δότην καὶ ἀδότην, οὐ λέγει τὸν δεδωκότα πρότερον ἢ μὴ δεδωκότα, καὶ γὰρ ἂν καὶ τοῦτο ὑπεναντίως ἔλεγε τοῖς περὶ τῶν ἀγαθῶν δόγμασιν, ἀλλὰ τὸν δωρητικὸν χαρίτων ἐμμελῶν καὶ χαριέντων καὶ μὴ δωρητικόν. Ὁ [p]) Πλούταρχος εἰκάζει τοὺς τοιούτους, ὅσοι προαίρεσιν δωρητικὴν ἔχουσι, τοῖς σφαιρίζουσιν, οἳ λαβόντες τὴν ὑπ' ἀλλήλων ῥιφεῖσαν σφαῖραν, οὔτε κατέχουσιν, οὔτε ἀντιπέμπουσι τοῖς μὴ εἰδόσι σφαιρίζειν, ἀλλὰ τοῖς ἀντιπέμψαι δυναμένοις. Proclus.

354. ΔΩΣ ΑΓΑΘΗ. Τὴν μὲν δωρεὰν ἀγαθόν τι τῷ λαβόντι γίνεσθαι, τὴν δὲ ἁρπαγὴν ὀλεθρίαν εἶναι τῷ ἁρπάσαντι. Καὶ τὴν αἰτίαν προσέθηκε, τὸν μὲν ἑκουσίως [q]) δόντα, καὶ εἰ μέγα τι δοίη, λέγων ἐφ' ᾧ δίδωσι χαίρειν ὡς εὐεργέτην· τὸν δὲ ἀκουσίως ἀφῃρημένον, καὶ εἰ μικρὸν εἴη τοῦτο, παχνοῦσθαι 192
καὶ ἀλγύνεσθαι διὰ τὴν [r]) ἀκούσιον ἀφαίρεσιν. Εὖ δὲ καὶ τὸ

m) Deest hoc Scholion Trinc.

n) Τὸν τ. Bas. ὣς δόμεν E. Bas.

o) μικρὰ γράφονται G. H. Bas.

p) Fragm. Comm. n. 15. οὔτε κατέχουσιν ex A. B. Edd. οὐ κ. Paullo supra vulgo ὑπεναντίας et δόμασιν B. Trinc.

q) διδόντα et mox διδοίη B. Deinde vulgo λέγειν.

r) Ita A. Erat ἑκούσιον. Mox ἀκουσίως διδόντα, τουτέστι τὸν ἀφῃρημένον, εἰ καὶ μικρὸν B.

τὸν ἑκουσίως δόντα εἰπεῖν τέρπεσθαι ὃν κατὰ θυμόν. Οὐ γὰρ δεῖ τὴν δόσιν αὐτὸν κηρύττειν, ἀλλ' ἐν ἑαυτῷ στέγειν, καὶ ἔνδον ἔχοντα τὴν ἐνέργειαν ἐπ' αὐτῇ χαίρειν. [s]) Οὕτω γὰρ ἔσται δῆλος οὐχὶ διὰ τὸν ἔπαινον δοὺς τὸν παρὰ τῶν ἄλλων, ἀλλὰ δι' αὐτὸ τὸ [t]) καλὸν τῆς δόσεως εἶναι τὸ ἔργον. Εἶπε γὰρ

Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος.

Τούτους δέ τινες τοὺς στίχους ἐξέβαλον· [132]) ὁ δὲ [v]) Πλούταρ-
193 χος ἐγκρίνει. Δεῖν γὰρ καὶ τὸν φίλον συνεργὸν παραλαμβάνειν ἐπὶ ὡρισμένῳ μισθῷ· (ἔχθραν γὰρ προξενεῖ τὸ τῆς ἀμοιβῆς μετὰ τὸ ἔργον ἐλλιπὲς ἀδόκητον ὑπάρξαν·) τούτῳ δ' ὅμοιον, καὶ τὸ τὰ πρὸς τοὺς ἀδελφοὺς συναλλάγματα μὴ ἀμάρτυρα

s) οὔτε B.

t) Ita A. Erat καλὸν, ὡς εἶναι τῆς δόσεως.

132) Non bene haec capiunt magistri. Rationem quae Plutarchum movit ut contra caeteros versum hunc vindicaret, hanc statuit Proclus: δεῖν γὰρ τὸν φίλον συνεργὸν παραλαμβάνειν ἐπὶ ὡρισμένῳ μισθῷ: quae verba nihil aliud sunt, quam Scholion illorum, Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω: e quibus dimanavit supra illa Moschopuli interpretatio: πρὸς φίλον δὲ ἄνδρα, ὃν λαμβάνεις δηλονότι συνεργὸν ἐπ' ἔργοις, μισθὸς ἔστω συμπεφωνημένος ἱκανὸς τῇ γνώμῃ αὐτοῦ. At vero longe aliter intellexit Philosophus lib. 9. Ethicorum cap. 1. quam interpretes Graeci; ubi disputat, ποτέρου τὴν ἀξίαν τάξαι ἐστὶ, τοῦ προιεμένου, ἢ τοῦ προλαβόντος. Porro cum ille qui amico operam locat prius, de quo hic agit Hesiodus, sit omnino similis τῷ προιεμένῳ, quia operam suam locat, sicut ille qui prius dat donum; videtur ὁ προιέμενος permittere τῷ προλαβόντι ut tantum det quantum visum sit. Propterea concludit Hesiodus, ut philosophi loquuntur, ἐν οἷς μὴ γίνεται διομολογία τῆς ὑπουργίας, ubi de precio, dico, inter utrunque non convenit; ibi amico tantum sufficere debere, quantum statuit is qui opera ejus usus est. Sensus hic est: *Amicus si amico operam locavit, sufficiat merces ea quam amicus praescribit.* Id probat philosophus exemplo Protagorae, τοῦ πρῶτον ἐπὶ μισθῷ διδάξαντος· τὴν ἀξίαν δὲ ποτέρου τάξαι ἐστὶ, τοῦ προιεμένου, ἢ τοῦ προλαβόντος· ὁ γὰρ προϊέμενος, ἔοικεν ἐπιτρέπειν ἐκείνῳ· ὅπερ φασὶ καὶ Πρωταγόραν ποιεῖν. Ὅτε γὰρ διδάξειεν ἃ δήποτε, τιμῆσαι τὸν μαθόντα ἐκέλευεν ὅσου δοκεῖ ἄξια ἐπίστασθαι, καὶ ἐλάμβανε τοσοῦτον. Ἐν τοῖς τοιούτοις δ' ἐνίοις ἀρκεῖ τὸ, Μισθὸς δ' ἀνδρί. Μισθὸς ea merces est quae in amici arbitrio relinquitur: quamobrem errant, cum ὁ συμπεφωνημένος exponunt, tanquam hoc sibi vellet vox εἰρημένος: est enim erratum παρὰ τὴν συνέχειαν, cum conjungunt, ἀρκεῖ ἀνδρὶ φίλῳ, cum conjungendum sit τὸ εἰρημένος et τὸ ἀνδρὶ φίλῳ. Reddere igitur hoc modo debuisset Moschopulus: πρὸς φίλον δὲ ἀνδρὸς ὅταν λαμβάνῃ δηλονότι συνεργὸς, μισθὸς ὁ ταχθεὶς ὑπ' αὐτοῦ τῇ γνώμῃ σοῦ ἱκανὸς ἔστω. Eadem ratione emendandus et Proclus. Heinsius.

v) Fragm. Comm. n. 16. Sequentia emendavi partim ope A. ubi ἔ. γὰρ προξ. τὸ μετὰ τῆς ἀ. μετὰ τὸ ἔ. In edd. ἔχθραν προξ. τὸ μ. τ. ἀ. ἔργον ἐ. Conjecit Wyttenbachius ἐπεὶ ἔχθραν προξενεῖ μετὰ τὸ ἔργον τὸ τῆς ἀμοιβῆς ἐλλιπὲς ἀδοκήτως ὑπ.

ποιεῖσθαι, τὸ δ' ἐπαχθὲς ἀφαιρῶν εἶπεν, ὅτι γελάσας, τουτέστιν ὡς παίζοντας καὶ μὴ σπουδάζοντας· πολλοὺς γὰρ ἀπολέσθαι διὰ τὸ πιστεῦσαί τισιν οἷς ἀπιστεῖν δέον, w) ἀπιστῆσαι δὲ πάλιν οἷς πιστεῦσαι δέον. Διὸ χρεία τῆς ἐπὶ τῶν μαρτύρων ὁμολογίας, καὶ ἐπὶ τῶν ἀδελφῶν καὶ ἐπὶ τῆς τοῦ μισθοῦ προομολογίας, καὶ ἐπὶ τῶν φίλων. PROCLUS.

354. x) ΔΩΣ ΑΓΑΘΗ. Οὐ δεῖται ἐξηγήσεως καὶ ἑρμηνείας, σαφῆ γάρ εἰσι. TZETZES.

Ibid. ΘΑΝΑΤΟΙΟ ΔΟΤΕΙΡΑ. Θανάτου πρόξενος· ἤγουν τὸ δεδωκότος τινὸς λαβεῖν, οὐ κακὸν, ἀλλ' ἀγαθόν· τὸ δὲ βιαίως λαβεῖν μὴ βουλομένου δηλονότι τοῦ κεκτημένου, κακὸν καὶ θανάτου πρόξενον. Εἶτα τὴν αἰτίαν προστίθησι· καί φησιν, ὃς μὲν γὰρ ἂν ἀνὴρ δώῃ ἐθέλων, οὗτος κἂν μέγα δώῃ, χαίρει ἐπὶ τῷ δώρῳ, καὶ τέρπεται κατὰ τὴν ἑαυτοῦ ψυχήν· ὃς δ' ἂν αὐτὸς ὑφ' ἑαυτοῦ προτραπεὶς ἀφέληταί τι τῇ ἑαυτοῦ ἀναιδείᾳ πεισθεὶς, καὶ σμικρὸν ὂν τοῦτο τὸ λαμβανόμενον, ἐπάχνωσεν, ἤγουν ἐλύπησε, τὴν φιλουμένην ψυχὴν τοῦ ἀφαιρεθέντος. Ἐὰν γὰρ μὴ ἀγανακτοῦντος ἐκείνου σὺ λάβῃς μικρὸν, εἶτα πάλιν σμικρὸν ἐπὶ τῷ σμικρῷ ἐπιθεῖο, καὶ θαμινῶς τοῦτο πράττοις, ἴσως ἂν καὶ τοῦτο μέγα γένοιτο· ὅστις δὲ ἐπὶ τῷ ὑπάρχοντι καὶ ἕτερόν τι φέρων τίθησιν, οὗτος ἐκφεύξεται τὸν καυστικὸν λιμόν. Οὐ λυπεῖ δὲ ἄνθρωπον τὸ ἀποκείμενον ἐν τῷ οἴκῳ. Ἐν τῷ ἰδίῳ οἴκῳ βέλτιον εἶναι, ἐπεὶ τὸ ἐν ἀλλοτρίῳ οἴκῳ, τοῦτο γὰρ δύναται τὸ θύρηφι, βλαβερὸν, τουτέστιν οὐκ ἀσφαλὲς, πταιστόν· ἀγαθὸν μὲν ἀπὸ τοῦ παρόντος λαβεῖν, πῆμα δὲ θυμῷ, ἀντὶ τοῦ ἀνία τῇ ψυχῇ καὶ πάθος, χρῄζειν ἀπόντος, ἅ τινα σκοπεῖσθαί σε διακελεύομαι. MOSCHOP.

355. y) ΟΣ ΜΕΝ ΓΑΡ ΚΕΝ ΑΝΗΡ. Ὅστις γὰρ ἐθελουσίως δώῃ, κἂν μέγα δῷ, χαίρει. TZETZES.

357. ΟΣ ΔΕ ΚΕΝ ΑΥΤΟΣ ΕΛΗΤΑΙ. Ὁ δὲ ἐξ ἀναιδείας ἀφελόμενός τι, κἂν μικρὸν ἀφέληται, z) λυπεῖ κατὰ τοῦτο τὸν ἀφαιρεθέντα. Παχνοῦν γὰρ τὸ λυποῦν, ἀπὸ μεταφορᾶς τῆς πάχνης, τῆς λυπούσης τὰ λήϊα. TZETZES.

w) ἀπιστῆσαι — πιστῆσαι A. πιστοῦσθαι — ἀπιστεῖσθαι — πιστοῦσθαι edd.

x) Deest hoc Schol. Trinc.

y) Deest hoc Schol. Trinc.

z) Ita E. F. G. λυπεῖται Heins. Bas.

359. *ΕΙ ΓΑΡ ΚΕΝ ΚΑΙ ΣΜΙΚΡΟΝ.* [a]) Δοκεῖ μὲν ἀπηρτῆσθαι τοῦτο τοῦ προῤῥηθέντος· ἔχει δὲ καὶ συνέχειαν.
194 Ἐπειδὴ γὰρ εἶπεν ὅτι κἂν ᾖ σμικρὸν τὸ ἀφαιρεθὲν, παχνοῖ τὸν ἀφαιρεθέντα διὰ τὴν ἀκούσιον ἀφαίρεσιν, ἐπήγαγεν, ὅτι τὸ σμικρὸν ἐπισωρευόμενον μὲν μέγα τὶ γίνεται, ἀφαιρούμενον δὲ εἰς τὸ μηδὲν καταλήγει· ὥστε εἰκότως λυπεῖ καὶ τὸ σμικρὸν ἀφαιρούμενον. Καὶ εἰ τοῦτο ἀληθὲς, ὀρθῶς Ἀριστοτέλης ἔλεγεν, ὅτι χείριστον τῶν ἐν τῷ βίῳ τὸ ΜΗ ΠΑΡΑ ΤΟΥΤΟ λεγόμενον. Εἰ γὰρ [b]) καταφρονοῖτο ὡς μικρὸν ἕκαστον, καὶ ἐπιλέγοιμεν μὴ παρὰ τοῦτο, κακῶς πράξοιμεν. Ἐν μὲν οὖν οἰκονομίαις λιμώξομεν τοῦτο ἀεὶ ἐπᾴδοντες, ἐν δὲ τῇ διαίτῃ νοσήσομεν, πολλάκις μὲν παρορῶντες τὸ ὀρτὸν, λέγοντες δὲ ταύτην τὴν φωνήν· ἡ γὰρ καθ' ἓν ἕκαστον ἔλλειψις μεγάλην ἀθροίζει τοῖς παρορῶσι τὴν βλάβην. PROCLUS.

Ibid. [c]) *ΕΙ ΓΑΡ ΚΕΝ ΚΑΙ ΣΜΙΚΡΟΝ ΕΠΙ ΣΜΙΚΡΩι.* Κατασκευάζει, πῶς ὁ σμικρὸν ἀφαιρεθεὶς λυπεῖται· καί φησι, εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ ἐπάγοις καὶ συνεχῶς τοῦτο δρᾷς, ταχέως μεῖζον γένοιτο. TZETZES.

361. *ΟΣ Δ' ΕΠ' ΕΟΝΤΙ ΦΕΡΕΙ.* Εἰ αἱ κατὰ σμικρὸν ἀφαιρέσεις εἰς τὴν τοῦ παντὸς ἀπώλειαν ἄγουσιν, αἱ κατὰ σμικρὸν προσθέσεις ἀεὶ ἐπὶ τὸ πλεῖον ὁδεύουσαι, καὶ τῶν ἤδη [d]) προστεθέντων πλεῖον ἐπάγουσαι, δῆλον ὡς εὐπορίαν περιποιοῦσι. Τοῦτο οὖν καὶ κατακείμενον, ὅσον ἀεὶ ἐπισυνάγεται καὶ θησαυρίζεται, μὴ λυπεῖν τὸν συνάγοντα· τὴν δ' ἀφαίρεσιν λυπεῖν, ὡς εἴρηται, διὰ τὴν ἐλπιζομένην διαφόρησιν, τοιαύτης ἀφαιρέσεως γινομένης πολλάκις ἀκουσίου τοῖς ἀπολλύουσιν. PROCLUS.

Ibid. [e]) *ΟΣ Δ' ΕΠ' ΕΟΝΤΙ ΦΕΡΕΙ.* Ὅστις ἐπὶ τῷ ἐφυπάρχοντι φέρει, ἐκφευξεῖται τὸν καυστικὸν καὶ θερμὸν λιμόν. TZETZES.

362. *ΟΥΔΕ ΤΟ Γ' ΕΙΝ ΟΙΚΩι ΚΑΤΑΚΕΙΜΕΝΟΝ.* Οὐδὲ τὸ ἐν οἴκῳ ἐναπόθετον τῶν ἐτησίων καρπῶν λυπεῖ ἀνέρα καὶ ἄνθρωπον. TZETZES.

a) Fragm. Comm. Plutarch. n. 17. Dedi τὸν ἀφαιρεθέντα pro τὰ ἀφ. Dictum Aristotelis μὴ παρὰ τοῦτο, *Quid enim id est, quod per hoc mihi fiet*, illustravit Wyttenbachius ad Plutarch. II. p. 85. E.

b) Ita A. ut Wyttenbachius conjecit. Olim καταφρονεῖτο.

c) Deest hoc Schol. Trinc.

d) προτεθέντων B. Trinc.

e) Deest hoc Schol. Trinc.

Ibid. *ΟΥΔΕ ΤΟ Γ' ΕΙΝ ΟΙΚΩι.* Οὐδὲ τὸ ἔχειν, φησὶ, πάντα ἐν τῷ οἴκῳ, σαπρόν· κρεῖσσον γὰρ τὸ εἰπεῖν [f]) εἴσελθε φέρε, ἢ τὸ ἔξελθε φέρε· καὶ γὰρ τὰ ἐν τῷ οἴκῳ κείμενα ἀσφαλέστερά εἰσιν· εἰ γὰρ ἐν ἀγρῷ ἔχει τις οἶνον ἢ σῖτον, οὐκ εὐχερές ἐστιν εἰσιέναι καὶ φέρειν. Proclus.

363. [g]) *ΟΙΚΟΙ ΒΕΛΤΕΡΟΝ ΕΙΝΑΙ.* Κατ' οἴκους κρεῖττον εἶναι ἀποτεθειμένα τὰ ἐτήσια τῶν καρπῶν. Tzetzes.

Ibid. *ΕΠΕΙ ΒΛΑΒΕΡΟΝ ΤΟ ΘΥΡΗΦΙ.* Χαλεπὸν γὰρ τὸ μὴ ἀποκεῖσθαι ταῦτα ἐν τῷ οἴκῳ, ἀλλ' ἐκ τῶν θύραθε καὶ ἔξω ταῦτα ὠνεῖσθαι. Tzetzes.

364. *ΕΣΘΛΟΝ ΜΕΝ ΠΑΡΕΟΝΤΟΣ ἙΛΕΣΘΑΙ.* Ὅτι 195
πρὸ τῶν χρειῶν εὐτρεπίζειν δεῖ τὰ ἐσόμενα χρήσιμα πρὸς τὰς χρείας, ἐκ τούτου διδασκόμεθα. Τότε γὰρ ἀπὸ τῶν παρόντων χρησόμεθα πᾶσιν, ὅτ' ἂν αὐτὰ προευτρεπισμένα ἔχωμεν· κἂν ἐν τῷ παρόντι οὖν ἄχρηστον ᾖ τί, φυλακτέον αὐτὸ πρὸς τὴν χρείαν, εἰ μέλλοι ποτὲ χρήσιμον ἔσεσθαι· πῆμα γὰρ εἶναι τῷ θυμῷ, χρήζειν μέν τινος, ἀπεῖναι δὲ τοῦτο χρηζόντων ἡμῶν. Proclus.

Ibid. [h]) *ΕΣΘΛΟΝ ΜΕΝ ΠΑΡΕΟΝΤΟΣ ἙΛΕΣΘΑΙ.* Ἀγαθὸν γὰρ ἔσωθεν καὶ ἐν τῷ οἴκῳ ἀποκειμένων τῶν ἐτησίων τροφῶν λαμβάνειν ὅτε δεήσει· λυπηρὸν δὲ δεῖσθαι τούτων μὴ ὄντων ἐν τῷ οἴκῳ, καὶ ἐξ ἐργαστηρίων καὶ τῶν ἐμπορίων συνεχέστερον ἐξωνεῖσθαι. Tzetzes.

365. *Ἁ ΣΕ ΦΡΑΖΕΣΘΑΙ ΑΝΩΓΑ.* Ἀντίπτωσις, περὶ ὧν σε βουλεύω καὶ νουθετῶ βουλεύεσθαι. Tzetzes.

366. *ΑΡΧΟΜΕΝΟΥ ΔΕ ΠΙΘΟΥ ΚΑΙ ΛΗΓΟΝΤΟΣ.* Καὶ ἐν τοῖς πατρίοις ἐστὶν ἑορτὴ Πιθοιγία, καθ' ἣν οὔτε οἰκέτην οὔτε μισθωτὸν εἴργειν τῆς ἀπολαύσεως τοῦ οἴνου θεμιτὸν ἦν, ἀλλὰ θύσαντας πᾶσι μεταδιδόναι τοῦ δώρου [i]) τοῦ Διονύσου· καλῶς οὖν εἴρηται δεῖν ἀρχομένου πίθου κορέσασθαι, καὶ τῇ ἑορτῇ συμφώνως· δεῖ δὲ καὶ [k]) φειδοῦς ταμιευομένοις

f) Ita A. Olim ἐλθὲ. Mox τὸ ex A. Deinde ἥκεις γὰρ ἐν ἀγρῷ· ἔχει τις οἶνον ἢ σιτητὸν A. et B. Trinc. ubi σῖτον.

g) Deest hoc Scholion Trinc. Mox ἀποτιθέμενα F.

h) Deest hoc Scholion Trinc.

i) Deest articulus B. ubi mox δεῖ. Hoc Scholion Plutarcho tribuit Wyttenbachius n. 18.

k) Forte δεῖν δὲ καὶ φείδεσθαι μειουμένου, ὥστε τὴν ἀπόλαυσιν ἡμῖν γενέσθαι καὶ εἰσαῦθις. At, quum Trincav. habeat δεῖ δὲ καὶ φειδοῦντα μιευομένους τὴν ἀπόλαυσιν, forte legendum δεῖ δὲ καὶ

τὴν ἀπόλαυσιν, ὥστε καὶ εἰσαῦθις ἡμῖν γενέσθαι καὶ αὖθις. Εἰ δὲ l) ἀπαναλωθέντος τοῦ πλείστου τὸ λειπόμενον ὀλίγον εἴη, χαλεπὴν εἶναι τὴν φειδῶ· τότε γάρ φησι τάχα ἂν καὶ τραπείη καὶ ἄχρηστον γένοιτο τοῖς φεισαμένοις. Τὸ μὲν οὖν ἀρχομένου κορέσασθαι, παιδεύει πρὸς κοινωνίαν, τὸ δὲ μεσσόθι φείδεσθαι, πρὸς οἰκονομίαν· τὸ δὲ χαλεπὴν εἶναι τὴν ἐν τῳ πυθμένι φειδῶ, πρὸς ἀπόλαυσιν τῶν κατὰ καιρόν. *ΑΛΛΩΣ. ΑΡΧΟΜΕΝΟΥ ΔΕ ΠΙΘΟΥ.* Ἵνα ἀκριβὴς ᾖ ἡ παραίνεσις, καὶ περὶ τῶν εὐτελῶν λέγει· τινὲς δὲ ἀλληγορικῶς λέγουσι τὸν λόγον εἶναι τῆς ἡλικίας, ὥστε ἀρχόμενον αὐτὸν καὶ γηρῶντα ἀπολαύειν, κατὰ δὲ τὴν μέσην ἡλικίαν ἐργάζεσθαι. Ἵνα εἴπῃ, κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὸ τέλος τοῦ πίθου ἐσπουδασμένως πίνειν ὡς ἀσθενεστέρου· ὁ γὰρ μεταξὺ οἶνος ἰσχυρότερος ἅμα καὶ ἐπίμονος. PROCLUS.

Ibid. *ΑΡΧΟΜΕΝΟΥ ΔΕ ΠΙΘΟΥ ΚΑΙ ΛΗΓΟΝΤΟΣ.* Ἐν ταῖς πατρίοις τῶν Ἑλλήνων ἑορταῖς ἐτελεῖτο καὶ τὰ ἀσκώ-
196 λια, καὶ m) ἡ πιθοιγία, εἰς τιμὴν Διονύσου, τουτέστι τοῦ οἴνου αὐτοῦ. n) Καὶ τὰ μὲν ἀσκώλια τοιῶσδε ἐγίνετο· ἀσκοὺς πεφυσημένους καὶ πνεύματος πεπληρωμένους τιθέντες κατὰ γῆς, ἐνὶ ποδὶ ἐφαλλόμενοι ἄνωθεν τούτων ἐφέροντο, καὶ πολλάκις κατολισθαίνοντες εἰς γῆν ἔπιπτον. Τοῦτο δὲ ἐποίουν, ὡς ἔφην, τιμῶντες τὸν Διόνυσον. Ὁ γὰρ ἀσκὸς δέρμα τράγου ἐστίν· ὁ δὲ τράγος τοὺς θαλλοὺς τῆς ἀμπέλου τρώγων o) λυμαίνεται. 135) Ἡ πιθοιγία δὲ p) κοινὸν ἦν συμπόσιον· ἀνοίξαντες γὰρ τοὺς πίθους πᾶσι μετεδίδουν τοῦ q) Διονύσου δωρήματος. Τοῦτ' οὖν καὶ ἐνταῦθα λέγει, r) ἀποπωμάσας τὸν

φειδοῦς ταμιευομένοις, ὥστε τὴν ἀπόλαυσιν—WYTTENBACH. Exhibui lectionem A. In B. φειδοῦν ταμιευομένους. Aliquando suspicabar legendum esse, δεῖ δὲ καὶ φείδεσθαι (vel φειδοῦς) μεσοῦντος, ταμιευομένοις τὴν ἀπόλαυσιν, ὥστε καὶ εἰσαῦθις ἡμῖν γενέσθαι.

l) παραναλωθέντος B. πλήθους suprascripto πλείστου A. Deinde ὀλίγον inserui ex A. quod ex conjectura reponendum monuerat Wyttenbach.

m) τὰ πιθοίγια Trinc. τουτέστι τοῦ οἴνου ibid. desunt. Supra ἀσθενεστέρους Trinc.

n) ἐγένετο δὲ τὰ ἀσκώλια οὕτως Trinc.

o) λυμαίνεται ταύτην Trinc.

135) Scribo, ἡ πιθοιγία δὲ Διονυσιακὸν ἦν συμπόσιον. HEINSIUS.

p) Dedi κοινὸν ex Trinc. E. κοινωνίας F. συμποσικὸν G. συμποσιακὸν Bas. Heins. Mox ἀνεώξαντες E. F. Bas.

q) Διονυσίου δωρήματος Trinc. Legendum videtur Διονυσιακοῦ δωρήματος. Bas. et Heins. Διονύσου δωρήματα.

r) ἀνοίξας Trinc. Idem τοῖς οἰκέταις sine μισθωτοῖς καί.

πίθον εἰς κόρον τοῦ οἴνου σὺν μισθωτοῖς καὶ οἰκέταις ἀπόλαυε. Ἐαθεὶς γὰρ ἐπιχειλὴς [s]) μετὰ τὴν ἄνοιξιν ὀξίνης ἂν καὶ ἐκτροπίας [t]) γένοιτο, καὶ λήγων δὲ ὁμοίως ἄχρηστος ἔσται· πρὸς τούτοις δὲ καὶ ἡ τρὺξ ἐνοχλεῖ καὶ λυπεῖ. Tzetzes.

366. *ΑΡΧΟΜΕΝΟΥ ΔΕ ΠΙΘΟΥ.* Ἀρχὴν δὲ λαμβάνοντος ἀναλοῦσθαι τοῦ ἐν πίθῳ οἴνου, καὶ λήγοντος, ἤγουν ὅτε ἄρχεται ὁ πίθος ἀναλοῦσθαι, καὶ ὅτε λήγει ἀναλούμενος, κορέσθητι· κατὰ τὸ μέσον δὲ ἐγκρατῶς αὐτῷ χρῶ· χαλεπὴ δὲ ἐν τῷ τέλει ἡ φειδώ. Ὁ γὰρ καταλειπόμενός φασιν ὀλίγος οἶνος ἐν ἀγγείῳ εὐκόλως ἔχει τραπῆναι καὶ ἄχρηστος γενέσθαι. Moschop.

367. *ΜΕΣΣΟΘΙ ΦΕΙΔΕΣΘΑΙ.* Ὅτι τε ἄριστος τότε ὁ οἶνος, καὶ ὅτι δέος ἐστὶ, μὴ πρὸ τοῦ δέοντος [v]) ἐπιλείψῃ. Ἄλλοι δὲ ἀλληγορικῶς ἐπὶ τῶν τριῶν ἡλικιῶν τὸν πίθον φασὶ, παιδικῆς, ἀκμαστικῆς, καὶ γεροντικῆς. Καί φησιν, ὅτι παῖς ὢν καὶ γηρῶν ἀπόλαυε τῶν τοῦ βίου ἡδέων· κατὰ δὲ τὴν ἀκμαστικὴν ἡλικίαν ἐργάζου. Tzetzes.

368. *ΜΙΣΘΟΣ Δ' ΑΝΔΡΙ ΦΙΛΩι.* Πρὸς φίλον δὲ ἄνδρα, ὃν λαμβάνεις δηλονότι συνεργὸν ἐπ' ἔργοις, μισθὸς ἔστω [w]) σοι συμπεφωνημένος ἱκανὸς τῇ γνώμῃ αὐτοῦ. [131]) Καὶ πρὸς τὸν ἀδελφὸν δὲ θέλε θεῖναι ἐπιμάρτυρα, εἰ συνάλλαγμά τι δη- 197
λονότι ποιεῖς μετ' αὐτοῦ, γελάσας, ὡς παίζων δηλονότι, οὐ σπουδάζων, διὰ τὸ ἐπαχθές. Αἱ πίστεις, αἱ πρὸς ἐκείνους δηλονότι, οἷς οὐκ ἔδει πιστεύειν, καὶ αἱ ἀπιστίαι αἱ πρὸς ἐκείνους, οἷς ἔδει πιστεύειν, ὤλεσαν ἄνδρας. Moschop.

371. *ΜΗ ΔΕ ΓΥΝΗ ΣΕ ΝΟΟΝ.* Τὸν ἄτοπον τῶν γυναικῶν καλλωπισμὸν διὰ τῶν περιβλημάτων δηλοῖ, τὸν ἐπίθετον, καὶ τὴν ἑταιρικὴν κολακείαν τὸ αἱμύλα κωτίλλειν. Δεῖ οὖν ὑπὸ τούτων μὴ ἀπατᾶσθαι· ταῦτα γὰρ γυναικὸς εἶναι καλ-

s) Ita Trinc. μετὰ καταρχὴν Bas. κατὰ κ. Heins.

t) γενήσεται Bas. Heins. γένοιτο Trinc. ibid. ἀχρεῖος.

v) ἐπιλείψειεν Bas. Heins.

w) σοι addidi ex B. Eidem debentur δηλονότι—ἐκείνους.

131) In Veneta editione scriptum erat: καὶ πρὸς τὸν ἀδελφὸν δὲ θέλε θεῖναι ἐπὶ μάρτυρα, εἴ συνάλλαγμά τι δηλονότι ποιεῖς μετ' αὐτοῦ, γελάσας, ὡς παίζων δηλονότι οἷς οὐκ ἔδει πιστεύειν, sine ullo sensu. Clarissimus Vulcanius in exemplari suo annotarat, πίστεις γάρ. Nos sensum ita constituimus: καὶ πρὸς τὸν ἀδελφὸν δὲ θέλε θεῖναι ἐπὶ μάρτυρα, εἰ συνάλλαγμά τι δηλονότι ποιεῖς μετ' αὐτοῦ, γελάσας, ὡς παίζων. Πίστεις γὰρ αἱ πρὸς ἐκείνους δηλονότι. etc. Optime. vide Proclum. Heinsius.

λωπιστικῆς καὶ ἀπατηλῆς, ὁρώσης [133]) εἰς ἀπάντησιν τῆς καλιᾶς. ΚΩΤΙΛΛΟΥΣΑ δὲ [134]) σημαίνει, ἡδέα λέγουσα. καὶ γὰρ τὴν χελιδόνα κωτίλλειν λέγει, ὡς ἔστι παρὰ Ἀνακρέοντι

κωτίλη χελιδών. PROCLUS.

Ibid. ΠΥΓΟΣΤΟΛΟΣ. Οἱ μὲν τὴν μαστρωπὸν [x]) λεγομένην, ἤγουν τὴν προαγωγὸν, οἱ δὲ αὐτὴν τὴν γυναῖκα τὴν ἑταιρίδα, τὴν περὶ τὴν πυγὴν στολιζομένην, τουτέστι [y]) κοσμοῦσαν ἐκεῖνα τὰ μέρη πανούργως τοῖς ἱματίοις· στέλλειν γάρ ἐστι τὸ κοσμεῖν. Ἄλλοι, τὴν κοσμοῦσαν τὰς χεῖρας· πυγούσιον γὰρ ὁ πῆχυς κεκαμμένων τῶν δακτύλων· λέγεται στόλος καὶ ἡ πορεία. PROCLUS.

Ibid. [z]) ΜΗ ΔΕ ΓΥΝΗ ΣΕ ΝΟΟΝ ΠΥΓΟΣΤΟΛΟΣ ΕΞΑΠΑΤΑΤΩ. Σαφῆ ταῦτα, ἐν οἷς μᾶλλον ὁ Πρόκλος λαλεῖ. TZETZES.

Ibid. ΣΕ ΝΟΟΝ. Σοῦ τὸν νοῦν. Τὸ σχῆμα ἀντίπτωσις. TZETZES.

Ibid. ΠΥΓΟΣΤΟΛΟΣ. Ἡ στολίζουσα καὶ κοσμοῦσα τὰ περὶ τὴν πυγὴν καὶ τὴν ἕδραν μέρη ζωνίοις, καὶ λοιποῖς. Ἢ ἡ στολίζουσα τοὺς πυγόνας καὶ τοὺς πήχεις καὶ τὰς χεῖρας περιβραχιόνοις καὶ δακτυλίοις. TZETZES.

Ibid. ΜΗ ΔΕ ΓΥΝΗ ΣΕ ΝΟΟΝ. Μὴ δὲ γυνὴ ἑταιρὶς ἑαυτὴν ἐπὶ πορνείᾳ στολίζουσα (διὰ τῆς πυγῆς γὰρ τὴν πορνείαν αἰνίττεται) παρασυρέτω σε κατὰ τὸν νοῦν, ἀπατηλὰ κωτίλλουσα, ἤγουν ἡδέως λέγουσα, τὴν σὴν οἰκίαν [a]) διφῶσα, ζητοῦσα, καὶ πολυπραγμονοῦσα καὶ λέγουσα δεῖξον ἡμῖν τὸν οἶκον σοῦ. Ὅστις δὲ πέποιθε γυναικὶ, οὗτος πέποιθεν ἀπατεῶσιν. MOSCHOP.

198 372. [b]) ΚΩΤΙΛΛΟΥΣΑ. Πολυλογοῦσα. Κωτίλη γὰρ ἡ

133) Scribe, εἰς ἀπάτησιν. HEINSIUS.

134) σήμερον] Scribe, σημαίνει ἡδέα λέγουσα. τὸ σημαίνει ex contrahentium ratione posteriore sui parte in alterum mutatum est. Τὸ γὰρ αινει contrahere solent οἱ ἐπισεσυρμένως γράφοντες. HEINSIUS.

x) λεγομένην addidi ex A.

y) Restituenda haec vox Etymologo M. p. 695, 53. non modo Procli auctoritate, sed etiam cod. MS. Leidensis. Mox idem MS. habet κοσμεῖν. Deinde pro κεκαμμένων, κεκρυμμένων Trinc. Etymologus habet κεκλασμένων. Sylburgius dedit κεκλεισμένων.

z) Deest hoc Scholion Trinc.

a) Hinc ad οἶκον σοῦ edidi ex B.

b) Deest hoc Scholion Trinc.

c) χελιδὼν, διὰ τὸ λάλος εἶναι, παρά τε Ἀνακρέοντι καὶ Σιμωνίδῃ καλεῖται. Tzetzes.

Ibid. 136) *ΚΑΛΙΗΝ.* Τὴν φωλεάν· νῦν δὲ ἢ τὸν κόλπον, ἢ τὸν οἶκον δηλοῖ. Tzetzes.

373. *ὉΣ ΔΕ ΓΥΝΑΙΚΙ ΠΕΠΟΙΘΕ.* d) Τοῦτον Πλούταρχος χαράττει τὸν στίχον. Σημαίνειν δὲ τοὺς φηλήτας τοὺς ἀφαιρεῖσθαί τι καὶ ἐκφορεῖν ἐθέλοντας, παρὰ τὸ ἀφαιρεῖν καὶ ὑφελεῖν τοῦ ὀνόματος αὐτοῖς τεθέντος. Proclus.

Ibid. 137) *ΦΙΛΗΤΗΙΣΙ.* Κλέπταις, ὑφαιρουμένοις τὰ ἀλλότρια, καὶ πᾶσι κακοῖς· παρὰ τὸ φιλεῖν τὰς ἄτας, καὶ διὰ τοῦ ι· ἢ παρὰ τὸ φηλεῖν, τὸ ἀπατᾷν, διὰ τοῦ η. Tzetzes.

374. *ΜΟΥΝΟΓΕΝΗΣ ΔΕ ΠΑΙΣ.* Δόξειεν ἂν ἄτοπος ὁ στίχος εἶναι καὶ ἀγανακτοῦντος, ὅτι γέγονεν οὐ μόνος τῷ πατρί. Μήποτε, φησὶν ὁ e) Πλούταρχος, καὶ f) Πλάτων ἕπεται τῷ Ἡσιόδῳ, καὶ Ξενοκράτης, καὶ Λυκοῦργος πρὸ τούτων· οἳ πάντες ᾤοντο δεῖν ἕνα κληρονόμον καταλιπεῖν· καὶ τοῦτο ἦν τὸ ὑπὸ Ἡσιόδου λεγόμενον. Δοκεῖ δὲ ἡ λέξις εὐχομένου εἶναι καὶ οὐ συμβουλεύοντος. Τὸ γὰρ

σώζοι πατρώϊον οἶκον,

εὐκτικόν ἐστιν, ὥστε εἶναι τὸν λόγον, Εἰ καὶ μὴ πλείους εἶεν παῖδες, ἀλλὰ μονογενὴς, οὗτός γε σώζοι τὸν οἶκον. Τὸ δ' ἐπόμενον στιχίδιον ἔτι μᾶλλον λύει τὴν διαβολήν. *ΑΛΛΩΣ.* Εἷς

c) Dedi χελιδὼν ex E. F. G. χελιδώνη Bas. Heins. quae forma est hodiernis Graecis usurpata. Vide *Walpole's Memoirs relating to European and Asiatic Turkey* p. 258. n. 13. Mox κόλπον pro τόπον E. F. G.

136) Frustra est dum καλιὴν κυρίως exponit τὴν φωλεάν: potuisset σκηνὴν verius: unde oeconomiae veteris praeceptum erat: θέρους ἔτι ὄντος καλιὰς ποιεῖσθαι. Hinc illud poetae in his libris alibi: οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς. Fiebant autem ἐκ τῶν ἐπιφυλλίδων, καὶ κάλων, ἤγουν κλάδων τῶν δένδρων καλιαὶ, sicut χόρτος, ex gramine, id est, χόρτου. Postea et καλιαὶ et χόρτοι partes aedium remanserunt. Ab his praecepta sua desumebant veteres oeconomi: ut omnia fierent καθ' ὥραν: quia neque semper τῶν κάλων copia erat, neque τοῦ χόρτου. Heinsius.

137) Eustathius, qui veteres Hesiodi interpretes diligenter evolvit, id negat: eamque sententiam proponit quam secutus est et Proclus. ὡς καὶ τὸ ὑφελέσθαι ἀφ' οὗ καὶ τὸν φιλήτην παράγουσί τινες τῶν παλαιῶν σχολιαστῶν τοῦ Ἡσιόδου, ἵνα ᾖ φιλήτης ὁ παρὰ Ἡσιόδῳ, μὴ ἀπὸ τοῦ φηλῶ φηλήσω τὸ ἀπατῶ· αὐτὸ γὰρ τρίτης ἐστὶ συζυγίας, ὡς δηλοῖ παρὰ Λυκόφρονι τὸ, φηλώσας πρόμον. Heinsius. φηλήτας in Proclo dedi ex Trinc.

d) Fragm. Comm. 19.

e) Fragm. Comm. 20.

f) Respicit fortasse ad Legg. XI. p. 925.

παῖς, φησὶν, ἀρκείτω, ἵνα μὴ ἡ περιουσία εἰς πλείονας διαιρεθεῖσα ποιήσῃ τοὺς λαμβάνοντας πένητας· ἢ ἵνα μὴ περὶ τῶν ὑπαρχόντων ἀεὶ μάχωνται οἱ πλείους, οἷα καὶ αὐτὸς πέπονθε
199 πρὸς τὸν Πέρσην διαιρούμενος. Τὸ g) δέ γε ΓΗΡΑΙΟΣ ΔΕ ΘΑΝΟΙΣ παρέγγραπτον ὡς ἀδιανόητον. Proclus.

Ibid. ΜΟΥΝΟΓΕΝΗΣ ΔΕ ΠΑΙΣ. h) Τὰ μὲν τοῦ Πρόκλου ἐῶ τοῖς βουλομένοις σκοπεῖν. Ἐγὼ δὲ οὑτωσὶ φημί· παραινέσας τὸν Πέρσην περὶ πολλῶν, παρακελεύεται νῦν αὐτὸν καὶ μιᾷ γυναικὶ πλησιάζειν, καὶ μὴ πολλαῖς, ἵνα μὴ ἑτεροθαλεῖς παῖδας καὶ ἑτερογαστρίους τεκὼν λύπην αὐτῷ γεννήσῃ καὶ πρόωρον θάνατον, λαθραίως τῶν γυναικῶν καὶ τῶν παίδων i) πρὸς ἑαυτοὺς ἑκάστου τὸν τούτου βίον ὑφαιρουμένων, ὡς ὁ τοῦ Αἰσώπου μῦθος τὰς δύο γυναῖκας εἰσάγει ψιλόκρανον ἐργασαμένας τὸν μεσαιπόλιον. Tzetzes.

Ibid. ΜΟΥΝΟΓΕΝΗΣ ΔΕ ΠΑΙΣ. Ἀντὶ τοῦ, ἐκ μιᾶς γυναικὸς παῖδες ἀδελφοὶ, ὁμογάστριοι. Tzetzes.

Ibid. ΜΟΥΝΟΓΕΝΗΣ ΔΕ ΠΑΙΣ. Μουνογενὴς δὲ παῖς σώζοι ἂν, ἀντὶ τοῦ ἀρκείτω διοικεῖν τὸν πατρῷον οἶκον. Εὐχόμενος δὲ τοῦτο λέγει, οὐ προστάττων. Ἐπεὶ οὕτως, φησὶν, αὐξάνεται ὁ πλοῦτος ἐν τοῖς οἴκοις, οὐ μεριζόμενος εἰς πολλοὺς κληρονόμους. Θάνοις δὲ γηραιὸς οὕτω βιοὺς ὥς σε κελεύω, ἐγκαταλείπων, ἤγουν ἀφεὶς, ἐν τῷ βίῳ τὸν σὸν παῖδα, ἕτερον, ἤγουν ἄλλον, ἀντὶ σοῦ. Καὶ τοῖς πλείοσι δὲ παισὶ παράσχοι ἂν ὁ Ζεὺς ῥᾳδίως πολὺν πλοῦτον· πλείων μὲν ἐπὶ τοῦ πλείονος πλούτου ἡ φροντὶς, μείζων δὲ ἡ ἐπίδοσις οἴκου συναύξοντος ἑαυτὸν τοῦ πλούτου διὰ τὴν [τῶν ὀργάνων εὐπορίαν καὶ τῶν ὑπηρετῶν. Σοῦ δὲ ἡ ψυχὴ εἰ ἐπιθυμεῖ πλούτου ἐν τῷ ἑαυτῆς λογισμῷ, οὕτω θέλε πράττειν, ὡς ἐρῶ δηλονότι· ἔργον δὲ ἐπὶ ἔργῳ ἐργάζου. Moschop.

Ibid. k) ΦΕΡΒΕΜΕΝ. Ἀντὶ τοῦ τρέφεσθαι. Tzetzes.

Ibid. ὩΣ ΓΑΡ ΠΛΟΥΤΟΣ ΑΕΞΕΤΑΙ. Οὕτως γὰρ εἰ ἐκ μιᾶς γυναικὸς ἕξεις παῖδας, καὶ οὐ πολλαῖς πλησιάσεις, αὐξηθήσεται ἡ περιουσία, συμπονούσης σοι καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων. Tzetzes.

g) Particulas addidi ex A.

h) τὰ ad φημὶ om. Trinc. ib. νῦν αὐτὸν des. et mox ἑτερογαστρίους.

i) Hinc ad βίον om. Trinc. sed post ὑφαιρουμένων inserit τὸν βίον αὐτοῦ.

k) Deest hoc Scholion Trinc.

Ibid. *ΜΕΓΑΡΟΙΣΙ.* Νῦν καταχρηστικῶς πᾶσάν οἰκίαν ἁπλῶς καλεῖ· κυρίως δὲ μέγαρον λέγεται ὁ πλούσιος καὶ ἐπίφθονος οἶκος, παρὰ τὸ μεγαίρω τὸ φθονῶ. Tzetzes.

376. *ΓΗΡΑΙΟΣ ΔΕ ΘΑΝΟΙΣ.* Οἱ περὶ Πρόκλον καὶ [l]) Ἀρίσταρχον ἢ Πλούταρχον, ἀδιανόητον τοῦτό φασιν εἶναι καὶ περισσόν. Ἐγὼ δὲ φημὶ λίαν καλλίστως ἔχειν αὐτό. Οὕτω γὰρ μιᾷ γυναικὶ πλησιάζοντι, καὶ οὐ πολλαῖς, καὶ παιδοποιουμένῳ σοι αὐξηθήσεταί σου ἡ περιουσία, καὶ ἀλύπως ἐπὶ τῇ τοιαύτῃ συμβιώσει διάγων τελευτήσεις γηραιὸς, καὶ οὐ πρόωρος, ὥσπερ εἰ πολλαῖς πλησιάζων ἐπαιδοποίησας, ὑφαιρουμένης σοι παρὰ μέρος τὴν περιουσίαν ἑκάστης σὺν τοῖς ἰδίοις παισὶ, 200
καὶ δαλῷ συμφορῶν εὐούσης καὶ [m]) φλογιζούσης καὶ θλιβούσης, καὶ ὠμῷ διδούσης σε γήραϊ, καὶ ἔτι μᾶλλον ἀώρῳ θανάτῳ ἐπισυμβάντι ἐκ θλίψεων, ἢ καὶ φαρμάκων ἐπισκευῆς γεγονότων, ζηλωτυπουσῶν ἀλλήλας τῶν γυναικῶν. Tzetzes.

Ibid. *ΕΤΕΡΟΝ ΠΑΙΔ' ΕΓΚΑΤΑΛΕΙΠΩΝ.* Ἀντὶ τοῦ τὸν παῖδα, ἤγουν τοὺς παῖδας τῷ βίῳ ἐάσας. Tzetzes.

377. *ῬΕΙΑ ΔΕ ΚΕΝ ΠΛΕΟΝΕΣΣΙΝ.* Ἀφ' οὗ δῆλον ἐποίησεν ὅτι εὔχεται μὲν καὶ πλείους εἶναι παῖδας, καὶ περιουσίαν ἐκ Διὸς πλείοσιν ἀρκοῦσαν· εἰ δὲ μὴ, μουνογενεῖ παιδὶ δυναμένῳ εὐπορίαν ποιῆσαι. Tzetzes.

Ibid. *ῬΕΙΑ ΔΕ ΚΕΝ ΠΛΕΟΝΕΣΣΙ.* Κἂν πολλοὺς παῖδας ὁμογαστρίους γεννήσειας, καὶ οὕτως ὄλβος αὐτοῖς ἐκ τῆς εἱμαρμένης γενήσεται, δηλονότι συμπονοῦσιν ἀλλήλοις. Tzetzes.

378. *ΠΛΕΙΩΝ ΜΕΝ ΠΛΕΟΝΩΝ.* Μελέτην μὲν λέγει τὴν φροντίδα παρὰ τὸ μέλλειν, ἐπιθήκην δὲ, τὴν ἐπάχθειαν καὶ τὴν βαρύτητα τὴν ἀπὸ τῆς φροντίδος. Ὁ δὲ ὅλος νοῦς· ἐὰν πλείους οἱ παῖδες ὦσι, πλείων μὲν ἀναγκαίως ἔσται ἡ φροντὶς τῆς περιουσίας· ἡ δὲ ἀπὸ τῆς φροντίδος ἐπάχθεια μείζων, καὶ πολλῆς δεομένη τῆς ἐκ τοῦ Διὸς προνοίας. Μήποτε δὲ, φησὶν ὁ [n]) Πλούταρχος, ἐκεῖνο λέγει τὸ τοῦ Λάμπιδος, ὅτι πλείων μὲν ἡ φροντὶς ἐπὶ τοῦ πλείονος πλούτου· μείζων δὲ ἡ ἐπίδοσις, ἣν ἐπιθήκην εἶπεν, αὐτοῦ συναύξοντος ἑαυτὸν τοῦ πλούτου διὰ τὴν τῶν ὀργάνων εὐπορίαν καὶ τῶν ὑπηρετῶν.

l) Ἀρίσταρχον ἢ om. E. F. G. Vide Wyttenbach. ad fragm. n. 22. Mox τοῦτο addidi ex E. G.

m) Ita E. θλίψεων Bas. Heins.

n) Fragm. Comm. n. 21. Infra, συνάξοντος Trinc.

Ὃ καὶ ὁ *Λάμπις* εἴρηκεν ἐρωτηθεὶς πῶς ἐκτήσατο; τὸν μὲν γὰρ ὀλίγον, ἔφη, χαλεπῶς, τὸν δὲ πολὺν ῥᾳδίως, πολλῶν ὄντων ἤδη τῶν ὑπουργούντων. PROCLUS.

Ibid. o) *ΠΛΕΙΩΝ ΜΕΝ ΠΛΕΟΝΩΝ ΜΕΛΕΤΗ.* Πολλὴ μὲν δαπάνη περὶ διατροφὰς ἐγγίνεται τοῖς πολύπαισι· μεῖζον δὲ τὸ ἐπιγιγνόμενον κέρδος ἐκ τῆς ἐργασίας αὐτῶν. Περὶ γεωργικῶν δὲ παίδων λέγει, οὐ περὶ πολιτικῶν καὶ ἀστείων· ἐκεῖνοι γὰρ, ὡς ἐπὶ τὸ πλεῖστον, μόνον δαπάνης παραίτιοι γίνονται. TZETZES.

379. *ΣΟΙ Δ' ΕΙ ΠΛΟΥΤΟΥ ΘΥΜΟΣ ΕΕΛΔΕΤΑΙ.* Τὰ μὲν ἔμπροσθεν ῥηθέντα πάντα κοινὰ παιδεύματα ἦν, εἰς πολιτικὴν τείνοντα ζωὴν, ἀναμιμνήσκοντα τῶν τῆς κακίας αἰτιῶν, καὶ τῆς ποικιλίας τῶν βίων, καὶ p) τυποῦντα γνώμαις τισὶ τὸ ἦθος. Τὰ δὲ ῥηθησόμενα τῶν μὲν κακοπραγιῶν ἀπάγει τὸν ἀκροατὴν, ἄγει δὲ ἐπὶ τὸν γεωργικὸν βίον καὶ τὸν ἐκ τούτου δίκαιον πόρον, καιροὺς ὑπογράφοντα καὶ τύπους ἀροτριάσεων, ἀμητῶν, φυτείας, τρυγητοῦ, τῶν τοιούτων πάντων. Τούτοις δὲ ἑξῆς περὶ ναυτιλίας διαλέξεται τοῖς καὶ ἀπὸ ταύτης τρέφεσθαι βουλομένοις, ὁμοίως ὑπογράφων τὰς τοῦ πλεῖν ὥρας, καὶ τὰς τῶν πλοίων ἐπιμελείας. PROCLUS.

201 Ibid. q) *ΣΟΙ Δ' ΕΙ ΠΛΟΥΤΟΥ.* Σοῦ δὲ ἡ ψυχὴ εἰ ἐπιθυμεῖ πλούτου κατὰ τοῦτον τὸν τρόπον, ἔρδε καὶ πράττε, καὶ ἄλλο ἐπ' ἄλλῳ ἔργον ἐργάζου. Ἐντεῦθεν δὲ εἰσβάλλει ὁ ποιητὴς καιροὺς ἑκάστοις προσφόρους διδάσκειν, ἀροτριάσει, καὶ σπόρῳ, καὶ ἀμήτῳ, καὶ τρυγητῷ· καὶ ἔτι περὶ ναυτιλίας, καὶ τῶν λοιπῶν. TZETZES.

331. *ΠΛΗΙΑΔΩΝ ΑΤΛΑΓΕΝΕΩΝ ΕΠΙΤΕΛΛΟΜΕΝΑΩΝ.* Ὁ μὲν Ἄτλας λέγεται παῖς Ἰαπετοῦ, τὸν οὐρανὸν ἀνέχων καὶ τὰς κίονας,

αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν,

αὐτὸς κατὰ μίαν συνοχὴν ἱδρύσας, δυνάμεις εἰληχὼς διοριστικὰς οὐρανοῦ καὶ γῆς, δι' ἃς ὁ μὲν r) ἐξῃρημένος τῆς γῆς περὶ αὐτὴν τὸν δινεῖται ἀεὶ χρόνον· ἡ δὲ ἐν μέσῳ σταθερῶς κειμένη πάντα λοχεύει μητρικῶς, ὅσα γεννᾷ ὁ οὐρανὸς

o) Deest hoc Scholion Trinc.
p) κτυποῦντα A. Prope finem ὑπογράφοντα B. Trinc.
q) Deest hoc Schol. Trinc. Mox διδάσκων G.
r) ἐξῃρημένος A. B. Trinc.

πατρικως. Ταύτας γὰρ τὰς δυνάμεις, τὰς ἀμφοτέρων ἀκλινῶς τὸν διορισμὸν τηρούσας, [119]) κίονας ἐκάλεσεν,

αἳ γαῖάν τε καὶ οὐρανὸν [s]) ἀμφὶς ἔχουσιν.

ὃ δηλοῖ τὸ, χωρὶς ἀλλήλων ὄντα, καὶ ἄμικτα ἀλλήλοις ἀϊδίως. Τούτου δὲ παῖδας τὰς Πλειάδας ἐμυθολόγησαν ἑπτὰ οὔσας, τὴν Κελαινῶ, τὴν Στερόπην, τὴν Μερόπην, τὴν Ἠλέκτραν, τὴν Ἀλκυόνην, τὴν Μαῖαν, τὴν Ταϋγέτην. Πάσας ταύτας δυνάμεις ἀρχαγγελικὰς τῶν ἑπτὰ σφαιρῶν τοῖς ἀρχαγγέλοις ἐφεστώσας· τὴν μὲν Κελαινῶ τῆς Κρονίας σφαίρας, τὴν δὲ Στερόπην τῆς τοῦ Διὸς, τὴν δὲ Μερόπην τῆς Ἄρεος, τὴν δὲ Ἠλέκτραν τῆς Ἡλιακῆς, τὴν δὲ Ἀλκυόνην τῆς Ἀφροδίτης, τὴν δὲ Μαῖαν τῆς Ἑρμοῦ, τὴν δὲ Ταϋγέτην τῆς Σελήνης. Καὶ δῆλαι τούτων αἱ αἰτίαι. Μίαν δὲ ἄρα τῶν ἑπτὰ σύνταξιν ἐν τῷ ἀπλανεῖ τετάχθαι καθάπερ ἄγαλμα ἐνουράνιον, ὃ δὴ Πλειάδα προσαγορεύουσιν, ἄστρον ἐμφανὲς καὶ τοῖς ἰδιώταις, ἐν τῷ Ταύρῳ κατεστηριγμένον, ταῖς ἀνατολαῖς καὶ ταῖς δύσεσι παμπόλλην τοῦ ἀέρος τροπὴν ἐργαζόμενον. Τούτων οὖν τῶν Πλειάδων ἐπιτελουσῶν ἄρχεσθαι κελεύει τοῦ [t]) ἀμητοῦ· ἐπιτέλλουσι δὲ, ὅταν πρῶτον φαίνωνται πρὸ τοῦ ἡλίου τῆς ἀνατολῆς· ἐπιτολὴ γάρ ἐστιν [v]) αὐτῶν ἑῴα μὲν, ἡ πρώτη [w]) πρὸ τῶν ἡλιακῶν αὐγῶν ἔμφασις, ἑσπερία δὲ ἡ μετὰ τὰς καταδύσεις εὐθὺς ἀνατολή· δύσις δὲ ἑῴα μὲν ἡ πρὸ τῶν ἀνατολῶν ὀλίγον εἰς τὸν δυτικὸν ὁρίζοντα ἄφιξις, ἑσπερία δὲ ἡ μετὰ τὰς καταδύσεις τοῦ ἡλίου εὐθὺς κατάδυσις. Ἐπιτέλλουσι μὲν οὖν καὶ αἱ Πλειάδες, ἡλίου τὸν Ταῦρον διελθόντος ἀνέχουσαι πρὸ αὐτοῦ. Καὶ τότε κελεύει
ἄρχεσθαι τοῦ ἀμητοῦ. Δυνουσῶν δὲ τὴν ἑῴαν δύσιν ἄρχεσθαι 202
τοῦ [x]) ἀρότου, τουτέστιν, ὅταν ὁ ἥλιος τὸν Σκορπίον ἤδη περατοῖ· τότε γὰρ ἕωος ὁ Ταῦρος δύεται. Ταῦτα δὲ εἰπὼν, λέγει τούτοις ἐφεξῆς πόσον χρόνον αἱ Πλειάδες ὑπὸ ταῖς αὐγαῖς κρύπτονται ταῖς ἡλιακαῖς· [y]) καὶ ὅτι τεσσαράκοντα ἡμέρας. Καὶ γὰρ

159) κοινὰς] Scribe: κίονας ἐκάλεσεν, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι: sicut supra dixit, ὁ μὲν Ἄτλας λέγεται, παῖς Ἰαπετοῦ, τὸν οὐρανὸν ἀνέχων, καὶ τὰς κίονας, αἳ γαῖάν τε etc. Est autem locus ille Ulyssaeae 1. ἔχει δέ τε κίονας αὐτὸς Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι. Heinsius.

s) εὐρὺν A.

t) ἀμητοῦ A. ἀμήτου al.

v) αὐτῶν om. A. B. ἐπιτολὴ μὲν γὰρ B.

w) πρὸ om. A. Trinc.

x) ἀρότρου B. Trinc.

y) καὶ addit A. διδύμου—διϊόντες Trinc. hoc B.

πρὸς τῷ τέλει τοῦ Κριοῦ ὄντος ἤδη κρύπτονται, καὶ εἰς Διδύμους μεταβάντος ἔτι ὡσαύτως, καὶ οὐ μόνον τὸν Ταῦρον διϊόντος, φαίνονται καὶ ἤδη ἐπιτέλλουσαι. PROCLUS.

Ibid. *ΠΛΗΙΑΔΩΝ ΑΤΛΑΓΕΝΕΩΝ.* [z]) Ἐντεῦθεν εἰσ-
203 βάλλει ὁ ποιητὴς καιροὺς προσφόρους διδάσκειν ἀροτριάσεως

z) Hinc ad καὶ φησι om. Bas. E. F. G.

141) Nunquam ex operis hujus distinctione quam Grammatici afferunt, certiores abibunt tyrones. Duo hoc opere agit poeta: De Justitia, de Labore. Utrunque hoc modo inter se cohaeret, quo ostendit in Rhetoricis Aristoteles: in Catone majore Plutarchus. Veteres eum justum existimabant, qui a se penderet, et αὐτουργὸς esset, qualis est bonus familias pater: Hesiodus primo ostendit praecepta justitiae: quae res pertractata fuit libro superiore. Nunc quomodo conservari possit hoc tempore justitia ostendit; Labore nimirum, postquam sublata sunt Deorum beneficia, quae laborem excludebant priori saeculo, nec oeconomiae necessitatem afferebant. cum enim injustitiae mater sit ocium καὶ ἡ ἀργία secundum Hesiodum: quod eam paupertas sequatur, quae revera est κακομήχανος, ut multis ostendit, mirum non est, si ad singula devolvatur quibus justitia conservari, et honesta vivendi facultas possit: paupertas et egestas exterminari. Cum autem τῶν αὐτουργούντων maxime justi sint agricolae, merito huic parti oeconomicae et αὐτουργίας primum locum concedit. Ita hoc opere inter se cohaerent, *Justitia, Opus, Agricultura.* Aristoteles lib. Rhetor. 2. quem locum supra obiter adduximus: Διὸ τοὺς ἐλευθερίους καὶ ἀνδρείους τιμῶσι, καὶ τοὺς δικαίους. Τοιούτους δ' ὑπολαμβάνουσι τοὺς μὴ ἀφ' ἑτέρων ζῶντας. Τοιοῦτοι δ' οἱ ἀπὸ τοῦ ἐργάζεσθαι, καὶ τούτων οἱ ἀπὸ γεωργίας, καὶ τῶν ἄλλων οἱ αὐτουργοὶ μάλιστα. Quibus verbis ad oeconomiam divisionemque propositi Hesiodici in hoc opere respexisse Philosophum eo magis mihi verisimile fit, quod Plutarchum, quem diligenter in hos libros commentatum fuisse accepimus, non aliter ejus partes considerasse, et institutum poetae, videam, his verbis in Catone Censorio: Ἀριστείδης δὲ τῇ πενίᾳ καὶ τὴν δικαιοσύνην συνδιέβαλεν, ὡς οἰκοφθόρον καὶ πτωχοποιὸν, καὶ πᾶσι μᾶλλον ἢ τοῖς κεκτημένοις ὠφέλιμον· καί τοι πολλὰ μὲν Ἡσίοδος, πρὸς δικαιοσύνην ἅμα καὶ οἰκονομίαν παρακαλῶν ἡμᾶς, εἴρηκεν, καὶ τὴν ἀργίαν ὡς ἀδικίας ἀρχὴν λελοιδόρηκεν. Aristidis sententia haec erat: Justitiam propterea laudandam non esse, quod eadem cum paupertate sit conjuncta. Respondet Plutarchus id falsum esse; Hesiodi exemplo, qui conjungit curam rei familiaris cum justitia in eodem opere: justitiam cum cura familiaris rei: ocium vero et negligentiam matrem injustitiae statuit. Ex quo sequitur falsam esse opinionem Aristidis: cum enim justitiae propositum sit rem familiarem augere, non negligere; justitia paupertatis causa esse nequit. Falluntur enim, inquit, qui existimant, sicut medici dicunt, exterioribus corporis partibus conducere oleum, interioribus nocere: ita virum justum aliorum curam gerere, sui vero et suorum nullam. Agriculturae vero praerogativam ostendit Plutarchus ex Homerico loco, qui ἔργον et οἰκωφελίην vocat quicquid domi fieri potest: quod opponit Bello, et Navigationi, sine qua tum temporis mercatura non constabat: cui Hesiodus partem aliquam tribuit, sed post alteram. Ex quo probat ejusdem hominis esse fa-

καὶ ἀμητοῦ, καὶ τρυγητοῦ, καὶ ναυτιλίας, καὶ τῶν τοιούτων· καί φησι τῶν τοῦ Ἄτλαντος θυγατέρων Πλειάδων ἐπιτελουσῶν τὴν a) ἑώαν αὐτῶν ἐπιτολὴν, οὐ τὴν ἑσπερίαν, ἄρχου τοῦ ἀμητοῦ· τοῦ ἀρότου δὲ καὶ τοῦ ἀροτριασμοῦ ἀπὸ κοινοῦ πάλιν τὸ ἄρχου. Tzetzes.

381. *ΠΛΗΙΑΔΩΝ ΑΤΛΑΓΕΝΕΩΝ.* Τῶν Πλειάδων τῶν τοῦ Ἄτλαντος θυγατέρων, τοῦτο γὰρ τὸ Ἀτλαγενέων, ἤγουν τῶν τὸ γένος, τουτέστι τὴν γένεσιν, τὴν εἰς φῶς προαγωγὴν ἀπὸ τοῦ Ἄτλαντος ἐχουσῶν. Moschop.

Ibid. 138) *ΕΠΙΤΕΛΛΟΜΕΝΑΩΝ.* Ἀντὶ τοῦ ἐπιτελλουσῶν τὴν ἑώαν δηλονότι ἐπιτολὴν, ἥτις ἐστὶν ὅταν πρῶτον πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς φαίνωνται, παρελθόντος δηλονότι τοῦ ἡλίου τὸν Ταῦρον, καὶ τὸ συνανατελλούσας ἔχειν αὐτὰς, ἄρχου τοῦ ἀμητοῦ, τουτέστι τοῦ ἀμᾷν· τοῦ ἀρότου δὲ ἄρχου, τουτέστι τοῦ ἀροτριᾷν, δυσσομενάων, ἀντὶ τοῦ δυνουσῶν αὐτῶν τὴν ἑώαν δηλονότι δύσιν, ἤγουν ὅταν ὁ ἥλιος τὸν Σκορπίον ἤδη b) περατοῖ· τότε γὰρ αἱ Πλειάδες ὀλίγον πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς δύνουσιν, αἵ τινες δὴ Πλειάδες ἐπὶ νύκτας τε καὶ ἡμέρας τεσσαράκοντα κρύπτονται ὑπὸ τῆς αὐγῆς τοῦ ἡλίου τὸν Ταῦρον διερχομένου, ἔνθα εἰσὶν αὗται ἐστηριγμέναι. Αὖθις δὲ κυκλοφορουμένου τοῦ ἐνιαυτοῦ, ἀντὶ τοῦ ἡλίου τοῦ ἐνιαυτὸν ποιοῦντος· τουτέστιν, αὖθις δὲ ἐπεὶ ὁ ἥλιος οὐχ ἵσταται, ἀλλ' ἀεὶ κυκλοφορεῖται καὶ ἀφίσταται αὐ-

miliam negligere, et injustis artibus ditescere. *Εὖ δὲ καὶ Ὁμήρῳ πεποίηται· —— Ἔργον δέ μοι οὐ φίλον ἦεν, Οὐδ' οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα· Ἀλλά μοι αἰεὶ νῆες ἐπήρετμοι φίλαι ἦσαν, Καὶ πόλεμοι καὶ ἄκοντες ἐΰξεστοι, καὶ ὀϊστοί· ὡς τοὺς αὐτοὺς ἀμελοῦντας οἰκίας, καὶ πορίζομένους ἐξ ἀδικίας.* Haec causa est cur toto hoc opere mari sit infensus poëta, et Oceanum ut poenam constituat: quod ad oeconomiam aliquid conferat, justitiae vero multum detrahat. Totum est: Justitia, Opus. Partes *justitiae*, Virtutes singulae, quarum aliquot praecepta proponit. Operis, Agricultura, Navigatio: ad quas jam recta. Caeterum tota haec pars quae *ὑπόθεσιν* quandam continet libri sequentis, a Basiliensi aberat, usque ad illa: *τῶν Ἄτλαντος θυγατέρων.* Principium glossarum Tzetzis erat tale: *τῶν Ἄτλαντος θυγατέρων Πλειάδων ἐπιτελουσῶν* etc. Heinsius.

a) *ἑώαν ἀνατολὴν* F. et cum seqq. *μελλουσῶν δῦναι* conjungit. Mox *ἀπὸ κοινοῦ π. τ. ἄ.* om. Trinc.

138) Dubium vix est quin tota illa glossa, cujus principium est, *Ἄτλαντος τοῦ Ἰαπετοῦ*, huc pertineat, atque hinc divulsa sit: quam nos quod ad idoneum magis locum referre non possimus, ibi reliquimus. Heinsius.

b) *περιπατῇ* B.

τῶν δηλονότι τῇ κυκλοφορίᾳ, φαίνονται ἤδη ἐπιτέλλουσαι
204 Τὰ πρῶτα ἐπιῤῥηματικῶς ἀντὶ τοῦ πρῶτον χαρασσομένου τοῦ σιδήρου, τοῦ πρὸς ἀμητὸν χρησίμου δηλονότι· ἤγουν ὅτε οἱ γεωργοὶ χαράσσουσι τὰ δρέπανα αὐτῶν. Moschop.

382. *ΑΡΟΤΟΙΟ ΔΕ ΔΥΣΣΟΜΕΝΑΩΝ.* Εἰ μὲν ἄροτον τὸν νεατόν φησι, τὴν ἀπὸ τοῦ Ταύρου εἰσβολὴν πρὸς τοὺς Διδύμους τοῦ ἡλίου φησὶν, Ἰουνίου ε΄· εἰ δὲ ἄροτον τὸν σπόρον φησὶ, τὸν καιρὸν δηλοῖ καθ' ὃν ὁ ἥλιος εἰς τὸν Σκορπίον ἐμβάλλει [b])Ὀκτωβρίου καὶ Νοεμβρίου. Αἵ τινες Πλειάδες Μαΐου μηνὸς κατὰ τὴν ιγ΄ ἐν τῷ Ταύρῳ κείμεναι προανατέλλουσι τοῦ ἡλίου, αὐτοῦ τοῦ ἡλίου μετὰ τὴν κ΄ τοῦ Ἰουνίου ἐν τοῖς Διδύμοις ὄντος. Δύνουσι δὲ αὗται, κατὰ τὴν ιγ΄ τοῦ Νοεμβρίου μηνὸς, τοῦ ἡλίου (μετὰ τὴν κ΄ τοῦ Δεκεμβρίου μηνὸς) ἐν τῷ Τοξότῃ ὄντος. *ΑΛΛΩΣ. ΠΛΗΙΑΔΩΝ.* Ἐν τοῖς ἔμπροσθεν προτρεψάμενος αὐτὸν ἐργάζεσθαι, ἐντεῦθεν λοιπὸν ὑποτίθεται τὸ πῶς καὶ πότε δεῖ. [140]) Τοὺς δὲ καιροὺς τοῦ δεῖν τι πράσσειν οἱ παλαιοὶ καὶ ἀπὸ τῶν [c]) ἀστέρων ἐτεκμαίροντο, καὶ ἀπὸ τῶν βοτανῶν καὶ φυτῶν καὶ ζώων. Βούλεται οὖν αὐτῷ ὑποθέσθαι πότε δεῖ σπείρειν, καὶ πότε θερίζειν, καί φησιν, ὅτι Πληϊάδων δυνουσῶν. Τούτῳ [d]) δὲ δεῖ πάλιν προσεκδέξασθαι τὸ, ἕω ἄρχεσθαι τοῦ ἀρότου, ἤτοι τοῦ σπόρου, καὶ θερίζειν ἀνατελλουσῶν· τούτῳ δὲ δεῖ πάλιν προσεκδέξασθαι τὸ ἕω· ἐὰν γὰρ μὴ οὕτω συνεκδεξώμεθα, ἀσαφὲς τὸ λεγόμενον· ἕκαστον γὰρ τῶν ἄστρων ἑκάστῃ ἡμέρᾳ καὶ δύνει καὶ ἀνατέλλει. Ἅπαξ δὲ τοῦ ἔτους σὺν ἡλίῳ ἀνατέλλει, καὶ ἅπαξ ἑῴαν δύσιν ποιεῖται, αἵ τινες σημαίνουσι τί τῶν ἔργων ἐστί. Πληϊάδων ἑῴα ἀνατολὴ, ὅταν ὁ ἥλιος ᾖ ἐν Ταύρῳ· δύσις δὲ ἑῴα, ὅταν ὁ ἥλιος ᾖ ἐν Ζυγῷ. Ἀνατολή ἐστιν, ἡ σὺν τῷ ἡλίῳ τῶν ἄστρων ἀναφορά· ἐπιτολὴ δὲ, ἡ φανέρωσις τῶν ἄστρων, ἡ μετὰ τὴν κρύψιν τὴν ἡλιακήν. Ὅτε δὲ [e]) δύνει ζῴδιον μετὰ τοῦ ἡλίου, ἑσπερία δύσις. Διάμετρόν ἐστιν ἡ διὰ τοῦ κέντρου εἰς τὸ ζῴδιον γραμμή. Ὁ μὴν, δυοδεκατημόριον λέγεται. Εἰσὶ δὲ μῆνες μοιρῶν κή. Ἄλλως λά, καὶ λ΄. Ὁ ἥλιος

b) Ὀκτωβρίῳ καὶ Νοεμβρίῳ B.

140) Fortasse τοῦ ποτε δεῖ τι πράσσειν. Heinsius.

c) ἄστρων B.

d) δὲ om. B. Mox τὸ om. B. ἤτοι τοῦ σπόρου om. A.

e) δύνει A. Antea δύνῃ.

κατ' ἐναντιότητα τοῦ πόλου τὸν ἴδιον δρόμον ποιεῖται. Τὸ δὲ *ΑΤΛΑΓΕΝΕΩΝ*, φασὶ γελοῖον· ἔδει γὰρ εἰπεῖν, Ἀτλαντογενέων. *ΑΛΛΩΣ.* *ΠΛΗΙΑΔΩΝ*, ιβ' [f]) ὥρας τῆς νυκτὸς, προανατέλλουσι τοῦ ἡλίου, κατὰ τὴν ἀνατολὴν, μετὰ παρέλευσιν τοῦ Ταύρου, ἤτοι μηνὸς Μαΐου. Ἐπιτολὴ γάρ ἐστιν, ἡ μικρὸν πρὸ τοῦ ἡλίου τῶν Πλειάδων ἀνατολή. ιβ' δὲ ὥρας τῆς νυκτὸς πρωϊναὶ δύσεις ἐν τῷ μεταξὺ τοῦ Ζυγοῦ καὶ τοῦ Σκορπίου, ἤτοι Ὀκτωβρίου καὶ Νοεμβρίου μηνὸς ὅτε ὁ σπόρος. [g]) *ΑΛΛΩΣ.* *ΑΙ ΔΗ ΤΟΙ*, ἐν ἀρχῇ τοῦ κριοῦ μηνὸς ι μοῖραν καὶ πρὸ μοίρας τοῦ Ταύρου, καὶ προλάμποντος τοῦ ἡλίου καὶ προδύνοντος. PROCLUS.

Ibid. [gg]) Πλειάδες λέγονται ἢ ἀπὸ Πλειόνης, ἢ ἀπὸ τοῦ πολλοῖς εἶναι χρειώδεις, ἢ ἀπὸ τοῦ εἰς πελείας μεταμορφωθῆναι 205 ἐκ τοῦ φεύγειν τὸν Ὠρίωνα ὡς τοξότην. Ἢ ἀπὸ τοῦ πολεῖν ἐκ περιόδου καὶ συμπληροῦν τὸν ἐνιαυτὸν, ἐξ ὧν καὶ πλειὼν ὁ ἐνιαυτὸς, ἢ ὅτι πλείους εἰσὶ κατὰ συναγωγὴν, ἢ ὅτι πλείους εἰσὶ κἂν ἑπτὰ δοκῶσιν, ἢ παρὰ τὸ πλησίον κεῖσθαι, πλησιάδες τινὲς οὖσαι. PROCLUS.

Ibid. [hh]) Ἄτλαντος τοῦ Ἰαπετοῦ, καὶ Αἴθρας τῆς Ὠκεανοῦ, ἣν καὶ Πλειόνην ὡς ἀπὸ τοῦ πλήθους τῶν παίδων φησὶν ὁ ποιητὴς, θυγατέρες ἐγένοντο δώδεκα, εἷς δὲ υἱὸς, Ὕας ὀνόματι, ὃν ἐν Λιβύῃ κυνηγετοῦντα ὄφις κτείνει. Καὶ αἱ μὲν πέντε τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυνται, αἱ δὲ λοιπαὶ ἑπτὰ ἤτοι αἱ πλείους ἐλεηθεῖσαι, κατηστερίσθησαν τῷ οὐρανῷ, Πλειάδες ὡς ἀπὸ τοῦ πλήθους κληθεῖσαι. Ὧν τὸν ἕνα ἀμαυρὸν εἶναί φασι, καὶ λέγεσθαι εἶναι τὴν μητέρα Δαρδάνου Ἠλέκτραν, μίαν οὖσαν τῶν Πλειάδων, ἥτις πορθουμένης τῆς Τροίας, τὴν ἀδελφικὴν πέφευγε συνοδίαν, καὶ πρὸς τὸν ῥυμὸν τῆς ἁμάξης ἐξέδραμεν· ὅθεν πολλοὶ ἀλώπεκα ταύτην φασὶ τὸ ζυγόλωρον ἐσθίουσαν. PROCLUS.

382. *ΔΥΣΣΟΜΕΝΑΩΝ.* Καὶ μελλουσῶν δῦναι τὴν ἑσπε-

f) ὥρα B. et sic mox.

g) Inserui ἄλλως ex B.

gg) *Πλειάδες* et quae sequuntur habet A. inferiori margini adscripta, nec ab eadem manu quae textum codicis exaravit. *Πλ. ἢ λέγονται ἀπὸ τῆς Πλειώνης* B. Consulantur omnino Scholia Veneta ad Il. *Σ.* 486. et Eudocia p. 339. Caeterum haec transposui, cum in praecedentibus edd. inveniantur loco non suo post *βοῦς βοσκεῖν* ad v. 389.

hh) Et haec in edd. prioribus loco suo mota, ubi reperiuntur post *τέκνων χρήζειν* ad v. 396. Margini inferiori adscribuntur in A. Uncinis inclusit Heinsius.

ρίαν δύσιν, οὐ τὴν ἑώαν. Ἀλλὰ λεκτέον πρῶτον τὴν ἱστορίαν, εἶτα καὶ μαθηματικώτερον διδακτέον μοι. Τοῦ οὐρανοῦ παιδὸς Ἰαπετοῦ καὶ Κλυμένης, ἢ Ἀσίας, τῆς Ὠκεανοῦ [h]) θυγατρὸς, γεννῶνται, ὡς οἱ μυθογράφοι φασὶ, Προμηθεὺς, Ἐπιμηθεὺς, Μενοίτιος, καὶ ὁ νῦν ἡμῖν προκείμενος Ἄτλας· ὃν καὶ μυθεύονται κίονας φέρειν μακρὰς,

αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι.

Τούτου καὶ Πλειόνης τῆς Ὠκεανοῦ θυγατρὸς γεννῶνται θυγατέρες ἑπτά· περὶ ὧν φησὶν Ἄρατος [i]) ἐν τοῖς Φαινομένοις ὧδέ πως·

Ἑπτὰ δ' ἐκεῖναι ἐπιῤῥήδην καλέονται,
Ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσι,
Ἀλκυόνη, Μερόπη τε Κελαινώ τ' Ἠλέκτρη τε,
Καὶ Στερόπη, καὶ Τηΰγέτη, καὶ πότνια Μαῖα.

Ταύτας, φασὶ, τὰς Πλειάδας, μετὰ τῆς μητρὸς [k]) αὐτῶν τῆς Πλειόνης, κατὰ Βοιωτίαν πέντε ὅλους ἐνιαυτοὺς Ὠρίων ἐδίω-
206 κεν ὡς συγγένοιτο, [l]) αἱ δὲ τοῖς θεοῖς εὐξάμεναι πρὸς πελειάδας μετήμειψαν. Ζεὺς δὲ [m]) τῆς κακοπαθείας οἰκτείρας, αὐτὰς ἐν τῷ Ζωδιακῷ κατηστέρισεν. Ἄλλοι δέ τινες δώδεκα θυγατέρας φασὶ [n]) γενέσθαι τῷ Ἄτλαντι, καὶ υἱὸν Ὕαντα, ὃν ἐν Λιβύῃ θηρῶντα ὄφις ἀνεῖλεν. Καὶ αἱ μὲν πέντε τὸν ἀδελφὸν τοῦτον θρηνοῦσαι ἀπώλοντο· Ζεὺς δὲ ἀστέρας ταύτας πεποίηκε, τὰς λεγομένας Ὑάδας, ὧν τὰ ὀνόματα ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος ἐν [o]) τῇ Ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει, λέγων,

[142]) [p]) — νύμφαι Χαρίτεσσιν ὁμοῖαι,
[q]) Φαισύλη, ἠδὲ Κορωνὶς, ἐϋστέφανός τε Κλέεια,

h) θυγατρὸς om. Trinc.

i) Hinc ad πῶς om. Trinc. Mox in v. Arati qui est Phaenom. 262. Ἑπτὰ δ' ἐκεῖναι Trinc. Ἑπτὰ δή τοι ταίγε E. H. Bas. E. δή τοι δ' G. Ἑ. δή τοι κεῖναι Heins. E. δήτοι ἐπιῤῥήδην F. Versu altero qui in Arati ed. est 258. ἐπόψεαι Trinc. H. ὑπόψιοι E. ὑπόψιαι Bas. Heins.

k) αὐτῆς πλειόνης Bas.

l) αἱ δὲ Trinc. Bas. vulgo δὲ om. πελειάδας F. Trinc. vulgo πλειάδας. πελειάδα E. παρήμειψαν E. G. H. Bas.

m) τοῦ πάθους Trinc. Mox θηρῶντα deest Trinc.

n) γεγενῆσθαι E. τῶν ἀδελφῶν Trinc. H. ἀπόλλυντο Bas. ἀπόλλυνται H. Mox τούτων G.

o) τῷ αὐτῷ ἀστρικῷ βιβλίῳ Trinc. Vide fragm. LX.

142) — νύμφαι Χαρίτεσσιν ὁμοῖαι] Dimidius hic versus ab editione quam secuti sumus aberat: ex altera eum adjunximus. Heinsius.

p) Νύμ. Χ. ὁμ. des. Trinc. E. G.

q) φαιόλη Trinc. F. V. seq. φαιά Trinc. φαιδῶ E.

Φαιώ θ' ἱμερόεσσα, καὶ Εὐδώρη τανύπεπλος·
[r])*Ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.*

[s]) *Αἱ δὲ Πλειάδες προείπομεν ὅπως κατηστερίσθησαν. Ἀλλὰ καὶ τὰ περὶ Ἄτλαντος καὶ τὴν τούτου καταστέρισιν ἀλληγορίᾳ καὶ ἱστορίᾳ δεούσῃ σαφηνιστέον μοι. Ἄτλας ἐστὶν ἀλληγορικώτερον* [t])*ὁ ἄξων ὁ ὁρίζων καὶ διακρίνων τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον· Ἰαπετοῦ* [v]) *δὲ, ἤτοι κινήσεως οὐρανοῦ, παῖς, ὅτι καταρχὰς συγκεχυμένου τοῦ* [w]) *παντὸς κοσμικοῦ σώματος, συνέβη τὸν ἀέρα καθ' Ἕλληνας σφοδροτέρας κινήσεως τετυχηκέναι, καὶ οὕτω διορίσαι τὸ ἄνω καὶ κάτω ἡμισφαίριον, καὶ διαρθρῶσαι τὸ πᾶν.* [141]) *Θυγατέρες δὲ Ἄτλαντος, αἱ Πλειάδες καὶ Ὑάδες, καὶ τὰ λοιπὰ* [x]) *τῶν ἄστρων καὶ τῶν ἀστέρων, ὅτι μετὰ τὸ διορισθῆναι τὰ ἡμισφαίρια, καὶ διαρθρωθῆναι τὸ πᾶν, οἱ ἀστέρες ἐφάνησαν, καὶ πᾶν τὸ τῶν ἄστρων σύστημα.* [y]) *Κίονες δὲ, ἃς ὁ ἄξων οὗτος Ἄτλας κατέχει, ὁ Βόρειος πόλος ἐστὶ καὶ ὁ Νότιος. Καὶ ταῦτα μὲν περὶ τοῦ στοιχειακοῦ Ἄτλαντος,* [z]) *τοῦ καὶ ἄξονος. Γέγονε δὲ καί τις Λίβυς ἀνὴρ μαθηματικώτατος, Ἄτλας τὴν κλῆσιν, ὃς ἐμυθεύθη τὸν οὐρανὸν ἔχειν, διὰ τὸ ἀρίστως ἀστρολογεῖν, καὶ περὶ τῶν οὐρανίων ἀκριβέστατα διδάσκειν, οὗ καὶ υἱοὶ Ἕσπερος καὶ Ὕας, καὶ θυγατέρες Πλειάδες καὶ Ὑάδες*[a])*φιλαδελφόταται· οὓς καὶ ἃς ἐν τοῖς ἄστροις* 207
σοφώτατος ὢν κατηστέρισεν, ὡς καὶ τοῖς ἀστρολόγοις οἱ ἀστέρες ὦσιν εὐσύνοπτοι, ὀνόματα ἔχοντες, καὶ τῶν παίδων αὐτοῦ τοῖς ἄστροις παραμένῃ τὸ ὄνομα, τῷ παντὶ αἰῶνι περιφερόμενον· τοῦτο δὲ καὶ [b]) *μύριοι ἕτεροι πεποιήκεσαν, ὡς*

r) *Νύμφαι ἃς ὑάδας καλέουσιν φῦλ' ἀνθρώπων.* E. G. F. H. Trinc. Bas.

s) *ἀλλὰ τὰ περὶ τούτων ἀλληγορία δεούσῃ, σαφηνιστέον μοι* Trinc.

t) *ὁ ἄξων* supplevi ex E. G. H. *Ἄτλας ἐστιν ὁ ἄξων ὁ διορίζων* Trinc.

v) *δὲ* dedi ex Trinc. E. G. H. *τῆς κινήσεως τοῦ* Trinc.

w) *παντὸς* om. Trinc.

143) Ineptissime in editione quam secuti sumus praetermissum erat, *τὸ, αἱ Πλειάδες*: sine quo *μάτην τῆς ἐξηγήσεως στοχάζεται.* Heinsius.

x) *τῶν ἄστρων καὶ* om. G. Mox *τὸ πᾶν καὶ οἱ* G.

y) *κιόνας δὲ ὁ ἄξων Ἄτλας οὗτος κ. τὸν Βόρειον πόλον καὶ τὸν Νότιον* Trinc.

z) *τοῦ ἄξονος* E. G. *καὶ ἄ.* sine *τοῦ* Trinc.

a) *φιλαδελφότατοι* E. F. G. *οὓς καὶ* om. Trinc. Mox *εὐσύνοπτοι* Trinc. E. F. G. H. *εὐσυνότατοι* Bas. *εὐσυνέτατοι* Heins. *παραμένῃ* H. Trinc. G. suprasc. *παραμένει* E. F. G. *παραμένοι* Bas.

b) *μυρίοι πολλοὶ πάντες ἀστέρες ὡς καὶ ἐπὶ Τριπτολέμου ὁ Κόνων κατηστέρισε τῆς Βερ.* G.

καὶ ἐπὶ Πτολεμαίου ὁ Κόνων καταστερίσας τῆς [c]) Βερενίκης τὸν πλόκαμον. Οὕτω μὲν οὗτοι καὶ οἱ λοιποὶ πάντες ἀστέρες καὶ τὰ ἄστρα κατηστερίσθησαν· [d]) οὐ γὰρ ἐπειδὰν ἀποθάνωμεν, κατά τινας τῶν ἔξω σοφῶν, ἀστέρες γινόμεθα, οὓς ὁ κωμικὸς Ἀριστοφάνης ἐμπέπαιχε· ἀλλὰ [e]) τὸ ψυχρὰ λέγειν καὶ κατασκευάζειν παρέντες, τήν τε ἱστορίαν τὴν περὶ τῆς διώξεως τῶν Πλειάδων ὑπὸ Ὠρίωνος ὕστερον πολλαῖς γενεαῖς τῶν Πλειάδων ὑπάρχοντος, καὶ τὴν τῆς Ἠλέκτρας πυράκτωσιν [f]) ἐν τῇ πορθήσει τῆς Τροίας, μετὰ ἑπτὰ γενεὰς γενομένης, μικρὸν δέ τι φάμενοι περὶ τοῦ πόθεν [g]) καλεῖται Πλειὰς, καὶ περί τινων ἑτέρων βραχυτάτων, χωρήσομεν πρὸς τὴν διδασκαλίαν τῶν ἀστρικῶν [h]) ἐπιτολῶν καὶ τῶν δύσεων. Ἀρχαγγελικὰς δὲ δυνάμεις ὅστις ἱμείροιτο τὰς Πλειάδας μανθάνειν, ὡς καὶ τὰς Μούσας, προσεχέτω τῷ Πρόκλῳ· οὐδὲν γὰρ ἡμεῖς τοιοῦτο λάβρον, οὐδὲ [i]) σοφὸν ἐπιστάμεθα, ἀλλὰ σαφές τε καὶ σύντομον καὶ τῆς ἀληθείας ἐχόμενον, εἰ μή που ἢ ψευδῆ τινὰ ἱστορίαν ἐλέγχοιμεν ἢ διορθοίημεν, ἤ τι μυθῶδες ἀλληγοροίημεν, ἢ [k]) ἀτέχνως γεγραμμένον τεχνικῶς διαγράφοιμεν, οὐ μεταρσίοις λόγων συνθήκαις, οὐ κόμπῳ ῥημάτων, ἀλλὰ σαφεῖ καὶ περιπεζίῳ τῇ λέξει, ὡς ὁ διδασκαλικὸς [l]) τρόπος παρακελεύεται. Πλειάδες λέγονται, ἀπὸ Πλειόνης τῆς αὐτῶν μητρός· ἢ ἀπὸ τοῦ πελειάδας [m]) αὐτὰς γεγονέναι φευγούσας τὸν Ὠρίωνα· ἢ παρὰ τὸ εἰς πολλὰ χρησιμεύειν· σημαντικαὶ γὰρ θέρους καὶ σπόρου· ἢ ὅτι [n]) πλησίον ἀλλήλων κεῖνται

c) *Βερονίκης* Bas. Mox *οὕτω μὲν οὕτω* Bas. Heins. Alterum *οὕτω* uncinis inclusit Heinsius.

d) *οὐ γὰρ ἂν ἐπειδὰν* Bas. Heins. et paullo post *γενώμεθα*. Aristophanis locus est Pac. 833.

e) *τὰ ψυχρὰ* Trinc. E. *καὶ κατασκευάζειν* om. Trinc. *ἀφέντες* pro *παρέντες* Trinc. *ὕστερον* E. G. *ὑστέρου* Bas. Heins. *τήν τε ἱστορίαν* ad *γενομένης* om. Trinc.

f) *ἐκ τῆς πορθήσεως* E.

g) *καλοῦνται πλειάδες* Trinc. et om. *καὶ π. τ. ἑ. βρ.*

h) *ἐπιτελῶν τε καὶ δύσεων* Trinc. ubi desunt ab h. l. usque ad *παρακελεύεται*.

i) *σομφὸν* Heins. *σοφὸν* E. F. G, H. Bas.

k) *ἀτεχνῶς* F. sed eo sensu, quo hic accipitur, recte *παροξύνεται*. Vide Etymolog. M. in v. *διαγράφομεν* H. *συνθήκαις καὶ κόμπῳ* E. H.

l) *τρόπος διακελεύεται* E. *τρόπος π.* F. G. *λόγος* Bas. Heins.

m) *αὐτοὺς* Trinc. et paullo post *παρὰ τὸ πέλειν χρησίμους*.

n) *πλησίον κεῖται περὶ τὸ οὐραῖον τ. τ. Αἱ δὲ ὑάδες περὶ τὸ λαιὸν κέρας τοῦ ταύρου κεῖνται. Περὶ ἀνατολῶν δὲ* Trinc. mediis omissis. *Λήθη* ad *ἡμίτομόν ἐστιν* om. E. H. *ὅσπερ ἡμίτομος* ed. Heins. Aliter Bas. F. G.

περὶ τὸ λαιὸν κέρας τοῦ ταύρου. *Λήθη* καταδχεθεὶς καὶ περὶ Ὑάδων γράφειν, εἶπον τὰς Πλειάδας παρὰ τὸ λαιὸν κέρας κεῖσθαι τοῦ ταύρου· ἰστέον οὖν ὅτι αἱ Ὑάδες κεῖνται περὶ τὸ 208 λαιὸν μέρος τὸ ῥηθὲν, αἱ δὲ Πλειάδες περὶ τὸ οὐραῖον τοῦ αὐτοῦ ταύρου, ὅπερ ἡμίτομόν ἐστιν. Tetzes.

381. *ΑΤΛΑΓΕΝΕΩΝ.* Οἱ o) περὶ τὸν Πρόκλον γελοῖον φασὶ τὸ Ἀτλαγενέων, Ἀτλαντογενέων λέγοντες εἶναι δέον. Ἐγὼ δέ φημι καλῶς ἔχειν καὶ ἀμφοτέρως. Κλίνεται γὰρ Ἄτλας Ἄτλαντος, καὶ Ἄτλας Ἄτλα. Ἐξ οὗ τὸ Ἀτλαγενέων. Tzetzes.

Ibid. *ΕΠΙΤΕΛΛΟΜΕΝΑΩΝ.* Περὶ ἀνατολῶν καὶ δύσεων p) ἀστρικῶν εἰπεῖν ὡρμημένῳ δέον μοι πρῶτον κεφαλαιωδέστερον καὶ συντόμως ἐκθεῖναι πᾶσαν ἀστροθεσίαν q) τὴν ἐν τῷ Ζωδιακῷ λοξοκινήτῳ κύκλῳ, ὃς ἀπὸ βοῤῥᾶ πρὸς νότον κινεῖται. Ἄστρων ὑπάρχουσι τμήματα δυοκαίδεκα, ἃ καὶ ζώδια καλοῦνται· ὧν τὰ ὀνόματα, Κριὸς, Ταῦρος, Δίδυμοι, Καρκίνος, Λέων, Παρθένος, Ζυγὸς, Σκορπίος, Τοξότης, Αἰγόκερως, Ὑδροχόος, Ἰχθύες. Ἐν ἑκάστῃ δὲ τῶν ἑπτὰ οὐρανίων ζωνῶν, r) αἳ καὶ σφαῖραι καλοῦνται, εἷς εἶναι λέγεται τῶν πλανωμένων ἀστέρων. Ἐν μὲν τῇ ἀνωτάτω καὶ πρώτῃ, Κρόνος· ἐν δὲ τῇ δευτέρᾳ Ζεὺς, s) ἔπειτα Ἄρης, καὶ μετ' αὐτὸν Ἥλιος, εἶτα Ἀφροδίτη, καὶ μετ' ἐκείνην Ἑρμῆς, ἡ δὲ Σελήνη πάντων ὑστέρα καὶ κατωτάτη. Πλάνητες t) δὲ ὀνομάζονται, ὡς ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς κινούμενοι, ἐναντίως τῇ κινήσει τοῦ οὐρανοῦ. Ζώδια μὲν v) οὖν (ὡς ἔφην) εἰσὶ δώδεκα· πλάνητες δὲ ἀστέρες ἑπτά· ἄστρα δὲ ἀπλανῆ λη, Ἄρκτος μεγάλη, w) Προκύων, Ἄρκτος μικρὰ, Ἵππος, x) Ὄφις, Ἀετὸς, Δελφὶς, Ὀϊστὸς, Κασσιέπεια, Λαγωὸς, Περσεὺς, Κῆτος, Ἀνδρομέδα, Ὠρίων, Ἡνιόχος, Κένταυρος, Κόραξ, Ὕδρος, Αἲξ, Λύρα,

o) οἱ δὲ περὶ E. ἀτλαγεννάων ἀτλαντογεννάων E. ἀτλαγεάνων ἀτλαγενάων F. ἀτλαγεννάων ἀτλαντογεννάων G. ἀτλαγεννάον ἀτλαντογεννάων Bas.

p) Deest Trinc. Mox ὁρμωμένῳ Trinc. ὁρμώμενοι E. κεφαλαιοδεστέρως Trinc.

q) Ita Trinc. τὴν π. ἀ. ἐν E. G. Bas.

r) ἃς καὶ σφαίρας καλοῦσιν Tr.

s) ἐν τῇ τρίτῃ Trinc.

t) δὲ ὠνομάσθησαν E. τε ὀνομάζονται G.

v) οὖν addidi ex E. Trinc. ὡς εἴρηται Trinc.

w) Ἄρκτος μικρὰ, ὄφις, προκύων, ἵππος Trinc.

x) ὄφις, ὀϊστὸς, κασσιέπεια, ἀετὸς, δελφὶς, λαγωὸς E.

Ἔριφοι, [y])Ἐνγόνασι, [144]) Στέφανος βόρειος, Στέφανος νότιος, Ἀργὼ, Ἠριδανὸς ποταμὸς, Πλειάδες, Θυμιατήριον, Ὑάδες, Ἀρκτοφύλαξ, ὁ καὶ Βοώτης, Ὀφιοῦχος, [z]) Κηφεὺς, Κύων, Τόξον, Κύκνος, Κρατὴρ, Ἰχθῦς, [a]) Δεσμά. Ταῦτα πάντα τὰ ζώδια καὶ τὰ ἀπλανῆ, καὶ οἱ πλάνητες, διττὰς ποιοῦνται ἀνατολάς τε καὶ δύσεις· μίαν μὲν, ἣν σὺν τῷ παντὶ οὐρανῷ ἀνατέλλουσι καθ' ἑκάστην
209 ἡμέραν, ἀπὸ τοῦ [b])ὑπογείου ἡμισφαιρίου εἰς τὸ ὑπέργειον, καὶ πάλιν ἀπὸ τοῦ ὑπεργείου εἰς τὸ ὑπόγειον δύνουσιν. Ἑτέραν δὲ [c])δισσουμένην ἀνατολήν τε καὶ δύσιν ποιοῦνται σὺν τῷ ἡλίῳ κατ' [d])ἐνιαύσιον κύκλον, ἀνατολὴν ἑώαν καὶ ἑσπερίαν καὶ δύσιν ὁμοίως. Τίνες δὲ αὗται, καὶ πῶς, καὶ [e]) πότε γίνονται, μάνθανε. Ὅταν τις ἀστὴρ, ἢ ἄστρον, ἐν ταῖς [f]) προηγουμέναις καὶ πρώταις μοίραις τινὸς ζωδίου [g]) ἐνσταίη, ἅσπερ καὶ δεξιὰς καὶ ἀνατολικὰς λέγουσιν, ὁ δ' ἥλιος προδραμὼν ταύτας ἐν ταῖς ἑπομέναις, καὶ [h]) μετ' αὐτὰς [i]) ἐνστῇ, ἃς καὶ ἀριστερὰς καὶ δυτικὰς καλοῦσι, [k]) πεντεκαίδεκα μοίρας ἀπέχων τοῦ [l]) ἀστέρος, λέγεται τότε ὁ ἀστὴρ ἑώαν ἀνατολὴν πρὸς τὸν ἥλιον ἔχειν. [145] [m]) Ἂν δὲ ταῖς πρώταις μοίραις ὁ ἥλιος τρέχῃ, ὁ δ' ἀστὴρ ἐν ταῖς ἑπομέναις ιε προλαβὼν [n]) ἑώας μοίρας τὸν ἥλιον, τότε λέγεται ἑσπερίαν ἀνατολὴν πρὸς τὸν ἥλιον ἔχειν. Δύσις δὲ ἑῴα ἐστὶν ἀστέρος, ὅταν ἐν ταῖς ἡγουμέναις ὁ ἀστὴρ φαίνῃ, ἐν δὲ ταῖς ἑπομέναις ὁ ἥλιος τρέχῃ, ἀφεστηκὼς τοῦ [o]) ἀστέρος ιδ, ἢ ιγ, ἢ ἐλάττονας μοίρας· [p]) δύσις δὲ ἑσπερία,

y) *ἐν γούνασι* E. *ἐνγόνασι* F. *στέφανος βόρειος, ἀργὼ, στέφανος νότιος, ἠριδανὸς ποταμὸς, πλειάδες, ὑάδες, ἀρκτοφύλαξ, ὁ καὶ βοώτης* E. *βορεῖος, ἀργὼ, στέφανος νότιος* H. *Πλειάδες, ὑάδες, θυτήριον* Trinc.

144) *Ἀργὼ* ab editione nostra aberat. HEINSIUS.

z) *Κηφεὺς* om. Trinc. *Κύκνος* om. E.

a) Ita Trinc. Bas. E. F. H. *τοὺς δέλτα* Heins.

b) *ὑπογείου* Bas. Heins. *ὑπὸ γῆν* E. Trinc.

c) *δὲ δισσουμένην* E. F. G. H. Trinc. *δυσσουμένην* Bas. *τε δισσὴν μὲν τὴν* Heins.

d) *ἐνιαυσιαῖον* E. *ἐνιαύσειον* Trinc. Mox *ὁμοίως ἑώαν καὶ ἑσπερίαν* Trinc.

e) *πόθεν* Trinc.

f) *ἡγουμέναις* Bas. E. F. G. H.

g) *ἐπισταίη* Trinc.

h) *μετὰ ταύτας* Trinc.

i) *ἐστιν* E. F. G. H. Bas.

k) *δεκαπέντε* Trinc.

l) *ἄστρον* G.

145) In ea quam secuti sumus, locus hic corruptus erat, scriptumque pro *τὰς μοίρας*, * *σῶας μοίρας* cum Asterisco. HEINSIUS.

m) Hinc ad *ἥλιον ἔχειν* om. Trinc. F.

n) *τὰς* Heins. *σώας* Bas. E. H. *προσλαβὼν ἑώας* G.

o) *ἄστρον* G.

p) Hinc ad *τοῦ ἡλίου* om. Trinc. H. *ἐλάττονας μοίρας ἀπέχων τοῦ*

οταν ὑπάρχῃ τὸ ἀνάπαλιν, ἐν ταῖς ἡγουμέναις μὲν μοίραις ὁ ἥλιος τρέχῃ, ταῖς ἑπομέναις δὲ ὁ ἀστὴρ ιδ, ἢ ιγ, ἢ καὶ ἐλάττονας μοίρας ἀπέχων τοῦ ἡλίου. Αὗται εἰσὶν αἱ ἀνατολαὶ καὶ δύσεις. Στηριγμοὺς [q] *δὲ καὶ ἀποῤῥοίας, καὶ συναφὰς καὶ πήξεις, καὶ κολλήσεις καὶ ἐπεμβάσεις, καὶ τὰ λοιπὰ σχήματα τούτων, ἐῶ λέγειν, ὡς περιττά. Ἡ ἐπιτολὴ δὲ τῶν Πλειάδων γίνεται ἀπὸ Μαΐου ἐνάτης, μέχρις Ἰουνίου* [r] *κγ· ἡ δὲ τούτων δύσις, ἀπὸ Ὀκτωβρίου η μέχρι Δεκεμβρίου ἐνάτης, σαφῶς καὶ ἰατρικῶς, μαθηματικῶς δὲ καὶ* [s] *ἀκριβέστερον ἔμπροσθεν μάθῃς. [Τὸ* [t] *ΑΡΧΕΣΘΑΙ, καὶ πάντα τὰ ἀπαρέμφατα, ἀντὶ προστακτικοῦ τίθησιν ὁ ποιητής· ἢ νοεῖται ἐπὶ πᾶσι τὸ θέλε, οἷον, θέλε ἐργάζεσθαι, θέλε σπείρειν, βοωτεῖν, καὶ τὰ ὅμοια. Ἄμητος, ἀσπόρητος ἐστὶν ὁ σπόρος. Ὀξυτόνως δὲ τοὺς χρόνους διαγράφει. Τὸ ζῴδιον ὁ Ἥλιος πρὸς τέλος φθάνει. Συνεγγίζουσι δὲ αἱ Πλειάδες, ἐπειδὴ μετὰ τὸν Κριὸν ὁ Ταῦρος ἐστὶν, οὗ τῇ ζώνῃ αὗται κεῖνται, πάντῃ ἀμαυροῦνται τοῦ Ἡλίου σύνεγγυς προσβάλλοντος αὐταῖς.* 210 *Τὸν γοῦν ὅλον Ἀπρίλλιον μῆνα διέρχεται τὸν κριόν. Ἐν γοῦν ταῖς ἐνάταις ἡμέραις τῆς ἀνατολῆς τοῦ μηνὸς οὔσης, ὡς σύνεγγυς ὄντος τοῦ Ἡλίου αὐταῖς, ὑπὸ τοῦ πλείστου φωτὸς ἀμαυροῦνται. Ἀφ' οὗ δὲ τελειώσει τὸν Κριὸν, προσβάλλει τῷ Ταύρῳ, κατὰ Μάϊον ἅπαντα· ὁ δὲ Μάϊος ἔχει λᾱ. θ γοῦν καὶ λᾱ, μ̄. μεθ' ὃ δὲ τελειώσει τὸν Μάϊον, καθ' ὃν κατέρχεται τὸ τοῦ Ταύρου ζῴδιον, προσβάλλει τῷ Διδύμῳ, κατὰ τὸν Ἰούνιον μῆνα· διελθὼν δὲ τὸν Ταῦρον, καὶ σὺν ἐκείνῳ τὰς Πλειάδας, καὶ προσβαλὼν τῷ Διδύμῳ κατὰ τὸν Ἰούνιον, τότε μηδενὸς ἐμποδίζοντος ἐκεῖναι ἀνατέλλουσι, κατὰ τὸν Ἰούνιον μῆνα, καθ' ὃν ἄρχονται θερίζειν. ([146]) Σημείωσαι ἐναντίως οὗτος φησὶ τῇ τοῦ Τζέτζου ἐξηγήσει.)* Tzetzes.

881. *ΠΛΗΙΑΔΩΝ ΑΤΛΑΓΕΝΑΩΝ. Καθ' ὃν γὰρ καιρὸν*

ἡλίου: δύσις E. *ἢ καὶ ε. μ. ἀπέχων τοῦ ἡλίου ὑπάρχει τὸ ἀνάπαλιν* F. *ἢ καὶ ε. μ. δύσιν δὲ ἑσπερίαν* G.

q) *δὲ καὶ ἀποῤῥ.* om. Trinc. Supra *ἀπέχων τοῦ ἡλίου* om. E. Mox *μίξεις* pro *πήξεις* G.

r) *κς — ἑσπερία δύσις* Trinc.

s) *ἀκριβῶς* Trinc. *μαθήσῃ* Trinc. G.

t) Hinc ad *προείπομεν* desunt E. F. G. H. Trinc.

146) Doctus aliquis monachus, aut Scholasticus, qui haec scholia in usum suum perlegerat, ad aliquem Procli aut Moschopuli locum, ubi a Tzetze eos dissidere observarat, haec verba notarat, *σήμηνον. Ἐναντίως οὗτός φησι τῇ τοῦ Τζέτζου ἐξηγήσει:* num ita le-

ἔνι τὸ ἀροτριᾷν, ἤγουν τὸν Ὀκτώβριον καὶ Νοέμβριον μῆνα, τότε κυρίως ἀνατέλλουσι. Ἐπιτολὴ γὰρ, ἡ μετὰ τοῦ ἡλίου δύσιν ἔκλαμψις τῶν ἄστρων. Αὗται γὰρ κατὰ τὸν καιρὸν τοῦ ἀρότου, ἤγουν τὸν Ὀκτώβριον καὶ Νοέμβριον μῆνα, ἀνατέλλουσιν ἀφ' ἑσπέρας, μετὰ τὴν ἡλίου δύσιν· κατὰ δὲ τὸν καιρὸν τοῦ θέρους, τὸν Ιούνιον καὶ τὸν Ἰούλιον, ἀνατέλλουσι τῷ πρωΐ. Tzetzes.

383. ΑΙ ΔΗ ΤΟΙ ΝΥΚΤΑΣ ΤΕ ΚΑΙ ἩΜΑΤΑ. Μ νυχθήμερα. Πρῶτος κεῖται ἐν τῷ ζωδιακῷ κύκλῳ ὁ Κριός· μετ' αὐτὸν ὁ Ταῦρος· μετὰ τὸν ταῦρον ὁ Δίδυμος· ἐν τῇ μέσῃ δὲ τοῦ Ταύρου, ἤγουν ἐν τῇ ζώνῃ, κεῖνται αἱ Πλειάδες αἱ ἓξ, αἵ τινες λέγονται καὶ κοινῶς ἑξάστερον. Ὁ δὲ Ταῦρος ἐσχημάτισται μέχρι τῆς μέσης πόδας μὴ ἔχων. Ὅτε δὲ ἔλθῃ ὁ ἥλιος ἐν τῷ ζῳδίῳ τοῦ Κριοῦ, καὶ διερχόμενος τοῦτο, (κατὰ μῆνα δὲ Ἀπρίλλιον αὐτὸ διέρχεται,) προσβάλλει τῷ Ταύρῳ κατὰ Μάϊον ἅπαντα, καθὼς προείπομεν.] Tzetzes.

385. ΧΑΡΑΣΣΟΜΕΝΟΙΟ ΣΙΔΗΡΟΥ. Τοῦ πρὸς ἀμητὸν χρησίμου. Καὶ προσέθηκε ΠΕΡΙΠΛΟΜΕΝΟΥ ΕΝΙΑΥΤΟΥ, δηλῶν ὅτι οὕτως ἀεὶ γίνεται, διὰ τὴν ἐγκύκλιον τοῦ ἡλίου κίνησιν, ἐν τεταγμένοις χρόνοις τὸν Ζωδιακὸν κύκλον περιπολοῦντος, καὶ τὰ μὲν ἀπολείποντος τῶν ζῳδίων, τὰ δὲ ἐπιόντος· καὶ ἃ μὲν ἀπολείπει, τούτων αὐτοῦ προανατελλόντων, οἷς δὲ σύνεστι, v) τούτων αὐτῷ συνανατελλόντων. Ὧν δὲ γίνεται ἀπ' ἐναντίας, τούτων ἀνατελλόντων μὲν, ὅτε καταδύεται· καταδυομένων δὲ, ὅταν αὐτὸς ἀνατέλλῃ, καὶ τὸ ζῴδιον ἐν ᾧ ἐστίν. Proclus.

Ibid. ΧΑΡΑΣΣΟΜΕΝΟΙΟ ΣΙΔΗΡΟΥ. Ὑποθέμενος ὁ
211 Ἡσίοδος τῷ Πέρσῃ ἐξ ἀνατολῆς καὶ δύσεως w) τῶν Πλειάδων, εἰδέναι θέρους καιρὸν καὶ ἀρότου, ἐπεὶ δυσχερὴς ἡ τούτων γνῶσις ἰδιώτῃ x) ἐδόκει ἀνδρὶ, σαφεστέρως νῦν καὶ ἐξ ἰδιωτικωτέρου παραδείγματος δείκνυσιν αὐτῷ τὴν τῶν Πλειάδων y) ἀνατολὴν, λέγων τότε αὐτὰς ἐπιτέλλειν, ὅτε οἱ γεωργοὶ χα-

gendum. Unde nos ea distinximus, et duobus uncis inclusimus. Heinsius.

v) τοιούτων B.

w) τῆς πλειάδος E. Bas. Mox ἀρότου Trinc. et infra.

x) ἐδόκει om. Trinc. ubi ἦν post δυσχερής. Mox ἐξ ἰδιωτικῶν παραδειγμάτων Trinc. ἰδιωτικωτέρων παραδειγμάτων E.

y) ἐπιτολὴν Tr. καὶ στομοῦσι om. Trinc.

ῥάσσουσι καὶ στομοῦσι τὰ δρέπανα, καὶ πρὸς θερισμὸν εὐτρεπίζουσιν. Ἐξ ἀμήτου δὲ οὐκ ἐξ ἀρότου εἶπε [z]) κατάρχεσθαι, ὅπως διὰ τὴν ἐλπίδα τοῦ κέρδους προτρέψῃ πρὸς γεωργίαν αὐτὸν, ἀργὸν φύσει τυγχάνοντα, καὶ νωθέστατον. Tzetzes.

386. *ΟΥΤΟΣ ΤΟΙ ΠΕΔΙΩΝ ΠΕΛΕΤΑΙ.* Πάσας περικόπτων τὰς προφάσεις τῶν ἀναβαλλομένων τὸν ἀμητὸν, ἢ τὸν σπόρον, αἷς προφασίζονται λέγοντες ἢ πεδινὴν ἢ ὀρεινὴν οἰκεῖν [a])γῆν, καὶ διὰ τοῦτο μὴ ὅτε οἱ ἄλλοι σπείρειν ἢ θερίζειν, ἐγκελεύεται μόνον τὸν καιρὸν ἐπιτηρεῖν. Τοῦτον γὰρ μόνον ἀμητοῦ καὶ ἀρότου καιρὸν, τῶν πεδινῶν, τῶν ὀρεινῶν, τῶν παραλίων· καὶ δεῖν ἀπροφασίστως ἐν τούτῳ καὶ ἀμᾶσθαι καὶ ἀροτριᾷν ἀπαξάπαντας τοὺς γεωργούς. Proclus.

Ibid. *ΑΛΛΩΣ. ΟΥΤΟΣ ΤΟΙ ΠΕΔΙΩΝ.* Ὅτι ἀνὰ πᾶσαν τὴν γῆν ὁ αὐτὸς νόμος ἐστὶ τοῦ καιροῦ καὶ τοῦ ἀροτριᾷν καὶ τοῦ θερίζειν. Proclus.

Ibid. *ΟΥΤΟΣ ΤΟΙ ΠΕΔΙΩΝ ΠΕΛΕΤΑΙ ΝΟΜΟΣ.* Περιαιρῶν πᾶσαν πρόφασιν τοῦ Πέρσου, φησίν· οὗτος τῆς γεωργίας νόμος ἐστὶν, ἀροτριᾷν Πλειάδος δυούσης, ἀμᾷν δὲ ἀνατελλούσης, κἂν ἐν παραθαλασσίῳ καὶ ἀμμώδει καὶ λυπρογέῳ τινὲς κατοικῶσι χώρᾳ, κἂν ἐν μεσογείῳ καὶ λιπαρᾷ, καὶ μακρὰν ἀπεχούσῃ θαλάσσης. Tzetzes.

Ibid. *ΟΥΤΟΣ ΤΟΙ ΠΕΔΙΩΝ ΠΕΛΕΤΑΙ ΝΟΜΟΣ.* Αὕτη ἡ τάξις ἐστὶ τῆς σπορίμου γῆς, καὶ ἐκείνοις, οἵ τινες ἐγγὺς θαλάσσης οἰκοῦσι, καὶ ἐκείνοις, οἵ τινες ἄγκεα βησσήεντα οἰκοῦσιν, ἤγουν ἀγκωνοειδεῖς τόπους κοίλους, καὶ καταδύσεις ἔχοντας· πίονα λέγω χῶρον, ἤγουν λιπαρὰν γῆν, ἀπόπροθι, τουτέστιν ἄπωθεν κατ' ἐπίτασιν τοῦ μήκους, [b])τοῦ κύματα ἐγείροντος πόντου. Ἀνατολὴ ἐπὶ ἡλίου, ἐπιτολὴ δὲ ἡ φανέρωσις τῶν ἄστρων μετὰ τὴν κρύψιν τὴν ἡλιακήν· ὥστε εἰ καὶ ὀλίγον πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς φαίνεται ἄστρον, ἐπιτέλλειν λέγεται, μετὰ γὰρ τὴν ἀνατολὴν τοῦ ἡλίου φαίνεται, εἰ καὶ ἐπὶ πάνυ πολὺ προὐχώρησεν ὁ ἥλιος, ὡς ἤδη ἑτέραν ποιεῖσθαι ἀνατολήν. Ἀμητὸς, ὁ καιρὸς ὅτε ἀμῶσι, καὶ ὁ καρπὸς ὁ ἀμώμενος, καὶ ἡ ἐνέργεια, ἤγουν αὐτὸ τὸ ἀμᾷν,

z) κατάρξασθαι Trinc. θέρους pro κέρδους E.

a) γῆν om. B. et mox, τοῦτον γὰρ τὸν νόμον ἀμητοῦ καὶ ἀρότρου.

b) τοῦ sic B. Antea τά. Mox ἀνατολῆς et ἐπιτέλλειν — φαίνεται ex B.

212 ὥσπερ ἀλοητὸς ὁ καιρὸς ὅτε ἀλοῶσι, καὶ ὁ καρπὸς ὁ ἀλοώμενος, καὶ τὸ ἀλοᾷν, καὶ τρυγητὸς ὁ καιρὸς ὅτε τρυγῶσι, καὶ ὁ καρπὸς ὁ τρυγώμενος, καὶ τὸ τρυγᾷν. Ἀροτὸς δὲ ὁ καιρὸς ὅτε ἀροῦσιν, καὶ τὸ ἀροῦν. Δοκοῦσι δὲ οξύνεσθαι, ὡς νεατὸς, ἐπαινετὸς, νοητὸς, ἀγαπητὸς, θεατὸς, ὑμνητός. Καὶ ἁπλῶς πάντα τὰ εἰς ος ἁπλᾶ ὅσα ἀπὸ παθητικῶν παρακειμένων γίνεται περισπωμένων συζυγιῶν. Αἰτία δὲ οὐ φαίνεται δι' ἣν ἕκαστον τούτων ἐπὶ τοῦδε μὲν τοῦ σημαινομένου ὀξυτονηθήσεται, ἐπὶ δὲ τοῦδε προπαροξυνθήσεται. Δύσσομαι ποιητικῶς, δύνω κοινῶς. Moschop.

389. *ΓΥΜΝΟΝ ΔΕ ΣΠΕΙΡΕΙΝ.* Τὰ τῆς γεωργίας ἔργα σπείρειν, βοηλατεῖν, θερίζειν, πάντα κελεύει γυμνὸν μετιέναι· δηλῶν ὅτι τοῦ ἀέρος ὄντος εὐδιηνοῦ ταῦτα δὴ ποιητέα, καὶ μήτε κρυμώδους ὄντος, μήτε ὕοντος τοῦ θεοῦ· οὕτω γὰρ καὶ αἱ βλαστήσεις ἔσονται εὐφυεῖς, [c]) καὶ αἱ συγκομιδαὶ τῶν καρπῶν ἐπωφελεῖς. Φασὶ δέ τινες χρῆναι τὰς νειοὺς μετὰ χειμῶνα ποιεῖν, στρέφοντας αὐτὴν ἐν τῷ νεάζειν καὶ σπείρειν οὐκ οὖσαν κατάξηρον. Κάλλιον δέ φησιν ὁ Πλούταρχος μετὰ τὸν σπόρον ὑετὸν συμβῆναι, ἢ πρὸ σπόρου. Δῆλον δέ· τὰ γὰρ μετὰ Πλειάδα σπαρέντα καὶ πρὸ τροπῶν φύεσθαι [d]) ἑβδομαῖα, ἐν Αἰγύπτῳ δὲ καὶ τριταῖα· τὸν δὲ μετὰ τροπὰς, μόλις ἐν τριπλασίῳ τούτου τοῦ χρόνου· οὕτως τὸ ἐπιγενέσθαι ὑετὸν ἀγαθὸν μᾶλλον, ἢ τὸ προγενέσθαι. Οἱ δὲ ἀρχαῖοι καὶ πρωϊαίτερον ἔσπειρον, καὶ δῆλον ἐκ τῶν Ἐλευσινίων [e]) τελετῶν. Proclus.

Ibid. *ΒΟΩΤΕΙΝ.* Ἢ τὸ ἀροτριᾷν, ἢ τὸ βοῦς βόσκειν. Proclus.

Ibid. [f]) *ΓΥΜΝΟΝ ΣΠΕΙΡΕΙΝ.* Γυμνὸν ἀμᾷν, γυμνὸν δὲ βοωτεῖν, καὶ ἀροτριᾷν. Τοῦτο δέ φησι, προτρεπόμενος αὐτὸν προφθάνειν τὸν χειμῶνα, καὶ προεργάζεσθαι· ἢ ὡς ἂν οὕτως εὐῤῥώστως καὶ [g]) γενναίως ἐργάζοιτο. Τὸ *ΕΙΧ' ὩΡΙΑ* καὶ τὸ *ὩΣ ΤΟΙ ἝΚΑΣΤΑ ὩΡΙ' ΑΕΞΗΤΑΙ* ἄντικρυς ἐρεσχελία καὶ φλυαρία ἐστί. Tzetzes.

c) Copulam addidi ex A. Paullo post σπείροντας B. pro σπείρειν. Ibid. μετὰ Πλειάδα cum Trinc. Heinsius κατὰ Π. Fragmentum est Plutarchei Comment. n. 23.

d) ἑβδομαι A. ἑβδόμαι B. Trinc. τρίται A. B. Tr. Mox nescio an legendum ὡς δῆλον pro καὶ δ.

e) Post τελετῶν in A. reperiuntur sequentia: ἐν οἷς ἔλεγε τοῦ

Ibid. *ΠΕΡΙΠΛΟΜΕΝΟΥ.* *Πολεῖν τὸ στρέφειν, καὶ ἀναπολεῖν τὸ ἀναστρέφειν, καὶ περιπολεῖ ὁ οὐρανὸς, ἤγουν περὶ τοὺς πόλους στρέφεται, ἀφ' οὗ περιπολοῦμαι καὶ περιπολούμενος, εἶτα κατὰ συγκοπὴν περιπλόμενος, ἐπεὶ τὸ περιπολούμενος ἀνοικείως πρὸς τὸ μέτρον εἶχε, τρία ἐφεξῆς ἔχον βραχέα.* Mosch.

Ibid. *ΓΥΜΝΟΝ ΣΠΕΙΡΕΙΝ.* *Γυμνόν σε παρακελεύομαι σπείρειν.*

Ibid. *ΓΥΜΝΟΝ ΔΕ ΒΟΩΤΕΙΝ.* *Ἤγουν βοηλατεῖν.* Moschop.

390. *ΓΥΜΝΟΝ Δ' ΑΜΑΕΙΝ.* *Ὡς ἂν πρόθυμος ἔσῃ περὶ τὸ ἔργον μὴ φορῶν τὸ ἱμάτιόν σου, ἵνα μὴ ἐμποδίζῃ ὑπ'* 213
αὐτοῦ. Εἴγε h) *ὥρια πάντα θέλεις ἀπὸ τῆς γῆς κομίζεσθαι. ΑΜΑΕΙΝ, συναθροίζειν ἢ θερίζειν.* Proclus.

Ibid. *ΓΥΜΝΟΝ Δ' ΑΜΑΣΘΑΙ.* *Τουτέστιν ἀμᾶν, ἀντὶ τοῦ σὺν προθυμίᾳ σπεῖρε, καὶ βοηλάτει, καὶ θέριζε, ἐὰν ἐθέλῃς κομίζεσθαι, ἀντὶ τοῦ συγκομίζειν, ἤγουν συνάγειν καὶ ἀποτιθέναι, πάντα τὰ ἔργα τῆς γῆς, τουτέστι τοὺς καρποὺς, οὓς ἡ γῆ βλαστάνει καὶ ζωογονεῖ.* Moschop.

392. *ΜΗ ΠΩΣ ΤΑ ΜΕΤΑΞΥ ΧΑΤΙΖΩΝ.* *Ταῦτα πρὸς τὸν ἀδελφὸν ἰδίως ἀπέστρεψεν, ἀπάγων αὐτὸν τῆς ἀργίας* 147) *καὶ τοῦ πτωχεύειν, ὅ ἐστι πτώσσειν ἀλλοτρίους οἴκους· καὶ γὰρ ὁ πτωχὸς εἴρηται παρὰ τὸ πτώσσειν καὶ* i) *ὑποκατα-*

πθι κόρη γεφύραν ὅσον οὔπω· τριπόλεον δέ.

f) Deest hoc Schol. Trinc.

g) *γενναιοτέρως* E.

h) *ὥριμα* A.

147) Vox *πτώσσειν* minime stricte accipienda est, ut notant interpretes: in qua ratio est elegans. Philosophus lib. Rhetor. 3. ubi oratori suadet, ut si commendare quid velit aut probare cuiquam, translationem vocis a praestantiori specie desumat ejusdem generis: sin contra, a deteriori: hoc ut probet, eadem voce utitur qua hic usus est Hesiodus, *τῷ πτωχεύειν*: cujus oppositum sub eodem genere est, *εὔχεσθαι*: genus est, *αἰτεῖν*. Utrunque cum idem denotat, alterum ignominiam habet, alterum ea caret. Verba ejus sunt: *Καὶ ἐάν τε κοσμεῖν βούλῃ, ἀπὸ τοῦ βελτίονος τῶν ἐν ταὐτῷ γένει φέρειν τὴν μεταφορὰν, ἐάντε ψέγειν, ἀπὸ τῶν χειρόνων· λέγω δ' οἷον ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ γένει, τὸ φάναι, τὸν μὲν πτωχεύοντα εὔχεσθαι, τὸν δὲ εὐχόμενον πτωχεύειν· ὅτι ἄμφω αἰτήσεις, τὸ εἰρημένον ἐστὶ ποιεῖν.* Cum igitur Hesiodus Persae ob oculos ponat, hominis qui ab altero pendet conditionem, quantaque subsequatur miseria *τὸ αἰτεῖν*, quod proprium est *τῶν μὴ αὐτουργούντων*, maluit dicere *πτώσσειν*, quam *αἰτεῖν*, quod est genus, aut *εὔχεσθαι*, quae est opposita species. Heinsius.

i) Ita A. Antea *ὑποκλίνεσθαι*.

κλίνεσθαι τοῖς δοῦναι δυναμένοις. Συμβαίνει δὲ καὶ ἀναισχυντεῖν τοῖς δεομένοις, πολλάκις προσιοῦσι τοῖς εὐπόροις, [148]) καὶ μὴ διδόντων, μάταια λέγειν αἰτοῦσι. Χρῆναι οὖν (φησι) διὰ τῶν ἔργων εὐπορίαν ἀγείρειν καὶ τὸν λιμὸν διώκειν, οὐ διὰ τοῦ πτωχεύειν· καὶ ἀναιδοῦς ὄντος εἰ γίγνοιτο πολλάκις καὶ ματαίου, τῶν ἐπαρκεῖν δυναμένων οὐκ ἀεὶ [k]) ὑπακουόντων. ΑΛΛΩΣ. Μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν, ΜΕΤΑΞΥ ἐν τῷ μετὰ ταῦτα, τουτέστι μετὰ τὸ ἐξελθεῖν τὸν καιρὸν τοῦ δεῖν τι πράττειν, χρονίζων πλανᾷ ἄλλοτε πρὸς ἄλλον προσαιτῶν καὶ μηδὲν ὠφελούμενος. Proclus.

Ibid. [l]) ΜΗΠΩΣ ΤΑ ΜΕΤΑΞΥ ΧΑΤΙΖΩΝ. Μή πως μὴ ἔχων ἐν τῷ μέσῳ τοῦ καιροῦ, πτώσσῃς, πτωχεύῃς, ἢ δίκην πτωκὸς γυμνὸς καὶ περιδεὴς πορεύῃ πρὸς τοὺς ἀλλοτρίους οἴκους. Tzetzes.

Ibid. ὩΡΙΑ. Ἤτοι ὥριμα καὶ ἐν τῷ καιρῷ αὐτῶν, ἵνα σοὶ
214 ἕκαστα αὐξάνηται κατὰ τὸν προσήκοντα αὐτοῖς καιρὸν, ἵνα μήπως τὰ μεταξὺ στερούμενος, πτώσσῃς, ἀντὶ τοῦ συνεσταλμένος καὶ τεταπεινωμένος ἔρχῃ, ἐπ' ἀλλοτρίους οἴκους, αἰτῶν δηλονότι, καὶ μηδὲν ἀνύσῃς, καθὰ καὶ νῦν ἐπ' ἐμὲ ἦλθες, ἐγὼ δέ σοι οὐκέτι ἐφ' οἷς ἔδωκα δώσω. Moschop.

394. ΟΥΚ ΕΠΙΔΩΣΩ. Οὐ χαριοῦμαι, ἐντεῦθεν καὶ δωτίνη ἡ δωρεά. Proclus.

Ibid. ΕΠΙΔΩΣΩ. [m]) Προῖκα καὶ κατὰ χάριν παρέξω, οὐδ' ἐπιμετρήσω μέτρῳ τινὶ καὶ μεδίμνῳ. Tzetzes.

395. ΟΥΔ' ΕΠΙΜΕΤΡΗΣΩ. Ἀντὶ τοῦ οὐ χρήσω. Proclus.

Ibid. ΟΥΔ' ΕΠΙΜΕΤΡΗΣΩ. Ἤγουν [n]) οὐδὲ ἐφ' οἷς ἐμέτρησα μετρήσω. Ὥσπερ ἑφερμηνευτικὸν δοκεῖ τὸ ἐπιμετρήσω τοῦ ἐπιδώσω· τὸ μὲν γὰρ ἄδηλον εἶχε τὴν δόσιν, τὸ δὲ ἐπιμετρήσω ὁρίζει ταύτην ὅτι σῖτος, ἢ τοιοῦτό τι μέτρῳ διδόμενον. Moschop.

Ibid. ΕΡΓΑΖΕΥ ΝΗΠΙΕ ΠΕΡΣΗ. Ἐργάζου ἀνόητε Πέρση τὰ ἔργα, ἃ οἱ θεοὶ τοῖς ἀνθρώποις διετεκμήραντο, ἀν-

148) Scribe, Καὶ μάταια λέγειν αἰτοῦσι: vel aliter vacat τὸ αἰτοῦσι, quod notarat illustris Scaliger. Heinsius.

k) ὑπακουσομένων A.

l) Deest hoc Schol. Trinc.

m) Deest hoc Schol. Trinc. Pro ἐπιδώσω — ἐπιμετρήσω: Οὐδ' ἐπιμετρήσω, οὐ δανείσω E.

n) Οὐδὲ ex B.

τὶ τοῦ ἐγνώρισαν, τεκμαίρεσθαι ἔδωκαν. Θεοὺς δὲ ἐνταῦθα τὰ στοιχεῖα λέγει, ἀφ' ὧν τεκμαιρόμενοι οἱ ἄνθρωποι τὰ τῆς γεωργίας ἔργα ἐργάζονται. Moschop.

396. *ΘΕΟΙ ΤΕΚΜΗΡΑΝΤΟ.* *Καλῶς* εἶπε τὸ, ἐτεκμήραντο· ἀπὸ γὰρ τῶν στοιχείων τεκμαιρόμεθα καὶ [o]) ἐργαζόμεθα· πρᾶγμα γὰρ δεινὸν μετὰ γυναικὸς καὶ τέκνων χρήζειν. Proclus.

Ibid. [p]) *ΘΕΟΙ ΔΙΕΤΕΚΜΗΡΑΝΤΟ.* Οἱ ἀστέρες, ἢ τὰ στοιχεῖα νῦν θεοί. Ἐκ γὰρ τῶν ἀστέρων τὰ τῆς γεωργίας ἔργα, καὶ τὰ λοιπὰ ἐργαζόμεθα τεκμαιρόμενοι. Tzetzes.

397. *ΜΗ ΠΟΤΕ ΣΥΝ ΠΑΙΔΕΣΣΙΝ.* Ἵνα μή ποτε σὺν παισὶ καὶ γυναικὶ κατὰ τὴν ψυχὴν ἀνιώμενος, ζητῇς τὰ πρὸς ζωὴν χρήσιμα κατὰ τοὺς γείτονας. Moschop.

398. *ΟΙ Δ' ΑΜΕΛΩΣΙΝ.* Ἤγουν ἀνεπιστρόφως ἔχωσι καὶ ἀφροντίστως πρὸς τὴν σὴν αἴτησιν. Δὶς μὲν γὰρ καὶ τρὶς ἴσως ἐπιτεύξῃ· ἐὰν δὲ ἐπιπλέον ἐνοχλῇς, χρῆμα μὲν, ἤγουν πρᾶγμα, οὐ πράξεις, τουτέστιν οὐκ ἀνύσεις, σὺ δὲ μάταια πολλὰ ἀγορεύσεις, ὁ δὲ νόμος, ἤγουν τὸ πλῆθος τῶν νόμων, ἀχρεῖος ἔσται, ἤγουν ἐπ' οὐδενὶ χρησιμεύων. Ἀλλά σε παρακελεύομαι φράζεσθαι, ἀντὶ τοῦ μελετᾶν διὰ φροντίδος ποιεῖσθαι, χρεῶν τε λύσιν, καὶ λιμοῦ ἀλεωρὴν, τουτέστιν ἐκφυγήν. Moschop.

400. *ΕΤΩΣΙΑ.* Μάταια, ἀπὸ τῶν γεωργῶν, οἵ τινες ὤσαντες καὶ παραδραμόντες τὸ δέον ἔτος γεωργίᾳ, ἢ φυτείᾳ, **215**
ἢ ἑτέροις τισὶ τοιούτοις ἐβλάβησαν. Tzetzes.

403. *ΟΙΚΟΝ ΜΕΝ ΠΡΩΤΙΣΤΑ.* Τρία ταῦτα ἀναγκαῖα πρῶτα πρὸς εὐπορίαν· ὁ οἶκος, ὡς [q]) δεξόμενος· ἡ γυνὴ ὡς φυλάξουσα· ὁ βοῦς, ὡς ἐργασόμενος. Εἰπὼν δὲ γυναῖκα, ἵνα μὴ τὴν συντεκνοποιήσουσαν οἰηθῇς, ἐπήγαγε

κτητὴν οὐ γαμετὴν, ἥτις καὶ βουσὶν ἕποιτο,

o) Ita dedit Heinsius, cum sit in Trinc. ἐργαζόμεθα πρᾶγμα. δεινόν. μετὰ γυν. κ. τ. χ. Nihil ad h. l. enotatum habeo e MSS.

p) Deest hoc Schol. Trinc. γεωργίᾳ ἢ φυτείᾳ dedi ex F. γεωργίαν ἢ φυτείαν Bas. Heins. ὤσαντο καὶ ἀπεδίωξαν, καὶ παραδραμόντες τὸ δέον ἔτος γεωργίας ἢ φυτουργίας E.

q) Ita A. δεξάμενος edd. Mox Τιμόθεον reponendum censet Graevius Lectt. Hes. c. 9. permotus auctoritate Diogenis Laert. in Vita Aristotelis c. 1. Verum nihil mutandum persuadet Menagius, quem vide. Menagio assentitur Goellerus ad Timaei fragment. XXII. p. 229. Pro Ἑρπυλίδῃ reposui Ἑρπυλλίδι cum Menagio.

μετὰ τοῦ φυλάσσειν τὸν οἶκον· διὰ τοῦτο γὰρ εἶπε καὶ βουσὶν αὐτὴν ἕπεσθαι, διότι καὶ ἄλλην πληρώσει χρείαν. Οὐ λέγει οὖν παλλακὴν, ἀλλὰ φύλακα τοῦ οἴκου καὶ τῶν βοῶν. Μάτην οὖν λέγουσιν οἱ περὶ Τίμαιον Ἡσιόδῳ τὸν Ἀριστοτέλην πειθόμενον μετὰ τὴν τῆς γυναικὸς τελευτὴν Ἑρπυλλίδι συνεῖναι τῇ θεραπαίνῃ, ἐξ ἧς αὐτὸν σχεῖν υἱόν. PROCLUS.

Ibid. r) ΟΙΚΟΝ ΜΕΝ ΠΡΩΤΙΣΤΑ. Παρακελεύεται τῷ ἀδελφῷ, πρῶτα μὲν οἴκου φροντίζειν, ὡς περιέξοντος καὶ αὐτὸν, καὶ τὰ κτηθησόμενα. TZETZES.

Ibid. ΓΥΝΑΙΚΑ ΤΕ. Κτητὴν καὶ ὠνητὴν, οὐ γαμετὴν, s)ἥ τις καὶ τοῖς βουσὶν ἕποιτο· κτᾶσθαί φησι κατὰ δεύτερον λόγον· ὅπως τὰ τῆς ἀγροικικῆς οἰκίας συνέχῃ, οὐ παιδοποιὸς, λάτρις δὲ οὖσα γυνή. TZETZES.

Ibid. ΟΙΚΟΝ ΜΕΝ ΠΡΩΤΙΣΤΑ. Τὸ ποιήσασθαι ἀπὸ κοινοῦ, οἶκον μὲν πρώτιστα παρακελεύομαί σε ποιήσασθαι, καὶ γυναῖκα κτήσασθαι δηλονότι· οὐ γὰρ δύναται συνυπακούεσθαι καὶ ἐπὶ τούτου τὸ ποιήσασθαι· συνυπακούεται οὖν τὸ οἰκεῖον κατὰ ἀναλογίαν τοῦ προῤῥηθέντος. Τὸ δὲ ἑξῆς, γυναῖκά τε κτητὴν, ἤγουν ὠνητὴν, οὐ γαμετὴν, ἤτοι οὐ γάμῳ συνημμένην σοι, ἀλλ' οὐδὲ παλλακὴν, ἀλλ' ἥτις καὶ τοῖς βουσὶν ἕποιτο μετὰ τοῦ φυλάττειν τὸν οἶκον δηλονότι, ὁ γὰρ καὶ σύνδεσμος καὶ ἑτέρας ἐργασίας ἔμφασιν ποιεῖ, εἶτα βοῦν ἀροτῆρα κτήσασθαι. MOSCHOP.

Ibid. ΓΥΝΑΙΚΑ ΤΕ, ΒΟΥΝ Τ' ΑΡΟΤΗΡΑ, ΚΤΗΤΗΝ ΟΥ ΓΑΜΕΤΗΝ. Πρὶν ἀποδοῦναι τὸν ἑξῆς λόγον ἐν τῷ μεταξὺ τίθησι τὸ βοῦν τ' ἀροτῆρα. Συνήθως δ', ὡς ἔοικε, ποιεῖ τὸ τοιοῦτον, καὶ ἐν τοῖς ὄπισθε γὰρ, ἐν οἷς διέξεισι συλλογιζόμενος ὁποῖοι ἔσονται οἱ μετὰ τὸ πέμπτον γένος ἄνθρωποι, μετὰ πολλὰ t) ἐπάγει,

μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν,
Ἀνέρα τιμήσουσιν,

ἐν τῷ μέσῳ τιθεὶς τὸ ὕβριν, διακόψας τὸν ἐφεξῆς λόγον· τὸ
216 γὰρ ἑξῆς, μᾶλλον δὲ ἄνδρα κακῶν ἐργάτην τιμήσουσιν, εἶτα.

r) Deest hoc Scholion Trinc. πρῶτον pro πρῶτα E. et paullo post κτηθησόμενα pro καταθησόμενα.

s) Sic E. F. ἥτις ἐν edd.

t) ἐξήει B. ex eodem mox restitui καὶ ὕβριν — διακόψας. Caeterum Sch. hoc antea legebatur post ἐμπλέκεται inf. p. 217.

καὶ ὕβριν τιμήσουσι δηλονότι. Ἀχέω ποιητικῶς, ἄχθομαι κοινῶς, ἐν δὲ τῷ ἀχεύων προσθήκη γίνεται τοῦ ύ, ὥσπερ ἐν τῷ ζητεύῃς. Ἀροτὴρ ποιητικῶς, ἀρότης κοινὸν, ἕνη δι' ἑνὸς ν, καὶ δασύνεται· ἀπὸ γὰρ τοῦ ἓν γίνεται, ἐὰν δὲ διπλασθῇ τὸ ν Αἰολικῶς, ψιλοῦται. Moschop.

405. *ΧΡΗΜΑΤΑ Δ' ΕΙΝ ΟΙΚΩι ΠΑΝΤ' ΑΡΜΕΝΑ.* Πάντα ὅσα πρὸς γεωργίαν ὄργανα χρήσιμα προεῖπε χρήματα. Μετὰ γὰρ τὰ ἔμψυχα ὄργανα καὶ λογικὰ, οἷον ἦν ἡ ὠνὴ τῆς γυναικὸς, καὶ τὰ ἔμψυχα καὶ ἄλογα, οἷον ὁ βοῦς, τὰ ἄψυχά φησι χρῆναι παρασκευάζειν καὶ ἔχειν οἴκοι κείμενα· καὶ τὴν αἰτίαν προστίθησιν. Proclus.

Ibid. *ΧΡΗΜΑΤΑ.* Τὰ [v])χρειώδη τῶν γεωργικῶν ἐργαλείων, καὶ τὰ λοιπὰ ἄρμενα καὶ ἁρμόδια, καὶ μὴ τοῦ πρέποντος ἀποδέοντα, ποιήσασθαι, καὶ ποίησον ἐν τῷ οἴκῳ σου. Τὸ *ΑΡΜΕΝΑ* δὲ καίπερ ἀπὸ τοῦ ἁρμοζόμενα γεγονὸς, ψιλοῦται, ὡς συγκοπῇ Αἰολικῇ· πάντα γὰρ τὰ τοιαῦτα, ἐντελῆ μὲν ὄντα δασύνεται, συγκοπέντα δὲ ψιλοῦται. Ὡς τὸ, ἁλλόμενος, ὁ πηδῶν, καὶ ἁρμοζόμενος, δασύνονται· ἐφαρμοζόμενος γὰρ φαμὲν, καὶ καθαλλόμενος. Ὡς Ὅμηρος,

Ἦτε καθαλλομένη, ἰοειδέα πόντον ὀρίνει.

τὸ δὲ ἄρμενος, καὶ ἄλμενος, συγκοπέντα Αἰολικῶς ψιλοῦνται, ὡς νῦν τὸ *ΠΑΝΤ' ΑΡΜΕΝΑ.* Καὶ παρ' Ὁμήρῳ,

ἐπάλμενος ὀξέϊ δουρί. Tzetzes.

Ibid. Χρήματα δὲ, ἤγουν τὰ ὄργανα τὰ πρὸς γεωργίαν χρήσιμα, πάντα ἄρμενα, ἤγουν ἁρμόδια, ποιήσασθαι ἐν τῷ οἴκῳ, ἵνα μὴ σὺ μὲν ἄλλον αἰτῇς, ὄργανον δηλονότι, ὁ δὲ ἀρνῆται, ἤγουν ἀνανεύῃ πρὸς αἴτησιν, σὺ δὲ στερίσκῃ τοῦ ὀργάνου, ὁ δὲ προσήκων καιρὸς παρέρχηται, ἐλαττοῖτο δὲ τὸ ἔργον. Moschop.

406. *ΜΗ ΣΥ ΜΕΝ ΑΙΤΗιΣ ΑΛΛΟΝ.* Εἰ μὴ ἔχοις ἐν τῷ οἴκῳ πάνθ' ὅσα δεῖ τὴν γῆν ἐργαζόμενον ἔχειν, τῆς ὥρας ἡκούσης τοῦ σπείρειν, εἰ τύχοι, ἢ ἀροτριᾷν ἢ θερίζειν, μὴ ἔχων, ἄλλον [w]) αἰτήσεις τὰ πρὸς τὴν χρείαν τῶν ἔργων τούτων, οἷον ἄροτρον, ἢ δρέπανον, ὁ δὲ οὐ δώσει, *ΣΥ ΔΕ ΤΗ-*

v) Sic E. H. χρεώδη F. γεωργικὰ edd. Scholion om. Trinc.

w) αἰτήσας B.

ΤΑι, τουτέστι στερίσκῃ τοῦ ὀργάνου [x])καὶ τοῦ ἔργου· τὸ γὰρ τητᾶσθαι τὸ στερίσκεσθαι δηλοῖ. Τητῶμαι γὰρ τὸ πρῶτον, ὡς βοῶμαι, καὶ τητᾷ τὸ δεύτερον, ὡς βοᾷ. Τούτου δὲ συμβαίνοντος, πάρεστιν ἡ προσήκουσα ὥρα τοῦ ἔργου, καὶ τὸ ἔργον ἐλαττοῦταί σοι κατὰ τὴν ὠφέλειαν, ἣν εἰκὸς ἦν αὐτῷ παρασχεῖν ἐν ὥρᾳ τῇ οἰκείᾳ γινόμενον. PROCLUS.

407. [y])*ΗΔ' ὩΡΗ ΠΑΡΑΜΕΙΒΗΤΑΙ.* Παρατρέχει δὲ ἡ ἁρμόδιος ὥρα ἑκάστοις, νεατῷ, σπόρῳ, καὶ τοῖς λοιποῖς. TZETZES.

Ibid. *ΜΙΝΥΘΗι.* Σμικρύνεται, ἐλαττοῦται· μινυὸς γὰρ, ὁ μικρός. TZETZES.

217 408. *ΜΗ Δ' ΑΝΑΒΑΛΛΕΣΘΑΙ ΕΣΤ' ΑΥΡΙΟΝ.* Τὸ μὲν *ὙΠΕΡΤΙΘΕΣΘΑΙ* τῶν μέσων εἰώθασι λέγειν, ὡς γινόμενον εὖ καὶ οὐκ εὖ, τὸ δὲ *ΑΝΑΒΑΛΛΕΣΘΑΙ* πάντως οὐκ εὖ γίνεσθαί φασι. Διὸ τοῦτον ἀποτρέπει τῆς ἀναβολῆς, οὐ τῆς ὑπερθέσεως· οἱ δ' ἀναβαλλόμενοι οὕτως εἰώθασι λέγειν, αὔριον ποιήσομεν, καὶ αὖθις ἐκείνης ἐλθούσης τὸ αὐτὸ λέγουσι· καὶ πάλιν τὸ αὐτὸ, καὶ τέλος εἰς τὴν ἐσχάτην ἀφικνοῦνται τοῦ μηνὸς, καὶ τὴν ἕνην καλουμένην καὶ νέαν, εἶτα πάλιν εἰς τὴν νουμηνίαν ἀναβάλλονται ὡς ἐπιτηδείαν, εἰ τύχοιεν, ἣν μόνην ἕνην καλοῦσιν, ὡς καὶ αὐτὸς ἐρεῖ προϊών. Συμπαρηκολούθησεν οὖν ταῖς τῶν ἀναβαλλομένων ἀεὶ φωναῖς τὸ δοκοῦν ἐντεῦθεν συμβαίνειν, μὴ πιμπλάναι τὴν οἰκίαν, ἀλλ' ἀπορεῖν, [z]) ἐτωσιόεργον μὲν ὄντα, διὰ τὴν τῆς ὥρας τῶν ἔργων παρόρασιν, ἀναβλητικὸν δὲ, διὰ τὴν εὐπορίαν τῶν πολλῶν τῶν αὔριον λεγόντων, ἕως ἂν μὴν ὅλως διαδράμῃ· πᾶν δὲ, φησὶν, ἔργον ἡ μελέτη συναύξει. Μελέτην δὲ λέγει τὴν περὶ ἑκάστου φροντίδα καὶ ἐπιμέλειαν, οὐκ ἀναβολαῖς χαίρουσαν. PROCLUS.

Ibid. *ΜΗ Δ' ΑΝΑΒΑΛΛΕΣΘΑΙ.* Μὴ δ' ἀναβάλλου καὶ ὑπερτίθει τὴν σήμερον ἡμέραν τυχὸν, καὶ τὴν αὔριον, παρατρέχων μέχρι τῆς τοῦ μηνὸς ἕνης καὶ πρώτης, ἤτοι τῆς [a])ἀρχιμήνου· ἐκ δὲ τοῦ ἑνὸς ἐνὶ γεγονὸς τὸ ἕνη, ὅμως διπλασιάζει τὰ δύο ν̄ν̄, καὶ ψιλοῦται, ὡς *Αἰολικόν*. Τοιοῦτοι γὰρ οἱ *Αἰολεῖς*. TZETZES.

x) Copulam addidi ex A.
y) Deest hoc Scholion Trinc.
z) Ita A. *ἐτώσιον τὸ ἔργον ὂν* edd. Mox *λεγόντων* om. A.

a) *ἀρχομένης* E. et mox *γίνεται* pro *γεγονός*. In G. *Ὅμως διπλασιάζον τὸ ν̄ν̄ ψιλοῦται.*

Ibid. *ΜΗ Δ' ΑΝΑΒΑΛΛΕΣΘΑΙ.* Μὴ δ' ἀναβάλλεσθαί σε παρακελεύομαι τὸ ἔργον, εἴς τε τὴν αὔριον, καὶ εἰς τὴν ἕνην, ἤγουν τὴν ἐσχάτην τοῦ μηνὸς, ἢ ἕνην καὶ νέαν φασίν. Ὁ ἀνὴρ γὰρ ὁ ἐτωσιοεργὸς οὐκ ἐμπιπλᾷ οἶκον; ἤγουν ὁ εἰς τὴν αὔριον ἀναβαλλόμενος τὸ ἔργον, καὶ ὡς εἰργασμένον ἤδη αὐτὸ νομίζων, εἶτα μηδὲ κατὰ ταύτην ἐργαζόμενος, ἀλλ' εἰς τὴν ἑξῆς αὖθις ἀναβαλλόμενος. Τοῦτο γὰρ πάντως μάτην ἐστὶν ἐργάζεσθαι, ὅταν ὡς εἰργασμένον τὶς νομίζῃ ὃ οὐκ ἐργάσεται. Καὶ οὐ μόνον ὁ τοιοῦτος, φησὶν, οὐκ ἐμπιπλᾷ οἶκον, ἀλλ' οὐδὲ ὅλως ὁ ἀναβαλλόμενος· πλέον γὰρ ἔχει τὶ ὁ ἐτωσιοεργὸς τοῦ ἀναβαλλομένου. Καὶ ὁ μὲν γὰρ ἀναβαλλόμενος εἰς τὴν αὔριον ἴσως ἐργάσεται κατὰ ταύτην ὃ ἀναβάλλεται· ὁ δὲ ἐτωσιοεργὸς καὶ τὰς εἰς τὴν αὔριον ἐπαγγελίας τῶν ἔργων μάτην ποιεῖται. Ἡ μελέτη δὲ, ἤγουν ἡ φροντὶς, καὶ ἡ ἐπιμέλεια, ὀφέλλει τὸ ἔργον, ἤγουν αὔξει. Ἀεὶ δὲ ὁ ἀμβολιεργὸς ἀνὴρ, ἤγουν ὁ τὸ ἔργον ἀναβαλλόμενος, τὸ ὠφέλιμον δηλονότι, βλάβαις καὶ ζημίαις ἐμπλέκεται. MOSCHOP.

409. *ΚΑΛΙΗΝ.* b) Καλιὰν κυρίως τὴν ἐκ κάλων φησί· 218
μή πω γὰρ εὑρεθέντων λίθων εἰς ἐργασίαν, τούτοις τὰς οἰκίας εἰργάζοντο· ὡς καὶ νῦν καλιὰν, τὴν ἐκ φύλλων φησίν. PROCLUS.

Ibid. c) *ΕΤΩΣΙΟΕΡΓΟΣ.* Ὁ μετὰ παραδρομὴν τοῦ ἁρμοδίου καιροῦ ἐργαζόμενος. Ἀρίστως δὲ καὶ κυρίως τὸ ἐτώσιον ἐνταῦθα κεῖται, καὶ οὐχ ὥσπερ ἐν τοῖς ἄλλοις καταχρηστικώτερον. TZETZES.

Ibid. *ΚΑΛΙΗΝ.* Νῦν τὸν οἶκον. Οἱ γὰρ παλαιοὶ, πρὸ τοῦ εὑρεθῆναι οἰκίας, d) κάλως ἀποδέοντες ἔν τισιν ἀρχαῖς, καί τισι παραπετάσαντες ἄνωθεν, σκηνίτην τὸν βίον διέζων. Ἢ ἀπὸ τοῦ καλὸν, τὸ ξύλον, καλιά. TZETZES.

412. *ΑΙΕΙ Δ' ΑΜΒΟΛΙΕΡΓΟΣ.* Διὰ τούτου σαφηνίζει τὶ καλεῖ ἔργον, ὅτι τὸ ὠφελοῦν ὡς ἔμπροσθεν εἴπομεν, εἴπερ ὁ ἀμβολιεργὸς ἀνὴρ ἀεὶ ἐν ταῖς ζημίαις ἄλλαις e) ἐξ ἄλλων γίνεται. Διότι γὰρ πᾶν ἔργον ὠφέλιμον, ὅστις ἀναβολαῖς μὴ ἐπὶ τού-

b) Etymologus M. p. 485, 51. Καλιά· κυρίως ἡ ἐκ κάλων κατασκευαζομένη οἰκία, μήπω εὑρεθέντων λίθων εἰς ἐργασίαν· καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν λιθίνων οἰκιῶν. Ἡσίοδος κ. τ. λ.

c) Deest hoc Scholion Trinc.

d) κάλῶς (sic) F. κάλως G. H. τι pro τισι F. G H.

e) καὶ ἐξ ἄλλων B.

τῳ χρῆται, f) τῆς ἀπ' αὐτοῦ ὠφελείας οὐ στέρεται· τῶν δὲ μοχθηρῶν ἔργων αἱ ἀναβολαὶ χρήσιμοι. PROCLUS.

412. ΗΜΟΣ ΔΗ ΛΗΓΕΙ ΜΕΝΟΣ ΟΞΕΟΣ. Τὸν καιρὸν ἐν τούτοις ἀφορίζει τῆς ὑλοτομίας· εἶναι δὲ τοῦτον, ἐν ᾧ τὸ μένος τοῦ ἡλίου, ὅπέρ ἐστι τὸ εἰς ἡμᾶς ἐρχόμενον θάλπος, δυνατώτατον ὂν, λήγει τοῦ ἰδαλίμου καύματος. Καῦμα δὲ ἰδάλιμον, g) ἤτοι λαμπρὸν, διὰ τὸ φωτίζειν περιλάμπον ἡμᾶς· ἔδει γὰρ ἀνάλογον τὸ λαμπρὸν ἢ τὸ ἰδίειν ποιοῦν καὶ ἱδρῶτα κινοῦν διὰ τῆς h) ἐγκαύσεως. Ὅταν οὖν μηκέτι ὁ ἥλιος ἐπιφλέγῃ καθάπερ ἐν τῇ θερινῇ ὥρᾳ τοῦ Διὸς, ὅς ἐστι τῶν ὄμβρων κύριος, μετοπωρινὸν ὄμβρον ἤδη καταπέμψαντος, καὶ τὰ σώματα τὰ ἀνθρώπινα τρέπεται ἐπὶ τὸ ἀνειμένον ἐκ τῆς καυσώδους ὥρας, μήποτε i) αὖα φαινόμενα καὶ ἐπικεκαυμένα ταῖς χρόαις, μήποτε δὲ δύσφορα διὰ τὴν ἐκ τοῦ θερμοῦ διαφόρησιν· ὅπερ γίνεται θέρους ὄντος· καὶ αὐτὸς ὁ ἥλιος, ὃν ἐκάλεσε σείριον ἀστέρα διὰ τὸ λάμπειν, τὸ γὰρ σειριάειν τοῦτο δηλοῖ, ὅτε οὐκέτι πολὺν χρόνον ἐπὶ γῆς φέρεται, k) ἀλλ' ἐλάσσω μὲν ποιεῖ τὴν ἡμέραν ὑπὲρ γῆς ὢν, τὸν δὲ ὑπὸ γῆς πλέονα ποιῶν, καὶ μείζω τὴν νύκτα. Τὸ γὰρ πλέον νυκτὸς ἐπαυρεῖν, τουτέστι τὸ πλέον ἐπιλαμβάνειν καὶ ἀπολαύειν τῆς νυκτὸς ἐν τῷ μείζονα ταύτην ποιεῖν. Ὅταν οὖν ἤδη ταῦτα γίγνηται πάντα, ἡ τοῦ καύματος ἐλάττωσις, ἡ τοῦ μετοπωρινοῦ ὄμβρου φορὰ, ἡ τῶν σωμάτων τῶν ἀνθρωπίνων ἀνάψυξις, ἡ τῆς ἡμέρας ἐλάττωσις, ἡ τῆς νυκτὸς ἐπίδοσις, τηνικαῦτα δεῖ ὑλοτομεῖν· μετὰ θέρος ἀρχομένου τοῦ μετοπώρου, τῶν δένδρων φυλλοροούντων, ὅσα τοῦτο πάσχειν πέ-
219 φυκε· τοῦτο γὰρ σημαίνει τὸ τῆς μὲν βλαστήσεως αὐτὰ τῆς l) τῶν κλάδων λήγειν, καταχεῖν δὲ τὰ φύλλα εἰς τὴν γῆν· τότε γὰρ ὡραίαν εἶναι τὴν ὑλοτομίαν κατὰ τὸν καιρὸν τοῦτον γινομένην. Τὸ μὲν οὖν εἶναι τὴν τεμνομένην ὕλην τηνικαῦτα ΑΔΗΚΤΟΤΑΤΗΝ, δηλοῖ τὴν ἀθηροτάτην· δάκη γὰρ εἶναι τὰ θηρία, διὰ τὸ δάκνοντα μόνως λυπεῖν. Λέγοι

f) καὶ τῆς ἀπ' αὐτοῦ στέρεται ὠφελείας A.
g) ἢ τὸ A. B. Trinc.
h) ἐκκαύσεως B.
i) Ita A. B. Trinc. ἀφαυνόμενα Heins. Voluit fortasse ἀφαναινόμενα. Mox δὲ accessit ex B.
k) ἀλλ' ἐλάσσω μὲν ὑπὲρ γῆς τὴν ἡμέραν τὸν δὲ ὑπὸ γῆς πλέονα ποιῶν καὶ μείζω τὴν νύκτα A.
l) τῆς τῶν A. Olim τῆς deerat. Idem mox γινομένῃ.

δ' ἂν καὶ τὴν ἄβρωτον ὑπὸ τῶν ἐγγινομένων θηριδίων τοῖς φυτοῖς, ὡς ἀδηκτοτάτην οὖσαν, οἷον θριπῶν καὶ [m]) τερηδόνων, ἃ διεμφύεται τοῖς δένδρεσι, σηπομένης τῆς ἐν αὐτοῖς ὑγρότητος. Τὸ δ' ἐν τούτῳ ὑλοτομεῖν, ὀρθὸν, ὅτε ξηρὰ μέν ἐστι τὰ δένδρη ἀποδεδωκότα τὸν οἰκεῖον καρπὸν, [n]) καὶ οὐκέτι κάμνει περὶ τὴν ἐκτροφὴν αὐτοῦ, μετρίας δὲ ἔτυχεν ὑγρότητος, ἀλλ' οὐ πολλῆς ἤδη πρὸς τὸ οἰκεῖον τοῖς τέμνουσιν, ὥστε γε μὴ σήπεσθαι μετὰ τὴν τομὴν, εἰς ὅ τινας βλέποντας, καὶ φθινούσης τέμνειν τῆς σελήνης, ἀλλὰ μὴ [o]) πανσελήνου μὴ δ' αὐξανομένης· ἡ γὰρ τοῦ φωτὸς ἐπίδοσις ὑγρότερα ποιεῖ τὰ δένδρα, καὶ εὐεπίφορα τεμνόμενα πρὸς τὴν σῆψιν. [p])Ἑπόμενα δὲ λέγει πρὸς τὸ ἑξῆς τοῖς περὶ ὑλοτομίας τὰ περὶ κατασκευῆς τῶν ξυλίνων σκευῶν. *ΗΜΟΣ ΔΗ ΛΗΓΕΙ*, ἐν τῷ χειμῶνι καὶ ἡ δύναμις τοῦ ἡλίου ἀσθενεστέρα ἐστὶ, καὶ αἱ ἡμέραι μικραὶ, καὶ αἱ νύκτες μεγάλαι, καὶ τὰ σώματα πυκνοῦται καὶ ἐλαφροῦται, τότε οὖν λέγει δενδροτομεῖν. *ΑΔΗΚΤΟΤΑΤΗ* δὲ, ἀβρωτάτη, ὅτι τότε σκώληξ οὐκ ἐσθίει τὴν ὕλην, [q])καὶ ἐστὶ παραμονωτέρα, ἐπειδὴ διὰ τὴν ψύξιν τοῦ ἀέρος ἀποκέκλεισται ἐν βάθει ἡ ὑγρότης. Καὶ τότε αἱ ῥίζαι τρέφονται καὶ αὔξονται καὶ τὰ φύλλα [r])πίπτει μὴ ἐπιπολαζούσης αὐτῆς, ἐν θέρει δὲ ἐπιπολάζει διὰ τὴν τοῦ καιροῦ θερμότητα· τὸ γὰρ ψυχρὸν οὐκ ἐᾷ τὴν θερμότητα εἰς τὴν τῶν ξύλων ἐπιφάνειαν ἐλθεῖν· οὐδὲ ποιεῖ σῆψιν ἡ ὑγρότης πλεονάζουσα, καὶ τότε στεῤῥά ἐστιν ἡ ὕλη μὴ εἴκουσα τῷ δάκνεσθαι. PROCLUS.

Ibid. *ΗΜΟΣ ΔΗ ΛΗΓΕΙ ΜΕΝΟΣ.* Μετὰ τὸν καιρὸν τοῦ [s]) θέρους, καὶ τοῦ σπόρου. Διδάσκει νῦν καὶ τὸν τῆς ὑλοτομίας καιρὸν, καί φησιν, ἡνίκα ἡ φθινοπωρινὴ ἰσημερία γενήσεται, καὶ ὁ ἥλιος τὸ πολὺ τοῦ ἱδρῶτας ποιοῦντος καύματος σβέσει, οὐκέτι κατὰ κορυφὴν ἡμῶν τῷ τῆς ἡμέρας πλείονι ἑστηκὼς διαστήματι, ὥσπερ ἐν τῷ [t]) θερείῳ καιρῷ ξηραίνων ἡμᾶς ταῖς ἀκτῖσιν αὐτοῦ, ἀλλ' ὅτε τὸ πλεῖον ἐστὶν ὑπὸ γῆν, καὶ

m) τερθρηδόνων B.

n) οὐκέτι δὲ A. Mox idem habet μετὰ τοῦ pro ὥστε γε.

o) πανσέληνον B. et paullo post δένδρη.

p) τοῖς δὲ περὶ ὑλοτομίας ἑξῆς ἑπόμενα λέγει τὰ περὶ A.

q) ἀλλὰ παραμονωτέρα ἐστί A.

r) πίπτει addidi ex A. Mox l. forte, ἐᾷ τὴν ὑγρότητα.

s) Sic Trinc. θερίτου Bas. Heins. Mox γένηται Trinc. E. G.

t) τοῦ θέρους Trinc.

μηκύνει τὰς νύκτας, ὀλίγον δὲ τῆς [v]) ἡμέρας ὑπὲρ κεφα-
λῆς ἡμῶν ἕστηκε, τότε ἄριστός ἐστιν ὁ τῆς ὑλοτομίας και-
220 ρός. Ἄσηπτα γὰρ τὰ τότε τμηθέντα ξύλα, [w]) διατηρεῖται, ὡς
ἐξικμασθέντος αὐτοῖς τοῦ πολλοῦ τῆς ὑγρότητος· ἡ γὰρ
ὑγρότης ἡ ἄμετρος σῆψιν καὶ σκώληκας ἐμποιεῖ, ὡς ἡ θερμό-
της ῥῶσιν καὶ εὐωδίαν. Καὶ τοῦτο ἰδεῖν ἔξεστιν ἔκ τε τῶν
ἑλωδῶν καὶ καθύγρων τόπων, καὶ τῶν θερμῶν καὶ ἠρέμα
ξηρῶν. Τὰ μὲν γὰρ ἑλώδη σῆψιν καὶ κώνωπας, καὶ μυίας,
καὶ σκώληκας, καὶ τὰ τοιαῦτα γεννᾷ. Αἴγυπτος δὲ διὰ [x]) τὴν
θερμότητα εὐωδιῶν καὶ ἀρωμάτων μήτηρ [y]) καθίσταται. Κἂν
τοῖς ἀνθρωπίνοις δὲ σώμασιν ὑπάρχει τὰ ὅμοια· οἱ μὲν γὰρ
[z]) σωμασκοῦντες, καὶ πιαλέοι, καὶ κάθυγροι ἀποφορὰν ἀφό-
ρητον ὄζουσι, καὶ μᾶλλον ἐν θέρει, [a]) καὶ μύρῳ χριόμενοι
δυσωδέστεροι γίνονται· οἱ δὲ θερμοτέρας καὶ ξηροτέρας [b]) με-
τεσχηκότες τῆς κράσεως, οἱ μὲν ἐν τῷ καθεστηκότι καὶ μέσῳ
τετάχαται, μήτε [c]) ὄζοντες, μήτε εὐωδίαν ἐκπέμποντες. Ἔνιοι
δὲ καὶ ἀρωμάτων ἐκ τῶν σωμάτων ὀσμὴν ἀποπνέουσιν, ὥσπερ
ὁ [d]) Θεόφραστος Ἀλέξανδρον λέγει τὸν Μακεδόνα· [151]) καὶ ἡμῖν
δὲ πολλάκις τις διηπίστησεν, ὡς [e]) οὐ κεχρημένοις ἀρώμασι,

v) ἡμέρας μέρος ὑπὲρ ἡμᾶς Trinc. κεφαλὴν G.

w) τηρεῖται E. Bas. Mox αὐτοῖς τοῦ πολλοῦ ex E. Trinc. αὐτοῖς τὸ π. G. ἐξ. τὸ πολὺ Bas. Heins.

x) Ita E. Trinc. τὸ θερμότατον Bas. Heins.

y) καθέστηκε Trinc.

z) Ita Trinc. σωμασκίαι E. F. Heins. Bas. πίονες Trinc. pro πιαλέοι. σωματίαι καὶ πιαλαῖοι H. Mox ἀποφορὰν om. Trinc.

a) οἱ καὶ μύρα πολλάκις Trinc.

b) Sic Trinc. καθεστηκότες Bas. Heins.

c) μὴν delevi cum E. Trinc. Mox εὐωδίαν ἐκπέμποντες e Trinc. εὐωδιάζοντες Bas. Heins. Paullo post ἀρωμάτων ex Trinc. E. ἀρώματος Bas. Heins.

d) Non istud memoriae prodidit Theophrastus, sed Aristoxenus. Adscribam verba Plutarchi, Vita Alexand. p. 666. C. ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει, καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις. Αἰτία δὲ ἴσως ἡ τοῦ σώματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης. Ἡ γὰρ εὐωδία γίγνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. Haud dubitandum videtur ex hoc fonte Tzetzem hausisse.

151) Periculum erat ne Hesiodum nullus intelligeret mortalium, nisi sciremus bene oluisse Tzetzen, οὐ κεχρημένον ἀρώμασι. Mirum ni etiam adverso gutture, ut Aristophanicus Carrio, thus spiraret hic homo. Atque hic quidem ille est, qui supra parvi alicujus ἀτοπήματος causa, quod in alio notat, solem obduci vult, coelum nebulas contrahere, virtutem ipsam et scientiam plorare. Ut te quicquid uspiam est Musarum furcillis praecipitem agat, Graecorum ineptissime. Heinsius.

e) περιχριομένοις ἀρώμασι τὰ ἐντὸς Trinc.

καὶ περιχρίουσι τὰ ἐντὸς, καί τοι γε μηδὲ λουτροῖς κεχρημένοις, εἰ μή που f) κατ' ἐνιαυτὸν καὶ $\bar{\beta}$ καὶ $\bar{\gamma}$. Tzetzes.

Ibid. ΗΜΟΣ ΔΗ ΛΗΓΕΙ ΜΕΝΟΣ. Ὁπηνίκα δὴ τὸ μένος, ἤγουν ἡ ἰσχὺς, ἡ ἔντονος ἔκτασις τῶν ἀκτίνων τοῦ ταχέος ἡλίου, ὃς καὶ θοαῖς ἵπποις εἱλίσσει τὴν ἑαυτοῦ φλόγα παρ' g) Εὐριπίδῃ, λήγει τοῦ θάλπους ὃ ποιεῖ πρὸς ἡμᾶς τὸ 221
θέρος, τοῦ ἱδρῶτα κινοῦντος, τοῦτο γὰρ τὸ ἰδάλιμον, μετοπωρινὸν ὄμβρον καταπέμψαντος τοῦ ἰσχυροτάτου Διὸς τοῦ κυρίου τῶν ὄμβρων. Ἀπὸ δὲ τοῦ ὄμβρου τοῦ μετοπωρινοῦ τὸ μετόπωρον θέλει δηλοῦν· ὥσπερ εἰ ἔλεγε, τοῦ μετοπώρου καὶ τῶν ἐν αὐτῷ ὄμβρων τὸ καῦμα καὶ τὴν ξηρότητα τοῦ θέρους διαδεξαμένων. Μεταβάλλεται δὲ τὸ ἀνθρώπινον σῶμα ἀπὸ τοῦ ἀνειμένου ἐπὶ τὸ πυκνὸν καὶ ἰσχυρὸν, καταπολὺ ἐλαφρότερον γινόμενον. Τότε γὰρ ὁ Σείριος ἀστὴρ, ἀντὶ τοῦ ὁ ἥλιος, ἐπ' ὀλίγον χρόνον ἔρχεται ἡμερινὸς, ἀντὶ τοῦ κατὰ τὴν ἡμέραν, ἐπιῤῥηματικῶς, ὑπὲρ τῆς κεφαλῆς τῶν κηριτρεφέων ἀνθρώπων, ἤγουν τῶν τῷ θανάτῳ τρεφομένων, τουτέστι τῶν θνητῶν. Πλεῖον δὲ ἀπολαύει τῆς νυκτὸς, τῷ μείζονα ταύτην ποιεῖν. ΤΗΜΟΣ ΑΔΗΚΤΟΤΑΤΗ ὅτε δένδρα, τοῦτο γὰρ ἡ ὕλη, σιδήρῳ τμηθέντα ἀδηκτότατά ἐστιν, ἤγουν ἄβρωτα τοῖς ἐγγινομένοις θηριδίοις τοῖς δένδρεσι, μὴ εἴκοντα τῷ δάκνεσθαι ὑπ' αὐτῶν, διὰ τὸ στεῤῥὰ εἶναι τότε καὶ ξηρὰ, τοῦ χειμῶνος τὴν ἐν αὐτοῖς ὑγρότητα εἰς τὸ βάθος ἐλαύνοντος· τὰ φύλλα δὲ αὐτῶν εἰς τὴν γῆν χέει, ἤγουν φυλλοῤῥοεῖ, ὅσα δηλονότι τοῦτο πέφυκε πάσχειν, ἐπεὶ πολλὰ ἀειθαλῆ εἰσί· καὶ τοῦ πτόρθου λήγει, ἤγουν τοῦ αὔξειν τοὺς κλῶνας, τοῦ κλωνοφυεῖν. Moschop.

Ibid. h) ΗΜΟΣ. Ἡνίκα. Τὸ ἦμος ψιλοῦται παρὰ τοῖς Ἴωσι καὶ οὐχ ὑποτάσσει, παρὰ δὲ Ἀττικοῖς καὶ δασύνεται, καὶ ὑποτάσσει, καὶ i) ὁ ὅτε καὶ ὁ κεν ὑποτάσσει παρὰ τοῖς Ἀττικοῖς. Καὶ τὰ δεύτερα πρόσωπα τῶν παθητικῶν k) διφθογ-

f) Sic Trinc. μετ' Bas. Heins. Ad finem καὶ δύο καὶ τρεῖς Heins. Bas. καὶ τρεῖς om. Trinc. Nihil e MSS. enotatum habeo: credo tamen, si quis eos diligentius excusserit, inventum iri vocabula sic compendiose exarata, καὶ $\bar{\beta}$ καὶ $\bar{\gamma}$. i. e. καὶ δὶς καὶ τρίς. Numeralia reposui.

g) Phoen. init.

h) Deest hoc Schol. Trinc.

i) ὁ τε E. Legendum ὅταν.

k) διφθόγγῳ γράφεται E. διφθογγογραφοῦνται G. διφθογγα γρά-

γογράφεται, πεύσομαι πεύσει, ὄψομαι ὄψει, καὶ τὰ ὅμοια. Ὅθεν οἱ τοὺς γρίφους τῶν νοημάτων συνθέντες γραμματικοὶ, τὸ ὀρθὸν τῆς τέχνης τοῖς αὐτῶν φλυάροις [152] [l]) νοήμασι περιφθείραντες, καὶ μὴ τὰς διαλέκτους εἰδότες, ψυχρὰς παρασημειώσεις [m]) ἀπεσημείωσαν, πλὴν τῶν Δωρικῶν πάντων· ἐκεῖνοι γὰρ πᾶν ἀπαρέμφατον ἠταγραφοῦσι. Τὸ δὲ στενώτατον καὶ ξενώτατον παρὰ πᾶσι μεγάλα, παρ' Αἰολεῦσι δὲ μικρὰ, διὰ τὸ μετὰ β' ν̄ ν̄ τὰ Αἰολικὰ ταῦτα ἐκφέρεσθαι. Τὸν ἔρον δὲ, καὶ τὸν γέλον ὁμοίως Αἰολικῶς μικρὸν, Ἀττικῶς δὲ μέγα. Οὕτως ἔδει ταῦτα διδάσκειν. Ἀμαθεῖς δὲ τῶν διαλέκτων καὶ
222 τῆς ὡς ἀληθῶς Γραμματικῆς ὄντες, οἱ τῶν νοημάτων πλοκεῖς ἐπαινούμενοι, τοῖς βατράχοις κραυγάσοις καὶ ἀνοήτοις παισὶ τοιαῦτα ζιζάνια δυσαπόσπαστα τῇ τέχνῃ [n]) παρενεφύτευσαν, καὶ ταύτην διέφθειραν, μὴ γινώσκοντες εἰπεῖν, ὡς τοῦτο Ἰωνικῶς οὕτω γράφεται, ἐκεῖνο δὲ Ἀττικῶς, καὶ τόγε καὶ τόγε [o]) Κοινῶς, ἀλλὰ μόνον λοξώσεως καὶ γριφώσεως τῶν λόγων φροντίζοντες. Τοιαῦτα δὲ καὶ περὶ τὴν μετρικὴν τέχνην συμβήσεται, ἀλληνάλλως τῶν νῦν μετρικῶν καὶ μὴ κατὰ τοὺς πάλαι σοφοὺς τοῖς [p]) διχρόνοις καὶ τοῖς ὀνόμασι κεχρημένων καὶ γραφόντων διθυραμβικά τε καὶ κάπηλα, καὶ Γραμματικῆς ἀποδέοντα, καὶ ὅμως τοῖς νῦν καπήλοις τιμώμενα· καπήλους γὰρ καλῶ καὶ τοὺς νῦν παραδυναστεύοντας [q]) ἐν ταῖς βασιλείαις αὐλαῖς, ὡς ὑπαγομένους θωπείαις, καὶ τὰ κάπηλα τῶν συγγραμμάτων ἀκριβεστάταις μὴ ἀποδοκιμάζοντας κρίσεσιν,

φονται H. γράφει * διφθογγ Bas. γράφει διὰ δίφθογγον Heins. Mox συνθέντες E. H. περιτεθέντες F. συντεθέντες Bas. Heins. Copulam ante τὸ ὀρθὸν delevi cum E. H.

152) Scribe, νοήμασι: Sic infra, οἱ τῶν νοημάτων πλοκεῖς. Heinsius.

l) Ita E. F. G. H. σώμασι Bas. Heins.

m) ἀπεσημειώσαντο E. H. ἀπεσημείωσαν F. G. ἐσημείωσαν Bas. Heins. Sequuntur in E. F. G. H. πλὴν τοῦ ὄψομαι ὄψει, καὶ τὰ ὅμοια, καὶ πλὴν τοῦ ζῆν, πεινῆν, διψῆν, καὶ τὰ ἕτερα, καὶ πλὴν τοῦ στενότατος καὶ ξενότατος, καὶ τὸν ἔρον μικρὸν, καὶ τὸν γέλων μέγα, καὶ ἕτερα μυρία, ἵνα μὴ κατ' ἐκείνους φλυαρῶ, δέον εἰπεῖν, τὰ δεύτερα πρόσωπα παθητικὰ, Ἰωνικῶς καὶ κοινῶς η̄, Ἀττικῶς δὲ διφθόγγῳ πάντα, ὡς τὸ ὄφεος Ἰωνικῶς μικρὸν, Ἀττικῶς δὲ μέγα· τὰ δὲ ἀπαρέμφατα πάντα δίφθογγον.

n) Sic E. F. G. H. παρεμφύτευσαν Bas. Heins.

o) τοιῶσδε E. F. G. H. ἀλλ' ἢ μόνον F. G. H. Bas.

p) χρόνοις H.

q) ἐν βασιλείοις E. H. Mox θωπείᾳ E. F. G. H. Paullo post ἀκριβεστάτως Bas. Heins.

ἀλλ' ἐνιαχοῦ, μᾶλλον δὲ πανταχοῦ, καὶ τῶν κατὰ τέχνην γε-
γραμμένων ἐξαίροντας· [153]) ὡς οἱ πάλαι [r]) τὰ Εὐριπίδου κά- 223

153) *ὡς οἱ πάλαι τὰ Εὐριπίδου κάπηλα γράμματα*] Huic ego homini iratas esse Musas omnes sat certo scio, qui quidem in Hesiodi interpretatione, tanquam rem necessariam de Euripide et Aeschylo judicium suum proponit: in quo ita alterius causam agit, ut alterum penitus prosternat: ita sententiam suam enuntiat, ut quicunque aliter existimat, sine mora illa in pistrinum aliquod comicum, aut *Διονυσίου λατομίας* ablegari videatur: quod tyrannum illum in re simili facere consuesse accepimus, quoties nimirum liberum de scriptis suis experiretur judicium. Duo videlicet libertatis hostes sunt; Grammaticus et Tyrannus: uterque *τὸ αὐθαίρετον* tollit, quod non facile homo generosus sibi eripi patietur. Numquam ita de tota posteritate desperare debuit Tzetzes, quin aliquem saltem superfuturum existimaret, qui de utriusque et Euripidis et Aeschyli virtutibus judicare posset. Aeschylus artem rudem, impolitam, in formam redegit. Itaque si priores poëtas videas, laudem meruit: si posteriores veniam. Sed Tzetzes *τὸ ἐπαχθὲς τῶν ῥημάτων, καὶ τοὺς πύργους*, ut Comicus loquitur, in Aeschylo probavit. Quod etiam in suis versibus imitatur hic poetaster, qui tum demum imitabilem se existimat, cum ejusmodi verbis usus est, quae homini quamdiu sanus est in mentem venire non possunt: quae ab oratione vulgari *καὶ τῷ κεκαλλιεπημένῳ τοῦ φιλοῦ λόγου*, ut Rhetores loquuntur, longe recedant. Cujusmodi tamen sermo non poësis est, sed *Καλλιόπης κραυγή*. Itaque in emendando Aeschylo plus operae Euripidi ponendum fuit, quam priori illi in Tragoedia. Saepe *τῷ ἀκύρῳ*, saepe *τῷ τῶν γλωσσῶν φορτικῷ* peccat Aeschylus, saepe *παρὰ τὸ ἀνάλογον* in translationibus, saepe *παρὰ τὴν δίπλωσιν τῶν λέξεων*, et compositionem vocum dithyrambicam. Euripides Aeschylo *τὸ ἴσχνος* addit, et extenuando artem ampliavit: itaque optime a Comico, *ἰσχαίνειν τὴν τέχνην*, dicitur. Summa ars tam oratoris quam poetae est in eo, ut non *πεπλασμένως* dicat et fucate, sed *πεφυκότως* et naturaliter, tam ratione poetae quam eorum quos introducit: quam laudem Euripides primus mortalium in Tragoediam transtulit, ut testatur melior harum rerum aestimator, quam sunt aliquot grammaticorum decades, Aristoteles, cujus judicium lib. Rhetor. 2. hoc est: *διὸ δεῖ λανθάνειν ποιοῦντας, καὶ μὴ δοκεῖν λέγειν πεπλασμένως, ἀλλὰ πεφυκότως· τοῦτο γὰρ πιθανόν· ἐκεῖνο δὲ τοὐναντίον. Ὡς γὰρ πρὸς ἐπιβουλεύοντα διαβάλλονται, καθάπερ πρὸς τοὺς οἴνους τοὺς μεμιγμένους· καὶ οἷον ἡ Θεοδώρου φωνὴ πέπονθε πρὸς τὴν τῶν ἄλλων ὑποκριτῶν· ἡ μὲν γὰρ, τοῦ λέγοντος ἔοικεν εἶναι, αἱ δ' ἀλλότριαι· κλέπτεται δ' εὖ, ἐάν τις ἐκ τῆς εἰωθυίας διαλέκτου ἐκλέγων συντιθῇ, ὅπερ Εὐριπίδης ποιεῖ καὶ ὑπέδειξε πρῶτος.* Sensus est: *Itaque occulte hoc agendum est, ne fucata sed geniali dicendi ratione utamur: alterum enim persuadet, alterum contra. Non aliter enim quam de insidiatore omnes sentiunt: non aliter quam de vinis mistis. Aut sicut Theodori vox se habuit ad histrionum reliquorum: haec enim loquentis, illae, alterius cujusdam esse videbantur. Penetrat autem quasi et suffuratur auditorem orationis ex vulgari lingua compositio: quod in Euripide videmus, qui primus hoc invexit.* Magnum judicem, qui cum libris peculiaribus diligentissime *περὶ διδασκαλιῶν* scripserit, et de tota Tragoedia, non est cur ab hujus rei cognitione removeatur. Fatemur in Euripide esse *δύστηνα* quaedam *ῥημάτια*, et, ut Comici

πηλα γράμματα τῶν σοφῶν συγγραμμάτων Αἰσχύλου προκρίναντες, τὸν μακρὸν αἰῶνα τῆς σφῶν ἀβελτηρίας παραστησά-
224 μενοι μάρτυρα· ἐξελέγχονται γὰρ τοῖς ἀμφοτέρων συγγράμμασι μέχρι καὶ νῦν. Εὐριπίδην γὰρ προκεκρικότες Αἰσχύλου, ὡς κάπηλον, καὶ τούτοις συμποσιάζοντα, καὶ ἀγοραῖον, καὶ

verbo utamur, τεύτλια: fatemur multa esse in Oeconomia εὐτελῆ, et infra τὸ τῆς τραγῳδίας σεμνόν: cujus imitatio versatur circa τὰ βελτίω, id est, ea omnia quae praestantiora sunt: sicut comici et mimi circa τὰ χείρω, id est, quae deteriora sunt, teste ipso philosopho. Quod non ita intelligendum est ut quidam ex Aeneadarum genere in suis ad Aristotelem commentariis interpretati sunt, quod Tragoedia nihil quam Heroicam aetatem imitetur: nam ita ne peccasset quidem Euripides in Telepho, quem mendicum induxit, cum idem et mendicus et heros esset; id est, βελτίων καὶ χείρων eodem tempore: sed βέλτιον omne id est, quod ἔξω τῶν πολλῶν est: omne id quod splendidum et regale. Non aliter quam ea accipiunt Grammatici cum de comica ὁμοιώσει disputant, quam dividi dicunt in duo, ἢ εἰς τὸ βέλτιον, ut cum servus Xanthias in herum suum Bacchum mutatur in Ranis Aristophanis; aut εἰς τὸ χεῖρον, cum Bacchus herus mutatur in servum Xanthiam. Fatemur dico haec omnia. Sed generosi animi est cogitare potius quantum a laude et felicitate tantorum virorum absis; quam in persequendis ejusmodi animi improbitatem exercere. Sicut in Republica sex populi, et deploratae sortis homines, quibus omnino spes non est ut aliquo emergant, hoc unico solatio utuntur ut primatibus obtrectent: ita Grammatici cum aemulari possint neminem, calumniari possunt omnes. Praesertim cum ne quidem veterum sit ullus in quem non ejusmodi ansa cadat. Quid Sophocle augustius? tamen in eo τὴν ἀνωμαλίαν accusatam scimus. Quid Archilocho uberius? tamen in eo τὴν ὑπόθεσιν displicuisse novimus. Quid Phocylidis praeceptis acceptius? tamen non nemo in eo τὴν εὐτέλειαν culpavit. Et ut de utroque hoc aliquid dicamus; Alter tacere nescit, alter parva loqui: alter numero verborum peccat, alter pondere: itaque cum diverso modo peccent ambo, in utroque multa sunt quae si in Satyrico dramate essent, ita demum laudem invenirent. Quantum inter utrunque intersit sciunt docti. Exempli ergo sit illud: Euripides Telepho, κώπης ἀνάσσειν dixit, aut κώπης ἄνακτας vocavit remiges: quam ob causam ostendit philosophus Rhetor. 3. At idem Cyclope, eodem usus est in eo: ὁρῶ πρὸς ἀκταῖς ναὸς Ἑλλάδος σκάφος, Κώπης τ' ἄνακτας σὺν στρατηλάτῃ τινί. Altero censorem tamen, altero praeconem meruit: alterum culpandum, alterum laudandum est. In Tragoedia peccatur quoties vel sublimia nimis dicuntur; quia Dithyrambicum est: vel humilia, quia Comicum: in qua, κἂν εὐτελεῖ ὀνόματι κόσμος ἕπεται. Nam quod addit: Αἰσχύλος γὰρ ἀρχικὸς ἦν καὶ βασιλείου γένους, quid aliud vult, quam Aeschylum fuisse veteris prosapiae: Euripidem, quod vetus comoedia dicebat de eo, παῖδα ἀγοραίας θεᾶς; Quod si genus et familia spectentur in arte, necesse erit Homeri locum obtineat, ὁ μέγας Περσῶν βασιλεύς: Maronis, Nero aut Galba aliquis. Habemus me hercule nos quod omnibus regum purpuris et tiaris opponamus. Heinsius.

r) Sic MSS. τῶν edd. δράματα H. Mox edd. habent τοῖς σ. α. παραστήσαντες.

εἴρωνα. Αἰσχύλος γὰρ ἀρχικὸς ἦν, καὶ σοφὸς, καὶ βασιλείου γένους εἷλκε σειρὰν, καὶ τοῖς ἀδελφοῖς στρατηγοῦσι τὸν Ξέρξην συνκατεναυμάχησεν, καὶ ἐν ἠπείρῳ νενίκηκε, καὶ συμποσίων, καὶ [s]) ἀγορῶν ἐκτὸς ἦν, καὶ ἀθώπευτος, καὶ τὸ εὐγενὲς ἐν πᾶσι τηρῶν· ὅθεν τῆς εὐγενείας καὶ τῆς σοφίας παρ' ἐκείνων τοιαύτην ὑπέσχε τὴν δίκην. Ὡς καὶ πρὸ Αἰσχύλου τῆς ἀληθείας ὁ τραγικὸς Φρύνιχος δίκας ἐξέτισε, ζημιωθεὶς χιλίας δραχμὰς, ὅτι Μιλήτου παρὰ Περσῶν γεγράφηκεν ἅλωσιν, καὶ τὸ θέατρον πρὸς ὀλοφύρσεις ἐκίνησεν. Ὁμοίως καὶ Πίνδαρος χιλίας δραχμὰς ἐξέτισε Θηβαίοις, ὅτι τὰς Ἀθήνας Ἑλλάδος γεγράφηκεν ἔρεισμα. Τοιαῦτα πρίν τε καὶ νῦν τῆς ἀθωπευσίας καὶ ἀληθείας τὰ ἐπίχειρα. Τζετζης.

Ibid. [154]) ΟΞΕΟΣ ΗΕΛΙΟΙΟ. Τοῦ ὀξυκινήτου [t]) ὑπὲρ τοὺς λοιποὺς τῶν ἀπλανῶν ἀστέρων, οὐ μὴν ὑπὲρ τὸν οὐρανόν· ὃ γὰρ οὐρανὸς εἰς νυχθήμερον διάστημα [v]) περιστρέφεται, τοῦτο ὁ ἥλιος περιδινεῖται ἐνιαυτῷ. Τοσοῦτον ὁ ἥλιος 225
τοῦ οὐρανοῦ μὲν βραδύτερος, Κρόνου δὲ καὶ τῶν λοιπῶν ἀστέρων [w]) ταχύτερος. Κρόνος μὲν γὰρ τριάκοντα ἔτεσι περιοδεύει τὴν τοῦ οὐρανοῦ ἣν ἔφην νυχθημερησίαν περιστροφήν. Ζεὺς δὲ ἔτεσι ιβ. Ἄρης, Ἥλιος, ὡς ἔφην, ἐνιαυτῷ· Ἀφροδίτη, μησὶ ιδ. Ἑρμῆς ἐνιαυτῷ, ἢ μᾶλλον μησὶν ὀκτώ· ἡ δὲ Σελήνη ἑνὶ μόνῳ μηνί· [x]) Ἥλιος δὲ δασύνεται. Ἅλιος γάρ τις ἐστὶν, ὡς ἀπὸ τῆς ἁλὸς ἔχων τὴν ἄναψιν. Ἡέλιος δὲ ψιλοῦ-

s) Ita E. F. H. ἀγρῶν Bas. ἑτέρων G. Mox φρύνιχος MSS. φερένικος edd.

154) Falsum est hoc quidem loco, quanquam cum eo lapsus sit et Moschopulus supra. Sed non potuisset eruditionem suam ostendere si verum dixisset, nec περὶ τῆς τῶν ἀστέρων περιόδου disputare. Μένος ὀξέος ἠελίοιο, τὸ θερινὸν τοῦ ἡλίου καῦμα: opponitur enim τῷ ὀπωρινῷ. Ὀξέος, δεινοτάτου, ut exponit Proclus. Propterea omnia quae περὶ τῆς τοῦ ἡλίου ὀξύτητος dicit, frigida sunt et hic locum non habent. Heinsius.

t) τοῦ οὐρανοῦ μὲν γὰρ βραδύτερος ὁ ἥλιος· τῶν δὲ λοιπῶν πλανήτων ὀξύτατος· ὁ γὰρ οὐρανὸς εἰς ν. δ. π. τ. ἡ. εἰς ἐνιαυτὸν. τοσοῦτον Trinc.

v) περιδονεῖται F.

w) ταχύτατος Trinc. Mox νυχθημερησίαν E. F. G. H. ἐπιστροφὴν E. οὐρανοῦ ταύτην περιστροφὴν ἣν ὡς ἔφην νυχθήμερον περιέρχεται. Ζεὺς ἔτεσι δώδεκα, ἄρης μησὶν ὀκτώ. ἀφροδίτη μησὶν ιδ. ὁ ἥλιος ὡς ἔφην ἐνιαυτῷ, ἑρμῆς ἐνιαυτῷ ἢ μησὶν ὀκτὼ Trinc. Ἄρης ιγ. Ἀφροδίτη μησὶν ιδ. ὁ ἥλιος. ὡς ἔφην, ἐνιαυτῷ, Ἑρμῆς ἐνιαυτῷ E. G. ζεὺς δὲ ἔτεσιν ιᾱ. ἄρης μησὶν ὀκτὼ, ἀφροδίτη μησὶ δεκατέσσαρσιν· ὁ ἥλιος, ὡς ἔφην, ἐνιαυτῷ. Ἑρμῆς ἐν αὐτῷ, ἢ μᾶλλον μησὶν ὀκτὼ F. Ἄρης μησὶν η̄ Ἀφ. μ. ιᾱ. ἑρμ. ἐνιαυτὸν ἢ μῆνας ὀκτὼ H. in ceteris ut E. Omnia sunt mendosa.

x) Hinc ad τὰ ὅμοια om. Trinc. Mox τις om. E. ἦν pro τις ἐστὶν F. ᾱ η̄ ε̄ et mox ψιλοῦνται MSS.

ται· τὸ γὰρ ᾱ ῑ ε̄ πρὸ φωνήεντος ὄντα κατὰ διάστασιν ψιλοῦνται, ἠέλιος, ἀΐδης, καὶ τὰ ὅμοια. Tzetzes.

413. ΚΑΥΜΑΤΟΣ ΙΔΑΛΙΜΟΥ. Διύγρου. Πῶς δὲ ξηραντικοῦ ὄντος τοῦ καύματος, δίυγρον αὐτὸ λέγει; ὅτι θερμαῖνον καὶ ξηραῖνον ἡμᾶς, [y]) ἐξέλκει τὴν τῶν ἡμετέρων σωμάτων ὑγρότητα διὰ τῶν ἀδήλων πόρων, καὶ ἱδρῶτας ποιεῖ. Tzetzes.

414. [z]) ΖΗΝΟΣ ΕΡΙΣΘΕΝΕΟΣ. Τῆς μεγαλοδυνάμου εἱμαρμένης ἢ Ζηνὸς, νῦν τοῦ οὐρανοῦ. Tzetzes.

415. ΠΟΛΛΟΝ ΕΛΑΦΡΟΤΕΡΟΣ. Λείπει τὸ γεγονώς. Ἐλαφρὸς δὲ, ὁ ταχύς. Ἐκ τοῦ ἔλαφος, ἐλαφηρός. Tzetzes.

Ibid. ΣΕΙΡΙΟΣ. Ἀστὴρ ἐστὶ κείμενος ὑπὸ τὸ γένειον τοῦ κυνὸς, ὥς φησιν Ἄρατος. Νῦν δὲ Σείριον τὸν ἥλιον λέγει, παρὰ τὸ σειριᾷν καὶ λάμπειν καὶ ξηραίνειν. Ἀστὴρ καὶ ἄστρον διαφέρει· ὅτι τὸ ἄστρον σύστημά ἐστιν ἐξ ἀστέρων συνεστὸς, ὁ δὲ ἀστὴρ μονήρης ἐστίν· ὡς ἥλιος, σελήνη, καὶ εἷς [a]) ἕκαστος τῶν συμπληρούντων τὰ ἄστρα. Tzetzes.

416. ΚΗΡΙΤΡΕΦΕΩΝ. Τῶν συντεθραμμένων μοίρᾳ καὶ θανάτῳ. Tzetzes.

417. ΕΠΑΥΡΕΙ. Πλησιάζει, ἐπαπολαύει. Ἢ πνέει τροπικώτερον, ἀντὶ τοῦ φέρεται, ὑποκάτω τῆς γῆς. Tzetzes.

418. ΑΔΗΚΤΟΤΑΤΗ. Ἄσηπτος, [b]) μὴ γεννῶσα σκώληκας· δὴξ γάρ ἐστιν εἶδος σκώληκος ἐγγινομένου ἔνδον ξύλου·
226 ἴψ δὲ σκώληξ ἐστὶ κεράτων, ἲξ ἀμπέλων, σὴς ἐσθημάτων, τρὼξ ὀσπρίων, ψὴν σύκων, καὶ ἕτεροι ἄλλων. Tzetzes.

419. ΠΤΟΡΘΟΙΟ ΤΕ ΛΗΓΕΙ. Τοῦ κλωνοφυεῖν τε παύεται. Tzetzes.

420. ΤΗΜΟΣ ΑΡ' ΥΛΟΤΟΜΕΙΝ. Τότε ἄρ' ὑλοτόμει τὸ ὥριον ἔργον, μεμνημένος τῆς ἐμῆς δηλονότι παραινέσεως. Tzetzes.

Ibid. ΩΡΙΟΝ ΕΡΓΟΝ. Τέσσαρές εἰσιν ὧραι καιροῦ, ἔαρ, θέρος, φθινόπωρον, καὶ χειμών. [c]) Ἐν μιᾷ οὖν τῶν δ̄

y) ἐξενέγκει Bas.

z) Hinc ad finem Scholii om. Trinc.

a) ἕκαστος pro ἐκείνων ex F. G.

b) μὴ γεν. σκ. desunt in MS. Schellershem. ibid. ἐγγινομένου τοῖς ξύλοις—quae sequuntur in eodem cod. ὡς ἐξικμασθέντος—ἐμποιεῖ leguntur supra in Tzetze ad v. 412. Vide Creuzeri Meletem. T. I. p. 4.

c) ἐν μιᾷ E. H. pro vulg. ἐνταῦθα.

τούτων ὡρῶν, ἤγουν τῇ φθινοπωρίδι περὶ τὸ τέλος, κελεύει τοῦτον ὑλοτομεῖν, καὶ τοῦτο τὸ ἔργον ἐργάζεσθαι. Tzetzes.

Ibid. *ΜΕΜΝΗΜΕΝΟΣ.* Ἤγουν ἐν μνήμῃ στρέφων φροντίδα ἔχων, ἵνα μή σε παραδράμῃ ὁ καιρὸς οὗτος ἐπιλαθόμενον, ὑλοτόμει, ἔργον ποιῶν ὥριον, ἤγουν ἔγκαιρον κατὰ τὸν προσήκοντα αὐτῷ καιρὸν γινόμενον. Moschop.

421. *ΟΛΜΟΝ ΜΕΝ ΤΡΙΠΟΔΗΝ ΤΑΜΝΕΙΝ.* Εἰς κατασκευὴν μὲν ὅλμου, ἤγουν ἴγδης, τέμνε ξύλον τριῶν ποδῶν τὸ μῆκος· εἰς ὑπέρου δὲ κατασκευὴν, ἤγουν τοῦ κοινῶς κοπάνου, τέμνε ξύλον τριῶν πήχεων· εἰς κατασκευὴν δὲ ἄξονος, τέμνε ξύλον ἑπτὰ ποδῶν τὸ μῆκος· λίαν γὰρ ἁρμόδιον οὕτω ποιεῖν. Ἐὰν δὲ ὀκτὼ ποδῶν τάμῃς δηλονότι, ἀποτάμοιο ἂν, ἀντὶ τοῦ ἀποτάμοις, καὶ σφύραν ἀπ' αὐτοῦ, τὸν ἕνα πόδα δηλονότι, ἀρκούντων τῶν ἑπτὰ τῷ ἄξονι, εἰς κατασκευὴν δὲ ἀψῖδος τέμνε ξύλον τριῶν σπιθαμῶν ἕνεκα ἁμάξης δεκαδώρου, ἤγουν ἵνα ποιήσῃς ἄμαξαν, τουτέστι τὸν τροχὸν τῆς ἁμάξης, δεκάδωρον τὴν διάμετρον ἔχοντα· πολλὰ καμπύλα κάλα, ἤγουν περιφερῆ ξύλα, ἐπιτεμὼν, ἐπεὶ πλειόνων δεῖ τοιούτων τῇ ἀψῖδι, ὧν ἕκαστον ὀφείλει εἶναι τρισπίθαμον. Καμπύλα δὲ λέγει αὐτὰ ὡς καμπύλα γενησόμενα, οὐ γὰρ τοιαῦτα αὐτὰ τέμνεται ἀπὸ τοῦ ὄρους. Ὅταν δὲ εὕρῃς ξύλον πρίνινον ἁρμόδιον εἰς γύην κατὰ τὸ ὄρος ἢ κατὰ τὴν ἄρουραν, διζήμενος, ἤγουν ἐν νῷ ἔχων καὶ ζητῶν εὑρεῖν αὐτὸ, φέρε εἰς τὸν οἶκόν σου καὶ ἀπόθου, καὶ μὴ ἀμελήσῃς· ὁ τοιοῦτος γὰρ γύης, ὁ πρίνινος δηλονότι, ἐστὶν ἰσχυρότατος τοῖς βουσὶν εἰς τὸ ἀροῦν, ὁπηνίκα ἂν ὁ δοῦλος τῆς Ἀθηνᾶς, τουτέστιν ὁ τέκτων, ἐν τῷ ἐλύματι πήξας αὐτὸν διὰ [d]) σφηνισκῶν τινῶν πελάσας προσαρήρεται, ἀντὶ τοῦ προσαρήρῃ, ἤγουν ἁρμόσῃ τῷ ἱστοβοεῖ. *Δύο* δὲ ἄροτρα ποιησάμενος, ἀντὶ τοῦ κατασκευάσας, ἀπόθου ἐν τῷ οἴκῳ σου· τὸ μὲν αὐτόγυον, ἤγουν ἔμφυτον ἔχον τὸν γύην, [e]) καὶ οὐ προσηρμοσμένον· τὸ δὲ πηκτὸν, τουτέστι προσηρμοσμένον ἔχον τὸν γύην, ἐπεὶ καταπολὺ βέλτιον οὕτω ποιεῖν δηλονότι, ἐὰν τὸ ἕτερον αὐτῶν ἄξαις, ἤγουν ἐὰν συντριβῇ σοι τὸ ἕτερον, τὸ ἕτερον ἂν ἐπιβάλοιο, ἀντὶ τοῦ ἐπιβάλοις, τουτέστιν ἐπιθείης τοῖς βουσίν. **227**
Ἀπὸ δάφνης δὲ ἢ πτελέας γινόμενοι ἱστοβοεῖς ἀκιώτατοι ἴσον-

d) Dedi ex conjectura. σφηνισμῶν B. σφηνιγμῶν edd. Sic etiam correxi in Moschopulo ad v. 441.

e) καὶ οὐ ad γύην accedunt ex B.

ται, ἤγουν ἀσηπτότατοι. Ἀπὸ δρυὸς κτῶ τὸ ἔλυμα, τὸ γὰρ πλησιάζον τῇ γῇ δεῖ δύσσηπτον εἶναι, τοιοῦτον δὲ ἡ δρῦς. Ἀπὸ πρίνου δὲ τὸν γύην, ἵν' εὔτονος ᾖ· εὔτονον γὰρ δεῖ εἶναι τὸ μέσον τοῦ ἀρότρου. Βόας δὲ ἐνναετεῖς ἄρσενας κτῶ· τούτων γὰρ τῶν τοσούτων ὄντων, ἐτῶν δηλονότι, ἡ ἰσχὺς οὐκ ἀσθενής. Οὗτοι ἡλικίας συμμετρίαν ἔχοντες ἄριστοί εἰσιν εἰς τὸ ἐργάζεσθαι. Οὐκ ἂν οὗτοι ἐρίσαντες, ἀντὶ τοῦ ζυγομαχήσαντες, ἐν αὔλακι, ἤγουν ἐν τῷ τέμνειν τὰς αὔλακας, κατάξειαν μὲν, ἤγουν συντρίψειαν, τὸ ἄροτρον, τὸ δὲ ἔργον μάταιον, τουτέστιν ἄπρακτον, αὐτόθι καταλίποιεν. Τούτοις δὲ τοῖς βουσὶν ἅμα ἑπέσθω ἄνθρωπος τεσσαρακονταετὴς, ἀντὶ τοῦ περί που τὰ τεσσαράκοντα ἔτη ὢν, τουτέστι καθεστηκὼς τῇ ἡλικίᾳ, ἄρτον φαγὼν τετράτρυφον, ἤγουν εἰς τέσσαρα κλάσματα τεμνόμενον· τρύφος γὰρ τὸ κλάσμα. Moschop.

Ibid. *ΟΛΜΟΝ ΜΕΝ ΤΡΙΠΟΔΗΝ.* Πολὺς ἐν τούτοις ὁ f) Πλούταρχος, ἀμυνόμενος τοὺς γελῶντας τὸν Ἡσίοδον τῆς μικρολογίας, καὶ Πλάτωνα λέγων περὶ τῆς τῶν σκευῶν ἐν τοῖς οἴκοις 149) διειλέχθαι συμμετρίας, καὶ Λυκοῦργον περὶ τῆς τῶν θυρῶν κατασκευῆς, ἵν' ἀπὸ πρίονος ὦσι καὶ πελέκεως μόνον ἀποίκιλοι. Δεῖ οὖν ἀποδέχεσθαι καὶ τὸν Ἡσίοδον μέτρα παραδόντα καὶ ὅλμου καὶ ὑπέρου καὶ ἄξονος καὶ σφύρας. Καὶ τοὺς ἀρχαίους δὲ πολὺν καὶ τούτων ποιεῖσθαι λόγον, καὶ τῶν εὑρετῶν Πάμφων μὲν τιμᾷν, διότι τὸν λύχνον πρῶτος εὗρε καὶ τὸ ἐκ τούτου φῶς εἰσήγαγε· τὸν δὲ τῶν Πιτθέων δῆμον διὰ τοῦτο οὕτως ὀνομάσαι, διότι τῶν πίθων ἐπενοήσαντο τὴν πλάσιν· ὥστε μὴ τὴν πολυτέλειαν προσήκειν θαυμάζειν, ἀλλὰ τὴν τῶν χρειωδῶν, κἂν εὐτελῆ τυγχάνῃ, περιποίησιν. g) Δεῖν οὖν τὸν μὲν ὅλμον τέμνειν, ἀντὶ τοῦ ξύλον εἰς ὅλμου κατασκευὴν, τριῶν ὂν ποδῶν· τὸ δὲ ὕπερον ὡσαύτως τριῶν πήχεων, τὸν δὲ ἐσόμενον ἄξονα τῆς ἁμάξης ὁμοίως ἑπτὰ ποδῶν· εἰ δὲ εἴη

f) Fragm. Comm. 24. διειλέχθαι συμμετρίας dedi ex A. pro δ. καὶ ἐμμετρίας. De Lycurgo dixit Plutarchus in vita ejus T. I. p. 47. B. Mox δεῖν οὖν correxit Wyttenbachius. παραδιδόντα B. om. Trinc. Πιτθέων B. Trinc. pro Heinsiana Πιθέων. Vide Ruhnkenium ad Platonis Schol. p. 255. qui meliora de hujus nominis scriptura monet quam Fischerus ad Platonis Euthyphr. p. 8. Mox Fischerus pro ὀνομάσαι legendum censet ὠνομάσθαι. In A. haec reperiuntur; φῶς εἰσήγαγε· ὥστε τὰ ἱερὰ τὴν ἰδίαν χρῆσιν. τὸν δὲ τῶν Πιτθέων δῆμον ὀνομάσαι—

149) Forte: δ. τάξεως καὶ ἐμμετρίας. Heinsius.

g) Δεῖν A. Antea δεῖ.

τὸ ξύλον ὀκτὼ ποδῶν, ἀφ' οὗ δεῖ γενέσθαι τὸν ἄξονα, τὸν ἕνα πόδα χρήσιμον εἰς [h]) *σφύρας ἔσεσθαι τοῦ ξύλου τούτου κατασκευὴν ἀποτμηθέντα τῶν ἑπτὰ ποδῶν ἐξ ὧν ὁ ἄξων. Εἰπὼν δὲ περὶ ἄξονος ἡλίκον εἶναι δεῖ, προστίθησι καὶ τὴν ἀψῖδα ἡλίκην, τρισπίθαμον λέγων τάμνειν ἄψιν· καὶ αὐτὴν τὴν ἅμαξαν ἡλίκην, δεκάδωρον εἶναι δεῖ καὶ τὴν ἅμαξαν. Δεῖ δὲ τό γε τοσοῦτον περὶ τῶν μέτρων εἰδέναι τούτων· ὅτι σπιθαμὴ* 228 *μέν ἐστιν ἁπλωθείσης τῆς χειρὸς ἐπὶ τὸ ἄκρον τοῦ σμικροτάτου δακτύλου διάστημα· τρὶς τοσοῦτον οὖν εἶναι κελεύουσι τῆς ἀψῖδος τῶν ἁμαξικῶν κύκλων τὸ μέγεθος. Ἔστι δὲ ἡ ἀψὶς, ἡ περιέχουσα τὰς λεγομένας κνημῖδας, τὰς ἐκ τοῦ ἄξονος εἰς τὴν ἀψῖδα τεινούσας. Δῶρον δὲ τὸ αὐτό πως καὶ παλαιστή,* [150]) *ἀλλ'* [i]) *οὕτως ἐκ τῶν τεσσάρων δακτύλων ὀρθῶς συντεθέντων· δῶρον δὲ τούτων συστραφέντων καὶ τοῦ ἀντίχειρος ἐγερθέντος. Δεῖν οὖν τὴν διάμετρον τῆς ἁμάξης εἶναι δέκα τοιούτων μέτρων, τὴν δὲ ἀψῖδα τρισπίθαμον· οὐχ ἵνα ὅλην ἐκ τοσούτων ποιήσωμεν, ἀλλ' ἑκάστην καὶ τῶν περιφερειῶν ἐξ ὧν ἡ ἀψὶς συμπέπηγε. Διὸ καὶ ἐπήγαγε ΠΟΛΛ' ΕΠΙ ΚΑΜΠΥΛΑ ΚΑΛΑ, τὰς περιφερείας δηλῶν χρῆναι τρισπιθάμους εἶναι τῆς ἀψῖδος· ἐξ ὧν πλειόνων οὐσῶν ἡ ἀψὶς γέγονεν. ΑΛΛΩΣ. Πρῶτον τοῦ ὅλμου ἐμνημόνευσε· δεῖ γὰρ πρῶτον τῆς τροφῆς ἐπιμελεῖσθαι. Τοῦτο δὲ ὑπουργεῖ τὸ ἐργαλεῖον, ἢ ὅτι τὰ σπέρματα ἐκεῖ ἀπεκδύονται τὸ λέπυρον· ὅλμος δὲ ἐκλήθη διὰ τὸ ὀλλύειν καὶ* [k]) *φθείρειν τὰ ἐμβαλλόμενα· ὕπερον δὲ τὸ κόπανον. Πόδα καλεῖ τὸ ἀπὸ τοῦ τρίτου δακτύλου διὰ τοῦ δευτέρου μέχρι τοῦ πρώτου διάστημα. ΑΛΛΩΣ. ΤΡΙΣΠΙΘΑΜΟΝ Δ' ἍΨΙΝ, ἑκάστην ἀψῖδα ἁμάξης τρισπίθαμον εἶναι. Σύγκειται δὲ ἡ ἅμαξα, τουτέστιν ὁ τροχὸς, ἐκ τεσσάρων ἀψίδων· ὡς εἶναι τὸ πᾶν περιφερὲς τοῦ τροχοῦ σπιθαμὰς ιβ', παλαιστὰς δὲ λς'· ἔχει γὰρ ἡ σπιθαμὴ παλαιστὰς γ'. οὐκοῦν ἔδει τὴν πᾶσαν*

h) Ita A. Antea *σφύραν.*

150) Scribo, *ἀλλὰ τοῦτο ἐκ τῶν τεσσάρων.* Videtur enim distinguere inter *παλαιστὴν* et *δῶρον*: quod alterum, *τεσσάρων δακτύλων ὀρθῶς συντεθέντων* fiat, alterum *τούτων συστραφέντων, καὶ τοῦ ἀντίχειρος ἐγερθέντος.* Heinsius.

i) *οὕτ*[ος] A. *οὕτω μὲν ἐκ* B. Legendum puto, *Δῶρον δὲ τὸ αὐτὸ πως καὶ παλαιστής. ἀλλ' οὗτος μὲν ἐκ τῶν κ. τ. λ.* Etymolog. M. p. 285, 18. *Δοχμὴ ἡ παλαιστή,* ubi MS. Dorvill. *Δ. ὁ παλαιστής.* Vide interpretes ad Pollucem II. 157. Tzetzem ad v. 424.

k) *διαφθείρειν* A. *τὰ βαλλόμενα* B.

περιφέρειαν ἔχειν λ' καὶ ς' παλαιστάς. Καὶ πῶς εἶπε ΔΕΚΑΔΩΡΩι ἉΜΑΞΗι; ἔδει γὰρ εἰπεῖν δωδεκαδώρῳ, τὸ διάμετρον τοῦ τροχοῦ· πᾶν γὰρ διάμετρον τὸ τρίτον ἐστὶ μέρος τῆς πάσης περιφερείας. Δῆλον οὖν ὅτι τὰς ς' παλαιστὰς [l]) ἀνάλωσεν εἰς τὰ λεγόμενα γλωσσίδια, ἑκάστης ἀψῖδος τῆς ἁρμόσεως τῆς εἰς ἀλλήλας· ἡ δὲ παλαιστὴ καὶ δῶρον καλεῖται· ἡ δὲ σπιθαμή, καὶ δοχμή. PROCLUS.

Ibid. [m]) *ΟΛΜΟΝ.* Ὄλμος λέγεται μέρος τοῦ ἀνθρωπίνου σώματος, ὃ καὶ θώραξ καλεῖται· ἔστι δὲ τὸ ἀπὸ τραχήλου μέχρι αἰδοίων. Νῦν δὲ ὅλμος ἡ ἴγδη, ἐν ᾗ κέγχρον καὶ ἕτερα τοιαῦτα οἱ γεωργοὶ κατατέμνουσι. TZETZES.

Ibid. *ΤΡΙΠΟΔΗΝ.* Τριῶν ποδῶν μῆκος ἔχοντα· ὁ δὲ
229 ποῦς δακτύλων ἐστὶν ις'. Καὶ τριπόδης μὲν καὶ τετραπόδης, καὶ τὰ ὅμοια, ὁ ἔχων μῆκος [n]) τοσῶνδε ποδῶν. Τρίπους δὲ καὶ τετράπους, ὁ τρεῖς ἢ δ̄ πόδας ἔχων. TZETZES.

Ibid. [o]) *ὙΠΕΡΟΝ.* Δάκτην, ναγέα, τριβέα, ἢ κόπανον. TZETZES.

422. *ΑΞΟΝΑ Θ' ἙΠΤΑΠΟΔΗΝ.* Ἄξων ἐστὶ τὸ ξύλον τῆς ἁμάξης καὶ τῶν ἁρμάτων, οὗ ἑκατέρωθεν ἐμβέβληνται οἱ τροχοί. Νῦν δὲ περὶ τοῦ τῆς ἁμάξης ἄξονος λέγει κακῶς, [p]) ὅτι ἑπτὰ ποδῶν δεῖ ἔχειν αὐτὸν τὸ πλάτος· μόλις γὰρ ἂν ἄξων ὑπερβαίη τοὺς δ̄ πόδας. TZETZES.

Ibid. *ΑΡΜΕΝΟΝ ΟΥΤΩ.* Ὁ μὲν Ἡσίοδος πάνυ ἁρμοδίως ἄξονα τὸν ἑπταπόδην φησίν. Ἐγὼ δὲ τοῦτον φαίην ἂν πάνυ ἀνάρμοστον, καί τοι μὴ ἔγγιστα ὢν τῶν γεωργικῶν. TZETZES.

423. *ΕΙ ΔΕ ΚΕΝ ΟΚΤΑΠΟΔΗΝ.* Εἰ δὲ ὀκτὼ φησι ποδῶν τάμῃς ξύλον εἰς ἄξονος ποίησιν, ἀπὸ τούτου τὸν ἕνα πόδα ταμὼν ξυλίνην σφύραν ποιήσειας. Ἐκ δὲ τῶν τριῶν περισσῶν *ΚΕ, ΕΙ ΔΕ ΚΕΝ, ΑΠΟ ΚΕΝ,* καὶ *ΣΦΥΡΑΝ ΚΕΝ,*

l) Ita A. ἀναλώσας B. ἀναλώας Trinc. ἀναλῶσαι Heins.

m) Hinc ad κατατέμνουσι om. Trinc. Mox ἀνθρωπείου. E.

n) τριῶν ἢ δ Trinc.

o) Hinc ad finem Scholii om. Trinc. ὕπερον—κόπανον om. E. Λάκτιν videtur legendum. Vide Etymol. M. in v. Sequentem vocem nusquam alibi reperi. [Quid si legamus ἀγέα ab ἄγω, ut seq. τριβέα a τρίβω? *Ex Addendis.*]

p) ὅτι dedi ex E. G. H. pro ἤγουν.

ἀδυναμίην πολλὴν μετρικὴν τοῦ Ἡσιόδου καταγινώσκειν ἐστί. TZETZES.

424. *ΔΩΔΕΚΑΔΩΡΩι.* Κατὰ διάμετρον εἶπε δεκαδώρῳ· ἡ δὲ τὸ τρίτον ἐστὶ τῆς ὅλης περιφερείας· καὶ οὐ τὸν ἔξω κύκλον ἐδήλωσεν, ἀλλὰ τὸν μέσον τὸν εἰς δύο τὸν κύκλον τέμνοντα. PROCLUS.

Ibid. *ΤΡΙΣΠΙΘΑΜΟΝ Δ' ἍΨΙΝ ΤΑΜΝΕΙΝ.* Ἐκ τεσσάρων ἁψίδων q) συνίσταται ὁ τροχὸς τῆς ἁμάξης, οὗ τροχοῦ τὴν μέσην εὐθεῖαν νῦν δεκάδωρον ἅμαξαν καλεῖ. Φησὶν οὖν, ὅτι ἑκάστη ἀψὶς τοῦ τροχοῦ ἔστω τριῶν σπιθαμῶν, ὡς εἶναι τὴν πᾶσαν περιφέρειαν τοῦ ὅλου τροχοῦ, ἤγουν τὸν κύκλον, r) δώδεκα σπιθαμῶν, δωρῶν δὲ λϛ. Ἡ γὰρ σπιθαμὴ ἔχει δωρὰς, ἤγουν παλαιστὰς, τρεῖς, ὁ δὲ παλαιστής ἐστι δακτύλων δ. Πῶς δὲ λϛ δωρῶν εἰπὼν τὴν πᾶσαν περιφέρειαν εἶναι τοῦ τροχικοῦ κύκλου, τὴν μέσην διήκουσαν εὐθεῖαν τούτου, οὐ δωδεκάδωρον εἶπεν, ἀλλὰ δεκάδωρον, τοῖς ἐπιστημονικοῖς τῶν s) γεωμέτρων λόγοις καὶ τῇ ἀληθείᾳ ἐναντιούμενος; πᾶσα γὰρ περιφέρεια κύκλου τριπλασίων ἐστὶ τῆς οἰκείας διαμέτρου t) εὐθείας, ὡς πρὸς τὰς ἐκτὸς ἐπιφανείας τοῦ κύκλου. Οὐκ ἐλυμήνατο τὸν γεωμετρικὸν ὅρον καὶ τὴν ἀλήθειαν, ἀλλὰ καὶ οὗτος τριπλασίονα λέγει τὴν περιφέρειαν τῆς διαμέτρου, καὶ δωδεκάδωρον. Ἀλλ' αἱ μὲν δέκα δωραὶ τῆς εὐθείας ἐν τῇ τοῦ κύκλου εἰσὶν v) ἔντοσθεν ἐπιφανείᾳ 230
φαινόμεναι, περὶ ὧν καὶ διαλαμβάνει. Αἱ γὰρ δύο δωραὶ εἰς τὰς συμβολὰς συνεκρύβησαν, τὰς ἀπὸ τῆς ἐντὸς ἐπιφανείας μέχρι τῆς ἐκτὸς, ἑκατέρωθεν τοῦ τροχοῦ μία δωρά. TZETZES.

425. *ΚΑΜΠΥΛΑ ΚΑΛΑ.* Ξύλα ἐπικαμπῆ ὄντα τὰ w) ἀμφίδεα. PROCLUS.

q) Ita E. *συνθέτηται* Trinc. *συντέθειται* Bas. Heins. Mox *τρόχου* om. Trinc.

r) *δωδεκασπίθαμον* E. H. Bas. Mox *εἶναι τὴν πᾶσαν περιφέρειαν τοῦ κύκλου τοῦ τρόχου τὴν μέσον* Tr.

s) *γεωμετρικῶν* E. *τοῖς ἐπισηνικοῖς* (sic) *τῶν γεωργικῶν κ. τ. ά.* F. *τὸν γεωμετρικὸν* E. H. *γεωργικῶν* Trinc.

t) *εὐθείας* om. Trinc. ubi *οἰκίας*. *ὡς* addidi ex Trinc. Mox *γεωργικὸν ὅρον* Trinc.

v) *ἔνδοθεν* Trinc. et mox *αἱ δὲ δύο δ.* et in fin. pro *ἑκατέρωθεν τ. τ. μ. δ. τὰ ἑξῆς δῆλα.*

w) Dedi *ἀμφίδεα* pro vulg. *ἀμφίδια*. Similis est varietas in Erotiani Lexic. p. 100. Galeni exp. p. 424. ed. Franzii. Obiter emaculandus est Etymol. M. p. 87, 51. *Ἀμφίδεα, ψέλλια, δεσμούς· ἔνιοι ἀμφιλύτους ἀλύσεις· παρὰ δὲ ποιηταῖς ἀμφίδεον, τὸ στόμιον τῆς μήτρας, κατὰ μεταφοράν.* Pro mendosis *παρὰ δὲ ποιηταῖς* codex Dor-

Ibid. ΓΥΗΝ. Τὸ λεγόμενον γονάτιον τοῦ ἀρότρου. Ὁσάκις οὖν εὕρῃς, φέρε καὶ ἀπόθου αὐτὸ καὶ μὴ ἀμελήσῃς. Λέγεται δὲ ΓΥΗΣ, ὅτι ἀεὶ παρὰ τὴν γῆν ἐστιν. [x]) ΕΛΥΜΑ μέρος τὶ τοῦ ἀρότρου, ἐν τῷ μέσῳ ὄν, ἔνθα συμβάλλεται ὁ γύης τῷ ἱστοβοεῖ. Ἔλυμα δὲ παρὰ τὸ ἐλύειν, ὅ ἐστι καλύπτειν. ἹΣΤΟΒΟΕΥΣ λέγεται παρ' ἐνίοις καὶ τὸ μετὰ τὴν ἐχέτλην ξύλον ΑΥΤΟΓΥΟΝ δὲ τὸ μονόβελον λέγει, τὸ ἔχον ἐξ αὐτογύου τὸν ἱστοβοέα. PROCLUS.

Ibid. ΦΕΡΕΙΝ ΔΕ ΓΥΗΝ. Περὶ ἀρότρου κατασκευῆς ἐν τούτοις διδάσκει, καὶ δεῖ εἰδέναι τὶς ἡ ὕννις, τὶ τὸ ἔλυμα, τὶς ὁ γύης, τὶς ὁ ἱστοβοεὺς, τὶς ἡ ἐχέτλη, ἐξ ὧν ἐστι τὸ ἄροτρον. Ἡ μὲν οὖν ὙΝΝΙΣ ἐστὶ τὸ σίδηρον αὐτὸ τὸ ἐν τῷ ἀροτριᾷν σχίζον τὴν γῆν· τοῦτο δὲ τῷ ἐλύματι περιήρμοσται ἄνωθεν ἐμβεβλημένον εἰς [y]) αὐτὸ κοῖλον ὄν. Τὸ δὲ ἜΛΥΜΑ ἐστι, τὸ ἐμβληθὲν εἰς τὸ τὴν ὕννιν κατέχον ξύλον κατὰ τὸ ἄκρον, ὃ καλοῦσι νύμφην, ὃ κατὰ θάτερον μέρος τὸ ἄνω συγγεγόμφωται πρὸς τὸν γύην. Ὁ δὲ ΓΥΗΣ ξύλον ἐστὶ μακρὸν ἔχον οὐ πόῤῥω τοῦ ἐλύματος ὀρθὸν ἐμπεπηγὸς ξύλον ἐν αὐτῷ, ὃ κατέχοντες οἱ [z]) ἀροτριῶντες ὅλον κινοῦσι τὸ ἄροτρον, καὶ διὰ τοῦ ἀρότρου τοὺς βόας· καὶ τοῦτο τὸ ξύλον καλεῖται ΕΧΕΤΛΗ. Τούτῳ δὲ τῷ γύῃ ἐμπέπηγεν ἄλλο ξύλον μεῖζον κατὰ τὸ ἕτερον μέρος τὸ ἄκρον ἕως τοῦ ζυγοῦ διῆκον τοῦ ἐπικειμένου τοῖς ὤμοις τῶν βοῶν καὶ ζευγνύντος αὐτοὺς, ἐμπέπηγε δὲ σφηνωθὲν διά τινων [a]) σφηνισκῶν. Εἰ μὲν οὖν ἓν ξύλον ᾖ τὸ ὅλον ὁ γύης μέχρι τοῦ ζυγοῦ ἀπὸ τοῦ ἐλύματος, καλεῖται τὸ ἄροτρον αὐτόγυον· ἐὰν δὲ μικρότερος ᾖ τῆς χρείας ὁ γύης, ἐνσφηνοῦται τὸ ἕτερον αὐτῷ ξύλον τὸ συνάπτον
231 αὐτὸν καὶ τὸν ζυγὸν, καὶ καλεῖται τὸ μὲν ὅλον ΠΗΚΤΟΝ, τὸ δ' ἐνσφηνωθὲν ἹΣΤΟΒΟΕΥΣ. Διὸ καὶ αὐτὸς λέγει δύο παρασκευάσασθαι ἄροτρα· τὸ μὲν πηκτὸν, τὸ δὲ αὐτόγυον, ἵν' εἰ τὸ ἕτερον κατεαγῇ, τὸ λοιπὸν ἐκπληρώσῃ τὴν χρείαν.

s
vill. compendiose scriptum habet π δὲ πτς. Repone παρὰ δὲ Ἱπποκράτει, quem vide De Morbis Mulierum I. p. 610, 42.

x) Haec descripsit Etymologus M. p. 333, 37.

y) Ita A. αὐτὸ τὸ κοῖλον edd. Mox εἰς τὴν ὕνιν κατέχον τὸ ἄ. A.

z) ἀροτριοῦντες B. Trinc.

a) Dedi σφηνισκῶν pro vulg. σφηνισμῶν. Saepissime confunduntur elementa κ et μ. Similiter correxi supra in Moschopulo v. 421.

Τὸν μὲν οὖν γύην εἶναι κελεύει πρίνινον, προσθεὶς ἢ κατ' ἄρουραν, [b]*) εἰ εὕροις, ἢ κατ' ὄρος, πρίνινον· οὐ γὰρ εὔπορος Βοιωτοῖς ἡ πρῖνος, φησὶν ὁ Πλούταρχος, ἀλλὰ τοῖς πτελεΐνοις ἀντὶ τῶν πρινίνων χρῶνται, τοὺς γύας κατασκευάζοντες. Εἰ δ' οὖν εὕροις, ὁ πρίνινος ἄριστος γύας ὡς μάλιστα στερεός. Πῶς δὲ ὁ γύας κατασκευάζεται σημαίνων εἶπε.* PROCLUS.

Ibid. [c]*)ʹΑΨΙΝ. ʹΗ ἀψὶς κατὰ παρασχηματισμὸν Ἀττικῶς.* TZETZES.

Ibid. *ΠΟΛΛ' ΕΠΙ ΚΑΜΠΥΛΑ ΚΑΛΑ. Ἐπὶ πολλὰ καμπύλα καὶ λελοξευμένα καὶ ἀψιδοειδῆ κάλα καὶ ξύλα. Τοῦτο δὲ εἶπεν, ἵνα δείξῃ ὅτι οὐ μίαν ἀψῖδα λέγει ἔχειν τὸν τροχὸν, ἀλλὰ τέσσαρας. ʹΟ κάλως τὸ σχοινίον, τὸ κάλον δὲ τὸ ξύλον.* TZETZES.

Ibid. *ΦΕΡΕΙΝ ΔΕ ΓΥΗΝ. Φέρε δὲ γύην εἰς τὸν οἶκον σοῦ ἀπὸ πρίνου δένδρου, ὅταν εὕρῃς ψηλαφῶν ἐν ὄρεσιν, ἢ πεδινοῖς καὶ ἀροσίμοις τόποις. ʹΟ πρίνινος γὰρ γύης ὀχυρώτατός ἐστιν εἰς τὸ ἀροτριᾷν, ἡνίκα ὁ δοῦλος ὑπουργὸς τῆς φρονήσεως Ἀθηνᾶς, τέκτων, ἢ ἀροτρεὺς, πήξας* [d]*) αὐτὸν τὸν γύην ἐν τῷ ἐλύματι, ἐν γόμφοις καὶ ξυλίνοις ἥλοις προσαρήρεται, καὶ προσαρμόσῃ τῷ ῥυμῷ. ΓΥΗΣ ἐστὶ τὸ ὑπὸ γῆν ξύλον τοῦ ἀρότρου, εἰς ὃν ἡ ʹΥΝΝΙΣ, ἤγουν τὸ σίδηρον, ἐμβάλλεται. ΕΛΥΜΑ τὸ μέσον τοῦ ἀρότρου, ὅπου ὁ γόμφος βληθεὶς συνηλοῖ τὸν γύην καὶ τὸν ῥυμόν. ΓΟΜΦΟΣ ὁ ἧλος· ʹΙΣΤΟΒΟΕΥΣ δὲ, καὶ ΕΝΔΡΥΟΝ, ὁ ῥυμός.* TZETZES.

428. *ΕΥΤ' ΑΝ ΑΘΗΝΑΙΗΣ ΔΜΩΟΣ. Οὗτος ἐστιν ὁ τέκτων τῆς Ἀθηνᾶς δμώς·*

εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,

καὶ ʹΌμηρός φησι περὶ τέκτονος ὡσαύτως. Ἐπειδὰν οὖν οὗτος ἐν ἐλύματι πήξῃ τὸν γύην, καὶ γόμφοις ἑνώσας αὐτὸν πρὸς τὸ ἔλυμα τὸν γύην ἁρμόσῃ, τότε ὀχυρώτατός ἐστιν οὗτος, οὕτω κατασκευασθεὶς καὶ ἐκ τοιαύτης ὕλης. [e]*)ʹΟ μὲν δὴ γύης πρίνινος ἔστω· ὁ δὲ ἱστοβοεὺς, ἢ δάφνινος, ἢ πτελέϊνος· οὕτω γὰρ ἄσηπτος*

b) *εἰ* om. B. Fragmentum Plutarchi est n. 25.

c) Deest hoc Schol. Trinc.

d) Ita E. G. *αὐτὸν τῷ ἐλύματι, τὸν γύην* Heins. *αὐτὸν * τῷ ἐλύματα* Bas. Mox post *προσαρμόσῃ* Bas. habet *τῷ ἱστοβοῆϊ καί.*

e) Plutarch. Fragm. Comm. n. 26. vide Wyttenbachium ad T. II. p. 49. B. Versus *εὖ ε. σ. ὑ. Α.* deest B.

ἔσται, τὸ δὲ ἄσηπτον ἐδήλωσεν εἰπὼν *ΑΚΙΩΤΑΤΟΝ*· ὁ δὲ Πλούταρχος ἐξηγήσατο τὴν αἰτίαν, λέγων, εἶναί τι θηρίδιον ὃ καλεῖται κὶς, διεσθίον τὰ ξύλα· τοῦτο καὶ Πίνδαρον οὕτω καλεῖν περὶ τοῦ χρυσοῦ λέγοντα,

[f]) κεῖνον οὐ σὴς οὐ κὶς δάμναται,

232 ὡς ἄσηπτον. Ἐγγίνεται δ' οὖν τὰ τοιαῦτα θηρίδια τοῖς γλυκέσι καὶ μαλακοῖς ξύλοις· δάφνη δὲ καὶ πτελέα δριμύτατα. [g]) Τό γε μὴν ἔλυμα ἐκ δρυὸς εἶναι, καθάπερ τὸν γύην εἶπεν εἶναι δεῖ πρίνινον· καὶ γὰρ δὴ τοῦ ἀρότρου τὸ μὲν ἔγγιον τῆς ὕννεως εἶναι δεῖ δύσσηπτον, διὸ δρύϊνον τὸ ἔλυμα· τὸ δὲ μέσον εὔτονον, πρίνινον δὲ τὸν γύην. PROCLUS.

Ibid. [h]) *ΔΜΩΟΣ*. Ὁ δοῦλος, κατὰ διάλυσιν. TZETZES.

429. *ΠΡΟΣΑΡΗΡΗΤΑΙ* ὤφειλεν, οἱ Ἴωνες δὲ οὐκ ἐκτείνουσιν· ὅθεν *ΠΡΟΣΑΡΗΡΕΤΑΙ* γράφεται, ὡς καὶ παρὰ τῷ Πισίδῃ·

ὅπως ἀκλινὴς τῆς [155]) φορᾶς ἡ σφοδρότης,
ἐξ ἀντιπλεύρων σφίγγεται καταδρόμων. TZETZES

430. [i]) *ΔΟΙΑ ΘΕΣΘΑΙ ΑΡΟΤΡΑ*. Δύο δὲ κτῆσαι καὶ ἀπόθου ἄροτρα κατὰ τὴν οἰκίαν, πονησάμενος καὶ φροντίσας· αὐτοφυῆ τε ἔχοντα τὸν γύην καὶ συμβεβλημένον, ὅπως τοῦ ἑνὸς [k]) ἀχθέντος χρᾷ τῷ ἑτέρῳ. Τοῦτο δὲ εὔηθές ἐστι τὸ λέγειν, ἔχε αὐτόγυον καὶ πηκτὸν ἄροτρον, μή πως καταχθῇ τὸ ἕτερον. Ὤφειλε γὰρ εἰπεῖν ἁπλῶς, ἔχε δύο ἄροτρα, εἰ μή που τὸ αὐτόγυον ἔν τισι χρήσιμον, ἐν ἑτέροις δὲ τὸ πηκτόν· ὃ καὶ δοκεῖ μοι οὕτως ἔχειν, κἂν οὕτως φόβῳ τοῦ μὴ καταχθῆναι τὸ ἕτερον λέγῃ. TZETZES.

433. *ΔΑΦΝΗΣ Δ' Η ΠΤΕΛΕΗΣ*. Ἡ δάφνη καὶ ἡ πτελέα [l]) δριμύταται οὖσαι οὐ σήπονται ῥᾳδίως· ἐπεὶ μὴ δ' ἀπογεννῶσι σκώληκας, οὓς κίας καλοῦσι, καθάπ ρ τὰ γλυκύ-

f) κείνου B. Trinc. κεῖνο Heins. Recte, opinor, e Schol. Pindari Pyth. IV. 488. κεῖνον οὐ reposuit Schneiderus.

g) γε insertum ex B.

h) Deest hoc Scholion Trinc. Mox puto φορᾶς in MSS. legi. Certe ex iis nulla ab ed. Heinsiana enotata est diversitas.

155) Ita scripsit illustris Scaliger, cum male legeretur σφαίρας. HEINSIUS.

i) Deest hoc Scholion Trinc.

k) Ita E. F. H. ἐνεχθέντος G. ἐαχθέντος Bas. Heins. χρῷ F. Mox κατεάχθη et κατεαχθῆναι edd.

l) Sic E. δριμυτάτην ἔχουσαι φύσιν Trinc. δριμύτητα ἔχουσαι Bas. Heins. Mox οὓς κίας καλοῦσι om.

χῦμα καὶ χαῦνα ξύλα. Τὸ δὲ παρακελεύεσθαι ἢ δάφνινον ἁπλῶς, ἢ ὀρεινῆς δάφνης εἶναι τὸν ἱστοβοέα, ἤγουν τὸν ῥυμόν, τὸ ἔλυμα m)δὲ καὶ τὸν γόμφον ἀπὸ δρυὸς, ἀπὸ πρίνου δὲ τὸν γύην, n)ψευδοῦς τερατείας Ἡσιοδείας ὄγκος ἐστίν. Ἔδει γὰρ ἔκ τινος μονοειδοῦς στεῤῥοῦ ξύλου ταῦτα εἰπεῖν, πτελέας, ἢ τινὸς ἑτέρου τοιούτου, κατασκευάσαι, καὶ μὴ καταναλίσκειν λόγον εἰκαίως. Tzetzes.

434. *ΒΟΕ Δ' ΕΝΝΑΕΤΗΡΩ.* Εἰκότως δεῖ τοὺς βόας τοσούτους καὶ τοιούτους εἶναι, ἵνα καὶ διὰ τὴν φύσιν ὦσιν εὐσθενεῖς, καὶ διὰ τὴν ἡλικίαν ἀφυβρικότες, μὴ ὡς οἱ νεώτεροι θυμοειδεῖς ὄντες καὶ ζυγομαχοῦντες τὰ ἄροτρα κατακλῶσιν, καὶ τὸ ἔργον μάταιον καὶ ἄπρακτον o)ποιῶσιν. Proclus.

Ibid. d)*ΒΟΕ Δ' ΕΝΝΑΕΤΗΡΩ.* Οὐδ' ὅλως ἀκοῦσαι 233
ἀνάσχοιτό τις γεωργὸς, μή τοι γε παραδέξασθαι, ὡς ἐξώρους, καὶ γεγηρακότας καὶ ἀσθενεῖς, οὓς οὗτος, ὁ τοῖς ἀπαιδεύτοις δοκῶν Ὁμήρου ἀνθάμιλλος, οὐκ ἀλαπαδνὸν λέγει ἔχειν τὸ σθένος. Tzetzes.

436. *ΗΒΗΣ ΜΕΤΡΟΝ ΕΧΟΝΤΕ.* Συμμετρίαν φησὶν ἡλικίας ἔχοντες, καὶ μήτε ἄζυγες πῶλοι, μήτε γηραιοὶ ὄντες, ἐν τῷ ἐργάζεσθαι ἄριστοι, τῷ καὶ οὗτοι ἐργάζεσθαι ἀρίστω. Οὐκ e) οἶδα δὲ εἰ μή που δι' ἀπειρίαν γεωργικὴν τοῦ ἀδελφοῦ ἐμπείρους ὑποζεύγνυσι βόας, κἂν γηραιοὶ ὦσιν· ὅπως, μὴ κατὰ τὸ δέον αὐτοὺς διϊθύνοντος, μόνοι ἐργάζωνται. Tzetzes.

437. *ΟΥΚ ΑΝ ΤΩ Γ' ΕΡΙΣΑΝΤΕΣ.* Οὐ σκιρτήσαντες δηλονότι ἢ οὐ ζυγομαχήσαντες κατακλάσειαν τὸ ἄροτρον· ἐὰν δὲ τὸ ἄροτρον κλασθῇ, οὐ προβαίνει τὸ ἔργον, ἀλλὰ μάταιον ἐγκαταλιμπάνεται. Οὐ ζυγομαχοῦσι δὲ, διὰ τὸ εἶναι ὁμήλικες. Proclus.

Ibid. *ΟΥΚ ΑΝ ΤΩ Γ' ΕΡΙΣΑΝΤΕΣ.* Οὐκ ἂν οὗτοι οἱ βόες στασιάσαντες κατὰ τὴν ἀρουμένην αὐτοῖς γῆν κατάξειαν μὲν καὶ συντρίψειαν τὸ ἄροτρον, τὸ δὲ ἔργον τοῦ ἀροτρι-

Trinc. Item ἤγουν τὸν ῥυμόν om. Trinc.

m) δὲ addidi ex Trinc. ubi paullo post ἐκ δρύος.

n) ὑπέρογκόν ἐστιν Trinc. pro ψευδοῦς τ. Η. ὄ. ἐ. Ibid. στέῤῥου ξύλα εἶναι ταῦτα εἰπεῖν. rell. om. ad fin. κατασκευάσαι ex E. pro κατακλάσαι.

o) ποιοῦσιν B. Trinc.

d) Deest hoc Scholion Trinc.

e) οἶδα δὲ dedi ex E. F. H. Olim οἶδε. αὐτοὺς pro αὐτοῦ E. H.

ασμοῦ αὐτόθι μάταιον λίποιεν, ὥσπερ ἂν εἰ ἦσαν σφριγῶντες ἀρτιζυγεῖς. Tzetzes.

439. *ΤΟΙΣ Δ' ἍΜΑ ΤΕΣΣΑΡΑΚΟΝΤΑΕΤΗΣ.* Τὸ μὲν σκάψαι καὶ ὑλοτομεῖν καὶ φυτεῦσαι, νέων δεῖται, τὸ δ' ἀροτριάσαι, καὶ βουσὶν ἐπιστῆναι, καθεστῶτος ἤδη καὶ ὡς ἡνιόχου σωφρονοῦντος, μηκέτι παπταίνοντος εἰς τὰς τῶν νέων παιδι ις, ἀλλ' ἀρκούμενον ἄρτῳ *ΤΕΤΡΑΤΡΥΦΩι.* Τοιοῦτος δὲ ὁ εἰς τέσσαρα κλάσματα τεμνόμενος. *ΟΚΤΑΒΛΩΜΩι* δὲ, ὡς καθέκαστον τρύφος εἰς ὀκτὼ διαιρεῖσθαι ψωμούς· καὶ [f]) οὕτω δὴ πιμπλάναι τὸν ἀροτριατὴν αἰζηόν. Proclus.

Ibid. *ΤΕΣΣΑΡΑΚΟΝΤΑΕΤΗΣ.* Οὐ πάντως τοσούτων χρόνων, ἀλλὰ καθεστηκότα δεῖ εἶναι τῇ ἡλικίᾳ. *ΑΙΖΗΟΣ* δὲ σημαίνει δύο, ποτὲ μὲν τὸν ἄνθρωπον, ποτὲ δὲ τὸν νέον. Proclus.

Ibid. [g]) *ΤΟΙΣ Δ' ἍΜΑ.* Τοῖς δὲ τοιούτοις βουσὶν ἔστω τοῦ ἔργου ἐπιστατῶν ἀνὴρ τέλειος, ὅπως φροντίζῃ τοῦ ἔργου, μή πως νεώτερος ὢν, καὶ πρὸς ὁμήλικας ἀποτρίχων, τὸ ἔργον ἐᾷ. Tzetzes.

Ibid. *ΤΕΣΣΑΡΑΚΟΝΤΑΕΤΗΣ.* Τεσσαρακονταετὴς, καὶ τριακονταετὴς ἄνθρωπος, καὶ τὰ ὅμοια, ὀξύνεται· τεσσαρακονταέτης δὲ, καὶ τριακονταέτης, χρόνος. *ΑΙΖΗΟΣ*, κυρίως ὁ νεανίας· νῦν δὲ τὸν τέλειον ἄνδρα φησί. [h 156]) Σημείωσαι περὶ τῶν ἑπτὰ ἡλικιῶν. Ἑπτὰ δέ εἰσι κατὰ ἀστρονόμους αἱ τοῦ ἀνθρώπου ἡλικίαι· βρέφος ἀπὸ γενέσεως μέχρι δ̄ ἐτῶν, ἀναλογεῖ δὲ τῇ Σελήνῃ. Εἶτα παιδίον, μέχρι δεκαετίας, καὶ
234 ἀναλογεῖ Ἑρμῇ. Μεῖραξ ἀπὸ δεκαετίας, μέχρι ιη, ἀναλογεῖ Ἀφροδίτῃ. Ἀπὸ τῶν [i]) ιθ̄, μέχρι τῶν [k]) λ̄ξ, νεανίας, ἀναλο-

f) οὗτοι B.

g) Deest hoc Scholion Trinc. φροντίζοι H.

h Hinc ad ἡλικίαι om E. F. H. In E. legitur, ἕπτα δέ εἰσι κατ' ἀστρονομίαν ἡλικίαι τῶν ἀνθρώπων. In G. Σημείωσαι δὲ περί. E. F. G: H. γεννήσεως.

156) Scribe, σήμηνον περὶ τῶν ἑπτὰ ἡλικιῶν. Nota est Scholastici, qui reliqua quae sequuntur περὶ ἡλικιῶν, a Tzetze praeter rem paedagogice annotata, in margine codicis sui distinxerat ut memoriae consuleret. Σήμηνον Graecis eadem nota est quae nostrum, *nota bene*; quod vulgo hoc signo, quoties aliquid observamus, ne excerpendo singula cursum lectionis remoremur, depingimus, NB. supra eodem modo in altera nota quae irrepserat: Σήμηνον. ἐναντίως οὗτος φησὶ τῇ τοῦ Τζέτζου ἐξηγήσει. Heinsius.

i) ιη E. F. ιζ̄ pro ιη G. et ιζ̄ pro ιθ̄.

k) εἴκοσι πέντε F. et κε̄ pro τριακονταοκτὼ et mox νβ̄. pro νγ.

γεῖ τῷ Ἡλίῳ. Ἀπὸ τῶν τριακονταοκτὼ μέχρι τῶν νβ, ἀνὴρ, ἀναλογεῖ Ἄρει. Ἀπὸ τῶν νγ μέχρι τῶν ξδ, πρεσβύτης, ἀναλογεῖ Διΐ.

[l]) Γέρων ἐπ' αὐτοῖς μέχρι ζωῆς ἐσχάτης,
ἀναλογεῖ δὲ τῷ ψυχρῷ τότε Κρόνῳ. Tzetzes.

440. ΤΕΤΡΑΤΡΥΦΟΝ. Τετράκλαστον· τρύφος γὰρ τὸ κλάσμα. Οὐδὲν δὲ ἄλλο διὰ τούτου δηλοῖ ἢ τὸ ἀπέριττον καὶ σύντονον τῆς τροφῆς, ἤτοι τῆς διαίτης, ἵνα μὴ σχολῇ [m]) τρυφᾷ. Διὸ καὶ εἰς τέσσαρα τὸν ἄρτον διακλάσαι, καὶ εἰς ὀκτὼ δήγματα ἀναλῶσαί φησιν· ὥστε ἐπὶ τὸ ἔργον συντόμως ὁρμῆσαι. Proclus.

Ibid. [n]) ΔΕΙΠΝΗΣΑΣ. Δειπνός ἐστι τὸ πρόγευμα· ἄριστον τὸ γεῦμα· δόρπος ὁ παρ' ἡμῖν λεγόμενος δεῖπνος. Tzetz.

Ibid. ΤΕΤΡΑΤΡΥΦΟΝ. Δ' κλάσματα ἔχοντα, σταυροειδῶς. Tzetzes.

Ibid. ΟΚΤΑΒΛΩΜΟΝ. Ὀκτὼ δήγματα ἔχοντα· ἢ τὸν ὅλον τετράκλαστον ἄρτον. Ἢ τὸ δ μόνον κλάσμα. Ὡς τὸν ὅλον ἄρτον ἔχειν δήγματα λβ. βλωμὸς γὰρ τὸ δῆγμα. Tzetzes.

Ibid. ΟΚΤΑΒΛΩΜΟΝ. Ἤγουν ἕκαστον τῶν κλασμάτων ἔχοντα ὀκτὼ δήγματα ποιεῖν δυνάμενον. Moschop.

441. ὍΣ Κ' ΕΡΓΟΥ ΜΕΛΕΤΩΝ. Ὅστις καθεστηκὼς ἀνὴρ μελετῶν καὶ φροντίζων τοῦ ἔργου, εὐθυτάτην τὴν αὔλακα, καὶ τὴν τομὴν τοῦ ἀρότρου ἐλαύνοι. Tzetzes.

Ibid. ὍΣ ΑΝ ΤΟΥ ΕΡΓΟΥ ΜΕΛΕΤΩΝ. Ἤγουν φροντίδα ἔχων. Καὶ ἐν ἄλλοις,

μελετᾷς βίου ὥς σε κελεύω.

ΙΘΕΙΑΝ ΤΕΜΝΟΙ ΤΗΝ ΑΥΛΑΚΑ. Ἀντὶ τοῦ κατ' εὐθεῖαν, ἐπιῤῥηματικῶς· τὸ εὔτακτον δὲ αὐτοῦ καὶ ἀσύγχυτον ἀπὸ τῆς εὐθύτητος τῆς αὔλακος θέλει δηλοῦν, μηδαμῶς παπταίνων, ἤγουν ἀποβλέπων, τὴν γνώμην τρέπων ἐπὶ τοὺς ἡλικιώτας, 235
τουτέστιν ἐπὶ τὰς μετὰ τῶν ἡλικιωτῶν παιδιὰς ὥσπερ οἱ νέοι, ἀλλ' ἐπὶ τῇ ἐργασίᾳ ἔχων τὸν λογισμόν. Τούτου οὐδαμῶς ἔστιν ἄλλος νεώτερος ἀμείνων, εἰς τὸ δάσασθαι σπέρματα,

l) γέρων ἀπ' αὐτῶν ξδ, ἕως ζωῆς ἐσχάτης F. et in fine τῷ ψυχροτάτῳ χρόνῳ.

m) Ita B. τρυφαί Trinc. τρυφῶ Heins.

n) Deest hoc Scholion Trinc.

ἤγουν καταβάλλεσθαι εἰς τὴν ἀρουμένην γῆν, εὐτάκτως μεριζόμενα, καὶ ἐκφυγεῖν τὴν ἐπισπορίην, ἤγουν τὴν ἐπὶ τοῖς σπαρεῖσι σποράν, ὃ γίνεται ὅταν ἐλλιπῶς ἡ προτέρα γένηται σπορά. Νεώτερος γὰρ ἀνὴρ ἐπὶ τοὺς ὁμήλικας ἐπτοίηται, ἀντὶ τοῦ ἐπτόηται, ἤγουν ἠσχόληται, περισπᾶται. Μένος ἡ μνησικακία, καὶ τὸ μένειν ἐν πολέμῳ καὶ μὴ φεύγειν, καὶ μένος χειρῶν, τὸ ἔμμονον ἔργον· πάντα ἀπὸ τοῦ μένειν· ἀπὸ τούτων μένος καὶ τὸ σθένος. Ἐνταῦθα δὲ μένος ἡλίου λέγει, διὰ τὸ ἔντονον τῶν ἀκτίνων αὐτοῦ καὶ μὴ ἐκκεχυμένον. Γύης, τὸ λεγόμενον γονάτιον τοῦ ἀρότρου. Ἐχέτλη τὸ ἐμπεπηγὸς ξύλον τῷ γύῃ, ὃ κατέχοντες οἱ ἀροτριῶντες κινοῦσιν ὅλον τὸ ἄροτρον. Ἔλυμα τὸ προσηρμοσμένον τῷ γύῃ, εἰς ὃ ἐμβάλλεται ἡ ὕνις. Ἱστοβοεὺς, ὃς καὶ ἱστοβόη λέγεται, τὸ ξύλον τὸ διῆκον μέχρι τοῦ ζυγοῦ τοῦ ἐπικειμένου τοῖς ὤμοις τῶν βοῶν καὶ ζευγνύντος αὐτούς· ἐμπέπηγε δὲ καὶ οὗτος τῷ γύῃ σφηνωθεὶς διά τινων σφηνίσκων. Ἐνναετὴρ ποιητικὸν, ἐνναετὴς κοινὸν, ὁ ἐννέα ἐτῶν ὤν, ἐνναέτης δὲ χρόνος παροξυτόνως. Moschop.

444. *ΤΟΥ Δ' ΟΥ ΤΙ ΝΕΩΤΕΡΟΣ ΑΛΛΟΣ ΑΜΕΙΝΩΝ, ΣΠΕΡΜΑΤΑ ΔΑΣΣΑΣΘΑΙ.* Τὸ μὲν σπέρματα δάσσασθαι δηλοῖ τὸ καταβάλλεσθαι ταῦτα, μερίζοντα εὐτάκτως, εἰς τὴν [o]) ἀροτριωμένην γῆν. Τὸ δ' *ΑΛΕΑΣΘΑΙ* τὴν *ΕΠΙΣΠΟΡΙΑΝ*, τὸ μὴ ἀνομάλως ῥίπτειν ἀλλὰ συμμέτρως τὰ σπέρματα, μὴ ἐπάλληλα ταῦτα εἰς ἕνα τόπον· αὕτη γὰρ ἡ ἐπισπορία· ὡς τῶν δευτέρων σπερμάτων θλιβόντων τὰ πρότερα, τόπων δὲ ἄλλων ἀσπόρων μενόντων. Τοῦτο γὰρ καὶ πείρας δεῖται καὶ μὴ μετεώρου διανοίας, ἀλλ' ἐπιτατικῆς· διὸ τὴν τοιαύτην εἶναί φησιν ἡλικίαν χρήσιμον. *ΑΛΛΩΣ.* Τοῦ τοιούτου τεσσαρακονταετοῦς οὐκ ἔστιν ἀμείνων ἡλικία εἰς τὸ καλῶς σπείρειν, καὶ ἐπισπορίην ἀλέασθαι. Ἐπισπορία δέ ἐστιν, ὅταν σπείρῃ τὶς [p]) ἐλλιπῶς, καὶ πάλιν ἄνωθεν σπόρον ἐμβάλλῃ. Proclus.

Ibid. *ΣΠΕΡΜΑΤΑ ΔΑΣΣΑΣΘΑΙ.* Τὰ σπέρματα καλῶς [q]) διαμοιρᾶσαι καὶ σπεῖραι. Tzetzes.

Ibid. *ΕΠΙΣΠΟΡΙΗΝ.* Τὴν δευτέραν, καὶ ἐπανασποράν

o) Sic B. ἀροτριομένην Trinc. ἀροτριουμένην Heins. Mox μὴ ἐπάλληλα B. μὴ ἀλλ' ἐπ' ἄλληλα edd.

p) ἐλειπῶς Trinc.

q) Deest hoc Schol. Trinc. διαμοιράσαι E. G. H. Bas. διαμοιρά-

φυγεῖν. Οἱ γὰρ κακῶς σπείροντες πάλιν ἐπανασπείρουσιν ἐπιβάλλοντες ἕτερον σπόρον. Tzetzes.

445. ΚΟΥΡΟΤΕΡΟΣ. Ὡσανεὶ ῥέμβεται ὁ νοῦς τοῦ τοιούτου ἐπὶ τοὺς ὁμήλικας. Proclus.

Ibid. [r])ἘΠΤΟΙΗΤΑΙ. Περισπέπασται, ἠσχόληται. Tzetzes.

446. ΦΡΑΖΕΣΘΑΙ Δ' ΕΥΤ' ΑΝ ΦΩΝΗΝ ΓΕΡΑΝΟΥ. 236
Ὅτι μὲν ἡ γέρανος δοκεῖ [s]) φροντίδα ἔχειν, τουτέστι πρόγνωσιν, ὥς φησι Πλάτων, καὶ χειμῶνα προσιόντα δηλοῦν, φύσει δειλὴν οὖσαν πρὸς αὐτὸν, ὥς φησιν Ὅμηρος, δῆλον. Κελεύει δὲ ταύτην παρατηρεῖν κεκραγυῖαν καὶ δηλοῦσαν τὸν τοῦ σπόρου καιρόν. Μετὰ γὰρ τὴν ἀπὸ τῶν ἄστρων σημείωσιν, ἣν ἀπὸ τούτων παρέσχον, οἰκεῖον ἦν καὶ ἀπὸ τῶν ὀρνίθων ταύτην ποιήσασθαι. Τότε δὴ οὖν ὁ μὲν ἀβούτης δάκνεται διὰ τὴν ἀπορίαν τῶν βοῶν σπείρειν καὶ ἀροῦν ἀδυνατῶν· ὁ δὲ βοῶν εὔπορος χορταζέτω τὰς βοῦς, ὡς χρησόμενος αὐταῖς ἤδη πρὸς ἔργον τῆς σπορᾶς. Proclus.

Ibid. ΦΡΑΖΕΣΘΑΙ Δ'ΕΥΤ' ΑΝ. [t])Βουλεύου καὶ φρόντιζον τῶν γεωργικῶν, ἡνίκα γεράνου φωνὴν ἀκούσῃς, κραυγαζούσης τῆς γεράνου ὑψόθι χρονίως, ἥτις φωνὴ σημεῖον φέρει ἀροτριάσεως, [v]) καὶ χειμῶνος καιρὸν κατόμβρου δεικνύει, λυπεῖ δὲ τὴν ψυχὴν τοῦ μὴ ἔχοντος [w]) βοῦς γεωργοῦ. Μετὰ τὴν τῶν ἄστρων διδασκαλίαν, ἀπὸ τῶν γεράνων [x]) παιδεύει τὸν ἀδελφὸν εἰδέναι τοὺς καιρούς· προλέγει δὲ τοὺς καιροὺς ἡ γέρανος, ἔαρ τε καὶ χειμῶνα, οὐχ ὡς [y]) ἀστρολόγος καὶ ἀναλεξαμένη βίβλους τοῦ Πτολεμαίου, καὶ Μέτωνος,

σθαι Heins. διαμερίσασθαι F. δευτέραν ἐπανασπορὰν E. G. σπείροντες E. σπείραντες edd.

r) Sensum hujus verbi sic exponit Fischerus ad Platonis Phaedon. c. 13. "Verbo πτοεῖσθαι significatur *summa cupiditas, maximum desiderium*, cujus signum fere est trepidatio, quia fere conjunctum est cum timore, ut assequaris, ut satis cito assequaris, rem petitam." Scholiastes Gregorii Nazianz. Orat. Stelit. in Julian. I. p. 7. ἐπτοημένους εἴρηται ἀπὸ τοῦ πτοεῖσθαι καὶ φοβεῖσθαι· ὁ γάρ τινι πράγματι προσστετηκὼς περιδεής ἐστι μήπως ἀφαιρεθῇ αὐτοῦ. Plura dabit praestantissimi Creuzeri annotatio ad Plotinum de Pulchr. p. 211.

s) ἐμβροντίδα B. et mox δειλὸν. Homeri locus est Il. Γ. 3.

t) Hinc ad γεωργοῦ om. Trinc.

v) καὶ χειμῶνος addidi ex E. G.

w) βόας γεωργικοὺς G. γεωργεῖν E.

x) διδάσκει G.

y) Ita Trinc. MSS. ἀστρολογήσας Bas. Heins. ἀναλεξάμενος E. Bas. Βίβλους Πτολεμαίου τε καὶ Κάτωνος Trinc. Κάτωνος F. τῶν ἄλλων E.

καὶ Ζωροάστρου, καὶ τῶν ἄλλων· ἀλλ' ἐστὶν ὄντως δειλότατον ζῶον ἡ γέρανος, καὶ εὐαίσθητον θέρμης καὶ ψύξεως· ὑψιπετῶς δὲ φερομένη διὰ τὸ βάρος τοῦ σώματος, ὅπως μὴ πρὸς τὴν γῆν ἐνεχθῇ, [z])εὐπαθοῦς ὄντος τοῦ ἄνω ἀέρος, καὶ πρὸς ψύχος ἢ θέρμην ῥαόνως ἐκτρεπομένου, ψυχομένου μὲν ἀλγοῦσα βοᾷ, πρὸς θερμοτέραν δὲ τρεπομένου [a])κατάστασιν ἀλύπως σὺν ἠρεμαίᾳ φωνῇ περιΐπταται. Καὶ οὕτως ἡμεῖς ἐκ τῶν ἐκείνης φωνῶν χειμῶνα καὶ ἔαρ ἐπιγινώσκομεν. Tzetzes.

Ibid. *ΦΡΑΖΕΣΘΑΙ Δ' ΕΥΤ' ΑΝ.* Σκόπει δὲ ὁπηνίκα ἂν ἀκούσῃς φωνὴν γεράνου ἐνιαύσια κεκληγυίης, ἤγουν συνήθη κατ' ἔτος φωνὴν κεκραγυίας ὑψόθεν ἀπὸ τῶν νεφῶν, ἥτις σημεῖον δίδωσι καὶ τοῦ καιροῦ τοῦ προσήκοντος τῷ σπόρῳ,
237 καὶ τοῦ χειμῶνος τοῦ καθύγρου τὴν ὥραν δεικνύει, τὴν καρδίαν δὲ τοῦ ἀνδρὸς τοῦ μὴ βοῶν εὐποροῦντος, γεωργοῦ δηλονότι ὄντος, λυπεῖ. Τότε δὴ χορτάζειν τοὺς ἕλικας βοῦς ἔνδον ὄντας, ἤγουν ἐν τῷ οἴκῳ. Εὔκολον γὰρ τῷ μὴ ἔχοντι βοῦς εἰπεῖν ἔπος πρὸς τὸν ἔχοντα, δός μοι βόε καὶ ἅμαξαν, ῥᾴδιον δὲ τῷ εὐποροῦντι βοῶν, ἀπαρνούμενον τὴν αἴτησιν, ἀποκρίνασθαι, πάρεστι δὴ ἔργα τοῖς βουσί. Φησὶ δὲ ἀνὴρ οὐκ ὢν εὔπορος, εἶτα κατὰ τὰς ἑαυτοῦ φαντασίας τὰς κενὰς οἰόμενος εἶναι εὔπορος, πῆξαι ἅμαξαν ὅταν θέλῃ· ἀνόητος, οὐδὲ τοῦτο οἶδεν ὅτι ἑκατὸν, ἀντὶ τοῦ πολλὰ, εἰσὶ τὰ ξύλα τῆς ἁμάξης, ὧν πρέπει πρότερον φροντίδα ἔχειν ὥστε ἐν τῇ οἰκίᾳ αὐτὰ ἀποθεῖναι. Ὁπηνίκα δ' ἂν πρώτιστα καιρὸς σπόρου τοῖς ἀνθρώποις φανείη, ἐφορμήθητι, ἤγουν πρόθυμος γενοῦ, καὶ αὐτὸς καὶ οἱ σοὶ θεράποντες, ἀροτριᾶν, κατὰ τὸν καιρὸν τοῦ σπόρου, καὶ ξηρὰν οὖσαν τὴν γῆν καὶ δίυγρον, μὴ πρόφασιν ἔχων τὸ τοιάνδε ἢ τοιάνδε αὐτὴν εἶναι, πρωῒ μάλα τῆς ἡμέρας δηλονότι σπεύδων, ἵνα σοι εὐθηνούμεναι ὦσιν αἱ ἄρουραι. Moschop.

449. *ΑΒΟΥΤΕΩ.* Τὴν τελευταίαν χώραν συνίζησιν ἔχει ὁ στίχος. Tzetzes.

450. *ῬΗΙΔΙΟΝ ΓΑΡ ΕΠΟΣ ΕΙΠΕΙΝ.* Τούτων τὸ

z) ἀπαθοῦς G. ῥᾶον Trinc. ψυχουμένη Trinc. ἐκτρεπομένη· ψυχομένη E. ibid. mox τερπομένη.

a) μετάστασιν Trinc. ἐν ἠρεμαίᾳ G. Trinc. Bas. Mox γινώσκομεν Trinc.

μὲν *ΑΒΟΥΤΗΣ* εἴποι ἂν αἰτῶν βόας ἵν' ἀροτριάσῃ τοῦ καιροῦ καλοῦντος, [157]) τὸ δὲ ὁ εὐπορῶν βοῶν [b]) ἀποκρίναιτο ἂν, ὅτι καὶ οἱ παρ' αὐτῷ βόες ἔργα ἔχουσι, καὶ διὰ τοῦτο οὐκ ἂν αἰτούμενος δοίη. Ὃ καὶ ὁ Λάκων, τὴν [158]) κυνῆν αἰτούμενος, εἰπεῖν λέγεται πρὸς τὸν αἰτοῦντα· εἰ μὲν εὐδία, ἔσται καὶ σοὶ ἄχρηστος· εἰ δὲ χειμὼν, καὶ ἐμοὶ χρήσιμος. Καὶ γὰρ καὶ περὶ τῶν βοῶν ἐρεῖ ταυτὸν ὁ αἰτηθείς· εἰ μὲν μὴ καιρὸς τοῦ ἀροῦν, καὶ σοὶ ἄχρηστοι· εἰ δὲ καιρὸς, κἀμοὶ χρήσιμοι. *ΑΛΛΩΣ.* Τὸ γὰρ αἰτῆσαι εὐχερές ἐστιν, ἀλλὰ τὸ ἀπαρνήσασθαι καὶ μὴ δοῦναι, εὐχερέστερον. Ἔχει γὰρ εἰπεῖν, ὅτι οὐ δίδωμι· καὶ γὰρ κἀμοὶ πάρεισιν ἔργα βοῶν δεόμενα. PROCLUS.

Ibid. [c]) *ΔΗ ΤΟΤΕ ΧΟΡΤΑΖΕΙΝ.* Τότε δὴ χόρταζε. Τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, Ἀττικῶς. TZETZES.

Ibid. *ΈΛΙΚΑΣ ΒΟΑΣ.* Ἑλικοειδῶς καὶ ἡμικυκλοειδῶς τοὺς πόδας εἰλοῦντας καὶ συστρέφοντας. Τὸ δὲ ἕλιξ Ἀττικοὶ δασύνουσιν, οἱ δὲ λοιποὶ πάντες ψιλοῦσιν· οἱ γὰρ Ἀττικοὶ δασυνταί εἰσιν, ἀμφελίσσειν καὶ ἀμφέχειν, καὶ καθείργειν λέγοντες, καὶ αὖθις, καὶ λίσφοι, καὶ τὰ ὅμοια, ὡς καὶ τὸ ἅμαξα. Ἡ δὲ Κοινὴ διάλεκτος καὶ τὸ ἄμαξα ψιλοῖ, καθὼς Δωρὶς, καὶ Αἰολὶς, καὶ Ἰωνίς. TZETZES.

451. *ῬΗΙΔΙΟΝ ΓΑΡ ΕΠΟΣ.* [d]) Εὔκολον γὰρ λόγιον
τῷ μὴ ἔχοντι γεωργῷ βόας, αἰτεῖσθαι παρ' ἑτέρου. Ῥᾳδιώτε-
ρον δὲ κἀκεῖνο ἐστὶν ἀπαρνήσασθαι καὶ εἰπεῖν, ὅτι πάρεισιν 238
ἔργα τοῖς ἐμοῖς βουσίν. [160]) Αἰτῶ καὶ αἰτοῦμαι διαφέρει.
TZETZES.

Ibid. *ΕΠΟΣ.* Τὸ πὸς μακρὸν, κοινὴ συλλαβή· εἰς γὰρ μέρος λόγου λήγει. TZETZES.

157) Male legebatur, ἀπορῶν. HEINSIUS.

b) ἀποκρίνεται ὅτι B. ἀποκρίνεται ἂν ὅτι Trinc. Mox τὴν κοινὴν B. Trinc.

158) Recte emendavit Scaliger, cum κοινὴν legeretur. HEINSIUS. Reposui de meo Ὃ — Λάκων pro ὃν — λαβὼν, quod nullum sensum commodum efficit. Locum puto Plutarcheum esse.

c) Deest hoc et sequens Schol. Trinc.

d) εὔκολος γὰρ λόγος F. Reliqua correxi ex MSS. Edd. habent κἀκείνῳ ἐστὶν ἀρνήσασθαι κ. ἐ. ὅτι πάρεστι καὶ ἡ δωρὶς τοῖς β. Non male Valckenaerius pro mendosis ἡ δωρὶς conjecit ἡ ἄροσις ad Ammon. p. 12. Αἰτῶ κ. α. δ. omittunt E. F. H. Et sane locum alienum occupare videntur.

160) Aut ego fallor aut hoc loco deest differentia utriusque. Nec enim verisimile est Grammaticum nostrum id nos celare voluisse:

453. ΦΗΣΙ Δ' ΑΝΗΡ ΦΡΕΝΑΣ ΑΦΝΕΙΟΣ. [e]) Ὁ μὲν φρένας ἀφνειός ἐστιν, ὃς οὐκ ὢν εὔπορος ταῖς ἑαυτοῦ φαντασίαις ταῖς κεναῖς οἴεται εἶναι εὔπορος· διὸ καὶ νήπιος, οἰόμενος τὰ μὴ ὄντα. Ἀπὸ δὲ τῆς κατὰ τὴν ἅμαξαν οἰήσεως πᾶσαν τὴν τοιαύτην διασύρει ζωὴν, ὡς ἀνόητον. Ὁ γὰρ τὰς φρένας ἀφνειὸς εἴποι ἂν καὶ περὶ ἁμάξης, ὡς εὔκολον αὐτὴν, ὅταν θέλῃ, πήξασθαι, ἀγνοῶν ὅτι τὰ ξύλα αὐτῆς πολλά ἐστιν, ἃ δεῖ οἰκεῖα ἔχειν τὸν μέλλοντα κατασκευάσειν ἅμαξαν· τυγχάνει δὲ ἐκεῖνα διὰ τὸ πλῆθος οὐκ εὐπόριστα. Οὕτως οὖν καὶ περὶ βοῶν τοῦ ἀρότρου ἕνεκα καὶ περὶ πάντων οἰήσεταί νοῦν τὶς οὐκ ἔχων, ὀφείλων [f]) ἐννοεῖν, ὅτι πρὸ καιροῦ δεῖ παρασκευάζειν καὶ οἰκείους ἔχειν, οὐκ ἀλλοτρίους αἰτεῖν. ΑΛΛΩΣ. Τοῦτο εἶπε πρὸς τοὺς θαῤῥοῦντας ἔχειν καὶ μὴ πρὸ καιροῦ εὐτρεπίζοντας· ἔχει γὰρ εἰπεῖν θαῤῥῶν, ὅτι ἔχει ὕλην, Ἐξέλθετε, ποιήσατέ μοι ἅμαξαν· μὴ εἰδὼς ὅτι πολλὴν δυσχέρειαν ἔχει· καὶ γὰρ ἑκατόν εἰσι τὰ ξύλα τῆς ἁμάξης. Φρένας δὲ ἀφνειὸς, ἤτοι οὐκ ἀληθῶς πλούσιος, ἀλλὰ τῇ ψυχῇ δοκῶν πλουτεῖν, καὶ ἑαυτὸν ἐξαπατῶν, ἢ κατὰ ἀντίφρασιν ἄφρων. Πολλάκις γάρ τις τῶν τὴν ψυχὴν ἐπηρμένην ἐχόντων καὶ ὑπερήφανόν φησι, Τί γάρ ἐστιν εὐχερέστερον τοῦ ποιῆσαι ἅμαξαν, εἴτε ἄροτρον; ὁ δὲ ἄφρων οὐκ οἶδεν ὡς ρ̅ ξύλων ἔσται συναγωγὸν εἰς τὴν ταύτης κατασκευήν· ρ' δὲ, ἀντὶ τοῦ πολλῶν. PROCLUS.

Ibid. [g]) ΦΡΕΝΑΣ ΑΦΝΕΙΟΣ. Εἰρωνικῶς, πλούσιον κατὰ τὰς φρένας τὸν ἄφρονα λέγει, ὅστις λογίζεται ἐφεστηκότων ἤδη τῶν τῆς γεωργίας καιρῶν, τεκταίνεσθαι ἅμαξαν καὶ γεωργικὰ ἐργαλεῖα, καὶ οὐκ ἔθετο πρώην [h]) σκοπὴν φροντίσαι αὐτῶν. TZETZES.

454. ΝΗΠΙΟΣ. Ἀπέθετο τὸ τῆς εἰρωνείας πρόσωπον, καὶ φανερῶς ἄφρονα λέγει τοῦτον, ὡς οὐκ εἰδότα ὅτι πολλὰ τὰ τῆς ἁμάξης εἰσὶ ξύλα, καὶ οὐ ῥᾳδίως τεκταίνονται, καὶ

praesertim cum haec scholia tot locis mutila deprehensa sint. Poterit suppleri hac ratione: αἰτῶ ἐπὶ τοῦ ἅπαξ τὶ λαβεῖν, καὶ μὴ ἀποδοῦναι, τὸ δὲ αἰτοῦμαι ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. Videat lector. HEINSIUS.

e) Ὁ μὲν φρένας ἀφνειὸς A. Trinc. Ὁ μὲν om. Heins.

ἐν

f) ἐπινοεῖν A. Mox ἄλλως ad πολλῶν om. A.

g) Deest hoc Scholion Trinc.

h) σκοπὸν προφροντίσαι H. σκοπὸν G. αὐτῆς E.

ἀκαριαίᾳ ῥοπῇ, ἀλλὰ δεῖται προμελετήσεως καὶ φροντίδος. Tzetzes.

Ibid. *'ΕΚΑΤΟΝ. Πολλά· οὐ γὰρ ἑκατὸν εἰσὶ ταῦτα.* 239 [i]) *Τὸ ΠΡΟΣΘΕΝ, καὶ τὸ ΕΧΕΜΕΝ, κοιναὶ συλλαβαί.* Tzetzes.

456. *ΕΥΤ' ΑΝ ΔΗ ΠΡΩΤΙΣΤΑ. Οὐ λέγει τὴν μέσην καὶ ξηράν πως καὶ ὑγρὰν ἀροῦν γῆν χρῆναι, ἀλλ' εἴτε αὔην εἴτε νοτερὰν, τῆς ὥρας ἀπαιτούσης, δεῖν ἀροτριᾷν, καὶ μὴ προφασίζεσθαι τὴν ποιότητα τῆς γῆς, ὡς ξηρᾶς ἢ ὑγρᾶς ἤδη οὔσης. ΑΛΛΩΣ. Πρὸς τοὺς ἀναβαλλομένους τὸ ἐργάζεσθαι λέγει· εἰσὶ γάρ τινες λέγοντες, ὅτι πολύ ἐστι ξηρὰ ἡ γῆ, ἀναμείνωμεν ἵνα ὑγρανθῇ· ἄλλοτε πάλιν ὑγρά ἐστι πολὺ, ἀναμείνωμεν ἵνα ξηρανθῇ. Φησὶν οὖν Ἡσίοδος κἄν τε ξηρὰ ᾖ κἄν τε ὑγρὰ, ἐργάζου τὴν γῆν τῷ καιρῷ προλαβὼν, καὶ μὴ ἀναβαλλόμενος, ὡς μετεχούσης αὐτῆς τοῦ ὑγροῦ ἢ τοῦ ξηροῦ, ἀλλὰ χωρὶς προφάσεως ἐργάζου.* Proclus.

Ibid. *ΘΝΗΤΟΙΣΙ ΦΑΝΕΙΗ. Μαρτίου, καὶ Ἀπριλλίου, καὶ Μαΐου μηνός. Εἰ δὲ τὸν σπόρον θελήσεις εἰπεῖν, τὸν Ὀκτώβριον φήσεις, καὶ* [k]) *Νοέμβριον.* Proclus.

Ibid. [l]) *ΕΥΤ' ΑΝ ΔΕ ΠΡΩΤΙΣΤ' ΑΡΟΤΟΣ. Προευτρέπιζέ σου, φησὶ, τὰ γεωργικὰ ἐργαλεῖα. Ἡνίκα δὲ πρῶτον ὁ ἀροτὸς, καὶ ὁ καιρὸς τοῦ ἀροτριασμοῦ φανῇ, ἢ ὁ ἄροτος καὶ ἀροτριασμὸς, δὴ τότ' ἐφορμηθῆναι, καὶ ἐφορμήθητι Ἀττικῶς, οἵ δμῶές τε καὶ σὺ, ἀρόων καὶ ἀροτριῶν καθ' ὥρην ἀρότρου καὶ τοῦ ἀροτριασμοῦ, καὶ αὔην καὶ* [m]) *ξηρὰν οὖσαν τὴν γῆν, καὶ διερὴν καὶ δίυγρον, καὶ μὴ εἰς προφάσεις καὶ ὑπερθέσεις χωρήσας, ὡςτυχὸν πάνυ ὑγρὰ ἐστὶν, ἢ πάνυ ξηρά.* Tzetzes.

457. *ΔΜΩΕΣ ΤΕ ΚΑΙ ΑΥΤΟΣ. Ὅμοιον τὸ,*

> *δαίμονι δ' οἷος ἔησθα· τὸ ἐργάζεσθαι ἄμεινον.*

Proclus.

458. *ΑΥΗΝ ΚΑΙ ΔΙΕΡΗΝ. Τὴν ξηρὰν καὶ τὴν ὑγράν·*

i) *τῶν πρόσθεν. ὧν τινων ξύλων τῆς ἁμάξης ἔχε φροντίδα, πρὸ τοῦ ἐπιστῆναι τὸν τοῦ ἀρότρου καιρὸν, ὥστε ποιῆσαι ἁρμοδιώτατα ταῦτα·* E. G. et F. ubi *τῆς ἁμάξης* om. *ἔσχε. ποιεῖσθαι—ἁρμοδιαίτατα.*

k) *Νοέβριον* Trinc. *θνητοῖσι* ad *Νοέμβριον* om. A.

l) Deest hoc Schol. Trinc. et ad v. 459.

m) Sic E. *ξηραίνουσαν* Bas. Heins.

καὶ αὔην δὲ τὴν χερσεύουσαν, ὑγρὰν τὴν εἰργασμένην, τὴν μήτε ξηρὰν οὖσαν, μήτε ὑγράν. PROCLUS.

459. ΠΡΩΙ. Πρωϊμώτερον. Οὐ γὰρ κατὰ τὴν αὐγὴν λέγει ἀροῦν. TZETZES.

Ibid. ἽΝΑ ΤΟΙ ΠΛΗΘΩΣΙΝ ΑΡΟΥΡΑΙ. Ὅπως πρωϊμώτερόν σου ἀροτριάσαντος τὴν ἄρουραν καὶ σιτοφόρον γῆν, συμβαίνῃ γέμειν σταχύων. TZETZES.

460. ΕΙΑΡΙ ΠΟΛΕΙΝ. Τὸ μὲν ἔαρος ὄντος τὴν γῆν πολεῖν τὴν σπείρεσθαι μέλλουσαν, δηλοῖ τὸ σχίζειν αὐτὴν, τὴν γὰρ δὶς ἠροσμένην δίπολον, καὶ τὴν τρὶς τρίπολον καλοῦσι. Τὸ οὖν στρέφειν ΠΟΛΕΙΝ ἔλεγον, καὶ τὸ ἀναστρέφειν, ἀναπολεῖν· ὥσπερ καὶ τὸν οὐρανὸν εἰώθαμεν διὰ τὴν στροφὴν τὴν περὶ τοὺς πόλους λέγειν περιπολεῖν. Τὸ δὲ θέ-
240 ρους νεωμένην, μὴ ἀπατᾷν, ἀλλ' εἶναι πρὸς τὸν σπόρον ἐπιτηδείαν καὶ τὴν τῶν καρπῶν γένεσιν, ἐκεῖνο σημαίνει τὸ δεῖν [159]) [n]) ἀπαλύνειν αὐτὴν καὶ θρύπτειν τὴν συνεστῶσαν καὶ ὁμαλύνειν, ἀνακαινιζόντων αὖθις αὐτὴν καὶ νέαν ποιούντων. Διὸ καὶ ἐπάγει·

νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν.

[o]) ἡ γὰρ ἄγαν ὑπὸ τῶν ὄμβρων πιληθεῖσα συμπίπτει, ἡ δὲ ἀραιὰ καὶ κούφη τῷ ἀρότρῳ εἴκουσα ῥᾳδίως διὰ χαυνότητα δέχεται τὸν σπόρον. Εἰ μὲν οὖν ἀρκέσει τὸ ἐν τῷ ἔαρι πολεῖν, οὐ δέονται τοῦ νεάσαι ἐν τῷ θέρει. Ἔνιοι δὲ ἄμφω ποιοῦσι προευτρεπίζοντες τὸν σπόρον, διὰ τοῦ νεάσαι καὶ τοῦ σχίσαι τὸ ἔπαρμα καὶ τὸ ὕψος μηχανώμενοι τὸ ἐν τῷ σπείρειν χρήσιμον. Τούτοις οὖν [p]) ἐπιφωνεῖ εἰκότως, ΝΕΙΟΣ ΑΛΕΞΙΑΡΗ, διότι τοῖς παισὶν ὕπνον προξενεῖ καὶ ἡσυχίαν εὐθηνουμένοις. Τὰ γὰρ λιμώττοντα, καὶ ἡ πεῖνα χαλεπῶς διατίθεται, καὶ θηριώδη ὄντα πρὸς τὴν ἠρεμίαν ἀπαγορεύει. PROCLUS.

Ibid. [q]) ΕΙΑΡΙ ΠΟΛΕΙΝ. Ἔτι διδάσκει, πῶς ἂν κρείττονα τὰ τῆς γεωργίας γένηται, καί φησιν· ἐν τῷ ἔαρι [r]) τὰς

159) ἀπαλύνειν.] Ita scripsi, cum male legeretur: ἐκεῖνο σημαίνει τὸ δεῖν ἐπελαύνειν. HEINSIUS.

n) ἐπελαύνειν B. Trinc. Mox τὴν συνεστῶσαν inserui ex A.

o) εἰ γὰρ Trinc.

p) ἐπεφώνει B. Trinc. Mox leviter correxi εὐθηνουμένοις. Erat εὐθυνουμένοις.

q) Deest hoc Schol. Trinc.

r) τοὺς βώλους Bas. E. Μαρτίου μηνὸς ἢ ἀπριλίου E. Μάρτιον μῆνα

βώλους τῆς γῆς ἀνάστρεφε τῇ δικέλλῃ, Μαρτίῳ μηνὶ, ἢ καὶ Ἀπριλλίῳ· τῆς ἀργῆς δὲ γῆς καὶ μὴ ἐσπαρμένης φησί· τὸ γὰρ πολεῖν τοῦτο δηλοῖ. Τὸ πόλει καὶ ἀνάστρεφε, καὶ μικρὸν γραφόμενον, ὑπὸ τοῦ λ ἐκτείνεται, καὶ γίνεται κοινὴ συλλαβὴ, Ἀττικῶς δὲ μέγα γράφεται. Tzetzes.

Ibid. *ΘΕΡΕΟΣ ΔΕ. Συνίζησις· μετὰ δὲ τὸν καιρὸν τοῦ θέρους νεαθεῖσα, καὶ εἰς νείατα καὶ μικρὰ συντριβεῖσα τῷ ἀρότρῳ οὐ* s) *ψεύσει σε, ἀλλὰ σταχύων ἐμπλήσει· τὸ μὲν θε ἐκτείνεται ὑπὸ τοῦ , καὶ ρ γίνεται κοινὴ συλλαβή. Τὸ* t) *ρε γινώσκοις ὅτι ἐστὶ φύσει βραχὺ, τὸ δὲ, ΟΣ ΔΕ, ἡ μακρὰ καὶ ἡ βραχεῖα συλλαβὴ, ἀντὶ μιᾶς βραχείας. Καὶ ἔστι τὸ ὅλον ΘΕΡΕΟΣ ΔΕ, ἀντὶ δακτύλου. Καὶ τὸ ΝΕΩΜΕΝΗ, συνίζησίς ἐστιν, εἰς τάξιν ἀμφιμάκρου· καὶ τὸ μὲν ΝΕΩ, ἡ βραχεῖα καὶ ἡ μακρὰ, ὡς μία μακρά. Τὰ δὲ ἄλλα μένουσιν ἐν τῇ οἰκείᾳ τάξει, καὶ ποιοῦσι τὸν ἀμφίμακρον· ἢ οὕτως ΕΙΑΡΙ ΠΩ, τὰ δὲ λοιπὰ, οὐκ ἔχουσιν ἀμφιβολίαν.* Tzetzes.

Ibid. *ΕΙΑΡΙ ΠΟΛΕΙΝ. Κατὰ τὸ ἔαρ σχίζε τὴν γῆν τὴν μέλλουσαν σπείρεσθαι· ἐπὶ τοῦ θέρους δὲ ἡ σχισθεῖσα τῷ ἔαρι νεωμένη, ἤγουν ὁμαλυνομένη καὶ νέα αὖθις γινομένη, οὐ ψεύσεταί σε κατὰ τὸν σπόρον καὶ τὴν τῶν καρπῶν γένεσιν,* 241 *ἀλλ' ἐπιτηδεία σοι πρὸς ταῦτα ἔσται. Τὴν νεαθεῖσαν δὲ ἄρουραν σπεῖρε ἔτι κούφην οὖσαν καὶ μὴ πιληθεῖσαν ὑπὸ τῶν ὄμβρων. Ἡ νειὸς ἀλεξιάρη ἐστὶν, ἤγουν ἀποσοβοῦσα τὰς ἀρὰς, τουτέστι τὰς βλάβας. Παίδων εὐκηλήτειρα, ἤγουν κατευνάστρια, ἡσυχίας καὶ ἀναπαύσεως αὐτοῖς πρόξενος.* Moschop.

461. *ΝΕΙΟΝ ΔΕ ΣΠΕΙΡΕΙΝ. Σπεῖρε δὲ τὴν νεαθεῖσαν γῆν, καὶ ἔτι κούφην οὖσαν, καὶ μὴ συμπιληθεῖσαν, καὶ στερεωθεῖσαν, ἀλλὰ σπογγώδη. Εἶτα τρέπεται πρὸς ἔπαινον τῆς νεαθείσης γῆς· καί φησιν, ὅτι ἡ νεαθεῖσα γῆ εἰ σπαρείη, ἀπελαύνει τὰς ἀρὰς καὶ βλάβας· πληροῖ γὰρ σίτου τοὺς γεωργούς.* Tzetzes.

ἢ καὶ Ἀρίλλιον G. *τῆς ἀργῆς δὲ γῆς κ. μ. ἐ. φ.* E. F. H. G. *τῆς γὰρ γῆς δ. κ. μ. ἐ. γῆς φ.* Bas. Heins.

s) *ψεύσει σε* E. *ψίγει* F. *ψεύσειεν* Bas. Heins.

t) *ρε* ad *βραχύ* om. E. Sunt haec omnia ineptiis plena, vix digna quidem quae refutentur.

462. *ΠΑΙΔΩΝ ΕΥΚΗΛΗΤΕΙΡΑ.* Ἡ καλῶς θέλγουσα τοὺς παῖδας· οὐχ ὅτι δὲ ἄνδρας καὶ γέροντας οὐ θέλγει, οὕτως εἰρήκει· θέλγει γὰρ πάντας· ἀλλὰ τὴν ἔξωρον ἥβην ἐᾷ, τὴν δὲ αὔξουσαν καὶ προσδόκιμον χρησιμεύειν παρέλαβεν· ἢ ὅτι τῶν ἄλλων πασῶν ἡλικιῶν λιχνοτέρα ἡ παιδικὴ, καὶ θέλγεται μᾶλλον ἀνδρῶν καὶ γερόντων ταῖς τροφαῖς· εἰ δὲ μὴ, κλαυθμυρίζεται. Τζετζης.

463. *ΕΥΧΕΣΘΑΙ ΔΕ ΔΙΙ ΧΘΟΝΙΩι.* Ταῦτα καὶ v) θεοσεβείας ἐστὶ δόγματα, τρέποντα τοὺς ἔργων ἁπτομένους ἐπὶ τὰς παρακλήσεις τῶν τὰ ἔργα ταῦτα ἐφορώντων καὶ τελειοῦν δυναμένων θεῶν· καὶ οὐδὲν ἀπολείπει πρὸς τέρψιν εἰ ἐννοήσομεν τὸν ἀροῦν μέλλοντα, w) λαμβανόμενον τῆς ἐχέτλης, ἣν προείπαμεν ὅ τι ποτὲ δηλοῖ τοῦ ἀρότρου μέρος, πρὶν ἐλάσῃ τοὺς βόας, μάρτυρα καλοῦντα τοῦ ἔργου τὸν Δία καὶ τὴν Δήμητραν· τὸν μὲν, ὡς τελεσιουργὸν διὰ τῶν ὄμβρων τῆς σπορᾶς, τὴν δὲ, ὡς προστάτιν τῶν γονίμων δυνάμεων τῆς γῆς. Ὁ γοῦν πάντα τὰ παρ' ἑαυτοῦ ποιήσας οὐχ ἁπλῶς αἰτεῖ τοὺς θεοὺς, ἀλλ' ὥσπερ ἀπαιτεῖ τὸ τέλος. Ὡς οὖν ἔλεγε Σωκράτης εὔχεσθαι δεῖν μουσικὴν τὸν μανθάνοντα, καὶ γονὴν παίδων τὸν γαμοῦντα, οὕτω καὶ Ἡσίοδος καρπῶν γονὴν τὸν τῆς ἐχέτλης ἤδη λαμβανόμενον, καὶ ὅρπηκα φέροντα, καὶ ἐπάγοντα τοῖς νώτοις τῶν βοῶν, ὥστε κινηθῆναι καὶ ἑλκύσαι τὸ ἄροτρον. Τοῦτο μὲν οὖν δῆλον. Τὸν δὲ ἱμάντα τῷ ζυγῷ περιβαλλόμενον μεσάβουν ὀνομαζόντων, ὃν περιάπτουσι κερκίδι εἰς τὸ μέσον ἐνθέντες τοῦ ζυγοῦ, ἣν ἔνδρυον καλοῦσιν, εἰκότως εἶπεν, ὅτι διὰ τοῦ ὅρπηκος, ὃν ἐπὶ τὰ νῶτα φέρει τῶν βοῶν, κινεῖ αὐτοὺς τὸ ἔνδρυον ἕλκοντας τῷ μεσάβῳ. Συντεινόμενος γὰρ οὗτος ὁ ἱμᾶς περὶ τὸ ἔνδρυον ἐφέλκεται τὸ ἄροτρον. Εἰ δὲ γράφοιτο μετὰ τοῦ ν' μεσάβων, λέγοι ἂν αὐτὸ τὸ ἔνδρυον μεσάβων· διότι μέσον ἐστὶ τῶν βοῶν τῷ ζυγῷ ἐμπεπηγός. Εὔχου ἐπιλαμβανόμενος εὐθέως τὸν ὅρπηκα τῇ χειρὶ, καὶ ἐπὶ τὸν ὦμον ἐκτείνων τῶν βοῶν, ὡς ἂν πρό-
242 θυμος γένηται τῶν βοῶν ἡ ὁρμὴ ἑλκόντων τὸ ἔνδρυον, ἀπὸ μέρους τὸ ὅλον ἄροτρον. Τὸ γὰρ ἔλυμα x) ἔνδρυον εἶπεν, ὀρ-

v) θεωσεβείας et mox πρέποντα Trinc.

w) Sic B. λαβόμενος A. λαμβανόμενος edd. Mox προστάτην Trinc.

x) ἐκδρυὸς Trinc. A.

πηκα δὲ λέγει τὸ βούκεντρον· [y]) τὸν δρύϊνόν φησι πασσαλίσκον ἑλκέτω ὁ μέσος τῶν βοῶν λῶρος. PROCLUS.

Ibid. *ΕΥΧΕΣΘΑΙ ΔΕ ΔΙΙ ΧΘΟΝΙΩι.* [z])Ἀρχόμενος δὲ τὰ πρῶτα τοῦ ἀρότου καὶ τοῦ ἀροτριασμοῦ, ὅταν λαβὼν τὸ ἄκρον τῆς ἐχέτλης καὶ τοῦ κρατήματος τοῦ ἀρότρου, ἵκηαι καὶ πέμψῃς τὸν ὅρπηκα καὶ τὸ βούκεντρον ἐπὶ τὸ νῶτον τῶν βοῶν, ἤγουν ὅταν ἀρχόμενος ἀροτριᾷν, κεντήσῃς τοὺς βόας, εὔχου τῇ χθονίῳ καὶ γηΐνῃ εἱμαρμένῃ, καὶ τῇ Δημήτερι τῇ ἁγνῇ καὶ καθαρᾷ, ἐκπληρέστατον βρίθειν καὶ βαρύνεσθαι τὸν ἀκτὴν καὶ τὸ δώρημα τῆς Δήμητρος, ἤγουν τὸν στάχυν. Ἡ Δημήτηρ γὰρ καὶ ὁ Διόνυσος Αἰγύπτου βασιλεῖς ὄντες γεωργίαν καὶ φυτουργίαν ἐδίδαξαν. Ζεὺς δὲ χθόνιος ἐνταῦθα ἡ εἱμαρμένη, ἤτοι ἡ τὰ περὶ τὴν γῆν ἐποπτεύουσα δύναμις. TZETZES.

Ibid. *ΕΥΧΕΣΘΑΙ.* Ἤγουν εὔχου εὐτυχίαν γενέσθαι τῆς γῆς, καὶ ἁδροτάτους τοὺς στάχυας. TZETZES.

Ibid. *ΕΥΧΕΣΘΑΙ ΔΕ ΔΙΙ ΧΘΟΝΙΩι.* Εὔχου δὲ τῷ Διῒ τῷ χθονίῳ, [161]) (ζήτει τὴν αἰτίαν ἐν τῷ Πρόκλῳ, δι' ἣν Χθόνιον αὐτὸν λέγει) καὶ τῇ Δήμητρι τῇ ἁγνῇ, τελεσφορηθεῖσαν βαρεῖσθαι τῇ μεστότητι τὴν ἱερὰν ἀκτὴν τῆς Δήμητρος, ἤγουν τὸ ἐξαίρετον δώρημα, ἀρχόμενος πρῶτον τοῦ ἀροτριᾷν, λέγω ὅταν λαβὼν τῇ χειρὶ τὸ ἄκρον τῆς ἐχέτλης τὸ βούκεντρον ἐκτείνῃς ἐπὶ τὸ νῶτον τῶν βοῶν, διὰ τοῦ μεσάβου, ἤγουν τοῦ λώρου τοῦ παρὰ τῷ ζυγῷ ᾧ προσδέδεται ὁ ἱστοβοεὺς, ἑλκόντων τὸ ἔνδρυον, ἤγουν αὐτὸν τὸν ἱστοβοέα· ἀπὸ μέρους δὲ ὅλον λέγει τὸ ἄροτρον· ὁ δὲ μικρὸς δοῦλος ὄπισθεν ἐρχόμενος ἀροῦντός σου, κρατῶν μακέλην, τὸ παρὰ τοῖς κοινοῖς [162]) τζαπίον, ὀδύνην τοῖς ὄρνισι ποιείτω κατακρύπτων τὸ σπέρμα, ἵνα μὴ εὐπετῶς αὐτὸ οἱ ὄρνιθες ἀναλέγωσιν ἐπὶ γῆς ἐῤῥιμμένον. Τὸ καλῶς γὰρ διατιθέναι τὰ ἔργα καὶ ἁρμοδίως, ἄριστον τοῖς θνητοῖς ἀνθρώποις· τὸ κακῶς δὲ διατιθέναι,

y) Deest articulus Heins. Hinc ad finem Scholii om. A.

z) Hinc ad τοὺς βόας om. Trinc. et a καὶ τῇ Δ. ad ἐδίδαξαν. Ζεὺς— δύναμις om. Bas.

161) Nota scholastici qui e Proclo petendum notarat quod a Moschopulo praetermittitur, cur nimirum Ζεὺς χθόνιος dicatur: quamvis et aliquoties Procli Moschopulus meminerit: itaque qui volet continuate haec legat cum reliquis. HEINSIUS.

162) Interpres Theocriti: σκαπάνη ἐστὶ δίκελλα. Σκαφίον, τὸ κοινῶς λεγόμενον τζαπίον. HEINSIUS.

κάκιστον. Οὕτως ποιοῦντός σου, οἱ στάχυες ἂν νεύοιεν εἰς τὴν γῆν τῇ μεστότητι βαρούμενοι, εἰ τέλος ἀγαθὸν αὐτὸς ὁ Ὀλύμπιος ὕστερον παρέχοι. Ἐκ τῶν ἀγγείων δὲ ἐλάσειας τὰ ἀράχνια, ἤγουν τὰ ὑφάσματα τῶν ἀραχνῶν, ἐπὶ τῷ ἐπιθησαυρίσαι τοὺς καρπούς. Καί σε ἐλπίζω τερφθήσεσθαι τῶν πρὸς ζωὴν ἐπιτηδείων [163]) ἐρευγόμενον ἔνδον ὄντων· Ἀτ-
243 τικῶς, ὡς τὸ ἔφαγε τοῦ ἄρτου· ἀπὸ δὲ τῆς ἐρυγῆς, τὴν ἀφθονίαν τοῦ πλούτου ἐδήλωσε, κατὰ μεταφορὰν ἀπὸ τοῦ στομάχου, ὃς ὅταν πολλῶν βρωμάτων πλησθῇ, τὰς ἐρυγὰς ἐρυγάζεται. Moschop.

467. ἙΛΚΟΝΤΩΝ ΜΕΣΑΒΩΝ. Τὰ μέσσαβα τῶν μεσσάβων· λέγονται δὲ αἱ τοῦ ζυγοῦ γλυφαί· καὶ ὁ Καλλίμαχος,

a) Μέσσαβα βοῦς ὑποδύς.

Ἑλκόντων τῶν βοῶν τὸ ἔνδρυον τῶν μεσσάβων, τὸν ζυγὸν ἐν ᾧ αἱ γλυφαί, ἔνθα οἱ αὐχένες τῶν βοῶν δέδενται. Μεσάβων· ὁ πρὸς τὸν ζυγὸν πλατὺς ἱμᾶς, ὃς εἰς τὴν ξυλίνην κέρκην ἐντίθεται, ἥτις ἔνδρυον καλεῖται, παρ' ὅσον ξύλινον ἢ χλωρὸν, ἢ ὅτι πᾶν ξύλον δρῦς, καὶ μέσα τοίνυν τὰ ὑνία, τὰ μεταξὺ τῶν βοῶν προσδεδεμένα τῷ ἀρότρῳ, ἢ τὸν ζυγὸν, ἢ τὸν ἱστοβοέα. Proclus.

Ibid. Ὁ ΔΕ ΤΥΤΘΟΣ ΟΠΙΣΘΕΝ. Τῷ μὲν δεσπότῃ τὸ ἀροῦν καὶ τὸ βοωτεῖν ἀποδέδωκε, τῷ δὲ οἰκέτῃ τὸ ἐπισκάλλειν καὶ κατακρύπτειν τὸν σπειρόμενον καρπὸν, ἵνα μὴ εὐπετῶς αὐτὸν αἱ ὄρνιθες ἀναλέγωσιν ἐπὶ τῆς γῆς ἐῤῥιμμένον, ἀλλ' b) ὑπὸ τῆς ἐπιφερομένης γῆς ὑπὸ τοῦ δμωὸς ἀποκρύπτηται περιστρεφόμενος· οἷς εἰκότως ἐπήγαγε, καθόλου γὰρ παντὸς ἔργου τὴν μὲν εὐθημοσύνην ἀρίστην εἶναι, τὴν δὲ κακοθημοσύνην κακίστην· δεῖ γὰρ ἕκαστον εὖ διατιθέναι, καὶ μὴ κακῶς ἀλλὰ καλῶς· ἐν παντὶ γὰρ ἔργῳ τὸ εὖ ἔστι καὶ τὸ κακῶς. Διὸ καὶ ἐν τῷ σπείρειν δεῖ τὸ εὖ ἐπιζητεῖν, τοῦτο δὲ, ἐν τῷ σπείροντα φροντίζειν, καὶ μὴ τὰ σπέρματα ταῖς ὄρνισιν

163) Aliud agit cum vocem, ἐρευγόμενον, ἐτυμολογεῖ καὶ ἑρμηνεύει, cum legatur, ἐρευόμενον. Heinsius.

a) Fragm. 479. Conf. Tzetzem ad Lycophr. 817. Mox pro μέσα τοίνυν τὰ ὑνία forte leg. μέσαβα τοίνυν τὰ ἡνία. Sed ne sic quidem omnia persanata sunt.

b) ὑπὸ τῆς ἐπιφερομένης γῆς om. A. spatio vacuo relicto.

ἐκκείμενα ποιήσωμεν. Εὐθημοσύνη, ἐπιμέλεια καὶ ἐργασία. Proclus.

Ibid. [c]) *ΕΝΔΡΥΟΝ ἙΛΚΟΝΤΩΝ.* Ἔνδρυόν ἐστιν, ὃ καὶ ἱστοβοεὺς καὶ ῥυμὸς καλεῖται. Μέσαβοι δὲ οἱ λῶροι, οἱ μέσοι ὄντες τοῦ ζυγοῦ, καὶ συνδέοντες τὸν ῥυμὸν τῷ ζυγῷ. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εὔχου τῇ χθονίῳ εἱμαρμένῃ, ὅταν ἄρξῃ ἀροτριᾷν, καὶ οἱ λῶροι τοῦ ζυγοῦ ἕλκωσι τὸν ῥυμὸν, δηλονότι τῶν βοῶν κινουμένων· ὁ δὲ τυτθὸς δοῦλος, ὁ μικρὸς δοῦλος, σου ἀροτριῶντος ὄπισθεν ἐπιπορευόμενος, καὶ μάκελλαν ἔχων, λυπείτω τοὺς περὶ τὴν σὴν ἄρουραν περιπετασθησομένους ὄρνις, συγχωννύων καὶ συγκρύπτων τὸ τοῦ σπόρου φαινόμενον. Τυτθὸς, ὁ μικρός· ἀπὸ τοῦ τιτθὸς, ὁ μαστὸς καὶ τροπῇ τοῦ διχρόνου εἰς δίχρονον, τυτθὸς ὁ μικρός. Tzetzes.

469. *ΕΥΘΗΜΟΣΥΝΗ ΓΑΡ ΑΡΙΣΤΗ.* Τὸ καλῶς διατίθεσθαι καὶ οἰκονομεῖν τινὰ τὰ ἑαυτοῦ, καλὸν, τοὐναντίον δὲ φαῦλον. Tzetzes.

471. *ὩΔΕ ΚΕΝ ἉΔΡΟΣΥΝΗι.* Εἰ καὶ τὰ παρ' ἡμῖν γίγνοιντο πάντα καὶ εὐξαμένοις ἐπακολουθήσει καὶ τὰ παρὰ τοῦ Διὸς, οἱ στάχυες ἁδροὶ γεννήσονται· τοιοῦτοι δὲ γενόμενοι νεύσουσιν ἔραζε, ὡς εἰώθασιν πλήρεις ὄντες καὶ ἐμβριθεῖς. Τὸ γὰρ πλῆρες βαρύνον τὸν στάχυν νεύειν ποιεῖ, 244 [d]) ὁ δὲ ἀσθενὴς ὀρθὸς μένει διὰ κουφότητα. Δεῖ δὲ ἐφιστάνειν ὃν ἐκάλεσεν Δία Χθόνιον, Ὀλύμπιον πάλιν εἶπεν, ἐνδεικνύμενος ὅτι πανταχοῦ ὁ Ζεὺς, ἀλλ' ἄνω μὲν Ὀλύμπιος, κάτω δὲ Χθόνιος· καὶ ἐπειδὴ τελειοῖ τοὺς ἐν τῇ γῇ καρποὺς καὶ τὰς τοῦ οὐρανοῦ κινήσεις ὄμβρους πέμπων, ἅμα καὶ Ὀλύμπιον αὐτὸν ὑμνητέον καὶ Χθόνιον, διὰ μὲν τὸ ἀφ' οὗ ἡ τελείωσις, Ὀλύμπιον, διὰ δὲ τὸ ἐν ᾧ, Χθόνιον. *ΑΛΛΩΣ.* Οὕτως, φησὶ, ποιοῦντός σου, τῇ ἁδροσύνῃ τῶν γεννημάτων ἐπὶ τὴν γῆν οἱ στάχυες νεύσουσιν, [e]) εἰ συνευδοκήσει τῇ σπουδῇ σου καὶ ὁ λεχθεὶς χθόνιος Ζεὺς, ἤτοι ὁ Πλούτων. Proclus.

Ibid. *ἉΔΡΟΣΥΝΗι.* Τουτέστι τῷ βάρει καὶ τῇ πυκνότητι, ἁδρὸς γὰρ ὁ πολύς. Proclus.

Ibid. [f]) *ὩΔΕ ΚΕΝ ἉΔΡΟΣΥΝΗι.* Οὕτως καλλίστως

c) Hinc ad finem Scholii om. Trinc.

d) Sic A. τὸ δὲ ἀσθενὲς ὀρθὸν διὰ κουφότητα Heins. ὁ δὲ ἀσθενὴς, ὀρθὸς δ. κ. Trinc. βαρύνει τὸν στάχυν [καὶ ν. π. ὁ δὲ ἀσθενὴς, ὀρθὸς διὰ B.

e) Ita A. ubi etiam νεύουσιν. In Trinc. οἱ δὲ συνευδ. Heinsius ὁ δὲ.

f) Deest hoc et seq. Schol. Trinc.

τὰ περὶ τὸ ἄροτρον καὶ τὸν σπόρον σοῦ διατιθεμένου, ἐν τῇ ἀδρότητι καὶ τῷ βάρει οἱ στάχυες πρὸς τὴν ἔραν ἤγουν τὴν γῆν, ἐπικλίνοιντο, τουτέστι πλήρεις καὶ εὐθαλεῖς ἔσοιντο. Tzetzes.

472. *ΕΙ ΤΕΛΟΣ.* Ἐὰν ὁ Ζεὺς, ἤτοι ἡ Εἱμαρμένη, ὕστερον τέλος ἀγαθὸν δοίη. Πολλοὶ μὲν γὰρ δεόντως ἀροτριῶσι, καὶ σπείρουσιν, ἐναντίας δὲ τῆς Εἱμαρμένης φανείσης ἀτελεσφόρητα καρπούμενοι φαίνονται. Tzetzes.

Ibid. *ΕΙ ΤΕΛΟΣ ΑΥΤΟΣ ΟΠΙΣΘΕΝ.* Κατὰ μὲν τὴν κίνησιν ἡμῶν, τὸ μὲν παρεληλυθὸς καὶ ἔστι καὶ λέγεται ὄπισθεν, τὸ δὲ μέλλον ἔμπροσθεν. Κατὰ δὲ τὴν τοῦ χρόνου κίνησιν τὸ ἀνάπαλιν, τὸ μὲν παρεληλυθὸς καὶ ἔστι καὶ λέγεται ἔμπροσθεν, τὸ δὲ μέλλον ὄπισθεν, καθ' ὃ σημαινόμενον ἐνταῦθα τὸ ὄπισθεν λέγεται. Moschop.

473. *ΚΑΙ ΣΕ ΕΟΛΠΑ.* Ἐκ πόνων, φησὶν, ἕξεις καρποὺς, [g]) καὶ ἐκ τῶν ἀγγείων, ἐν οἷς δεῖ τούτους ἀποθησαυρίζειν, ἐλάσεις τὰ ἀράχνια· ἐν τοῖς γὰρ κενοῖς ὑφαίνουσιν αἱ ἀράχναι. Διάξεις οὖν λιπαρῶς, καὶ τὸ ἔαρ ὄψει ἱλαρὸν, οὐδὲ πρὸς ἄλλον ἀποβλέψεις· τὸ γὰρ ΑΥΓΑΣΕΑΙ τοῦτο σημαίνει. Τοὐναντίον δὲ, εἰς σὲ βλέψει τις, ὡς ἐπικουρίας δεόμενος. Εὖ δὲ καὶ τὸ μέχρι τοῦ ἔαρος εὔθυμον διάγειν τὸν ἐπιμελούμενον τῆς γῆς, ὅτε τοὺς πολλοὺς εἰώθασιν ἀπολείπειν οἱ [h]) θερισθέντες καρποί. Πολιὸν δὲ τὸ ἔαρ οὗτος εἶπεν, ὡς ἄλλοι λευκὸν, διὰ τὴν ἐπ' αὐτῷ ἡδονὴν, ὅτι μὴ στυγνὸν καὶ κατηφὲς, ἀλλ' ἱλαρὸν, διὰ τὴν μέχρις αὐτοῦ τῶν καρπῶν εὐπορίαν, ἀφθόνων ἐκ τῆς ἐπιμελείας γεγονότων. Τὸ δὲ ΕΥΟΧΘΕΩΝ σημαίνει οὐχὶ ἀχθό-
245 μενος ἀλλ' εὖ ἔχων, ἀντὶ ὀχθεῖν καὶ οἷον εὐωχούμενος, κατὰ παράθεσιν ἑνὸς γράμματος, εὐοχθέων γενόμενος. *ΑΛΛΩΣ.* Εὐεκτῶν καὶ εὐθηνούμενος, καλοὺς σωροὺς τῶν καρπῶν ἔχων· ὄχθος γάρ ἐστιν ἡ σωρεία τοῦ χώματος. Proclus.

Ibid. [i])*ΕΚ Δ' ΑΓΓΕΩΝ ΕΛΑΣΕΙΑΣ ΑΡΑΧΝΙΑ.* Ἀράχνη ἐστὶ τὸ ζωΰφιον· ἀράχνιον δὲ τὸ παρ' αὐτοῦ ὑφαινόμενον. Ὃ δέ φησι, τοιοῦτόν ἐστι· Εἰ καλῶς ἀροτριάσεις καὶ σπείρεις, ἀδροὺς ἕξεις στάχυας. Ἐκ δὲ τῶν σιτοφόρων σου κιβωτίων

g) ἐκ deest Trinc. τούτοις B. Trinc. Mox λιαρῶς B.

h) θερισθέντες inserui ex A. Mox ἐπιμελείας A. B. pro ἀμελίας. Paullo post dedi εὐθηνούμενος pro εὐθυνούμενος.

i) Deest hoc Scholion Trinc.

τῶν μέχρι τότε κενῶν ἑστηκότων καὶ διὰ τοῦτο ἀραχνιώντων ἐξελάσειας τὰ ἀράχνια, καὶ ἐμπλήσεις δηλονότι ταῦτα τοῦ σίτου· καὶ σε νομίζω χαρῆναι ἐρεύμενον καὶ μεταλαμβάνοντα τοῦ βιότοιο καὶ τῆς ζωῆς, τοῦ ἐκ τῆς ἔρας καὶ τῆς γῆς ἔνδον ἀποκειμένου. Tzetzes.

475. *ΕΥΟΧΘΕΩΝ.* [k]) *Χαίρων, πληθύων τῆς ὀχῆς· ὀχὴ δὲ, ἡ τροφή. Εἴρηται οὖν κατὰ πλεονασμὸν τοῦ θ', ἢ ἐπειδὴ ὄχθος λέγεται ὁ κόπος. Εὐοχθέων, τουτέστιν, οὐ κεκοπιακὼς, ὡς τὸ,*

κάματον εὐκάματον

παρ' Εὐριπίδῃ. Εἰς τὸ ἔαρ, φησὶν, ἥξεις, ἔχων τοὺς καρποὺς καὶ τῶν πόνων τὰς ἀμοιβάς. Proclus.

Ibid. [l]) *ΕΥΟΧΕΩΝ ΔΕ. Καὶ ἐπ' ἐλπίσι τρεφόμενος καλαῖς καὶ εὐοχούμενος παραγενήσῃ μέχρι τοῦ λαμπροῦ ἔαρος. Οὐδὲ πρὸς ἄλλους αὐγάσῃ καὶ ἀποβλέψεις, τροφῶν ἕνεκα. Μᾶλλον δὲ ἕτεροί σου δεηθήσονται.* [m]) *ΕΥΟΧΕΩΝ μὴ γράψῃς, μὴ δ' ἽΞΕΑΙ. Ἐσφαλμένον γὰρ οὕτω τὸ ἔπος εὑρίσκεται.* Tzetzes.

Ibid. *ΕΥΟΧΘΕΩΝ δὲ, ἤγουν εὖ ἔχων, ἀφίξῃ εἰς πολιὸν ἔαρ, ὃ δοκεῖ οὕτως εἰρῆσθαι,* [165]) *διὰ τὸ λευκὸν τῶν ἐν αὐτῷ ἀνθέων.* Moschop.

Ibid. *ΟΥΔΕ ΠΡΟΣ ΑΛΛΟΥΣ ΑΥΓΑΣΗι. Ἤγουν ἐπιβλέψεις ἐπικουρίας δεόμενος· σοῦ δὲ ἄλλος ἀνὴρ ἔσται δεόμενος.* [164]) *ἹΕΡΟΝ ΑΚΤΗΝ ἀντὶ τοῦ ἱερὰν, ὡς χάλκεον ὄπα ἀντὶ τοῦ χαλκῆν.* Moschop.

477. *ΕΙ ΔΕ ΚΕΝ ΗΕΛΙΟΙΟ ΤΡΟΠΑΙΣ.* [n]) *Διὰ τού-*

---

k) Vide Etymologum M. p. 401, 14. Euripidis locus est Bacch. 66.

l) Deest hoc Scholion Trinc. *ἐπ' ἐλπίσι καλαῖς ὀχούμενος* E. *ὀχούμενος* pro *εὐοχούμενος* Bas.

m) *εὐοχθέων* et mox *ἴξηαι* E.

165) Fugit eos ratio, quia non observant in ejusmodi *τὸ ἀνάλογον* translationum. *Πολιὸν* poetae est *τὸ μέχρι τέλους ἐπελθὸν, τὸ τελειωθέν.* Sic homines primae periodi jam maturae et pene absolutae supra *πολιοκροτάφους* vocat. *Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων, Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθουσιν.* Hoc ergo loco: *Μηδέ σε λήθοι ἔαρ γεινόμενον πολιὸν*, non est, quod hic vult, *μηδέ σε λανθανέτω γινόμενον λευκὸν*, sed, *μηδέ σε λανθανέτω πολὺ προβεβηκός.* Heinsius.

164) Falsum est. Dicitur *ὁ ἀκτὴς, ἀκτοῦ*: non tantum *ἡ ἀκτὴ, τῆς ἀκτῆς.* Heinsius.

n) Ad h. l. A. habet in margine, *Ἤτοι μετὰ τὸ φθινόπωρον Νε . . . . . ἰάννου μηνὸς, εἰσβάλλοντος τοῦ ἡλίου ἐν αἰγοκέρῳ.* Mox *τὰς χειμ. ἢ μ. τ. τ.* inserui ex A. B.

246 των διδάσκει συντόμως, ὅτι οἱ περὶ τὰς τροπὰς τὰς χειμερινὰς ἢ μετὰ τὰς τροπὰς σπείροντες ὀλίγον ἕξουσι θέρος, καὶ τὴν ὀλιγότητα ποιητικῶς ἀπὸ τῶν παρεπομένων δηλοῖ, καὶ οὐδὲν θαυμαστὸν, ὅπου καὶ ὁ χρησμὸς ἀπορίαν ἁπλῶς τῶν καρπῶν εἶπε,

Καὶ θέρος ἀδρέπανον θήσει καὶ ἄβοτρυν ὀπώρην.

Οὕτως οὖν καὶ τὰ τοῦ Ἡσιόδου πολλὴν ἔμφασιν ἔχει τῆς ἀκαρπίας. Ὁ μὲν γὰρ καθήμενος ἐν τῷ θερίζειν καὶ ὀλίγον τῇ χειρὶ πλῆθος ἀσταχύων περιλαμβάνων τὸ ἄναυξες αὐτῶν ἅμα δηλοῖ, διὸ καθήμενος θερίζει· καὶ τὸ ἀραιὸν, διὸ ὀλίγους περιλαμβάνει· ὁ δὲ ἀντία δεσμεύων τὴν κολοβότητα καὶ σμικρότητα, ἀντιβάλλοντες γὰρ αὐτοὺς καὶ ἀλλήλοις ἐναντίως τιθέντες δεσμεύουσιν. Ὁ δὲ κεκονιμένος, τὴν ψιλότητα τοῦ πεδίου, καὶ τὸ μὴ συνεσκιᾶσθαι αὐτὸ ὑπὸ τῶν ἀσταχύων. Ὁ δὲ φέρων οὐκ ἐφ' ἁμάξης αὐτοὺς ἀλλ' ἐν φορμῷ, καὶ λανθάνων τοὺς πολλοὺς ὅτι φέρει, πάλιν τὴν ὀλιγότητα, δι' ὧν πάντων δηλοῖ προσήκοντας εἶναι τῇ ἀκαιρίᾳ τῆς σπορᾶς τοὺς θερισμούς. PROCLUS.

Ibid. *ΕΙ ΔΕ ΚΕΝ ΗΕΛΙΟΙΟ ΤΡΟΠΑΙΣ.* Ὑποθέμενος διὰ τῶν προτέρων [o]) ἐπῶν τῷ Πέρσῃ τὸν οἰκεῖον καὶ πρέποντα τοῦ σπόρου καιρὸν, νῦν διδάσκει καὶ τὸν ἀπᾴδοντα, ὅπως τοῦτον ἐκφεύγῃ. Ἔστι δὲ οὗτος ὁ περὶ [p]) χειμερινὴν τροπήν. Λεκτέον δὲ καὶ περὶ τῶν τοῦ ἡλίου τούτων τροπῶν. Τέσσαρας τροπὰς ἑκάστῳ ἐνιαυτῷ ποιεῖται ὁ ἥλιος· ἐαρινὴν, θερινὴν, φθινοπωρινὴν, καὶ χειμερινήν. Τινὲς δὲ τὴν μὲν ἐαρινὴν καὶ φθινοπωρινὴν, ἰσημερίας [q]) καλοῦσιν, οὐ τροπὰς, τὴν δὲ θερινὴν καὶ χειμερινὴν, μόνας τροπάς. Ἕτεροι δέ τινες, οἵ τινές εἰσιν οἱ φιλόσοφοι, θέλοντες [r]) λαβρηγορεῖν καὶ κομπάζειν κἂν τοῖς μαθήμασι οἷς οὐχ ὡμίλησαν, τὰ παρὰ τοῖς ἀστρολόγοις ταῦτα τέσσαρα τεταρτημόρια τοῦ ἐνιαυτοῦ, ἃ καὶ τετράγωνα τοῦ ζωδιακοῦ κύκλου καλοῦνται, κύκλους [s]) κατωνόμασαν τέσσαρας· ἰσημε-

o) *ἐπῶν* om. Trinc. *καὶ πρέποντα* om. Bas. E. Mox *ἐκφύγῃ* Trinc. F.

p) *χειμωνικὴν* Trinc.

q) *ἐκάλεσαν* Trinc. E. Mox *ἔφασαν* post *τροπὰς* inserunt Trinc. E. *ἕτεροι δέ τινες φιλόσοφοι* E.

r) *ἀλληγορεῖν* Trinc. F.

s) *κατωνομάκασι* Trinc. *ἓξ* pro *τέσσαρας* F.

ρινὸν, θερινὸν τροπικὸν, ἀρκτικὸν βόρειον καὶ χειμερινὸν
[t]) τροπικόν. Τὸν δὲ καλούμενον γαλαξίαν, πέμπτον κύκλον
ὠνόμασαν, ἀνταρκτικὸν καὶ κεκαυμένον καὶ νότιον. Ἀλλὰ
τὰ πολλὰ [v]) ἐάσαντες, λέξωμεν ὁπόσων ἡμερῶν ἐστὶ τὸ τοῦ
ἐνιαυτοῦ τεταρτημόριον ἕκαστον, [w]) ἰσημερινῶν τε καὶ τῶν
ἀμφοτέρων τροπῶν. Ἀπὸ Ὀϊστοῦ δύσεως, καὶ Ἵππου [x]) ἀνα-
τολῆς, μέχρι Πλειάδων ἀνατολῆς, ἡμερῶν [y]) πε̄. Ἤγουν ἀπὸ
Κριοῦ μοίρας ὀγδόης, μέχρι Καρκίνου μοίρας ἑβδόμης, ἰση- 247
μερία ἐαρινή. Ἀπὸ Πλειάδων ἐπιτολῆς, ἤτοι Καρκίνου μοί-
ρας ὀγδόης, ἕως Ἀρκτούρου ἐπιφανείας, [z]) καὶ Αἰγοκέρου
ἀνατολῆς, θερινὴ τροπὴ ἡμερῶν ρκδ̄. [a]) ἀπὸ Ἀρκτούρου ἐπι-
φανείας, καὶ Αἰγοκέρου ἐπιτολῆς, εἰς Πλειάδων καὶ Ὠρίωνος
δύσιν, ἰσημερία φθινοπωρινὴ, ἡμερῶν ϛ̄ ἀπὸ Πλειάδων
καὶ Ὠρίωνος δύσεως εἰς Ὀϊστοῦ δύσιν, καὶ Ἵππου [b]) ἀνατολὴν,
τροπὴ χειμερινὴ ἡμερῶν ἑκατόν. Οὕτως ἔχουσιν [c]) ἀκριβῶς
αἱ τροπαὶ καὶ ἰσημερίαι κατὰ τοὺς μαθηματικούς. Tzetzes.

Ibid. [d]) *ΕΙ ΔΕ ΚΕΝ ΗΕΛΙΟΙΟ ΤΡΟΠΑΙΣ.* Εἰ δὲ κατὰ τὴν χειμέριον τροπὴν ἀρόσεις, θερίσεις καθήμενος· διὰ τὸ μὴ ἀναφῦναι δηλονότι τὸν στάχυν ἐν ταῖς ἀρούραις σου, [e]) ἁρμοδίῳ τῷ κόπῳ σου καὶ τῇ περιπολεύσει, διὰ τὴν συνέχειαν καὶ τὸ πλῆθος θερίζεσθαι· ἀλλὰ κομιδῇ ὀλίγον καὶ ἀραιὸν, ὃν διὰ τὸ ὀλίγον εἶναι καθήμενος θερίσεις, καὶ ἐν φορμῷ καὶ σάκκῳ, ἢ κοφίνῳ ἀποκομίσεις· διὰ δὲ τὸ ἀραιὸν εἶναι, κόνεως πλησθήσῃ. Tzetzes.

Ibid. *ΕΙ ΔΕ ΚΕΝ ΗΕΛΙΟΙΟ ΤΡΟΠΑΙΣ.* Ἐὰν δὲ κατὰ τὰς τροπὰς τοῦ ἡλίου, τὰς χειμερινὰς δηλονότι, ἀροτριᾷς

t) χειμερινόν· τροπικὸν δὲ τὸν καλούμενον F. Mox κύριον ἀνταρκτικὸν F.

v) παρεικότες E. F. G. H. Bas.

w) ἰσημερινῶν——τροπῶν om. Trinc.

x) ἀνατολῶν Trinc. Paullo post ἀνατολῶν E.

y) πε̄ ἢ ἐκ τοῦ ἀπριλλίου, κριοῦ μοίρας ὀγδόης, μέχρις ἡλίου, καρκίνου μοίρας ὀγδόης, ἑπτά· ἰσημερία ἐαρινὴ κ. τ. λ. F. κριοῦ ἀπριλλίου μοίρας ὀκτὼ, ἕως ἀρκτούρου κ. τ. λ. G. ε̄ pro πε H. ἡμερῶν πε̄ om. Trinc. sed inserit ἡμερὰς πε̄ post ἐαρινή.

z) καὶ αἰγὸς ἐπιτολῆς Trinc. et sic mox. ἐπιτολῆς E. G. καὶ αἰγὸς ἐπιτολῆς F. H. ἡμέραι Trinc.

a) ἀπὸ ιε̄ μοίρας ἀρκτούρου ἐπιφανείας καὶ αἰγὸς ἐπιτολῆς F. αἰγὸς pro αἰγοκέρου H. ἐπιφανείας νοεμβρίου ιε̄ μοίρας καὶ αἰγοκέρου G. Mox ἰσημερία ad δύσεως om. F.

b) ἀνατολὰς G.

c) ἀκριβῶς om. Trinc.

d) Hinc ad finem Schol. om. Trinc. Mox ἀναφῦναι pro ἀναφυῆναι F. ἀναφανῆναι H.

e) ἁρμοδίως G. Mox σοῦ om. E. et paullo post habet διὰ τὸ συνέχον pro δ. τὴν συνέχειαν.

τὴν χθόνα τὴν δῖαν, ἤγουν τὴν θείαν, καθήμενος θερίσεις, διὰ τὸ μὴ ἀξιολόγως ηὐξῆσθαι τὰ σπέρματα, ὀλίγον διὰ τῆς χειρὸς εἴργων, ἤγουν περιλαμβάνων, διὰ τὸ ἀραιόν· Moschop.

478. *ἩΜΕΝΟΣ ἈΜΗΣΕΙΣ.* Κατέχων τὰ δράγματα μὴ χειρὶ πεπληρωμένῃ, ἀλλὰ κενῇ χειρὶ τὸ λεγόμενον, καὶ περὶ ὀλίγον τόπον αὐτῆς συσφίγγων τὰ δράγματα, διὰ σμικρότητα. Proclus.

Ibid. [f]) *ὈΛΙΓΟΝ ΠΕΡΙ ΧΕΙΡΟΣ ἘΕΡΓΩΝ.* Μικρὸν χειρόβολον τῶν σταχύων περὶ τῇ σῇ χειρὶ κρατῶν. Τὸ δὲ *ἘΕΡΓΩΝ*, Ἀττικῶς δασύνεται, κοινῶς δὲ ψιλοῦται. Πᾶσαι γὰρ αἱ ἐπαυξήσεις τὰ τῶν πρωτοτύπων φωνηέντων πνεύματα φυλάττουσιν· ὁρῶ ἑώρων, εἴργω ἔεργω, καὶ τὰ ὅμοια. Ἐπεὶ δὲ τὸ εἴργω, καθὼς ἔφην, διφορεῖται, καὶ τὸ ἔεργω ὁμοίως. Tzetzes.

479. *ἈΝΤΙΑ ΔΕΣΜΕΥΩΝ.* Διὰ τὸ μικροὺς, καὶ κολοβοὺς εἶναι τοὺς στάχυς, καὶ μὴ δύνασθαι διὰ τοῦτο δεσμευθῆναι ἀντιστρέφων αὐτῶν τὰς ῥίζας καὶ δεσμῶν, ὥστε ἑκατέρωθεν εἶναι τοῦ δεσμήματος τῶν σταχύων τὰς κορυφὰς διὰ τὴν ῥηθεῖσαν κολοβότητα. Tzetzes.

248 Ibid. *ΚΕΚΟΝΙΜΕΝΟΣ.* Κεκονιάμενος, κόνεως πλήρης, διὰ τὸ ἀραιὸν τοῦ [g]) χωρίου. Tzetzes.

Ibid. *ΟΥ ΜΑΛΑ ΧΑΙΡΩΝ.* Ἀλλὰ δηλονότι λυπούμενος. Tzetzes.

Ibid. *ἈΝΤΙΑ ΔΕΣΜΕΥΩΝ.* Διὰ τὴν κολοβότητα καὶ σμικρότητα· ὅτε γὰρ τοιοῦτοι οἱ ἀστάχυς, ἀντιβάλλοντες αὐτοὺς καὶ ἀλλήλοις ἐναντίως τιθέντες, δεσμεύουσιν. Moschop.

Ibid. *ΚΕΚΟΝΙΜΕΝΟΣ.* Ἤγουν κονιορτοῦ πληρούμενος· διὰ τὸ ἀραιὸν αὐτῶν οὐ σκιαζομένου τοῦ τόπου, ἀλλ' ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων ἐξικμαζομένου, καὶ διὰ τοῦτο κονιορτὸν ἐμποιοῦντος. Moschop.

Ibid. *ΟΥ ΜΑΛΑ ΧΑΙΡΩΝ.* Ἀντὶ τοῦ κατὰ πολὺ δηλονότι ἀνιώμενος· οἴσεις δὲ ἐν καλαθίσκῳ καὶ οὐκ ἐφ' ἁμάξης, διὰ τὴν ὀλιγότητα. Moschop.

f) Deest hoc et seq. Schol. Trinc. g) χωραφίου E.

480. *ΟΙΣΕΙΣ Δ' ΕΝ ΦΟΡΜΩι.* h) Ἀποκομίσεις δέ σου τὸ θέρος ἐν σάκκῳ καὶ κοφίνῳ. Παῦροι δὲ καὶ ὀλίγοι σε θαυμάσουσιν, ἀντὶ τοῦ οὐδείς. Μᾶλλον δὲ καὶ γελάσουσιν, ἢ ἐλεήσουσιν. Tzetzes.

Ibid. *ΠΑΥΡΟΙ ΔΕ ΣΕ ΘΗΗΣΟΝΤΑΙ.* Ὀλίγοι δέ σε θαυμάσονται, ἀντὶ τοῦ οὐδείς σε θαυμάσεται. Moschop.

Ibid. *ΘΗΗΣΟΝΤΑΙ.* Θεάομαι θεῶμαι τὸ βλέπω, ἐπὶ δευτέρας συζυγίας τῶν περισπωμένων· θεόω θεῶ ἐπὶ τρίτης, τὸ θεότητος μεταδίδωμι· καὶ ἀμφότερα παρὰ τοῖς κοινοῖς ἐν χρήσει· θεέομαι θεοῦμαι ἐπὶ πρώτης, τὸ θαυμάζω, παρὰ τοῖς ποιηταῖς ἐν χρήσει, καὶ οὐδέποτε παρὰ τοῖς κοινοῖς, οὗ τὸ ε καὶ τὸ ο εἰς τὴν ευ δίφθογγον αὐτοὶ κιρνῶσι· τὸ δὲ ε εἰς η τρέπουσι, καὶ ποιοῦσιν αὐτὸ θηεῦμαι, οὗ τὸ τρίτον θηεῖται· ὁ μέλλων θηήσομαι, οὗ τὸ τρίτον τῶν πληθυντικῶν, θηήσονται, ὁ ἀόριστος ἐθηησάμην. Ἀργαλέος, φησὶν, ὁ τοῦ Διὸς νοῦς τοῖς ἀνθρώποις κατανοῆσαι, ταυτὸ λέγων, ὥσπερ εἰ ἔλεγε τὸν τοῦ Διὸς νοῦν πολλὰ ἂν κάμοιεν ἄνθρωποι κατανοῆσαι ζητοῦντες, καὶ ὅμως οὐ κατανοήσουσιν· ἀργαλέος γὰρ ἀπὸ τοῦ ἄλγος· ἄλγος δὲ καὶ πόνος καὶ κάματος, σχεδὸν τὸ αὐτό. *ΑΛΛΟΤΕ ΑΛΛΟΙΟΣ* ἐστὶν ὁ νοῦς τοῦ Διὸς τοῦ αἰγιόχου, καὶ ἀποβαίη ἂν δηλονότι τὸ πρᾶγμα καὶ ἄλλως ἢ ἐγὼ λέγω, μετατιθέντος αὐτοῦ τὰς τάξεις τῶν πραγμάτων ἐστὶν ὅτε δι' αἰτίας τινὰς ἀδήλους, τοῦτο δὲ σπάνιον, καὶ οὐδεὶς οἶδεν ὁπότε γενήσεται· ἀργαλέος γὰρ, ἤγουν χαλεπὸς, δύσκολος, ἐστὶν αὐτὸς ὁ τοῦ Διὸς νοῦς τοῖς ἀνθρώποις τοῖς θνητοῖς, εἰς τὸ κατανοῆσαι αὐτόν. Διὸ δεῖ ἡμᾶς τὰ ἐφ' ἡμῖν μὴ παραλείπειν οὐκ εἰδότας τὸν τοῦ Διὸς νοῦν. Ἐὰν δὲ ὀψὲ τοῦ χρόνου ἀρόσῃς, ἤγουν βραδέως, καὶ μετὰ τὸν προσ- 249 ήκοντα καιρὸν, τόδε ἂν εἴη σοι φάρμακον, τουτέστι βοήθημα. Moschop.

481. *ΑΛΛΟΤΕ Δ' ΑΛΛΟΙΟΣ ΖΗΝΟΣ.* Ἕως τοῦ, *ΘΝΗΤΟΙΣΙ ΝΟΗΣΑΙ.* Τοῦτο οὐ μάτην προσέθηκεν· ἀλλ'

h) Deest hoc Scholion Trinc. De v. φόρμος haec Hemsterhusius in annot. MSS. "Φόρμος est *cophinus* vel *fiscus sparteus*. Gloss. *Formio*, κόφινος· παρῆκται δὲ ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς ὁ Ἡσίοδος. Glossator, ni fallor, ad hunc Hesiodi locum respexit, qui et ab Etymolog. Mag. adducitur. De hoc fisci genere alibi plura dicam."

ἐπειδὴ καὶ τοῖς μὴ παριδοῦσι τὸν καιρὸν ἀπορεῖν ἔσθ' ὅτε συμβαίνει, καὶ τοῖς παριδοῦσιν ἐκ τοῦ παραλόγου θερίζειν καρποὺς ἀφθόνους, πᾶν τὸ τοιοῦτον ἔργον εἶναι φησὶ τοῦ Διὸς, δι' ἄλλας αἰτίας ἀδήλους ἡμῖν ταῦτα ποιοῦντος. Οὐκ εἰδότες οὖν οἱ ἄνθρωποι τὶς ὁ νοῦς τοῦ Διὸς, ὀφείλομεν τὰ ἐφ' ἡμῖν μὴ παραλείπειν. Proclus.

Ibid. [i]) *ΖΗΝΟΣ ΝΟΟΣ.* Περιφραστικῶς ἡ Εἱμαρμένη. *ΑΙΓΙΟΧΟΣ* δὲ, ὡς καταιγίζουσα καὶ κατακλύζουσα οἷς ἐναντιωθῇ. Tzetzes.

482. *ΑΡΓΑΛΕΟΣ.* Δυσχερὴς κατανοηθῆναι θνητοῖς ἀνθρώποις. Τοῦτο δὲ εἶπεν, ὅτι ὕστερον ἀροτριῶντές τινες, εὐτυχέστερον θέρος καρποῦνται τῶν ἀροτριασάντων εὐκαίρως. Tzetzes.

483. *ΕΙ ΔΕ ΚΕΝ ΟΨ' ΑΡΟΣΗιΣ.* Τί ἂν γίνοιτο βοήθημα τῷ ὀψὲ τοῦ καιροῦ ἀρόσαντι, διὰ τούτων λέγει· [k]) καὶ ὅτι δεῖ ὕδωρ ἐκ Διὸς γενέσθαι μεσοῦντος ἤδη ἔαρος, ἡνίκα ὁ κόκκυξ ᾄδειν ἄρχεται καὶ τέρπειν, οὐχ ὡς ἡδύφωνος (οὐ γάρ ἐστιν) ἀλλ' ὡς μηνύων τὸ ἔαρ ἤδη πλατὺ εἶναι. Τότε ἂν εἰ γένοιτο ὑετὸς, ὥστε εἰς τρίτην ἡμέραν μήτε ὑπερβάλλειν τῷ πλήθει βοὸς ὁπλὴν, μήτε ἀπολείπειν, ἀλλὰ βρέχειν ὅλην, ἔσται βοήθημα τῷ ὀψαρότῃ, καὶ σχοίη ἂν καρποὺς ἐφαμίλλους τῷ [l]) πρωταρότῃ. Τὴν μὲν οὖν ὁπλὴν ἐπὶ βοὸς ῥηθεῖσαν οὐκ οὖσαν τῶν μονονύχων, συγγνώμης ἀξιωτέον. Διότι δὲ σημεῖον ἐξεῦρεν ἱκανὸν ἀρκοῦντος ὄμβρου τοῖς περὶ ἄροτρα καὶ βοῦς ἀσχολουμένοις, ἐπαινετέον. Ὅτι δὲ ὁ τοιοῦτος ὄμβρος χρήσιμος, [m]) πιστοῦται ἀπὸ τοῦ τὴν Σικελίαν εὐκαρπεῖν πολλοὺς δεχομένην ἐαρινοὺς ὄμβρους, καὶ ἀπὸ τοῦ προσηνὲς εἶναι τὸ ὕδωρ τότε τῇ γῇ ὑποθερμαινόμενον, καὶ νηπίοις οὖσι τοῖς καρποῖς συμφέρον· καὶ ἀπὸ τοῦ τινὰς καὶ ἐν ἰσημερίᾳ σπείραντας ἐαρινῇ, Μαρτίου μηνὸς κᾱ, πολλοὺς θερίσαι καρπούς· καὶ γὰρ ὁ τριμηνιαῖος λεγόμενος πυρὸς ὑπὸ τοιούτων ὄμβρων ἐκτρέφεσθαι ἔοικε τῷ ἐαρινῷ. *ΑΛΛΩΣ. ΕΙ ΔΕ ΚΕΝ ΟΨ'*

i) Deest hoc et seq. Scholion Trinc. In fine ἐγκαίρως E.

k) καὶ addidi ex A.

l) Sic B. προαρότῃ edd. Mox ἐστι pro οὖσαν A. μωνονύχων δὲ B. Sequentia usque ad τῷ ἐαρινῷ Plutarcho assignat Wyttenbachius n. 27.

m) πιστοῦνται A.

ΑΡΟΣΗιΣ. [166]) Εἰ δὲ συμβῇ σοι [n]) βραδύνειν, φησὶ, τοῦτό σοι ἔσται σημεῖον, ἐὰν ἐπὶ τῷ σπόρῳ σου τῷ ἐαρινῷ ἐπιβρέξῃ ἡμέρας τρεῖς τοσοῦτον, ὥστε συστῆναι τὸ ὕδωρ τῇ γῇ μέχρι τοῦ σκεπάσαι τὸ ἴχνος τοῦ βοὸς, μήτε ὑπεράνω, μήθ' 250 ὑπερκατωτέρω, τότε [o]) ἐρίσειαν τὰ ὀψίμως ἐσπαρμένα τοῖς πρωΐμοις. PROCLUS.

Ibid. [p]) ΕΙ ΔΕ ΚΕΝ ΟΨ' ΑΡΟΣΕΙΣ. Εἰ δ' ὕστερον ἀροτριάσεις, τοῦτό σοι βοήθημα ὑπαρχέτω, ἀροτριᾷν δηλονότι, ἡνίκα τὸ πρῶτον ὁ κόκκυξ ἐν ταῖς δρυσὶ καθήμενος φθέγγεται· εὐφραίνει δὲ τοὺς ἀνθρώπους, κατὰ τὴν ἀπείρονα καὶ σφαιροειδῆ γῆν, ὡς καταγγέλλων τὸ ἔαρ [168]) [q]) δηλονότι, καὶ οὐχ ὡς ἡδύφωνος· δύσφωνος γὰρ καὶ ἀπηχής· ἔστι δὲ (ὥς τινές φασι,) ὅμοιος ἱέρακι. TZETZES.

484. ΗΜΟΣ ΚΟΚΚΥΞ ΚΟΚΚΥΖΕΙ. Ὁπηνίκα ὁ κόκκυξ κόκκύζει τὴν ἀρχὴν ἐν τοῖς φύλλοις τῆς δρυὸς, τέρπει δὲ τοὺς ἀνθρώπους κατὰ τὴν κυκλοτερῆ γῆν, οὐχ ὡς ἡδύφωνος, οὐ γάρ ἐστιν, ἀλλ' ὡς μηνύων τὸ ἔαρ ἤδη πλατὺ εἶναι, τότε εἰ ὕοι ὁ Ζεὺς, ἤγουν ὑετὸν καταπέμποι, τρίτῳ ἤματι, ἀντὶ τοῦ μέχρι τρίτης ἡμέρας. MOSCHOP.

486. [r]) ΤΗΜΟΣ ΖΕΥΣ. Τότε ἂν ἡ εἱμαρμένη τρεῖς ἡμέρας δῷ ὄμβρον, ἢ ὁ οὐρανὸς, ὥστε χωννύεσθαι τὸν τοῦ βοὸς πόδα ἐν τῷ πηλῷ ἄχρι τῆς στεφάνης τῶν αὐτοῦ χηλῶν, ἃς ὁπλὰς νῦν καταχρηστικώτερον εἶπεν. Οὗτος ὁ ὀψὲ ἀρόσας, τὸ ἶσον φέρεται τοῦ πρώτου ἀροτριάσαντος. TZETZES.

Ibid. ΜΗ Δ' ΑΠΟΛΗΓΟΙ. Μήτε ὑπερβάλλων, ἤγουν καλύπτων τῷ πλήθει τοῦ ὄμβρου τὴν ὁπλὴν τοῦ βοὸς, ἀντὶ τοῦ τὴν χηλὴν, τουτέστι τὸ ἴχνος τῆς χηλῆς. MOSCHOP.

487. ΜΗΤ' ΑΠΟΛΕΙΠΩΝ. Ἤγουν ἐλαττούμενος, κατωτέρω ἐρχόμενος· οὕτως ὁ ὀψὲ τοῦ χρόνου ἀρόσας τὸ ἶσον

166) Ante legebatur sensu nullo: οἱ δὲ συμβῆσι βραδύνειν: ex quo facilis fuit emendatio quam repraesentavimus. HEINSIUS.

n) βραδύνειαι A.

o) ἐρίσειας A.

p) Deest hoc Scholion Trinc.

168) Scribo, δῆλον, *scilicet*, *videlicet*, δηλονότι. HEINSIUS.

q) Sic MSS. δηλῶν Bas. Heins. Mox omisi δύσφωνος ante ὅμοιος cum F. G. H. In A. post Procli Schol. ad v. 484. haec leguntur: Κόκκυξ ὄρνεον ἐαρινὸν παραπλήσιον τῷ ἱέρακι. τέρπει δὲ βροτοὺς οὐχ ὡς μουσικὸν, ἀλλ' ἐπειδὴ ἔαρ φέρει.

r) Deest hoc Schol. Trinc.

ἂν φέροιτο τῷ πρωταρότῃ, ἤγουν τῷ τὴν ἀρχὴν ἀρόσαντι. Ἐν τῷ σῷ δὲ λογισμῷ πάντα φύλαττε, μὴ δέ σε λανθανέτω μήτε ἔαρ γινόμενον πολιὸν, ἤγουν λευκὸν, (λέγεται δὲ οὕτω διὰ τὸ λευκὸν τῶν ἐν αὐτῷ ἀνθέων, ὡς εἴρηται,) μήτε ὁ τοῖς καιροῖς ἁρμόδιος ὄμβρος. Moschop.

489. *ΕΝ ΘΥΜΩι Δ' ΕΥ ΠΑΝΤΑ.* Δεῖ τοὺς καιροὺς παραφυλάττειν τὸν γεωργὸν, καθ' οὓς ἀποδοτέον ἕκαστα τῶν ἔργων, καὶ τὰ ἐκ τοῦ Διὸς γινόμενα, οἷον ὄμβρους, αὐχμοὺς, ἀνέμους ψυχροὺς, ἢ θερμούς. Ταῦτα γὰρ συνεργεῖ τοῖς ἐκ τῆς γῆς, ἢ καὶ ἐμποδίζει πρὸς τὴν γένεσιν, ὧν οὐ δεῖ τῆς παραφυλακῆς ἀμελεῖν. Proclus.

Ibid. [s]) *ΕΝ ΘΥΜΩι Δ' ΕΥ ΠΑΝΤΑ ΦΥΛΑΣΣΕΟ.*
251 Ἀκρίβου δὲ πάντα, καὶ γίνωσκέ σου τῇ ψυχῇ τοὺς καιροὺς, ἔαρός τε λευκοῦ, καὶ ὄμβρου μετοπωρίνου. Tzetzes.

491. *ΠΑΡ Δ' ΙΘΙ ΧΑΛΚΕΙΟΝ.* Διὰ τούτων, καὶ τῶν ἐφεξῆς παρακελεύεται, μὴ δ' εἰ χειμέριος ἀὴρ εἴη, ἢ καὶ κρυμώδης, ἀμελεῖν τῶν ἔργων, [t]) ἀλλ' ἀντιπράττεσθαι πρὸς αὐτὸν ἀόκνως· τὸν γὰρ δεόμενον τῶν ἔργων διὰ τὸ ἐξ αὐτῶν τρέφεσθαι, τὰς λέσχας καταλαμβάνειν ἄτοπον. Τότ' οὖν δεῖ ἐπὶ ταύτας χωρεῖν, ὅταν πάντῃ κωλύῃ τῶν ἔργων τὸ κρύος. Ὅτι δὲ τοὺς [v]) ἀλεεινοὺς οἴκους οἱ πένητες κατελάμβανον, ἐν οἷς συγκαθήμενοι ἐν λαλιαῖς ἦσαν, δῆλον, καὶ ὅτι λέσχας ἐκάλουν τούτους, καὶ γὰρ ἐν Ἀθήναις ἦσαν τοιοῦτοι τόποι καὶ ὠνομάζοντο λέσχαι ἑξήκοντα καὶ τριακόσιαι· καὶ ὅτι ἐδρᾶτό τινα θέσμια περὶ αὐτοὺς, ἵνα οἱ λόγοι γίνωνται σὺν τοῖς συνιοῦσιν ἐπωφελεῖς· εἰώθεισαν δὲ καὶ ἐγκαθεύδειν τινὲς τοῖς χαλκείοις κρυμῶν ὄντων, καὶ ἐν τοῖς ἄλλοις ἐργαστηρίοις, ἐν οἷς ἐξάπτεται πῦρ. Τότε οὖν ἐν τούτοις ἀλεαίνεσθαι μόνον, ὅταν τὸ κρύος μὴ συμφέρῃ τοῖς ἔργοις· ὅταν δὲ καὶ ἐν κρύει [w]) ἀπαιτῇ τὰ ἔργα, παρατακτέον, καὶ τῶν ἔργων ἀνθεκτέον. *ΑΛΛΩΣ.* Τὰ χαλκεῖα παρὰ τοῖς παλαιοῖς ἄθυρα ἦν, καὶ ὁ βουλόμενος εἰσῄει καὶ ἐθερμαίνετο, καὶ οἱ πένητες [x]) ἐκεῖ

s) Deest hoc Schol. Trinc.

t) ἀλλὰ πράττεσθαι A. et mox τὸ γὰρ δεόμενον.

v) ἐλεεινοὺς B.

w) ἀπαντᾷ B.

x) ἐκεῖνοι A.

ἐκοιμῶντο. Λέσχη δέ ἐστι τόπος τις δημόσιος, ἀνειμένος τοῖς βουλομένοις διαιτᾶσθαι. Λέγει γὰρ ἡ [y]) Μελανθὼ πρὸς Ὀδυσσέα·

Εἰ σὺ θέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν 252
Ἐς λέσχην θερμαίνου, —

τουτέστιν εἰς τόπον λέσχης ἄπελθε. Καθεζόμενοι δὲ ἐν αὐτοῖς ἐθερμαίνοντο, καὶ τῶν ἔργων ἀπείχοντο. Παρέρχου οὖν φησι τοὺς τοιούτους τόπους ὥρᾳ χειμῶνος, τότε γὰρ μὴ ὀκνῶν ἀνὴρ μεγάλως αὔξει τὸν ἑαυτοῦ βίον· ὁ δ' ἀεργὸς ἐλπίζων πάντα αὐτῷ αὐτόματα παραγενήσεσθαι διελογίσατο κακὰ, καὶ τὴν ἑαυτοῦ ψυχὴν ἐκακολόγησεν. ΑΛΛΩΣ. [170]) Νεοπτόλεμος ἐν τῷ περὶ γλωσσῶν φησι λέσχην εἶναι ὄνομα αὐλῆς, ἐν ᾗ πῦρ ἐστι. Φησὶν οὖν ὅτι ἀπερχόμενος ἐπὶ τὸ ἔργον σου μὴ, ἐὰν εὕρῃς τόπον θέρμην ἔχοντα, στῇς καὶ φλυαρῇς, ἀλλὰ πάρελθε· ἐκ τούτου οὖν καὶ λέσχη ἁπλῶς ἡ φλυαρία· ἀλέα δὲ

y) Μελάνθεια edd. et MSS. Nihil saltem diversitatis ex iis habeo enotatum. Sed reponendum censeo Μελανθὼ ex Homeri Od. Σ. 320. Parum dubito, quin MSS. hoc compendio utantur, $\overset{\theta}{\text{Μελαν}}$. Homeri verba sunt, Οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθὼν, Ἠέ που ἐς λέσχην. In Etymologo MS. Leidensi reperi sequentia: Ἀλέα ἡ θερμασία· Ἡσίοδος ἐν Ἔργοις καὶ ἡμέραις (citantur deinde vv. 489—499. ubi in v. 489. legitur λήθη et v. 492. ἀνέρα (sic) ἔργων ἴσχει· ἔνθ' ἄοκνος α. μ. ο. ὀφέλλει. vv. 494, 495. desunt. Desunt etiam κενεήν—βιότοιο) σχ°. παρ' ἴθι χάλκειον θῶκον. τὰ χαλκεῖα παρὰ τοῖς παλαίοις ἄθυρα ἦν καὶ οἱ βουλόμενοι εἰσίουν (εἰσήουν) καὶ ἐθερμαίνοντο, καὶ πένητες ἐκεῖ ἐκοιμῶντο. παραπλησίως δὲ τούτων ἔστιν ἡ λέσχη, καὶ ἡ μελάνθη πρὸς Ὀδυσσέα λέγει, ἐθέλεις εὕδειν χάλκειον ἐς δόμον ἐλθὼν, Ἠέ που ἐς λέσχην. Φησὶν οὖν Ἡσίοδος, πάριθι τὸν χάλκειον θῶκον, τουτέστι παρέρχου, καὶ τὴν ἐπαλέα λέσχην, τουτέστι θερμασίαν, ἐν οἷς τόποις καθεζόμενοι θερμαίνονται καὶ τῶν ἔργων ἀπέχονται, παρέρχου φησὶ τούτους τοὺς τόπους, τότε γὰρ μὴ ὀκνῶν ἀνὴρ μεγάλως αὔξει τὸν ἑαυτοῦ οἶκον: — Ἀλέα λέγεται ὁ τόπος ὁ ὑπὸ τοῦ ἡλίου θερμαινόμενος, παρὰ τὸν ἥλιον· ἄλιος γὰρ ὁ ἥλιος λέγεται· μεταφορικῶς δὲ, πάντα τόπον θέρμην ἔχοντα· Λέσχην δὲ τὴν γενομένην ἐκεῖ φλυαρίαν τῶν καθεζομένων· ἔνιοι δὲ λέσχην ἐν ᾗ ἀθροίζονται ἅλις καὶ ὁμιλοῦσιν. Ὁ δὲ νοῦς, οὕτως· ἀπερχόμενός φησιἐπὶ τὸ ἔργον σου, μὴ ἐὰν εὕρῃς τόπον θέρμην ἔχοντα στῇς καὶ φλυαρῇς, ἀλλὰ παρέλθε· πολλὰ δ' ἄεργος ἀνὴρ κ. ε. ε. μ. ἐλπίζων πάντα αὐτομάτως ἔσεσθαι αὐτῷ ὡς ἂν ἠτιάσατο, ἐλοιδόρησεν, ἢ κακὰ συνῆξε τῇ ἑαυτοῦ ψυχῇ ἤδ' ἐλογίσατο κακὰ, ληστεύσω, ἁρπάσω. ἡ δὲ ἐλπὶς οὐκ ἀγαθὴ οὐδὲ ὠφέλιμος εἰς τὸν βίον χρείαν ἔχοντα ἄνδρα: —

170) Parianus ille qui a diversis citatur. Athenaeus περὶ κισσυβίου meminit hujus libri: quem non περὶ γλωσσῶν, sed γλώσσας vocat, citatque tertium τῶν Νεοπτολέμου γλωσσῶν. Νεοπτόλεμος δὲ ὁ Παριανὸς ἐν τρίτῳ γλωσσῶν. Vix dubium est quin ex eodem libro Etymologus adducat, τὸν κολοσυρτὸν λέγεσθαι ἀπὸ τοῦ

ἡ θέρμη ἡ περὶ τὸν ἥλιον, κυρίως ὕπαιθρος τόπος ὑπὸ ἡλίου θερμαινόμενος. Μένανδρος,

ἀλέας Ἀθήνας. PROCLUS.

Ibid. *ΠΑΡ Δ' ΙΘΙ ΧΑΛΚΕΙΟΝ ΘΩΚΟΝ.* [z]Ἐν δὲ τῇ ἀροσίμῳ ὥρᾳ, κἂν εἴη χειμέριος, παράδραμε τὸν χάλκειον θῶκον, ἤγουν τὴν ἐν τοῖς χαλκείοις καθέδραν, [a] καὶ τὴν λέσχην καὶ συντυχίαν καὶ φλυαρίαν τὴν ἐπὶ τῇ ἀλέᾳ καὶ θέρμῃ γινομένην. Τὸ γὰρ παλαιὸν τὰ χαλκεῖα, καὶ πάντα τὰ ἐργαστήρια τὰ πῦρ ἔχοντα ἄθυρα ἦν· ἃ καὶ λέσχας ἐκάλουν, ὅτι οἱ πένητες [b] εἰσερχόμενοι, καὶ μᾶλλον ἐν χειμῶνι ἐν τῷ θερμαίνεσθαι λέσχας καὶ φλυαρίας λόγων συνέπλεκον. Ἐν τῷ ἀροσίμῳ οὖν καιρῷ, παράδραμε, φησί, τὴν ἐν τοῖς χαλκείοις καθέδραν, ἢ τὸ καθῆσθαι ἐν τῷ σῷ οἴκῳ, καὶ θερμαίνεσθαι κατὰ τὴν ἐν τοῖς χαλκείοις τῶν πενεστέρων καθέδραν. TZETZES.

Ibid. [167]*ΠΑΡ Δ' ΙΘΙ ΧΑΛΚΕΙΟΝ ΘΩΚΟΝ.* Παρέρ-
253 χου δὲ τὴν καθέδραν τὴν ἐπὶ τοῖς χαλκείοις, ἀπερχόμενος ἐπὶ τὸ ἔργον, καὶ τὴν φλυαρίαν τὴν ἐπὶ τῇ ἀλέᾳ· ἀντὶ τοῦ τὴν ἐπὶ τοῖς ὑπαίθροις τόποις καὶ ὑπὸ τοῦ ἡλίου θερμαινομένοις, κατὰ τὴν ὥραν τὴν τοῦ χειμῶνος, ὁπόταν τὸ κρύος τοὺς ἄνδρας περιλαμβάνον ἔχῃ. MOSCHOP.

492. *ὉΠΟΤΕ ΚΡΥΟΣ.* Τὸ ὁπότε παρὰ μὲν τούτοις ἀεὶ ὑποτάσσει, παρὰ δὲ τοῖς κοινοῖς οὐδέποτε. MOSCHOP.

τὰ κόλα συρειν, μεγάλως αἰρομένης τῆς κόνεως, καὶ ἐπὶ ἠέρα ἰκνευμένης. HEINSIUS.

z) Hinc ad θέρμῃ γινομένην om. Trinc.

a) ἢ τῷ καθῆσθαι ἐν τῷ σῷ οἴκῳ καὶ θερμαίνεσθαι, κατὰ τὴν ἐν τοῖς χαλκείοις τῶν πενεστέρων καθέδραν τὴν ἐπὶ τῇ ἀλέᾳ καὶ θέρμῃ γινομένην. E.

b) εἰσερχόμενοι ἐν αὐτοῖς καὶ μάλιστα ἐν χειμῶνι λέσχας καὶ φλυαρίας λόγων συνέπλεκον θερμαινόμενοι Trinc. Deinde post καθέδραν habet καὶ λέσχην. τὰ ἑξῆς δῆλα.

167) Non satisfaciunt haec nobis. Veteres omnes artes illas viro indignas existimabant quae igne uterentur, et βαναυσικαὶ dicebantur: quod existimarentur una cum corporibus eorum animi θηλύνεσθαι. Ab hoc agriculturam vindicant omnes antiqui. Atque hoc vult illud Xenophontis in Oeconomicis: Ἀλλὰ καλῶς, ἔφη, λέγεις ὦ Κριτόβουλε· καὶ γὰρ αἵγε βαναυσικαὶ καλούμεναι καὶ ἐπίῤῥητοί εἰσι, καὶ εἰκότως μέν τοι πάνυ ἀδοξοῦνται πρὸς τῶν πόλεων. Καταλυμαίνονται γὰρ τὰ σώματα τῶν τε ἐργαζομένων, καὶ τῶν ἐπιμελομένων, ἀναγκάζουσαι καθῆσθαι καὶ σκιατραφεῖσθαι, ἔνιαι δὲ καὶ πρὸς πῦρ ἡμερεύειν. Τῶν δὲ σωμάτων θηλυνομένων καὶ αἱ ψυχαὶ πολὺ ἀῤῥωστότεραι γίγνονται. Hinc est quod Cato solam agriculturam militem patriae tradere arbitretur. Hesiodus duobus interdicit Persae, τῷ πυρὶ, et τῇ σκιᾷ, cum utrunque soleat θηλύνειν et mollitiem

493. [c]) *ΕΝΘΑ Κ' ΑΟΚΝΟΣ ΑΝΗΡ.* Τότε ἢ ὁπότε δὴ ὁ ἄοκνος ἀνὴρ μεγάλως τὸν ἑαυτοῦ οἶκον αὔξει, πολλὰ δὲ [d]) συνῆξε κακὰ ἐν τῇ ψυχῇ ὁ ἀργὸς χρήζων βιότου καὶ τροφῆς, μένων εἰς ματαίαν ἐλπίδα. Εἶτα λέγει καὶ τὰς ἐλπίδας, ὅτι τὸν ἄνδρα τὸν κεχρημένον καὶ πένητα, ᾧ τινι μὴ ἀρκοῦσα εἴη τροφὴ, καθήμενον ἐν χαλκείοις οὐκ ἀγαθὴ ἐλπὶς κομίζει καὶ κατέχει· ἀλλὰ δηλονότι κλοπῆς, ἢ λῃστείας, ἢ τῶν ἀπηγορευμένων τινός. Tzetzes.

Ibid. *ΕΝΘΑ Κ' ΑΟΚΝΟΣ ΑΝΗΡ.* Ἔνθα κεν, ἀντὶ τοῦ ὅταν ὁ ἄοκνος ἀνὴρ μεγάλως αὔξῃ τὸν ἑαυτοῦ οἶκον, ἵνα μή σε ἀπορία βαρέος χειμῶνος κατάσχῃ, σὺν πολλῇ λέγω πενίᾳ, τῇ σαυτοῦ δὲ χειρὶ λεπτῇ οὔσῃ τὸν πόδα καταψᾷς· τοῦτο γὰρ τὸ πιέζῃς παχὺν ὄντα. Τῶν γὰρ λιμωττόντων οἱ μὲν πόδες παχύνονται, τὸ δ' ἄλλο σῶμα λεπτύνεται. Τὴν δὲ αἰτίαν ὁ Πλούταρχος λέγει. Moschop.

494. *ΜΗ ΣΕ ΚΑΚΟΥ ΧΕΙΜΩΝΟΣ.* Ἕως τοῦ *ΠΟΔΑ ΧΕΙΡΙ ΠΙΕΖΟΙΣ.* Τῶν λιμωττόντων τοὺς πόδας φησὶ παχύνεσθαι, τὸ δ' ἄλλο σῶμα λεπτύνεσθαι. Καὶ εἷς νόμος [e]) ἐν Ἐφέσῳ, μὴ ἐξεῖναι πατρὶ παῖδας ἀποθέσθαι ἕως ἂν διὰ λιμὸν παχυνθῇ τοὺς πόδας. Ἴσως δὲ καὶ τὴν ἀπὸ καθίσεως καὶ ἀργίας πάχυνσιν δηλοῖ τῶν ποδῶν· γίνεται γὰρ τοῦτο τοῖς ἐπὶ πολὺ καθημένοις. Ἐὰν οὖν ἐν τοῖς ἀλεεινοῖς οἴκοις ἀργὸς καθιζάνῃς, λεπτῇ χειρὶ διὰ λιμὸν τοὺς παχεῖς ὄντας πόδας πιέσεις. 254 Ἔοικε δὲ καὶ ἡ ἐν τοῖς λιμοῖς πάχυνσις εἶναι κατὰ φύσιν, ὡς ὁ Πλούταρχος· δεῖται γὰρ τὸ ἐν ἡμῖν θερμὸν, ἵνα

inferre; utrunque hominis desidiosi sit, alterum etiam otiosi, cum τὸ ἡμερεύειν πρὸς τὸ πῦρ necesse habeant multae artes: τὸ σκιατραφεῖσθαι vero soleant omnes qui artes molliores tractant. Nec alio ἀνώνυμος ille apud Gellium respexit, lib. 3. cap. 1. qui a Phavorino interrogatus cur Sallustius, avaritiam, *non animum modo virilem sed et corpus effoeminare*, dixerit, respondit: *Quos avaritia minuit et corrumpit, quique se quaerenda undique pecunia dediderunt; eos plerosque tali genere vitae occupatos videmus; ut sicuti alia in his omnia prae pecunia, ita labor quoque virilis, exercendique corporis studium relictum sit. Negotiis se plerunque umbraticis, et sellulariis quaestibus intentos habent, in quibus eorum vigor animi corporisque elanguescit, et, quod Sallustius ait, effoeminantur.* Heinsius.

c) Deest hoc Scholion Trinc.

d) σύνηψε et mox ματαίας ἐλπίδας, καθήμενος ἐν χαλκείοις, εἶτα l. F.

e) ἦν ἐφεσίῳ Trinc. Vide Fragm. Comm. Plut. n. 28.

μένη, τῆς ἔξωθεν τροφῆς, ἣν οὐ δεχόμενον δαπανᾷ τὸ σῶμα, καὶ αὐτοῦ τὶ ἀποσπᾷ· δι᾽ ἀσθένειαν δὲ ἀδυνατοῦν ἀλλοιῶσαι τὸ ἀποσπώμενον, f) ἄπεπτον ἀφίησι· καὶ αὐτὸ μὲν, τὰ μέσα καὶ τὰ ἄνω λεπτύνει τοῦ σώματος, ἐν οἷς ἐστι τὸ πλεῖον· ἐκεῖνο δ᾽ ἄρα τὸ ἄπεπτον εἰς τὸ κάτω φέρεται, καὶ οὕτω δὴ παχύνει τοὺς πόδας. Proclus.

496. *ΠΟΛΛΑ Δ᾽ ΑΕΡΓΟΣ ΑΝΗΡ.* Τοὺς ἐν ἀργίᾳ ζῶντας, καὶ τὰς ἐλπίδας κενὰς ἔχοντας, ἅτε μηδὲν ἑαυτοῖς συνειδότας ἔργον εἰς εὐπορίαν συντεῖνον, ἀνάγκη πολλὰ τῷ ὄντι κακὰ προσεννοεῖν διὰ τὴν ἀπορίαν ὅπως ἂν τραφῶσιν· ἐντεῦθεν λωποδύται γίνονταί τινες, ἐντεῦθεν ἱερόσυλοι, ἐντεῦθεν φιλοπράγμονες, καὶ πάντες ὅσοι τὸν βίον ἐκ τῶν ἀλλοτρίων ἔχειν ἐπινοοῦσι. Proclus.

Ibid. *ΠΟΛΛΑ Δ᾽ ΑΕΡΓΟΣ ΑΝΗΡ.* Πολλὰ δὲ κακὰ προσελέξατο· τουτέστιν ἐνενόησεν ἐν τῇ ἑαυτοῦ ψυχῇ, ἤγουν καθ᾽ ἑαυτὸν, ἄνθρωπος ἀργὸς, τροφῆς δεόμενος, ματαίαν ἐλπίδα ἐπιμένων, ἀντὶ τοῦ ἀναμένων· ἐννοεῖ γὰρ ἢ κλέπτης ἢ ἱερόσυλος ἢ πειράτης ἐν θαλάττῃ, ἢ τοιοῦτό τι γενέσθαι. Ἐλπὶς γὰρ οὐκ ἀγαθὴ ἄγει ἐνδεῆ ἄνδρα καθήμενον ἐν φλυαρίᾳ· λέγω, ᾧ τινι μὴ βίος αὐτάρκης εἴη, ἀντὶ τοῦ ἐστίν· ἐλπίζει γὰρ κτήσασθαι βίον ἀπὸ φαύλων τινῶν τρόπων. Moschop.

500. *ΔΕΙΚΝΥΕ ΔΕ ΔΜΩΕΣΣΙ.* Διὰ τούτου τοῦ παραγγέλματος, καὶ τὰ ὅμοια νοητέον· οὐκ ἀεὶ εὐτυχήσομεν· παρασκευαστέον οὖν καὶ πρὸς τὰς περιστάσεις· οὐδὲ ἀεὶ ὑγιανοῦμεν· φροντιστέον οὖν καὶ τῶν g) ταῖς νόσοις ἐπιτηδείων· οὕτως οὖν καὶ οἰκήσεων ἐν θέρει, διὰ τὴν ἐλπίδα τῆς τοῦ χειμῶνος προσβολῆς. *ΑΛΛΩΣ.* Καθηγοῦ τοῦ ἔργου, καὶ πρόλεγε τοῖς δούλοις ὅτι οὐκ ἀεὶ θέρος ἔσται, ὡς ἂν ἀπὸ τοῦ θέρους εὐτρεπισθῶσιν καὶ τὴν στέγην σου ὡς πρὸ τοῦ χειμῶνος στεγάσωσι διὰ τοὺς ὄμβρους· καὶ Ὅμηρος,

Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι. Proclus.

Ibid. h) *ΔΕΙΚΝΥΕ.* Προφροντίζων περὶ τῶν μελλόντων πρόλεγε τοῖς σοῖς δούλοις ἔτι θέρους ὑπάρχοντος ποιεῖσθαι

f) ἄπεπτον ὂν, ἀφίησι A. Mox τὸ ante πλεῖον dedi ex B.

g) Articulum inserui ex B. Homeri locus mox citatus est Il. T. 85.

h) Deest hoc Scholion Trinc.

καλιὰς, καὶ οἰκήματα· τουτέστι προφροντίσατε τῶν τοῦ χειμῶνος καὶ καλῶς διάθεσθε τὰ τῆς οἰκίας· οὐ γὰρ ἀεὶ θέρος ἔσσεῖται. Tzetzes.

Ibid. *ΔΕΙΚΝΥΕ ΔΕ ΔΜΩΕΣΣΙ.* [169]) *Δείκνυε δὲ τοῖς σαυτοῦ δούλοις, ἀντὶ τοῦ εἰσηγοῦ, ἔτι τοῦ θέρους ἐν τῷ μέσῳ ὄντος, ἤγουν ἐν τῇ ἀκμῇ, λέγων, οὐκ ἀεὶ θέρος ἔσται.* 255 Moschop.

501. *ΠΟΙΕΙΣΘΕ ΚΑΛΙΑΣ.* *Ἀντὶ τοῦ οἰκίας.* Moschop.

502. *ΜΗΝΑ ΔΕ ΛΗΝΑΙΩΝΑ.* [i]) *Πλούταρχος οὐδένα φησὶ μῆνα Ληναιῶνα καλεῖσθαι παρὰ Βοιωτοῖς· ὑποπτεύει δὲ ἢ τὸν* [k]) *Βούκαιρον αὐτὸν λέγειν, ὅς ἐστιν ἡλίου τὸν αἰγόκερων διϊόντος, καὶ τὸν* [l]) *βούδορα τῷ βουκέρῳ συνᾴδοντος, διὰ τὸ πλείστους ἐν αὐτῷ διαφθείρεσθαι βόας· ἢ τὸν Ἑρμαῖον, ὅς ἐστι μετὰ τὸν βούδορα, καὶ εἰς ταυτὸν ἐρχόμενος τῷ Γαμηλιῶνι,* [m]) *καθ' ὃν καὶ τὰ Ληναῖα παρ' Ἀθηναίοις. Ἴωνες δὲ τοῦτον οὐδ' ἄλλως, ἀλλὰ Ληναιῶνα* [n]) *καλοῦσι. Τοῦτον οὖν ὡς ψυχρὸν κελεύει φυλάττεσθαι, καὶ ἐν τοῖς ἄλλοις μησὶ τὰς ἐξαπίνης γινομένας πηγάδας, αἳ δὴ γίνονται πήξεις τῶν ὑδάτων τοῦ* [o]) *Βορέου πνεύσαντος, ἃς οὐ ῥᾴδιον ὑπομεῖναι διὰ τὴν σφοδρότητα τῆς πήξεως. ΑΛΛΩΣ. ΜΗΝΑ ΔΕ*

169) *δείκνυε* ex veteri Ionismo est: *δεικνύειν, ἀντὶ τοῦ λέγειν καὶ διελθεῖν:* nec alio modo ab Herodoto *ἱστορίης ἀπόδειξις* dicitur *ἡ ἱστορία. Ἀποδεικνύειν* dicitur Historicus, cum simpliciter *τὸ γεγονὸς διέρχεται.* Nec aliter accipiendum quod Proclus ex Homero adducit: *Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι:* nimirum, *φράσομαι.* Heinsius.

i) Fragment. Comm. n. 29. ubi Wyttenbachius admisit Ruhnkenii correctionem *οὐδένα φησὶ* pro *οὐδὲ ἀφίησι.* In B. scriptum reperitur, *Πλούταρχος δὲ οὐδὲ ἀφίησι μῆνα ληναιῶνα καλεῖσθαι παρὰ Βοιωτοῖς.* Nihil ex A. enotatum est. Edd. habent *μ. λ. Βοιωτοὺς καλεῖν.* Hesychius: *Ληναιών· μήν. οὐδένα τῶν μηνῶν Βοιωτοὶ οὕτω καλοῦσιν· εἰκάζει δὲ ὁ Πλούταρχος Βουκάτιον, καὶ γὰρ ψυχρός ἐστιν. Ἔνιοι δὲ, τὸν Ἑρμαῖον, ὃς κατὰ τὸν Βουκάτιον ἐστίν. καὶ γὰρ Ἀθηναῖοι τὴν τῶν Ληναίων ἑορτὴν ἐν αὐτῷ ἄγουσιν.* Plutarch. v. Pelop. p. 290. E. ab Albertio allegatus, *τοῦ νόμου κελεύοντος ἐν τῷ πρώτῳ μηνὶ παραδοῦναι τὴν Βοιωταρχίαν ἑτέροις, ὃν Βουκάτιον ὀνομάζουσιν.*

k) Forte *βουκάτιον* Wyttenbach. *βού* pro *βούδορα* A. *βούδουρα* Trinc. et *βίας* pro *βοάς.*

l) Forte, *καὶ τὰ βούδορα τῷ Βουκατίῳ συνάπτοντος.* Wyttenbach.

m) Ita B. In edd. *καθὸ τὰ Λ.* Wyttenbachio sanus hic videtur locus, non item verus.

n) *καλεῖ* A. *τοῦτο* B.

o) Sic A. Edd. (*Βορείου* Trinc.) *πνεύματος.*

ΛΗΝΑΙΩΝΑ. Ὄνομα μηνὸς κατὰ τοὺς Βοιωτούς· ἀναιρετικὸς δὲ οὗτός ἐστι τῶν βοῶν, εἰς ὃν ἐξέδερον τοὺς βόας. Ληναιὼν δὲ εἴρηται, διὰ τὸ τοὺς οἴνους ἐν αὐτῷ εἰσκομίζεσθαι· οὗτος δὲ ὁ μὴν ἀρχὴ χειμῶνός ἐστιν. Οἱ δὲ Ληναιῶνα φάσκουσιν αὐτὸν καλεῖσθαι, διὰ τὰ λήναια, ὅ ἐστιν ἔρια, καὶ προβατοδόραν καὶ αἰγιοδόραν καλοῦμεν· ἢ ἐπειδὴ Διονύσῳ ἐποίουν ἑορτὴν τῷ μηνὶ τούτῳ, ἣν Ἀμβροσίαν ἐκάλουν. Προτρεψάμενος οὖν αὐτὸν τῷ χειμῶνι ἐργάζεσθαι, παραιτεῖται τὸν πρῶτον μῆνα· *ΒΟΥΔΟΡΑ* δέ φησιν ἀλεύου, ἤτοι τὰ αἴτια τοῦ ἀποδέρεσθαι τοὺς βόας, ὅπερ συνεκδοχικῶς τελευτᾷν σημαίνει. Ἀπὸ δὲ τοῦ [p]) ἰσχυροτάτου ζώου καὶ τὰ ἄλλα δεδήλωκεν. Αἱ δὲ *ΠΗΓΑΔΕΣ* χαλεπαί εἰσι πνέοντος τοῦ Βορέου· ἢ τὰς παγερὰς ποιούσας ἡμέρας, ἢ τὰς πάχνας αὐτῆς τῆς χιόνος. PROCLUS.

Ibid. *ΜΗΝΑ ΔΕ ΛΗΝΑΙΩΝΑ.* Τὸν [q]) Χοιάκ, ἤγουν τὸν Ἰαννουάριον, ὃς [r]) Ληναιὼν παρ' Ἴωσι καλεῖται, ἢ ὅτι ἡ
256 τῶν οἴνων συγκομιδὴ κατὰ τοῦτον ἐγίνετο, ἢ ὅτι τῷ τῶν ληνῶν αἰτίῳ Διονύσῳ [s]) ἑορτὴν τὴν λεγομένην Ἀμβροσίαν ἐτέλουν, ἢ παρὰ Ῥωμαίοις Βρουμάλια καλεῖται, Βροῦμος γὰρ παρ' αὐτοῖς ὁ Διόνυσος. [t]) Τοῦτον γὰρ τὸν μῆνα κελεύει προφθάσαι καὶ προλαβεῖν καὶ πρὸ αὐτοῦ ἀπαρτίσαι τὰ τοῦ σπόρου καὶ ἐκφυγεῖν τὸν τότε παγετὸν, ὅστις τοῦ Βοῤῥᾶ πνεύσαντος γίνεται. Τὰ δὲ ἔπη ἐκ τῶν Ὀρφέως [v]) μετεβλήθη. Φησὶ γὰρ Ὀρφεὺς,

[w]) Πολλαὶ δ' οὐρανόθεν καὶ ἐπάρτεες ἐκ νεφελάων
Τῆμος ἐπόρνυνται φηγοῖς καὶ δένδρεσιν ἄλλοις
[x]) Οὔρεσί τε σκοπέλοις τε καὶ ἀνθρώπων ἐριθύμοις
Πηγυλίδες, καὶ ἔσονται [y]) ἀμείδεες· αἱ δὲ γὰρ ὄντως

p) Sic A. Edd. *ἰσχυροτέρου.*

q) *Χοιακὸν* Bas. *χοικὸν* E. H. *χιονιακὸν* F. Vide Jablonskii Opusc. T. I. p. 411.

r) *Ληναιὸς* Trinc. E. *Ἴωσι* E. F. G. H. Trinc. *Ἕλλησι* Bas. Heins. Mox *καλεῖται· ὅτι τὰ πιθοίγια ἐν τούτῳ ἐγίνετο* Trinc. ubi om. *τῶν ληνῶν αἰτίῳ.*

s) *ὃς* H. Mox *βρόμος* F. *παρ' αὐτοῖς* om. E. H. Bas.

t) *τρίτον γοῦν* Trinc. *προφθάσαι καὶ* et *πρὸ αὐτοῦ* om. Trinc. et *ὃς* pro *ὅστις.*

v) *μετεποιήθη* Trinc. Vide Orphica Hermanni Fr. XXXI.

w) *πολλοὶ δ' οὐρανόθι* Bas. *οὐρανόθι* E. Ver. seq. *ἐπόρνυνται φυτοῖς* G.

x) *Οὔρεσι καὶ σκοπέλοις καὶ* Trinc. *ἀνθρώποις* ed. Heins. *ἀνθρώπων* E. F. H. Trinc. Bas. *ἐρίθυμοι* E. H.

y) *ἀμείδεες* E. F. Trinc. *ἀμειδεῖ* H. *ἀμείβεες* Heins. Bas.

[z]) Τρύξουσιν καὶ θῆρας ἐν οὔρεσιν, οὐδέ τις ἀνδρῶν
Προβλώσκειν μεγάρων δύναται κατὰ γυῖα δαμασθεὶς
Ψύχεϊ λευγαλέῳ· πάχνῃ δ' [a]) ὑπὸ γαῖα μέμυκε.

[176]) Οἱ μῆνες δὲ κατ' Αἰγυπτίους καὶ Ῥωμαίους καὶ Ἕλληνας καὶ Ἀθηναίους καὶ Ἑβραίους ὀνομάζονται οὕτως. Οἱ τῶν Αἰγυπτίων· [b]) Τυβὶ, Μεχὶρ, Φαμενὼθ, Φαρμουθὶ, Παχὼν, Παυνὶ, Ἐπιφὶ, [c]) Μεσωρὶ, Θὼθ, [d]) Φαωθὶ, Ἀθὺρ, Χοιάκ. Οἱ τῶν Ῥωμαίων· Ἰανουάριος, Φευρουάριος, Μάρτιος, Ἀπρίλλιος, Μάϊος, Ἰούνιος, Ἰούλιος, Αὔγουστος, Σεπτέμβριος, Ὀκτώβριος, Νοέμβριος, Δεκέμβριος. Οἱ τῶν [e]) Ἑλλήνων· [f]) Αὐδωναῖος, Περίτιος, Δύστρος, Ξανθικὸς, Ἀρτεμίσιος, [g]) Δέσιος, Πάνεμος, Δῶος, Γορπιαῖος, Ὑπερβερεταῖος, Δῖος, Ἀπελλαῖος. Οἱ τῶν Ἀθηναίων· Ἑκατομβαιὼν, Ληναιὼν, [h]) Κρόνιον, Βοηδρομιὼν, Πυανεψιὼν, Μαιμακτηριὼν, Ἀνθε- 257
στηριὼν, Ποσειδεὼν, Γαμηλιὼν, Ἐλαφηβολιὼν, Μουνυχιὼν, Σκιροφοριών. Οἱ τῶν Ἑβραίων, Νισὰν, Σιεγὰν, Ἐβαὰδ, Θερσὶ, Ἀλεὺ, Σαβὰτ, Ἰαὲ, Θαμνὶ, Ἰλοὺλ, Μουσουὰν, Τιβὴν, Ἰλάν. Tzetzes.

Ibid. [l]) *ΚΑΚ' ΗΜΑΤΑ.* Κακαὶ ἡμέραι, δυσχείμεροι. Tzetzes.

Ibid. *ΒΟΥΔΟΡΑ.* Ἀναιρετικὰ τῶν ζώων καὶ ἐκδαρτικά. Ἀπὸ δὲ τοῦ βοὸς, μείζονος ὄντος, συμπεριέλαβε καὶ τὰ λοιπὰ τῶν θρεμμάτων. Tzetzes.

Ibid. *ΜΗΝΑ ΔΕ ΛΗΝΑΙΩΝΑ.* Κατὰ τὸν μῆνα δὲ

z) *τρύξουσιν* E. H. Trinc. *τρύζουσιν* F. G. Bas. *τρύουσιν* Heins.

a) *ὑπὸ γαῖα μέμηκε* Bas. *ὑπὸ γυῖα μέμυκε* Heins. *ἐπὶ γαῖα μέμηκεν* Trinc. Mox *οἱ μῆνες* ad *Ἰλὰν* omittunt Bas. E. H. loco alio ponunt F. G.

b) *Τυμβὶ* F. G. Trinc. v. Jablonskium p. 352. *Μεχείρ* Jablonskius p. 143.

c) Vide Jablonskium p. 141.

d) Rectius *φαωφὶ*. v. Jablonskium p. 195.

e) Potius *Μακεδόνων*. Vide Sturzium de Dialecti Macedonicae Natura p. 48—50.

f) *Αὐδηναῖος* Suidas. Mox *δρέτος* pro *Δύστρος* Trinc. *δρέστος* F. *Ἄρτεμος* Trinc.

g) Etymolog. M. p. 252, 29. *Δαίσιος μὴν παρὰ Μακεδόσιν. ἐρ....* *σιτογόνος*. Codex Dorvill. *ἐρ^μ σιτογόνος*, unde legendum *ἑρμηνευόμενος* vel *ἑρμηνεύεται σιτογόνος*.

h) Quae sequuntur aperte mendosa sunt. Reliqui lectionem MSStorum. *Κρόνιος* F. G. Trinc.

176) Nugatur miserrime in Atticis et Hebraeis mensibus: quos qui desiderat, adeat incomparabile opus de emendatione temporum magni Scaligeri. Heinsius.

l) Sequentia Scholia Tzetzis usque ad 522 omittit Trinc. *ἐκδαρτικὰ* E. F. G. *ἐ αρτικὰ* Bas. *δαρτικὰ* Heins. Mox in Moschop. *ἐδήλωσε τῶν θρεμμάτων* ed. Heins.

τον ληναιῶνα, ὅστις ἐστὶν ὁ Ἰανουάριος, ἐκλήθη δὲ οὕτως ἐπειδὴ τῷ Διονύσῳ τῷ τῶν ληνῶν ἐπιστάτῃ ἐτέλουν ἑορτὴν τῷ μηνὶ τούτῳ, ἣν Ἀμβροσίαν ἐκάλουν, κακαὶ εἰσιν ἡμέραι· αἴτιαι πᾶσαι τοῦ ἀποδέρεσθαι τοὺς βόας, ἀντὶ τοῦ τελευτᾷν. Ἀπὸ δὲ τοῦ ἰσχυροτέρου ζώου καὶ τἄλλα ἐδήλωσε. Moschop.

503. *ΑΛΕΥΑΣΘΑΙ.* Ἔκφυγε. Τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. Tzetzes.

Ibid. *ΠΗΓΑΔΑΣ.* Παγετούς. Tzetzes.

Ibid. *ΤΟΥΤΟΝ ΑΛΕΥΑΣΘΑΙ.* Ἀντὶ τοῦ ἔκφυγε, φύλαξαι, καὶ τὰς πηγάδας, ἤγουν τοὺς παγετοὺς τοὺς κατὰ τοὺς ἄλλους μῆνας δηλονότι ἐξαπίνης γινομένους, οἵ τινες ἐπὶ γαῖαν, ἀντὶ τοῦ κατὰ γῆν, τελέθουσιν, ἤγουν τελοῦσιν, ὑπάρχουσι, κακῶν φροντίδων πάροχοι, τοῦ Βορέου πνεύσαντος, ὅστις διὰ τῆς Θράκης τῆς ἱπποτρόφου (ἄνωθεν γὰρ φέρεται ἀπὸ τῶν τῆς Θράκης βορειοτέρων) ἐμπεσὼν τῷ πλατεῖ πόντῳ ὤρινεν, αὐτὸν δηλονότι, ἤγουν διήγειρεν. Μέμυκε δὲ ἡ γῆ, καὶ τὰ δένδρα, ἢ ἀντὶ τοῦ ἠχεῖ, ἢ ἀντὶ τοῦ συμμέμυκεν, ἤγουν συμπέπτωκε, συγκέκλεισται διὰ τὴν πυκνότητα τοῦ κρύους· ἐν τῷ ἔαρι γὰρ καὶ ἡ γῆ καὶ τὰ δένδρα ἀνοίγεται. Moschop.

504. *ΔΥΣΗΛΕΓΕΕΣ.* Κακὴν φροντίδα τιθεῖσαι, καὶ δυσμέριμνον. Tzetzes.

505. *ὩΣΤΕ ΔΙΑ ΘΡΗΚΗΣ.* Ταῦτα καὶ τὰ ἑξῆς τὸν κρυμὸν ἐκτραγῳδεῖ τὸν βόρειον. Διὰ Θρήκης μὲν οὖν αὐτὸν πνέειν ἄμεινον εἰρῆσθαι, ἢ καὶ παρ' Ὁμήρῳ ἐκ Θρήκης· ἄνωθεν γὰρ φέρεται ἀπὸ τῶν τῆς Θράκης βορειοτέρων, διὰ τῆς εἰς ἡμᾶς [m]) πορείας. Διατίθησι δὲ χαλεπῶς τὰ μὲν πελάγη, τὸν πόντον ὀρίνεσθαι τὴν δὲ γῆν μεμυκέναι λέγων διὰ τὰς ἐμπτώσεις τοῦ πνεύματος, τὴν δὲ ὕλην συνεπτηχέναι μετὰ τῆς γῆς, εἰ τύχοι, δένδρων οὖσαν πολλῶν, καὶ τὰ δένδρα τὰ στερεώτατα, δρῦς καὶ ἐλάτας προῤῥίζους πίπτειν εἰς γῆν, τοὺς δὲ θῆρας φρίσσειν, καὶ τὸ γινόμενον ὑπ' αὐτῶν προστιθεὶς φυσικῶς, τὸ συστέλλειν ἐπὶ τὰ μήδη τὰς οὐρὰς, καὶ ταῦτα τῶν θηρῶν λαχνῆεν καὶ δασὺ τὸ δέρμα ἐχόντων, σκεπόμενον ὑπὸ τῶν
258 τριχῶν. Διόπερ οὐκ ἔδει καθικνεῖσθαι τὸν κρυμὸν αὐτῶν, ὡς ἡμῶν τῶν ἀτρίχων· καθικνεῖται δὲ ὅμως, ὥστε καὶ τῶν βοῶν

m) πορείας deest A. Mox διὰ om. A. Mox τοῦ συστέλλειν τὸν πόντον add. Praepositionem Trinc.

τὰ δέρματα παχέα ὄντα μὴ ἀντέχειν, καὶ τὰς αἶγας κάμνειν· μόνους τοὺς ὄϊς διὰ τὴν τῶν μαλλῶν σκέπην αὐτάρκη [n]) τούτου ἀντεχομένους. Καὶ τέλος προστίθησιν, ὅτι ΤΡΟΧΑΛΟΝ, ἀντὶ τοῦ δίκην τροχοῦ κεκαμμένον καὶ κεκυφότα, γέροντα τίθησιν ὁ τοιοῦτος πάγος, ἐπειγόμενον σκέπην καταλαβεῖν, καὶ ἀλέας ποῦ τυχεῖν. Proclus.

Ibid. *ΟΣ ΤΕ.* Ὅς τις Βοῤῥᾶς διὰ τῶν βορειοτέρων μερῶν τῆς Θρᾴκης πνέων ταράσσει τὸ πέλαγος· μεμυκέναι δὲ καὶ ἠχεῖν, ἢ συστέλλεσθαι, καὶ συσφίγγεσθαι ποιεῖ τὴν γῆν καὶ τὴν ὕλην. Tzetzes.

506. *ΜΕΜΥΚΕ ΔΕ ΓΑΙΑ ΚΑΙ ὙΛΗ.* Ἤτοι συμμέμυκε καὶ οἱονεὶ συμπέπτωκε διὰ τὴν πυκνότητα τοῦ κρύους· ἐν ἔαρι γὰρ πᾶσα γῆ ἀνοίγεται, διὸ καὶ τὰ ἄνθη καὶ τοὺς καρποὺς ἀναδίδωσιν· ἐν χειμῶνι διὰ τὸ ψύχος ἄγονός ἐστι καὶ μεμυκυῖα ἡ γῆ. Ἡ μέμυκεν, ἀντὶ τοῦ μυκᾶται καὶ βοᾷ. [p]) *ΝΗΡΙΤΟΣ* δὲ *ὝΛΗ* ἡ μεγάλη, καὶ πολλή· πρὸς ἣν οὐδεὶς φιλονεικήσειε διὰ τὸ πλῆθος. *ΑΛΛΩΣ.* Πᾶσα δὲ ἠχεῖ τὸ τηνικαῦτα ἡ ἄπειρος ὕλη, καὶ οἱ σύμφυτοι τόποι τῶν ὀρῶν, οἷς οὐδὲν ἀντίσχει, ἢ διὰ τὸ πλῆθος ἐρίσειεν. Proclus.

507. *ΔΡΥΣ ὙΨΙΚΟΜΟΥΣ, ΕΛΑΤΑΣ ΤΕ.* Δρῦς, καὶ ἐλάτη, εἴδη δένδρων. Tzetzes.

Ibid. *ΠΟΛΛΑΣ ΔΕ ΔΡΥΣ ὙΨΙΚΟΜΟΥΣ.* Ἤγουν εἰς ὕψος παρατεινούσας τὰς κορυφὰς, τουτέστιν ὑψηλὰς, καὶ ἐλάτας παχείας ἐν κοιλάσιν ὄρους πιλνᾷ, ἤγουν πελάζει, ἐμπίπτων τῇ πολυειδεῖς τροφὰς δωρουμένῃ γῇ· καὶ πᾶσα ἠχεῖ τότε ἡ ἄπειρος ὕλη· τοῦτο γὰρ δύναται ἡ νήριτος· οἱ θῆρες δὲ φρίσσουσιν, ἤγουν τὰς τρίχας ὀρθιάζουσι, συστελλομένου τοῦ δέρματος ὑπὸ τοῦ ψύχους. Τὰς οὐρὰς δὲ αὐτῶν μεταξὺ τῶν μηρῶν τιθέασιν ὑπὸ τὰ αἰδοῖα· δύσριγοι γὰρ αὗται ὡς νευρώδεις καὶ ὀστώδεις, καὶ ἐκεῖνοι οἱ θῆρες τοῦτο πάσχουσιν, ὧν καὶ τὸ δέρμα λάχνῃ, ἤγουν τριχώσει, κατάσκιον· ἀλλὰ καὶ διὰ τούτων ἔρχεται πνέων, ἤγουν καὶ τούτων καθικνεῖται ψυχρὸς ὢν, καίπερ ὄντων δασυστέρνων, ἀπὸ τῶν στέρνων ὅλον τὸ σῶμα δηλοῖ, τουτέστι, καίπερ ὑπὸ μαλλῶν συνεχῶν ὅλον τὸ σῶμα σκεπομένων, καὶ διὰ δέρματος βοὸς

n) τούτου ἀντεχομένους om. A.

o) πᾶς A. pro πᾶσα γῆ. Mox ἡ γῆ om. A.

p) Hinc usque ad ἐρίσειεν inserui ex A. πᾶσα usque ad ἐρίσειεν sunt ex margine inferiori.

ἔρχεται, οὐδὲ ἀντέχει αὐτὸν, καὶ ταῦτα παχὺ ὄν. Moschop.

509. *ΒΟΑι.* Ἤχει. Tzetzes.

Ibid. *ΝΗΡΙΤΟΣ.* Πολλὴ, πρὸς ἣν οὐ δύναταί τις ἐρίσαι διὰ τὸ πλῆθος. Tzetzes.

510. *ΟΥΡΑΣ Δ' ὙΠΟ ΜΕΖΕ' ΕΘΕΝΤΟ.* Ἀπὸ τοῦ παρακολουθοῦντος· εἴωθε γὰρ τὰ ζῶα διὰ τὸ ψύχος, τὰς οὐ-
259 ρὰς μεταξὺ τῶν μηρῶν ἀποθλίβοντα, ἐγγὺς τῶν αἰδοίων ποιεῖν· ὡς καὶ παρὰ Καλλιμάχῳ,

[q] Ἔζεσθαι θερμότατον ῥιζοῦχε Ποσειδῶν.

ΜΕΖΕΑ δὲ ὡς μήδεα. Αἱ δ' οὐραὶ, ὡς νευρώδεις καὶ ὀστώδεις, δύσριγοί εἰσιν. [r] Ἀριστοτέλης φησὶ μὴ μόνον τὰς αἶγας δυσρίγους εἶναι, ἀλλὰ καὶ τὰ πρόβατα. Proclus.

Ibid. *ΦΡΙΣΣΟΥΣΙ.* Πυκνοῦνται, συστέλλονται. Tzetzes.

Ibid. *ΜΕΖΕ'.* Μέζεα, τὰ αἰδοῖα· ψυχόμενοι γὰρ οἱ θῆρες τὰς οὐρὰς περὶ τὰ μέρη τῶν αἰδοίων [s] ὑποκρύπτονται· αἱ γὰρ οὐραὶ, ὡς νευρώδεις καὶ ὀστώδεις, δυσριγόταται. Tzetzes.

511. *ΤΩΝ ΚΑΙ ΛΑΧΝΗι.* Ὧν τινων θηρῶν τὸ δέρμα [177] καὶ ἐν λάχνῃ καὶ ἐν τριχώσει κατάσκιον καὶ σκεπόμενον. Tzetzes.

Ibid. *ΑΛΛΑ ΝΥ ΚΑΙ ΤΩΝ.* Ἀλλὰ καὶ διὰ τούτων τῶν θηρῶν, καὶ δασέα στέρνα ἐχόντων, ὁ βοῤῥᾶς ψυχρὸς ὢν διάησι καὶ διαπνέει. Τὸ δὲ *ΑΗΣΙ* ἐκ τοῦ ἄημι τὸ πνέω, ἄης, ἄησι. Tzetzes.

512. *ΑΛΛΑ ΝΥ ΚΑΙ ΤΩΝ ΨΥΧΡΟΣ ΕΩΝ ΔΙΑΗΣΙ.* Ποιητικῶς οὕτω λέγεται· ὤφειλε γὰρ, καὶ διὰ τούτων ἄησιν· ἡ γὰρ δια ἐν τοῖς τοιούτοις εἰ μὲν μετὰ τοῦ ῥήματος κεῖται, πρὸς αἰτιατικὴν ἀεὶ λέγεται· εἰ δὲ μετὰ τοῦ πτωτικοῦ, γενικῇ ἐξ ἀνάγκης συντάσσεται. Οὗτοι δὲ ἀντιστρόφως ταῦτα ποιοῦσιν ὅταν ἐθέλωσι· καὶ μετὰ τοῦ ῥήματος γὰρ αὐτὴν τιθέντες

q) Fr. 285. ubi vide Bentleium. ῥίζε pro ῥιζοῦχε A.

r) Vid. Hist. Anim. VIII. 10. p. 233. ed. Sylb.

s) ὑποκρύπτουσι G.

177) Haec sequioris Hellenismi sunt, pro, καὶ σὺν λάχνῃ, καὶ σὺν τριχώσει. Infra ad Diaconum plurima ejusmodi notavimus. Heinsius.

πρὸς γενικὴν λέγουσι, καὶ μετὰ τοῦ πτωτικοῦ πάλιν αἰτιατικῇ συντάττουσιν, ὡς ἐν τῷ,

διά τ' ἔντεα καὶ μέλαν αἷμα.

καὶ ἐνταῦθα οὕτως,

Καί τε δι' αἶγα ἄησιν.

Πολύχρυσον ἔλεγον τὴν Ἀφροδίτην, διὰ τὰς προῖκας καὶ τὸν διδόμενον ταῖς νύμφαις χρυσόν. Moschop.

513. *ΚΑΙ ΤΕ ΔΙΑ ῬΙΝΟΥ.* Διέρχεται καὶ διὰ τοῦ δέρματος τοῦ βοός. Tzetzes.

Ibid. *ΟΥΔΕ ΜΙΝ ΙΣΧΕΙ.* Οὐδὲ μὶν καὶ αὐτὸν τὸν βοῤῥᾶν κρατεῖ τὸ δέρμα τοῦ βοός. Tzetzes.

514. *ΚΑΙ ΤΕ ΔΙ' ΑΙΓΑ.* Καὶ διὰ τῆς μακρότριχος αἰγὸς διαπερᾷ. Tzetzes.

Ibid. *ΠΩΕΑ Δ' ΟΥΤΙ.* Διὰ δὲ τῶν πωέων καὶ τῶν προβάτων οὔτι διαπνέει, ὅτι συνεχεῖς αἱ τρίχες αὐτῶν, ἀλλὰ διάησι, δηλονότι τούτων πάντων περιγίνεται, πλὴν τῆς οἰκου- 260 ρούσης παρθένου, ἡ τοῦ βοῤῥᾶ δύναμις. Tzetzes.

Ibid. *ΚΑΙ ΤΕ ΔΙ' ΑΙΓΑ.* Ἀντὶ τοῦ δι' αἰγὸς τανύτριχος, ἤγουν τεταμένας ἐχούσης τὰς τρίχας καὶ μὴ οὔλας. Moschop.

Ibid. *ΑΗΣΙ.* Τουτέστιν ἔρχεται πνέων. Τὰ πώεα δὲ, ἀντὶ τοῦ τὰ πρόβατα, τὸ καθόλου ἀντὶ τῶν κατὰ μέρος. Οὔτι οὐ διάησιν ἡ δύναμις τοῦ ἀνέμου τοῦ Βορέου, ἤγουν οὐδαμῶς οὐ διέρχεται ἐκ παραλλήλου· διότι αἱ τρίχες αὐτῶν ἐπηεταναί· ἐπηετανὸν τὸ διηνεκὲς ἐπὶ χρόνου· ἐνταῦθα δὲ ἐπηεταναὶ τρίχες αἱ δασεῖαι καὶ οὐ διαλείπουσαι. Τροχαλὸν δὲ ποιεῖ τὸν γέροντα, ἤγουν δίκην τροχοῦ κεκαμμένον καὶ κεκυφότα· τροχαλοὶ ἰδίως οἱ κόχλακες, οἳ καὶ χερμάδια λέγονται, ἤγουν οἱ ποτάμιοι καὶ θαλάττιοι λίθοι· ἐνταῦθα δὲ ἐπιθετικῶς λέγεται τοὔνομα ἀπὸ τοῦ τροχοῦ. Moschop.

516. *ΤΡΟΧΑΛΟΝ.* Ἐκ μεταφορᾶς τοῦ τροχοῦ, ἐπικαμπῆ, ἢ ὀξὺν ἐν τῷ δρόμῳ· ἀναγκάζεται γὰρ καὶ ὁ γέρων ὑπὸ τοῦ ψύχους τρέχειν ἐπὶ τὸν θερμὸν οἶκον· ἢ κυρτὸν καὶ ἐπικαμπῆ. Proclus.

Ibid. *ΤΡΟΧΑΛΟΝ.* Κεκυφότα ὑπὸ τοῦ ψύχους τὸν γέροντα ποιεῖ. τινὲς δὲ περὶ τῶν προβάτων οὕτω φασί. [178]) Πώεα

178) Videtur scripsisse, Πώεα δ' οὔτι οὐ διάησι, ex Hesiodico

δ' οὔτι διάησιν, ὅτι δασέα ἐστίν. Τὴν δὲ μίαν [t] *οὐ περισσὴν κεῖσθαι.* TZETZES.

517. *ΚΑΙ ΔΙΑ ΠΑΡΘΕΝΙΚΗΣ. Μόνην ἐξαιρεῖ τοῦ λόγου τῶν ὑπὸ τοῦ κρύους δαμαζομένων τὴν παρθένον· ἣν καὶ ἁπαλόχρουν διὰ τὸ οἰκουρεῖν οὖσαν ἄπληκτον τῆς ἐξ αὐτοῦ φρίκης* [v] *μετὰ τὰ λοετρὰ καὶ τὰς ἀλοιφὰς, εἴσω μυχῶν τοῦ οἴκου παρθενευομένην, καὶ διὰ τοῦτο μένουσαν ἀπείραστον τοῦ κρύους. Καὶ γὰρ ἐκείνων ἑκάτερον βοηθεῖ καὶ ἡ οἰκουρία.* PROCLUS.

Ibid. *ἉΠΑΛΟΧΡΟΟΣ.* [w] *Τρυφερόσωμος.* TZETZES.

Ibid. *ΚΑΙ ΔΙΑ ΠΑΡΘΕΝΙΚΗΣ. Ἀντὶ τοῦ παρθένου ἁπαλόχροος, ἤγουν τρυφερᾶς, οὐ διέρχεται πνέων ὁ Βορέας· τουτέστι καὶ τῆς παρθένου τῆς τρυφερᾶς οὐ καθικνεῖται, ἥτις ἐντὸς τῶν δόμων παρὰ τῇ προσφιλεῖ αὐτῆς μητρὶ μένει, οὔπω ἔτι γινώσκουσα τὰ ἔργα τῆς πολυχρύσου Ἀφροδίτης, ἤγουν ὁμιλίαν ἀνδρὸς, ὁπηνίκα λουσαμένη τὸ ἁπαλὸν σῶμα, καὶ λιπαρῷ ἐλαίῳ ἀλειψαμένη, νυχίη, ἤγουν νυκτερινὴ, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατὰ τὴν νύκτα, εὐνασθήσεται ἔνδοθεν, ἀντὶ τοῦ ἐντὸς τοῦ οἴκου, κατὰ τὴν ἡμέραν τὴν χειμερινήν· ἔχει γὰρ ταῦτα βοηθήματα τοῦ μὴ πειραθῆναι τοῦ Βορέου, τὴν*
261 *οἰκουρίαν δηλονότι, τὰ λουτρὰ, τὴν τοῦ ἐλαίου χρίσιν. Ὅτε ὁ ἀνόστεος, ἤγουν ὁ πολύπους (καὶ παρὰ Λακεδαιμονίοις γάρ φασιν ἰδίως οὗτος ὠνομάζετο ἀνόστεος) τὸν ἑαυτοῦ πόδα ἐσθίει.* MOSCHOP.

519. *ΕΡΓ' ΕΙΔΥΙΑ ΠΟΛΥΧΡΥΣΟΥ ΑΦΡΟΔΙΤΗΣ. Τὴν συνουσίαν, τὴν μίξιν. ΠΟΛΥΧΡΥΣΟΝ δὲ, ἢ μεταφορικῶς εἶπεν, ὡς οὖσαν τιμίαν κατὰ πολὺ, ἢ ὅτι πολὺν χρυσὸν αἱ γυναῖκες διδοῦσαι ἀνδράσι συζεύγνυνται.* TZETZES.

520. *ΛΙΠ' ΕΛΑΙΩι. Οἱ μὲν ἄλλοι πάντες λιπαρῷ ἐλαίῳ φασὶ, καὶ κατὰ ἀποκοπὴν καὶ λίπα εἶναι. Ἐγὼ δέ φημι, λίπει ἐλαίῳ, ἤγουν* [179] *τῷ ἐξ ἐλαίας· κουφίζονται γὰρ καὶ τὰ μακρὰ, ὡς τὸ*

loco, *πώεα δ' οὔτι, Οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν οὐ διάησι:* in quibus notat, *τὴν μίαν*, nimirum *ἀρνητικὴν περισσὴν κεῖσθαι:* dixit enim poeta *οὔτι οὐ διάησι.* HEINSIUS.

t) *οὐ* inserui ex E. F. G. H.

v) *καὶ μετὰ* B. Mox *τῶν οἴκων τοῦ μυχοῦ* A.

w) *τρυφεροσώματος* G. H.

179) *τὸ ἐξ ἐ.* Melius, *τῷ ἐξ ἐλαίας.* quod sequitur, *ἠλείφοντο*

βούλομ' ἐγὼ —
[x]) ὅς μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ

καὶ τὰ ὅμοια· ἠλείφοντο δὲ [y]) τὸ πρὶν αἱ παρθένοι τῷ τοῦ βαλσάμου ἐλαίῳ, ὑπὸ τούτου θαλπόμεναι. Τζετζες.

522. *'ΟΤ' ΑΝΟΣΤΕΟΣ 'ΟΝ ΠΟΔΑ.* Τὸν μὲν ἀνόστεον δεῖ νοεῖν τὸν πολύποδα, διότι καὶ αὐτὸς ἕν τι τῶν μαλακίων ἐστί. [172]) Τὰ δὲ [z]) μαλάκια γένος τῶν ἀλόγων ζώων ἕν, τεττάρων ὄντων· ἐντόμων, μαλακοστράκων, ὀστρακοδέρμων, μαλακίων. Τὸ δὲ ΤΕΝΔΕΙ σημαίνει τὸ ἐσθίει, κατὰ τροπὴν τοῦ ἀντιστοίχου οὕτω ῥηθὲν, ἐπεὶ τένθης λέγεται ὁ ὀξυπείνης καὶ προτένθης. Λέγεται γὰρ καὶ ὁ πολύπους ἐν τοῖς χειμῶσιν ἐκμυζᾷν τὸν πόδα συνεσταλμένος ἐν τοῖς μυχοῖς τοῖς ἑαυτοῦ. Τὸ δὲ ΑΠΥΡΟΝ εἶναι τοῦ πολύποδος τὸν οἶκον, νοεῖν ὡς ψυχρόν. *ΚΑΙ ΕΝ ΗΘΕΣΙΝ* αὐτὸν τότε ζῆν *ΛΕΥΓΑΛΕΟΙΣ*, [a]) τουτέστι κακοῖς, παρὰ τὸ λυγρὸν τοῦ λευγαλέου ῥηθέντος, ὥσπερ καὶ τὸ λυγρὸν αὐτὸ πεποίηται λίαν ὑγρὸν ὄν. Εἰ οὖν τὰ ἤθη λευγαλέα καὶ ὁ οἶκος ἄπυρος, ἐξ ἀμφοτέρων δείκνυται καταγωγὴν ἔχων ὑγρὰν καὶ ψυχράν· ἤθη γὰρ τὰς εἰω- 262
θυίας λέγουσι διαίτας ἑκάστῳ. Καὶ δὴ καὶ τὴν αἰτίαν ἐπήγαγε, δι' ἣν τὸν ἑαυτοῦ πόδα ἐσθίει καθήμενος ἐν τῷ φωλεῷ· οὐ γὰρ αὐτῷ ὁ ἥλιος ἐκλάμπων δείκνυσι τὸν τόπον τῆς νομῆς,

δὲ πρῴην αἱ παρθένοι τῷ τοῦ βαλσάμου ἐλαίῳ, ἤγουν τὸ ἐξ ἐλαίας *πόμεναι, scribendum reor, τῷ τοῦ βαλσάμου ἐλαίῳ, ἤγουν τῷ ἐξ ἐλαίας τερπόμεναι: ita manentibus literis suppletur vox, quam ἀκέφαλον designat asteriscus. Si quis malit λειπανομέναι, aut aliud, domo afferat quod videbitur. Neminem nobiscum sentire cogimus. Festinamus praeterea, ut jam saepe diximus: qua vel una voce lecturem συγγνώμονα mereri debebamus. Heinsius.

x) Haec usque ad ὅμοια dedi ex E. F. G. H.

y) Ita G. πρῴην Bas. Heins. et mox ὑπὸ τούτου θαλπόμεναι pro ἤγουν τὸ ἐξ ἐλαίας * πόμεναι. G. Ab ἠλείφοντο ad fin. desunt E. F. H.

172) Scribe ubique, μαλάκια, ut apud Aristotelem, e quo divisio haec Procli lib. 1. περὶ ζώων cap. 6. Γένη δὲ ἔτι μέγιστα τῶν ζώων, εἰς ἃ διαιρεῖται τ' ἄλλα ζῶα, τάδ' ἐστίν· ἓν μὲν ὀρνίθων, ἓν δ' ἰχθύων, ἄλλο δὲ κήτους. Ταῦτα μὲν οὖν πάντα ἔναιμά ἐστιν. Ἄλλο δὲ γένος ἐστὶ, τὸ τῶν ὀστρακοδέρμων, ὃ καλεῖται ὄστρεον· ἄλλο τὸ τῶν μαλακοστράκων ἀνώνυμον ἑνὶ ὀνόματι, οἷον κάραβοι, καὶ γένη τινὰ καρκίνων καὶ ἀστακῶν. Ἄλλο, τὸ τῶν μαλακίων, οἷον τευθίδες τε, καὶ τεῦθοι, καὶ σηπίαι· ἕτερον, τὸ τοῦ ἐντόμων etc. Heinsius.

z) μαλάκια et mox μαλακίων B. μαλάκεια — μαλακείων edd. ζώων om. B.

a) ὡς A.

διὰ τὴν [b]) *δυσαερίαν τοῦ χειμῶνος· κατεσθίει οὖν τὰς ἰδίας πλεκτάνας· διὸ καὶ εὑρίσκονται οἱ παλαιοὶ πολύποδες ἔχοντες κολοβοὺς τοὺς πόδας.* [c]) *Κλείταρχος δὲ ἐν Γλώσσαις τὸν πολύποδα ὑπὸ Λακεδαιμονίων ἀνόστεόν φησι καλεῖσθαι. Ἀριστοτέλης δέ φησι ψεῦδος εἶναι τὸ κατὰ τοὺς πολύποδας· αὐτοὺς γὰρ ἑαυτοὺς μὴ κατεσθίειν, ἀλλ' ὑπὸ τῶν* [173]) [d]) *παγούρων κατεσθίεσθαι. Ἔδει οὖν εἰπεῖν τένθει, διὰ τοῦ θ'. οἱ γὰρ Ἀττικοὶ τένθην καλοῦσι τὸν γαστρίμαργον. Κατ' ἐναλλαγὴν οὖν εἴρηται τοῦ θ' εἰς δ'.* PROCLUS.

Ibid. *ΑΝΟΣΤΕΟΣ. Ὁ πολύπους.* TZETZES.

Ibid. [e]) *ΤΕΝΔΕΙ. Ἐσθίει· τένθης γὰρ ὁ ὀξυπείνης καὶ λαίμαργος. Χειμῶνος γὰρ πολλοῦ γεγονότος τὸ θηρίον ἡ ἄρκτος ἐν τῷ ἑαυτῆς φωλεῷ καθημένη τοὺς ἰδίους πόδας* [f]) *περιλιχμάζουσα διαζῇ, τῷ ἀπορεῖσθαι τροφῆς· ὁ δὲ πολύπους ὁ θαλάσσιος τοὺς ἑαυτοῦ πλοκάμους ἐσθίει. Ὅθεν πολλάκις πολύποδες εὑρίσκονται κολοβόποδες. Ἀριστοτέλης δὲ ὑπὸ παγούρων φησὶ τούτους, οὐχ ὑπὸ τῶν* [g]) *πολυπόδων, ἐσθίεσθαι.* TZETZES.

523. [h]) *ΕΝ Τ' ΑΠΥΡΩι ΟΙΚΩι. Ἄπυρον οἶκον, ἤγουν μὴ ἔχοντα πῦρ, καὶ ἤθη, καὶ διατριβὰς λευγαλέους καὶ ἀγούσας θάνατον, καλεῖ τὴν θάλασσαν.* TZETZES.

Ibid. *ΕΝ ΑΠΥΡΩι ΟΙΚΩι. Ἤγουν ἀθερμάντῳ, τουτέστι ψυχρῷ, καὶ ἐν διατριβαῖς λευγαλέοις· ἤγουν λυγραῖς, χαλεπαῖς. Εἶτα ἐπάγει τὴν αἰτίαν, δι' ἣν τὸν ἑαυτοῦ πόδα*

b) Sic B. *δυσκερίαν* Trinc. *δυσκαιρίαν* Heins.

c) Etymolog. M. p. 111. *Ἀνόστεος—ὁ λεγόμενος πολύπους. Οὗτος γὰρ τῷ χειμῶνι οὐ πρόεισιν, ἀλλ' ἐν τῷ φωλεῷ καθήμενος, τοὺς ἰδίους πόδας ἐσθίει. Κλείταρχος* (*κλείταρ* MS.) *δὲ ἐν γλώσσαις, τὸν πολύπουν ὑπὸ Λακεδαιμονίων ἴουλον καλεῖσθαι* (*καλοῦσιν* MS.) Hinc pro *ἀνόστεον* reponendum videtur in Proclo *ἴουλον*.

173) Fefellit Proclum memoria, qui *ὑπὸ γόγγρων* dicere voluit, non *ὑπὸ παγούρων*. Locus Aristotelis quem tangit est lib. 8. *περὶ ζώων*, cap. 2. *ὃ δὲ λέγουσί τινες, ὡς αὐτὸς αὐτὸν ἐσθίει, ψεῦδός ἐστιν, ἀλλὰ περιεδηδεσμένας ἔχουσιν ἔνιοι τὰς πλεκτάνας ὑπὸ τῶν γόγγρων.* Idem paullo ante: *οἱ δὲ γόγγροι τοὺς πολύποδας κατεσθίουσι.* HEINSIUS.

d) Etymolog. p. 237, 44. *Γόγγρος· εἶδος ἰχθύος, παρὰ τὸ γρῶ, ὃ σημαίνει τὸ ἐσθίω—ἀπεσθίει γὰρ τῶν πολυπόδων τὰς πλεκτάνας.*

e) Hinc ad *λαίμαργος* om. Trinc. Mox *ἥτε ἄρκτος τὸ θηρίον* Trinc.

f) Sic MSS. *περιλείχουσα* Trinc. *λιχμάζεται* Bas. *λιχμάζουσα* Heins. *ἀπορίᾳ* pro *τῷ ἀπορεῖσθαι* Trinc. *καὶ ὁ πολύπους* Trinc.

g) *πλοκάμων* Bas.

h) Hinc ad v. 559. om. Trinc.

ἐσθίει καθήμενος ἐν τῷ φωλεῷ· καὶ φησὶν, οὐ γὰρ δείκνυσιν αὐτῷ ὁ ἥλιος λάμπων νομὸν, ἀντὶ τοῦ τόπον νομῆς, ὥστε ὡρμηθῆναι ἐπ' αὐτὸν, ἀλλ' ἐπὶ τὴν πόλιν καὶ τὸν δῆμον τῶν κυανέων ἀνδρῶν, ἤγουν τῶν Αἰθιόπων· ἀπὸ τούτων δὲ 263 πάντας τοὺς κατὰ τὸ νότιον μέρος ἐδήλωσε. Moschop.

Ibid. *ΛΕΥΓΑΛΕΟΙΣΙΝ.* Ἀπὸ τοῦ λυγρὸν γίνεται τὸ λευγαλέον, τὸ δὲ λυγρὸν ἀπὸ τοῦ λίαν ὑγρόν· λέγεται δὲ οὕτω τὰ κακὰ, ὡς λύπην ἐμποιοῦντα· ἐκ γὰρ τῶν ὑγρῶν καὶ ψυχρῶν φασι τὰ λυπηρὰ, ἐκ δὲ τῶν θερμῶν τὰ ἡδέα. Moschop.

524. *ΟΥ ΓΑΡ ΟΙ ΗΕΛΙΟΣ.* Οὐ γὰρ λάμπων παρ' ἡμῖν τότε ὁ ἥλιος δείκνυσιν αὐτῷ ὁρμηθῆναι πρὸς ὁρμήν· ἀλλὰ τότε περὶ τὸν τοξότην ὢν, ἐπὶ τοὺς μέλανας ἄνδρας τοὺς Αἰθίοπας ἀναστρέφεται καὶ λάμπει. Βράδιον δὲ περὶ τὴν ἡμέραν ἡμῖν τοῖς Πανέλλησι φαείνει, βορείοις τυγχάνουσι. Tzetzes.

525. *ΑΛΛ' ΕΠΙ ΚΥΑΝΕΩΝ ΑΝΔΡΩΝ.* Ἔοικεν ἔννοιαν ἔχειν τῶν διαφόρων οἰκήσεων ἐπὶ γῆς, τῶν μὲν, ὡς βορείων, τῶν δὲ, ὡς νοτίων· καὶ συνορᾶν ὅτι χειμῶνος ἡμῖν ὄντος, τοῖς τὸ [i]) βόρειον μέρος οἰκοῦσιν, οὐ κωλύει θέρος ἄλλοις εἶναι, ὧν ἐστιν ἐγγὺς ὁ ἥλιος, τὰ νότια τοῦ ζωδιακοῦ περιπολῶν. Τοῦτο οὖν δηλοῖ λέγων, ὅτι χειμερίας παρ' ἡμῖν οὔσης καταστάσεως, ὁ ἥλιος πολὺς μὲν παρ' ἄλλοις, οὓς ἐκάλεσε κυανέους ὡς μέλανας, ἀπὸ τῶν Αἰθιόπων, μεσημβρινωτέρων ἡμῶν ὄντων, πάντας οὕτως [k]) καλέσας, ὥσπερ καὶ τοὺς βορείους πάντας διὰ τῶν Ἑλλήνων ἐσήμανε. Proclus.

526. *ΒΡΑΔΙΟΝ ΔΕ ΠΑΝΕΛΛΗΝΕΣΣΙ ΦΑΕΙΝΕΙ.* Βράδιον δὲ φαίνει παρ' ἡμῖν, ὡς πολὺν χρόνον τὰ ὑπὸ γῆν τμήματα διϊὼν, ἐλάχιστον δὲ τὰ ὑπὲρ γῆν. Ὁ γὰρ ἴσος χρόνος [l]) ἐκείνοις μὲν ἡμέραν ποιεῖ· νύκτα δὲ ἡμῖν μεγίστην ἑκατέραν. Proclus.

Ibid. *ΣΤΡΩΦΑΤΑΙ.* Ἤγουν στρέφεται. Βράδιον δὲ, ἤγουν βραδέως, φαίνει τοῖς Πανέλλησιν, ἀντὶ τοῦ πᾶσι τοῖς Ἕλλησι καὶ τοῖς ἄλλοις τοῖς κατὰ τὸ Βόρειον μέρος, ὡς πολὺν χρόνον τὰ ὑπὸ τὴν γῆν τμήματα διϊὼν, ἐλάχιστον δὲ

i) βορειότερον B.
k) Ita A. ἐκάλεσεν edd.
l) ἐκείνης edd.

τὰ ὑπὲρ γῆν. Καὶ δὴ τότε οἱ θῆρες οἱ ἐν ταῖς λόχμαις κοιταζόμενοι, τοῦτο γὰρ τὸ ὑληκοῖται, οἱ κεραοὶ, ἤγουν οἱ κερασφόροι, οἱ κέρατα ἔχοντες, καὶ οἱ νήκεροι, ἤγουν οἱ μὴ κέρατα ἔχοντες· χαλεπὸν μυλιόωντες, ἤγουν τοὺς ὀδόντας συγκρούοντες. Μῦλαι γὰρ αἱ ἀλήθουσαι τὴν τροφὴν ὀδόντες· ἀφ' ὧν πάντας λέγει τοὺς ὀδόντας, καὶ τὰς σιαγόνας. Moschop.

Ibid. ΣΤΡΩΦΑΤΑΙ. Ἀπὸ τοῦ στρέφω, στρωφάομαι στρωφῶμαι· τὸ δὲ στρῶ ὤφειλε μὲν μικρὸν γράφεσθαι, ὡς τὸ φῶ, ἐν τῷ φορέω φορῶ, ἀπὸ τοῦ φέρω· ἐπεὶ δὲ ἔχει τὸ σ', τὸ τ', καὶ τὸ ρ', ὧν ὄπισθεν εἰ πεσεῖταί τι βραχὺ, ὑπ' αὐτῶν πάντως ἐκταθήσεται. Ἔχει δὲ καὶ ἔμπροσθεν μακρὸν ὅποι ἂν κινηθείη, εἶτα εἰ μικρὸν τοῦτο ἦν, ἦν ἂν βραχὺ μεταξὺ δύο
264 μακρῶν δυνάμει. Τὸ τοιοῦτο δὲ τῷ ἡρωϊκῷ οὐ συνᾴδει μέτρῳ, ἐξ ἀνάγκης μέγα ἐγένετο, ἵν' αὐτῷ τούτῳ ἡρωϊκῷ μέτρῳ ἁρμόσῃ. Moschop.

527. ΚΑΙ ΤΟΤΕ ΔΗ ΚΕΡΑΟΙ ΚΑΙ ΝΗΚΕΡΟΙ ὙΛΗΚΟΙΤΑΙ. Οἱ μὲν ὑληκοῖται, οἱ m) κερατηφόροι καὶ ἀκέρατοι, δῆλον ὡς οἱ θῆρες εἰσίν. Οὗτοι δὲ λέγονται φεύγειν ἐν ταῖς ἄκραις ταῖς δυσβάτοις τῶν ὀρέων, ἕως ἂν καταλάβωσι θάμνους ἢ σπήλαια. ΜΥΛΙΟΩΝΤΕΣ δὲ, διεστραμμένοι καὶ συγκαμφθέντες ὑπὸ τοῦ κρύους, ἢ τὰ χείλη κινοῦντες, n) ὑπὸ τῆς ψυχρότητος. 174) Κράτης δὲ γράφει ΜΑΛΚΙΟΩΝΤΕΣ. Νήκεροι δὲ κατὰ στέρησιν, κέρατα μὴ ἔχοντες· τὸ γὰρ νη στερητικόν ἐστιν. Ὑληκοῖται δὲ, οἱ ἐν ὕλαις κοιταζόμενοι. Proclus.

Ibid. ΚΑΙ ΤΟΤΕ ΔΗ ΚΕΡΑΟΙ. Καὶ τότε δὴ οἱ θῆρες οἱ ἐν τῇ ὕλῃ καὶ τῷ ὄρει κοιμώμενοι, οἵ τε κέρατα ἔχοντες, καὶ οἱ ἄκεροι, φεύγουσιν ἀνὰ o) τὰ δρυμὰ καὶ τὰ ὄρη βησσήεντα, τὰ ἐξοχὰς καὶ προβάσεις ἔχοντα. Φεύγουσι δὲ λυ-

m) κερατηφόροι A. κερατοφόροι edd. θάμνους καὶ σπήλαια B. συγκαφθέντες edd. συγκυφθέντες Graevius Lect. Hes. c. 12.

n) ἀπὸ τῆς A. Trinc. Mox Κράτης pro Ἰσοκράτης restituit Graevius ex Etymolog. M. p. 594, 48. λακιόωντες B. pro μαλκιόωντες, et mox σκέπα pro σκέπας.

174) Potuitne in hanc Isocratis observatiunculam incidisse Hesychius, qui, μαλκιεῖν, τὸ ὑπὸ ψύχους συνεσπᾶσθαι τὰς χεῖρας, exponit, quanquam aliud ob oculos habuisse videatur. Non dubium tamen quin scribendum sit et apud illum, μαλκιοῦν. Heinsius.

o) τὰ δρία καὶ τὰ δάση τὰ βησσήεντα τὰς ἐ. H. δάση τὰ pro ὄρη F.

γρὸν καὶ χαλεπῶς *ΜΥΛΙΟΩΝΤΕΣ*, ἤγουν συγκεκρουκότες ὑπὸ τοῦ κρύους τὰς μύλας, καὶ τοὺς ὀδόντας· ἀπὸ μέρους δὲ τὰς ὅλας αὐτῶν σιαγόνας δηλοῖ. p) Καὶ πάντες δὴ θῆρες φεύγειν ἐν τοῖς κοίλοις καὶ δασέσι φροντίζουσιν. Tzetzes.

528. *ΑΝΑ ΔΡΙΑ ΒΗΣΣΗΕΝΤΑ ΦΕΥΓΟΥΣΙΝ.* Ἤγουν ἐπὶ τοὺς θάμνους, τοὺς ἐν ταῖς κοιλάσι τῶν ὀρῶν. Καὶ πᾶσιν ἐν τῷ λογισμῷ τοῦτο διὰ φροντίδος ἐστὶν, οἵ τινες σκέπασμα ζητοῦντες καταδύσεις οἰκοῦσι πυκνοὺς, δένδροις δηλονότι, ἤγουν δασεῖς, καὶ κοίλωμα πέτρινον, ἤγουν ἄντρον. Τότε δὴ οὗτοι τρίποδι βροτῷ ἴσοι, ἀντὶ τοῦ ὅμοιοι, τουτέστι γέροντι βακτηρίᾳ χρωμένῳ, καὶ διὰ τοῦτο τρίποδι· οὗ τινος τὰ νῶτα ἐπέαγεν, ἤγουν ἐπικέκλασται, τὸ κάρα δὲ, ἤγουν ἡ κεφαλὴ, ἐπὶ τὸ ἔδαφος ὁρᾶται κλίνουσα, τούτῳ ὅμοιοι φοιτῶσιν, ἀντὶ τοῦ σπεύδουσιν, ἐκφεύγοντες τὴν νιφάδα τὴν λευκήν. Moschop.

531. *ΚΑΙ ΓΛΑΦΥ ΠΕΤΡΗΕΝ.* Τὸ γλάφυ εἰ μὲν ἀντὶ τοῦ γλαφυρὸν εἴη, οὐδὲν λέγει, τὸ γὰρ γλαφυρὸν μετουσιαστικόν ἐστι καὶ οὐκ ἀποτελεῖ ἔννοιαν μόνον, ὥσπερ οὐδὲ τὸ πετρῆεν καὶ τὸ πέτρινον· συνυπακουόμενον δὲ ἔχειν τὸ ἄντρον, ἐπαχθές. Δοκεῖ δὴ οὐκ ἀποκοπὴν ἔχειν τὸ γλάφυ, ἀλλ' οὕτως ἐσχηματίσθαι ἀπὸ τοῦ γλάφω, ὡς τὸ δάκρυ ἀπὸ τοῦ δακρύω· ἵν' ᾖ καὶ γλάφυ πετρῆεν, ἤγουν κοίλωμα πέτρινον· κοίλωμα δὲ πέτρας καὶ σπήλαιον, ταυτόν. Moschop. 265

530. *ΟΙ ΣΚΕΠΑ ΜΑΙΟΜΕΝΟΙ.* Ἕως τοῦ, *ΑΛΕΥΑΜΕΝΟΙ ΝΙΦΑ ΛΕΥΚΗΝ.* Τρισὶν ἀποκοπαῖς ὀνομάτων ἐχρήσατο· τὸ μὲν σκέπασμα, σκέπα καλῶν, τὴν δὲ νιφάδα, νίφα· τὸ δὲ γλαφυρὸν, γλάφυ· δι' ὧν δηλοῖ τοὺς θῆρας καταλαμβάνειν σκέπασμα ζητοῦντας, ἢ τοὺς κευθμῶνας τοὺς θαμνώδεις, ἢ τὸ ἄντρον τὸ γλαφυρὸν καὶ πέτρινον, τὴν νιφάδα φεύγοντας, ἐοικότας γέροντι τρίποδι, τρίπους γὰρ, ὁ βακτηρίᾳ χρώμενος· οὗτος κέκαμπται μὲν τὰ νῶτα, q) κυπτάζει δὲ εἰς γῆν. Proclus.

Ibid. *ΟΙ ΣΚΕΠΑ.* Οἵ τινες θῆρες σκέπην μαιόμενοι, καὶ ψηλαφῶντες τοὺς δασεῖς κευθμῶνας ἔχουσιν. Tzetzes.

p) καὶ πᾶσαι καὶ πάντες E.

q) Dedi κυπτάζει pro vulg. κυμπάζει.

531. *ΚΑΙ ΓΛΑΦΥ ΠΕΤΡΗΕΝ.* Καὶ σκέπασμα, ἤγουν σπήλαιον πετρῶδες. Tzetzes.

Ibid. *ΤΟΤΕ ΔΕ ΤΡΙΠΟΔΙ ΒΡΟΤΩι.* Τότε δὴ ἀνθρώπῳ γηραιῷ κεκυφότι, καὶ πρὸς γῆν βλέποντι, καὶ βακτηρίαν κατέχοντι, ὅμοιον πορεύονται πρὸς τὰ δάση, τὴν νιφάδα καὶ τὴν χιόνα τὴν λευκὴν ἀλευόμενοι καὶ ἐκφεύγοντες. Τρισὶ δὲ ἀποκοπαῖς ἐνταῦθα ἐχρήσατο, σκέπα, γλάφυ, καὶ νίφα. Tzetzes.

533. *ΝΙΦΑ.* Νιφάδα. Ὑετὸς ἡ καταφορὰ τοῦ ὄμβρου καὶ τὸ καταφερόμενον ὕδωρ, καὶ ὄμβρος ὁμοίως ἐπὶ τῶν δύω τούτων σημαινομένων· νιφετὸς δὲ ἐπὶ μόνου τοῦ πράγματος, οὐκέτι καὶ ἐπὶ τῆς καταφερομένης χιόνος· χιὼν γὰρ λέγεται ἡ καταφερομένη· νιφάδες δὲ ἐπὶ χιόνος, σταλαγμοὶ ἐπὶ ὄμβρων, ῥανίδες δὲ κυρίως αἱ ἀπὸ κεράμων ἢ τοιούτων τινῶν καταῤῥέουσαι. Moschop.

534. *ΚΑΙ ΤΟΤΕ ΕΣΣΑΣΘΑΙ.* Πῶς δεῖ τὸν γεωργικὸν στέλλεσθαι κρύους ὄντος, διὰ τούτων ὑφηγεῖται· χλαμύδα περιβάλλεσθαι θάλπειν δυναμένην· τοιαύτη δὲ ἡ μαλακή· καὶ χιτῶνα τοιοῦτον καθειμένον, εἶθ' ὅπως ἔσται μαλακὰ διδάσκων φησί· χρῆναι τὸν μὲν στήμονα τούτων εἶναι μὴ πολὺν, τὴν δὲ κρόκην πολλήν. Μαλακὴν μὲν οὖν χλαῖναν, οὐ τὴν Μιλησίαν λέγειν αὐτὸν ἢ τὴν Ἀττικὴν, ἢ ὅλως τὴν θρυπτομένοις οἰκείαν, οἵαν νῦν οἱ βαρυδαίμονες φοροῦσιν, ἀλλὰ τὴν ἐκ τῶν ἐρίων [r]) ἔχουσαν. Διδάσκει δὲ καὶ πῶς ἂν γένοιτο τοιαύτη διὰ τῆς πολλῆς κρόκης. Οἱ μὲν γὰρ στήμονες ἅτε στερεώτεροι ὄντες, ἐὰν ὦσι συνεχεῖς, δερματῶδες τὸ ὕφασμα ποιοῦσιν· ἡ δὲ κρόκη πλεῖον ἐγκαταμιγνυμένη διὰ τὸ εἶναι χαυνοτέρα τοῦ στήμονος ἀναδίδωσι κροκύδα, δι' ἧς πολλῆς οὔσης καὶ τὸ σῶμα περιπτυσσομένης, ἀλεαίνεται ὁ φορῶν. Proclus.

Ibid. *ΚΑΙ ΤΟΤΕ ΕΣΣΑΣΘΑΙ.* Κατὰ τὸν χειμέριον τοῦτον καιρὸν, ὅτε οἱ θῆρες φεύγοντες χωροῦσι πρὸς τὰ
266 δάση, ἕσασθαι καὶ ἐνδύθητι ἔρυμα καὶ φύλαγμα τοῦ σώματος, ὥς σε κελεύω, χλαῖναν καὶ παχὺ ἱμάτιον μαλακὸν, καὶ χιτῶνα τερμιόεντα· μέχρι τοῦ τέρματος, ἤγουν τῶν ποδῶν. *ΧΙΤΩΝ* δέ ἐστι κατὰ τοῦτον νῦν, καὶ κατὰ τὴν συνήθειαν,

r) h. v. uncinis inclusit Heinsius. emendationis indigere videntur. Mox χαυνοτέρα τοὺς στήμονας ἁ. κ. Leviter correxi τοῦ στήμονος.

τὸ λεγόμενον *) ἐπικάμυσον· κατ' ἐμὲ δὲ, καὶ τοὺς s) ἀκριβεστάτους τῶν παλαιῶν, χιτὼν καὶ φάρος ἐστὶ τὸ διεσχισμένον ἱμάτιον, ὃ καλοῦμεν ἐπιλώρικον, καὶ πᾶν τὸ οὕτω διεσχισμένον. *ΧΛΑΙΝΑ* δὲ, καὶ t) χλανίσκιον, τὸ νῦν καλούμενον σφικτούριον, καὶ πᾶν παχὺ ἱμάτιον. *ἝΣΣΑΣΘΑΙ*, ἐκ τοῦ ἕω τὸ ἐνδύομαι, δασύνεται· ὅθεν εἷμα, τὸ ἱμάτιον. Tzetzes.

Ibid. *ΚΑΙ ΤΟΤΕ ἝΣΣΑΣΘΑΙ.* Εἰπὼν ὄπισθεν καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται, πρὸς αὐτὸ ἐπάγει, καὶ τότε ἕσσασθαι μετὰ τοῦ καὶ, καὶ τότε ἔνδυσαι, περιβαλοῦ ἀσφάλειαν τοῦ σώματος, ἤγουν ἐνδύματα ὀχυροῦντα καὶ ἀσφαλιζόμενα τὸ σῶμα, καθά σε κελεύω· οὔπω κελεύει, ὃ δὲ ποιήσει αὐτίκα, ὡς ἤδη τοῦτο ποιῶν λέγει· τοῦτο δὲ σύνηθες καὶ παρὰ τοῖς κοινοῖς. Ἔρυμα ἰδίως τὸ φρούριον, ὃ καὶ πολίχνιον λέγεται· ἐνταῦθα δὲ ἔρυμα λέγει τὴν ἀσφάλειαν ἁπλῶς καὶ φυλακήν. Χλαῖναν μὲν μαλακὴν ἔνδυσαι, ἤγουν χλαμύδα, καὶ χιτῶνα μαλακὸν, δηλονότι τερμιόεντα, ἤγουν ποδήρη· χλαῖνα τὸ ἐκτὸς καὶ παχύτερον, χιτὼν τὸ ἐνδοτέρω· σύνθες δὲ, ὕφανον, τοῦτο γὰρ τὸ μηρύσασθαι ἐν ὀλίγῳ στήμονι πολλὴν κρόκα, ἀντὶ τοῦ κρόκην κατὰ μεταπλασμόν· οὕτω γὰρ ἂν εἴη δηλονότι μαλακὴ ἡ χλαῖνα, κροκύδος ἀναδιδομένης, οὐ συνεχῶν ὄντων τῶν στημόνων, ταύτην περιβαλοῦ, ἵνα σοι αἱ τρίχες ἀτρεμέωσιν, ἤγουν ἀκίνητοι ὦσιν, ἥσυχοι κατακέωνται. Moschop.

536. *ΜΗΡΥΣΑΣΘΑΙ.* Ἐπισπεύσασθαι ὑφάναι. Μήρυμα δὲ κυρίως τὸ ξαινόμενον ἔριον· νῦν δὲ ποιήσασθαι εἶπεν. Proclus.

Ibid. *ΣΤΗΜΟΝΙ Δ' ΕΝ ΠΑΥΡΩι.* Εἰπὼν χλαῖναν μαλακὴν, διδάσκει καὶ πῶς μαλακὴ γένοιτο, καί φησι, ἐν ὀλίγῳ στήμονι πολλὴν κρόκα καὶ ὕφασμα μηρύσασθαι, καὶ μηρύου καὶ ὕφαινε, καὶ οὕτω μαλακὴν αὐτὴν ἀπεργάσῃ. Tzetzes.

537. *ΤΗΝ ΠΕΡΙΕΣΣΑΣΘΑΙ.* Τοῦτο συμβαίνει τοῖς v) ῥιγῶσι. Πιεζομένων γὰρ τῶν τριχῶν κατὰ τὰς ῥίζας ὑπὸ

[*) ὑποκάμισον MS. Schellershem. et mox ἐπιλώριον. *Ex Addendis.*]

s) ἀκριβεστέρους E. G.

t) χλανίδιον E.

v) Sic A. B. ἐριγῶσι Trinc. ἐῤῥιγῶσι Heins.

τῆς ψυχρότητος καὶ πυκνώσεως τῆς περὶ αὐτὰς γινομένης, αἴρονται ὀρθαί. Καὶ τοῦτό ἐστι τὸ [w]) τῆς φρίκης πάθος, ἡ διὰ πυκνώσεων σύντασις τῶν τριχῶν. Proclus.

Ibid. *ΤΗΝ ΠΕΡΙΕΣΣΑΣΘΑΙ.* Ταύτην τὴν χλαῖναν τῷ χειμῶνι ἐνδύθητι, ἵνα σου αἱ τρίχες ἐν τῷ καθεστηκότι ὦσι, καὶ μὴ ψυχομένης σου τῆς κεφαλῆς, καὶ οὕτω τοῦ ταύτης δέρματος πυκνουμένου, ἀνίστωνται ὄρθιοι. Tzetzes.

538. *ΜΗ Δ' ΟΡΘΑΙ ΦΡΙΣΣΩΣΙΝ ΑΕΙΡΟΜΕΝΑΙ ΚΑΤΑ ΣΩΜΑ.* Μὴ δὲ αἰρόμεναι ὀρθαὶ κατὰ σῶμα, γίνωνται, ὤφειλεν· ὁ δέ φησι φρίσσωσιν, ὃ καὶ μόνον τὸ τὰς
267 τρίχας ὀρθίας γίνεσθαι δηλοῖ, καὶ Εὐριπίδης [x]) ὅμοιόν τι ποιεῖ ἐν τούτοις·

μὴ τελεσφόρους
Εὐχὰς θεοὶ κραίνωσιν.

ὀφείλων γὰρ εἰπεῖν μὴ τελεσφόρους ποιήσωσιν, ὁ δὲ φησὶ τελεσφόρους κραίνωσιν ἐκ παραλλήλου, ὡς

πετρώματι λευσίμῳ

ἐν ἄλλοις, ἤγουν λιθοβολισίμῳ. Καὶ ἁπλῶς πολὺ παρὰ τούτοις τὸ τοιοῦτον· ἐνταῦθα δὲ καὶ οὕτως ἂν ὁ λόγος λέγοιτο, μὴ δὲ φρίσσωσι λέγω, ὀρθαὶ κατὰ τὸ σῶμα αἰρόμεναι, ἵν' ᾖ τὸ ὀρθαὶ αἰρόμεναι, ὥσπερ ἐφερμηνευτικὸν τοῦ φρίσσωσι· φρίσσειν γάρ ἐστιν ὅταν αἱ τρίχες ὀρθαὶ γίνωνται πυκνουμένου τοῦ δέρματος. Moschop.

539. *ΑΜΦΙ ΔΕ ΠΟΣΣΙ.* Ἐκ βοείων δερμάτων εἶναι κελεύει τὰ ὑποδήματα, καὶ τούτων τῶν ἰσχυρῶν· τοιαῦτα δὲ εἶναι τὰ τῶν σφαγέντων βοῶν, ἀλλ' οὐ τὰ τῶν αὐτομάτως ἀποθανόντων. Εἰκότως. Ἀποθνήσκουσι μὲν γὰρ ἢ νοσήσαντες, ἢ γηράσαντες, ὥστε ἠσθενηκότες. Τῶν δὲ σφαγέντων ἡ ἐν τοῖς δέρμασιν ἐνοῦσα δύναμις μένει. Δεῖν οὖν ἐκ τούτων εἶναι τὰ ὑποδήματα· δεῖν δὲ καὶ πίλοις ἔνδοθεν χρῆσθαι συμφύεσθαι τοῖς ποσὶ δυναμένοις, καὶ μειζόνως ἀλεαίνειν. Τὰ γὰρ ἄκρα μείζονος δεῖται βοηθείας, ὡς ποῤῥώτερον ὄντα τοῦ μέσου, ἐν ᾧ τὸ ἔμφυτον θερμόν. Proclus.

Ibid. *ΑΜΦΙ ΔΕ ΠΟΣΣΙ.* Περὶ δὲ τοῖς ποσὶν ἔνδυσαι ὑποδήματα ἀπὸ βοὸς δέρματος μὴ νόσῳ τελευτήσαντος· ἀσθενῆ

w) τῆς et mox ἡ A. Deinde σύντασις pro σύστασις ex eodem.

x) Phoen. 67. et mox Orest. 50.

γὰρ τὰ τοιαῦτα δέρματα, ὡς δαμασθέντα τῇ νόσῳ· ἀλλὰ ἀπὸ δέρματος βοὸς, ἐν τῷ ὑγιῶς καὶ ἐῤῥωμένως ἔχειν σφαγέντος. TZETZES.

Ibid. *ΑΜΦΙ ΔΕ ΠΟΣΣΙ ΔΗΣΑΣΘΑΙ.* Ὅμοιον τῷ,

κνημῖδας μὲν πρῶτα περὶ κνήμαισιν ἔθηκεν.

Δεῖ δὲ ἐν τούτοις τὴν πρόθεσιν τῷ ῥήματι συνάπτειν, ἵν' οἰκείως ἔχῃ πρὸς τὴν δοτικὴν, ὡς τὸ περιαρτῶ, καὶ πολλὰ ἕτερα. Ὡς γὰρ περιαρτῶ τόδε τῷδε λέγεται, οὕτως ἂν οἰκείως λέγοιτο καὶ περιτίθημι ταῖς κνήμαις τὰς κνημῖδας, καὶ περιδῶ τοῖς ποσὶ τὰ πέδιλα, ἤγουν περιτιθεὶς δεσμῶ. Τοῖς ποσὶ δὲ περίδησον πέδιλα, ἤγουν ὑποδήματα ἁρμόδια, τουτέστι σύμμετρα αὐτοῖς, ἀπὸ δέρματος βοὸς ἶφι κτανθέντος· ἤγουν κραταιῶς καὶ ἐν τῇ ἰσχύϊ αὐτοῦ σφαγέντος, ἀλλ' οὐκ αὐτομάτως ἀποθανόντος, ἀπὸ νόσου δηλονότι ἢ γήρως, οὗ τὸ δέρμα ἀνίσχυρον γίνεται· ἀλλ' ἐν τῇ ἰσχύϊ σφαγέντος, ἵν' ἰσχυρὸν ᾖ τὸ δέρμα· πίλοις ἔνδον τῶν ὑποδημάτων πυκάσας αὐτοὺς, τοὺς πόδας δηλονότι, ἤγουν ἀσφαλισάμενος. Δέρματα δὲ πρωτογόνων ἐρίφων, ἵν' ἰσχυρότερα ᾖ δηλονότι, τῶν τεκόντων αὐτοὺς ἔτι ἀκμαζόντων, συνάπτων ἕτερον ἑτέρῳ, ῥάπτε νεύρῳ βοός· καὶ τοῦτο διὰ τὸ ἰσχυρόν· ὁπότε ἔλθῃ τὸ κρύος τὸ ὥριον, ἤγουν τὸ συνήθως ἐν τῇ τεταγμέ- 268
νῃ αὐτοῦ ὥρᾳ γινόμενον· ἢ ἀντιστρόφως, τὸ κρύος τὸ ὥριον, ἀντὶ τοῦ ἡ ὥρα ἡ τοῦ κρύους· ἵνα περιβάλλῃ ἐπὶ τὼ ὤμω ὁμοῦ, ἀντὶ τοῦ ἐνδύσῃ· ὑετοῦ ἀλεὴν, ἀντὶ τοῦ ἀλεωρὴν, κατὰ συγκοπὴν, ἤγουν καταφυγήν. MOSCHOP.

540. *ΑΡΜΕΝΑ.* Καὶ ἁρμόδια καὶ προσφυῆ τῷ χειμῶνι καὶ τῷ σῷ ποδί. TZETZES.

Ibid. *ΔΗΣΑΣΘΑΙ.* Ὑπόδησαι. TZETZES.

Ibid. *ΠΙΛΟΙΣ.* Πίλοις, κυρίως τοῖς ἐξ ἐρίων πεπιλημένοις καὶ y) συμπατηθεῖσι, καὶ συσφιγχθεῖσιν ὑφάσμασιν, ἃ οἱ ἰδιῶται νῦν κέντουκλά φασι. Νῦν δὲ πίλα, τὰ ἀρτάρια. TZETZES.

541. *ΠΡΩΤΟΓΟΝΩΝ Δ' ΕΡΙΦΩΝ.* Βούλεται καὶ z) δέρματι σκέπειν ἑαυτὸν τὸν γεωργικόν· εὔραφον δὲ εἶναι τοῦτο ἐκ

y) συμπαγηθεῖσι καὶ σφιγχθεῖσιν E. Mox ἃ ἰδιωτικῶς νῦν E. H. ὀρτάρια H. G. ὀρτάρηα E.

z) Ita A. δέρματα edd. Sequentia etiam emendavi ex A. Vulgo desunt καὶ post εἶναι et τεχθέντων. Edd. paullo post ἐκκρίνας.

πολλῶν δερμάτων ἐριφίων, ἐκ πρωτογόνων δὲ ἐρίφων, οἰόμενος ἰσχυρότερα εἶναι καὶ τὰ τούτων δέρματα, ὡς τεχθέντων ἔτι τῶν τεκόντων αὐτοὺς ἀκμαζόντων· ὥσπερ καὶ τὰ νεῦρα τὰ βόεια, οἷς χρῆναι τὰ δέρματα συῤῥάπτειν, διὰ τὴν ἰσχὺν ἔκρινεν. Τὸ δ' οὖν τοιοῦτον δέρμα περίβλημα εἶναι τῶν νώτων, ἵνα τὴν διφθέραν ταύτην φορῶν ὁ ἐργάτης ἀμύνηται τὰς ἐκ τοῦ ὑετοῦ προσβολὰς, ἀλέαν ἔχων καὶ τὴν ἀπ' ἐκείνου ψύξιν διαφεύγων. Proclus.

Ibid. *ΠΡΩΤΟΓΟΝΩΝ Δ' ΕΡΙΦΩΝ.* Ἀπὸ δέρματος πρωτογόνων ἐρίφων συῤῥάπτων δέρματα, ποίει ἱμάτια ἐν τῷ χειμῶνι. Διὰ τί δὲ ἀπὸ τοιούτων; ἵνα δυνατὰ ᾖ τὰ δέρματα, νέων ὄντων καὶ σφριγώντων τῶν αὐτοὺς γεννησάντων τράγων. Τῶν γὰρ νεαζόντων πατέρων τὰ τέκνα γενναῖα καὶ σθεναρὰ, ὡς τῶν γηραιῶν [a]) ἀσθενῆ μὲν ὡς ἐπὶ τὸ πλεῖστον, ἀλλὰ φρόνιμα. Tzetzes.

542. *ΝΕΥΡΩι ΒΟΟΣ.* Διὰ τὸ ἰσχυρὸν εἶπεν. [b]) Ἐρίφῳ γὰρ ταῦτα συῤῥάπτουσι· Σκύθαι δὲ νευρῷ. Tzetzes.

543. *ΚΕΦΑΛΗιΦΙ Δ' ὙΠΕΡΘΕΝ.* Δεῖ καὶ πῖλον ἔχειν ἐπὶ τῆς κεφαλῆς ἀσκητόν· ἔστι δ' οὗτος ὁ ἐξ ἐρίων γεγονὼς, ἵνα μὴ ὑετὸς καταβρέχῃ τὴν κεφαλὴν, ἣν διὰ τῶν ὤτων ἐδήλωσεν ἐπ' [c]) ἐσχάτης αὐτῆς κειμένων. Καὶ τέλος πάντων ἐπήγαγεν, ὅτι ψυχραὶ πάντων εἰσὶν αἱ καταστάσεις τῶν ἡμερῶν, βορέου [d]) πεσόντος· τοῦτο δ' ἔστιν ἄνωθεν πνεύσαντος· πνεῖ γὰρ ἀπὸ ὑψηλοτέρων ὁ βορέας, ὃ δηλοῖ τὸ πεσεῖν. Διὸ χρὴ ταῦτα πάντα κατεσκευάσθαι τὰ περιβλήματα, τὴν χλαῖναν, τὸν χιτῶνα, τὰ ὑποδήματα, τοὺς ἐντὸς τούτων πίλους, τὴν διφθέραν, τὸν ἐπὶ τῆς κεφαλῆς ἄλλον πῖλον· οἷς ὁπλισθεὶς ὁ ἐργατικὸς, ἀμύνεται τὸν κρυμόν. Proclus.

269 Ibid. *ΚΕΦΑΛΗιΦΙ Δ' ὙΠΕΡΘΕΝ.* Ἀντὶ τοῦ ἐπὶ τῇ κεφαλῇ πῖλον ἔχε ἀσκητὸν, ἤγουν τέχνῃ κατεσκευασμένον· ἔστι δὲ οὗτος ὁ ἐξ ἐρίων. Οὐ διαστέλλων δὲ ἀπὸ τῶν ἄλλων, οὓς ἐν τοῖς ποσὶν εἶπεν, ὡς ἂν ἐκείνων δηλονότι μὴ ἀσκητῶν, τοῦτον ἀσκητὸν λέγει· ἀλλὰ καὶ τοῦτον ἀσκητὸν λέγει, καὶ ἐν ἐκείνοις τὸ ἀσκητὸν δίδωσι συνυπακούειν· κἀκεῖνοι γὰρ ἀσκητοὶ, ἵνα τὰ ὦτα μὴ καταβρέχῃ, ἀντὶ τοῦ τὴν κεφαλὴν

a) Sic E. μὲν ἀσθενῆ sine ὡς edd.
b) ἐρίων edd. et mox καὶ νευρῷ.
c) ἐσχάτοις B.
d) πνέοντος B. Trinc.

πᾶσαν· ἀπὸ τοῦ μέρους γὰρ τὸ ὅλον νοεῖν δίδωσιν. Θέλει δὲ ἴσως διὰ τούτου δηλοῦν, μέγαν δεῖ εἶναι τὸν πῖλον, καὶ καλύπτειν πᾶσαν τὴν κεφαλὴν, ὡς μηδὲ τὰ ἐν τῷ ἐσχάτῳ μέρει αὐτῆς κείμενα ὦτα ἄμοιρα τῆς σκέπης ἐᾷν, καὶ διὰ τοῦτο βρέχεσθαι. Moschop.

545. *ΨΥΧΡΗ ΓΑΡ Τ' ΗΩΣ ΠΕΛΕΤΑΙ.* Τὸ τότε συνυπακούεται, ἤγουν, ψυχρὰ γὰρ τότε γίνεται ἡ ἡμέρα, Βορέου πεσόντος, ἀντὶ τοῦ καταπνεύσαντος. Ἀπὸ γὰρ τῶν ὑψηλοτέρων μερῶν ὁ Βορᾶς πνεῖ. Moschop.

546. *ΗΩιΟΣ Δ' ΕΠΙ ΓΑΙΑΝ.* Ταῦτα λέγεται φυσικῶς περὶ τῶν εἰς τὸν ἀέρα φερομένων ἐκ τῶν ὑγρῶν τῶν ἐπὶ γῆς, οἷον ποταμῶν ἢ λιμνῶν, ἀναθυμιάσεων· ἀφ' ὧν ποτὲ μὲν νέφη συνίστανται μόνον, ποτὲ δὲ ὑετοὶ φέρονται, πυκνωθεισῶν τῆς ληγούσης ἡμέρας τῶν [e]) ἀθροισθεισῶν ὀρθρίων. Ὁ μὲν οὖν ἀὴρ πυροφόρος λέγεται τῷ τρέφειν τοὺς καρποὺς διὰ τῶν ἀνέμων καὶ τῶν ὑδάτων ὧν καταπέμπει. Proclus.

Ibid. *ΗΩιΟΣ Δ' ΕΠΙ ΓΑΙΑΝ.* Κατὰ γὰρ τὸν τότε πρωϊνὸν καιρὸν ἐπὶ τὴν γῆν ἐξαπλοῦται, καὶ χέεται ἀπὸ τοῦ οὐρανοῦ ἐν τοῖς γεωργίοις τῶν εὐδαιμόνων καὶ σωφρόνως γεωργούντων ἀνθρώπων, ἀὴρ σιτοφόρος καὶ ἀγαθός. Tzetzes.

Ibid. *ΗΩιΟΣ Δ' ΕΠΙ ΓΑΙΑΝ.* Ὁ ἀὴρ δὲ, ὃς ἀπὸ τοῦ οὐρανοῦ τοῦ καταστέρου, [171]) ἀντὶ τοῦ ἀπὸ τοῦ [f]) αἰθέρος, μέχρι τῆς γῆς διήκει, τέταται ταύτην τὴν ἑαυτοῦ τάσιν ἐπὶ τοῖς ἔργοις τῶν μακάρων, ἤγουν τῶν γεωργῶν τῶν ἀπὸ οἰκείων κόπων εὐπόρων, καὶ διὰ τοῦτο ζηλωτῶν καὶ εὐδαιμόνων. Ἠῷος ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατὰ τὸν ὄρθρον. Πυροφόρος, ἀντὶ τοῦ θρεπτικὸς καὶ ζωογόνος τῶν καρπῶν· ἀπὸ γὰρ τοῦ σίτου πάντας τοὺς καρποὺς νοεῖ. Ἑῷον δὲ λέγει καρποφόρον, διὰ τὴν τοῦ ὄρθρου δρόσον, ἥτις τρέφει τὰ λήϊα, ὅστις ἀπὸ ποταμῶν ἀενάων ἀνιμησάμενος, τὰς ἀτμίδας δηλονότι, ἃς τὸ θερμὸν ἀναδίδωσιν, ἀπὸ τούτων, καὶ τῶν φρεάτων, καὶ τῶν λιμνῶν, εἴσω τῆς γῆς [g]) κεκλεισμένων διὰ

e) ἀθροισθεισῶν ὀρθρίων A. θροισθεισῶν ἐν ὄρθρῳ edd. ἀθροισθέντων ὀρθρίων B. Omnes, ni fallor, paullo supra habent πυκνωθέντων. Correxi e Moschopulo.

171) Scribe, ἀντὶ τοῦ ἀπὸ τοῦ αἰθέρος. Heinsius.

f) αἰθέρος B. pro vulg. θέρους.

g) Sic B. ἐγκλειόμενον edd.

τὴν ψυχρότητα, ὑψοῦ ὑπὲρ τῆς γῆς ἀρθεὶς, ἤγουν μετεωρι-
270 σθεὶς ἀνέμου συστροφῇ, ἄλλοτε μὲν ὑετὸν καταπέμπει πρὸς ἑσπέραν, πυκνωθεισῶν καὶ ψυχθεισῶν τῶν ἀτμίδων, δηλονότι τῶν ἀθροισθεισῶν ὀρθρίων, ληγούσης τῆς ἡμέρας. Moschop.

547. *ΜΑΚΑΡΩΝ ΕΠΙ ΕΡΓΟΙΣ.* Τοῖς τῶν εὐδαιμόνως ζώντων. Τὴν δὲ μεταξὺ θέσιν [h]) αὐτὴν γῆς καὶ οὐρανοῦ τάσιν ἐκάλεσεν, ὡς καὶ εἰς ὕψος χωροῦντος, καὶ εἰς τὰ κοῖλα καταδυομένου τῆς γῆς. Τοῦτον δέ φησιν ἀπὸ τῶν [i]) ποταμῶν ἀρυσάμενον τὰς ἀτμίδας αἴρεσθαι ὑπὲρ τὴν γῆν, ἀνάγοντα τὰς ἀτμίδας. Διὰ γὰρ τὴν ψύξιν τὸ θερμὸν εἴσω τῆς γῆς εἰργόμενον ἀναπέμπει τὰς ἀτμίδας, καὶ ἐκ τῶν ποταμῶν τῶν ἐν αὐτῇ καὶ ἐκ τῶν φρεάτων· καὶ ἔστιν ἰδεῖν τοῦτο ἐναργῶς ἀποτελούμενον ἀπὸ τῶν ἁλικῶν καὶ φρεατίων ἀνάδοσιν ἔωθεν τοιαύτην ἀτμώδη. Ὁ οὖν ἀὴρ δεχόμενος ταύτας ὑψοῖ διὰ τῆς τῶν ἀνέμων συστροφῆς· καὶ ὅταν τοῦτο γένηται, [k]) ποτὲ μὲν ὡς πρὸς ἑσπέραν ὕει, ψυχθείσης τῆς ἀτμίδος, ποτὲ δὲ εἰς πνευμάτων μεταβάλλει συστάσεις. Δεῖν οὖν ταῦτ' εἰδότα τὸν γεωργικὸν τὰ ἔργα πειρᾶσθαι πληροῦν [l]) πρὸ τῆς ἑσπέρας, καὶ οἴκαδε ἀναχωρεῖν, μήποτε ἀσυμπληρώτων ὄντων τῶν ἔργων, νὺξ ἐπέλθῃ τοιαύτη, καὶ ποιήσῃ τὸ σῶμα μυδαλέον, δίυγρον ἐκ τοῦ ὑετοῦ γεγονός. *ΑΛΛΩΣ.* Πρωϊνὸς δὲ ἀὴρ εἰς γῆν ἁπλοῦται ἐξ οὐρανοῦ σιτοφόρος, ὅστις ἀνιμήσας ἀπὸ ποταμῶν καὶ ὑψωθεὶς, εἰς πνοὰς [m]) διαλέλυται. Proclus.

Ibid. *ΑΗΡ ΠΥΡΟΦΟΡΟΣ.* Ἡ δρόσος ἡ τὸν σῖτον φέρουσα, ἢ ἀὴρ δροσώδης τρέφων τὰ λήϊα, ἢ ὁ φέρων τὸν σῖτον, ἢ ὁ πυρετὸν καὶ κάματον φέρων, ἢ ὁ φέρων τὸν ἥλιον. Σέλευκος δὲ γράφει, *ΑΗΡ ΟΜΒΡΟΦΟΡΟΣ.* Ἴσως δὲ πείθων γεωργεῖν. Μάκαρας δὲ πάντας ἐκάλεσε πλουσίους. Proclus.

548. *ὉΣ ΤΕ ΑΡΥΣΣΑΜΕΝΟΣ.* Ὅστις ἀὴρ ἐκ τῶν ὑγρῶν ἀτμίδων ἀνασπῶν καὶ μετεωρισθεὶς, ταύτας πνευματοῖ· καὶ εἰ μὲν παχεῖαι ὦσι, πυκνώσας αὐτὰς πάλιν ὕων [n]) καταβρέχει· εἰ δὲ λεπτότεραι, πνευματώσας ἐξανεμοῖ.

h) αὐτῆς B. Mox εἰς ante ὕψος inserui ex A.
i) οὐρανῶν B.
k) τότε μὲν et mox τότε δὲ A. Vulgo deest μέν.
l) περὶ A.
m) διαλύεται A.
n) καταβρέχει E. H. καταχέει edd. Iidem mox λεπτότεραι pro λεπτότερον. Paullo post ex MSS. inserui καὶ πληρώσας usque ad προλαβών. Herodoti locus est II. 27.

Τοῦτον οὖν τὸν χειμέρινον ἀέρα, ἤτοι Χοιὰκ τὸν Ἰανουάριον μῆνα, προλαβὼν, καὶ πληρώσας τὰ γεωργήσιμα ἔργα, εἰς τὸν οἶκόν σου πορεύου, μήποτε τοιούτῳ νέφει ὀμβρίῳ καὶ χειμερίῳ κατασχεθεὶς διάδοχος γένῃ, ἀλλὰ προλαβὼν ἐν τῇ ἀρόσει καὶ τῷ σπόρῳ τὸν τοιοῦτον μῆνα, ἔκφευγε αὐτὸν ὡς χαλεπώτατον καὶ χειμέριον. Tzetzes.

Ibid *ΑΕΝΑΟΝΤΩΝ. Αἰὲν ἀέντων. Ἐξ ὑδάτων γὰρ τὰ πνεύματα. Καὶ Ἡρόδοτος, Ἐκ ψυχροῦ φιλέει αὔρη γίνεσθαι.* Tzetzes.

550. *ΑΛΛΟΤ' ΑΗΣΙ. Ἀντὶ τοῦ ἀνέμους κινεῖ. Εἶτα τῷ Βορᾷ τὴν ἐπικράτειαν θέλων ἀπονεῖμαι, ἐπάγει, τοῦ* 271 *Θρακίου Βορέου συνεχῶς τὰ νέφη ταράττοντος, ὡς αὐτοῦ ἐπικρατοῦντος τότε καὶ συνεχῶς πνέοντος.* Moschop.

552. *ΤΟΝ ΦΘΑΜΕΝΟΣ. Ἤγουν τοῦτον, τὸν Ληναιῶνα δηλονότι· ἀπὸ τούτου γὰρ ἀρξάμενος καὶ πολλὰ διὰ μέσου θεὶς, πάλιν ἐπαναλαμβάνει καὶ ἀποδίδωσι πρὸς αὐτὸν τὸν λόγον, καὶ φησὶ τοῦτον τὸν μῆνα προφθάσας, τελέσας τὸ ἔργον, ἤγουν τὴν ἀροτρίασιν, νέεσθαι, τουτέστι νέου, πορεύου, οἶκονδε, ἤγουν εἰς τὸν οἶκόν σου, ἐπιῤῥηματικῶς. Ἰστέον δὲ ὅτι ταῦτα τὰ εἰς δε, εἰ μὲν ἀπὸ αἰτιατικῆς τῶν ἑνικῶν γίνεται, παρὰ μόνοις τοῖς ποιηταῖς εἰσὶν ἐν χρήσει, οἷον οἶκονδε, κῶονδε, ἅλαδε· εἰ δὲ ἀπὸ αἰτιατικῆς τῶν πληθυντικῶν, εἰ τὸ ὄνομα παρὰ τοῖς κοινοῖς ἐν χρήσει, καὶ ταῦτα πάντα ἐν χρήσει, οἷον Ἀθήναζε, Μυκήναζε, θύραζε, ἐφ' οἷς καὶ τὸ σ καὶ δ' εἰς ζ κιρνάμενα λανθάνειν ποιεῖ τὴν ἀκρολουθίαν. Εἰ τὸ ὄνομά ἐστιν ἐν χρήσει, εἴρηται διὰ τὸ ἔραζε· ἐπεὶ γὰρ τὸ ἔρα οὐκ ἦν ἐν χρήσει παρὰ τοῖς κοινοῖς, οὐδὲ τὸ ἔραζέ ἐστιν ἐν χρήσει.* Moschop.

553. *ΜΗ ΠΟΤΕ Σ' ΟΥΡΑΝΟΘΕΝ. Ἵνα μή σε ἀπ' οὐρανοῦ νέφος σκοτῶδες περικαλύψῃ, μυδαλέον δὲ, ἤγουν δίυγρον, ποιήσῃ τὸ σῶμά σου· καταδεύσῃ δὲ, τουτέστι κάθυγρα ποιήσῃ, τὰ ἱμάτια.* Moschop.

555. *ΑΛΛ' ο) ὙΠΑΛΕΥΑΣΘΑΙ· ΜΕΙΣ ΓΑΡ ΧΑΛΕΠΩΤΑΤΟΣ ΟΥΤΟΣ. Κατὰ Ῥωμαίους Ἰαννουάριος, ἐν ᾧ φησι τὸ κρύος γίνεται, μάλιστα τὸν Ληναιῶνα λέγων· καὶ*

ο) *ὑπαλέασθαι* B. *Μοχῖωναι* pro *Ῥωμαίους* A.

προσέθηκεν ὅτι οὐ μόνον ἀνθρώποις χαλεπὸς, ἀλλὰ καὶ προβάτοις, καὶ ταῦτα σκέπην [p]) *ἔχουσιν ἱκανὴν, ὡς εἶπεν, εἰ μὴ ἄρα καὶ ἁπλῶς τὰ βοσκήματα νῦν πρόβατα καλοίη.* PROCLUS.

Ibid. *ΜΕΙΣ ΓΑΡ. Μεὶς, ὁ μὴν, Αἰολικῶς.* TZETZES.

Ibid. *ΑΛΛ' ΥΠΑΛΕΥΑΣΘΑΙ. Ἀντὶ τοῦ ἐξαλέασθαι, τουτέστιν ἔκφυγε. Ὁ Ἰανουάριος γὰρ χαλεπώτατος οὗτος μὴν χειμέριος· χαλεπὸς τοῖς προβάτοις, ἀντὶ τοῦ τοῖς βοσκήμασιν ἁπλῶς· χαλεπὸς δὲ τοῖς ἀνθρώποις. Τότε τὸ ἥμισυ τῆς ἁρμαλιᾶς, ἤγουν τῆς τροφῆς, τῆς εἰωθυίας δηλονότι, εἴη, ἀντὶ τοῦ ἔστω, τοῖς βουσὶν, ἐπεὶ ἀναπαύονται· ἐπὶ τῷ ἀνδρὶ δὲ πλέον ἔστω τῆς συνήθους τροφῆς, ἴσως ὅτι πλέον καθικνεῖται τὸ κρύος τῶν σωμάτων τῶν ἀνθρωπείων, ὑφ' οὗ ἡ θερμότης εἴσω καθειργνυμένη διὰ τὴν ἔξωθεν πύκνωσιν, πλείονα δαπανᾷ. Εἰ δὲ καὶ τοὺς βόας κατὰ τοῦτον τὸν λόγον ἡ τοῦ χειμῶνος πύκνωσις πλέον ἑαυτῶν* [q]) *ποιεῖ δαπανᾶν κατ' ἀναλογίαν καθόσον αὐτῶν καθικνεῖται, ἀλλ' οὔπω ὁ χειμὼν μετὰ τοῦ πάνυ ὀλίγου ἐργάζεσθαι πλείω τὴν δαπάνην ποιήσει, ἢ καιρὸς ἕτερος μετὰ μόχθων τοσούτων, ἀλλ' οὐδὲ μὴν ἴσην, οὐδ' ὀλίγῳ ἐλάττονα. Αἱ μακραὶ γὰρ εὐφρόναι, ἤγουν αἱ*
272 *ἐπιτεταμέναι νύκτες, εἰσὶν ἐπίῤῥοθοι, ἤγουν βοηθοὶ, τοῖς βουσὶ δηλονότι, διόλου αὐτοὺς ἀναπαύουσαι.* MOSCHOP.

556. *ΧΑΛΕΠΟΣ ΠΡΟΒΑΤΟΙΣ, ΧΑΛΕΠΟΣ Δ' ΑΝΘΡΩΠΟΙΣ. Χαλεπὸς οὐ μόνον τοῖς μὴ ἔχουσι στέγας βοσκήμασιν, ἀλλὰ καὶ τοῖς ἀνθρώποις, καίπερ ἱκανὴν πᾶσαν πρὸς τὸν χειμῶνα κεκτημένοις τὴν ἀποσόβησιν.* TZETZES.

557. *ΤΗΜΟΣ ΘΩΜΙΣΥ ΒΟΥΣΙΝ. Διὰ τὸν χειμέριον μῆνα τροφὴν πλείονα* [r]) *κελεύει διδόναι· τοῖς μὲν βουσὶ τὸ ἥμισυ τῆς εἰωθυίας προστιθέντα, τοῖς δὲ ἀνθρώποις πλέον ἢ τὸ ἥμισυ· εἰ μὴ ἄρα τὸ ἥμισυ καὶ τὸ πλέον δεῖ συντάττειν, ἵν' ἀμφοτέροις πλέον ἢ τὸ ἥμισυ δίδωσί τις τοῦ ἔθους· πέττεται γὰρ χειμῶνος ὄντος ἡ τροφὴ μᾶλλον ἐν μήκει τῶν νυκτῶν· ἥ τε γὰρ θερμότης εἴσω* [s]) *καθειργμένη διὰ τὴν ἔξωθεν πύκνωσιν πλείονα δαπανᾷ·*

p) Sic A. Antea *ἐχουσῶν*. In fine *καλοίης* A. B.

q) Sic B. Antea *ποιεῖν δαπανᾷ*. In fine idem *ἀναπαύεσθαι* pro *ἀναπαύουσαι*.

r) *κελεύουσι* A. Mox *προστιθέντα* A. *προστιθέντι* edd. *ἄρα καὶ τὸ ἥμισυ* B. Supra in Tzetze * *ἀποσόβησιν* Bas.

s) Sic A. *καθειργνυμένη* edd.

καὶ μῆκος αἱ νύκτες ἔχουσαι πλείονα πέττουσι τροφὴν, ἣν ἁρμαλιὰν εἶπεν, ὡς προσφιλῆ τοῖς τρεφομένοις καὶ εὐάρμοστον. PROCLUS.

Ibid. *ΘΩΜΙΣΥ ΒΟΥΣΙΝ. Τότε μὴ ἐργαζομένοις τοῖς βουσὶ τὸ ἥμισυ τῆς ταγῆς δὸς, ἀνδρὶ δὲ καὶ πλέον·* [t]) *ἁρμαλιῆς, τῆς τροφῆς, ἀπὸ τοῦ ἁρμόζειν τῇ ψυχῇ, ἢ ἀπὸ τοῦ αἴρειν τὰ σώματα.* PROCLUS.

Ibid. *ΘΩΜΙΣΥ. Κατὰ συναλοιφὴν Ἀττικὴν οὕτω γίνεται ἀπὸ τοῦ τὸ ἥμισυ, ὡς θάτερον ἀπὸ τοῦ τὸ ἕτερον, καὶ θοἰμάτιον ἀπὸ τοῦ τὸ ἱμάτιον.* MOSCHOP.

Ibid. *ΤΗΜΟΣ Θ' ἩΜΙΣΥ. Τότε, φησὶ, κατὰ τὸν χειμέριον μῆνα τῆς εἰωθυίας τροφῆς τὸ ἥμισυ δίδου τοῖς βουσὶν, ὅτι μακρῶν οὐσῶν τῶν νυκτῶν τότε καθεύδουσι, καὶ οὐ κοπιῶσι τοσοῦτον, ὅσον πρότερον. Τοῖς δὲ ἀνθρώποις, δίδου πλεῖον τῆς τροφῆς τῆς πρότερον εἰωθυίας ἐκείνοις δίδοσθαι, ὅτι καὶ ἐν ταῖς μακραῖς ταύταις νυξὶν ἐγειρόμενοι* [v]) *ἐνίοτε τὶ ἐργάζονται, καὶ οὐκ ἀργοῦσι καθάπερ οἱ βόες, καὶ ὅτι ἐν χειμῶνι πλέον ἐσθίομεν οἱ ἄνθρωποι, ἡμῶν τοῦ δέρματος* [w]) *πυκνουμένου τῷ ψύχει, καὶ τῆς θερμότητος ἔνδον χωρούσης, καὶ πεττούσης ῥαύνως τὰ ἐσθιόμενα, συναιρομένης ἡμῖν εἰς πέψιν καὶ τῆς μακρᾶς ταύτης νυκτός. ΘΩΜΙΣΥ δὲ, συναλοιφὴ Ἀττική.* TZETZES.

558. *ΜΑΚΡΑΙ ΓΑΡ ΕΠΙΡΡΟΘΟΙ ΕΥΦΡΟΝΑΙ ΕΙΣΙ. Μακραὶ γὰρ οὖσαι αἱ νύκτες βοηθοῦσι* [x]) *τοῖς βουσὶ, ἐπειδὴ πολλὰ ἀναπαύονται καὶ ὀλίγα κάμνουσιν. Εὐφρόνας δε κατὰ παραγωγὴν τοῦ ὕπνου λαμβάνουσιν.* PROCLUS. 273

558. *ἉΡΜΑΛΙΗΣ. Τροφῆς, ὡς* [y]) *συναρμοττούσης τὰ μέλη.* TZETZES.

559. *ΤΑΥΤΑ ΦΥΛΑΣΣΟΜΕΝΟΣ. Τοῦτον καὶ τοὺς ἑξῆς δύο* [z]) *διαγράφει Πλούταρχος. Δηλοῦσι δὲ χρῆναι διό-*

t) *Ἁρμαλιὴ ἡ τροφὴ, ἐπειδὴ δίκην ἅρματος ὀχετεῖ τὰ σώματα, ἢ παρὰ τὸ αἴρω τὸ προσφέρω ἐστιν, ὡς Ἱπποκράτης ἐν Ἀφορισμοῖς προσάρματα τὰς τροφὰς καλεῖ. ὡς δὲ καθαίρω καθαρμὸς· αἴρω, σαρμὺς, παρ' Ἱπποάνακτι:—Ἁρμαλιῆς, τροφῆς· ἀπὸ τοῦ ἁρμόζειν τῇ ψυχῇ, ἢ ἀπὸ τοῦ αἴρειν τὰ σώματα.* Etymolog. Sorbon. MS.

v) *ἴσως τέ τι* F.

w) Sic E. Antea *ψυχομένου.*

x) *τὰς βοῦς* A. B. Trinc.

y) *συναρμοζούσης* G.

z) Forte, *διαγράφει.* Wyttenbach. ad Plutarchi Fr. Comm. n. 31. Emendatio est certissima: Proclus paullo post, *τούτων δὲ διαγραφέντων κ. τ. λ.* Itaque reposui. Vulgo *ἀναγράφει.*

λου τοῦ ἔτους βλέπειν εἰς τὰς νύκτας καὶ τὰς ἡμέρας, καὶ πρὸς ταύτας ἰσοῦν τὰ ἔργα, ἕως ἂν μετὰ τὸν σπόρον ἡ ὥρα ἀφίκηται τῆς τῶν καρπῶν συλλογῆς. Τούτων δὲ διαγραφέντων, ἀκόλουθα τὰ ἑξῆς ᾖ. PROCLUS.

Ibid. *ΤΑΥΤΑ ΦΥΛΑΣΣΟΜΕΝΟΣ.* Ταῦτα τηρῶν μου, φησὶ, τὰ παραγγέλματα, ἄχρις ὅλου ἐνιαυτοῦ, ἀπὸ θέρους μέχρι καὶ θέρους ἐξίσου, καὶ λογοπράγει τὰς ἡμέρας καὶ τὰς νύκτας, καὶ εἰ μὲν μακραὶ καὶ ἐργάσιμοι τοῖς βουσὶν αἱ ἡμέραι, δίδου τὴν δέουσαν τούτοις τροφήν· εἰ δὲ τοὐναντίον αἱ νύκτες μακραὶ καὶ ἀνέσιμοι, δίδου τούτοις ἐλάσσονα τὴν τροφὴν, πλείονα δὲ τοῖς ἀνθρώποις, δι' ἃς αἰτίας ἔφημεν. TZETZES.

560. *ΑΥΤΙΣ.* Ἡ Κοινὴ διάλεκτος καὶ Ἰωνὶς, καὶ εἰς τοὐπίσω καὶ πάλιν ταῦ γράφει· ἡ δ' Ἀττικὴ, θ. TZETZES.

562. *ΕΥ Τ' ΑΝ Δ' ἙΞΗΚΟΝΤΑ.* Ἕως τοῦ, *ΑΚΡΟΚΝΕΦΑΙΟΣ.* Αὕτη ἐστὶν ἡ ἑσπερία ἐπιτολὴ τοῦ Ἀρκτούρου, ἐν τῷ [a]) ἄκρῳ τοῦ καιροῦ τῆς νυκτὸς ἀνατέλλοντος· Κνέφας γὰρ ἡ νύξ· καὶ παρέσχεν οὗτος τοῖς ἀστρονόμοις ἀκρονύχους τούτους καλεῖν. Ἐν οὖν τῇ Ἑλλάδι τῇ Παρθένῳ συνανατέλλων ὁ Ἀρκτοῦρος, εἰκότως μετὰ ἑξήκοντα τῶν χειμερινῶν τροπῶν· ἑσπέριος δὲ ἐπιτέλλει· τότε γὰρ ἐν Ἰχθύσιν ἥλιος ἐστι, καὶ ἡ Παρθένος οὖσα κατὰ διάμετρον [b]) ἑσπέρας ἀνίσχει. Ταύτῃ δὲ καὶ ὁ Ἀρκτοῦρος. PROCLUS.

Ibid. *ΕΥΤ' ΑΝ Δ' ἙΞΗΚΟΝΤΑ.* Ἡνίκα δὲ ἑξήκοντα ἡμέραι χειμέριαι παρέλθωσι, μετὰ τὴν [c]) χειμερινὴν τοῦ ἡλίου τροπὴν, τότε ὁ Ἀρκτοῦρος ἀστὴρ ἐκ τοῦ Ὠκεανοῦ ἀνατέλλων, [d]) ἀκρόνυχος φαίνεται· μετὰ μικρὸν δὲ ἵσταται καὶ τὸ ἔαρ, καὶ ἡ χελιδὼν φαίνεται. Πρὸ γοῦν τοῦ ἔαρος καὶ τῆς ἐπιφανείας τῆς χελιδόνος προλαβὼν, φησὶ, κλάδευέ σου τὰς ἀμπέλους. Χειμερία δὲ τροπὴ τοῦ ἡλίου, ὅταν ἐν τῷ Τοξότῃ [e]) γένηται ὁ ἥλιος, ἤγουν μοιρῶν Δεκεμβρίου δέκα, ἢ ὀλίγον τι πλέον, ἢ ἔλασσον. TZETZES.

274 Ibid. *ΕΥΤ' ΑΝ Δ' ἙΞΗΚΟΝΤΑ.* Ὁπηνίκα δ' ἂν μετὰ τὰς τροπὰς τοῦ ἡλίου ἑξήκοντα ἡμέρας χειμερινὰς ὁ Ζεὺς ἐκτε-

a) ἄρκῳ B.
b) Sic A. ἑσπέραν edd.
c) χειμερίνην ταύτην τροπὴν Bas. χ. τ. τ. τοῦ ἡλίου E.
d) ἀκρόνυχα F. Trinc. μετὰ ad φαίνεται om. Trinc. Mox τὰς ἀμπέλους dedi ex E. G. Trinc. τὰ ἀμπέλια Bas. Heins. τὰς ἀμπελῶνας H.
e) Sic G. Trinc. τρέπεται Bas.

λέσῃ, τὰς ἡμέρας εἰπὼν χειμερινὰς, νοεῖν ἔδωκεν ὅτι καὶ αἱ τροπαὶ χειμεριναί. Σαφέστερον δ' ἂν ἐποίει τὸν λόγον, εἰ τὰς μὲν τροπὰς ἔλεγε χειμερίας, μόνας δὲ τὰς ἡμέρας ἐπῆγεν. Ἔστω δὴ οὕτως ἵνα σαφέστερον λέγοιτο. Καὶ ἔχει τὸ πᾶν οὕτως· ὁπηνίκα δ' ἂν μετὰ τὰς τροπὰς τοῦ ἡλίου τὰς χειμερινὰς ἑξήκοντα ἡμέρας ὁ Ζεὺς ἐκτελέσῃ, τότε δὴ πρῶτον ὁ ἀστὴρ ὁ ἀρκτοῦρος ὁμοταγὴς ὢν τῇ παρθένῳ, καταλιπὼν τὸν ἱερὸν ῥοῦν τοῦ Ὠκεανοῦ ἐπιτέλλει λάμπων, ἀκροκνέφαιος, ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ κατὰ τὸ ἄκρον τῆς νυκτὸς, ἤγουν κατὰ τὴν ἑσπέραν· κνέφας γὰρ τὸ τῆς νυκτὸς σκότος. Μεθ' ὃν, ἀντὶ τοῦ μετὰ τὴν ἐπιτολὴν αὐτοῦ, ἡ χελιδὼν, ἡ ὀρθρογόη, ἤγουν ἡ κατὰ τὸν ὄρθρον γοῶσα, ἡ τοῦ Πανδίονος θυγάτηρ, κατὰ τὸν μῦθον, εἰς φῶς ἔρχεται τοῖς ἀνθρώποις, νεωστὶ τοῦ ἔαρος καθισταμένου, ἤγουν ἤδη γινομένου τοῦ ἔαρος. Ταύτην προφθάσας, ἀντὶ τοῦ τὴν ἐπιφάνειαν αὐτῆς, περίτεμνε τὰς οἰνάδας, ἤγουν τὰς ἀμπέλους, τουτέστι κλάδευε· οὕτω γὰρ καλὸν τοῦτο ποιεῖν, ἤγουν πρὸ τῆς ἐπιφανείας τῆς χελιδόνος καὶ τοῦ ἔαρος. MOSCHOP.

563. ΖΕΥΣ. Ὁ οὐρανὸς, ἢ ἡ Εἱμαρμένη. Ἐν γὰρ τῷ Ζωδιακῷ κύκλῳ τοῦ οὐρανοῦ, ὁ ἥλιος [f]) τὰ τριάκοντα διχὰ τμήματα τοῦ δωδεκαζωδίου περιπολούμενος τὰ τῶν ἡμερῶν ἀπεργάζεται διαστήματα. Ἢ ὅτι ἡ Εἱμαρμένη, ἣν ἡμεῖς πρόνοιαν θείαν καλοῦμεν, οὕτως ἔταξε [g]) νυχθημέρους, καὶ μῆνας, καὶ ἐνιαυσιαίους κύκλους ἀποτελεῖσθαι. TZETZES.

Ibid. ΑΣΤΗΡ. Τὸ ἄστρον ἀστέρας περιέχει. TZETZES.

564. ΑΡΚΤΟΥΡΟΣ. Ὁ τοῦ ἀρκτοφυλάκου ἀστὴρ, ὁ μεταξὺ τῶν σκελῶν αὐτοῦ ἀνατέλλων. Ὁ δὲ αὐτὸς Ἀρκτοφύλαξ καλεῖται καὶ Βοώτης. PROCLUS.

Ibid. ΑΡΚΤΟΥΡΟΣ. Τοῦτον υἱὸν λέγουσι Καλλιστοῦς τῆς Λυκάονος θυγατρὸς, Ἀρκάδα καλούμενον, ὅτι Διὸς μιγνυμένου τῇ Καλλιστοῖ, Ἥρα [h]) ζηλοτυπήσασα ταύτην ἄρκτον ἐποίησεν, [i]) ἐπερχομένην δὲ τὴν Καλλιστὼ ἐν κυνηγεσίῳ κατ'

Heins. Mox ἤγουν δέκα μοιρῶν δέκα Trinc.
f) τὰς τριάκοντα μοίρας Trinc. qui paullo supra οὐράνιος pro οὐρανός.
g) νυχθήμερα καὶ μῆνας Trinc. νυχθημέρους καὶ νύκτα Bas. Heins. μῆνας pro νύκτας F. G. μῆνα καὶ ἐνιαυσιαῖον κύκλον E. H. Ἀστὴρ ad fin. om. Trinc. F. H.
h) ζηλοτυποῦσα Trinc.
i) ἐπηρμένην Trinc. ἐπηρμένη

αὐτοῦ ὁ παῖς τρώσας ἀνεῖλεν, καὶ ὁ Ζεὺς ἐλεήσας αὐτοὺς κατηστέρισεν. Ἔστι δὲ ὁ ἀστὴρ ὁ καλούμενος Ἀρκτοῦρος ἐπὶ τῆς ζώνης τοῦ Ἀρκτοφύλακος. Tzetzes.

Ibid. *ΠΡΟΛΙΠΩΝ ἹΕΡΟΝ ῬΟΟΝ ΩΚΕΑΝΟΙΟ.* Ἀνατείλας ἐκ τοῦ ὁρίζοντος, καὶ φανεὶς ἀκροκνέφαιος.

Τὰς k)ἀκρονύχους εἰ μαθεῖν φάσεις θέλεις,
275 *Ἀνατολάς τε καὶ δύσεις τῶν ἀστέρων,*
Παρεὶς τὰ πολλὰ τῶν ὑποψύχρων λόγων,
Ἄκουε τρανῶς l)τῶν ἐμῶν διδαγμάτων.
Ἀστὴρ πρὸ μοιρῶν πεντεκαίδεκα τρέχων
m)Ἐν τοῖς ἄνωθεν ζωδίων ἀναδρόμοις,
Τὸν ἥλιον βλέπων δὲ τοῖς κάτω δρόμοις
Ποστὴν ὑπεκτρέχοντα μοιρῶν ὧν ἔφην,
Ἀνατολὴν ἑώαν εὐδρομῶν τρέχει.
Εἰ δ' αὖ προδράμοι προδρόμων n)τῶν ἡλίου
Μοίρας ἐλάττους, δύσιν Ἠῴαν τρέχει.
Τὰς πέντε καὶ δέκα δὲ τῶν μοιρῶν πάλιν
Ἀστὴρ ὁ ῥηθεὶς ὑστερήσας ἡλίου
o)Ἀνατολὴν τρέχει μὲν, ἀλλ' ἐξ ἑσπέρας,
Ἑστὼς κατ' αὐτοὺς τοὺς κάτω καταδρόμους,
Εἰ δ' αὖ ἐλάττους, τὴν δύσιν τὴν ἑσπέραν,
Μοίρας δὲ p)πεντήκοντα προδραμὼν τρέχει,
Μεσουράνημα, q)καὶ δρόμους ὑπερτάτους.
Μοίρας δ' ἑκατὸν ὀγδοήκοντα τρέχων,
Ἀστὴρ ὄπισθεν ἡλίου διαμέτρως
Δύνοντος εἰς γῆν, r)ἀκρονυχία τρέχει.
Ταυτὶ μὲν ἔγνως, καὶ μαθὼν s)οὕτω νόει,
Παρεὶς τὰ πολλὰ τῶν λόγων ληρήματα. Tzetzes.

566. *ΤΟΝ ΔΕ ΜΕΤ' ΟΡΘΡΟΓΟΗ.* Ἕως τοῦ, *ὩΣ ΓΑΡ ΑΜΕΙΝΟΝ.* Ἐν τούτοις ἀμπέλου τομῆς φράζει καιρόν. Οἰνάδας γὰρ καλοῦσι τὰς ἀμπέλους, ἤδη φαινομένου

δὲ τῇ Καλλιστῷ F. κυνηγεσίᾳ G. κατ' αὐτοῦ Bas. E. κατ' αὐτῆς Trinc. Heins.

k) Sic E. F. G. H. Trinc. ἀκρονέφους Bas. Heins. φάσεις F. φύσεις G. Alii φαύσεις.

l) Sic E. H. ἐξ ἐμῶν alii.

m) Sic E. G. H. Bas. καὶ τοῖς Trinc. Heins.

n) τῶν Trinc. E. H. τοῦ ἡλίου Bas. Heins. Mox μοίρας — ἡλίου om. Bas.

o) Huic versui sequens praeponitur in E. F. G. H. Bas.

p) ἐνενήκοντα E. F. G. H. ἐννενίκοντα Trinc.

q) μοίρας F.

r) ἀκρονυχίαν E. G. H. ἀκρονυχίας F. Trinc. τρέχων E. ἀκρονυχίτραν ἔχει Bas.

s) ταῦτα F. Trinc. Mox ληρημάτων F.

ἔαρος μεθ' [t]) ἑσπερίην ἐπιτολὴν ἀρκτούρου καὶ χελιδόνος ἔκφρασιν. ΟΡΘΟΓΟΗ δὲ ἡ χελιδὼν διὰ τὸν μῦθον, ὅς φησιν αὐτὴν διὰ τὴν λύπην ᾄδειν τὴν Φιλομήλαν οὖσαν Ἀττικήν. [180]) Πλάτων δὲ [v]) οὐδὲν ζῶον λυπούμενον ᾄδειν φησὶν, οὐδὲ αὐτὴν τὴν χελιδόνα καὶ τὴν ἀηδόνα καὶ τὸν ἔποπα. Τί οὖν ἔδει καλεῖν αὐτὴν [w]) ὀρθογόην; εἰ μὴ ἄρα ὀρθοβόην γραπτέον, 276 ὡς τίνες. ΑΛΛΩΣ. [x]) ΟΡΘΡΟΓΟΗ, ἡ ὑπὸ τὸν ὄρθρον θρηνοῦσα. Πανδίων Ἀθηναῖος δύο ἔχων [y]) θυγατέρας, Πρόκνην καὶ Φιλομήλαν, τὴν Πρόκνην ἐξέδωκε τινὶ Θρακικῷ, τοὔνομα Τηρεῖ, καὶ λαβὼν εἶχεν ἐν τῇ Θράκῃ. Ἔσχε δὲ Πρόκνη δύο παῖδας. Μετ' ὀλίγον δὲ χρόνον ἦλθεν εἰς Τηρέα ἐπισκέψασθαι τὴν ἀδελφὴν Φιλομήλα· καὶ τῆς Πρόκνης πάλιν μεταπεμψαμένης αὐτὴν, καταπιστεύεται αὐτὴν ἀπειρόγαμον οὖσαν ὁ Τηρεὺς, [z]) καὶ δραξάμενος ἐρημίας μεταξὺ τῆς ὁδοῦ, τοῦ τρόπου τοῦ οἰκείου τετόλμηκεν ἄξιον· τὴν γὰρ τῆς γυναικὸς

t) ἑσπερίαν A. Mox μῦθον, ὥς φασιν Trinc. A. B.

180) Locus quem tangit in Phaedone est, quo haud scio an divinius quid excogitari possit: qui vel integer asscribi meretur, tum causa Procli, tum lectoris φιλοπλάτωνος καὶ φιλοσωκράτους. Socrates ὁ θεῖος apud Platonem, etiam hoc argumento metum mortis amolitur, ὅτι μηδεμία ὄρνις λυπουμένη ᾄδει. Verba sunt scriptoris divini: καὶ ὃς ἀκούσας ἐγέλασέ τε ἠρέμα, καὶ φησί· βαβαὶ ὦ Σιμία, ἦ που χαλεπῶς ἂν τοὺς ἄλλους ἀνθρώπους πείσαιμι, ὡς οὐ συμφορὰν ἡγοῦμαι τὴν παροῦσαν τύχην, ὅτι γε μηδ' ὑμᾶς δύναμαι πείθειν. Ἀλλὰ φοβεῖσθε μὴ δυσκολώτερόν τι νῦν διάκειμαι, ἢ ἐν τῷ πρόσθεν βίῳ. Καὶ ὡς ἔοικε τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν. Οἳ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ᾄδοντες καὶ ἐν τῷ πρόσθεν χρόνῳ, τότε δὴ πλεῖστον καὶ μάλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι, οὗπέρ εἰσι θεράποντες. Οἱ δὲ ἄνθρωποι διὰ τὸ αὑτῶν δέος τοῦ θανάτου καὶ τῶν κύκνων καταψεύδονται. Καί φασιν αὐτοὺς θρηνοῦντας τὸν θάνατον, ὑπὸ λύπης ἐξᾴδειν. Καὶ οὐ λογίζονται ὅτι οὐδὲν ὄρνεον ᾄδει ὅταν πεινῇ, ἢ ῥιγοῖ, ἤ τινα ἄλλην λύπην λυπεῖται. Οὐδὲ αὐτὴ ἥτε ἀηδὼν, καὶ χελιδὼν, καὶ ὁ ἔποψ, ἃ δή φασι διὰ λύπην θρηνοῦντα ᾄδειν. Ἀλλ' οὔτε ταῦτά μοι φαίνεται λυπούμενα ᾄδειν, οὔτε οἱ κύκνοι. Ἀλλ' ἅτε οἶμαι τοῦ Ἀπόλλωνος ὄντες, μαντικοί τέ εἰσι, καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ, ᾄδουσί τε καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως, ἢ ἐν τῷ πρόσθεν χρόνῳ. Ἐγὼ δέ etc. Heinsius.

v) Sic A. et Heinsius in adnotatione. οὐδὲ Edd. De hoc loco consulatur Wyttenbachius ad Platonis Phaed. p. 225.

w) Ita A. B. Trinc. ὀρθρογόην Heins. Idem mox ὀρθροβόην.

x) ὀρθογόη A. B. Trinc. Hemsterhusius: "Ὀρθογόη praeter alios et Hesych. quam lectionem quum veteres utra sit vera dubitaverint, temere Palmerius mutare instituit. Sic ὀρθοβόας vulg. in Athen. p. 98. Casaubon. maluit ὀρθροβόας."

y) θυγάτρια A.

z) Sic A. δραξάμενος δ' ἐρ. Heins. δραξάμενος ἐρ. Trinc.

ἀδελφὴν Φιλομήλαν ποθήσας, οὐ μόνον ἀποπαρθενεύει, ἀλλὰ πρὸς τούτοις ἀφαιρεῖ αὐτῆς [a]) καὶ τὴν γλῶσσαν, ἵνα μὴ τῇ ἀδελφῇ ἐξείπῃ τὸ γεγονός. Ἡ δὲ μὴ δυναμένη λαλῆσαι τῇ ἀδελφῇ διὰ τὸ τῆς γλώττης πάθος, κατεποίκιλλε τὸ γεγονὸς θρῆνος τῷ ἱστῷ. Ταύτην δὲ ὁ Ζεὺς μετέβαλεν εἰς ὄρνεον χελιδόνα. Proclus.

Ibid. [b]) *ΤΟΝ ΔΕ ΜΕΤ.* Μετὰ δὲ ἀκρονυχίαν Ἀρκτούρου, ἡ ὀρθογόη, ἡ μεγάλως καὶ ὀρθίως γοῶσα, φαίνεται χελιδὼν, ἢ ὀρθρογόη, καὶ ἐν τῷ ὄρθρῳ γοῶσα· καὶ μὴν ἡ χελιδὼν πανημερίως βοᾷ, καὶ οὐκ ἐν ὄρθρῳ μόνον καὶ ἐν ἑσπέρᾳ καθάπερ ἡ ἀηδών. Ὁ δὲ σοφώτατος Πρόκλος, τὸν Πλάτωνα φέρων μάρτυρα, φησὶ μηδὲν ὄρνεον λυπούμενον
277 ᾄδειν· ὅθεν οὐδὲ τὴν χελιδόνα [c]) ὀρθογόην, ἀλλ' ὀρθοβόην βούλεται γράφειν. [184]) Ἡμεῖς δ' ἴσμεν καὶ δίχα [d]) μαρτυρίας Πλάτωνος, ὅτι οὐδὲν ὄρνεον λυπούμενον ᾄδει· ἀλλὰ δεινῶς καὶ ῥητορικῶς ὁ ποιητὴς τὴν λαλιὰν τῆς χελιδόνος θρῆνον εἶναι λέγει, κατὰ τὸν μῦθον τῆς τοῦ Πανδίονος ἐκείνης θυγατρός· ὅθεν καὶ τὴν χελιδόνα Πανδίονος καλεῖ θυγατέρα κατὰ τὸν μῦθον, διὰ τὴν γεγονυῖαν χελιδόνα, τὴν Φιλομήλαν λέγω. Πῶς δὲ σὺ ὁ μὴ δεξάμενος θρηνεῖν τὴν χελιδόνα, Πανδίονος [e]) αὐτὴν ἐδέξω θυγατέρα; πῶς δὲ ὀρθοβόην βούλει γράφεσθαι ταύτην τὴν ὁλοημέρως βοῶσαν, ἐν ὄρθρῳ δὲ μᾶλλον οὔ; Ὁ δὲ Πλάτων περὶ ὀρνέων λέγων φησὶ, μηδὲν ὄρνεον ᾄδειν λυπούμενον, οὐ μὴν περὶ τῶν ὅσα μυθικῶς γέγραπται. Tzetzes.

Ibid. *ΠΑΝΔΙΟΝΙΣ.* [f]) Ἡ τοῦ Πανδίονος θυγάτηρ. Φασὶ δὲ μῦθον τοιόνδε· Πανδίων ὁ Ἀθηναῖος θυγατέρας ἔσχεν Πρόκνην, καὶ Φιλομήλαν· ὧν τὴν Πρόκνην [g]) Τηρεῖ τῷ ἐκ Θρᾴκης δίδωσι πρὸς γάμον, ὃς ἐξ ἐκείνης Ἴτυν γεννᾷ. Χρόνῳ δὲ ὁ Τηρεὺς ἐκ Θρᾴκης ἐλθὼν Ἀθήναζε λαμβάνει καὶ τὴν Φιλομήλαν [h]) ἀπάγειν

a) Copulam dedi ex A. Mox θρῆνος ex A. θρήνοις edd.

b) Deest hoc Scholion Trinc. Η ὀρθρογόη ad ἡ ἀηδὼν accesserunt ex E. F. G. H.

c) ὀρθογόην, ἀλλ' addidi ex E. G. Bas.

184) Apage Grammatice. Heinsius.

d) Sic E. μαρτυρίαν G. μάρτυρος edd.

e) αὐτὴν accessit ex E. Idem mox ὀρθοβόην. edd. ὀρθογόην.

f) Hinc ad τοιόνδε om. Trinc. Mox Πρόγνην Trinc.

g) Τυρεῖ E. G. et sic infra.

h) ἀπαγαγεῖν Trinc. ἀγαγεῖν G.

πρὸς τὴν Πρόκνην εἰς Θρᾴκην, ἐν Αὐλίδι δὲ τῆς Βοιωτίας [i])ἀποπαρθενεύει καὶ ταύτην, καὶ τὴν αὐτῆς γλῶτταν θερίζει, ὅπως μηδὲν ἰσχύῃ φράσαι τῇ ἀδελφῇ· ἡ δὲ εἰς Θρᾴκην ἐλθοῦσα, δι' ἱστουργίας τὸ πᾶν φανεροῖ. Πρόκνη δὲ τὸν υἱὸν ἀποσφάξασα Ἴτυν, ἑστιᾷ τὸν Τηρέα. Ὁ δὲ μαθὼν ὅτι τὸν παῖδα [k])ἐβεβρώκει, ἀνελεῖν ταύτας ἔμελλεν, οἱ θεοὶ δὲ αὐτὰς ἐλεήσαντες ἀπωρνέωσαν. Καὶ Πρόκνη [l])μὲν ἡ ἀηδὼν γεγονυῖα τὸν Ἴτυν ὀδύρεται· Φιλομήλα δὲ χελιδὼν, Τηρεὺς φησί με [m])ἐβιάσατο. Ὁ δὲ Τηρεὺς ἔποψ γενόμενος, ποῦ ποῦ, φησὶν, αἵ μοι τὸν παῖδα κατατεμοῦσαι πρὸς εὐωχίαν παρέθεντο. Ταῦτά εἰσι [n])τὰ λῆρα μυθύδρια. Γράφει δὲ περὶ τούτου Σοφοκλῆς ἐν τῷ Τηρεῖ δράματι. Tzetzes.

568. *ΟΙΝΑΣ ΠΕΡΙΤΑΜΝΕΜΕΝ.* Τὰς ἀμπέλους [o])κλαδεύειν λέγει πρὸ ἐπιφανείας χελιδόνος. Καὶ οὕτως μὲν ὁ Ἡσίοδος τυχαίως καὶ ἁπλῶς φησὶν ἀροτριᾷν τε καὶ φυτεύειν, καὶ σπείρειν, καὶ κλαδεύειν, καὶ πλεῖν, καὶ γαμεῖν, καὶ [p]) τὰ ὅμοια. Ὀρφεὺς δὲ μαθηματικῶς [q])πάντα παρακελεύεται δρᾷν· 278 οἷον, σελήνης τρεχούσης περὶ παρθένον πάντα φυτεύειν πλὴν μόνων ἀμπέλων· μισεῖ γὰρ ἡ παρθένος τὴν ἄμπελον διὰ τὸν πατέρα Ἰκάριον. Διὸς [*]) ὑδροχόου περιπολεύοντος μὴ πλεύσῃς· χαλεπὴ γὰρ τότε λίαν ἐστὶν ἡ θάλασσα. Τοῦ αὐτοῦ Διὸς ἐν Ἰχθύσιν ὄντος καλὸν γάμους ποιεῖν· καὶ τὰ λοιπὰ ὁμοίως. Tzetzes.

569. *ΑΛΛ' ΟΠΟΤ' ΑΝ ΦΕΡΕΟΙΚΟΣ.* Ἕως τοῦ *ΑΡΚΙΟΣ ΕΙΗ.* Ὁ μὲν Θρᾷξ Διονύσιος ἔλεγε φερέοικον τὸν κοχλίαν· ἐπιτιμῆσαι δέ φησιν αὐτῷ τινὰ τοῦτο λέγοντι Ἀρκάδα, εἶναι γὰρ ἐν Ἀρκαδίᾳ τὸν φερέοικον, [181]) ὁρᾷν μελίττῃ ἐοικότα, [r])σμικρότατον, κάρφη καὶ συρφετὸν ἑαυτῷ συνά-

i) *ταύτῃ μιγεὶς τὴν αὐτῆς γλῶτταν ἀπέτεμεν* Trinc.

k) Sic E. H. *βεβρώκει* Bas. Heins. *βέβροκεν* Trinc. Mox *ἔσπευδεν* pro *ἔμελλεν* Trinc.

l) *μὲν ἡ* om. Trinc.

m) Sic Trinc. Al. *ἐβίασεν.* Mox *παρέθεντο* E. H. G. Trinc. *παρέθηκαν* Bas. Heins.

n) *μυθολογούμενα περὶ τούτων. Μέμνηται τούτων καὶ Σοφοκλῆς ἐν Τηρεῖ, δράματι αὐτοῦ.* Trinc.

o) *κλαδεύειν—ἁπλῶς* om. Bas. G.

p) *τἄλλα ποιεῖν* Trinc. Mox *μαθηματικώτερον* H.

q) *πάντα* om. Trinc. Idem mox *σελήνης περὶ παρθένον οὔσης π. φ. π. μόνης ἀμπέλου.* G. *μόνης ἀμπέλου.*

[*) *ὑδροχόου.* Vide Orphica Hermanni p. 497. *Ex Addendis.*]

181) Scribe, *οὐρὰν μελίττῃ ἐοικότα*, non *ὁρᾷν.* Heinsius.

r) *σμικρυτ ν* (sic) A. Etymologus M. p. 790, 35. *Φερέοικος καὶ φέροικος, ὁ κοχλίας καὶ ἡ χε-*

γοντα, στεγοποιεῖσθαι διὰ τοὺς χειμῶνας, βαίνειν δὲ ἀνὰ τὰ φυτὰ θέρους· τὸν δὲ κοχλίαν μὴ φαίνεσθαι θέρους, ἀλλ' ὁπόταν ὄμβρος γένηται, ἀναδυόμενον φαίνεσθαι διὰ τῶν φυτῶν βαίνειν, ἕλκοντα τὸ κοῦφον ἐξόπισθεν ὄστρακον. Τοῦτο μὲν οὖν ὅπως ἂν ἔχῃ χαιρέτω. Παρακελεύεται δὲ διὰ τούτου μετὰ Πλειάδων ἐπιτολὴν, ἣ γίνεται ἡλίου μεταβάντος εἰς Διδύμους, μὴ εἶναι καιρὸν ἔτι τομῆς ἀμπέλου καὶ σκάφης· ἤδη γὰρ ἡ γῆ ξηραίνεται, διὸ σκάπτειν οὐκ ἐπιτήδειον. Καὶ δεῖ τὴν ἄμπελον ἐκτρέφειν τὸν καρπὸν, διὸ τέμνειν οὐκ εὔκαιρον αὐτήν· καὶ γὰρ γυμνουμένας τότε τὰς ῥίζας τὸ μὲν καῦμα καὶ ἡ θερμότης ἀλλοιοῖ· καὶ ὅταν τοῦτο γένηται, λέγουσιν οἱ [s]) γεωργοὶ τὰς ἀμπέλους ἀστροβολεῖσθαι. Τίνα οὖν ἔργα μεταχειριστέον τηνικαῦτα; συλλήβδην εἰπεῖν, ὅσα πρὸς ἄμητον ἐπιτήδεια, τουτέστι τὰς δρεπάνας ὀξύνειν, καὶ παρασκευάζειν τοὺς οἰκέτας πρὸς θερισμὸν, καὶ ὑπὸ ἡλίῳ διάγειν, ὃ ποιοῦσιν οἱ θερισταὶ, καὶ μὴ σκιατραφεῖν, καὶ μὴ καθεύδειν ὄρθρου· ἀλλὰ προεξανίστασθαι τῶν οἰκετῶν, καὶ ἐγείρειν ἐπὶ τὰ ἔργα καὶ αὐτούς· τέλος δὲ τούτων, ἑαυτῷ παρασκευάζειν οἴκοι τὸν βίον καλῶς διὰ τῆς συγκομιδῆς τῶν καρπῶν. PROCLUS.

Ibid. [t]) ΑΛΛ' 'ΟΠΟΤ' ΑΝ ΦΕΡΕΟΙΚΟΣ. Ἀλλ' ἡνίκα αἱ Πλειάδες ἀνατέλλωσιν, ὥσπερ πεφευγὼς ὁ φερέοικος καὶ κοχλίας, ἢ ζῶον ὅμοιον μελίσσῃ παρ' Ἀρκάσιν ὂν, ἀνατρέχει πρὸς τὰ φυτὰ, τότε μηκέτι σκάφος γινέσθω σοι τῶν ἀμπέλων, μή πως σφοδρῶς φλέγων ὁ ἥλιος [v]) ἐγκύψας ταῖς ῥίζαις, ταύτας ἀποξηράνῃ γυμνωθείσας ἐν τῷ σκαφθῆναι. TZETZES.

Ibid. ΑΛΛ' 'ΟΠΟΤ' ΑΝ ΦΕΡΕΟΙΚΟΣ. Ἀλλ' ὁπότ'
279 ἂν ὁ φερέοικος, ἤγουν ὁ κοχλίας, ἀπὸ τῆς χθονὸς ἀνὰ τὰ φυτὰ βαίνῃ, τὰς Πλειάδας φεύγων, ἤγουν τὴν ἐπιτολὴν τῶν Πλειάδων, ἣ γίνεται ἡλίου μεταβάντος εἰς Διδύμους. Φεύγειν δὲ λέγει τὴν ἐπιτολὴν τῶν Πλειάδων, ἐπεὶ κατὰ τὸν και-

λώνη (desunt καὶ ἡ χελώνη MS. Dorvill. cum Hesychio et Suida in v.) ἔνιοι δὲ ζῷον λευκὸν ὅμοιον γαλῇ, ὑπὸ δρυσὶ καὶ ἐλαίαις γινόμενον, βαλανηφάγον, (sic MS. Vulgo βαλανοφάγον) οὕτω καλούμενον ὑπὸ Ἀρκάδων· οἱ δὲ ζῷον σφηκὸς (σφηκῷ MS.) εὐμεγέθους μέγιστον.

s) γεωργικοὶ A. Idem mox τουτέστι om. Prope finem τούτων idem pro τοῦτον.

t) Deest hoc Scholion Trinc.

v) ἐνσκήψας G. in fine σκαφῆναι E. G.

ρὸν ὅτε ἐπιτέλλουσι φεύγει, ἤδη τῶν ἀκτίνων τοῦ ἡλίου σφοδροτέρων γινομένων, ὡς δοκεῖν τὴν ἐπιτολὴν φεύγειν αὐτῶν, τότε δὴ σκάφος τῶν οἰνέων, ἤγουν τῶν ἀμπέλων, οὐκέτι ἐστί· ἀλλὰ τημοῦτος, ἤγουν τότε, σπεῦδε ἀπὸ κοινοῦ, δρεπάνας τε χαράσσειν, καὶ τοὺς δούλους διεγείρειν ἐπὶ τὰ ἔργα· φεύγειν δὲ τὰς κατασκίους καθέδρας, καὶ ἐπ᾽ ἠῶ κοῖτον, ἤγουν καὶ τὴν κατὰ τὸν ὄρθρον ἀνάπαυσιν, ἐν τῇ ὥρᾳ τοῦ ἀμητοῦ, ὅτε ὁ ἥλιος τὸ σῶμα ξηραίνει, τότε σπεῦδε καὶ οἴκαδε τὸν καρπὸν συνάγειν ἐπὶ τοῦ ὄρθρου, ἤγουν κατὰ τὸν ὄρθρον ἀνιστάμενος, ἵνα σοι βίος εἴη ἄρκιος, ἤγουν αὐτάρκης. Βίος δὲ, ὡς εἴρηται, τὰ πρὸς ζωὴν ἐπιτήδεια, ἀφ᾽ ὧν δηλονότι βιοῖ τις. Ἡ ἠὼς γὰρ, ἤγουν ὁ ὄρθρος, τρίτην μοῖραν ἀπομείρεται, ἤγουν ἀπομερίζεται, ἀποφέρεται, τοῦ ἔργου τοῦ διὰ πάσης τῆς ἡμέρας, ὡς τῶν ἐργατῶν κατὰ ταύτην ἀκμαζόντων, καὶ ὃ δύνανται διὰ πάσης τῆς ἡμέρας ἐργάζεσθαι, τούτου τὸ τρίτον κατὰ ταύτην δυναμένων ἀνύειν. Ἡ ἠὼς, προφέρει μὲν, ἀντὶ τοῦ ἐπίδοσιν ποιεῖ, τῆς ὁδοῦ, ἤγουν τῆς ὁδοιπορίας· προφέρει δὲ, ἀντὶ τοῦ ἐπίδοσιν ποιεῖ καὶ τῆς ἐργασίας, ἡ ἠὼς, ἥτις φανεῖσα πολλοὺς ἀνθρώπους ἐπέβησε κελεύθου, τουτέστιν ἐπεβίβασεν, ἐπιβῆναι ἐποίησεν. Ὁδοῦ ἐπέβην, καὶ ὁδῷ ἐπεθέμην, καὶ ὁδοῦ ἡψάμην, ταυτόν. Moschop.

571. w)*ΑΡΠΑΣ ΤΕ ΧΑΡΑΣΣΕΜΕΝΑΙ.* Χάρασσε δὲ τὰ δρέπανα, καὶ τοὺς δούλους ἔγειρε, καὶ τὰ πρὸς θέρος εὐτρέπιζε· φεῦγε δὲ τὰς σκιερὰς καθέδρας, καὶ τὸν κοῖτον, ἤγουν τὴν κοίτην, καὶ τὸν ὕπνον, κατὰ μεταπλασμὸν, ἐν τῷ καιρῷ δὲ τοῦ θέρους, τὸν μέχρι πρωΐας· πρὸ τοῦ καύματος δὲ ἀνιστάμενος πρωϊαίτερον θέριζε ἐν εὐκράτῳ τοῦ ἀέρος τῷ καταστήματι. Ἀμητὸς καὶ θεριτὸς, οἱ καιροί· ἄμητος δὲ καὶ θέριτος, τὰ θεριζόμενα καὶ ἀροτριώμενα. Tzetzes.

573. *ΚΑΡΦΗ.* x)Ἀττικῶς τὰ τοιαῦτα ἠταγράφεται· Ἴωνες δὲ οὐχ ὑποτάσσουσιν αὐτά. Tzetzes.

574. *ΤΗΜΟΥΤΟΣ ΣΠΕΥΔΕΙΝ.* Τότε ἐν τῷ καιρῷ τοῦ θέρους, ὅταν αἱ Πλειάδες ἀνατέλλωσι, πρωῒ καὶ ὄρθριος ἀνιστάμενος, σύναγε εἰς τὸν οἶκόν σου τὸν καρπὸν, ἵνα ζωὴν ἔχῃς ἀρκοῦσαν. Tzetzes.

w) Deest hoc Schol. Trinc.

x) Ἀττικοὶ τ. τ. ἢ γράφουσιν E. H.

576. *ΗΩΣ ΓΑΡ.* Ἠὼς τέσσαρα σημαίνει· τὴν ἡμέραν μόνην, τὸ νυχθήμερον, τὸ πρώϊνον κατάστημα, καὶ τὸ καθόλου καὶ ἁπλῶς λέγειν ἡμέραν, ὅπερ οἱ [y]) μυθογράφοι σωματοειδῆ θέαν ἐκάλεσαν. Νῦν δὲ τὸ πρωϊνὸν κατάστημα λέγει· καὶ ποιεῖται ἔπαινον τοῦ τοιούτου τῆς ἡμέρας καταστήματος, λέγων τὸ πρωϊνὸν καὶ ὄρθριον τῆς ἡμέρας κατάστημα τοῦ ὁλο-
280 ημέρου ἔργου τὴν τρίτην ἀπόμοιραν ἐργάζεται· τοῦτο κάλλιστόν ἐστι καὶ τοῖς ἐργαζομένοις καὶ τοῖς ὁδεύουσι· τὸ πρωϊνὸν τοῦτο κατάστημα φαμὲν, πολλοὺς μὲν ὁδοιπόρους πρὸς τὴν ὁδὸν παρεκίνησε, πολλοῖς δὲ γεωργοῖς ἐπέζευξε τοὺς βόας ἐπὶ τὰ ζυγὰ, ὥστε ἐργάζεσθαι δηλονότι. Τὸ δὲ *ΖΥΓΑ*, ἀντὶ τοῦ ζυγοὺς, μεταπλασμός ἐστι. Tzetzes.

577. *ΗΩΣ ΓΑΡ Τ' ΕΡΓΟΙΟ.* Διὰ τούτου καὶ τῶν ἑξῆς τριῶν, ἔπαινον [z]) κατατείνει τοῦ ὄρθρου πολύν. Λέγεται γὰρ ἠὼς τὸ πρῶτον μέρος τῆς ἡμέρας, ὡς Ὅμηρος,

Ἢ ἠὼς, ἢ δείλη, ἢ μέσον ἦμαρ.

Ὁ δὲ Ἡσίοδος οὐ τοῦ χρόνου τὸ τρίτον ἔχειν τὴν ἠῶ φησιν, ἀλλὰ τοῦ ἔργου, [183]) ὃ δεῖ ἀνύσαι διὰ πάσης ἡμέρας, τὸν ὄρθρον τὴν τρίτην ἀνύειν μοῖραν, διὰ τὸ ἀκμάζειν τότε μάλιστα τοὺς ἐργάτας, οἷς καὶ τὰ ἑξῆς ἀκόλουθα· καὶ τοῖς ὁδεύουσι τὴν ἠῶ προφέρειν, καὶ πᾶσι τοῖς ἐργαζομένοις ἥντιναοῦν τέχνην, ἃ δὴ πάλιν ἑρμηνεύων ἐπήγαγεν. Proclus.

578. *ΠΟΛΕΑΣ ΕΠΕΒΗΣΕ ΚΕΛΕΥΘΟΥ.* [a]) Πολλοὺς μὲν ἐπέβησε κελεύθου, πολλοὺς δ' ἤγειρεν εἰς τὸ βοηλατεῖν· τὸ γὰρ τὰ ζυγὰ τοῖς βουσὶν ἐπιθεῖναι τοῦτο δηλοῖ. Ταῦτα περὶ τῆς ἐν τῷ ὄρθρῳ σπουδῆς. Ὡς οἵγε τοῦτον τὸν καιρὸν ἄπρακτοι καὶ τὴν ἐν τοῖς ἄλλοις μέρεσι τῆς ἡμέρας ἀμβλύνουσι συντομίαν. Τὸν μὲν οὖν Ὅμηρόν φησιν ὁ Πλούταρχος ἐπιθέτοις εἰς τέρψιν εὐδοκιμοῦσι τὴν ἡμέραν κοσμῆσαι, κροκόπεπλον αὐτὴν λέγοντα, καὶ ῥοδοδάκτυλον· τὸν δὲ Ἡσίοδον μειζόνως ἀπὸ τῶν ἔργων, ἐφ' ἃ δὴ προϊοῦσα κινεῖ τοὺς ἀνθρώπους, καὶ ἀπὸ τῆς ἐκλύσεως εἰς τὴν ἐνεργὸν μεθίστησι ζωήν. Proclus.

y) Sic MSS. *μυθολογογράφοι* edd.

z) Sic A. B. Trinc. *κατατύνει* ed. Heins. *κατυθύνει* Heins. emend. Locus Homeri paullo post citatus est Il. Φ. 111. ubi *δειλὴν* B.

183) Pessime scriptum erat, ὃ *διανύσαι*, Heinsius.

a) Plutarch. Fr. Comm. n. 32. ubi Wyttenbachius correxit *οἵγε* pro *οἴτε*, et in fine *ἐνεργὸν* pro *ἐναργόν*.

579. *ΠΟΛΛΟΙΣ Δ' ΕΠΙ ΖΥΓΑ ΒΟΥΣΙ ΤΙΘΗΣΙΝ.* Πολλοῖς δὲ βουσὶν ἐπιτίθησι ζυγὰ, ἀντὶ τοῦ αἰτία γίνεται τοῦ ἐπιτίθεσθαι ζυγὰ τοῖς βουσὶν ἐπὶ τῷ ἀροῦν ἢ τοιοῦτό τι ἐργάζεσθαι. Moschop.

580. *ΗΜΟΣ ΔΕ ΣΚΟΛΥΜΟΣ.* Τοῦ θέρους ἀρχομένου καὶ ὁ σκόλυμος ἀνθεῖν ἄρχεται· b) ἔστι δὲ λάχανον ἄγριον ἀκανθῶδες· καὶ ὁ τέττιξ ᾄδειν· ᾄδει δὲ ὑπὸ ταῖς πτέρυξι τρίβων ἑαυτὸν καὶ τὸν ἦχον ἐκπέμπων· οὕτω γὰρ αὐτὸν ᾄδειν φασί. Τηνικαῦτα πιόταται μὲν αἱ αἶγες, μετὰ τὸν ἀπογαλακτισμὸν τῶν ἐρίφων εἰς τὸ ἑαυτῶν σῶμα δαπανῶσαι τὴν ὕλην. Ὁ δὲ οἶνος ἄριστος, ὡς τότε ἤδη κεκριμένος, ὅτι πέφευγε τοῦ ἡλίου τὰς ἐκ τῆς μεταβολῆς τῶν ὡρῶν τροπὰς, οὐ χειμῶνος ἐπιόντος τραπεὶς, οὐκ ἔαρος, οὐ θέρους. Proclus.

Ibid. *ΗΜΟΣ ΔΕ ΣΚΟΛΥΜΟΣ.* Ἡνίκα δὲ ὁ ἀκάνθης τοῦ ὄνου c) ἀνθεῖ, ὁ καὶ σκόλυμος λεγόμενος, καὶ ὁ ἠχητικὸς τέττιξ ἐν δένδρῳ καθήμενος ᾄδει πυκνὸν διὰ τῶν πτερύγων· οὕτω γὰρ 281 ᾄδει, τρίβων ἑαυτὸν ἐν τῷ καιρῷ τοῦ d) κοπιηροῦ θέρους, καὶ ἐπιπόνου· τότε αἱ αἶγες εἰσὶ λιπῶσαι, ὡς ἤδη πανθεῖσαι e) τοῦ θηλάζειν τὰς ἐρίφους, καὶ γαλουχεῖν, καὶ ὡς στερεωτέρας τροφὰς ἐσθίουσαι· καὶ ὁ οἶνος τότε ἄριστος καὶ δεδοκιμασμένος, ὡς οὐ διαφθαρήσεται f) ἔτι, καὶ ὀξίνης γενήσεται, φθινόπωρον παρελθὼν καὶ χειμῶνα καὶ ἔαρ, καὶ ἤδη θέρους ἀψάμενος, καὶ μὴ τραπείς· αἱ δὲ γυναῖκες τότε λαγνίστεραι μᾶλλον, καὶ καταφορώτεραι πρὸς συνουσίας καὶ ἀφροδίσια· ὑγρότεραι γὰρ φυσικῶς οὖσαι, καὶ ψυχρότεραι τῶν ἀνδρῶν, τότε τῷ ἡλιακῷ θερμῷ καταστήματι εὐκρατούμεναι, ὡς g) ἐξικμασθεῖσαι ὑπ' αὐτοῦ τὸ περιττὸν τῆς ὑγρότητος, εὐορεκτότεραι πρὸς τὰς συνουσίας, καὶ ἀκρατέστεραι γίνονται· ἀσθενέστεροι δὲ οἱ ἄνδρες· ξηρότεροι γὰρ ὄντες φύσει τῶν γυναικῶν κἀπὶ πλέον ξηραινόμενοι, τότε ἀσθενοῦσιν. Ἐν δὲ τῷ χειμῶνι πλέον ὀργῶσι τῶν γυναικῶν, ξηρότεροι γὰρ ὄντες, τῇ χειμερίῳ ὑγρότητι εὐκρατοῦνται. Τὸ δὲ ἔαρ ἀνδράσιν καὶ γυναιξὶν ἰσομοι-

b) ἔστι δ. λ. ἀ. ἀ. om. A. B.
c) ἀνθεῖ om. Trinc.
d) κοπηροῦ Trinc. καὶ ἐπιτόνου H.
e) τοὺς ἐρίφους θηλάζειν Trinc.
f) Deest Trinc. ὀξοίνης Trinc. Mox κατάφοροι Trinc.
g) ἐξηκμασθέντος ὑπ' ἀ. τοῦ περιττοῦ Trinc. Mox εὐορεκτότεραι π. τ. σ. om. F. ἀκρατέστεραι dedi ex E. pro εὐκρατέστεραι.

ρίαν ἀφροδισίων [h]) παρέχει· τὴν ἰσομοιρίαν δὲ οὕτω μοι νόει, [i]) δεκαπλασίως ὀργᾷν τοῦ ἀνδρὸς τὴν γυναῖκα. Tzetzes.

Ibid. *ΗΜΟΣ ΔΕ.* Ὁπηνίκα δὲ ὅτε σκόλυμος ἀνθεῖ, καὶ ὁ μουσικὸς τέττιξ δένδρῳ ἐπικαθήμενος λιγυρὴν ᾠδὴν ἐπιχέει, ἤγουν ὀξεῖαν καὶ ἐμμελῆ. Moschop.

582. *ΠΥΚΝΟΝ ΥΠΟ ΠΤΕΡΥΓΩΝ.* Ἄιδει γάρ φασι ταῖς πτέρυξι τρίβων ἑαυτὸν, κατὰ τὴν ὥραν λέγω τοῦ θέρους τοῦ καματώδους, ἤγουν τοῦ βαρέος, τοῦ ἐκλύοντος τὰ σώματα. Τότε καὶ αἱ αἶγες πιόταταί εἰσιν, ἤγουν λιπαρώταται, μετὰ τὸν ἀπογαλακτισμὸν τῶν ἐρίφων, εἰς τὸ ἑαυτῶν σῶμα δαπανῶσαι τὴν ὕλην· καὶ ὁ οἶνος ἄριστος, ὡς τότε ἤδη κεκριμένος, τὰς μεταβολὰς τῶν ὡρῶν ἐκφυγὼν, καθ' ἃς ἦν κίνδυνος τραπῆναι. Moschop.

584. *ΜΑΧΛΟΤΑΤΑΙ ΔΕ ΓΥΝΑΙΚΕΣ.* Ὡς ψυχρότεραι τὴν κρᾶσιν· καὶ διὰ τοῦτο βράδιον ὀργῶσαι ἀναθερμαινόμεναι. Οἱ δὲ ἄνδρες ἀφαυρότεροι, διὰ τῆς ἔξωθεν θέρμης [186]) [k]) ἀφαυαινόμενοι, φύσει θερμότεροι ὄντες καὶ ξηρότεροι τῶν γυναικῶν. Τοιαῦτα δὲ καὶ τὸν Ἀλκαῖον ᾄδειν·

282 [187]) [l]) *Τέγγε πνεύμονας οἴνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται.*
Ἁ δ' ὥρα χαλεπὰ, —

h) τηρεῖ E. Bas.

i) Sic Trinc. E. δεκαπλασίονα Bas. Heins.

186) Scribe ἀναυαινόμενοι, sicut infra, εἰκότως οὖν αὐαλέος ὁ χρὼς γίνεται ταῖς τούτων ἐμπύροις δυνάμεσιν αὐαινόμενος. Heinsius.

k) Dedi ἀφαυαινόμενοι pro ἀναφαινόμενοι auctore Wyttenbachio ad Plutarch. fr. Comm. n. 35.

187) Alcaei cum iis quae sequuntur, ita se habent: τέγγε πνεύμονας οἴνῳ. Τὸ γὰρ ἄστρον περιτέλλεται, ἁ δ' ὥρα χαλεπά· πάντα δὲ διψᾷ ὑπὸ καύματος. Videtur ergo, aut praetermisisse aliquid Proclus, aut quae sequuntur alicunde adduxisse: illa nimirum: ἀχεῖ δ' ἐκ πετάλων * τάδε ἂν τέττιγξ. Scribe ἀχεῖ δ' ἐκ πετάλων ἀχέτα τέττιγξ, ut Hesiodi nostri loco respondeat. Ἀχέταν Pausanias [ap. Eustath. Il. Γ. p. 396.] notabat esse τέττιγα μέγιστον, sicut κερκώπην, τὸν ἐλάττω, τιτιγόνιον autem τὸν ἐλάχιστον. Hesychius, Ἀχέτας, ὁ τέλειος καὶ φωνήεις. Scribe, ὁ τέλειος καὶ φωνήεις τέττιξ. Nam illa Hesiodi totidem verbis in lexicon suum transtulerat Phavorinus, nulla vocis ratione habita: quare monendi sunt tirones ut cum judicio ejusmodi scripta tractent. Possem plusquam mille locos ostendere pessime depravatos, in quibus nullum ille judicium secutus est, sed ut corruptissimos invenerat, ita in onomasticon suum rettulerat. Ego arbitror, non magis ἀχέταν, εἶδος εἶναι τέττιγος, quam ἀκανθίαν aut ἡλιομανῆ, quae eadem ratione de cicada usurpantur. Suid. Ἀχέτας, οὐκ εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος, ὥσπερ καὶ ὁ ἀκανθίας, ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. Ita tamen obtinuisse vel ex Plinio discimus, qui tamen Grammaticis auscultare potuit. Heinsius.

l) οἴνω πνεύμονα τέγγε τ. γ. α.

*ἀχεῖ δ' ἐκ πετάλων * τάδε ἂν τέττιξ. —*
'Ανθεῖ δὲ καὶ σκόλυμος. νῦν δὲ μιαρώταται γυναῖκες,
Λεπτοὶ δέ τοι ἄνδρες, ἐπεὶ κεφαλὴν καὶ γόνατα σείριος ἄξει.
Proclus.

Ibid. *ΜΑΧΛΟΤΑΤΑΙ ΔΕ ΓΥΝΑΙΚΕΣ.* "Ηγουν ἐπὶ συνουσίαν μάλιστα ὀργῶσαι, ὡς ψυχρότεραι τὴν κρᾶσιν καὶ ὑγρότεραι, καὶ ὑπὸ τοῦ καύματος οὐ καταπονούμεναι, ἀλλὰ μᾶλλον εὔκρατοι γινόμεναι, καὶ ὥσπερ ἀναζωπυρούμεναι· ἀσθενέστατοι δὲ οἱ ἄνδρες· ἡ δ' αἰτία, ἐπεί, φησί, τὴν κεφαλὴν αὐτῶν καὶ τὰ γόνατα ὁ ἥλιος ξηραίνει. *Αὐαλέος* δὲ γίνεται, ἤγουν ξηρὸς, ὁ χρὼς αὐτῶν ὑπὸ τοῦ καύματος. Τῶν ἀνδρῶν γὰρ ἅπτεται ὁ ἥλιος, ὡς θερμοτέρων ὄντων καὶ ξηροτέρων, καὶ τούτους ἀσθενεστέρους ποιεῖ· τὰς γυναῖκας δὲ ψυχρὰς καὶ ὑγρὰς οὔσας, ὡς εἴρηται, εὐκράτους ποιεῖ. Moschop.

Ibid. m) *ΗΧΕΤΑ.* Ἡ ἠχητικός· Βοιωτῶν καὶ Αἰολέων ἐστὶν ἰδίωμα, ἤτοι διάλεκτος. Tzetzes.

585. *ΣΕΙΡΙΟΣ.* Νῦν καὶ ὁ ἥλιος νοεῖται, καὶ ὁ ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστὴρ, Σείριος καλούμενος· τότε γὰρ καὶ 283
οὗτος ἀνατέλλει ἕωος. Tzetzes.

586. *ΑΥΑΛΕΟΣ ΔΕ ΤΕ ΧΡΩΣ.* "Εως τοῦ *ΣΒΕΝΝΥΜΕΝΑΩΝ.* Λέγοι μὲν ἂν σείριον καὶ αὐτὸν τὸν ἥλιον, ὡς καὶ ἔμπροσθεν· λέγοι δ' ἂν καὶ τὸν ἐπὶ τοῦ κυνὸς λαμπρότατον· καὶ γὰρ οὗτος τότε τοῦ ἡλίου προανατέλλων o) ὀξέα σειριάει, καὶ καυμάτων αἴτιός ἐστι τῶν ὑπὸ κύνα καλουμένων· εἰκότως οὖν αὐαλέος ὁ χρὼς γίνεται ταῖς τούτων ἐμπύροις δυνάμεσιν αὐαινόμενος. Τίνα οὖν ἄκη τοῦ καύματος πετραίη σκιά; τοιαύτη δὲ ὑπὸ ταῖς πέτραις ἐν τοῖς σπηλαίοις· αὕτη γὰρ οὐχ ἁπλῶς παραμύθιόν ἐστι τῆς αὐάνσεως· ἀλλὰ καὶ δίυγρος

περιστέλλεται A. B. Trinc. Totum locum sic constituit Blomfieldius in Museo Critico Cantabrigiensi T. I. p. 428. *Τέγγε πνεύμονα Γοίνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται, Ἁ δ' ὥρα χαλεπὰ, πάντα δὲ διψῇ ὑπὸ καύματος. 'Αχεῖ δ' ἐκ πετάλων ἀχέτα τέττιξ (ὑπὸ τῶν πτερῶν.) 'Ανθεῖ καὶ σκόλυμος, νῦν δὲ γυναῖκες μιαρώταται* — Sequentia sunt etiam Alcaei, judicibus Wyttenbachio et Blomfieldio, valde tamen turbata et corrupta.

m) Deest hoc Schol. Trinc. *ἠχητικὸς κατὰ Βοιωτοὺς καὶ Αἰολέας: Σείριος* mediis omissis E. H. *ἠχητικὴ* G. in ceteris cum E. H. concordat. *κ.* B. *καὶ Αἰολεῖς* F.

οι

n) Sic A. *λέγει* B. *λέγει* edd. Mox *ἀπὸ* pro *ἐπὶ* B. et *ὁ τούτων* pro *ταῖς τούτων.*

o) Aratus Phaen. 331.

ἀπὸ τῆς τῶν πετρῶν ψύξεως. Καὶ [oo]) οἶνον Βύβλινον ὃν ἀξιοῖ παρ' αὐτοῖς γεωργεῖσθαι, φασὶ ποταμὸν οὕτω καλούμενον. Ὅτι δὲ οὗτος ὁ οἶνος ὡς ὁ Θάσιος [p]) εὐδοκίμει, λέγει καὶ Εὐριπίδης. ΜΑΖΑ δὲ ΑΜΟΛΓΑΙΗ, ἤτοι ἡ πυκνὴ, ὡς καὶ νυκτὸς ἀμολγὸν εἶπεν Ὅμηρος τὸ ἐκεῖ πυκνὸν διὰ το σκοτος· ἢ [q]) τὴν μεμιγμένην ἐν τῷ ἀμολγεῖ· καλοῦσι δὲ οὕτω τὸ ἀγγεῖον εἰς ὃ τὸ γάλα ἀμέλγουσι. Τὸ δὲ ΓΑΛΑ τῶν ΑΙΓΩΝ ἤδη ΣΒΕΝΝΥΜΕΝΑΩΝ ἔχει τὶ διαφέρον, ὡς μήτε ὀρῶδες, μήτε πνευματῶδες, ἀλλὰ μάλιστα πεπεμμένον, ὡς ἀπὸ νομῆς στερεωτέρας συστὰν, καὶ μετρίαν ἔχον εὐκρασίαν. ΒΙΒΛΙΝΟΣ οἶνος, ἤτοι ἀπὸ ἀμπέλου οὕτω καλουμένης, ὡς καὶ Πράμνειος, ἢ πόλις Θρακική. Proclus.

Ibid. ΑΛΛΑ ΤΟΤ' ΗΔΗ ΕΙΗ. Ἀντὶ τοῦ ἔστω πετραία τε σκιά. Αὕτη γὰρ βαθεῖα καὶ δίυγρος ἀπὸ τῆς τῶν πετρῶν ψύξεως, καὶ ὁ οἶνος ὁ βίβλινος. Βίβλος, ὥς φησι, ποταμὸς, ἢ πόλις Θράκης. Καὶ Μάζα ἀμολγαίη, ἤγουν ἄρτος γάλακτι ἐζυμωμένος, ἢ τυρός. Moschop.

587. [r])ΕΙΗ ΠΕΤΡΑΙΗ ΤΕ ΣΚΙΗ. Σπηλαιώδης σκιά. Φαίνεται δὴ νῦν ἀντιφατικῶς καὶ ἐναντίως αὐτῷ γράφειν ὁ Ἡσίοδος. Ἄνω γὰρ εἰπὼν φεύγειν δὲ σκιεροὺς θώκους, νῦν αὐτὸν ἐν σπηλαιώδει παρακελεύεται καθῆσθαι σκιᾷ. Οὐκ εἰσὶ δὲ, ἅ φησὶν, ἐναντία καὶ μαχόμενα, ἀλλὰ μᾶλλον ἀλλήλοις συντρέχοντα. Ὃ γὰρ ἀνωτέρω εἶπεν, ὅτι πρωῒ ἀναστὰς ἐν τῷ ψυχεινῷ τῆς ἡμέρας μέρει θέριζε καὶ σύναγε τὸν καρπὸν, τοῦτο πάλιν ἐπισφραγίζων φησὶν, πρὸ τῆς καυσώδους ὥρας ἀναστὰς
284 θέριζε. Ὅταν δὲ καυσωδέστερον γένηται τὸ τῆς ἡμέρας κατάστημα, τότε εἰς τὰς σπηλαιώδεις καὶ πετρώδεις ὑπεισέρχου σκιὰς, καὶ οἶνον βίβλινον πῖνε, ἀπὸ βιβλίας ἀμπέλου Θρακίας. Ἢ ἐλαφρὸν καὶ ὑδατώδη, κατ' ἐμὲ, ἀπὸ τῶν Ἀσσυρίων τῶν περὶ

oo) Holstenius ad Stephanum de Urbibus v. *βιβλίνη* hunc locum ita emendat; *οἶνον βίβλινον, ὃν οἱ Νάξιοι παρ' αὐτοῖς γεωργεῖσθαι φασὶ παρὰ ποταμὸν κ. τ. λ.* Sed lectio prout in hac ed. distincta legitur recte se habet. Hemsterhus.

p) *ηὐδοκίμει* B. Euripidis locum suspicatur Hemsterhusius ab Etymologo M. servari p. 197, 52. *Βίβλινος οἶνος· οἷον, Ὕδωρ δὲ πίνει, τὸν δὲ βίβλινον στυγεῖ.* Quae deinde habet Etymologus, sunt egregia, veteri Scholio ad hunc versum fortasse decerpta. Plura dabit Barnesius ad Euripidis Ion. 1195.

q) Sic A: *τὸν μεμιγμένον* edd.

r) Deest hoc Schol. Trinc.

τὴν Βίβλον καὶ Λίβανον· ἐκεῖνοι γὰρ ὑδροπόται· τοῦτο γὰρ δηλοῖ ἐκ τοῦ ἐπάγειν,

τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἵεμεν οἴνου·

τουτέστι, τεταρτημόριον ἔχε μέρος τοῦ οἴνου, καὶ τρεῖς μερίδας ἐξ ὕδατος, ἵνα ὑδαρὴς γένηται. Ἐν χειμῶνι γὰρ δέον ἀκρατοτέρων ὡς θερμοτέρων τῶν οἴνων ἀρύεσθαι. Tzetzes.

Ibid. *ΠΕΤΡΑΙΗ ΤΕ ΣΚΙΗ. ΗΤΕ ΣΚΙ* δάκτυλος. Τὸ γὰρ ΤΕ κοινή ἐστι συλλαβὴ, καὶ νῦν οὐκ ἐκτείνεται, ὡς καὶ παρ' Ὁμήρῳ,

Οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μᾶλλον. Tzetzes.

588. *ΜΑΖΑ Τ' ΑΜΟΛΓΑΙΗ.* Ἄρτος μετὰ γάλακτος ἐντεθρυμμένος ἢ τυρός. *ΑΛΛΩΣ. ΑΜΟΛΓΑΙΗ*, ἀντὶ τοῦ κρατίστη, ἀκμαία· τὸ γὰρ ἀμολγὸν ἐπὶ τοῦ ἀκμαίου τίθεται· [s]) Ἐρατοσθένης δὲ ποιμενικὴν, Καλλίστρατος δὲ τὸν τυρόν φησιν, ἢ ὀλλύραν βεβρεγμένην γάλακτι. Μάζα οὖν ἀμολγαίη, ἢ τυρὸς, ἢ ἄρτος ἐκ γάλακτος ἐξυμωμένος. Proclus.

Ibid. *ΣΒΕΝΝΥΜΕΝΑΩΝ.* Παυομένων τοῦ θηλάζειν, καὶ διὰ τοῦτο τὸ γάλα ψυχρὸν ἐχουσῶν. Τῷ γὰρ καιρῷ τοῦ θέρους, οὐκέτι [t]) θρομβῶδες ἐστὶ τὸ γάλα, ἀλλ' ὑδατῶδες, ἢ μετὰ τοκετὸν ἀμελγόμενον. Proclus.

Ibid. [191]) [v]) *ΜΑΖΑ.* Τὸ ἁπαλὸν, παρὰ τὸ μὴ ἄζα τις εἶναι· οὐ μὴν δὲ καθὼς φασὶ τὸ παξαμάτιον. Tzetzes.

Ibid. *ΜΑΖΑ Τ' ΑΜΟΛΓΑΙΗ.* Ὁ νεοφύρατος καὶ λεπτὸς καὶ [w]) τρυφερὸς ἄρτος· παρὰ τὸ μαξῶ, τὸ [x]) φύρω· ἢ παρὰ τὸ μάσσω, τὸ μαλάσσω. Ἄρτος δὲ, ὁ μέγας καὶ ἄρτιος· κἂν οἱ τῶν γραμματικῶν γριφοπλόκοι μᾶζα μᾶλλον καλῶσι τὸ ξηρὸν καὶ στεῤῥὸν ἀρτίδιον. Tzetzes.

Ibid. *ΜΑΖΑ Τ' ΑΜΟΛΓΑΙΗ.* Ἄρτος γενναῖος ἀμολγεῖ καὶ ποιμένι ἁρμόδιος, ἢ γάλακτι πεφυρμένος. Tzetzes.

s) Emendavi ex Etymologo M. p. 573, 31. In B. et Trinc. Ἐρατοσθένης δὲ ποιμενικοῖς. Heinsius Ἐρ. ἐν ποιμενικοῖς. Valckenaerius ad Euripid. Phoen. p. 608. Etymologi, ut videtur, oblitus, reponendum censet Ἐρ. μὲν ποιμενικήν.

t) θρυμβῶδες B. et mox μετὰ A. B. Trinc. pro κατά.

191) Suid. παξαμάτιον, ὁ δίπυρος ἄρτος· ἐστὶ δὲ ἡ λέξις Ῥωμαϊκή. Heinsius.

v) Deest hoc Scholion Trinc. Μάζα ad παξαμάτιον om. F. φασὶ E. G. φησὶ Bas. Heins.

w) μαλακός F. καὶ μαλακὸς inserit H.

x) Sic H. τρυφῶ edd.

Ibid. *ΣΒΕΝΝΥΜΕΝΑΩΝ.* *Παυθεισῶν τοῦ θηλάζειν.* Tzetzes.

Ibid. *ΓΑΛΑ Τ' ΑΙΓΩΝ ΣΒΕΝΝΥΜΕΝΑΩΝ.* *Ἤγουν τοῦ θηλάζειν παυσαμένων, καὶ κρέας βοὸς ὑλοφάγου, τουτέστιν ἀδαμάστου, νομάδος, μήπω τετοκυίας· οὐκ εἶπε δὲ ἄῤῥενος, ἐπεὶ ἀπὸ ἐνιαυτοῦ ὁ ἄῤῥην ἀσθενέστερός ἐστι, διὰ τὴν*
285 *ἐπιθυμίαν τοῦ ἔρωτος· καὶ πρωτοτόκων ἐρίφων κρέας· ἐπιπίνειν δή σε παρακελεύομαι αἴθοπα οἶνον, ἤγουν καυστικὸν, ἐν σκιᾷ καθεζόμενον, κεκορεσμένον τὴν ψυχὴν τροφῆς, ἐναντίον τρέψαντα τὰ πρόσωπα, τουτέστι τὸ πρόσωπον, ὡς τὰ τόξα ἀντὶ τοῦ τὸ τόξον, τοῦ ζεφύρου τοῦ ἀκραέος, ἤγουν τοῦ καθαροῦ καὶ ἀμιγοῦς, ἢ τοῦ ἠρέμα πνέοντος, καὶ ἀπὸ τοῦ ὕδατος κρήνης ἀενάου καὶ ἀποῤῥύτου, ἤγουν κινουμένης ἐκ παραλλήλου, ἥτις ἐστὶν ἀθόλωτος, ἤγουν καθαρὰ καὶ λεπτὸν ποιοῦσα τὸ ἑαυτῆς ὕδωρ τῇ κινήσει. Τρὶς προχεῖν, ἀντὶ τοῦ ἐγχεῖν, τὸ δὲ τέταρτον εἶναι, ἤγουν ἐμβαλεῖν, ἀπὸ οἴνου. Τοῖς δούλοις δὲ ἐπίταττε παροτρύνων, τὴν ἱερὰν ἀκτὴν τῆς Δήμητρος δινεῖν, ἤγουν τῇ δινήσει τῶν βοῶν ἀλοᾷν ἐν χώρῳ εὐαεῖ, τουτέστι καλῶς καταπνεομένῳ, ἵν' ἐπιτηδείως ἔχῃ πρὸς τὰς λικμήσεις, καὶ ἐν ἀλωνοτοπίῳ εὐτροχάλῳ, ἤγουν ὁμαλῷ, ἵνα καλῶς τε ἀλοῷτο ὁ καρπὸς, καὶ εὐκόλως ἀθροίζοιτο. Τοῦτο δὲ ποίει, ὁπηνίκα ἂν πρῶτον φανῇ τὸ σθένος τοῦ Ὠρίωνος, ἤγουν ὁ Ὠρίων περιφραστικῶς, τουτέστιν ὁπόταν ἐπιτείλῃ ὁ Ὠρίων πρῶτον τὴν ἑῴαν αὐτοῦ ἐπιτολήν· ἐπιτέλλει δὲ οὗτος μετὰ τὰς Πλειάδας, ὀλίγων ἡμερῶν παρερχομένων· [y]) συγκόμισον δὲ τοὺς γεωργηθέντας σοι καρποὺς καλῶς ἐν τοῖς ἄγγεσι· μέτρῳ, ἤγουν διὰ μέτρου, μετρουμένους, καὶ ποσουμένους. Μέτρῳ δίδωσί τις ἢ λαμβάνει σῖτον, ἢ τοιοῦτό τι· ἀριθμῷ δὲ καὶ σταθμῷ νομίσματα, ἢ ἕτερόν τι τοιοῦτον. Ἐπειδὰν δὲ δὴ πάντα τὰ πρὸς ζωὴν ἐπιτήδεια ἔνδον τοῦ οἴκου κατάθῃ, [185]) ἀντὶ τοῦ ἀπόθῃ ἁρμοδίως, κελεύω σε ποιεῖσθαι, ἀντὶ τοῦ κτᾶσθαι, θῆτά τε, ἤγουν οἰκέτην μισθωτὸν, ἄοικον, τουτέστι μήτε γυναῖκα, μήτε παῖδας ἔχοντα, ἵνα μὴ προφασίζηται ἐν τοῖς ἔργοις.* Moschop.

y) *συγκόμισον — ἄγγεσι* accedunt ex B. Paullo post *ἀπόθῃ* ex eodem pro *ἀποθάνῃ*.

185) Scribe, *ἀντὶ τοῦ ἀπόθῃ.* Heinsius.

589. *ΚΑΙ ΒΟΟΣ ΥΛΟΦΑΓΟΙΟ.* Ἕως τοῦ *ΤΟ ΔΕ ΤΕΤΡΑΤΟΝ ΙΕΜΕΝ ΟΙΝΟΥ.* Ἐργάτῃ μὲν ἡ τροφὴ πρέπουσα πληροῦν βοείων κρεῶν τὴν γαστέρα, καὶ ἐν σκιᾷ δὲ καθήμενον καὶ ὑπὸ τοῦ Ζεφύρου καταπνεόμενον, πίνειν ἐπὶ τῇ κρεωφαγίᾳ, μίξαντα κρηναῖον ὕδωρ τῷ οἴνῳ, τρία μέτρα πρὸς ἕν· οὐ γὰρ διαῤῥέουσιν ἀνθρώποις γράφει δίαιταν, ἀλλ' ἐκπονοῦσι τὴν γῆν, καὶ αὐτουργοῖς καὶ βιωτικοῖς· τοῖς γὰρ τοιούτοις οὐδὲν προσφορώτερον τῆς ἰσχυρᾶς καὶ δυσφθάρτου ταύ- 286
της τροφῆς, [188]) οὐ χιόνων [z]) δεομένοις, οὐδὲ ῥιπιδίων, ἀλλὰ φυσικῆς εὐπνοίας, οἷος ὁ *ΑΚΡΑΗΣ ΖΕΦΥΡΟΣ*, καθαρὸς ὢν Ζέφυρος· τὰ γὰρ βόρεια λήγοντα συνάπτεται τοῖς δυτικοῖς πνεύμασι. Τὸ δὲ ταύτην ἐπαινέσαι τὴν κρᾶσιν τοῦ οἴνου καὶ τοῦ ὕδατος, ἄτοπον εἶναι δοκεῖ. *Λέγεται* [a]) γάρ,

ἢ πέντε πίνειν, ἢ τρί', ἢ μὴ τέσσαρα.

Τὸ δὲ τρία μιγνύναι πρὸς ἕν, τοιοῦτον εἶναι δοκεῖ. Ἀλλ' ἐκεῖναι μὲν αἱ κράσεις, δύο πρὸς ἕν, καὶ τριῶν πρὸς δύο, κατὰ λόγους διπλάσιον καὶ ἡμιόλιον, τοὺς ἡγεμόνας τῶν πολλαπλασίων καὶ ἐπιμορίων, εἰς μέθην εἰσὶ πινόντων· αὕτη δὲ σωφρόνως πινόντων. Καὶ μὴν καὶ περὶ ὕδατος ἄλλοι μὲν γράφουσιν εἰς σταθμὸν ἀποβλέποντες ἐκλεγόμενοι τὸ κουφότερον. Καί τινες [b]) καὶ ὑδροστάτας κατασκευάζουσι, δι' ὧν τὸ βαρὺ καὶ κοῦφον ὕδωρ κρίνουσι· καίτοι πολλαχοῦ κοῦφον μέν ἐστι, πονηρὸν δὲ, ὡς ἐν Χαλκίδι Πλούταρχος ἱστορεῖ τὸ τῆς Ἀρεθού-

188) Scribe, *οὐ σκιάδων δεομένης, οὐδὲ ῥιπιδίων.* Nix enim quae potui adhibebatur hic locum non habet: meridiari autem veteres *ἐν σκιᾷ* solere, et *ὑπὸ σκιάδων* post absolutam illam diei partem quem Homerus *ἱερὸν ἦμαρ* vocat, id est, post horas diei naturalis sex priores, ad Horatii odam pluribus ostendimus, cujus exordium est, *Poscimur, si quid vacui sub umbra Lusimus tecum.* quam odam integram meridiantis poetae fuisse diximus. *Σκιὰς* erat umbra illa sub qua Liberum patrem pictores potantem et meridiantem pingunt. Hesychius, *Σκιὰς, ἡ ἀναδενδρὰς, καὶ σκηνὴ ὠροφομένη, καὶ τὸ θολῶδες σκιάδιον, ἐν ᾧ ὁ Διόνυσος κάθηται*: ipsum festum quo ita introducebatur, *σκιερὰ ἑορτή.* Emendationem nostram confirmat vox altera *ῥιπιδίων*, quae eodem spectat, et vox *εὐπνοίας.* Ejusmodi, inquit, cibo solido opus habent, qui quotidianis laboribus se exercent; nec enim umbracula, aut muliercularum flabella desiderant, sed flabrum lene venti naturalis, qui Hesiodo *εὐκραὴς ἄνεμος* dicitur, Proclo *εὐπνοία.* HEINSIUS.

z) Ita A. *δεομένης* edd. *οὐδὲ ῥιπιδίοις* B. Locum esse ex Plutarchi Comm. decerptum monet Wyttenbachius, quem vide n. 34.

a) *δὲ* B. Edd. habent *ἢ τρία π. ἢ πέντε.* Vide Plutarch. Symp. III. 9. Athen. X. p. 426. D.

b) *καὶ* deest A. B.

σης. Οἱ δὲ, καὶ τὸ ῥᾳδίως οἴνῳ κεραννύμενον δοκιμάζουσιν ὕδωρ ἄριστον, πολλῆς δεόμενον πείρας καὶ διαφόρων οἴνων [bb]) εἰς τὸ μὴ φωραθῆναι τοιοῦτον ὄν· ἄλλοι δὲ καὶ εἰς [c]) κεράμειον ποτήριον ὕδωρ ἐμβαλόντες ἐῶσι δι' ὅλης μεῖναι νυκτός· εἶτα γενομένης ἡμέρας ὁρῶσιν εἴ τινα ἐντὸς τῆς κύλικος ἔχει γεώδη περιφέρειαν συστᾶσαν καὶ μελανίζουσαν· καὶ τοῦτο σημεῖον τίθενται τῆς τοῦ ὕδατος φαυλότητος, οὐδ' οὗτοι πεῖραν [d]) παραδιδόντες εὐπόριστον. Πάντων δὴ οὖν τῶν τοιούτων ἁπλούστερον ὁ Ἡσίοδος κελεύει τῷ γεωργικῷ μιγνύναι τῷ οἴνῳ ὕδωρ ἐκ κρήνης ἀποῤῥύτου, ἵν' ᾖ κινούμενον καὶ λεπτὸν καὶ ἀθόλωτον, ἀλλὰ μὴ γεῶδες. [e]) ΑΛΛΩΣ. Πῶς συνήθως ἐχόντων ἡμῶν τῷ περιττῷ κεχρῆσθαι ἐν τῷ πίνειν ἀριθμῷ, τιμῇ τῆς γεννήτορος τῶν ἀριθμῶν μονάδος, ὁ Ἡσίοδος οὐ τῷ τρίτῳ, οὐδὲ τῷ πέμπτῳ, τῷ δὲ τετάρτῳ ἐχρήσατο; διότι ὁ μὲν τρίτος εἰς τὸν δύο ἀριθμὸν καὶ τὴν μονάδα διαιρούμενος διπλασίονα λόγον ἀποτελεῖ, ὅς τῶν πολλαπλασίων ἐστὶν ἡγεμών· ὁ δὲ πέμπτος εἰς τὸν τρίτον διαιρούμενος καὶ τὸν ἥμισυν, ἡμιόλιον ἀποτελεῖ, ὅς τῶν ἐπιμορίων ἡγεμονεύει, ἤτοι τῶν [ee]) ἀριθ-
287 μὸν ἐχόντων καὶ μέρος αὐτοῦ, οἷον ὁ λ̄ πρὸς τὸν κ'. Ὡς οὖν ἡγεμόσιν οὖσι τῶν ἀριθμῶν τοῦ μὲν τῶν πολλαπλασίων, τοῦ δὲ τῶν ἐπιμορίων, τούτοις μὲν οὐκ ἐχρήσατο, τῷ δὲ τετάρτῳ μᾶλλον, ὅς εἰς τρία καὶ ἓν διαιρούμενος τριπλάσιός ἐστι, μήτε τῶν πολλαπλασίων ἡγεμονεύων, μήτε τῶν ἐπιμορίων. Τοῖς ἄλλοις οὖν οὐκ ἐχρήσατο ὡς ἡγεμόσιν, οἷς οἱ πρὸς μέθην πίνοντες κεχρῆσθαι εἰώθασιν. PROCLUS.

Ibid. ΑΛΛΩΣ. ΥΛΟΦΑΓΟΙΟ. Ἀδαμάστου, ἀγρίας. Οὐκ εἶπε δὲ ἄῤῥενος, ἐπεὶ ἀπὸ ἐνιαυτοῦ ὁ ἄῤῥην ἀσθενέστερός ἐστι διὰ τὴν ἐπιθυμίαν τοῦ ἔρωτος. ΑΚΡΑΕΟΣ δὲ, τοῦ ἄκρως φυσῶντος [f]) εὐκραοῦς καλοῦ καὶ ἀμιγοῦς, ἢ ἠρέμα πνέοντος. ΑΠΟΡΡΥΤΟΥ τῆς ῥεούσης καὶ μὴ ἐχούσης ἀκαθαρσίαν· θόλος γὰρ ἡ ἀκαθαρσία. PROCLUS.

bb) Forte μὴ delendum; aut legendum εἰς τὸ φωραθῆναι μὴ τοιοῦτον ὄν. WYTTENBACH.

c) Sic A. Vulgo κεράμιον. Καὶ paullo ante insertum ex B. Mox dedi γεώδη pro γαιώδη e conjectura Wyttenbachii.

f) ἀκραοῦς B.

d) διδόντες B.

e) Hinc ad εἰώθασιν desunt A.

ee) Ita B. Vulgo ἀριθμῶν. Deinde ὁ λ̄ reposui pro mendoso ὅλων. Paullo supra pro τὸν ἥμισυν leg. τὸν β̄.

Ibid. [g]) *ΚΑΙ ΒΟΟΣ ῾ΥΛΟΦΑΓΟΙΟ.* ῾Υπαρχέτω σοι, φησὶ, τόδε καὶ τόδε, καὶ κρέας, ὥστε τοῦτο ἐσθίειν, ὀρειτρόφου καὶ ἀγελαίας καὶ ἀδαμάστου βοὸς στείρας, ἢ παρθένου καὶ ἀτόκου, καὶ πρωτογόνων ἐρίφων κρέας, καὶ χαίρων ἐπὶ τῷ θεριτῷ καὶ καθήμενος τρύφα, πρὸς ζεφυρίους αὔρας τρέψας τὸ πρόσωπον, καὶ τοὺς δούλους κελεύων τὸν σῖτον ἀλοᾶν. Πῶς δὲ, ὦ ῾Ησίοδε, ὁ πρὸ μικροῦ περιλεσχήνευτος σὸς ἀδελφὸς καὶ πένης καὶ ἀγοραῖος ἕξει τοιαύτας τροφὰς, ἃς μόλις ἕξουσι καὶ οἱ τῆς μοίρας ὄντες τῆς κρείττονος; βοὸς ἀγελαίας καὶ ἀτόκου κρέας καὶ πρωτοτόκων ἐρίφων; [192]) εἰ μή που αἴφνης αὐτῷ τὰ τοῦ ᾿Ιὼβ παρεσύρησαν θρέμματα, ἢ αἱ τοῦ ᾿Εριχθονίου ἀγέλαι προσεπεγένοντο, ἢ πᾶσα σχεδὸν ἡ οὐσία [h]) Τριταίχμου τοῦ Βαβυλωνίου τοῦ ᾿Αρταβάζου υἱοῦ, ὃς ἑκάστης ἡμέρας ἐκ τῶν αὐτοῦ χωρίων φόρον ἐλάμβανεν ἀργυρίου ἀρτάβην, [i]) ἤτοι μέδιμνον, ἵπποι δὲ τούτῳ φορβάδες ἦσαν [k]) ἑξακισχίλιαί τε καὶ μύριαι, [l]) κήλωνες δὲ ὀκτακόσιοι, πλὴν μέν τοι τῶν πολεμιστηρίων· κύνες δὲ [m]) θηρευτικοὶ, ὡς μόλις ὑπὸ φόρου τεσσάρων χωρίων δύνασθαι τρέφεσθαι. Tzetzes.

594. *ΤΡΙΣ Δ' ῾ΥΔΑΤΟΣ ΠΡΟΧΕΕΙΝ.* Προείπομεν περὶ τούτου. Πρόκλος δὲ ἀριθμοὺς φησάτω ἀρτίους καὶ περιττοὺς, περισσαρτίους, καὶ [n]) ἀρτιπερίσσους, ἡμιολίους, καὶ ἐπιτρίτους, καὶ ἐπιμορίους, καὶ πολλαπλασίους, καὶ πολλασιεπιμορίους, καὶ τὰ λοιπὰ, ὁπόσα μὴ [o]) ἐγκαίρως λεγόμενα, καταψοφεῖ μὲν τῶν νέων τὰς ἀκοὰς, περιπέττει δὲ ἀπαιδευσίας ἐξηγητῶν· 288 ὥσπερ αἱ ἐν τοῖς τοίχοις [p]) ὑπολευκάνσεις, καὶ παραχρίσεις καὶ ζωγραφίαι τῶν λιθουργῶν καὶ τεκτόνων, τὰ ἄῤῥυθμά τε καὶ κακοσύνθετα. Tzetzes.

Ibid. *῾ΙΕΜΕΝ.* Πέμπε, ἔμβαλε. ῞Οθεν δασυντέον τὸ ἵεμεν.

g) Deest hoc Scholion Trinc.

192) Graeculus noster ut eruditionem suam ostendat et *πολυιστορίαν*, quaestionem movet quam non solvet. Somniavit autem se adhuc Chiliades scribere. *᾿Εν γὰρ ὀνείρῳ Πᾶσα κύων ἄρτους μαντεύεται.* Heinsius.

h) Reliqui ob Chil. III. p. 305. licet optimi Herodoti codd. exhibeant *Τριτανταιχμ.* Vide Wesselingium ad I. 192.

i) *ἤτοι μέδιμνον* om. E. *ἤτοι — πολεμιστηρίων* om. F.

k) *διακόσιαι* E.

l) *κηλώνια* E. H. *καμήλων* G. Paullo post *πολεμηστήρων* E.

m) Sic F. *θηρατικοὶ* edd. *θηρατικαὶ* H.

n) *ἀρτιοπερισσοὺς* F. *καὶ ἀρτιπερισσοὺς* ad *πολλασιεπιμορίους* om. E. H.

o) *εὐκαίρως* G. *ὁπόσα — κακοσύνθετα* om. E. H.

p) *ἀπολευκάνσεις* F.

Καὶ περὶ διαγνώσεως δὲ ὑδάτων ὁ σοφὸς Πρόκλος ἔξω τοῦ καιροῦ φιλοσοφεῖ. Οὐδὲν γὰρ ἐνταῦθα περὶ [q]) *ὑδροσκοπικῶν Ἡσίοδος διαλέγεται. Ἐν οἷς δέ τι τοιοῦτον ἐμπέσοι, οὐ τερατείᾳ ψευδεῖ, πρὸς δὲ τὴν ἐξήγησιν συντεινούσῃ, δείξομεν ἀκριβέστερον,* [193]) *ἵν' εἰδῆτε* [r]) *ὁπόσας ὑδροσκοπικὰς βίβλους ἀνεγνώκειμεν τῶν παλαιῶν, ὥσπερ δὴ καὶ ἑτέρας παντοίας, κἂν περιπέζια γράφωμεν πρὸς ὑμετέραν ὠφέλειαν. Ἔξω δὲ καιροῦ περὶ τῆς τοῦ ὕδατος διαγνώσεως ἕν τι καὶ ἡμεῖς τοῖς* [s]) *Προκλείοις προσθήσομεν· ἄριστον ὕδωρ, ὃ ταχὺ θερμανθὲν ταχέως πάλιν ἐναποψύχεται.* Tzetzes.

Ibid. *ΤΡΙΣ ὝΔΑΤΟΣ. Ἐν Διδύμοις διὰ τὸ θέρος καὶ διὰ τὸ καταψύχειν, τρία πίνειν ὕδατος καὶ ἓν οἴνου· ἢ ἐν τῷ* [t]) *ἐκπώματι τρεῖς ἐμβάλλειν ὕδατος κράσεις, μίαν δὲ οἴνου· ἢ τὸ πολλάκις ὕδατος, μίαν δὲ οἴνου.* Proclus.

595. *ΔΜΩΣΙ Δ' ΕΠΟΤΡΥΝΕΙΝ. Ταῦτα περὶ τῆς* [v]) *τὸν ἄμητον εἰς τὴν ἅλω τῶν θερῶν καταθέσεως· τὸ γὰρ ΔΙΝΕΜΕΝ, ἐστὶ τὸ περικυκλοῦντας καὶ περιελαύνοντας τοὺς βόας ἐν αὐτῇ τὰ θέρη τρίβοντας ἀλοᾶν. Ταῦτα δὴ κελεύει τοῖς δμωσὶ πράττειν ἐν τῷ τόπῳ τοῦ ἀγροῦ τὴν ἅλω καταστησαμένοις δύο ἔχοντι, τό τε* [w]) *ΕΥΑΕΣ, ὅ ἐστιν εὔπνουν, καὶ τὸ ΕΥΤΡΟΧΑΛΟΝ, ὅ ἐστιν ὁμαλόν· ἄν τε γὰρ ἀνόμαλος ᾖ, πρὸς τὸ ἀθροίζεσθαι τὸν ἀλώμενον καρπὸν ἐμπόδιον, ἄν τε μὴ εὔπνους, οὐκ ἂν ἔχοι* [x]) *τὴν ἀπὸ τοῦ παρέχοντος σύλληψιν πρὸς τὸν σκεδασμὸν τῶν ἀχύρων. Μετὰ δὲ τὸ ἀλοηθῆναι μετρεῖν χρὴ, καὶ εἰς ἀγγεῖα τὸν καρπὸν ἐμβάλλειν ἀποθησαυρίζοντα πρὸς τὸ ἔτος. Τὸν δὲ καιρὸν εἶναι τοῦτον μετὰ τὰς Ὠρίωνος ἐπιτολὰς, καὶ τοῦ ἀλοᾶν καὶ τοῦ μετρεῖν, καὶ τοῦ ἀποθησαυρίζειν οἴκοι, τὸν κατὰ καιρὸν* [y]) *ἐπιγινόμενον καρπόν.* Proclus.

q) *ὑδρωπικῶν* E.

r) *ὁπόσας τῶν παλαιῶν βίβλων ὑδρωπικὰς ἀνεγκώκειμεν* E.

193) Quid haec omnia sunt quam militis gloriosi verba? Heinsius.

s) *πρόκλου προσθήσωμεν* E.

t) Sic A. *ἐκπόματι* edd.

v) Ita MSS. et ed. Trinc. *τὸν ἀμήτου* Heins. Forte legendum *τοῦ ἀμήτου* deletis *τῶν θερῶν*, nisi mavis haec retinere, illis expunctis. Pro *τὰ θέρη* mox Ruhnkenius Ep. Crit. p. 179. reponit *τοὺς ἀθέρας*.

w) Ex Scholiis ad h. l. Etymologus M. p. 388, 27. *Εὐάεϊ) εὐανέμῳ, εὖ πνέοντι· εὐτροχάλῳ δὲ, καλῶς κεκρατημένῳ διὰ τὴν κόνιν· ἢ ὁμαλῷ, ὅπου τις εὐκόλως τροχάζει, ὅ ἐστι τρέχει.*

x) *τὸ* pro *τὴν* B. Sequentia videntur corrupta. Mox *χρῆναι* A. *ἀποθησαυρίζοντι* Trinc.

y) *ἐπιγενόμενον* A.

Ibid. [z]) *ΔΗΜΗΤΕΡΟΣ ʽΙΕΡΟΝ ΑΚΤΗΝ.* Τὸ ἱερὸν δῶρον τῆς Δήμητρος, ἤγουν τὸν σῖτον. Δήμητραν δὲ νῦν 289
φησιν, ἢ τὴν γῆν, ἢ τὴν Διονύσου Ὀσίριδος γυναῖκα, ἡ τὴν φυτείαν καὶ γεωργίαν μετὰ Διονύσου [a])πορευομένη ἐδίδαξε. Τὴν δὲ τῆς Κόρης καὶ Δήμητρος ἱστορίαν κατ᾽ ἀρχὴν τῆς βίβλου καὶ μυθικῶς εἶπον, καὶ ἠλληγόρησα. Tzetzes.

596. *ΕΥΤ᾽ ΑΝ ΠΡΩΤΑ ΦΑΝΗι ΣΘΕΝΟΣ ΩΡΙΩΝΟΣ.* [b])ʽΟ σοφὸς Πρόκλος ἀριθμῶν καὶ ὑδροσκοπῶν, ἐν οἷσπερ οὐ δεῖ, τὰ χρειώδη καὶ ἐξηγήσεως χρῄζοντα παρατρέχει, ὡς νῦν τὴν Ὠρίωνος ἀνατολήν· ἀλλ᾽ ἡμεῖς οἱ μηδὲν εἰδότες τοιοῦτον σοφὸν, οἷον καὶ ὁ Πρόκλος, τὴν μὲν μυθικὴν τοῦ Ὠρίωνος ἱστορίαν, ὅτι κυνηγὸς Βοιώτιος ἦν, υἱὸς ʽΥριέως καὶ Εὐρυάλης τῆς Μίνωος θυγατρὸς, ὑπ᾽ Ἀρτέμιδος δὲ ἀνῃρέθη, σκορπίον ἀναδούσης, [c])ὃς αὐτὸν ἔτρωσε καὶ ἀνεῖλε, παραδραμόντες, [d])μαθηματικωτέρως οὖν διδάξομεν πλὴν σαφῶς τὴν τούτου ἐπιτολὴν μὴ μακρολογήσαντες, καίπερ τῆς ὑποθέσεως διδούσης μακρηγορεῖν.

Δέκα [e])παριππεύουσιν ἡμερῶν δρόμοι,
Ἐξ Ὠρίωνος [f])φάσεως πρὸς τὸν κύνα.
Οὕτως ἔφημεν καὶ σαφῶς καὶ συντόμως·
Εἰ δ᾽ αὖ θελήσει τις παρεκτείνω πλέον,
Ἥλιος εἰσβὰς ταυρικοὺς δρόμους τρέχειν
Τρισσῶν δεκάδων ἡμερῶν τρέχει δρόμους,
Καὶ τρεῖς ἐπ᾽ αὐταῖς φωσφορήσας ἡμέρας
Τροπὰς ἐλαύνειν ἄρχεται θεριτρόπους.
[g]) Ἐκ τῶν τροπῶν δὲ τῶνδε τῶν θεριτρόπων,
Παραδραμούσης ἡμερῶν [h])δισεννάδος,
Ἐπιτολὴν δείκνυσι λαμπρὰν Ὠρίων.
Ἐντεῦθεν ἑξάκυκλος ἡμερῶν δρόμος,
Δύνει δὲ λοιπὸν ὁ κράτιστος ὀρνέων.

z) Hinc ad ἠλληγόρησα om. Trinc.

a) πορευομένην edd. παραπορευομένην F.

b) ʽΟ σοφὸς — ὁ Πρόκλος om. Trinc.

c) ὃς α. ἐ. κ. ἀ. addidi ex Trinc. Desunt in cett.

d) μαθηματικωτέρως, πλὴν σαφῶς τὰ περὶ τὴν τούτου διδάξομεν ἐπιτ. Trinc. μυθικωτέρως F. G.

e) παριππεύσασιν G.

f) Trinc. Heins. φαύσεως. Bas. φάσεως. φύσεως F. δύσεως G.

g) Ita Trinc. et MSS. αὐτῶν Bas. Heins.

h) Ita E. H. δυσγεννάδος F. Tr. διπλεννάδος G. διπλεννίδος Bas. Heins.

Ἐξ ἀετοῦ κρυβεὶς δὲ πρὸς [i]) *κυνὸς φάσιν*
Ὅλη τετρακτὺς ἡμερῶν [k]) *παραῤῥέει.*
Καὶ τί πλατύνω τοὺς δρόμους τῶν ἀστέρων,
Εἰδὼς ἀκριβῶς ἀστρικὴν πᾶσαν θέσιν;
Σιγῶ τὸ λοιπὸν, μὴ θολώσω συγγράφων. Tzetzes.

598. *ΑΥΤΑΡ ΕΠΗΝ ΔΗ ΠΑΝΤΑ ΒΙΟΝ.* *Ταῦτα καὶ*
290 *τὰ ἑπόμενα περὶ τῶν ἀναγκαίων εἰς κτῆσιν ἐμψύχων ὀργάνων διδάσκει, τοῦ θητὸς, τῆς ἐρίθου, τοῦ κυνὸς, ἑκάστου τὸ χρήσιμον λέγοντος· τοῦ μὲν, τὸ μὴ ἔχειν* [l]) *οἶκον ἴδιον, ἵνα σοὶ προσέχῃ τὸν νοῦν· τῆς δὲ, τὸ μὴ ὑπόπορτιν εἶναι, παῖδα μὴ ἔχουσαν, ἵνα μὴ ἀσχολῆται περὶ τὴν πόρτιν· τοῦ δὲ, τὸ ἀμυντικὸν, ἵνα μὴ δι' ἀσθένειαν μάτην τρέφηται. Οὐ θηρατικὸν οὖν, οὐδὲ μελιταῖον θρέψει κύνα γεωργὸς, ἀλλὰ τὸν τὸ δάκνειν ἕτοιμον, καὶ τὸν ἡμερόκοιτον ἄνθρωπον φοβεῖν, ὃς διαπαντὸς ἀποβλέπει,* [189]) *οὐκ εἰς τὸ* [m]) *ἀναπαύειν τὸ σῶμα, ἀλλ' εἰς τὸ τὰ τῶν ἄλλων συλᾶν.* Proclus.

Ibid. [n]) *ΜΕΤΡΩι Δ' ΕΥ ΚΟΜΙΣΑΣΘΑΙ.* *Μοδισμῷ δὲ καλῶς ἀποκόμισον τὸν σῖτον ἐν τοῖς σοῖς κιβωτίοις· τουτέστι, καλῶς μετρήσας ὁπόσους μεδίμνους ἐγεώργησας.* Tzetzes.

Ibid. *ΑΥΤΑΡ ΕΠΗΝ ΔΗ.* *Ἐπειδὰν δὲ ἀποθησαυρίσῃς πᾶν σου γεώργιον, ὃ συντείνει πρὸς τὸν βίον καὶ τὴν ζωὴν, κτῆσαι καὶ μίσθιον ἄοικον, καὶ μισθίαν ἄτεκνον·* [o]) *ἵνα μὴ ὁ μὲν ἀποκλέπτων τι τῶν* [p]) *σῶν ἐς τὸν ἴδιον οἶκον ἀποκομίζῃ, ἡ δὲ περὶ τὸν παῖδα* [q]) *ἢ τὸ θυγάτριον ἀσχολουμένη ἀμελεστέρα γένηται περὶ τὰ ἔργα, ἢ ἀναλίσκῃ τὶ τῶν σῶν πλειόνως, ὡς ἔχουσα καὶ παῖδα, τοῦτο γὰρ σημαίνει τὸ ΥΠΟΠΟΡΤΙΣ.* [r]) *Ἐῤῥήθη δὲ ἀπὸ τῶν βοῶν τῶν ἐχουσῶν* [s]) *ὑπομάζιον πόρτιν, ἤγουν δάμαλιν.* Tzetzes.

i) *κυνὸς φαύσιν* Bas. *φαῦσιν κυνὸς* Trinc. *φαῦσιν* E. H.
k) *περιτρέχει* F. *παρατρέχει* Tr.
l) *οἶκον* om. B. Paullo supra *τοῦ ἔριθος* Trinc.
189) *ἴσως, οὐκ εἰς τὸ δῶμα.* Heinsius.
m) *ἀναπαύειν τὸ* addidi ex B. Trinc.
n) Deest hoc Schol. Trinc.
o) Ita MSS. *ἵν' ὁ μὴ* edd.
p) *σίτων* F. *σίτων τῶν σῶν* H.
q) *ἢ τὸ θυγ.* ad *καὶ παῖδα* addidi ex E. F. H. Sed in F. leguntur *ἀμελέστερα—πρὸς τὰ ἔργα—ἀναλίσκῃ—τῶν σίτων πλείονα—* In H. *ἐπιμελουμένη ἀμελεστέρως.*
r) Ita G. H. *ἐῤῥέθη* F. *εὑρέθη* E. *βρίθει* edd.
s) *ἐπιμάζιον* G. Mox *δαμαλίδα* E. F. H.

600. *ΘΗΤ' ΑΟΙΚΟΝ.* Μήτε ἔχοντα γυναῖκα μήτε παῖδα, ἵνα μὴ [t]) προφασίζηται ἐν τῷ ἀγρῷ. PROCLUS.

Ibid. *ΚΑΙ ΑΤΕΚΝΟΝ ΕΡΙΘΟΝ.* Ἤγουν γυναῖκα ἐργατικὴν δίζεσθαι, τουτέστι ζητεῖν· χαλεπὴ γὰρ ἔριθος ὑπόπορτις, ἀντὶ τοῦ τέκνα ἔχουσα. Καὶ κύνα κομεῖν, ἤγουν ἐπιμελεῖσθαι· καρχαρόδοντα, τουτέστιν ὀξεῖς ἔχοντα τοὺς ὀδόντας, ὡς εἶναι τὴν συστοιχίαν αὐτῶν ὥσπερ κεχαραγμένην, ὡς τὸν πρίονα. Μὴ φείδου σίτου, ἤγουν τροφῆς ἄρτου, ἵνα μή σε φυλάττοντος αὐτοῦ τὰ χρήματα ἀφέληται, ἀντὶ τοῦ τὸν πλοῦτον, τὴν περιουσίαν, ἀνὴρ ἡμερόκοιτος, ἤγουν κλέπτης, ὃς τὴν μὲν ἡμέραν ἀναπαύεται καὶ ὑπνώττει, τὴν δὲ νύκτα ἀγρυπνεῖ ἐπὶ τῷ ὑφελέσθαι τινὸς χρήματα. Χόρτον τε εἰσκόμισον καὶ συρφετὸν φυλλάδος καὶ ἀχύρου καὶ τῶν τοιούτων, ἵνα σοι εἴη τοῖς βουσὶ καὶ τοῖς ἡμιόνοις ἐπηετανὸν, ἀντὶ τοῦ εἰς τὸ διηνεκὲς, ἐπιῤῥηματικῶς. Ἔπειτα δὲ τοὺς δούλους ἀνάψυξον, ἤγουν ἀνάπαυσον κατὰ τὰ φίλα γόνατα, ἵνα πάλιν ἀκμαιότεροι ἐν τοῖς πόνοις ὑπουργήσωσι. Καὶ τοὺς βόας λῦ- 291
σον, ἤγουν τοῦ ζυγοῦ ἀπάλλαξον καὶ τῶν ἔργων. MOSCHOP.

602. [v]) *ΚΑΡΧΑΡΟΔΟΝΤΑ.* Ὀξυόδοντα, δηκτικὸν, εἰς τὸ ἀποσοβεῖν τοὺς ἡμεροκοίτους, ἤγουν τοὺς κλέπτας. TZETZES.

603. [190] [w]) *ΗΜΕΡΟΚΟΙΤΟΣ* δὲ ἀνὴρ, ὁ κλέπτης, ὁ τὴν ἡμέραν μὲν ὑπνῶν, τὴν δὲ νύκτα ἀγρυπνῶν. PROCLUS.

604. *ΧΟΡΤΟΝ Τ' ΕΣΚΟΜΙΣΑΙ.* Ταῦτα μετὰ τὴν συγκομιδὴν ἀναγκαῖα τοῦ χειμῶνος, χάριν τῶν βοῶν καὶ ἡμιόνων ἀθροῖσαι τροφὴν, ὡς τὴν τῶν ἀνθρώπων. Χειμῶνος γὰρ ὄντος ἄλλως τε καὶ σφοδροῦ, τρέφειν ἀπὸ τῆς χώρας οὐκ ἔστι τὰ θρέμματα. Χρήσιμον οὖν καὶ χόρτον ἀποτεθεῖσθαι, καὶ συρφετόν τινα φυλλάδος καὶ ἀχύρων, καὶ τῶν τοιούτων. Χρήσιμον δὲ καὶ ἐν τῷ καιρῷ τούτῳ, καθ' ὃν οὐδέν ἐστι πονεῖν, ἀναπαύειν [x]) τοὺς οἰκέτας καὶ τοὺς βόας, ἵνα πάλιν ἀκμαιότεροι τοῖς πόνοις ὑπουργήσωσιν, οὐχ ὡς ἔνιοι τρύχουσιν αὐτοὺς ἄλλοις πόνοις οὐ γεωργικοῖς, παραδιδόντες εἰς οἰκοδο-

t) Sic A. προφασίσηται edd.

v) Deest hoc Schol. Trinc.

190) Scribe, ἡμερόκοιτος ἀνὴρ] ὁ κλέπτης. HEINSIUS.

w) Ita A. Vulgo ἡμ. ὁ ἀνήρ.

x) τοὺς οἰκέτας καὶ inserui ex A. B. Trinc. Ultima οὕτω καὶ σὺ ποιεῖν om. A.

μὰς καὶ μαρμάρων ἕλξεις, καὶ τὰ τοιαῦτα τῶν ἔργων, οὕτω καὶ σὺ ποιεῖν. PROCLUS.

Ibid. y) ΧΟΡΤΟΝ Δ' ΕΣΚΟΜΙΣΑΙ. Χόρτον τε καὶ ἄχυρον z) ἀπόθου, ἵνα τοῖς σοῖς θρέμμασιν ᾖ δι' ὅλου τοῦ ἔτους ἀρκοῦσα τροφή. Ἔασον δὲ μετὰ τὸν θεριτὸν τοὺς γεωργοὺς βόας καὶ τοὺς οἰκέτας ἀναπαύσεως τυχεῖν, καὶ μὴ κατατρυχώσῃς ἔτι αὐτοὺς, ὥσπερ τινὲς τῶν βαρυτάτων δεσποτῶν, ἔργοις ἑτέροις, ἵνα πάλιν ἔχῃς αὐτοὺς ὑπουργοῦντάς σοι γενναιότερον. TZETZES.

607. ΕΥΤ' ΑΝ Δ' ΩΡΙΩΝ ΚΑΙ ΣΕΙΡΙΟΣ. Σαφῶς ἐν τούτοις τὸν ἐπὶ τῆς γένυος τοῦ κυνὸς Σείριον λέγει, συντάξας αὐτὸν τῷ Ὠρίωνι· καὶ τούτων μεσουρανούντων, εἶπεν ἑῷον ἐπιτέλλειν τὸν ἀρκτοῦρον. Ἐν τούτῳ δ' οὖν τῷ καιρῷ, ὅς ἐστιν ἡλίου ζυγὸν μετελθόντος καὶ τῆς παρθένου ἑώας ἀνισχούσης, ᾗ παρανατέλλει ὁ ἀρκτοῦρος, κελεύει τοὺς βότρυας τέμνειν· καὶ γὰρ ὁ a) προτρυγητὸς καλούμενος ἑῷος τότε γίνεται ἐκφανής. ΑΛΛΩΣ. Οὗτος τὸν κύναστρον λέγει Σείριον· ἐγγὺς γάρ ἐστι τῷ Ὠρίωνι. Ἀεὶ δ' ἓξ ζώδια ὑπὸ γῆν b) εἰσὶ, καὶ ἓξ ὑπὲρ γῆν. Μεσουρανεῖ δὲ τὸ δ' ζώδιον, ἀπὸ ἡλίου εἰς c) τὸ ἀνάπαλιν τῶν ζωδίων μετρουμένων, διὰ d) τὸ ἐναντίον δρόμον ποιεῖσθαι τὸν ἥλιον τῷ πόλῳ. Ὅταν οὖν γένηται ὁ ἥλιος ἐν τῷ Λέοντι, ἢ ἐν Παρθένῳ, διὰ τὸ τὸν Ὠρίωνα Ταύρῳ καὶ e) Διδύμοις πλησιάζειν, τότε ἐπιτήδειον
292 τρυγᾶν. Ὁ δὲ Ἀρκτοῦρος ὁμοταγὴς τῇ Παρθένῳ. Ἔστι δὲ ὁ Σκορπίος ὁμοταγὴς τῷ Ὀφιούχῳ, ὁ καὶ δύο ζωδίων κατέχων τόπον. 194 f) Ὅτε φθάνει, τουτέστιν ὁ ἥλιος γένηται ἐν Διδύμοις καὶ ἐν Καρκίνῳ (ἡ δὲ κεφαλὴ αὐτοῦ πρὸς τῷ Ταύρῳ κεῖται, ὁ δὲ ποὺς πρὸς τοῖς Διδύμοις) τότε ἐπιτήδειον ἀροτριᾷν. PROCLUS.

Ibid. ΕΥΤ' ΑΝ Δ' ΩΡΙΩΝ ΚΑΙ ΣΕΙΡΙΟΣ. Ἡνίκα

y) Deest hoc Schol. Trinc.

z) ἐναπόθου H. In extr. γενναιοτέρους E.

a) τρυγητὸς B.

b) Sic A. ἐστὶ edd.

c) τὸ om. B.

d) τὸ τῶν ἐναντίον A.

e) Διδύμῳ B. et sic mox.

194) ὅτε φαέθων ᾖ,] Pessime scriptum erat, ὅτε φθάνει, ex quo fecit illustris Scaliger, ὅτε φαέθων ᾖ. HEINSIUS.

f) ὅτε φθάνει A. B. φθάνει sine dubio mendosum est. Fortasse sub literis φθ latet ἥλιος compendiose scriptus; vide ad Theog. 709. Et sic pro φθάνει leg. ἥλιος ἂν ᾖ. Ex interpretamento nata sunt quae sequuntur, τουτέστιν ὁ ἥλιος γένηται.

δὲ ὁ Ὠρίων μεσουρανίσῃ, καὶ ὁ Κύναστρος· ὀλίγον [g])γὰρ ἀπέχουσιν ἀπ' ἀλλήλων διάστημα. Ὁ Ἀρκτοῦρος δὲ ὁ [h])ἐπὶ τῆς ζώνης τοῦ Ἀρκτοφύλακος λαμπρὸς ἀστὴρ, ὁ καὶ Ἑωσφόρος καλούμενος, ἀνατείλῃ ἑώαν ἀνατολήν· ἥ τις γίγνεται μετὰ ἑκκαίδεκα ἡμέρας τῆς τοῦ κυνὸς ἐπιτολῆς, ἤγουν μετὰ Αὐγούστου ἡμέραν ἐνάτην· τότε, φησὶν, ὦ Πέρση, τοῦ τρυγητοῦ μέμνησο. [i])Ἆρα δὲ οὐ μάταιος καὶ περισσὸς ὁ Ἡσίοδος βαναύσῳ καὶ ἰδιώτῃ ἀνδρὶ ὄντι τῷ ἀδελφῷ, θέρους καὶ τρυγητοῦ καὶ τῶν τοιούτων ἁπάντων σαφεστάτων ὄντων ἐπάγων ἀσαφῆ τὰ τεκμήρια, ἃ καὶ τισι τῶν ἀστρολόγων ἠγνόηται; οἶμαι δὲ καὶ Ἡσιόδῳ αὐτῷ· οὐ γὰρ ἂν Αὐγούστῳ τρυγᾶν παρεκελεύετο. Μεσουράνημα δέ ἐστιν, ὡς πρῴην [k])ἐδίδαξα στοιχειακῶς, ὅταν ἐνενήκοντα μοίρας πρὸ ἡλίου ἀστὴρ ἀνατείλῃ· τουτέστιν, ὅταν τρία ὅλα ζώδια [l])προδράμῃ τὸν ἥλιον. Ἀεὶ γὰρ καθ' ἕκαστον νυχθήμερον ἓξ εἰσὶ ζώδια περὶ τὸ [m])κάτω καὶ ὑπὸ γῆν ἡμισφαίριον· [n])τὰ δὲ ἕτερα ἓξ περὶ τὸ ἄνω καὶ ὑπὲρ γῆν. Τότε οὖν ὁ Ὠρίων τρία ὅλα ζώδια προανατέλλων τοῦ ἡλίου μεσουρανεῖ σὺν τῷ ταύρῳ ἀναφερόμενος. Ὁ δὲ ἥλιος μετὰ τὸν Ταῦρον, τοὺς Διδύμους, τὸν Καρκίνον, σὺν τῷ Λέοντι ἀναφέρεται. Tzetzes.

Ibid. *ΕΥΤ' ΑΝ Δ' ΩΡΙΩΝ.* Ὁπηνίκα δ' ἂν ὁ Ὠρίων καὶ ὁ Σείριος, ἤγουν ὁ ἐπὶ τῆς γένυος τοῦ κυνὸς ἀστὴρ, ἐγγὺς γὰρ ἀλλήλων ὁ Κύων καὶ ὁ Ὠρίων, εἰς μέσον ἔλθῃ τὸν οὐρανὸν, ἀντὶ τοῦ εἰς τὸ μέσον τοῦ οὐρανοῦ, τουτέστι μεσουρανίσῃ, τὸν Ἀρκτοῦρον δὲ ἴδῃ ἡ ῥοδοδάκτυλος Ἠὼς, ἤγουν ἡ λαμπρὰ, καὶ τερπνὴ, ἀντὶ τοῦ ὁ Ἀρκτοῦρος δὲ ἐπιτείλῃ τὴν ἑῴαν ἐπιτολὴν, τουτέστιν ὅταν ὁ ἥλιος ἐπὶ τὸν Ζυγὸν μεταβῇ, τότε γὰρ ἑῴα ἡ παρθένος ἀνίσχει, ᾗ ἐστιν ὁ Ἀρκτοῦρος ὁμοταγὴς, μεσουρανεῖ δὲ ὁ Ὠρίων τῷ τετάρτῳ ζῳδίῳ ἀπὸ ἡλίου πλησιάζων τοῖς Διδύμοις, ἀεὶ γὰρ ἓξ ζώδια εἰσὶν ὑπὸ γῆν, καὶ ἓξ ὑπὲρ γῆν, μεσουρανεῖ δὲ τὸ τέταρτον ἀπὸ ἡλίου ζώδιον, τότε, ὦ Πέρση, πάντας τοὺς βότρυς ἀποδρέπων, ἤγουν τέμνων, κόμιζε εἰς τὸν οἶκόν σου, δεῖξον δὲ τῷ ἡλίῳ ἐπὶ δέκα τε 293

g) γὰρ et mox ἀπ' ἀλλήλων om. G.

h) Ita Trinc. Vulgo deest ἐπὶ. τῆς Ἀρκτ. G.

i) Ἆρα—παρεκελεύετο om. Trinc.

k) ἐδίδαξαν στοιχειακῶς E. ὡς πρὶν στοιχειακῶς ἐδείξαμεν Trinc.

l) παραδράμῃ H.

m) ἄνω καὶ ὑπὲρ Trinc.

n) καὶ ἓξ π. τὸ κάτω καὶ ὑπὸ Trinc. Mox ὅλα om. Trinc.

ἡμέρας καὶ ἐπὶ δέκα νύκτας. Συνυπάγει δὲ καὶ τὰς νύκτας τῷ λόγῳ, ὡς ἑπομένας ταῖς ἡμέραις ἐξ ἀνάγκης· οὐ γὰρ δὴ καὶ κατ' αὐτὰς δυνατὸν τῷ ἡλίῳ δεικνύναι τοὺς βότρυς, οὐκ ὄντος ἡλίου. Ἐπὶ πέντε δὲ ἡμέρας σύσκίασον, ἤγουν ὑπὸ σκιὰν θὲς, μετὰ τὸ δεῖξαι αὐτοὺς τῷ ἡλίῳ, κατὰ τὴν ἕκτην δὲ ἡμέραν, εἰς τὰ ἀγγεῖα ἀφύσσαι, ἀντὶ τοῦ ἀποθλίψας ἄρυσαι τὰ δῶρα τοῦ Διονύσου τοῦ πολυγηθέος, ἤγουν τοῦ πολλῆς τέρψεως αἰτίου. Moschop.

610. ΔΕΙΞΑΙ Δ' ΗΕΛΙΩι. Τοὺς βότρυς ἐκτεμόντες ἐτίθεσαν [o]) ὑπὸ τὸν ἥλιον, ἐξικμάζοντες αὐτῶν διὰ τῆς ἡλιώσεως τὸ λεπτὸν καὶ ὑδαρὲς καὶ εὔτρεπτον· καὶ ἐκάλουν τοῦτο θειλοπεδεύειν. Μετὰ δὲ τοῦτο ἐν τῇ σκιᾷ πάλιν διετίθεντο μηχανώμενοι πυκνωθῆναι τὸν καρπὸν μετὰ τὴν ἡλίωσιν, τὴν ζέσιν ἐξιώμενοι τὴν ἀπ' αὐτῆς διὰ τῆς σκιᾶς, καὶ τῆς ἐν αὐτῇ ψύξεως· καὶ τρίτον οὕτως ἐπάτουν [p]) ἐκθλίβοντες τὸν οἶνον, συνεστῶτα λοιπὸν καὶ εὔτονον ἔχειν νομίζοντες· ὃ δὴ καὶ ὁ Ἡσίοδος ὑφηγεῖται διὰ τούτων. [q]) ΑΛΛΩΣ. ΔΕΙΞΑΙ Δ' ΗΕΛΙΩι δέκα ἡμέρας ἁπλῶσαι τὴν σταφυλὴν ἐν τῷ ἡλίῳ καὶ ε̄ ἐν τῇ σκιᾷ, καὶ τότε πατῆσαι. Proclus.

Ibid. ΔΕΙΞΑΙ Δ' ΗΕΛΙΩι. [s])Ἐξίκμασον δὲ τοὺς βότρυς ἀποτεμὼν, ἁπλώσας ἐν ἡλίῳ ἡμέρας ῑ, καὶ πέντε πάλιν ἐν σκιερῷ τόπῳ κατάθου, ἵνα μετρίου ἀέρος μετάσχωσιν· ἔπειτα δὲ συμπατήσας αὐτοὺς οἰνοποίησον ἐν τοῖς πίθοις ἀπαρυσάμενος. Καὶ τὸ περὶ τοιαύτης οἰνοποιΐας διδάσκειν τῷ Πέρσῃ μάταιον, καὶ παρεμφερὲς τοῖς [v]) ἀσυστάτοις νόμοις τοῦ Πλάτωνος· οὔτε γὰρ Πέρσης, οὐδὲ Ἡσίοδος τοιοῦτον [w]) οἶνον εἰργάσαντο, οἶμαι, οὐδὲ πεπώκασι. Tzetzes.

612. [r]) ΔΩΡΑ ΔΙΟΝΥΣΟΥ. Οὐκ οἶδεν ὁ Ὅμηρος δῶρον Διονύσου τὸν οἶνον. Proclus.

o) Ita A. Vulgo ἐπὶ. Mox διὰ τῆς ἡλιώσεως om. B.

p) Deest B. et mox φησι pro ὑφηγεῖται.

q) Ita A. B. Vulgo om. Ἄλλως δ. δ' ἡ. Mox post ἡμέρας insertum in edd. λέγων.

r) Hinc ad τὸν οἶνον accesserunt ex A.

s) ἐξίκμ$_{α}$σον Trinc. κατίκμασον Bas. Heins. Dein κατάθες Bas. Heins.

t) ἔπειτα δὲ συμπατήσας αὐτοὺς τὸν οἶνον ἐν πίθοις ἔγχεε. τὸ δὲ περὶ τοιαύτης ο. δ. τ. Π. περιττόν· οὔτε γὰρ Πέρσης οὔτε Η. τ. ὁ. ἐ. ὁ. ὁ. π. Reliqua desunt Trinc.

v) ἀστάτοις F.

w) ἔργον E.

x) Πλειάδων A. Mox ὅτι καὶ ὁ πλείων B. et paullo post ἐπὶ τῆς γῆς.

Ibid. *ΑΥΤΑΡ ΕΠΗΝ ΔΗ.* Τῇ ἀρχῇ τὸ τέλος συνῆψε τῶν γεωργικῶν ἔργων, τῷ ἀρότρῳ τὸ ἄροτρον· καὶ γὰρ ἤρξατο ἐντεῦθεν ἀπὸ τῆς δύσεως τῶν [x]) Πληϊάδων καὶ ἀρότρου, καὶ κατέληξεν εἰς αὐτά. Διὸ καὶ ἐπήγαγε διὰ πάντων διεξελθὼν, ὅτι ὁ πλειὼν, ὅς ἐστιν ὁ ἐνιαυτὸς, τῶν ἐπὶ γῆς ἔργων οὕτως ἂν [y]) ἔχοι τέλος ἐναρμόνιον. Πλειὼν δὲ ὁ ἐνιαυτὸς, ὡς τὰς ἡμέρας συμπληρώσας, καθ' ἃς τὴν γεωργίαν διεῖλε. Τὸ δὲ ἐντεῦθεν ἐπὶ ναυτιλίαν μέτεισιν, ὡς καὶ ταύτης δυναμένης 294
βίον πορίζειν, εἰ καὶ ἡ γεωργία πρεπωδεστέρα χθονίοις ἡμῖν οὖσι ζώοις, καὶ ἐκ γῆς τρέφεσθαι τῆς γεννησαμένης ἡμᾶς ὀφείλουσι. Διὸ καὶ τὴν εἰσβολὴν τῆς ναυτιλίας ἐποιήσατο τοιαύτην, [z]) οὐχ οὕτως ὡς τῆς γεωργίας ἐραστὴς αὐτῆς ὑπάρχων. Proclus.

Ibid. [a]) *ΔΙΟΝΥΣΟΥ.* Τὸ ō καὶ μικρὸν γραφόμενον ὑπὸ τοῦ ν̄ ἐκτείνεται· Ἀττικῶς δὲ [b]) μέγα γράφεται. Tzetzes.

Ibid. *ΑΥΤΑΡ ΕΠΗΝ ΔΗ.* Ἐπειδὰν δὲ δὴ αἱ Πλειάδες τε καὶ αἱ Ὑάδες, καὶ τὸ σθένος τοῦ Ὠρίωνος, ἤγουν ὁ Ὠρίων περιφραστικῶς, δύνωσι, τὴν ἑώαν δηλονότι δύσιν, τότ' ἔπειτα, ἀντὶ τοῦ πάλιν, ἀρότρου μεμνημένος ἔσο ὡραίου, ἤγουν ἐγκαίρου· ὁ πλειὼν δὲ, ἤγουν ὁ ἐνιαυτὸς, ἁρμόδιος εἴη, ἀντὶ τοῦ ἔστω, κατὰ χθονὸς, ἀντὶ τοῦ ἐπὶ τῶν τῆς γῆς ἔργων. Moschop.

613. *ΠΛΗΙΑΔΕΣ Θ' ΥΑΔΕΣ ΤΕ.* Περὶ τούτων προέφημεν. Ὑάδες δὲ λέγονται, ὡς τῷ υ στοιχείῳ ἐοικυῖαι ἢ ὡς ὄμβρων ποιητικαί. Δυνουσῶν γοῦν τὴν ἑσπερίαν δύσιν τούτων, παρακελεύεται ἀροτριᾷν, ὡς κατ' ἀρχὰς [c]) ἔφην. Πλειὼν, ὁ χρόνος, ἀπὸ τοῦ πάντα πληροῦν· αὐτὸς γάρ ἐστι πατὴρ πάντων· ἢ ὁ συμπληρούμενος εἰς σπόρον καὶ θέρος ἐκ τῶν Πλειάδων· ἢ ὁ ἐκ πολλῶν συνεστὼς, καὶ εἰς πολλὰ διῃρημένος· λέγω δὲ, καιροὺς, μῆνας, ἑβδομάδας, ἡμερόνυκτα, ὥρας, λεπτὰ, δευτερόλεπτα. Tzetzes.

615. *ΑΡΜΕΝΟΣ ΕΙΗ.* Ἐὰν ταῦτα ποιήσῃς, ὁ ἐνιαυτὸς, φησὶν, ὅλος ἁρμόδιος ἔσται. Πλειὼν δὲ ὁ ἐνιαυτὸς, ἀπὸ τοῦ

y) ἔχῃ B. ἔχει Trinc.
z) οὐχ οὕτως ἐποιήσατο τοιαύτην edd. εἰσβολὴν οὐχ οὕτως ἐραστὴς τῆς ναυτιλίας οὔσης ὡς τῆς γεωργίας ἐποιήσατο τοιαύτην A.

a) Deest hoc Scholion Trinc.
b) μικρογραφεῖται G.
c) ἔφημεν F.

πάντα πεπληρῶσθαι, ἢ ἀπὸ τῶν Πληϊάδων. Ἐξ αὐτῶν γὰρ οἱ στοχασμοὶ τοῦ πότε δεῖ καὶ σπεῖραι καὶ θερίσαι. PROCLUS.

616. *ΕΙ ΔΕ ΣΕ ΝΑΥΤΙΛΙΗΣ. Ἕως τοῦ ΔΙΟΣ ΟΜΒΡΟΣ. Καὶ διὰ τῆς εἰσβολῆς τὴν ναυτιλίαν διέβαλεν, εἰπὼν αὐτὴν δυσπέμφελον, ὡς ἐργώδη, καὶ δυσκολίαν παραπέμπουσαν τῷ βίῳ, καὶ* d) *τῷ μὴ πρότερον εἰπεῖν πότε δεῖ πλεῖν, ἀλλὰ πότε παύεσθαι τοῦ πλεῖν. Πότε οὖν τοῦτο ποιητέον; ὅταν, φησὶν, αἱ Πλειάδες δύνωσιν ἑῶαι,* e) *φυγοῦσαι τὸν Ὠρίωνα. Τοῦτο δὲ, ἐπεὶ προδύνουσι, καὶ ἐπ'* f) *αὐτῶν ὁ Ὠρίων διώκειν αὐτὰς δοκῶν, καὶ οἵ γε ναυτικοὶ* g) *Πανδυσίαν καλοῦσι τοῦτον τὸν καιρόν. Τότε οὖν παντοῖα πνεύματα πνεῖ δύσκρι-*
295 *τα, καὶ χρῆναι μᾶλλον ἐργάζεσθαι τὴν γῆν ἢ πλεῖν. Ἀνέλκειν οὖν τὴν ναῦν καὶ ἐδράζειν ἐπὶ τῆς γῆς, λίθοις πυκάσαντα κελεύει πάντοθεν, ἵνα μὴ σαλεύσωσιν οἱ ἄνεμοι τὴν ναῦν νεωλκηθεῖσαν, καὶ κατεάξωσιν ἀντεχόντων πανταχόθεν τῶν* h) *ὑποστηριζόντων αὐτὴν λίθων· ὅπως δὲ μὴ σήπηται ὑομένη, δεῖν τὸν χείμαρον ἐξερύσαι. Ἔστι δὲ* i) *οὗτος τρηματιόν τι τῆς νεὼς, εἰς ὃ πλεούσης ἔμφραγμα ποιοῦσι, νεωλκηθείσης δὲ, ἀφαιροῦσι τὸ ἔμφραγμα, ἵνα ὁ ὑετὸς, ὁ ἐπ' αὐτὴν φερόμενος, διεξίῃ διὰ τοῦ τρήματος, καὶ μὴ σήπῃ συνιστάμενος ἔσω τῆς νεώς· ὃ δηλοῖ λέγων καὶ αὐτὸς, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος τὴν ναῦν.* PROCLUS.

Ibid. *ΕΙ ΔΕ ΣΕ ΝΑΥΤΙΛΙΗΣ. Ἀπεχθῶς φαίνεται τῇ ναυτιλίᾳ Ἡσίοδος διακείμενος,* k) *ἔκ τε τοῦ δυσπέμφελον, καὶ δυσπαράπομπον, καὶ δυσέμπορον ταύτην καλέσαι· ἔτι δὲ καὶ ἐκ τοῦ τὴν διδασκαλίαν ποιήσασθαι ἀπὸ τοῦ, ὅτε* l) *οὐ δεῖ πλεῖν. Φησὶν οὖν, ὅτι ὅταν δύνωσιν ἑσπέριον αἱ Πλειάδες, φεύγουσαι τὸν Ὠρίωνα ὡς κυνηγὸν, μετὰ γὰρ τρεῖς ἡμέρας δύνει καὶ αὐτὸς ὁ Ὠρίων, τότε ἀνέμων παντοίων ὁρμῶσι πνοαί. Καὶ μὴ* m) *ἔχῃς ναῦν ἐν πελάγει, ἀλλὰ ἕλκυσον αὐτὴν ἐν τῷ*

d) Sic A. B. *τὸ* edd. Paullo post edd. *παύσεσθαι.*

e) *φύγωσαι* A.

f) Ita Trinc. B. *αὐταῖς* A. *αὐτῷ* Heins.

g) Leonidas Tarent. Ep. 90. Analect. Brunck. T. I. p. 244. *Εὔρου με τρηχεῖα καὶ αἰπήεσσα καταιγὶς Καὶ νὺξ, καὶ δνοφερῆς κύματα πανδυσίης Ἔβλαψ' Ὠρίωνος· ἀπώλισθον δὲ κίοιο Κάλλαισχρος, Λιβυκοῦ μέσσα θέων πελάγευς.* In B. *πανδεσίαν.* Male.

h) *ὑποστηριζομένων* A. altera lectione suprascripta.

i) Deest A.

k) *ἔκ τε τοῦ* om. F. ubi mox *καλέσας.*

l) *οὐ* om. Trinc.

m) *ἔχε* Trinc. et mox *ἀναρπάσῃ.*

λιμένι, καὶ ὑποστήριξον λίθοις, μή πως ὁ σάλος αὐτὴν ἀναρπάξῃ, τὴν δὲ πᾶσαν [n]) ἐξάρτυσιν τοῦ πλοίου ἀποκόμισον ἐν τῷ οἴκῳ σου, καὶ περίστειλον ὡς χρή. Ἐργάζου δὲ τότε τὴν γῆν, ὥς σε κελεύω· μεμνημένος δηλονότι τῶν παραινέσεων. Tzetzes.

Ibid. *ΕΙ ΔΕ ΣΕ ΝΑΥΤΙΛΙΗΣ.* Εἰ δέ σε ἐπιθυμία κρατεῖ τῆς ναυτιλίας τῆς κακῶς παραπεμπούσης, τοῦτο γὰρ τὸ δυσπεμφέλου, ὁπηνίκα ἂν αἱ Πλειάδες τὸ φοβερὸν σθένος τοῦ Ὠρίωνος φεύγουσαι, ἀντὶ τοῦ τὸν Ὠρίωνα περιφραστικῶς, πίπτωσιν εἰς τὸν ἠεροειδέα πόντον, ἤγουν τὸν σκοτεινόν· ἀὴρ γὰρ τὸ σκοτεινὸν καὶ ὁμιχλῶδες· τουτέστιν ὁπηνίκα ἂν αἱ Πλειάδες δύνωσι τὴν ἑῴαν δύσιν, φεύγουσαι τὸν Ὠρίωνα, προδύνουσι γὰρ αὐτοῦ, εἶτα αὐτὸς εὐθὺς μετ' αὐτὰς δύνει· ὡς δοκεῖν αὐτὰς μὲν τοῦτον φεύγειν, τοῦτον δὲ ταύτας διώκειν. Moschop.

619. *ΦΕΥΓΟΥΣΑΙ.* Ὅταν δύνωσιν ἑῴαν δύσιν· τότε γὰρ ὁ ἥλιος ἐν Σκορπίῳ, ὅ ἐστιν ἕβδομον ζώδιον. Τὸ δὲ *ΦΕΥΓΟΥΣΙ* χαριέντως εἶπεν, ἐπειδὴ πλησίον ἐστὶν ὁ Ὠρίων. Proclus.

Ibid. *ΔΗ ΤΟΤΕ ΠΑΝΤΟΙΩΝ ΑΝΕΜΩΝ ΘΥΟΥΣΙΝ ΑΗΤΑΙ.* Ἀντὶ τοῦ πνοαὶ θύουσι, τουτέστι σφοδρῶς κινοῦνται. Καὶ τότε μηκέτι ἔχε νῆα ἐν τῷ πόντῳ τῷ οἴνοπι, ἤγουν τῷ μέλανι, τὴν γῆν δὲ ἐργάζου καθά σε κελεύω ἐργάζεσθαι, μεμνημένος, ἤγουν ἐν τῇ μνήμῃ φυλάττων τὴν περὶ τούτων διδασκαλίαν, τὴν ναῦν δὲ ἐπ' ἠπείρου ἕλκυσον, καὶ πύκασον, ἤγουν ἀσφάλισαι αὐτὴν πάντοθεν λίθοις, ἵνα ἐπέχωσι τὸ μένος τῶν ἀνέ- 296
μων τῶν ὑγρὸν πνεόντων, τοῦ κατάξαι αὐτήν· τὸν χείμαρον ἐξερύσας, ἤγουν ἐκβαλών, ἵνα μὴ πύθῃ αὐτήν, ἤγουν σήπῃ, ὁ τοῦ Διὸς ὄμβρος συνιστάμενος ἐν αὐτῇ. Χείμαρος δὲ λέγεται ὁ πάσσαλος ὁ ὑπὸ τὴν τρόπιν, οὗ ἐξαιρουμένου τὸ ὕδωρ προχωρεῖ· καλεῖται δὲ καὶ εὐδιαῖος. Τὰ ὅπλα τε πάντα τὰ ἁρμόδια τῇ νηΐ, ἤγουν τὸν ἱστόν, τὰ ἱστία, τοὺς κάλως, καὶ τὰ τοιαῦτα, τῷ σῷ οἴκῳ ἐγκατάθου· εὐτάκτως στολίσας, ἀντὶ τοῦ συστείλας, εὐτρεπίσας τὰ πτερὰ τῆς νηός, τουτέστι τὰ ἱστία, ὅτι

n) Dedi partim ex Trinc. ubi ἐξάρτισιν. edd. Bas. Heins. ἐξαρτίαν. Nihil e MSS. enotatum. Sed vide paullo post ad v. 625. ubi διαρτίαν Bas. διάρτισιν Trinc.

διὰ τούτων κινεῖται ἡ ναῦς ἀνηπλωμένων, ὡς διὰ τῶν πτερῶν οἱ ὄρνιθες· τῆς ποντοπόρου, ἤγουν τῆς τὰς θαλάσσας περώσης. Τὸ πηδάλιον δὲ τὸ καλῶς εἰργασμένον ἐπάνω τοῦ καπνοῦ κρέμασον, ἵν' ἀπόθηται τὴν ἑαυτοῦ [o]) *νοτίδα. Σὺ δὲ ἀνάμενε ἔγκαιρον πλοῦν, ἕως οὗ ἂν ἔλθῃ, ἤγουν ἐπιστῇ. Καὶ τότε ἕλκε εἰς τὴν ἅλα νῆα θοήν· θοὸν τὸ κατὰ κίνησιν ὀξὺ, καὶ τὸ κατὰ σχῆμα· αἱ νῆες δὲ καὶ κατ' ἀμφότερα ἂν λέγοιντο θοαί. Ἐν αὐτῇ δὲ τὸν φόρτον τὸν ἁρμόδιον, ἤγουν τὸν ἐπιτήδειον πρὸς τὸ διακομισθῆναι εἰς ἄλλον τόπον καὶ μὴ φθαρῆναι, καὶ πρὸς τὸ πραθῆναι ἐν αὐτῷ, ἐντύνασθαι, ἀντὶ τοῦ εὐτρεπισμένον ἔχων ἔνθου, ἵνα εἰς τὸν οἶκόν σου κέρδος ἄρηαι, ἀντὶ τοῦ λαβὼν κομίσῃς, ὥσπερ ὁ ἐμός τε καὶ ὁ σὸς πατὴρ μέγα νήπιε Πέρση, ἤγουν μεγάλως ἀνόητε Πέρση, ἔπλει ἐν ναυσὶ, βίου κεχρημένος, ἤγουν χρείαν ἔχων, ἐσθλοῦ, τουτέστιν ἀγαθοῦ καὶ δικαίου, ὅστις ποτὲ καὶ ὧδε ἦλθεν ἐν νηῒ μελαίνῃ πολὺν πόντον διανύσας, καταλιπὼν τὴν Κύμην τὴν Αἰολίδα.* Moschop.

623. *ὙΓΡΟΝ ΑΕΝΤΩΝ. Ὑγρὸν πνεόντων. Τὸ γὰρ ὕδωρ* [p]) *λεπτυνθὲν, ἀὴρ γίγνεται· ἔτι δὲ πλέον λεπτυνθὲν, πνεῦμα.* Tzetzes.

624. *ΧΕΙΜΑΡΟΝ ΕΞΕΡΥΣΑΣ. Χείμαρος λέγεται ὁ ὑπὸ τὴν τρόπιν πάσσαλος, οὗ ἐξαιρουμένου,* [q]) *ὅταν ὕσῃ, τὸ ὕδωρ προχωρεῖ. Καλεῖται δὲ καὶ εὐδιαῖος.* Proclus.

Ibid. [200 r]) *ΧΕΙΜΑΡΟΝ. Πάσσαλον νεὼς, οὗ ἀνασπωμένου ἐκχεῖται ἡ ἀντλία.* Tzetzes.

625. *ὍΠΛΑ Δ' ἘΠΑΡΜΕΝΑ ΠΑΝΤΑ. Τὰ μὲν ὅπλα δηλοῖ τῆς νεὼς πάντα ὧν δεῖται ἡ ναῦς, τὸν ἱστὸν, τὰ ἱστία, τὰς διφθέρας, τοὺς κάλους, τὰ πηδάλια. Τούτων δὲ τὰ ἱστία, πτερὰ τῆς νεὼς ἐκάλεσεν, ὅτι διὰ τούτων κινεῖται ἀνηπλωμένων, ὡς τῶν πτερῶν οἱ ὄρνιθες. Ταῦτα οὖν εὐκόσμως στολίσαντα κελεύει οἴκοι καταθέσθαι, ἵνα μὴ ἠμελημένως ὅπου*

o) Ita B. *νοτίαν* edd.

p) *πανθὲν* Bas. G.

q) *ὅταν ὕσῃ* accesserunt ex B. Vide Toupii Em. Suid. T. II. p. 397, seq.

200) Quicquid post illa sequitur, *χείμαρος λέγεται*, aberat ab editione quam secuti sumus: quae Veneta nobis subministravit omnia. Heinsius. Quae h. l. ex edit. Trinc. repetiit Heinsius, leguntur supra apud Proclum ad v. 616. Ego delevi, secutus MSS. et ed. Bas.

r) *Χείμαρον—ἀντλία* om. Trinc. h. l. sed habet paullo post, ubi *ναυτιλία* pro *ἀντλία*.

ποτὲ ῥιφέντα ἄχρηστα γένηται· καὶ ἐπὶ τούτοις τὸ πηδάλιον
ὑπὲρ τοῦ καπνοῦ κρεμάσαι, ἵνα ξηραίνηται καὶ μὴ ὑπὸ τῆς 297
ἐναπομεινάσης ὑγράνσεως κατασαπῇ κείμενον ὡς ἔτυχεν. Proclus.

Ibid. [ε]) ὍΠΛΑ. Πᾶσαν τὴν τῆς νεὼς διαρτίαν. Tzetzes.

626. ΕΥΚΟΣΜΩΣ. Εὐτάκτως, φησὶ, μὴ μετὰ θορύβου. Proclus.

Ibid. ΣΤΟΛΙΣΑΣ. Γυμνάσας συναγαγών. [195]) Σεση-

ε) Deest hoc Schol. Trinc. ubi reperiuntur sequentia Procli commentario sublecta: Ὅπλα τὰ ἱστία, τὸν ἱστὸν, τὰς διφθέρας, τοὺς κάλως. ταῦτα εἶπε καὶ πέτρα ὡς δι' αὐτῶν τὴν ναῦν φέρεσθαι, κελεύει καλῶς φυλάττειν. ἵνα μὴ ἐν τῷ ἰδίῳ καιρῷ ἄχρηστον γένηται. τὸ δὲ πηδάλιον ὑπὲρ καπνοῦ, ἵνα μὴ ὑπὸ τῆς ὑποκειμένης ὑγρασίας ἄχρηστον ὀφθῇ. νῦν τὴν καπνίαν ἀποθέσθαι. σεσημείωται δὲ ὡς πρὸς τὸ ἄνω, ἐκεῖ γὰρ κατακαῦσαι. σημαίνει δὲ καὶ ὅμηρος κάπνισάν τε κατακλησίας ἔχοντα προηυτρεπισμένον τὸν ἐπιτήδειον φόρτον πρὸς τὸ διακομισθῆναι εἰς ἄλλον τόπον. ἐν ᾧ χρήσιμός ἐστι τοῖς ὡρουμένοις. καὶ οὐ διαφθαρήσεται πλωϊζόμενος ἀλλ' ἄρμενος ἔσται· καὶ πρὸς τὸ σωθῆναι καὶ πρὸς τὸ πραχθῆναι. εἰς ζῆλον ἐγείρει τοῦ πατρὸς τὸν Πέρσην. εἰ μὴ γεωργεῖν ἐθέλει ναυτίλλεσθαι. καὶ γὰρ ἐκεῖνος ἐκ τῆς κύμης ἥκει εἰς βοιότοιαν διὰ τὸν βίον. ἐθέλειν ἑαυτῷ περιποιήσασθαι, καὶ οἰκῆσαι τὸ λυπρότατον πολίδιον, ἡ δὲ ἄσκρη ἔχει ὑπερκείμενον ὄρος τὸν ἑλικῶνα. καὶ τῷ χειμῶνι τῆς τῶν ἀνέμων ἀπολαύει βίας καὶ τῷ θέρει φλέγεσθαι ὑπὸ τοῦ ἡλίου. κατ' εἰρωνείαν δέ φησι τὸ οὐκ ἄφενος φεύγων. ἄλλοι δέ φασιν ἐμφύλιον φόνον πεπραχέναι. καὶ οὕτω ἀναχωρῆσαι ὁ πατὴρ αὐτοῦ ἀπὸ τῆς κύμης καὶ ἐλθεῖν εἰς ἄσκρην μετὰ τῶν υἱῶν. λέγει τὸν πατέρα ἡσιόδου πένητα ὄντα, δανειστὰς πολλοὺς ἐσχηκέναι. διὸ πέφευγε τὴν πατρίδα, ἔφορος δέ φησιν εἰς τὴν ἄσκρην ἐλθεῖν, δι' ἐμπορίαν. ἀλλὰ φόνον ἐμφύλιον ἐργασάμενος. εὔδοξος δὲ φησιν ἀνήλιον εἶναι ἐν χειμῶνι διὰ τὸ ὄρος τὸν ἑλικῶνα. σὺ δὲ ὦ πέρση τῶν γεωργικῶν ἔργων ἀεὶ τῶν καιρῶν μνείαν ποιοῦ. πότε ἔστι καιρὸς ἐπιτήδειος εἰς τὸ δεῖν ἐργάζεσθαι. πλεῖον δὲ τῆς ναυτικῆς τὸν ἐπιτήδειον καιρὸν ζητεῖ. καὶ γὰρ εἰ ἀστοχήσεις τῆς γεωργίας, ἔστι καιρὸς καὶ ἐλπὶς εἰς τὸν ἔπειτα ἀνακτίσασθαι τὰ τῆς ζημίας. μὴ ψηλαφήσας δὲ τὸν ἐπιτήδειον καιρὸν τοῦ πλοὸς εἰ καὶ τολμήσεις πελάγους, οὐ ζημίαν τὸ τοιοῦτον, ἀλλὰ θάνατόν σοι προξενήσει. τὴν μὲν μικρὰν ναῦν εἰς τὸ πλεῖν διὰ τὸ σύντομον τὴν δὲ μεγάλην εἰς τὸ ἐμπορεύεσθαι. αἰνεῖν δέ τινες παραιτεῖσθαι παρέλαβον, ὥσπερ ἐπαινεῖν περσεφόνειαν. ὁ πότε ἐπὶ τὸ ἐμπορεύεσθαι τρέψῃς ἑαυτὸν, καὶ βουληθῇς τὰ χρέα σου φυγεῖν καὶ τὸν τῆς ἀργίας λιμόν· ἐγώ σοι δείξω πότε δεῖ πλεῖν οὐκ ἔμπειρος ὢν τοῦ πλοῦ. οὐ γὰρ πώποτ' ἔπλευσα. εἰ μὴ εἰς χαλκίδα τῆς ἐκβοίας ἀπὸ τῆς αὐλίδος· ὅτε ἠγωνισάμεθα ἐπὶ τῷ τάφῳ τοῦ ἀμφιδάμαντος τοῦ βασιλέως τῆς εὐβοίας.

195) Videt quivis non posse hanc glossam trahi ad vocem στολίσας, quae interpretationi ὑπόκειται. Desunt verba illa poetae primum, Πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι, quae interpretatus erat Proclus sine dubio hac ratione, κρεμάσασθαι ὑπὲρ

298 *μείωται δὲ ὡς πρὸς τὸ ἄνω· ἐκεῖ γὰρ κατακαῦσαι σημαίνει. Καὶ Ὅμηρος,*

κάπνισάν τε κατὰ κλισίας. Proclus.

Ibid. *ΕΥΚΟΣΜΩΣ ΣΤΟΛΙΣΑΣ.* *Κοσμίως καὶ καλλίστως* [t]*) περικρύψας καὶ στείλας.* Tzetzes.

Ibid. *ΝΗΟΣ ΠΤΕΡΑ.* *Τὰ ἱστία, τοὺς σχοίνους, καὶ τὰ* [v]*) λοιπά.* Tzetzes.

627. *ΠΗΔΑΛΙΟΝ Δ' ΕΥΕΡΓΕΣ.* *Τὸ καλῶς δὲ εἰργασμένον πηδάλιον ἐν τῷ καπνῷ κρεμάσας, τὴν τούτου ὑγρότητα ἔξελε, καὶ κατίκμασον, μὴ τῷ πολλῷ τῆς ὑγρότητος συσσαπῇ.* Tzetzes.

628. *ΑΥΤΟΣ Δ' ὩΡΑΙΟΝ ΜΙΜΝΕΙΝ ΠΛΟΟΝ.* *Ἐπειδὰν ὁ πλώϊμος ἔλθῃ καιρὸς, καθέλκειν τὴν ναῦν ἔχοντα προευτρεπισμένον τὸν ἐπιτήδειον φόρτον, πρὸς τὸ διακομισθῆναι εἰς ἄλλον τόπον, ἐν ᾧ χρήσιμος ἔσται τοῖς ὠνουμένοις· καὶ οὐ διαφθαρήσεται πλωϊζόμενος οὕτως, ἀλλ' ἄρμενος ἔσται καὶ πρὸς τὸ σωθῆναι, καὶ πρὸς τὸ πραθῆναι.* Proclus.

Ibid. *ὩΡΑΙΟΝ.* *Τὸν ὥριμον, τὸν δυνάμενον πλούσιόν σε ποιῆσαι καὶ θρέψαι.* Proclus.

Ibid. *ΑΥΤΟΣ Δ' ὩΡΑΙΟΝ.* *Σὺ δὲ καρτέρει καὶ καραδόκει τὸν ὥριον πλοῦν, ὃν προϊὼν ἐρεῖ πεντήκοντα* [w]*) ἡμερῶν εἶναι, ἀπαρχῆς τῆς θερινῆς τροπῆς μέχρις ὅλου θέρους· καὶ τότε μόνον, φησὶ, ναυτίλλου.* Tzetzes.

630. *ΑΡΜΕΝΟΝ ΕΝΤΥΝΑΣΘΑΙ.* *Ἀντὶ τοῦ ἁρμόδιον* [x]*) εὐτρεπίζεσθαι.* Proclus.

καπνοῦ, καπνίσασθαι: postea doctissimam hanc notam addidit ex veteribus: *σεσημείωται δὲ ὡς πρὸς τὸ ἄνω. Σημειοῦσθαι πρὸς τὸ ἄνω* locus dicitur qui secundo a poeta aliquo, sed ratione paullo sequiore usurpatur. Supra dixerat Hesiodus: *Αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο. Καταθέσθαι πηδάλιον ὑπὲρ καπνοῦ*, sicut hic *κρεμάσασθαι ὑπὲρ καπνοῦ*, est *καπνίζεσθαι*. Bis igitur *περὶ τοῦ τὸ πηδάλιον καπνίζεσθαι* hoc opere agit Hesiodus. Hoc differunt, ut putat Proclus: quod superiore loco *τὸ καπνίσασθαι* sit *κατακαῦσαι*: quam glossam ne ibi quidem attulit, cum tamen longe sit elegantissima, et menti poetae accommodata, quanvis paullo violentior. Hoc ergo instituto Homerum adducit, qui dixit, *κάπνισάν τε κατὰ κλισίας*. Heinsius.

t) *περιστείλας καὶ κρύψας* Trinc. H. F.

v) *λεπτὰ* Trinc.

w) *ἡμέρας* Trinc. et mox *μεχρὶ τοῦ ὅλου*.

x) *εὐτρεπίσαι ἢ εὐτρεπίζεσθαι* B.

Ibid. *ΑΡΜΕΝΟΝ*. *Ἁρμόδιον. Πολλοὶ γὰρ δι' ὑπερβάλλουσαν αἰσχροκέρδειαν ὑπέρμετρον φόρτον* [y]) *ἐνθέμενοι ταῖς ναυσὶ κἀκείνας ὑποβρυχίους ποιοῦσι, καὶ ἑαυτοὺς προσαπολλύουσιν*. Tzetzes.

631. *ΩΣΠΕΡ ΕΜΟΣ ΤΕ ΠΑΤΗΡ*. *Τοῦτό φησι, διὰ τὸ μιμεῖσθαι τὸν πατέρα.* [196]) *Ἑλλάνικος δὲ* [z]) *Φορωνίδι ἀπὸ Ὀρφέως φησὶν εἶναι τὸν Ἡσίοδον*. Proclus.

Ibid. *ΩΣΠΕΡ ΕΜΟΣ ΤΕ ΠΑΤΗΡ*. *Ταῦτα καὶ τὰ ἑξῆς εἰς ζῆλον ἀνεγείρει τοῦ πατρὸς τὸν Πέρσην, εἰ μὴ γεωργεῖν ἐθέλοι, ναυτίλλεσθαι· καὶ γὰρ ἐκεῖνον ἐκ τῆς Κύμης, μία δὲ αὕτη τῶν Αἰολίδων πόλεων, ἥκειν εἰς Βοιωτίαν, διὰ τὸ βίον* 299 *ἐθέλειν ἑαυτῷ περιποιήσασθαι, οὐ πλοῦτον* [a]) *φεύγοντα, ἀλλὰ πενίαν, καὶ οἰκῆσαι τοῦτο δὴ τὸ λυπρότατον πολίχνιον, τὴν δὲ Ἄσκρην χαλεπὴν καὶ θέρους ὥρᾳ καὶ χειμῶνος* [b]) *ὑπάρχουσαν καταλιπεῖν. Κεῖται μὲν οὖν ὑπὲρ τὴν ὁδὸν ἣν βαδίζουσιν οἱ ἐπὶ τὸ Μουσεῖον ἀπιόντες* [c]) *αὕτη ἡ Ἄσκρη. Τοῦ δὲ Ἑλικῶνος ἐκκειμένου τοῖς ἀνέμοις, καὶ θαυμαστὰς μὲν ἀναπαύλας ἔχοντος ἐν θέρει, δυσηνέμου δὲ ὄντος ἐν χειμῶνι, τὴν Ἄσκρην ἐν τῷ μεσημβρινῷ κειμένην τοῦ ὄρους, τῆς μὲν ἐκ τῶν ἀνέμων ἀπολαύειν βίας, ἐν δὲ τῷ θέρει τὸ* [d]) *εὔπνουν μὴ ἔχειν. Ἀοίκητον δὲ αὐτὸ ὁ Πλούταρχος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων· ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν, καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ, γράφων τὴν Ὀρχομενίων πολιτείαν. Τὰ μὲν οὖν κατὰ τὴν Ἄσκρην, ταῦτα. Τὸν δὲ πατέρα φησὶ μετανάστην γενέσθαι, ἐκ τῆς Κύμης ἐλθόντα, ἀφ' ἧς καὶ Ἔφορος ἦν, βίου δεόμενον· καὶ ἐθέλων εἰπεῖν ὅτι ἦλθον εἰς Βοιωτίαν, οὕτως εἶπεν,*

ὅς ποτε καὶ τῇδ' ἦλθε, βαθὺν διὰ πόντον ἀνύσσας.

y) *τιθέμενοι* Heins. mox *προσαπόλλουσιν* Trinc.

196) Citat Athenaeus *τὸ δεύτερον τῆς Φορωνίδος τοῦ Ἑλλανικοῦ.* lib. 9. *Ἑλλάνικος μὲν ἐν ταῖς ἱστορίαις Ἀρχίαν φησὶ καλεῖσθαι, δι' ὧν καὶ ἐξεχώρησε Καλυδῶνος. Ἐν δὲ τῷ δευτέρῳ τῆς Φορωνίδος Χερίαν αὐτὸν ὀνομάζει.* Heinsius.

z) *φορωνείδη* A. *φορωνείδης* B. *φωορνείδη* Trinc.

a) *φεύγοντι* B.

b) *ὑπάρχουσαν καταλιπεῖν* om. A.

c) *αὕτη* om. A. Mox *ἔχον τοῖς ἐν θέρει.* A. B. Trinc.

d) Sic A. quomodo emendavit

Δηλοῖ γὰρ [e]) αὐτὸ τοῦτο τὸ, τῇδε, οὐκ ἄλλό τι, ἢ τὸ τῇδε καὶ ἐνταῦθα. Καὶ οἱ λεξογράφοι Κρητῶν εἶναι τὴν φωνὴν ἀνέγραψαν. Μέλει γὰρ οὐδὲν τοῖς ποιηταῖς τὴν πολλῶν συνήθειαν ἐκτρεπομένοις καὶ τοιαύταις διδόναι χώραν λέξεσι. PROCLUS.

Ibid. ΕΜΟΣ ΤΕ ΠΑΤΗΡ ΚΑΙ ΣΟΣ. Ὁ Δῖος, οὗτος γὰρ ἦν τούτοις πατήρ· μήτηρ δὲ ἡ Πυκιμήδη. TZETZES.

632. ΠΛΩΙΖΕΣΚΕΝ ΝΗΥΣΙΝ. Ἐνεπορεύετο, [f]) ἐναυτίλλετο. TZETZES.

Ibid. ΒΙΟΥ ΚΕΧΡΗΜΕΝΟΣ ΕΣΘΛΟΥ. Ἐξαχῶς τοῦ βίου λεγομένου, τοῦ κόσμου, τῆς ζωῆς, τῶν τροφῶν, τῆς περιουσίας, τῆς τέχνης, καὶ τοῦ τρόπου, νῦν [g]) τροφῆς πλέον, ἢ τῆς περιουσίας λέγει. TZETZES.

Ibid. ΠΛΩΙΖΕΣΚΕΝ. Ἀπὸ τοῦ πλέω πλώω, ἀφ' οὗ πλωΐζομαι, καὶ ἀπὸ τούτου πάλιν πλωΐζέσκω ἐνεστὼς, καὶ πλωΐζεσκον παρατατικός. Ἐπὶ δύο σημαινομένων τίθησι τὸ κεχρῆσθαι· ἐνίοτε μὲν ἐπὶ τοῦ ἔνδειαν ἔχειν, ἐνίοτε δὲ ἐπὶ τοῦ χρείαν ἔχειν. Ἔμπορος ὁ ἐπ' ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμενος, καὶ ἐμπορεύεσθαι ἐπὶ τούτου· ἔμπορος καὶ ὁ ἀποδημῶν ἐπὶ τῷ πορίζεσθαι πλοῦτον διὰ τοῦ πιπράσκειν καὶ ὠνεῖσθαι, καὶ ἐμπορεύεσθαι τὸ τοῦτο ποιεῖν· καθ' ὃ σημαινόμενον λέγεται ἐνταῦθα ἡ ἐμπορία. MOSCHOP.

633. ὉΣ ΠΟΤΕ ΚΑΙ ΤΗΔΕ. Λέγουσι τὸν πατέρα
300 Ἡσιόδου πένητα ὄντα, δανειστὰς πολλοὺς ἐσχηκέναι, διὸ καὶ πέφευγε τὴν πατρίδα. Ἔφορος δέ φησι τοῦτον εἰς Ἄσκρην ἐλθεῖν, οὐ δι' ἐμπορίαν, ἀλλὰ φόνον ἐμφύλιον ἐργασάμενον. PROCLUS.

Ibid. ὉΣ ΠΟΤΕ. Ὅστις πατὴρ ἡμῶν καὶ ἐν τῇ Ἄσκρῃ ταύτῃ ἐλθὼν κατῴκησε, διανύσας καὶ περάσας πολλὴν θάλασσαν ἐν νηῒ, καταλιπὼν Κύμην τὴν ἑαυτοῦ πατρίδα, τὴν νῦν [h]) Φρικώνιδα καλουμένην, οὖσαν μίαν τῶν Αἰολικῶν πόλεων· αἱ δὲ [i]) Αἰολίδες πόλεις περὶ Μιτυλήνην εἰσὶ, καὶ αἱ νῆ-

Wyttenbachius ad Plutarch. fr. 35. εὔπλουν edd.

e) αὐτῷ A. οὐκ ἄλλό τι ἢ τὸ τῇδε om. B. Hesych. Τῇδε, ὧδε, ἐνταῦθα.

f) ἐκαντίλλετο Trinc.

g) ἢ πλέοντας E. ἢ πλέον τῆς H. Trinc.

h) Ita Trinc. Bas. et MSS. φρικώτιδα ed. Heins. Supra διανήσας Trinc.

i) Αἰολίδεαι Trinc.

σοι ὁμοίως. Ἔστι δὲ καὶ ἑτέρα Κύμη τῆς Ἰταλίας, ὅθεν ἦν ἡ Σίβυλλα, καὶ Αἰολίδες νῆσοι τοῦ Ῥηγίου, ὧν ἦρχεν Αἴολος ὁ [k]*) Ἱππότου ὁ μαθηματικὸς, καὶ ναυτικώτατος, ὃν καὶ δεσπότην ἀνέμων ἐμύθευσαντο.* Tzetzes.

635. *ΟΥΚ ΑΦΕΝΟΣ ΦΕΥΓΩΝ. Ἐπειδή τινες φεύγουσι τὴν πατρίδα μηδενὸς δεόμενοι· οὗτος δὲ πένης* [l]*) ὢν διέφυγε.* [197]*) Μένανδρος δέ φησι·*

> *Δεῖ γὰρ ἢ πλουτεῖν ὅπως μὴ μάρτυρας πολλοὺς ἔχειν*
> *Τοὺς ὁρῶντας. —*

Ἐν εἰρωνείᾳ δέ φησι· πένης γὰρ ἦν. Τρισὶ δ' ἰσοδυναμούσαις ἐχρήσατο λέξεσιν οὗτος. Proclus.

Ibid. *ΟΥΚ ΑΦΕΝΟΣ ΦΕΥΓΩΝ. Εἰρωνικὰ ταῦτα, καὶ ἠθικά. τουτέστιν,* [m]*) οὐ πλουτῶν πέφευγεν, ἀλλὰ διὰ χρείαν.* Tzetzes.

Ibid. *ΟΥΚ ΑΦΕΝΟΣ ΦΕΥΓΩΝ, ΟΥΔΕ ΠΛΟΥΤΟΝ ΤΕ ΚΑΙ ΟΛΒΟΝ, Ἐκ παραλλήλου, ΑΛΛΑ ΚΑΚΗΝ ΠΕΝΙΑΝ, ἣν ὁ Ζεὺς δίδωσι τοῖς ἀνθρώποις. Τουτέστιν, οὐ πλούσιος ὢν ἔφευγεν, ὅπερ τινὲς ποιοῦσι φεύγοντες τὴν πατρίδα μηδενὸς δεόμενοι, ἀλλὰ πένης· ᾤκησε δὲ πλησίον τοῦ Ἑλικῶνος, ἐν κώμῃ οἰκτρᾷ τῇ Ἄσκρῃ, κατὰ τὸν χειμῶνα κακῇ οὔσῃ, κατὰ τὸ θέρος ἀργαλέᾳ, ἤγουν βαρείᾳ, ἀλγεινῇ· οὐδέποτε ἐσθλῇ, ἤγουν ἀγαθῇ. Κώμη δέ ἐστιν ἡ ἀτείχιστος τῶν ἀνθρώπων συνοικία.* Moschop.

636. *ΤΗΝ ΖΕΥΣ. Ἥντινα ἡ εἱμαρμένη δίδωσι τοῖς ἀνθρώποις.* Tzetzes.

637. *ΝΑΣΣΑΤΟ. Κατῴκησεν, ἄγχι καὶ πλησίον τοῦ Ἑλικῶνος ὄρους.* Tzetzes.

Ibid. [n]*) ΟΙΖΥΡΗι. Ἐπιπόνῳ, χαλεπῇ.* Tzetzes.

k) *ἱππότης* Trinc. E.

l) *ὢν* om. B. Fragmentum Menandri reperitur apud Clericum p. 284. Numeros Trochaicos esse vidit Bentleius Emend. p. 109. *ὅπως μὴ — ἕξειν* habent A. B. et Trinc. Inter voces *πλουτεῖν* et *ὅπως* est lacuna decem circiter literarum in Trinc. et, credo, in A. B.

197) Scribe, *Δεῖ γὰρ ἂν πλουτεῖν, ὅπως μ' ἢ μάρτυρας πολλοὺς ἔχειν Τοὺς ὁρῶντας.* In Veneta erat: *Δεῖ γὰρ ἢ πλουτεῖν*, et cum interstitio aliquo, *ὅπως μὴ μάρτυρας πολλοὺς ἕξειν Τοὺς ὁρῶντας.* Heinsius.

m) *ὁ πλουτῶν* Trinc. Mox *διὰ τὰ χρέα* Trinc. *διὰ χρέα* Bas. *διὰ χρέος* E. H.

n) Hinc ad *χαλεπῇ* om. Trinc.

301 Ibid. [o]) *ΚΩΜΗι. Οὐχ ἡ πόλις, ἀλλ' ἡ μείζων ἀγροικία, ἤγουν τὸ μέγιστον χωρίον.* Tzetzes.

638. *ΑΣΚΡΗι, ΧΕΙΜΑ ΚΑΚΗι. Ἄριστον τὸ σχῆμα ἐκ παραλλήλου.* Proclus.

Ibid. *ΑΣΚΡΗι, ΧΕΙΜΑ ΚΑΚΗι. Εὔδοξος οὖν φησι ταύτην ἀνήλιον εἶναι ἐν χειμῶνι, διὰ τὸ ὄρος τὸ ἐν Ἑλικῶνι, ἔστι δὲ τοῦτο τῆς Βοιωτίας· καὶ ἐν τῷ θέρει φλέγεσθαι. Ἔστιν οὖν ἡ Ἄσκρη δυσχείμερος· ἀνάγκη γὰρ χιονίζεσθαι αὐτὴν οὖσαν ἐγγὺς τοῦ ὄρους.* Proclus.

Ibid. *ΑΣΚΡΗι ΧΕΙΜΑ ΚΑΚΗι. Ἔφη μὲν καὶ κατ' ἀρχὰς ὅτι* [p]) *δυσχείμερος καὶ κακοθέρειος ἡ Ἄσκρη, ἐν μὲν τῷ θέρει τῇ ὑπεροχῇ τοῦ ὄρους ἀπειργομένη καταπνέεσθαι, ἐν χειμῶνι δὲ τῆς ἐκείνου* [q]) *χιόνος εἰς αὐτὴν καταῤῥιπτουμένης μετέχουσα, καὶ τῆς* [r]) *ἡλιακῆς τοῦτο ἀκτῖνος κεκτημένη διάφραγμα.* Tzetzes.

639. *ΤΥΝΗ Δ' Ω ΠΕΡΣΗ. Τὸν καιρὸν μεμνῆσθαι διδάσκει, καθάπερ ἐπὶ τῆς γεωργίας, καὶ ἐπὶ τῆς ναυτιλίας. Καὶ πρὸς τοῦτον εἰ θέλοι φόρτον ἐντιθέναι, μὴ ὀλίγην ναῦν, ἀλλὰ μεγάλην παρασκευάζεσθαι. ΤΗΝ δὲ ΟΛΙΓΗΝ ΑΙΝΕΙΝ,* [s]) *τουτέστι χαίρειν ἐᾶν τὴν μικρὰν ναῦν, ὥστε ὁ αἶνος εἴρηται κατ' εἰρωνείαν. Εἰ οὖν βούλει, φησὶ, συλλέξαι βίον ἑαυτῷ ἀντὶ γεωργίας ναυτιλίαν αἱρούμενος· καὶ πάλιν ΑΕΣΙΦΡΟΝΑ εἴρηκε τὸν τοῦτο αἱρούμενον, ναῦν δὲ μείζονα παραλαμβάνειν· καὶ γὰρ μεῖζον τὸ κέρδος, καὶ ἧττον τὸ κινδυνεύειν. Καὶ πείθεσθαι τὸν καιρὸν αὐτῷ διδάσκοντι εἰ καὶ μὴ ἔχοι πεῖραν τῶν κατὰ θάλατταν.*

Περὶ ναυτιλίης μάλιστα μελέτω σοι. Ἡ γὰρ ἐν τῇ γῇ ἀστοχία ζημίαν μόνον οὐσίας ποιεῖ, ἡ δὲ θάλασσα καὶ αὐτῆς τῆς ζωῆς. Proclus.

Ibid. *ΤΥΝΗ. Σὺ, Δωρικῶς· σὺ δὲ ὦ Πέρση,* [t]) *ἔσο μεμνημένος πάντων τῶν ἔργων εὐκαίρως, περὶ ναυτιλίας δὲ ἐξαιρέτως, τὴν ὀλίγην καὶ μικρὰν νῆα παραιτοῦ. Τοῦτο γὰρ ση-*

o) *Κ. γὰρ οὐχὶ π. ἀλλὰ μ. παροικία ἤτοι* Trinc.

p) *δυσχειμέριος κ. κακοθέριος ἡ* Trinc. Mox *τῆς ὑπεροχῆς.*

q) *χειμῶνος* Trinc. — *καταριπτομένης κατέχουσα* Trinc.

r) *ἡλιακῆς ἀκτῖνος τούτου κεχρημένος δ.* Trinc.

s) *αἰνεῖν, οὕτω λέγειν, ὡς εἰώθαμεν λέγειν χαίρειν ἐᾶν* A.

t) *μεμνημένος εἶναι καὶ ἔσο* Trinc. Mox *ἐγκαίρως* Trinc. E.

μαίνει τὸ αἴνει εἰρωνικῶς. Ἐν τῇ μεγάλῃ δὲ [v] *φορταγώγει τὰ τῆς ἐμπορίας, ὅπως μείζονος ὄντος σοι τοῦ φόρτου τοῦ ἐμπορεύματος, μεῖζον ἐπακολουθήσει σοι καὶ τὸ κέρδος, εἴπερ οὐ τρικυμία καὶ* [w] *ναυαγία γενήσεται. Ἄλλοι δὲ οὕτω φασί· περὶ ναυτιλίας δὲ καὶ εἰς* [x] *διαπόρθμευσιν αἴνει καὶ ἐπαίνει μικρὰν ὀλκάδα· εἰς φορταγωγίαν δὲ καὶ ἐμπορίαν, τὴν μεγάλην ναῦν.* Tzetzes.

Ibid. *ΤΥΝΗ Δ' Ω ΠΕΡΣΗ. Σὺ δὲ ὦ Πέρση. Τὸ σὺ οὐ πρὸς ἕτερον πρόσωπον λέγεται, ἀλλ' οὕτω κἀνταῦθα λέγεται ὡς ἐν τῷ,*

σοὶ δ' οὐκέτι δεύτερον ἔσται ὧδ' ἔρδειν, 302

ἐπὶ δοτικῆς. Σὺ δὲ ὦ Πέρση πάντων τῶν ἔργων μεμνημένος εἶναι, τουτέστιν ἔσο, ὡραίων, ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ κατὰ τὸν προσήκοντα αὐτοῖς καιρόν. Περὶ ναυτιλίας δὲ μάλιστά σε παρακελεύομαι, νῆα ὀλίγην, ἀντὶ τοῦ μικρὰν, αἰνεῖν, τουτέστι χαίρειν ἐᾷν· μεγάλῃ δὲ ἐνθεῖναι τὰ φορτία· μείζων μὲν ὁ φόρτος ἔσται ἐν τῇ μεγάλῃ νηΐ, μεῖζον δὲ τὸ κέρδος, ἐπὶ τῷ καὶ ἐν ἀσφαλεστέρῳ εἶναι. Τοῦτο γὰρ βούλεται τὸ ἐπὶ κέρδει ἐὰν οἱ ἄνεμοι μακρὰν ἔχωσι τὰς ἀήτας, ἀντὶ τοῦ τὰς πνοὰς τὰς κακὰς, ὁπηνίκα ἂν ἐπ' ἐμπορίαν τρέψῃς τὸν μετέωρόν σου λογισμὸν, βούλῃ δὲ τὰ χρέα τε φυγεῖν καὶ τὸν ἀτερπῆ λιμὸν, ἤγουν ἐφ' ᾧ οὐδεὶς τέρπεται· δείξω δή σοι, ἤγουν διδάξω σε τὰ μέτρα, τουτέστι τὴν τάξιν τῆς θαλάσσης τῆς πολυφλοίσβου, οὔτε ἕνεκα ναυτιλίας δεδιδαγμένος ὢν κατά τι, οὔτε ἕνεκα νηῶν δεδιδαγμένος ὢν κατά τι· οὐ γάρ πώποτε ἐπὶ νηῒ ἔπλεον πλατὺν πόντον, εἰ μὴ ὅτε ἔπλευσα εἰς Εὔβοιαν ἐξ Αὐλίδος, ὅπου ποτὲ οἱ Ἀχαιοὶ πολὺν λαὸν συνήγειραν, ἤγουν συνήθροισαν, ἀπὸ τῆς ἱερᾶς Ἑλλάδος ἐς τὴν Τροίαν τὴν καλλιγύναικα, ἀπελευσόμενοι δηλονότι. Ἐνθάδε ἐγὼν, ἤγουν ἐκεῖσε, εἰς τὴν Χαλκίδα ἐπέρασα. Διὰ μὲν τοῦ ἐκεῖσε τὸ καθόλου δηλοῖ, διὰ δὲ τοῦ εἰς τὴν Χαλκίδα τὸ μέρος ὁρίζει, εἰς ὃ ἀπῆλθεν, ἐπὶ τὰ ἆθλα, ἀντὶ τοῦ τοὺς ἀγῶνας, καὶ τὰ ἐπὶ τοῖς ἀγῶσι βραβεῖα τοῦ Ἀμφιδάμαντος, ἤγουν τὰ ἐπὶ τῷ Ἀμφιδάμαντι τῷ δαΐφρονι, τουτέστι τῷ συνετὰ δεδιδαγμένῳ. Τὰ δὲ ἆθλα τῶν μελλόντων ἀγωνι-

v) *φορταγωγήσῃ* Trinc. F. Mox *φορτίου — ἀκολουθήσει* Trinc.

w) *ἀνάγκη* E.

x) *πόρθμευσιν* Trinc. *ὀλκάδα* om. Trinc.

ζεσθαι οἱ παῖδες αὐτοῦ τοῦ Ἀμφιδάμαντος οἱ μεγαλόψυχοι ἔθεσαν πολλὰ προπεφραδμένα, ἤγουν προκεκηρυγμένα, ὅπου φημὶ νικήσαντα ἐμὲ ὕμνῳ, ἀντὶ τοῦ ποιήσει, ᾠδῇ, φέρειν ἆθλον τρίποδα ὠτώεντα, ἤγουν ὠτία ἔχοντα· τὸν μὲν ἐγὼ Μούσαις Ἑλικωνιάσιν ἀνέθηκα, ὅπου με τοπρῶτον ἐμμελοῦς ἐπεβίβασαν ποιήσεως· κατὰ τοσοῦτον πεπείραμαι τῶν νηῶν τῶν πολυγόμφων· ἀλλὰ καὶ οὕτως ἐρῶ τὸν νοῦν τοῦ Διὸς τοῦ αἰγιόχου, ἤγουν τὸ θέλημα, ὅτε ποιεῖ δηλονότι ἄφοβον τὸν πλοῦν· αἱ Μοῦσαι γάρ μ' ἐδίδαξαν ποίησιν ποιεῖν ἀθέσφατον, ἤτοι ἄγαν θείαν. Ὁδεύειν ἐπὶ ξηρᾶς, πλεῖν καὶ στέλλεσθαι ἐπὶ θαλάσσης, πορεύεσθαι ἐπ' ἀμφοτέρων· ἀφ' ὧν ὀνόματα, ὁδὸς ἐπὶ ξηρᾶς, πλοῦς καὶ στόλος ἐπὶ θαλάσσης, τὸ μὲν κοινὸν, τὸ δὲ στόλος ποιητικὸν, πορεία δὲ ἐπ' ἀμφοτέρων. Νεῖν δὲ καὶ κολυμβᾶν ταυτόν· ἀπὸ τοῦ κολυμβᾶν ὄνομα ὁ κολυμβητής. Moschop.

640. y) *ΝΗΪ ΟΛΙΓΗΝ.* Τὴν μικρὰν ναῦν εἰς τὸ πλεῖν δι' ἀπόκρισιν, διὰ τὸ σύντομον· τὴν δὲ μεγάλην, εἰς τὸ ἐμπορεύεσθαι. [198]) Αἰνεῖν δέ τινες παραιτεῖσθαι παρέλαβον, ὥσπερ ἐπαινὴν Περσεφόνειαν. Proclus.

303 644. *ΕΥΤ' ΑΝ ΕΠ' ΕΜΠΟΡΙΗΝ.* Ὁπόταν ἐπὶ τῷ ἐμπορεύεσθαι τρέψας ἑαυτὸν βουληθῇς τὰ z) χρέα σου φυγεῖν, καὶ τὸν τῆς ἀργίας λιμὸν, ἐγώ σοι δείξω πότε δεῖ πλεῖν, οὐκ ἔμπειρος ὢν τοῦ πλοῦ· οὐ γάρ ποτ' ἔπλευσα εἰ μὴ εἰς Χαλκίδα τῆς Εὐβοίας ἀπὸ τῆς Αὐλίδος, ὅτε ἠγωνισάμεθα ἐπὶ τῷ τάφῳ Ἀμφιδάμαντος τοῦ βασιλέως Εὐβοίας. Proclus.

y) Miror haec inter fragmenta commentarii Plutarchei non admissa esse a Wyttenbachio, qui vidit tamen eo referenda in annot. ad Plut. p. 23. A. παραιτεῖσθαι om. B.

198) Hujus interpretationis autor ad Hesiodum dubium non est quin Plutarchus fuerit, qui in illo Hesiodi, Νῆ' ὀλίγην αἰνεῖν, τὸ αἰνεῖν exposuerit παραιτεῖσθαι: quandoquidem haec ejus interpretatio hodieque exstet, ἐν τῷ πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν. (p. 22. F.) Χάριεν δὲ, inquit, καὶ τὸ τὴν χρείαν τῶν ὀνομάτων συνοικειοῦν τοῖς ὑποκειμένοις πράγμασιν ὡς οἱ γραμματικοὶ διδάσκουσιν, ἄλλην πρὸς ἄλλα δύναμιν λαμβανόντων· οἷόν ἐστι· Νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι. Τῷ μὲν γὰρ αἰνεῖν σημαίνεται τὸ ἐπαινεῖν· αὐτῷ δὲ τῷ ἐπαινεῖν ἀντὶ τοῦ παραιτεῖσθαι νῦν κέχρηται, καθάπερ ἐν τῇ συνηθείᾳ καλῶς φαμὲν ἔχειν, καὶ χαίρειν κελεύομεν, ὅταν μὴ δεώμεθα μηδὲ λαμβάνωμεν. Οὕτω δὲ καὶ τὴν ἐπαινὴν Περσεφονείην ἔνιοι φασὶν, ὡς παραιτητὴν, εἰρῆσθαι. Heinsius.

z) χρέη B. Trinc. Mox ἀργείας edd. Λιμοῦ καὶ τῆς ἄλλης αργίας locutio est Platonica Sympos. p. 191. A.

Ibid. *ΕΥΤ' ΑΝ ΕΠ' ΕΜΠΟΡΙΗΝ.* Ἡνίκα δὲ τὸν σὸν λογισμὸν τρέψῃς, ἀπὸ τῆς βίας καὶ τῶν ἁρπαγῶν δηλονότι, βουληθῇς δὲ ἐμπορευόμενος τὰ χρέα φυγεῖν, καὶ τὸν λιμὸν, δείξω καὶ [a]) ὑποθήσομαί σοι τὰ μέτρα, καὶ τὰ ἁρμόδια τῇ θαλάττῃ, καὶ τῇ ναυτιλίᾳ, οὐ σεσοφισμένος ὢν τῆς [b]) ναυτικῆς, οὐ γάρ ἔπλευσά ποτε εἰ μὴ εἰς Εὔβοιαν, ἤτοι τὸν Εὔριπον ἀπ' Αὐλίδος. Πάνυ δὲ ὅ φησι διάστημα ὀλίγον· [c]) ἡ γὰρ Αὐλὶς τοῦ Εὐρίπου ἐστίν. Κωμῳδεῖται δὲ, ὑπισχνούμενος διδάξαι περὶ ὧν οὐδ' ὅλως ἐπίσταται. Εὔβοια δὲ ἐκλήθη ἀπὸ Εὐβοίας τροφοῦ Διός. Αὐλὶς δὲ ἀπὸ τοῦ ἐκεῖσε [d]) αὐλισθῆναι τοὺς Ἕλληνας, ὅτε ἐποιοῦντο τὸν πρὸς τὴν Τροίαν ἀπόπλουν, ἢ ἀπὸ Αὐλίδος τῆς Φορωνέως. TZETZES.

647. *ΟΥΤΕ ΤΙ ΝΑΥΤΙΛΙΗΣ.* Σημειοῦται ὁ στίχος 304
οὗτος. Εἰπὼν γὰρ εἶναι ἄπειρος ναυτιλίας πῶς ὑποτίθεται αὐτὴν, *ΕΙ ΜΗ ΕΙΣ ΕΥΒΟΙΑΝ*, οὐχ ἱμείρων τοῦ πλοῦ. [e]) Ἐκλήθη δὲ Εὔβοια, ἀπὸ Εὐβοίας τῆς θρεψαμένης τὴν Ἥραν. PROCLUS.

648. *ΟΥ ΓΑΡ ΠΩΠΟΤΕ ΝΗΙ Γ' ΕΠΕΠΛΩΝ.* Ταῦτα πάντα περὶ τῆς Χαλκίδος τοῦ Ἀμφιδάμαντος, καὶ τοῦ ἄθλου,

a) Ita G. ὑπόθωμαι edd. Mox οὐ dedi ex E. H. pro οὐδὲ.

b) ναυτικῆς, αἰολικῇ ἐκθλίψει τοῦ σ. Trinc.

c) Ita E. F. H. Trinc. οὐ γὰρ Α. τ. ε. ἑστία Heins. Mox Εὔβοια μὲν ἐ. ἀπὸ τοῦ Ε. τ. τινος Δ.

d) συναυλισθῆναι Trinc. Post φορώνεως ed. Trinc. habet sequentia: ὡς εἶπεν ἄπειρος εἶναι ναυτιλίας, πῶς ὑποτίθεται αὐτήν. εἶτα ὁμολογεῖ τὸ μὴ εἰς εὔβοιαν. τὸν μὲν οὖν ἀμφιδάμαντα ναυμαχοῦντα πρὸς ἐρετριέας ὑπὲρ τοῦ λιλάτου ἀποθανεῖν. ἆθλα δὲ ἐπ' αὐτῷ καὶ ἀγῶνα θεῖναι τελευτήσαντας τοὺς παῖδας. νικῆσαι δὲ ἀγωνιζόμενον τὸν ἡσίοδον. καὶ ἆθλον μουσικὸν τρίποδα λαβεῖν, καὶ ἀναθεῖναι τοῦτον ἐν τῷ Ἑλικῶνι. ὅπου καὶ κατόχος γέγονε ταῖς μούσαις. ἀλλὰ ταῦτα πάντα ληρώδη ἡγούμενος, ἀπ' αὐτῶν ἄρχεται τῶν εἰς τὸν καιρὸν τοῦ πλοῦ συντεινόντων. τὸ δὲ τὰ δὲ προπεφραδμένα τὰ ἆθλα τῶν ἀγωνιζομένων δηλοῖ. ὅτι προπεφραδμένα ἦσαν τῷ νικήσαντι. ἄλλοι γράφουσιν ὕμνωνικήσαντες ἐν χαλκίδι θεῖον ὅμηρον. τὸν τρίποδα ἐγώ φησιν ἀνέθηκα εἰς τὸν τόπον ὅπου ἐποίησάν με ἐκ ποιμένος ἀοιδὸν αἱ μοῦσαι. διατὶ ὄπισθεν λέγει τοῦ διὸς τὸν νοῦν. ἀργαλέος δ' ἄνδρεσι κατὰ θνητοῖσι νοῆσαι. καὶ ὧδε, ἀλλὰ καὶ ὣς ἐρέω ζηνὸς νόον. καὶ φησὶν ὅτι ἐνταῦθα ἑρμηνεύει. μοῦσαι γάρ μ' ἐδίδαξαν. ἢ ὅτι ἐκεῖ μὲν ποτὲ ὁ ὄμβρος ἀνεπιτήδειος καὶ δυστυχεῖ τὰ λήϊα. ποτὲ δὲ ἐπιτήδειος καὶ εὐτυχεῖ ἐνταῦθα δὲ ἀεὶ ὁ πλοῦς ἐστιν. οὐ λέγει μετὰ τοῦ ι τῆς τροπῆς τῆς χειμερινῆς ἡμέρας, ὡραῖον εἶναι τὸν πλοῦν. ἀλλὰ μετὰ τὴν τροπὴν ὡραῖον εἶναι ν' πάσας ἡμέρας, εἰ μή τις ὀργὴ θεήλατος πέσῃ. τὸν δία εἶπεν ὡς τῶν ἀνέμων καὶ τοῦ ἀέρος. τὸν ποσειδῶνα ὡς κύριον τῆς θαλάσσης. —

e) Vide Holstenium ad Steph. Byz. p. 120.

καὶ τοῦ τρίποδος, ἐμβεβλῆσθαί φησιν ὁ Πλούταρχος οὐδὲν ἔχοντα χρηστόν. Τὸν μὲν οὖν Ἀμφιδάμαντα ναυμαχοῦντα πρὸς Ἐρετριέας ὑπὲρ τοῦ Ληλάντου ἀποθανεῖν· ἆθλα δὲ ἐπ' αὐτῷ καὶ ἀγῶνες ἐγένοντο τελευτήσαντος παρὰ τῶν ἑαυτοῦ παίδων· νικῆσαι δὲ ἀγωνιζόμενον τὸν Ἡσίοδον, καὶ ἆθλον μουσικὸν τρίποδα λαβεῖν, καὶ ἀναθεῖναι τοῦτον ἐν τῷ Ἑλικῶνι, ὅπου καὶ κάτοχος ἐγεγόνει ταῖς Μούσαις, καὶ ἐπίγραμμα ἐπὶ τούτῳ θρυλλοῦσι. Πάντα οὖν ταῦτα ληρώδη λέγων ἐκεῖνος ἀπ' αὐτῶν ἄρχεται τῶν εἰς τὸν καιρὸν τοῦ πλοῦ συντεινόντων, ἤματα πεντήκοντα λέγων. Τὸ δὲ Ἡι ΠΟΤ' ΑΧΑΙΟΙ [f]) ἀντὶ τοῦ ὅπου ποτὲ οἱ Ἕλληνες συνήχθησαν. PROCLUS.

652. ΑΜΦΙΔΑΜΑΝΤΟΣ. Οὗτος ὁ Ἀμφιδάμας Εὐβοίας ὢν βασιλεὺς πρὸς Ἐρετριέας ναυμαχῶν ἀνῃρέθη· καὶ οἱ παῖδες αὐτοῦ ἐπ' αὐτῷ προεκήρυξαν ἀγῶνας παντοίους, καὶ ἆθλα, [g]) ὅπερ τὸ ΠΡΟΠΕΦΡΑΔΜΕΝΑ δηλοῖ, ἤγουν προκεκηρυγμένα. Οὗ νικήσας Ἡσίοδος, ὡς ληροῦσι, τὸν ἡμίθεον Ὅμηρον, τρίποδα ἔλαβε, καὶ ταῖς [h]) Ἑλικωνίτισι Μούσαις ἀνέθετο, [i]) ὅπου πρῶτος ὢν παῖς ἐπαιδεύετο· ἢ καὶ κόπῳ καὶ μόχθῳ ἀνυπερβλήτῳ χρησάμενος ἐμεμαθήκει, ἅπερ μεμάθηκεν. Ὅτι δὲ [k]) ὕστερος ἦν Ἡσίοδος τοῦ παλαιοῦ Ὁμήρου, καὶ πρότερον εἰρήκειν, κἂν καὶ ὁ Ἡρόδοτος, ὁ ἐν πολλοῖς ἐμοὶ ἐλεγχθεὶς ὡς ψευδηγορῶν, ὁμοχρόνους τούτους φησί. Καὶ εἰ ὁμόχρονος ἦν [l]) Ἡσίοδος, ὁ θεῖος ἐκεῖνος ἀνὴρ ἡττήθη ἂν εὖ οἶδα, καὶ οὐκ ἐνδοιάζων φημί. Αἰεὶ γὰρ κατὰ τοῦτον

τὰ χερείονα νικᾷ. TZETZES.

653. ΤΑ ΔΕ ΠΡΟΠΕΦΡΑΔΜΕΝΑ. Τὰ ἆθλα, τῶν ἀγωνιζομένων δηλονότι, προκεκηρυγμένα ἦσαν. PROCLUS.

655. ὙΜΝΩι ΝΙΚΗΣΑΝΤΑ. Ἄλλοι γράφουσιν,

Ὕμνῳ νικήσαντ' ἐν Χαλκίδι θεῖον Ὅμηρον. PROCLUS.

656. ΤΟΝ Τριπόδα ἐγώ, φησίν, ἀνέθηκα εἰς τὸν τόπον,
305 ὅπου ἐποίησάν με ἐκ ποιμένος ἀοιδὸν αἱ Μοῦσαι. PROCLUS.

f) ἀντὶ τοῦ om. A.

g) ἅπερ τὰ πεφραδμένα Trinc. τὰ προκεκυριγμένα οὗ καὶ Trinc.

h) Ἑλικωνίσι Trinc.

i) ὅπου π. ω. π. ε. om. F. Trinc. οὗ E. Bas. ὢν inserui ex E.

k) Sic Trinc. G. H. ὕστερον Al. Mox κἂν Ἡρόδοτος ὁ πολὺς ἐμοὶ ἐξελεγχθεὶς Trinc.

l) ἡσιόδου Trinc. G. Mox ἀνὴρ ἦν Trinc. ἀνὴρ ὢν Heins. delevi ὢν cum Bas. G. F. Paullo post χερείονα F. G. Vulgo χείρονα.

657. *ΕΝΘΑ ΜΕ ΤΟ ΠΡΩΤΟΝ.* Ἢ ἐν Χαλκίδι, ἢ ἐν ἄλλῳ τόπῳ, ὅπου πρῶτον ὑπήντησαν αὐτῷ αἱ Μοῦσαι. Proclus.

659. *ΝΟΟΝ ΑΙΓΙΟΧΟΙΟ.* Τὸ θέλημα τοῦ Διός. [[199]) τὸ πότε ἐστὶ πλεῖν ἀφόβως.] Proclus.

661. *ΗΜΑΤΑ ΠΕΝΤΗΚΟΝΤΑ.* Οὐ λέγει μετὰ πεντήκοντα τῆς τροπῆς τῆς θερινῆς ἡμέρας ὡραῖον εἶναι τὸν πλοῦν, ἀλλὰ μετὰ τὴν τροπὴν ὡραῖον εἶναι, πεντήκοντα πάσας ἡμέρας, εἰ μή τις θεομηνία συμπεσοῦσα τῶν θαλαττίων δαιμόνων [m]) κατεάξοι τὴν ναῦν, ἢ καὶ αὐτοῦ τοῦ Διός· ἐν γὰρ τούτοις εἶναι τὸ τέλος καὶ τῶν ἀγαθῶν καὶ τῶν κακῶν τῶν κατὰ θάλατταν· Ποσειδῶνι μὲν ὡς λαχόντι τὸν κλῆρον τοῦτον· Διῒ δὲ, ὡς διὰ τοῦ ἀέρος παντοίως κινοῦντι τὴν θάλασσαν. Τότε δ' οὖν εὐκρινεῖς εἶναι τοὺς ἀνέμους καὶ ἀπήμονα τὸν πλοῦν· καὶ γὰρ μεθ' ἡμέραν ἐτήσιοι πνέουσι, καὶ νύκτωρ ἐκ τῶν δρόσων αὖραι γίνονται μέτριαι τοῖς παρὰ τὴν γῆν πλέουσιν. *ΑΛΛΩΣ.* Μετὰ πεντήκοντα ἡμέρας τῆς τροπῆς τοῦ θέρους, τότε γὰρ λεπτότεροι καὶ καθαρώτεροί εἰσιν οἱ ἄνεμοι. Μετὰ γὰρ τὰς πεντήκοντα θερινὰς ἡμέρας πνέουσιν οἱ ἄνεμοι οἱ ἐτήσιοι, ὅτε ὁ ἥλιος ᾖ ἐν Λέοντι· Ἕλληνες δὲ ἐν Καρκίνῳ τὸν ἥλιον εἶναί φασιν, ὅταν θέρος γένηται· Αἰγύπτιοι δὲ ἐν Κριῷ· Χαλδαῖοι δὲ ἄλλως. Proclus.

Ibid. *ΗΜΑΤΑ ΠΕΝΤΗΚΟΝΤΑ.* Ἐντεῦθεν ἀπάρχεται [n]) τῆς ὑπεσχημένης διδασκαλίας τοῦ πλοῦ, καί φησι· μετὰ τὸ ἐνστῆναι τὰς τροπὰς τοῦ ἡλίου τὰς [o]) θερινὰς, ν̄ ὅλας ἡμέρας ἄχρις ἂν τελεσθῇ τὸ κοπιηρὸν θέρος, ἡ κοπιηρὰ καὶ [p]) ἐργωδέστατος ὥρα, καίριος ὁ πλοῦς τυγχάνει καὶ δεξιώτατος· οὐ κατάξαις δὲ τὴν ναῦν τότε, ὑπὸ τρικυμίας δηλονότι, καὶ τῆς τῶν πνευμάτων σφοδρότητος, οὔτε οἱ ἄνθρωποι ναυαγήσουσιν,

199) Studiosus horum librorum aliquis, qui animadverterat id de quo supra disputavimus, duas esse horum librorum partes, τὸ γεωργικὸν, καὶ τὸ ἐμπορικόν: quorum illud terram, hoc mare considerat; distinxerat illa quae praecesserant a sequentibus hoc titulo, *ΤΟ ΠΟΤΕ ΕΣΤΙ ΠΛΕΙΝ ΑΦΟΒΩΣ.* Etiam illustris Scaliger titulum esse sequentis doctrinae notarat. Poterit autem commode illis poetae verbis praemitti: Ἤματα πεντήκοντα. Heinsius.

m) κατεάξοι A. B. Trinc. καυάξοι Heins.

n) Sic Trinc. ὑποσχομένης alii.

o) χειμερινὰς Trinc. Mox κοπηρὸν G. θέρος om. F. Trinc.

p) ἐργωδεστέρα Trinc. H.

εἰ μή τι καινότερον συμβαίη περὶ τὴν θάλασσαν. Ἢ ὁ Ζεὺς καὶ ἡ Εἱμαρμένη, ἡ καὶ ἀνέμων καὶ στοιχείων κρατοῦσα, ἀντιπράττει τοῖς σοῖς ναυκληρήμασι, τότε ἀνέμων πνεόντων εὐκράτων, καὶ τῆς θαλάσσης γαληνιώσης, ἕλκε τὴν ὁλκάδα πρὸς πλοῦν· καὶ ταχέως τὴν ἐμπορίαν ἀνύσας πρὸ τῶν ὀπωρινῶν ὄμβρων καὶ νότων τῶν τότε, ἔχου τῆς οἴκαδε ἀνακομιδῆς. Tzetzes.

306 Ibid. *ΜΕΤΑ ΤΡΟΠΑΣ.* Τὸ πας μακρὸν ὂν q) ἐδείχθη βραχὺ, ὡς κοινὴ συλλαβή· λήγει γὰρ εἰς μέρος λόγου. Tzetzes.

Ibid. *ΗΜΑΤΑ ΠΕΝΤΗΚΟΝΤΑ ΜΕΤΑ ΤΡΟΠΑΣ ΗΕΛΙΟΙΟ.* Μετὰ τὰς τροπὰς τοῦ ἡλίου, τὰς θερινὰς δηλονότι, ἀπὸ τῶν ἑξῆς δὲ τοῦτο γίνεται δῆλον· ἐπάγεται γὰρ εἰς τέλος ἐλθόντος τοῦ θέρους. Ἔχει δὲ πᾶς ὁ λόγος οὕτως· ἐφ' ἡμέρας πεντήκοντα μετὰ τὰς τροπὰς τοῦ ἡλίου τὰς θερινὰς, εἰς τέλος ἐλθόντος τοῦ θέρους, τουτέστι μέχρι τοῦ τέλους τοῦ θέρους, τῆς ὥρας λέγω τῆς καματώδους, ἤγουν τῆς βαρείας καὶ ἐκλυούσης τὰ σώματα, αἱ πεντήκοντα γὰρ ἡμέραι ἱκαναὶ ἀναλῶσαι τὴν ἀκμὴν αὐτοῦ ὡς εἰς τέλος ἤδη αὐτὸ καθίστασθαι, ἔγκαιρός ἐστιν ὁ πλοῦς τοῖς ἀνθρώποις· οὔτε ναῦν κατ' αὐτὰς, τὰς ἡμέρας δηλονότι, κατάξαις ἂν, οὔτε ἀνθρώπους ἀποφθίσειεν ἂν, ἀντὶ τοῦ φθείρειεν, ἡ θάλασσα, εἰ μὴ δὴ πρόφρων, ἀντὶ τοῦ προφρόνως καὶ κατὰ προθυμίαν ἰδίαν, ἐθέλῃ ἀπολέσαι αὐτοὺς ὁ Ποσειδῶν ἐνοσίχθων, ἤγουν ὁ τὴν γῆν σείων· οὗτος γάρ ἐστιν αἴτιος τῶν σεισμῶν· ἢ ὁ Ζεὺς ὁ βασιλεὺς τῶν θεῶν· ἐν τούτοις γάρ ἐστιν ὁμοίως τὸ τέλος τῶν ἀγαθῶν καὶ τῶν κακῶν τῶν κατὰ θάλασσαν· τῷ Ποσειδῶνι μὲν, ὡς λαχόντι τὸν κλῆρον τοῦτον· τῷ Διῒ δὲ, ὡς διὰ τοῦ ἀέρος παντοίως κινοῦντι τὴν θάλασσαν. Moschop.

664. *ΚΑΤΑΞΑΙΣ.* r) Κατάξαις, συντρίψαις, Αἰολικῶς.

q) Sic Trinc. ἐλέχθη E. ἐδέχθη alii.

r) κατάξεις, συντρίψεις G. Sequentia descripsi ex Etymologico MS. Leidensi. *Κανάξαις· Ἡσίοδος ἐν ἔργοις καὶ ἡμέραις· οὔτε κε νῆα κανάξαις· ἀντὶ τοῦ κατάξαις καὶ συντρίψαις· μετὰ γὰρ τὸ α φωνήεντος ἐπαγομένου προστίθεται αἰολικῶς τὸ ῠ, ὡς τὸ ἀὴρ αὐὴρ, ἄως αὔως ἡ ἡμέρα· ἀάτην τὴν βλάβην καὶ τὴν ἀκόρεστον αὐάταν. μεσάζοντος δὲ συμφώνου οὐκέτι· τὰ δὲ μετὰ φωνῆεν τιθέμενα σύμφωνα διπλασιάζονται αἰολικῶς· ἢ τὰ αὐτὰ ἢ ἕτερα ἁπλῶς σύμφωνα· τὰ αὐτὰ μὲν, οἷον, ἔννη ὔμμες ἄμμος πέρραμος ὁ πριάμος· ἕτερα δὲ ἁπλῶς σύμφωνα, οἷον, νώνυμνος (νώννυμος ms.) ὄκχος. ἀποβάλλουσι*

Οἱ γὰρ Αἰολεῖς μετὰ ἄλφα, ἂν ᾖ φωνῆεν, προστιθέασιν τὸ ῡ· οἷον, ἀὴρ αὐὴρ, ἀὼς αὐὼς, [202] [s]) *ἅγιος αὔγιος, ἀάτην τὴν βλάβην καὶ τὴν ἀκόρεστον αὐάταν, καὶ τὰ ὅμοια· συμφώνου δ' ὄντος μεταξὺ, οὐκέτι· ἐπὶ δὲ τῶν μετὰ φωνῆεν τιθεμένων* 307 *συμφώνων* [t]) *διπλασιάζουσιν αὐτὰ, ἢ τοῖς αὐτοῖς συμφώνοις, ἢ ἁπλῶς* [v]) *συμφώνοις· τοῖς αὐτοῖς μὲν, ὡς τὸ ἔννη, ἄμμες, ὔμμες, πέῤῥαμος ὁ πρίαμος· ἁπλῶς δὲ* [w]) *συμφώνοις, οἷον, νώνυμνος, ὄκχος. Ἀποβάλλουσι δὲ καὶ τὸ γ̄ ἐκ τῶν εἰς υξ, φάρυξ καὶ φόρμιξ λέγοντες, καὶ ἕτερα* [x]) *μυρία· Χροισὸς διὰ διφθόγγου γράφουσι, καὶ Ἀμφιτρυὼν, καὶ ἄδων, καὶ γηρυὼν λέγουσι, καὶ ὔρνιν τὴν ὄρνιν* [y]) *καὶ ἄγυια καὶ ὄργυια καὶ σωπάσομαι,* [z]) *καὶ ῆ γράφεται τὸ κέντη, καὶ τὰ ὅμοια προστακτικὰ, καὶ παρηὰ, καὶ τὰ ὅμοια· καὶ πᾶν ἀπαρέμφατον, καὶ ἕτερα μυρία.* Tzetzes.

665. *ΕΙ ΔΗ ΜΗ ΠΡΟΦΡΩΝ. Ἐὰν μὴ ἰδικῶς αὐτοῖς ὁ θεὸς ὀργισθῇ.* Proclus.

Ibid. *ΕΝΟΣΙΧΘΩΝ. Ὁ κινῶν τὴν γῆν· τὸ γὰρ ὕδωρ αἴτιον τῶν σεισμῶν.* Tzetzes.

667. *ΕΝ ΤΟΙΣ ΓΑΡ ΤΕΛΟΣ. Ἐν γὰρ τῇ θαλάσσῃ καὶ εἱμαρμένῃ κεῖται τοῖς ναυτιλλομένοις τὸ τέλος ἐσθλῶν τε καὶ φαύλων* [a]). Tzetzes.

ῦ
δὲ καὶ τὸ γ̄ τῶν εἰς ιξ ληγόντων ὀνομάτων· οἷον, ἴϋξ, φόρμιξ, φάρυξ, καὶ μυρία τοιαῦτα ἕτερα οἱ αἰολεῖς λέγουσι· χροισὸς δὲ διὰ διφθόγγου γράφουσι, καὶ ἀμφι-
υ
τρίων, καὶ ἄδων, καὶ γηρύων λέγουσι καὶ ὔρνιν τὸν ὄρνιν καὶ ὄργυια καὶ ἄγυια, καὶ σωπάσομαι
γρ. τρη
καὶ τὸ κέντη ῆ γράφουσι καὶ τὰ ὅμοια προστακτικά· καὶ παρηὰ καὶ τὰ ὅμοια καὶ πᾶν ἀπαρέμφατον καὶ ἕτερα μυρία.

202) Pugnat postrema vox cum canone a grammatico praescripto: quia *ἐν τῷ ἅγιος οὐκ ἕπεται φωνῆεν μετὰ τὸ ἄλφα*, cui ut occurras, scribe, pro *ἅγιος αὔγιος, ἀέλιος αὐέλιος*, de quo me monuit illustris Scaliger. Sic *ἄελλαι, αὔελλαι* et infinita alia. Hesychius: *αὔελλαι, ἀέλλαι, παρὰ τὸ ἄελλαι.* Heinsius.

s) *ἅγιος αὔγιος* desunt E. Bas.

t) *διπλασιοῦσιν* E. Bas.

v) *συμφόνου* Trinc. *τοῖς — ὔμμες* om. Trinc.

w) *σύμφωνον* Trinc.

x) *μυρία τοιαῦτα· χροισὸς δὲ διὰ δ. γράφεται* Trinc. *ἀμφιτριὼν* Trinc.

y) *καὶ — ὀργυῖα* om. Bas. G.

z) *καὶ — μυρία* om. Trinc. *καὶ ῆ γράφουσι* E. In Proclo mox *αὐτὸς* A.

a) Post *φαύλων* sequentia leguntur in Trinc. *ἐκ μὲν τῶν ὀρνίθων τὴν γέρανον καὶ ἀηδόνα. ἐκ τῶν φυτῶν δὲ, σχόλιμον καὶ συκῆν. ταῦτα γὰρ ὡς δεικνύοντα καὶ ἐνθυμίζοντα τοῖς ἀνθρώποις ἐκ τῶν οἰκείων σημείων τοὺς καιρούς. πῶς ἐν ἑτέρῳ λέγει, νῆ' ὀλίγην αἰνεῖν·*

668. *ΤΗΜΟΣ Δ' ΕΤΚΡΙΝΕΕΣ Τ' ΑΤΡΑΙ.* *Εὐκρινεῖς, οἷον εὐδιηνοὶ καὶ εὐδιάγνωστοι.* Proclus.

Ibid. *ΤΗΜΟΣ Δ' ΕΤΚΡΙΝΕΕΣ.* *Τότε δὴ εὐκρινεῖς τέ εἰσιν αἱ ὧραι, ἤγουν καθαραὶ καὶ διακεκριμέναι, αἷς ἐναντίως ἄκριτα λέγεται πνεύματα, ἤγουν συγκεχυμένα καὶ μαχόμενα. Καὶ ὁ πόντος, ἤγουν ἡ θάλασσα, ἀπήμων, τουτέστιν* [b]) *ἀβλαβὴς, εὔκηλος, ἤτοι ἥσυχος· τότε θαῤῥήσας τοῖς ἀνέμοις ἕλκε ναῦν θοὴν εἰς τὴν θάλασσαν. Πάντα δὲ τὸν φόρτον καλῶς ἐν αὐτῇ τίθει, ἤγουν ἁρμοδίως, ἐκφεύγων δηλονότι τὴν ἀμετρίαν· σπεῦδε δὲ ὅτι τάχιστα εἰς τὸν οἶκόν σου ἐπαναστρέφειν, τοῦτο γὰρ δύναται ὁμοῦ, τὸ πάλιν νέεσθαι. Μηδὲ ἀνάμενε οἶνόν τε νέον καὶ τὸν ὄμβρον τὸν τοῦ μετοπώρου καὶ χειμῶνα ἐπερχόμενον, καὶ τὰς δεινὰς πνοὰς τοῦ νότου. Ἀπὸ τούτων δὲ πάντων τὸ φθινόπωρον θέλει δηλοῦν, καὶ τὰς ἐν αὐτῷ ταραχάς· ἐν αὐτῷ γὰρ καὶ ὄμβροι πολλοὶ καταφέρονται καὶ χειμῶνος*
308 *γίνεται κινήματα, καὶ ὁ νέος οἶνος ἀποθλίβεται, καὶ συνεχεῖς καὶ χαλεπαὶ πνοαὶ τοῦ νότου συμπίπτουσιν· ὅστις, φησὶν, ὤρινε τὴν θάλασσαν, ἤγουν διήγειρεν, ἀντὶ τοῦ διεγείρει, ταράσσει· ὁμαρτήσας, ἀντὶ τοῦ ἐπελθὼν, σὺν Διὸς ὄμβρῳ πολλῷ μετοπωρινῷ. Χαλεπὸν δὲ, ἤγουν δυσχερῆ, τὸν πόντον ἐποίησε· τὴν δὲ αἰτίαν τοῦ ἐμπίπτειν τότε τοὺς νότους σὺν πολλῷ ὄμβρῳ ὁ Πρόκλος λέγει· φησὶ γὰρ, τῶν ἐτησίων παυομένων οἱ νότοι ἐμπίπτουσι, τῆς μεσημβρίας ἀνταπόδοσιν ποιούσης, καὶ ὄμβρους κινοῦσι, δεῦρο πάλιν ὠθοῦντες τὰ νέφη, ὑπὸ τῶν ἐτησίων εἰς ἐκεῖνον ἀπωσθέντα τὸν τόπον.* Moschop.

671. *ΣΠΕΤΔΕΙΝ Δ' ΌΤΤΙ ΤΑΧΙΣΤΑ.* *Τῶν ἐτησίων παυομένων οἱ νότοι ἐμπίπτουσι, τῆς μεσημβρίας ἀνταπόδοσιν ποιούσης, καὶ ὄμβρους κινοῦσι,* [b]) *καὶ ἐνταῦθα πάλιν ὠθοῦντες τὰ νέφη τὰ ὑπὸ τῶν ἐτησίων εἰς ἐκεῖνον ἀπωσθέντα τὸν τόπον, καὶ εἰκότως τόν τε ἀέρα καὶ τὴν θάλατταν ἐκταράττουσιν.* Proclus.

μεγάλη δ' ἐνὶ φορτία θέσθαι· καὶ δεικνύει πολλῶν ἀγωγίμων πλῆσαι. ἐνταῦθα δὲ ὀλίγον θεῖναι. ὅτι ἐκεῖ μὲν λέγει οὕτω γενέσθαι εἰ βοηθεῖ τῷ πέρσῃ ὁ θεός. ὧδε τὸ εὐρίπιστον τῆς τέχνης προβάλλεται. παρακελεύεται τοῦ μέτρου στοχάζεσθαι. καὶ πρὸ πάντων εἰς τὸν καιρὸν ὁρᾶν. ἔστι γὰρ οὗτος ἱκανὸς συλλήπτωρ ὡς ἐνεργοῦμεν. ὥσπερ καὶ ἐναντίος παροφθείς.

b) *εὐλαβὴς, εὔκολος* Trinc.

b) *καὶ* om. A. mox *τὸν* ante *τόπον* om. A.

672. *ΜΗ ΔΕ ΜΕΝΕΙΝ ΟΙΝΟΝ ΤΕ ΝΕΟΝ.* Τὸ γὰρ μετοπωρινὸν μεγάλοι ὄμβροι καταῤῥέονται, καὶ ἅμα τῷ ὄμβρῳ νότος· τοῖς γὰρ ἐτησίοις παυομένοις ἐπακολουθεῖν νότος εἴωθεν, ὃς ποιεῖ τὸν ὄμβρον. PROCLUS.

676. *ΑΛΛΟΣ Δ' ΕΙΑΡΙΝΟΣ ΠΕΛΕΤΑΙ ΠΛΟΟΣ.* Τὸν ἐαρινὸν πλοῦν λέγει παραβολώτατον εἶναι, διὸ καὶ ἁρπακτικὸν αὐτὸν καλεῖ. Τὸ γὰρ συνεχὲς οὐκ [c]) ἔχει τὰ πνεύματα, καὶ μόλις ἄν τις ἁρπάσειεν ἐπιτηδείου πνεύματος προσβολὴν εἰς τὸ διανύσαι τὸν πλοῦν, ὃν στέλλεται, μετ' ὀξύτητος. Φράζων δὲ τὸν καιρὸν τοῦτον εἶναί φησιν ἐν ᾧ τῆς συκῆς τὰ ἄκρα φύλλα ποδὶ κορώνης ἐστὶν ὅμοια· τοιαῦτα γὰρ τῷ σχήματι καὶ τηλικαῦτα τὰ φύλλα τότε ποδὶ κορώνης τὴν θέσιν, καὶ τὰς σχέσεις ὁμοίας ἔχοντα· καὶ πάλιν οἰκείοις σημείοις χρῆται καὶ γνωρίμοις, καὶ ταῖς τροπαῖς, ὡς ταῖς φωναῖς τῶν ὀρνίθων γεράνου τινὸς ἢ κόκκυγος, οὕτως καὶ τῆς ἀπὸ τῶν φυτῶν, ὡς [d]) τῷ σκολύμῳ ἀνθοῦντι πρότερον, καὶ νῦν τοῖς φύλλοις τῆς συκῆς. Πλείων μὲν οὖν ἡ θάλασσα ἤδη τῆς συκῆς τὰ φύλλα τοιαῦτα σχούσης· ἁρπακτικὸς δὲ ὁ πλοῦς, καὶ οὐκ ἂν ῥᾳδίως ἐκφύγῃ τὶς τὸν κίνδυνον, [e]) ἐμπίπτων ἐξαίφνης εἰς πνεύματα ἐναντία, δοκοῦντα οὔρια, οἷς πιστεύοντες κινδυνεύουσιν. [f]) *ΑΛΛΩΣ.* Οὗτος μὲν ὁ πλοῦς ἄριστος καὶ ἀβλαβὴς, ὃν ἄνω εἴρηκεν. Ἄλλον δέ σοι λέγω δεύτερον πλοῦν, οὐ χρηστὸν μὲν, ἀλλὰ διὰ τὴν ἀπληστίαν τῶν ἀνθρώπων, ὅτε γένηται τὸ φύλλον τῆς συκῆς ὅσον ἐπιβᾶσα ἡ κορώνη ἐν τῇ γῇ ποιεῖ τύπον τοῦ ποδὸς, τὸ μέγεθος τοῦ φύλλου ὅτε ᾖ τοσοῦτον, πλεῦσον. Ἔχει δὲ ἐμφερὲς ἡ κορώνη τὸ τοῦ ποδὸς εἶδος τοῖς φύλλοις τῆς συκῆς. 309
[g]) Κράδας δὲ λέγουσι τοὺς νέους συκίνους βλαστοὺς, ἀπὸ τοῦ εὐκραδάντους ὑπάρχειν. PROCLUS.

Ibid. *ΑΛΛΟΣ Δ' ΕΙΑΡΙΝΟΣ.* Οὗτος μέν ἐστι, φησὶν, ὁ καίριος καὶ [h]) εὐπορώτατος πλοῦς· ἔστι δὲ καὶ ἄλλος παρακεκινδυνευμένος, οὐκ ἐμοὶ ἀρεστὸς, ὁ ἐν καιρῷ γινόμενος.

c) Emendavi ex A. Vulgo, τῷ γὰρ συνεχῆ εἶναι τὰ πνεύματα, μόλις —

d) τὸ A.

e) Ita B. ἐμπιπτόντων ἐξαίφνης πνευμάτων ἐναντίων τοῖς δοκοῦσιν οὐρίοις A. et sic edd. Trinc. Heins. nisi quod illae habent ἐμπίπτων.

f) Ἄλλως addidi ex A. B. ubi desunt paullo post ὃν ἄνω εἴρηκεν.

g) κράδους B. Trinc.

h) προσφορότατος Trinc. Mox πατησάσης τῇ γῇ Trinc. et in fin. πράγματα pro χρήματα.

ἔαρος, ὁπότε ἐν τῇ συκῇ τοσαῦτα φανῶσι τὰ φύλλα, ὅσον πατησάσης ἐν γῇ τῆς κορώνης τὸ ἴχνος ἐστίν. Οὗτος μὲν ὁ πλοῦς ἀμφίβολος, καὶ οὐκ ἐμοὶ ἀρεστός. Ἀλλ' ὅμως καὶ τότε τινὲς πλέουσιν, ἐρασιχρήματοι ἄνθρωποι, τῷ κέρδει θελγόμενοι· ἰσόψυχα γάρ τισι τῶν ἀνθρώπων τὰ χρήματα. Tzetzes.

Ibid. *ΑΛΛΟΣ Δ' ΕΙΑΡΙΝΟΣ.* Ἄλλος δὲ πλοῦς ἐστι τοῖς ἀνθρώποις ἐαρινὸς, ὁπηνίκα δὴ ὅσον τύπον τοῦ ἑαυτῆς ποδὸς ποιεῖ ἡ κορώνη ἐπιβᾶσα, τόσον φανείη τοπρῶτον τῷ ἀνθρώπῳ τὸ πέταλον, ἤγουν τὸ φύλλον, ἐν τῇ ἀκροτάτῃ κράδῃ, ἀντὶ τοῦ ἐν τῷ ἀκροτάτῳ τῆς κράδης, τουτέστι τῆς συκῆς· τότε ἐστὶν ἡ θάλασσα ἀμβατὸς, ἀντὶ τοῦ ἀμβατὴ, ἤγουν δυναμένη πλεῖσθαι. Ἐαρινὸς δέ ἐστιν οὗτος ὁ πλοῦς· οὐκ ἔγωγε αὐτὸν ἐπαινῶ· οὐ γάρ ἐστι κεχαρισμένος, ἤγουν ἀρέσκων, τῇ ἐμῇ ψυχῇ. Ἁρπακτός ἐστιν, ἤγουν βίαιος, οὐ τοῦ καιροῦ διδόντος, ἀλλὰ τῶν ἀνθρώπων ἁρπαζόντων αὐτόν. Χαλεπῶς ἂν τότε, ἤγουν δυσχερῶς, ἐκφύγοις κακὸν, ἤγουν βλάβην, κίνδυνον· ἀλλὰ καὶ ταῦτα οἱ ἄνθρωποι πράττουσι δι' ἀπειρίαν νοῦ, δι' ἀγνωσίαν, τὰ χρήματα γάρ ἐστι τοῖς δειλαίοις ἀνθρώποις ψυχὴ, ἀντὶ τοῦ ἐν ἴσῃ μοίρᾳ τῆς ψυχῆς· διὰ ταῦτα παρακινδυνεύουσι. Χαλεπὸν δέ ἐστιν ἀποθανεῖν τινα ἐν τοῖς κύμασιν. Ἀλλά σε παρακελεύομαι φράζεσθαι, ἤγουν στρέφειν, φυλάττειν τάδε πάντα ἐν ταῖς φρεσὶν, ἤγουν ἐν τῷ λογισμῷ, καθὰ σε ἀγορεύω, ἀντὶ τοῦ διδάσκω, τοῦτο ποιεῖν δηλονότι· μηδὲ ἐν ναυσὶ κοίλαις ἅπαντα τὸν σὸν βίον, ἤγουν τὴν σὴν περιουσίαν τίθει· ἀλλὰ τὰ πλείονα τῆς περιουσίας σου ἐν τῷ οἴκῳ σου καταλίμπανε· τὰ δὲ μείονα, ἤγουν τὰ ἐλάττονα, φόρτισον, τουτέστι φόρτον ποίει, ἐν τῇ νηΐ. Εἶτα ἐπάγει τὴν αἰτίαν, δι' ἣν λέγει μὴ φόρτον πολὺν ἐντιθέναι, καί φησι· χαλεπὸν γὰρ ἐγκύρσαι βλάβῃ μετὰ κύμασιν, ἀντὶ τοῦ ἐν τοῖς κύμασι τοῦ πόντου, ὃ δηλονότι εἰκὸς ποιεῖν τὸν πολὺν φόρτον, βαρουμένης ὑπ' αὐτοῦ τῆς νεώς. Χαλεπὸν δὲ καὶ ἐὰν ἐφ' ἅμαξαν ὑπερβολικὸν ἄχθος θῇς· τοῦτο γὰρ βούλεται τὸ ὑπέρβιον· ἔστι γὰρ ὑπέρβιον τὸ τὴν ἰσχὺν ὑπερβαῖνον. Ἀείρας, ἀντὶ τοῦ ἐπιθεὶς, τὸν ἄξονα κατάξαις, τὰ δὲ φορτία ἀμαυρωθείη, ἤγουν ἀπολεσθείη, ἀφανισθείη· καὶ ἁπλῶς δηλονότι πάντα τὰ ἀπὸ τῶν ἀμετριῶν συμβαίνοντα, χαλεπά. Τοῦτο γὰρ συνάγεται ἀπὸ τοῦ μὴ στῆναι ἐν τῇ τοῦ φόρτου τῆς νεὼς ἀμετρίᾳ, ἀλλὰ καὶ ἑτέραν προσ-

θεῖναι· καὶ ἔτι ἀπὸ τοῦ ἐπαγομένου τοῦτο δίδοται συνυπακούεσθαι. Ἐπάγεται γὰρ μέτρα φυλάσσεσθαι, τουτέστι συμμετρίαν φύλαττε. Καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος· ἤγουν ὁ ἁρ- 310
μόδιος δὲ χρόνος ἔστιν ἄριστος ἐπὶ πᾶσιν· εἰς ὃν ὅρα δηλονότι πρὸ πάντων. Moschop.

679. *ΑΜΒΑΤΟΣ ΕΣΤΙ ΘΑΛΑΣΣΑ.* Ἀττικῶς [i]) πέφραδεν, ὡς καὶ κλυτὸς Ἱπποδάμεια, καὶ θεσμὸς ἀϋτμή. Proclus.

Ibid. [201]) *ἉΡΠΑΚΤΟΣ.* Ἁρπακτικὸς, φησὶν, ὁ τοιοῦτος πλοῦς. Ἐὰν οὖν ἐπιτύχῃς, ἥρπασας αὐτόν. Proclus.

Ibid. *ΕΝ ΚΡΑΔΗι.* Κράδη, τὸ [k]) νεαρὸν τῆς συκῆς φύλλον, κατὰ ἀντίφρασιν, τὸ ἀκράδαντον, καὶ μὴ ῥᾳδίως κινούμενον. Tzetzes.

Ibid. *ΑΜΒΑΤΟΣ.* [l]) Εὐεπίβατος, δεξιὸς εἰς τὸ ναυτίλλεσθαι. Tzetzes.

681. *ΑΙΝΗΜ'.* Αἴνημι, αἰνῶ, καὶ κατὰ παραγωγὴν Ἀττικὴν αἴνημι. Tzetzes.

Ibid. *ἉΡΠΑΚΤΟΣ.* Παράβολος καὶ ῥιψοκίνδυνος [m]) ὑπάρχων. Tzetzes.

682. *ΧΑΛΕΠΩΣ.* Μόλις, δυσχερῶς. Tzetzes.

Ibid. *ΚΑΙ ΤΑ.* Καὶ ταῦτα τὰ περὶ τὸν ἐαρινὸν πλοῦν. Tzetzes.

684. *ΧΡΗΜΑΤΑ ΓΑΡ.* Τὰ γὰρ χρήματα τὴν ψυχὴν νομίζουσιν οἱ ἄθλιοι τῶν ἀνθρώπων, ὡσανεὶ οἱ φιλάργυροι. Proclus.

687. *ΜΗ Δ' ΕΝΙ ΝΗΥΣΙ.* Ναυτιλλόμενος δὲ μὴ πᾶσαν σου τὴν περιουσίαν ἐν ταῖς ναυσὶν ἕνεκεν ἐμπορίας [n]) ἀποτίθου, ἀλλ' ὑφορώμενος τὸ τῆς θαλάσσης ἀβέβαιον, τὸ τριτημόριον ἔχε πρὸς ἐμπορίαν, τὴν δὲ διπλομοιρίαν οἴκαδε καταλίμπανε·

i) *πέφραδεν* om. A.

201) Ne haec quidem nobis satisfacere possunt. *Ἁρπακτὰ* ea dicuntur quorum occasio, quia minima est, observari vix potest: cum autem apparet, rapienda est. Talis est *ὁ ἐαρινὸς πλοῦς*, qui vere est *παρακεκινδυνευμένος*, ac propterea *ἁρπακτὸς* a poeta dicitur: causam addit: *χαλεπῶς κε φύγοις κακόν.* Minima enim occasio in eo observanda est: non item in *θερινῷ*, qui tutior. At interpretes nescio quibus in vocis hujus interpretatione nugas suas probare possint. Heins.

k) *Ἐαρινὸν* Trinc.

l) *καὶ εὐεπ.* sine *δεξιὸς* Trinc.

m) *ὑπάρχει* Trinc. *χαλεπῶς μ. δ.* om. Trinc. et mox *τὰ — τὸν* om. Trinc.

n) Ita Trinc. *ἀποτίθει* alios. Mox *τριτημόριον* pro *τριτομόριον* ex E. H.

χαλεπὸν γὰρ [o]) δυσκληρώμασι θαλαττίοις [p]) περιπεσεῖν, σὺν πολυφόρτῳ νηΐ. Εἶτα φησὶ, καὶ τί φημὶ χαλεπὸν τοῦτο; χαλεπὸν, εἰ καὶ ἐν ἠπείρῳ ἐφ' ἅμαξαν ὑπερβριθὲς θείης φορτίον, καὶ [q]) κατεάξῃς τὸν ἄξονα, καὶ τοῦτο διαχυθὲν ἀφανές σοι καὶ ἀχρεῖον γενήσεται. Τὴν [r]) συμμετρίαν ἐν ἅπασι πράγμασι, καὶ τοὺς δέοντας καιροὺς ἐπιτήρει. Οὐκ ἔστι δὲ ὑπὸ μέμψιν ὁ Ἡσίοδος, οὐκ εἰδὼς ναυτιλίαν [s]) διδάσκειν, ἀλλὰ
311 θερείαις ὥραις μόνον κελεύων ναυτίλλεσθαι. Προειρήκει γὰρ, ὡς ἐμπειρόπλους οὐκ ἐγεγόνει, οὐδὲ τῶν ναυτικῶν ἐπιστήμων. Tzetzes.

690. ΔΕΙΝΟΝ Δ' ΕΙ Κ' ΕΦ' ἉΜΑΞΑΝ. Δεινὸν δ' ἐστὶ τὸ εἰς ἅμαξαν θεῖναι πολὺν φόρτον, ἀλλ' ἐν ἅπασι καλὸν ἡ εὐμετρία καὶ ἡ εὐκαιρία. Proclus.

691. ΤΑ ΔΕ ΦΟΡΤΙ' ΑΜΑΥΡΩΘΕΙΗ. Τὰ δὲ φορτία [t]) ἀφανισθῇ καὶ ἐλαττωθῇ· δύναται δὲ καὶ κατὰ συναλοιφὴν ἀκούειν ἀμαυρωθείη· δύναται δὲ καὶ μαυρωθῇ· καὶ γὰρ ἐν ἄλλοις,

Ῥεῖα τέ μιν μαυροῦσι θεοί. Proclus.

692. ΜΕΤΡΑ ΦΥΛΑΣΣΕΣΘΑΙ. Εἰπὼν μὴ δεῖν πάντα τῇ νηΐ πιστεύειν, ἀλλ' οἴκοι τὰ πολλὰ καταλείπειν, διὰ τὴν ἀδηλίαν τῶν ἀνέμων, καὶ παραδείγματι τῷ τῆς ἁμάξης χρησάμενος (καὶ γὰρ ἐκείνῃ φόρτον ἐπιτιθέναι πολὺν οὐκ εὖ ἔχει, μήποτε κατάξῃ τὶς αὐτήν) πανταχοῦ παρακελεύεται τοῦ μέτρου στοχάζεσθαι, καὶ πρὸ πάντων εἰς τὸν καιρὸν ὁρᾷν. Ἔστι γὰρ οὗτος ἱκανὸς συλλήπτωρ ὧν ἐνεργοῦμεν, ὥσπερ καὶ δύσμαχος παροφθείς. Ἐναρμόζει γὰρ ἡμῶν τῷ παντὶ τὰς πράξεις, καὶ ποιεῖ πρὸς τὴν τοῦ παντὸς σύλληψιν αὐτὰς [v]) ἐπιτηδείους· ὀρθῶς καὶ τοῦ Πλάτωνος αἰτιωμένου τῶν ἀποβαινόντων [w]) τῷ καιρῷ, οὐ μόνον ἐν τοῖς γάμοις τῆς τῶν παίδων

o) Ita E. δυσκληρήμασι edd. et alii, ni fallor, MSS. Eandem formam habet Tzetzes Chil. III. 305. Sed ea, quam dedi, analogiae convenientior est.

p) ἐμπεσεῖν — πολυφόρῳ Trinc.

q) κατεάξεις G. Trinc.

r) σύμμετρον Trinc.

s) διδάσκει G. Mox ὡς ἀπειρόπλους ἐγεγόνει F.

t) ἀφανισθείη B. Nescio an seqq. sic refingi debeant: δ. κατὰ συναλοιφὴν ἀκούειν φορτί' ἀμαυρωθείη· δ. δὲ καὶ φορτία μαυρωθείη.

v) ἐπιτηδείας A.

w) τὸν καιρὸν A. et mox εὐφυῶν γεν. ἢ ἀφ. — καὶ εὐφυῶν om. B. Plato Legg. IV. p. 709. Ὡς θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύ-

τῶν ἀφυῶν καὶ εὐφυῶν γενέσεως, ἀλλὰ καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς πρακτικοῖς τούτοις, τύχην αὐτοῖς ἐπιστήσας καὶ μετὰ θεοῦ τὰ ἀνθρώπεια κυβερνῶντος. PROCLUS.

693. ὩΡΑΙΟΣ ΔΕ ΓΥΝΑΙΚΑ. Τὰ μὲν περὶ ναυτιλίας αὐτῷ διδάγματα τέλος ἔχει· τὰ δὲ ἑπόμενα, κοινά εἰσιν εἰς πᾶσαν τείνοντα τὴν τῶν ἀνθρώπων ζωὴν, οὐ γεωργησόντων, [x]) οὐδὲ θαλαττουργησόντων· ὧν πρῶτόν ἐστι τὸ περὶ γάμου, καὶ τὸν καιρὸν ὁρίζει καὶ τῷ γαμήσοντι καὶ τῇ γαμηθησομένῃ, καὶ γὰρ [y]) τοῦτο ἀκόλουθον ἦν τῷ τὸν καιρὸν ἄριστον εἶναι πᾶσι. Τοῦ γάμου τοίνυν καιρὸν ὑπάρχειν, τὸν περὶ τριάκοντα ἔτη τῷ ἀνδρί· τῇ δὲ γυναικὶ τὸν τῶν ἐννεακαίδεκα χρόνον ἐτῶν. Τὸν μὲν γὰρ ἀξιοῖ γαμεῖν ἐγγὺς ὄντα τῶν λ΄· [z]) δεῖν γὰρ τὸν πρῶτον τῆς ἀκμῆς χρόνον ἀφέντας ἀφυβρίσαι, τὸν ἤδη σταθερὸν αἱρεῖσθαι πρὸς κοινωνίαν παιδουργίας· διὸ καὶ [a]) Πλάτων κολάζει τὸν εἰς πέμπτον καὶ τριάκοντα ἔτος ἄγαμον ἐλθόντα· τὴν δὲ γαμεῖσθαι μετὰ τὴν ἥβην, ἔτος πέμπτον ἄγουσαν. Εἶναι δὲ τὴν ἥβην τεσσαρεσκαιδέκατον ἔτος· τὴν γὰρ ὁμιλίαν ὑποδέχεται μᾶλλον ὀργῶσα, καὶ τὰς ἐκτροφὰς 312
τῶν κυημάτων ἀποδίδωσιν ἐῤῥωμενεστέρας· τοῦτο οὖν δηλοῖ τὸ, ΤΕΤΟΡ' ἩΒΑιΝ, ΠΕΜΠΤΩι ΔΕ ΓΑΜΕΙΣΘΑΙ, μετὰ τὴν δευτέραν τετράδα, τὴν πεντάδα προσθὲν τὸ ἔπος. PROCLUS.

Ibid. ὩΡΑΙΟΣ ΔΕ ΓΥΝΑΙΚΑ. Ἁρμοδίῳ δὲ χρόνῳ καὶ γάμῳ συναρμόσθητι. Λέγει δὲ τοῦτον εἶναι τὸν μήτε πολὺ ἐπαναβεβηκότα τῶν τριάκοντα [b]) ἐτῶν, μήτε πολὺ ἀποδέοντα· καὶ τοῦτον μέν φησιν ἁρμόδιον εἶναι χρόνον ἀνδράσι πρὸς γάμον· γυναιξὶ δὲ τὸν ιε, εἰ [c]) καὶ ἀσαφῶς εἴρηκε. Καὶ οὕτω μὲν ὁ Ἡσίοδος εἴρηκεν, ὅπως ἱκανοί τε ὦσιν οἰκονομεῖν τὰ καθ' ἑαυτοὺς οἱ ἄνδρες ὡς τέλειοι, καὶ ὅπως μὴ πολλὰ τεκνουργήσαντες οὐκ ἔχωσιν [d]) εὐχερῶς αὐτὰ διατρέφειν, καὶ ὀδυνηρότατον βίον διάγωσι. Καὶ οὕτω μὲν ὁ Ἡσίοδος. Ἐμοὶ δὲ δο-

χῃ καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι ξύμπαντα.

x) Ita A. οὐ edd.

y) τούτῳ A. et τὸ pro τῷ.

z) δεῖ B. et mox ἀφηβῆσαι pro ἀφυβρίσαι.

a) Republ. V. p. 460. E. Legg. IV. p. 721. et alibi. Mox pro δευτέραν τετράδα forte l. ιδ̄.

b) ἐτῶν assumsi ex E.

c) καὶ σαφῶς Trinc. καὶ deest Heins. Bas. τοῦτο δὲ εἶπεν E. pro Καὶ ὅ. μ. Η. ε.

d) εὐχερῶς om. Trinc.

κεῖ [e]) ταύτας ἑτέροις νυμφαγωγεῖν, οὐχ οἷσπερ ταῦτα [f]) παρακελεύεται. *Πολὺ παρηλικεστέροις γὰρ αὐτῶν ἀνδράσι [g]) ταύτας συνάπτων, ἀφυβρικέναι [ff]) μονονουχὶ ταύτας παρακελεύεται πρὸς τὰς τούτων εὐνάς. Μικρὸν γὰρ ἤδη, καὶ οἱ μὲν τελέως γηράσαντες [gg]) ἀσθενήσουσιν, αἱ δὲ, πρὸς τὸ [h]) σφριγοῦν τῆς ἡλικίας ἀναδραμοῦσαι, τὴν ἀνδρικὴν τριβάδα [i]) ὁπόθεν γενήσεται, αὐταῖς μηχανήσονται. Παρακελεύεται δὲ τὸν γάμοις [k]) συναρμοττόμενον καὶ παρθένον λαμβάνειν, καὶ ιε χρόνων. [204] [l]) Ἐμοὶ δὲ διηπόρηται, εἰ καὶ τῆς μητρῴας νηδύος παρθένα νῦν, καὶ ἄσπιλα τὰ θήλεα τίκτεται. Ἐπὶ ὡρισμένῳ δὲ καιρῷ, καὶ ἐπιτηδείου χρόνου ὑπάρχου, ἢ ἁρμοδίου χρόνου. Ἡ δὲ γυνὴ γαμείσθω μετὰ τὴν ἥβην, ἔτος πέμπτον ἔχουσα. Εἶναι δὲ τὴν ἥβην [m]) τεσσαρεσκαιδεκάτων, καὶ πρόσθες καὶ τούτοις πέντε, ὡς εἶναι ιθ̅. τοῦτο γάρ ἐστι τὸ τέτορε, ὁ τεσσαρεσκαιδέκατος χρόνος. Τέτορε γὰρ σημαίνει τέσσαρας· λείπει τὸ δέκα, ἵνα ᾖ τετάρτῳ καὶ δεκάτῳ ἐνιαυτῷ. Ἤγουν μὴ ἄξῃς εἰς γάμον γυναῖκα ἄχρηστον [n]) ποτὶ οἶκον, ἵνα μὴ γένῃ αἴτιος γέλωτος τοῖς γείτοσι.* Tzetzes.

Ibid. *ὩΡΑΙΟΣ ΔΕ ΓΥΝΑΙΚΑ. Τὰ μὲν περὶ ναυτιλίας αὐτῷ διατάγματα τέλος ἔχει, τὰ δὲ ἑπόμενα κοινά εἰσιν,* 313 *εἰς πᾶσαν τείνοντα τὴν ζωὴν τῶν ἀνθρώπων, οὐ γεωργησόντων, οὐ θαλαττουργησόντων, ὧν πρῶτόν ἐστι τὸ ὁρίζον τὸν περὶ τοῦ γάμου καιρὸν, καὶ τῷ γαμήσοντι, καὶ τῇ γαμηθησομένῃ. Καὶ γὰρ τοῦτο ἀκόλουθον ἦν τῷ τὸν καιρὸν ἄριστον εἶναι πᾶσι· φησὶ δὴ ὡραῖος δὲ, ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ ἐγκαίρως, κατὰ τὸν προσήκοντα καιρὸν ἄγου γυναῖκα πρὸς τὸν σὸν οἶ-*

e) *ταῦτα* E.

f) Sic E. F. G. Trinc. *παρακελεύονται* Bas. Heins.

g) *περ* Trinc.

ff) *μονονοὺ* Heins. Bas. *μόνον οὐχὶ* Trinc.

gg) *ἀσθενοῦσιν* F. Trinc.

h) *σφριγῶν* E. G.

i) *ὁ πόθος αὐταῖς γενήσεται* Trinc.

k) *συναρτόμενον* Bas. Mox *λαβεῖν* Trinc.

204) Tuto asteriscum tolles, si prius scripseris: *ἐμοὶ δὲ διηπόρηται, καὶ ἀπὸ τῆς μητρῴας νηδύος παρθένος νῦν.* Heinsius.

l) Edidi secutus E. G. H. Et sic F. Trinc. nisi quod in illis legitur *τὰ θήλη τίκτονται.* Edd. Bas. Heins. corrupte habent * *ἐμοὶ δὲ διηπόρηται καὶ τῆς μητρῴας νηδὺς παρθένος νῦν, κ. ἀ. τ. θήλαια τ.* Sequentia alieno loco posita sunt in Trinc. post *ἐπιστήμων* in fine Schol. ad v. 687. Omnino desunt E. F. G. H.

m) *τεσσαρεσκαιδέκατος* Trinc. et paullo ante *πέμπτος*.

n) *πολιτικὴν* pro *ποτὶ οἶκον* Trinc.

κον· οὔτε μάλα πολλὰ ἔτη ἀπολείπων, ἤγουν ἐλαττούμενος, κατωτέρω ὢν τῶν τριηκόντων ἐτῶν, ἤγουν τῶν τριάκοντα· μήτε μάλα πολλὰ ἐπιθεὶς τοῖς τριάκοντα δηλονότι. Moschop.

694. *ΜΗΤΕ ΤΡΙΗΚΟΝΤΩΝ.* Ὡρίμως μὴ παρὰ καιρὸν γήμῃς, ἀλλ' ὅτε ᾖς δυνατὸς διοικῆσαι οἶκον. λ' ἐτῶν [o]) μήτε κάτωθεν μηδὲ πλέον. Proclus.

Ibid. *ΜΗ ΤΕ ΤΡΙΗΚΟΝΤΑ.* Μὴ γράψῃς ΤΡΙΗΚΟΝΤΩΝ, εἴτε Ἡσιόδου, εἴτε μεταγραφικὸν τὸ πταῖσμα [p]) τυγχάνει, ἀλλὰ ΤΡΙΗΚΟΝΤΑ. Πᾶσα γὰρ φωνὴ τὰ τρία γένη σημαίνουσα ἐν μιᾷ λέξει ἄκλιτός ἐστιν· οἷον τριάκοντα, πεντήκοντα, καὶ πάντες οἱ ἀριθμοί. Ὥσπερ καὶ τὸ ἐγὼ, σὺ, ἐμοὶ, καὶ τὰ ὅμοια. Οἷς δὲ βουλητὸν [q]) ἀποπηδᾶν τῶν ἐμῶν λόγων γραφέτωσαν τριακόντων, καὶ πεντηκόντων, καὶ ἑξηκόντων, καὶ ἑκατόντων, εἰ βούλοιντο. Tzetzes.

695. *ΓΑΜΟΣ ΔΕ ΤΟΙ ΩΡΙΟΣ ΟΥΤΟΣ.* Ὁ δὲ, ἀντὶ τοῦ γαρ· ἤγουν συνάφεια γὰρ μετὰ γυναικὸς ἔγκαιρος αὕτη ἐστίν. Ἡ δὲ γυνὴ τέτορ' ἡβῴοι, ἀντὶ τοῦ τέτταρα ἐπὶ δέκα· τουτέστιν, ἡ δὲ γυνὴ ἐπὶ τέσσαρα καὶ δέκα ἔτη ἀκμαζέτω, τῷ πέμπτῳ δὲ, ἀντὶ τοῦ τῷ πεντεκαιδεκάτῳ, γαμοῖτο, ἀντὶ τοῦ γαμείσθω, τουτέστιν εἰς γάμον ἐρχέσθω. Παρθενικὴν δὲ ἀντὶ τοῦ παρθένον γαμεῖν, ἤγουν εἰς γυναῖκα λάμβανε, ὡς ἂν διδάξῃς αὐτὴν ἤθη κεδνὰ, ἤγουν ἀγαθά. Ἀγαθὰ δὲ γυναικὶ ἤθη τὰ ἀρέσκοντα τῷ ἀνδρί. Ταύτην μάλιστα εἰς γυναῖκα λάμβανε, ἥτις πλησίον σου οἰκεῖ, πάντα μάλα τὰ κατ' αὐτὴν ἀμφὶς, ἀντὶ τοῦ πανταχόθεν, μαθών· ἵνα μὴ γήμῃς χάρματα τοῖς γείτοσιν, ἀντὶ τοῦ χάρμα, τουτέστι γέλωτα. Οὐ γὰρ ληΐζεται, ἀντὶ τοῦ κτᾶται, ἄνθρωπος ἄλλο τι ἄμεινον, ἤγουν κρεῖττον, τῆς γυναικὸς τῆς ἀγαθῆς· τῆς δὲ κακῆς οὐδὲν ἄλλο ῥίγιον, ἤγουν χαλεπώτερον, κυρίως τὸ ἀλγεινότερον, ἀπὸ τοῦ ῥίγους τοῦ κρύους, ὥσπερ λυγρὸν ἀπὸ τοῦ λίαν ὑγρόν. Ἐκ τῶν ὑγρῶν φασι καὶ τῶν ψυχρῶν τὰ ἀλγεινὰ, ἐκ δὲ τῶν θερμῶν τὰ ἡδέα. Τῆς δειπνολόχης, ἤγουν τῆς συνδειπνούσης καὶ λοχώσης τὸν ὁμόκοιτον πρὸς τὸ δρᾶσαι τὶ κακὸν, ἢ τοῖς

o) Sic A. μὴ edd. Paullo ante ᾖς B. pro ἦ.

p) Deest Trinc. ubi μεταγραφικὸν ὄν. mox γένη et πεντήκοντα om. Trinc.

q) Ita F. Trinc. ἀπῳδὰ τοῖς ἐμοῖς λόγοις Bas. Heins. Οἷς δὲ βουλητὸν ad fin. om. E. H.

ἄλλοις συνδειπνούσης παρὰ τὴν ἀνδρὸς βούλησιν· εἶτα κατὰ μετάπτωσιν, ἥτις τὸν ἑαυτῆς ἄνδρα καί περ ὄντα ἴφθιμον, ἤγουν ἀνδρεῖον, γενναῖον, καίει χωρὶς δαλοῦ, τουτέστι παροξύνει καὶ εἰς ὀργὴν κινεῖ, ἢ τὴν περιουσίαν αὐτοῦ δαπανᾷ, δίκην πυρός· καὶ ἀώρῳ γήρᾳ δίδωσιν αὐτὸν, ὀδύνας αὐτῷ
314 προξενοῦσα, καὶ πρὸ τοῦ καιροῦ ποιοῦσα αὐτὸν γηρᾶν. Σαφέστερος δ' ἂν ὁ λόγος ἦν, εἰ χωρὶς μεταπτώσεως οὕτως ἂν ἐλέγετο· τῆς δὲ κακῆς οὐδὲν ἄλλο χαλεπώτερον ἄνθρωπος κτᾶται, τῆς δειπνολόχης, τῆς καιούσης τὸν ἑαυτῆς ἄνδρα, καίπερ ὄντα ἀνδρεῖον, χωρὶς δαλοῦ, καὶ ἀώρῳ γήρᾳ διδούσης αὐτόν. Moschop.

696. *ΤΕΤΟΡ' ἩΒΩιΟΙ.* Μετὰ τὸ παρελθεῖν αὐτὴν τὰ ιβ' ἔτη ἄλλα δ', τότε φησὶν ἐπιτρέπει αὐτὴν γαμεῖσθαι, τουτέστιν [r]) ἑκκαίδεκα ἐτῶν. Τέτορε γὰρ σημαίνει δ'. ἔστι δὲ καὶ τῷ πεντεκαιδεκάτῳ γαμεῖσθαι, ἢ μετὰ τεσσαρεσκαίδεκα, καὶ ἄλλα δ'. Proclus.

Ibid. *ΤΕΤΟΡ.'* Τεσσαρεσκαιδεκάτῳ χρόνῳ. Tzetzes.

697. *ΠΑΡΘΕΝΙΚΗΝ ΔΕ ΓΑΜΕΙΝ.* Εἰκότως ἀξιοῖ παρθένον ἄγεσθαι, μᾶλλον γὰρ [s]) αὕτη εὐάγωγος τῆς ὑπ' ἀλλοτρίοις ἤθεσιν ἤδη τραφείσης· τὸ δὲ, *ΜΗ ΓΕΙΤΟΣΙ ΧΑΡΜΑΤΑ ΓΗΜΗιΣ*, καὶ διὰ τοῦτο χρῆναι βουλεύεσθαι, ἐμφρόνως εἴρηται, πρὸς τὸ, τὸν σκοπὸν εἰς εὐζωΐαν ὁρᾶν, ἀλλὰ μὴ τὴν τυχοῦσαν εἰσφέρειν εἰς τὸν οἶκον, ἐπονείδιστον αὐτὸν ποιοῦσαν. Δηλοῖ δὲ ταῦτα καὶ τὰ ἑξῆς, ὁ τῆς ἀγαθῆς γυναικὸς ἔπαινος, καὶ ἡ κατηγορία τῆς μοχθηρᾶς. Τὴν δὲ δειπνολόχην καὶ τὴν καίουσαν ἄνευ δαλοῦ, καὶ τὴν ὠμὸν τὸ γῆρας τῷ ἀνδρὶ τιθεῖσαν, ταύτην εἶναι λέγει. Τὴν μὲν οὖν δειπνολόχην ῥητέον, ἢ τὴν δειπνεῖν μόνον εἰδυῖαν, ἀργὸν, ἢ τὴν συνδειπνοῦσαν καὶ λοχῶσαν τὸν ὁμόκοιτον πρὸς τὸ δρᾶσαι τὶ κακὸν, ἢ τοῖς ἄλλοις συνδειπνοῦσαν παρὰ τὴν τοῦ ἀνδρὸς βούλησιν. Ἡ δὲ ἄνευ δαλοῦ καίουσα, τὴν εἰς ὀργὴν κινοῦσαν καὶ ἀεὶ παροξυντικὴν σημαίνει· εἰ δὲ βούλει, καὶ τὴν δάπανον καὶ ἀφανιστικὴν τῶν ὄντων, ὡς τὸ πῦρ. Ἡ δὲ εἰς ὠμὸν γῆρας ἄγουσα, δηλοῖ τὴν [t]) ὀδυνῶν πρόξενον, [203]) καὶ πάσης

r) ἑξκαίδεκα A. ἑξκαίδεκα B. Trinc. Mox μετὰ τὰ ιδ' B.

s) αὕτη deest A.

t) ὠδύνων A. Mox αἰτίας B. Trinc. Legendum, ni fallor, καὶ πάσης ἀνίας τῷ ἀνδρὶ γ. ἀ.

203) Vide num scribendum, καὶ ἄξης ἂν τῷ ἀνδρὶ γινομένην αἰ-

ἂν τῷ ἀνδρὶ γινομένην αἰτίαν, καὶ τὸ γῆρας ἐπιπονώτερον αὐτῷ ποιοῦσαν. Τούτοις δὴ πᾶσιν ἡ ἀγαθὴ γυνὴ τὴν ἐναντίαν ἔχει διάθεσιν, ἐπικουφίζουσα τῷ ἀνδρὶ τὸ γῆρας, περισώζουσα τὰ ὄντα μετὰ τῆς περὶ τὸν ἄνδρα θεραπείας καὶ ἀταραξίας, συνδειπνήσεις ποιουμένη τοιαύτας, οἵας ὁ ἀνὴρ βούλεται. Τοῦτο οὖν ἀνασκοποῦντα χρῆναι, κἂν παρθένον τὶς ἄγηται, γάμον αἱρεῖσθαι. Proclus.

Ibid. ΠΑΡΘΕΝΙΚΗΝ ΔΕ. Παρθένον δὲ πρὸς γάμον λάμβανε, ὅπως θυμήρης σοι γένηται, καὶ τοῖς σοῖς ἤθεσι σύντροφος, οἷα μὴ u) συνδεθεῖσα ἑτέρῳ ἀνδρὶ, καὶ ξένοις συνεθισθεῖσα τοῖς ἤθεσι. Tzetzes.

698. ἭΤΙΣ ΣΕΘΕΝ ΕΓΓΥΘΙ ΝΑΙΕΙ. Καὶ γειτνιῶσαν 315
δέ σοι λάμβανε κόρην, ὅπως ἔκ τε πατρῴου καὶ μητρῴου γένους ταύτην εἰδὼς, καὶ τὰ ταύτης ἀκριβῶς ἀκροώμενος, μὴ ἀναξίαν γήμῃς, καί τι τῶν ἀθεμίτων w) ἐργασαμένην, ἐν οἷσπερ εἰώθασιν οἱ γειτνιῶντες γελᾷν. Οὐδὲν γὰρ ἄμεινον τῆς ἀγαθῆς γυναικὸς ἀνὴρ ἐπικτᾶται, ὥσπερ οὐδὲν χεῖρον τῆς φαύλης, τῆς περὶ δεῖπνα καὶ τρυφὰς x) ἠσχολημένης, καὶ καιούσης τὸν ἄνδρα, κἂν γενναῖός ἐστιν, ἀξύλῳ πυρὶ συμφορῶν, καὶ παρ' ἡλικίαν τιθείσης γηραιὸν καὶ ἀφήλικα. Tzetzes.

702. ΔΕΙΠΝΟΛΟΧΗΣ. Τῆς καθημένης καὶ ἀσωτευομένης καὶ παρεδρευομένης τῷ δείπνῳ. Proclus.

Ibid. y) ΔΕΙΠΝΟΛΟΧΗΣ. Τῆς λάθρα τοῦ ἀνδρὸς ἐσθιούσης, καὶ μὴ φανερῶς, τῆς τρωκτίδος, καθημένης καὶ ἀσωτευομένης, καὶ παρεδρευούσης τῷ δείπνῳ. Tzetzes.

704. ΕΥ Δ' ΟΠΙΝ ΑΘΑΝΑΤΩΝ. Τοῦτο μετὰ τοὺς περὶ γάμου λόγους προοίμιόν ἐστι τῶν ῥηθησομένων παιδευμάτων· δεῖ γὰρ πρὸ πάντων στοχάζεσθαι τοῦ κεχαρισμένου τοῖς θεοῖς. Καὶ γὰρ καὶ Πλάτων φησὶν, ὁ βλέπων εἰς τὸ θεῖον ἐξ ἀσελγημάτων z) αὐτοῦ φυλάττειν ἑαυτὸν σπουδάζει καὶ ἀσεβη-

τίαν. Quod in tantum verum est, ut alteram felicitatis partem Lacedaemoniis demant veteres, qui cum ejusmodi uxoribus conflictarentur. Graviter ut solet philosophus Rhetor. 1. ὅσοις γὰρ τὰ κατὰ γυναῖκας φαῦλα, ὥσπερ Λακεδαιμονίοις, σχεδὸν κατὰ τὸ ἥμισυ οὐκ εὐδαιμονοῦσιν. Heinsius.

u) Ita Trinc. Ceteri, ut videtur, συνελθοῦσα. Mox συνδεθεῖσα E. Bas. pro συνεθισθεῖσα.

w) Ita Trinc. ἐργασαμένη E. ἐργασάμενος Bas. Heins.

x) Ita E. ἠσχολημένη Trinc. ἀσχολουμένης Heins. Bas.

y) Deest hoc Scholion Trinc. et MSS.

z) αὐτοῦ fortasse delendum cen-

μάτων πάντων· καὶ γὰρ ὁ τοὺς ἀγαθοὺς ἄνδρας αἰσχυνόμενος, παρόντων αὐτῶν ἀπέχεται τούτων, μὴ ὅτι γε τοὺς θεούς. Καὶ τί λέγω τοὺς ἀγαθοὺς [a]) αὐτούς; ἀλλὰ καὶ εἰκόνας ἀγαθῶν τινες σέβονται, καὶ ὑπ' αὐταῖς ὀκνοῦσι τινὰ πονηρὰν πρᾶξιν πρᾶξαι, ὡς ἡ μὴ προσιεμένη τὸν ἐραστὴν ἑταῖρα δρᾶσαι τὶ ἄσχημον ὑπὸ τῇ Ξενοκράτους εἰκόνι τοῦ σώφρονος, πολλῷ μᾶλλον ἐπὶ θεῶν τοῦτο χρὴ ποιεῖν. PROCLUS.

Ibid. ΕΥ Δ' ΟΠΙΝ ΑΘΑΝΑΤΩΝ. [b]) Καλῶς δ' ἐπιστροφὴν καὶ φροντίδα ἔσο καὶ ὕπαρχε φυλάσσων τῶν θεῶν, [c]) ἤτοι τῶν ψυχικῶν δυνάμεων· τουτέστιν νοῶν, ὡς χρὴ, φρόντιζε καλῶς τῶν δεόντων, καὶ μὴ τῷ ἀδελφῷ ποίει ἰσότιμον τὸν φίλον· τουτέστι, τῶν φυσικῶν μὴ προτίμα τὰ κατὰ θέσιν, μηδὲ τῆς πατρίδος [d]) τὴν ἀλλοτρίαν προτίμα, δωροληψίας ἕνεκα, ἢ ἑτέρου τινὸς, καὶ ἐπὶ τῶν ὁμοίων τὰ ὅμοια δρᾶ. Εἰ δὲ ποιήσεις, ὅρα μὴ παλίμβολος καὶ μεταπίπτων γενήσῃ καὶ
316 ἄστατος, καὶ [e]) προκατάρχων κακοῦ. TZETZES.

Ibid. ΕΥ Δ' ῞ΟΠΙΝ ΑΘΑΝΑΤΩΝ. Προοίμιον τοῦτο τίθησι μετὰ τοὺς περὶ γάμου λόγους τῶν ῥηθησομένων παιδευμάτων, ἀξιῶν πρὸ πάντων στοχάζεσθαι τοῦ κεχαρισμένου τοῖς θεοῖς· καλῶς δὲ ἔσο φυλάττων ἐπιστροφὴν τῶν θεῶν τῶν μακάρων, ἀντὶ τοῦ ἐπιστρέφου τῶν θεῶν. MOSCHOP.

705. ΜΗΔΕ ΚΑΣΙΓΝΗΤΩι. Τὴν κατὰ φύσιν ἡμῶν σχέσιν πρὸς ἀλλήλους τῆς κατὰ προαίρεσιν εἶναι τιμιωτέραν φησὶν οὗτος ὁ λόγος· καὶ γὰρ τὴν μὲν ἀποθέσθαι ἐφ' ἡμῖν, τῆς δὲ τὸν δεσμὸν ἐπήγαγε, [f]) τὸ πᾶν αὐτὴν φυλάττειν βέβαιον· δεῖν οὖν μείζονα τιμὴν νέμειν ἀδελφοῖς, ἢ ἑταίροις· καὶ γὰρ τοῖς πατράσιν οὕτω φίλα [g]) πράττοντας δεῖ μετὰ θεοὺς τιμᾶν,

set Wyttenbachius ad Plutarch. de S. N. V. p. 29. qui et locos Platonicos indicavit.

a) αὐτοὺς om. Heins. In fine πολλῷ — ποιεῖν om. A. B. Historiam de Xenocratis statua, fueritne diversa ab ea quam memorat Diogenes Laert. IV. 7. dijudicent alii.

b) καλῶς δὲ ἔσο φυλάσσων τὴν ἐπιστροφὴν καὶ καὶ φροντίδα καὶ ὕπαρχε τῶν θεῶν Trinc. φροντίδα εἶναι καὶ ἔσο Bas. εἶναι habet etiam E.

c) νῦν δὲ Bas. G.

d) τὰ ἀλλότρια Trinc. Mox δρᾶν Trinc.

e) προκατάρχου Bas. κακῶς Trinc.

f) Vitii quid latet. An corrigendum, ἐπήγαγε τὸ πᾶν, id est ἡ φύσις, αὐτὴν φυλάττειν βεβαιοῦν. WYTTENBACH. ad Plutarch. Fr. Comm. n. 37.

g) πραξαμένῳ A.

ὡς ἀγάλματα, φησίν, ὄντας ἐφ' ἑστίᾳ θεῶν· οὕτω δὲ καὶ τὴν οἰκείαν πόλιν τινὲς εἶπον ἐγγιωτέραν τῆς μὴ οἰκείας, κἂν μᾶλλον τὶς ἐν ταύτῃ τυγχάνῃ τιμώμενος, διὰ τὴν κατὰ φύσιν σχέσιν. Καὶ ὀρθῶς ὁ Παναίτιος, πολίτην [h]) αὐτὸν Ἀθηναίων ποιεῖσθαι σπευδόντων, εἶπεν· Τῷ σώφρονι [i]) μὲν μίαν πόλιν ἀρκεῖν. Καὶ ὁ τῶν Σπαρτιατῶν [k]) δὲ βασιλεὺς πρὸς τὸν Ἀρκάδα τὸν ξένον, εἰπόντα πρὸς αὐτὸν ὅτι φιλολάκων οἴκοι καλοῖτο, Κάλλιόν τοι, εἶπεν, εἰ φιλόπολις ἐκάλου μᾶλλον ἢ φιλολάκων. Οὕτως αἱ κατὰ φύσιν ἡμῶν σχέσεις παρὰ πᾶσι τῶν κατὰ προαίρεσιν εἶναι δοκοῦσι κρείττους. Δεῖν μὲν οὖν τὸν ἀδελφὸν τοῦ ἑταίρου πάντως ἐπὶ μείζονος ἄγειν σπουδῆς· τούτῳ δὲ ἀκόλουθον τὸ ἑξῆς, ὅτι εἴ τινα ποιησόμεθα φίλον, ἀπροσκρούστους εἶναι δεῖ πρὸς αὐτόν. Καὶ γὰρ ἡ τῶν Πυθαγορείων παραίνεσις, οὐχ ὅτι προτέρους ἁμαρτάνειν εἰς φίλον διακωλύσειεν ἄν, ἀλλὰ καὶ τὰ τοῦ φίλου ἁμαρτήματα [l]) ὑπομένειν καὶ φέρειν, ἕως ἂν δυνώμεθα, παρακελεύεται. Καὶ ἔχει τὸ παράγγελμα πρὸς τῇ ἄλλῃ δικαιοσύνῃ καὶ τὸ ἔμφρον· [205]) εἰκὸς γὰρ ἡμᾶς καὶ θαῤῥήσαντας [m]) ἔστιν ὅτε τινὰ τῷ φίλῳ, καὶ δεῖ μηδὲν εἰς αὐτὸν ποιεῖν ἐναντίον, λύον τὴν σχέσιν. ΑΛΛΩΣ. Τοῦ ἀδελφοῦ σου μὴ προτίμα τὸν φίλον σου. Ἐὰν δὲ καὶ [n]) ποιήσῃς φίλον, μὴ πρότερος αὐτὸν ἀτιμάσῃς, μὴ δὲ καταψεύσῃς αὐτοῦ· ἐὰν δὲ αὐτὸς ἀρχὴν ποιήσῃ τοῦ ἀτιμάσαι σε, διπλασίασον αὐτῷ τὸ κακὸν καὶ ἀπόδος, μεμνημένος ὧν εἰς σὲ διεπράξατο· [o]) ἐὰν δὲ πάλιν διαλλαγῆναι, καὶ 317
φιλιωθῆναι βουληθῇ, καὶ προσπέσῃ σοι, δέξαι αὐτόν. PROCLUS.

Ibid. ΜΗΔΕ ΚΑΣΙΓΝΗΤΩι. Μηδὲ τὸν ἑταῖρον, ἤγουν τὸν φίλον, ἴσον ποιοῦ τῷ ἀδελφῷ, ἀντὶ τοῦ ἐν ἴσῃ μοίρᾳ τάττε τοῦ ἀδελφοῦ. Δεῖ γὰρ τὴν κατὰ φύσιν ἡμῶν σχέσιν πρὸς ἀλλήλους τῆς κατὰ προαίρεσιν εἶναι προτιμοτέραν. MOSCHOP.

h) αὐτῶν B. Trinc. Vide Lyndeni Disputationem de Panaetio p. 48.

i) Forte μόνην μίαν. WYTTENBACH.

k) δὲ addidi ex B.

l) προσφέρειν A. pro ὑπομένειν καὶ φέρειν.

205) Deest εἰπεῖν, aut λέγειν, aut tale quid; ut et nos monuerat illustris Scaliger. HEINSIUS. Sane excidit quid: quod quale sit non statuo. WYTTENBACH.

m) τυγχάνειν A. pro ἔστιν ὅτε. Mox ἐναντίον om. B.

n) ποιῇς A. πρότερος A. πρότερον alii.

o) Ita A. ἂν πάλιν edd.

706. *ΕΙ ΔΕ ΚΕ ΠΟΙΗΣΗιΣ.* Οὐ λέγει, ἐὰν δὲ ποιήσῃς φίλον ἐν ἴσῃ μοίρᾳ τοῦ ἀδελφοῦ, τοῦτο γὰρ ἀπηγόρευσε, καὶ οὐκέτι πάλιν δοκεῖ ἐνδοῦναι αὐτῷ, ἀλλὰ πρὸς τὸν φίλον αὐτῷ ὁ λόγος ἁπλῶς ἀφορᾷ, ἤγουν ἐὰν δὲ ποιήσῃς φίλον, μὴ πρότερος ποιήσῃς αὐτὸν κακὸν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ μηδὲ ψεύδου αὐτὸν γλώσσης χάριν, ἀντὶ τοῦ ἕνεκα λόγων· τουτέστι μηδὲ ἐν τοῖς λόγοις, οἷς διαλέγῃ, εἰ καὶ μηδὲ βλάπτουσι, ψευδὴς γίνου πρὸς αὐτόν. Ὁ γὰρ ἑκουσίως ψευδόμενος, καθὰ Πλάτων εἴρηκεν, ἄπιστος εἰκότως ἐστίν· ὁ δὲ ἄπιστος, ἄφιλος. Moschop.

707. [p]) *ΜΗΔΕ ΨΕΥΔΕΣΘΑΙ ΓΛΩΣΣΗΣ ΧΑΡΙΝ.* Μὴ μόνον παραιτεῖσθαι τὸν φίλον λυπεῖν διά τινος ἔργου προσκρούοντα, ἀλλὰ μηδὲ ψευδόμενον πρὸς αὐτὸν φαίνεσθαι, διὰ περιττὴν καὶ ἀνόνητον τῆς γλώττης ὁρμήν· καὶ γὰρ τοῦτο λυπηρὸν καὶ προάγον εἰς ἀπέχθειαν· ὁ γὰρ ψευδόμενος καὶ ἀπατῶν, οὐ φίλος· ὅθεν τοῦτο παραιτητέον. Ὃ καὶ Πλάτων εἶπεν, τὸν ἑκουσίως ψευδόμενον, ἄπιστον εἰκότως εἶναι· τὸν δὲ ἄπιστον, ἄφιλον. Μέγα οὖν σημεῖον ἤθους οὐ φιλητικοῦ τὸ ψευδολόγον εἶναι πρὸς ὃν οἴεται [q]) φίλον, καὶ ἐπιθολοῦν τὴν φιλίαν. Proclus.

Ibid. *ΕΙ ΔΕ ΣΕ Γ' ΑΡΧΗι.* Τοῦτο κινητικόν ἐστι τοῦ ἀμυντικοῦ τῆς ψυχῆς· δεῖν γάρ φησιν ἐὰν ἐκεῖνος [r]) προκατάρχῃ λόγων ἡμῖν ἀποθυμίων ἢ ἔργων ἐπεξιέναι, διπλασίοις τιννύμενον καὶ ἀμυνόμενον. Ἐχθρὸν γὰρ αὐτὸν ἀντὶ φίλου τιθέναι χρῆναι, καὶ ποιεῖν ὡς ἐχθρὸν κακῶς, ὡς μὴ φυλάξαντα τὰ φιλικὰ καθήκοντα. [s]) Σιμωνίδης γοῦν ταύτην εἶναι δικαιοσύνην ὡρίσατο, τοὺς φίλους εὖ ποιεῖν· ἄμεινον δὲ ὁ Πυθαγόρειος λόγος εἰπὼν, χρῆναι φέρειν τὰ ἁμαρτήματα τῶν φίλων εἰς δύναμιν. Proclus.

Ibid. [206]) *ΜΗΔΕ ΨΕΥΔΕΣΘΑΙ.* Μηδὲ γινώσκων [t]) τὸ

p) Hinc usque ad *τὴν φιλίαν* om. B. Trinc. Mox *φαίνεσθαι* om. A. Platonis locus est Legg. V. p. 730.

q) *φίλον εἶναι καὶ ἐπιθολοῖν* A. sed *εἶναι* ab alia manu deletum est.

r) Ita A. *προκατάρξῃ* edd. Mox *χρῆναι* pro *χρὴ* ex A. Hoc Scholion Plutarcho tribuit Wyttenbachius n. 38.

s) Vide Platonem Rep. I. p. 331. D. Simonidis fr. CLXI. CXCII. Wyttenbachius post *εὖ ποιεῖν* addendum putat, *καὶ τοὺς ἐχθροὺς κακῶς*.

206) Malim legere, *παράτρεπε*: sed et hoc ferri potest. Heinsius.

t) Ita Trinc. E. *τι* Bas. Heins.

ἀληθὲς, παράτρεπε τοῦτο καὶ ψεύδου, γλώττῃ ῥητορικῇ καὶ δεινῇ τυχὸν χαριζόμενος. Ὁ γὰρ εἰδὼς τὸ ἀληθὲς, καὶ ψευδόμενος, μοιχὸς τῆς ἀληθείας ἐστὶν, καὶ ἀδικεῖ τὴν φρόνησιν· 318
πανουργίας γὰρ ἔργον τοῦτο, καὶ οὐ φρονήσεως. [207]) Ὁ γὰρ μάλα φρονῶν, ψεῦδος [v]) οὐκ ἐρέησιν. Tzetzes.

Ibid. ΕΙ ΔΕ ΣΕ Γ' ΑΡΧΗι. Εἰ δέ σε οὗτος προκατάρξει ὅπως δήποτε [w]) ἀνιᾶσαι, διπλῶς τοῦτον τιμώρει, μεμνημένος ἢ τῆς ἐμῆς ἐντολῆς, ἢ ὅτι πρῶτος εἰς τὴν φιλίαν παρεσπόνδησεν. Εἰ δὲ πάλιν μετατραπεὶς προηγεῖται [x]) εἰς τὴν φιλίαν, καὶ αἰτεῖ τιμωρίαν δοῦναι ὧν ἐξημάρτηκε, [208]) συγγνωμονήσας πάλιν αὐτὸν δέχου. Tzetzes.

Ibid. ΕΙ ΔΕ ΚΕΝ ΑΡΧΗι. Ἐὰν δὲ προηγῆται αὐτὸς τούτων, ἢ ἔπος εἰπών τι ἀποθύμιον, ἤγουν ἐπαχθὲς καὶ οὐκ ἀρέσκον τῇ σῇ ψυχῇ, ἢ καὶ πράξας πρᾶξιν δηλονότι τινὰ ἀποθύμιον, δὶς τόσα τίννυσθαι αὐτὸν, ἀντὶ τοῦ ἀπαίτει· τουτέστι δὶς τόσα τιμωροῦ αὐτὸν, μεμνημένος ὧν εἰς σὲ διεπράξατο. Moschop.

709. ΕΙ ΔΕ ΚΕΝ ΑΥΘΙΣ ἩΓΗΤ' ΕΣ ΦΙΛΟΤΗΤΑ. Καὶ ἀμύνασθαι τὸν ἁμαρτάνοντα παραινεῖ, καὶ προσιόντα μὴ ἀτιμάζειν, καὶ μάλιστα εἰ ἑαυτῷ δίκην τινὰ ἐπάγειν ἕτοιμος εἴη τοῦ ἁμαρτήματος· δῆλος γάρ ἐστιν ἑαυτοῦ καταψηφισάμενος, καὶ ἐν μεταμελείᾳ γεγονὼς, ὥστ' εἰκὸς αὐτὸν μηκέτι ταὐτὸν παθεῖν. Κοινὸν δὲ ἁπλῶς ἐπέθηκε παράγγελμα τοῖς περὶ φιλίας λόγοις, τὰς εὐχερεῖς μεταβολὰς τῶν φίλων ἀνθρώποις ἀθλίοις [y]) οἴεσθαι πρέπειν. Εἰσὶ δὲ ἄθλιοι πάντες οἱ τῶν θεσμῶν ὑπερόπται τῶν εἰς κοινωνίαν συντεινόντων, ὧν εἷς ἐστι καὶ ὁ περὶ τὰς τῶν φίλων καταστάσεις. Ὅτι μὲν οὖν τὸ μεταβάλλειν τὰς φιλίας, ἄτοπον καὶ οὐχ ἁπλῶς, ἀλλ' ἄθλιον

Mox admisi παράτρεπε ex emend. Heinsii.

207) οὐκ * ἐρέησιν] Tolle asteriscum. Nihil minus novum est quam ut Grammatici ἀποσπασματίῳ aliquo veteris poetae utantur: quod hic factum videtur, aut voce tali. Heinsius. Est pars versus Homerici Od. Γ. 20. ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος ἐστί.

v) οὐκ ἠθέλησεν Trinc.

w) Ita E. ἀνιάσει σε Trinc. ἀνιάσει Bas. Paullo supra εἰ δὲ οὗτος sine σε Trinc.

x) πρὸς τὰ φίλα Trinc. Prope finem συγγνωμονήσας pro συγγνωμοσύνης dedit E. ξυγγνωμονήσας G. πάλιν om. Trinc.

208) Scribe, μετὰ συγγνωμοσύνης. Heinsius.

y) Forte, οἴεσθαι δεῖν. Wyt-

εἶπε καὶ αὐτός. Πλάτων δὲ καὶ τῆς φρουρᾶς τῆς περὶ φιλίαν εἰκόνα παραδέδωκε, τὰς μὲν ἡμετέρας εἰς τοὺς φίλους εὐποιΐας μικροτέρας ἡγεῖσθαι τῶν φίλων, [z]) *τὰ δὲ ἐκείνων εἰς ἡμᾶς γινόμενα, μείζω κρίνειν ἢ ἐκεῖνοι νομίζουσι. Ταῦτα φυλάττοντες ἀσάλευτον τὴν φιλίαν φυλάξομεν.* [a]) *Φησὶν οὖν ὁ*
319 *Ἡσίοδος παραινῶν ἀφαιρεῖν τὴν εὐχέρειαν.* Proclus.

Ibid. *ΕΙ ΔΕ ΚΕΝ ΑΥΘΙΣ. Ἐὰν δὲ πάλιν προηγῆται εἰς φιλίαν, δίκην δὲ ἐθέλῃ παρασχεῖν ὑπὲρ ὧν ἐξήμαρτεν εἰς σὲ, δέξαι αὐτόν· εἰκὸς γὰρ τοῦτον καταψηφισάμενον ἑαυτοῦ, καὶ ἐν μεταμελείᾳ γεγονότα, μηκέτι ταὐτὸ παθεῖν.* Moschop.

711. *ΔΕΙΛΟΣ ΤΟΙ ΑΝΗΡ. Ὁ ἄθλιος γὰρ καὶ οὐδενὸς λόγου* [d]) *ἄξιος, ἀλλοπρόσαλλος γίνεται περὶ τοὺς τῆς φιλίας θεσμοὺς, παραμείβων συνεχέστερον τοὺς φίλους.* Tzetzes.

Ibid. *ΔΕΙΛΟΣ ΤΟΙ ΑΝΗΡ. Ἕτερον τοῦτο παράγγελμα. Ἔχει δὲ οὕτως· δείλαιος ἀνὴρ, ἤγουν ἄθλιος, ποιεῖται φίλον ἄλλοτε ἄλλον.* Moschop.

712. *ΣΕ ΔΕ ΜΗ ΤΙ ΝΟΟΝ. Τουτέστι μὴ τὸ* [b]) *μὲν φαινόμενον εὔσχημον πειρῶ φυλάττειν, τὴν δὲ τῆς ψυχῆς εὐσχημοσύνην μὴ φυλάττειν· τίς γὰρ ἂν ἡμῶν ἕλοιτο κατὰ πρόσωπον ἀλλοιώσεις ὑπομένειν παντοίας; ἄτοπον δὴ τὸ μὲν εἶδος εἶναι τοιούτους ἐθέλειν, ἐλέγχεσθαι δὲ κατὰ τὴν ψυχὴν εὐτρέπτους ὄντας. Τῶν γὰρ τοιούτων τὸ εἶδος κατηγορεῖ* [c]) *τοῦ ἤθους· τὸ ὅμοιον ἀεὶ τοῦ ἀνομοίου, τὸ βέβαιον τοῦ εὐχεροῦς. ΑΛΛΩΣ. Εἰς σὲ δὲ μὴ ὁ νοῦς ἄφιλος ὢν καὶ ὁ λογισμὸς ἐλεγχέτω τὴν ἰδέαν τοῦ προσώπου. ΑΛΛΩΣ. Εἰς σὲ μὴ τὸ συνειδὸς ἐλεγχέτω τὴν ἰδέαν, ἀλλ' οἷον τὸ συνειδὸς ἔστω καὶ τὸ εἶδος.* Proclus.

tenbach. qui hoc Scholion inseruit Plutarch. fr. Comm. n. 39.

z) *τὰς δὲ* B. Totus locus in A. sic concipitur: *τὰς δὲ ἐκείνων εἰς ἡμᾶς μείζους ἐκείνων· τούτῳ δὲ ὅμοιον καὶ τὸ τὰ μὲν ἡμέτερα εἰς τοὺς φίλους μείζω κρίνειν ἢ ἐκεῖνοι νομίζουσι, τὰ δὲ ἐκείνων εἰς ἡμᾶς ἐλάττω νομίζειν, ἢ ἐκεῖνοι κρίνουσιν. ταῦτα φυλ.* Ante *μείζω* fortasse supplendum *ἁμαρτήματα.* Plato Legg. V. p. 729. *Καὶ μὴν τό γε φίλων καὶ ἑταίρων πρὸς τὰς ἐν βίῳ ὁμιλίας εὐμενὲς ἄν τις κτῷτο, μείζους μὲν καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὐτὸν ἡγούμενος ἢ ἐκεῖνοι, ἐλάττους δ' αὖ τὰς αὐτοῦ διανοούμενος εἰς τοὺς φίλους χάριτας αὐτῶν τῶν φίλων τε καὶ ἑταίρων.*

a) *φησὶ δ' οὖν* A. et *νόος* mox pro *νόον.*

b) Addidi *μὲν* et mox *τὴν δὲ — μὴ φυλάττειν* ex A. Paullo post *εἶδος* om. B.

c) Sic A. Antea *τὸ ἦθος.*

Ibid. *ΣΕ ΔΕ ΜΗ ΤΙ.* *Σοῦ δὲ τὸν λογισμὸν μηδὲν εἶδος φιλίας ἀπρεποῦς ἐλέγξῃ· τουτέστι, μὴ* e) *ἐλεγχθῇς, ἢ ἄφιλος, ἢ πολύφιλος, ἢ κακῶν φίλος, ἢ ὑβριστὴς τῶν ἀγαθῶν φίλων. Ταῦτα δὲ καὶ ἕτερα μυρία εἰσὶν εἴδη φιλίας.* Tzetzes.

Ibid. *ΣΕ ΔΕ ΜΗ ΤΙ ΝΟΟΝ.* *Ὅμοιον καὶ τοῦτο τῷ,*

Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;

σὲ δὲ κατὰ τὸν νοῦν μὴ κατελεγχέτω τὸ εἶδος, ἤγουν σοῦ δὲ μὴ κατηγορείτω κατὰ τὸν νοῦν τὸ εἶδος, ἤγουν ἡ μορφὴ, τὸ πρόσωπον, ὡς ἐναντίον δηλονότι τῷ νῷ· καθὰ τὸ μὲν ἄτρεπτον, μένον, τοῦ δὲ νοῦ μεταβαλλομένου συνεχῶς, καὶ τρεπομένου ἄλλοτ' ἐπ' ἄλλους φίλους. Moschop.

[Ibid. Schol. MS. Schellershem. *Ἤγουν μὴ κατελέγξῃ σὺ τὸν νοῦν εἶδος φιλίας, ἢ ἄφιλος, ἢ πολύφιλος, ἢ φίλος οὐκ ἀγαθῶν ἀνδρῶν, ἢ φίλων ὑβριστὴς, ἢ τοιοῦτό τι γινόμενος· ἢ μὴ ἐλεγχθῇς ἁλισκόμενος τοῖς εἴδεσι τῶν ἀνδρῶν σεμνοπροσωπούντων· πολλοὶ γὰρ τὸ μὲν φαινόμενον εἰσὶν αἰσχροὶ, καὶ ἄλλως δυσπρόσιτοι ἀληθεῖς καὶ βέβαιοι φίλοι· ἕτεροι δὲ τοὐναντίον εὐέντευκτοι τὰ ἔξω καὶ ἀγαθοὶ* (suprascriptum *εὐφυεῖς*) *φαινόμενοι, ῥᾳδιουργίας εἰσὶν πλήρεις καὶ ὑπουλότητος.* *Ex Addendis.*]

713. *ΜΗΔΕ ΠΟΛΥΞΕΙΝΟΝ, ΜΗΔ' ΑΞΕΙΝΟΝ.* *Εὐκαταφρόνητον τὸ πολλοὺς ξενίζειν· τὸ δὲ ἄξεινον, μὴ πολλούς φησι φίλους κτήσῃ, μηδὲ μὴν ἄφιλος ἔσο· ὡς ἂν συμμύστας* f) *σχῇς ὀλίγους, καὶ μὴ γένῃ ἑταῖρος τῶν κακῶν, μηδὲ ὑβριστὴς τῶν ἀγαθῶν, μηδὲ κακῶς εἴπῃς τοῖς ἀγαθοῖς.* Proclus.

Ibid. *ΜΗΔΕ ΠΟΛΥΞΕΙΝΟΝ.* *Τὸ μὲν μήτε πολύξεινον εἶναι μήτ' ἄξεινον, ὅρον ἐπιτίθησι μετὰ τὰς φιλικὰς παραινέσεις ταῖς περὶ τοὺς ξένους ἡμῶν σπουδαῖς, μήτε διὰ εὐχέρειαν πλῆθος εἰσδέχεσθαι ξένων* g) *κωλύων, μήτε δι' ἀγριότητα πρὸς πάντα ξένον ἀποκλείειν τὸν οἶκον. Τὸ δὲ μήτε κακοῖς συγκολ-* 320

d) *ἄξιος ἄνθρωπος* Trinc. et mox *καὶ συνεχεστέρως*.

e) Ita Trinc. E. F. H. *ἐλεγχθείης* alias.

f) *ἔχων* A. Mox *εἴπῃς* pro *εἴποις* ex A.

g) *κελεύων* conjicit Wyttenbachius ad Plut. fr. Comm. n. 40. *κρατύναντος* om. B.

λᾶν ἑαυτὸν, μήτε εἰς τοὺς ἀγαθοὺς ὑβρίζειν, καὶ Πλάτωνος κρατύναντος τὴν κρίσιν· αὐτὸς γοῦν ἔστιν ὁ λέγων ἐπ' οὐδένι τὸν θεὸν οὕτω νεμεσᾶν, ὡς ἐπὶ τῷ τὸν ὅμοιον αὐτῷ ψέγειν, ἐπαινεῖν δὲ τὸν ἀνόμοιον· θεῷ δὲ ὁ ἀγαθὸς ὅμοιος, ὃν οὐ δεῖ νεικείειν· ὁ δὲ κακὸς ἀνόμοιος, ὃν οὐ δεῖ ἀσπάζεσθαι. PROCLUS.

Ibid. *ΜΗΔΕ ΠΟΛΥΞΕΙΝΟΝ.* Τὸ μὲν πρὸ τούτου παράγγελμα τὸ ἄστατον ἐμέμφετο τῆς φιλίας καὶ ἀβέβαιον, τοῦτο δὲ τὴν πολυφιλίαν ἀπαγορεύει, καὶ τὴν ἀφιλίαν. Ἔχει δὲ οὕτως· παρακελεύομαί σε, μηδὲ πολύφιλον ἐθέλειν καλεῖσθαι, μηδὲ μὴν ἄφιλον· τὸ μὲν γὰρ ἀφυλάκτου γνώμης, καὶ εὐχεροῦς εἰς ὅ τι ἂν τύχῃ, καὶ διὰ τοῦτο εὐκαταφρονήτου· τὸ δὲ σκληρᾶς καὶ ἀκοινωνήτου. MOSCHOP.

714. *ΜΗ ΔΕ ΚΑΚΩΝ ἙΤΑΡΟΝ.* Μηδὲ κακοτρόπων ἀνθρώπων ἐθέλειν καλεῖσθαι φίλον παρακελεύομαι, μηδὲ ἐσθλῶν ἀνθρώπων, ἤγουν ἀγαθῶν, νεικεστῆρα, ἀντὶ τοῦ κατήγορον. MOSCHOP.

715. *ΜΗΔΕ ΠΟΤ' ΟΥΛΟΜΕΝΗΝ ΠΕΝΙΗΝ.* Τὴν πενίαν, ἣν ἡμεῖς [h]) αὐτοὶ προξενοῦμεν, διχῶς, ἢ δι' ἀργίαν, ἢ δι' ἀσωτίαν πενόμενοι, ἢ ἀπὸ τοῦ παντὸς ἔχομεν ἀποκληρωθεῖσαν ἡμῖν. Ταύτην οὖν ἀξιοῖ μὴ ὀνειδίζειν, ὡς τήν γε παρ' ἡμᾶς ἀξίαν εἶναι μυρίων ὀνειδῶν, οὐ βοηθουμένην ὑφ' ἡμῶν. Οὕτω δὴ καὶ νόσον τὴν μὲν εἱμαρμένην οὐ δεῖ ὀνειδίζειν, τὴν δὲ ἀπὸ τῆς ἡμετέρας ἀκρασίας διὰ τὴν ἀκρασίαν ὀνειδιστέον, οἷς ἐξὸν ὑγιαίνειν, οὐχ ὑπάρχει τοῦτο δι' αὐτήν. PROCLUS.

Ibid. *ΜΗΔΕ ΠΟΤ' ΟΥΛΟΜΕΝΗΝ ΠΕΝΙΗΝ.* Μηδὲ τὴν ἐξ εἱμαρμένης δοθεῖσαν πενίαν τοῖς ἀνθρώποις ὀνείδιζε. Ἡ ἑτέρα γὰρ πενία, ἡ ἐξ ἡμετέρας κακίας καὶ ἀσωτίας ἡμῖν γινομένη, μεμπτέα· οὐχ ἣν ἐξ εἱμαρμένης ἐκληρωσάμεθα. TZETZES.

Ibid. *ΜΗ ΔΕ ΠΟΤ' ΟΥΛΟΜΕΝΗΝ.* Μηδέποτε τέτλαθι, ἀντὶ τοῦ ἀνέχου ὀνειδίζειν ἀνδρὶ, πενίαν οὐλομένην, ἤγουν ἀπωλείας ἀξίαν· θυμοφθόρον, τουτέστι τῆς ζωῆς φθαρτικήν· δόσιν οὖσαν τῶν θεῶν τῶν ἀεὶ ὄντων. Οὐχ ἁπλῶς φησὶ τὴν πενίαν μὴ ὀνειδίζειν· ἀλλ' ἣν οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἐπεὶ ἔστι καὶ ἑτέρα πενία, ἣν οἱ θεοὶ οὐ παρέχου-

h) ἑαυτοῖς A.

σιν, ἀλλ' οἱ ἄνθρωποι αὐτὴν ἑαυτοῖς προξενοῦσι δι' ἀργίαν ἢ ἀσωτίαν, ἢ καὶ μυρίων ἐστὶν ὀνείδων ἀξία. MOSCHOP.

717. *ΓΛΩΣΣΗΣ ΤΟΙ.* *Ὁ μὲν θησαυρὸς τῆς γλώττης ἐστὶν ἡ κρύψις τῶν νοημάτων* [i]) *ἡ ἐν τῇ ψυχῇ, καὶ τῶν φαντασιῶν τῶν μὴ γενομένων ἐκφόρων ὑπὸ τῆς γλώττης προπετῶς κινουμένης· δεῖ γὰρ τὴν* [k]) *κίνησιν ἐπιμετρεῖν τῇ γλώσσῃ, καὶ* 321 *τὸν καιρὸν τῆς κινήσεως, ἀλλ' οὐ ταύτην κυρίαν εἶναι ἑαυτῆς. Τὸ δὲ πλείστην μὲν ἑαυτῆς εἶναι χάριν, μετρίας οὔσης, ἀρχὴν δὲ γίνεσθαι μειζόνων καὶ ἀλγεινοτέρων ἀκουσμάτων* [l]) *τὴν προπέτειαν αὐτῆς, ἄμφω παρέστησε, καὶ ὅτι αἱρετὸν τοῦτο τὸ μόριον, καὶ ὅτι φευκτόν.* [m]) *Ὡς Πιττακόν φασι πέμψαντος αὐτῷ τοῦ Ἀμάσιδος ἱερεῖον, καὶ ἀξιώσαντος ἀντιπέμψαι τῶν μορίων αὐτῷ τὸ κάλλιστον ἅμα καὶ χείριστον, ἐξελόντα τὴν γλῶσσαν* [n]) *ἀποστεῖλαι.* [209]) *Καὶ διὰ τοῦτο δέδωκεν ἡ φύσις διὰ μὲν τῶν ὀδόντων ἕρκος αὐτῇ πρόσθεν κατακλείουσαν, μαλακὴν αὐτὴν οὖσαν καὶ εὐκίνητον· τὸν δὲ ἐγκέφαλον ἄνωθεν ὑπάρχοντα, τοῦ λόγου τὸ μέτρον αὐτῇ παρέχειν ἐνδεικνυμένην. ΑΛΛΩΣ. Τῆς φθεγγομένης δηλονότι τὰ μέτρια· λείπεται δὲ τό* [o]) *ἐστιν· καὶ ἔστιν ὑπερβατόν· καὶ γλώσσης φειδωλῆς, τῆς κεχαλινωμένης, τῆς σμικρολόγου.* PROCLUS.

Ibid. [210]) *ΓΛΩΣΣΗΣ ΤΟΙ ΘΗΣΑΥΡΟΣ. Γλώσσης φησὶ θησαυρὸν τὸ φθέγγεσθαι πάνυ σμικρὰ καὶ ὀλίγα· χάριν δὲ πλείστην αὐτῆς τὸ σύμμετρον καὶ ἐν τοῖς καιροῖς τὰ δέοντα*

i) Hinc ad *κινουμένης* om. B.

k) *κρίσιν* A. *κρίσιν ἐπιμετρεῖσθαι* B. ubi mox *καὶ* deest.

l) *τῆς* B.

m) Videatur Wyttenbachius ad Plutarch. p. 38. B. *φησι* Trinc.

n) Locus in A. sic legitur: *ἀποστείλας· καὶ ἔοικεν ἡ φύσις τὸ μὲν τῶν ὀδόντων ἕρκος αὐτῆς εἶναι πρόσθεν κατακλείουσα μαλακὴν αὐτὴν οὖσαν καὶ εὐκίνητον· τὸν δὲ ἐγκέφαλον ἄνωθεν εἶναι· παρ' οὗ τοῦ λόγου τὸ μέτρον αὐτῇ δεῖν ὑπάρχειν ἐνδεικνυμένην.* B. habet *κατακλεῖον* pro *κατακλείουσαν*, et *δυνάμενον* pro *ἐνδεικνυμένην*, in ceteris cum vulgatis consentiens. Wyttenbachius conjecit *κατακλείουσα*, et in fine *παρεῖχεν ἐνδεικνύμενον.* Sententia satis est perspicua, etsi verbis aliquid vitii subesse videtur.

209) Notarat in margine illustris Scaliger: *haec sunt corrupta.* Sunt autem hoc modo emendanda: *καὶ διὰ τοῦτο δέδωκεν ἡ φύσις διὰ μὲν τῶν ὀδόντων ἕρκος αὐτῆς, πρὸς τὸ κατακλείειν μαλακὴν αὐτὴν οὖσαν, καὶ εὐκίνητον.* HEINSIUS.

o) *ἐστιν, καὶ ἔστιν ὑπέρβατον γλώσσης φ. τ. κ. τῆς μὴ σ.* B. Vulgo, *τὸ ἔστιν ὑπερβατὸν, καὶ γλώσσης.*

210) Haec Hesiodi verba cum glossa sua integra aberant ab editione nostra: nos ea ex antiquiore adjecimus. HEINSIUS. Mox *Ἀμάσιδι — χείριστον* om. Trinc.

φθέγγεσθαι. Τοῦτο οὖν παραινεῖ καὶ [p]) τὸν Πέρσην, καὶ μὴ πολυλογίαν ἀσκεῖν. Οὐδὲν γὰρ οὔτε λῷστον, οὔτε χείριστον τῆς γλώττης ἐστίν. Ὃ καὶ Πιττακὸς ὁ Λέσβιος ἐνδεικνύμενος, ἐξ ἱερείου τὴν γλῶτταν, ὡς κάλλιστόν τε καὶ χείριστον, Ἀμάσιδι τῷ Αἰγυπτίῳ ἀπέσταλκεν· οὕτως ἐκείνου κελεύσαντος, τὸ κάλλιστόν τε καὶ χείριστον ἀπεσταλκέναι τοῦ ζώου. Ὁμοίως δὲ καὶ ὁ Φρὺξ πεποίηκεν Αἴσωπος. TZETZES.

Ibid. *ΓΛΩΣΣΗΣ ΤΟΙ ΘΗΣΑΥΡΟΣ.* Τῆς γλώσσης τῆς φειδωλῆς, ἤγουν τῆς μετὰ φειδοῦς καὶ ἐγκρατῶς προτεινούσης τοὺς λόγους, τουτέστι τῆς κεχαλινωμένης, θησαυρός ἐστιν ἐν τοῖς ἀνθρώποις ἄριστος. MOSCHOP.

718. *ΠΛΕΙΣΤΗ ΔΕ ΧΑΡΙΣ.* Ἀντὶ τοῦ πλεῖστον δέ ἐστι τὸ ἐπαγωγὸν αὐτῆς κατὰ συμμετρίας ἰούσης, ἤγουν κινουμένης. MOSCHOP.

719. *ΕΙ ΔΕ ΚΑΚΟΝ ΕΙΠΟΙΣ.* [q]) Ἀλκαῖος·

322 Εἴκ' εἴποις τὰ θέλεις ἀκούσαις τά κ' οὐ θέλεις·

καὶ Ὅμηρος,

Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις. PROCLUS.

Ibid. *ΕΙ ΔΕ ΚΑΚΟΝ.* Εἰ δὲ λάλος ὢν ὑβρίσεις, μεῖζον [r]) ἀκούσεις. Τοῦτο δὲ ἐξ Ὁμήρου παρέσυρται· φησὶ γὰρ ἐκεῖνος·

Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις. TZETZES.

Ibid. *ΕΙ ΔΕ ΚΑΚΟΝ ΕΙΠΟΙΣ.* Ἤγουν ἐὰν δὲ κακὸν εἴπῃς, τάχα ἂν αὐτὸς μεῖζον ἀκούσαις. MOSCHOP.

720. *ΜΗΔΕ ΠΟΛΥΞΕΙΝΟΥ ΔΑΙΤΟΣ.* Μηδὲ ἔσο δυσπέμφελος, ἤγουν σκληρὸς καὶ δυσάγωγος, ἕνεκα εὐωχίας πολυφίλου, ἤγουν ἣν πολλοὶ ἀθροισθέντες φίλοι εὐωχοῦνται, ἐκ κοινοῦ. MOSCHOP.

Ibid. *ΜΗΔΕ ΠΟΛΥΞΕΙΝΟΥ ΔΑΙΤΟΣ.* Ταῦτα χώραν δίδωσι ταῖς καλουμέναις συμβολαῖς· αὗται γὰρ πολύξεινοι ἂν εἶεν ἐκ κοινοῦ πολλοῖς συσσιτεῖν προξενοῦσαι. Μὴ οὖν εἶναι δυσπρόσιτον ἐν ταύταις καὶ δύσκολον, ἐχούσαις δαπάνην μὲν

p) τῷ Πέρσῃ Trinc.

q) Fragm. LXXXII. in Museo Crit. Cantabr. T. I. p. 443. ubi αἴκ' εἴπῃς — θέλοις dedit Blomfieldius. In Homeri loco Il. Υ. 250. τοιοῦτον κ' ἐπακούσαις A. B. Trinc.

r) ἀκούσῃς E. Mox ὁποῖον κ' ἔπος εἴπησθα E. G. H. Bas. οἷον κ' ἔπος εἴπῃς τ. ἐπακούσεις Trinc. τοῖον ἐπακούσαις G. τοῖόν κ' ἐπακούσαις H.

ἐλαχίστην, χάριν δὲ πλείστην διὰ τὴν κοινωνίαν· οὕτως γὰρ πάλαι συνεσίτουν [s]) *καὶ παρὰ Λάκωσιν, καὶ παρ' ἄλλοις, συνεισφέροντες εἰς τὸ κοινὸν ἕκαστοι, καὶ μετ' ἀλλήλων ἑστιώμενοι. ΑΛΛΩΣ. Μὴ ἀποστρέφου, φησὶ, τὰς τῶν φίλων εὐωχίας· ἡ γὰρ ἐξ ἐράνων εὐωχία, καὶ δαπάνην* [t]) *ἐξκουσσεύει καὶ πολλὴν ἀνάπαυσιν ἔχει.* Proclus.

Ibid. *ΜΗΔΕ ΠΟΛΥΞΕΙΝΟΥ ΔΑΙΤΟΣ. Παρακελεύεται* [v]) *τοῦτον καὶ κοινωνικὸν εἶναι, ἀλλὰ μὴ* [111]) *ἀσυνδύαστον. Καὶ φησι· μὴ ἔσο δυσάρεστος ἐκ τῆς πολυξείνου δαιτός· τουτέστιν, ἐκ τῶν συσσιτίων καὶ εἰσφορῶν καὶ ἐράνων, καὶ ἃ καλοῦμεν καταβόλαια, ὅταν κοινῶς διδόντες δαπάνην τινὲς συμποσιάζωσιν. Εἶτα ἐπάγει καὶ τοῦ συσσιτίου τὸν ἔπαινον, καί φησιν, ἐκ τῆς τοιαύτης κοινωνίας πλείστη ἡδονὴ, ὀλίγον δὲ τὸ ἀνάλωμα γίνεται.* Tzetzes.

721. *ΠΛΕΙΣΤΗ ΔΕ ΧΑΡΙΣ. Ὁ δὲ κἀνταῦθα ἀντὶ τοῦ γὰρ, ἤγουν ἐκ τῆς ἑνώσεως γὰρ καὶ τοῦ ἀθροίσματος τῶν πλειόνων πλείστη χάρις ἐστὶν, ἀντὶ τοῦ τέρψις· καὶ δαπάνη ὀλιγίστη, ἤγουν καὶ ἀνάλωμα πάνυ ὀλίγον.* Moschop.

722. *ΜΗΔΕ ΠΟΤ' ΕΞ ΗΟΥΣ ΔΙΙ. Τοῦτο καθαρότη-* 323
τός ἐστι παράγγελμα. Πολλὰ γὰρ αἱ χεῖρες τῶν ἀναγκαίων μὲν, ἀκαθάρτων δὲ ποιοῦσι· [w]) *εἰς οὖν πρὸς τὸ θεῖον ἐνέργειαν δέονται καθάρσεως, διότι τὸ θεῖον καθαρόν. Δεῖ δὲ τὸ ὅμοιον αὐτοῖς ὑπηρετεῖν· μὴ σπένδειν οὖν μὴ προκαθάραντας τὰς χεῖρας· πολλῷ ἄρα μᾶλλον τῷ ὅλῳ σώματι δεῖ καθαρῶς πράττειν τὰ πρὸς θεούς· ἐκ γὰρ ἀκαθάρτων ὀργάνων εἰ τιμῴημεν αὐτοὺς, ἀποπτύουσιν ἡμῶν τὰς ἐπὶ* [x]) *τοῖς τοιούτοις ἔργοις ἀράς· αὗται γάρ εἰσιν αἱ ἐπαραὶ ταῖς θυσίαις, ἢ ταῖς σπονδαῖς ἐπᾳδόμεναι. Ἐν μὲν οὖν Σπάρτῃ τοῖς εἰς ἀρχὴν* [y]) *καθισταμέ-*

s) *καὶ — ἄλλοις* dedi ex A. In edd. leguntur tantum *συνεσίτουν ἀλλήλοις συνεισφ.*

t) Ita Heinsius. *ἐξεκουσσεύει* Trinc. B. *ἐκκουσσεύει* A. Vox est Latina significans, *excusare.* Vide Du Cangium.

v) *τοιοῦτον* Trinc. *μὴ δὲ ἀσυνδύαστον* Trinc. *ἀσυνδίστατον* Bas. Heins. *Ἀσυνδίαστον* pravam formam esse notat H. Steph. Thes. IV. p. 562. B.

111) Fortasse, *ἀσυνδίαστον:* quam nec dubitandum est. Heinsius.

w) Dedi ex A. pro vulg. *διὰ τοῦτο δέονται κ.* Mox *τὸ* ante *ὅμοιον* ex A. quem in seqq. secutus sum. Edd. habent, *καὶ οὕτω σπένδειν πρ. τ. χ. π. δὲ ἄ. μ. τ. ὅ. σ. δέον γὰρ κ.* Locum hunc Plutarcho tribuit Wyttenbachius Comm. n. 42.

x) *τοῖς ἔργοις τούτοις* A. *τοῖς* om. B.

y) Forte *εὐθὺς εἰς ἀρχὴν καθιστά-*

νοις οἱ ἔφοροι προεκήρυττον μὴ τρέφειν μύστακας, ἵνα τοὺς τὸ φαῦλον τοῦτο καὶ εὐτελὲς [z]) παραβάντας μειζόνως κολάζωσιν· ὁ δὲ Ἡσίοδος νίπτεσθαι τὰς χεῖρας παραινῶν πρὸ τοῦ σπένδειν, ἐνδείκνυται τὸν τοῦτο μὴ πεισόμενον μείζονος ἄξιον εἶναι καταγνώσεως, ὡς ἀνεπιτήδειον πρὸς παιδείαν. PROCLUS.

Ibid. *ΜΗΔΕ ΠΟΤ' ΕΞ ΗΟΥΣ.* [a]) Τὰ μὲν μυθικὰ δῆλα καὶ τοῖς πάνυ ἰδιωτεύουσιν, ὅτι δεῖ καθαραῖς καὶ ἀῤῥυπάντοις θύειν χερσί· τὸ δ' ἀλληγορικώτερόν ἐστι, συμβολικὴ παραίνεσις Πυθαγόρειος, ἐντελλομένη καὶ λέγουσα, μὴ ἄλλα μὲν βουλεύειν, ἄλλα δὲ δρᾷν. Φησὶ γὰρ ΜΗΔΕ ΠΟΤ' ΕΞ ΗΟΥΣ καὶ τῆς πρώτης τοῦ λογισμοῦ προσβολῆς τὸν οἶνον, ἤγουν τὸ βουλευτικὸν, ὅπερ θερμαίνει καὶ συγκιρνᾷ, λεῖβε καὶ πρόσφερε τῷ Διῒ, ἤγουν τῷ λογισμῷ, χερσὶν ἀνίπτοις, ἤγουν πράξεσιν [b]) ἀνομοίαις καὶ ἀπᾳδούσαις, οἷς βουλεύῃ· καὶ [c]) ἵνα φαίην συντομώτερον, τοῦτο φησὶ, μηδὲ [d]) εἰς πρώτην ἀνέλθῃς προσβολὴν σοῦ λογισμοῦ, ἄλλα μὲν βουλεύεσθαι, ἄλλα δὲ δρᾷν· καθάπερ πανουργότατοι τινὲς καὶ κρυψίνοες. TZETZES.

Ibid. *ΜΗΔΕ ΠΟΤ' ΕΞ ΗΟΥΣ.* Μηδέποτε ἀρχομένης ἡμέρας (τοῦτο γὰρ δύναται τὸ ἐξ ἠοῦς) λεῖβε τῷ Διῒ, ἤγουν σπένδε οἶνον καυστικὸν, χερσὶν ἀνίπτοις, μηδὲ τοῖς ἄλλοις θεοῖς. Καθαρὸν γὰρ τὸ θεῖον, καὶ δεῖ καθαραῖς χερσὶ καὶ καθαροῖς ὀργάνοις καὶ καθαρῷ σώματι πράττειν τὰ πρὸς αὐτό. Εἰ γὰρ οὕτως ἀνίπτοις δηλονότι χερσὶ σπένδεις, οὐ κλύουσιν, ἀντὶ τοῦ ἐπακούουσιν, ἀποπτύουσι δὲ, ἤγουν ἀποστρέφονται, ἀπαξιοῦντες τὰς ἀρὰς, τουτέστι τὰς εὐχὰς, ἃς ἐπᾴδεις θύων, βοηθοὺς αὐτοὺς ἐπὶ τὰ σὰ ἔργα καλῶν. MOSCHOP.

324 723. *ΜΗΔ' ΑΛΛΟΙΣ ΑΘΑΝΑΤΟΙΣΙΝ.* Ἀπὸ κοινοῦ τὸ λεῖβε ἀνίπτοις χερσίν. Ὁ δὲ νοῦς τοιοῦτος. Μήτε τῷ λογιστικῷ ἐναντίαν ἔχε τὴν πρᾶξιν, μήτε ταῖς ἄλλαις ψυχικαῖς δυνάμεσι, θυμῷ, ἐπιθυμίᾳ, καὶ τοῖς λοιποῖς· τουτέστι, μὴ ἔσο

μενοι, ut conjecturam posui ad Plut. S. N. V. p. 25. WITTENBACH.

z) An, μὴ παραβάντας, παραβαίνειν μείζονα κωλύσωσιν. WITTENBACH. Mox τὸν περὶ τοῦτο A.

a) τὰ μυθικὰ καὶ δῆλα — ἰδιωτεῦσιν Trinc.

b) Ita G. καὶ ἀνομίοις καὶ E. ἀνομίαις edd.

c) ἵνα συντομώτερον φαίην Trinc. F. συντομωτέρως H.

d) Sic E. πρῶτος ἀνέλθῃς προσβολὰς G. εἰς πρώτην ἀνελθὼν Trinc.

κρυψίνους, καὶ [e]) προσποιήτως δόκει τινὰς ἀγαπᾷν, ἢ μισεῖν· ἄλλως δὲ κατὰ πρᾶξιν [f]) ἔχε καὶ τὴν ἀλήθειαν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως μὴ θέλε φαίνεσθαι πλούσιος, ἢ εὐδοκιμῶν ἔν τισιν, ἔργα δὲ [g]) τούτοις ἀπᾴδοντα κέκτησο. Tzetzes.

724. ΟΥ ΓΑΡ ΤΟΙ ΓΕ ΚΑΥΟΥΣΙΝ. [212]) [h]) Οὐ γὰρ κατορθώσεις καὶ ὑπήκοα εὕροις, τοῖς ἐναντίοις τὰ ἐναντία· μάταιος δὲ λογισθήσῃ. Tzetzes.

725. ΜΗΔ' ΑΝΤ' ΗΕΛΙΟΙΟ ΤΕΤΡΑΜΜΕΝΟΣ. Διὰ τούτων εἰς εὐσχημοσύνην παιδεύει καὶ τὰ ἀναγκαῖα κελεύων εὐσχημόνως ἐκπληροῦν. Μήτ' οὖν ἀπεναντίας ἡλίου μήτ' ἀνιόντος, ὅ ἐστι πρὸ μεσημβρίας, μήτε εἰς δύσιν ἰόντος, ὅ ἐστι μετὰ μεσημβρίαν, οὐρεῖν, [hh]) ἔνθα δηλαδὴ τὴν πορείαν οὗτος ἀνύων ἐστὶ, μήτε προβάδην, ὅ ἐστι κινούμενον, τοῦτο πράττειν, ἢ ἐν ὁδῷ, ἢ ἐκτὸς ὁδοῦ σεβόμενον ὅπου μὲν τὴν εἰνοδίαν θεὸν, ὅπου δὲ τὴν ἀκτῖνα τοῦ ἡλίου τὴν πάσης ζωοποιὸν τῆς ὕλης, ὅπου δὲ ἁπλῶς τὴν ἀσχήμονα τοῦ σώματος διάθεσιν λογιζόμενον· δεῖ οὖν τὸν εὔνοιαν ἔχοντα θεοῦ ἢ καθήμενον ἐκπληροῦν τὴν ἀνάγκην, ἢ πρὸς τοῖχον τινὰ εἴσω τῆς αὐλῆς, οἷον ἀποκρύπτοντα τὸ αἶσχος τῆς φύσεως, καὶ ἐν παραβύστῳ πληροῦντα τὰ ἐλαττώματα τῆς γενέσεως. Ἐπειδὴ δὲ ἐν νυξὶν εἴωθε τὰ τοιαῦτα καταφρονεῖσθαι πολλοῖς καὶ τὸ ἀπογυμνοῦσθαι δοκεῖ τισιν ἐν ταύταις μὴ ἄξιον εἶναι μάρτυρα τῆς ἀσχημοσύνης, ἐμνημόνευσε μετὰ τῆς πρὸ ἡλίου ἀπογυμνώσεως, καὶ τοῦ μὴ ἐν νυκτὶ τοῦτο χρῆναι δρᾷν· ὡς μακάρων εἶναι τὰς νύκτας, ὡς τότε μάλιστα ἐπιφανειῶν θείων γινομένων, διὰ τὴν ἡσυχίαν τὴν ἀπὸ τοῦ πλήθους· τιμητέον οὖν αὐτὰς, καὶ οὐδὲν ἄσχημον πρακτέον. Proclus.

Ibid. ΜΗΔ' ΑΝΤ' ΗΕΛΙΟΙΟ ΤΕΤΡΑΜΜΕΝΟΣ. Τὸ μὲν πρόχειρον [i]) γνώριμον καὶ τοῖς ἰδιώταις καθέστηκεν, κατὰ τὴν τοῦ Πρόκλου μακρηγορίαν καὶ μεταχείρισιν· τὸ δὲ [k]) συμ-

e) προσποίησει Trinc. qui supra habet λογισμῷ pro λογιστικῷ. ἢ μισεῖν om. E.

f) Ita E. F. Trinc. ἔλαβε G. ἔλεγχε Bas. Heins.

g) τούτων Bas. Mox κέκτησαι Trinc.

212) Scribe, οὐ γὰρ κατορθώσεις, οὐδ' ὑπηκόους εὕροις. Heinsius.

h) οὐδὲ κατορθώσεις καὶ ὑ. εὕρῃς Trinc. E. F. καὶ ὑπ. G. * δ ὑπ. Bas. Heins.

hh) Ἔνθα — ἔστι om. A.

i) γνώριμον post καθέστηκεν Trinc. Mox μεταχείρησιν Trinc. Bas. G.

k) συμβουλικὸν Trinc.

βολικὸν τοῦ παραγγέλματος τοιοῦτόν ἐστιν. Ἀπείργει τοῦτον τῆς φανερᾶς καὶ ἀνερυθριάστου ἀκολασίας, καί γε τῆς λαθραίας ὁμιλίας τῆς πρὸς τὰς [l]) πόρνας, ἔτι δὲ καὶ τῆς πρὸς τὰς ἑταίρας, ἤγουν τὰς παλλακίσκας ἢ πόρνας, ἀστάτου καὶ [m]) μεταπηδώσης ὁρμῆς. Καὶ ἔτι παρακελεύεται μηδὲν ἕτερον τῶν ἀπρεπῶν
325 δρᾶν, κἂν ἔλαττον ᾖ τῶν προτέρων, καὶ λάθριον. Ἐσθλοῦ γὰρ καὶ μακαρίου ἀνδρὸς, κἂν οὐχ [n]) ὁρῷτο παρά τινων, ὅμως αἰδεῖσθαι αὐτὸν ποιεῖν τὰ αἰσχρά. Τοῦτο γὰρ δηλοῖ, τὸ,

μακάρων τοι νύκτες ἔασιν·

θείου δὲ καὶ φρονίμου ἀνδρὸς λέγει τὸ, ἑζόμενον οὐρεῖν, ἤγουν τὸ, ἐστηριγμένας καὶ [o]) οὐ μεταπηδώσας τὰς ὁμιλίας ποιεῖσθαι, ἀλλ' ἔχειν παλλακὴν μίαν, ἣν καὶ ἑταίραν καλοῦσιν, ἢ δούλην. Τοῦτο γὰρ ὁ τοῖχος δηλοῖ τῆς αὐλῆς. Ὥσπερ γὰρ ἡ οἰκία ἐκ τῶν τοίχων [p]) συνίσταται, οὕτω καὶ οἱ δεσπόται δούλοις καὶ θεραπαίναις καὶ τοῖς μισθίοις ὀχύρονται. Τοιαῦτα τὰ περὶ τῆς ὀμιχήσεως. Οὐ γὰρ ὁ Πέρσης, Πέρσης, κἂν Πέρσης τὴν κλῆσιν, ὥστε ἐνουρεῖν ἐφεζόμενος τῷ Περσικῷ νόμῳ. Εἰ δέ τι καὶ ἀσαφὲς ἔχει τὰ εἰρημένα, [q]) τοῦτο διασαφήσομεν. TZETZES.

Ibid. *ΜΗΔ' ΑΝΤ' ΗΕΛΙΟΙΟ.* Μηδὲ φανερῶς καὶ [r]) ἐναντίον πολλῶν βλεπόντων, ὀρθῶς ὀμίχει καὶ οὔρει, ἤτοι μὴ συνουσίαζε καὶ [s]) ὁμίλει γυναιξὶν ἀμφίβολος, εἴτε [t]) μεταστῇς τῆς αὐτῶν ὁμιλίας, εἴτε παραμείνῃς. Τοῦτο γὰρ δηλοῖ τὸ ΟΡΘΟΣ. Ὁ ἑστηκὼς γὰρ, οὔτε βαδίζει, ὅπερ παραδρομὴν δηλοῖ· οὔτε ἕζεται, ὅπερ δηλοῖ τὴν παραμονὴν, καὶ βεβαίωσιν, ἀλλ' ἔστιν ὄντως ἀμφίβολος, εἴτε ἑδρασθήσεται, εἴτε κινηθήσεται. TZETZES.

Ibid. *ΜΗΔ' ΑΝΤ' ΗΕΛΙΟΙΟ ΤΕΤΡΑΜΜΕΝΟΣ.* Μηδὲ ἀπ' ἐναντίας τοῦ ἡλίου τετραμμένος ὀρθὸς ὀμίχει, ἤγουν οὔρει, ἐπειδὰν δὲ δύῃ, ἤγουν ἀφ' οὗ ἂν καταδύηται ὁ ἥλιος, μεμνημένος, τουτέστιν ἐν νῷ στρέφων τοῦτο, ἔς τ' ἀνιόντα, ἤτοι ἀπὸ τοῦ μετὰ τὴν μεσημβρίαν καιροῦ μέχρι τοῦ πρὸ μεσημβρίας· μέχρι γὰρ τούτου ἐστὶν ἡ ἀνάβασις τοῦ ἡλίου, εἶτα κλι-

l) πορνείας Trinc. ἤγουν — πόρνας om. E. F. H. Bas.
m) μεταποδώσης Trinc. μεταπηδήσεως Bas.
n) ὁρᾶτο E. Mox ὅμως om. Trinc.
o) μὴ Trinc. E.
p) συνέχεται Bas. Mox δούλαις Trinc.
q) Ita Trinc. E. ταῦτα Heins. Bas.
r) ἐναντίως Trinc. Mox κλεπτόντων Bas. ὀρθῶς om. Trinc.
s) ὁμιλία Trinc. Mox ἀμφιβόλον Trinc. et sic infra. ἀμφιβόλοις E.
t) Sic E. H. μετὰ τῆς Bas. τῆς om. Heins.

νει καὶ καταδύεται. *Μήτ' ἐν ὁδῷ οὐρήσῃς, μήτε ἐκτὸς ὁδοῦ προβάδην,* ἤγουν κινούμενος, οὐρήσῃς, ὅπου μὲν τὴν εἰνοδίαν θεὸν σεβόμενος, ὅπου δὲ τὴν ἀκτῖνα τοῦ ἡλίου τὴν πάσης ζωοποιὸν ὕλης, ὅπου δὲ ἁπλῶς τὴν ἀσχήμονα τοῦ σώματος διάθεσιν λογιζόμενος. *Μηδ' ἀπογυμνωθεὶς* τοῦτο ποίει, εἰ καὶ νὺξ ἔστι δηλονότι· δῆλον γὰρ τοῦτο ἀπὸ τοῦ ἐπαγομένου· ἐπάγεται γὰρ, τῶν μακάρων αἱ νύκτες εἰσὶν, ὥστε εἰ καὶ μὴ ἄνθρωπος δηλονότι ὁρᾷ τότε τὴν σὴν ἀσχημοσύνην, ἀλλ' οἱ θεοὶ ὁρῶσιν, οὓς αἰδούμενος μὴ ἀπογυμνοῦ· καθεζόμενος γὰρ ὅγε θεῖος ἀνὴρ, τουτέστιν ὁ θεοῦ ἔννοιαν ἔχων, ὁ ἔνθεος, ὁ πεπνυμένα εἰδὼς, ἤγουν συνετὰ, οὐρεῖ δηλονότι, ἢ ὀφείλει οὐρεῖν, ἢ οὗτος πλησιάσας πρὸς τοῖχον αὐλῆς εὐερκοῦς, ἤγουν ἑρκίῳ καλῶς περιειλημμένος. Moschop.

726. *ΑΥΤΑΡ ΕΠΕΙ ΚΕ ΔΥΗι.* Καὶ κρυφίως καὶ φανερῶς. *Μήτ' ἐν ὁδῷ καὶ πόρνῃ συνουσιάσῃς·* ὁδῷ γὰρ ἔοικε δημοσίᾳ, δι' αὐτῆς γὰρ [v]) διέρχονται πολλοί. Tzetzes. 326

727. *ΜΗΤ' ΕΚΤΟΣ 'ΟΔΟΥ.* Ἤτοι μὴ δημοσίᾳ μὲν, [w]) ἀλλὰ μηδὲ ἑταιρίδι καὶ παλλακῇ ἐοικυίᾳ παρόδῳ ὀλίγοις γνωστῇ, οὐρήσῃς καὶ ὁμιλήσῃς προβάδην καὶ ἀστάτως καὶ μεταπηδῶν· μήτ' ἀπογυμνωθῇς, μήτε ἕτερον ἀπρεπὲς δράσῃς ἀνερυθριάστως. Tzetzes.

728. *ΜΑΚΑΡΩΝ ΤΟΙ ΝΥΚΤΕΣ ΕΑΣΣΙΝ.* Μακαρίου γὰρ ἀνδρὸς, [x]) ὥσπερ ἔφημεν, κἂν οὐχ ὁρῷτο παρά τινων, ὅμως αἰδεῖσθαι αὐτὸν ποιεῖν τὰ αἰσχρά· τὸ ἑξόμενος δὲ, καὶ τὰ λοιπὰ ἐῤῥέθη. *ΟΜΙΧΕΙΝ*, οὐρεῖν. [y]) Τὸ ο πρὸ τοῦ μ δασύνεται· Ὅμηρος, ὅμιλος, καὶ τὰ λοιπὰ, πλὴν τοῦ ὀμιχῶ, καὶ ὀμίχλη, καὶ ὄμμα. Tzetzes.

731. *ΜΗΔ' ΑΙΔΟΙΑ ΓΟΝΗι.* Ταῦτα τῆς ἀπαιδευσίας ὄντα ἔκγονα, κἂν σμικρὰ ᾖ, δεῖ παραφυλάττειν, καλῶς τοῦ [a]) Πλουτάρχου λέγοντος, ὅτι καθάπερ ἐν λόγοις τὸ μὴ σολοικίζειν οὐ θαυμαστὸν, ἀλλὰ τὸ σολοικίζειν καταγέλαστον· καὶ ἐν τοῖς ἔργοις οὐ τὸ μὴ πράττειν τὰ τοιαῦτα ἐπαινετὸν, ἀλλὰ τὸ πράττειν ἐπονείδιστον. *Δεῖν οὖν μεμολυσμένον ἀπὸ γονῆς*

v) ἔρχονται Trinc.

w) Ita Trinc. Deest μηδὲ al. Mox παλλακίδι Trinc.

x) ὡς προέφημεν Trinc.

y) Ὀμιχεῖν ψιλοῦται τὸ γὰρ ο π. τ. μ. δ. πλὴν Trinc. Mox. ὀμιχῶ τὸ οὐρῶ κ. ὀμίχλαις Trinc. καὶ ὄμμα om. Bas. E. G. H.

a) Fragm. Comm. n. 43.

ἀποκρύπτειν τὰ αἴτια τοῦ μολυσμοῦ, καὶ μὴ γυμνοῦν ἐγγὺς τῆς ἑστίας· βωμὸς γὰρ καὶ αὕτη τῶν θεῶν, καὶ καθημερινῶν θυσιῶν καὶ σπονδῶν ὑποδοχή. Μὴ οὖν ἀπογυμνούμενον μολύνειν τὴν ἑστίαν. [b])Ἑστίῃ κυρίως μὲν τῇ ἑστίᾳ, οὐχ ὡς θεᾷ· νῦν δὲ ἐπὶ τοῦ πρώτου ἐστὶ τῷ ἐν τῷ οἴκῳ βωμῷ. ΕΜΠΕΛΑΔΟΝ δὲ ἢ πλησίον, ἢ τῇ γονῇ. Proclus.

Ibid. ΜΗΔ' ΑΙΔΟΙΑ ΓΟΝΗι ΠΕΠΑΛΑΓΜΕΝΟΣ. Πάλιν ἐπ' ἄλλην μεταβαίνει παραίνεσιν. Ἐντειλάμενος γὰρ αὐτῷ, μὴ ἀνερυθριάστως [c])καὶ ἐν τῷ φανερῷ τοῦ κοινοῦ ποιεῖσθαι τὰς ὁμιλίας, ἀλλ' ἔχειν μίαν ἐρηρεισμένην δούλην, ἢ παλλακήν· πάλιν αὐτὸν παραινεῖ, μηδὲ τοῖς κατ' οἶκον [d]) αὐτὸν ὁρᾶσθαι συνομιλοῦντα τῇ λεχθείσῃ γυναικὶ, ἀλλὰ λεληθέναι καὶ τούτους τῆς σεμνότητος φροντίζοντα. Ὁ μὲν γὰρ ἥλιος δηλοῖ, τὸ ὑπὸ τῶν πολλῶν βλέπεσθαι, ἅτε κοσμικὸν καὶ πάνδημον φῶς· ἡ δὲ ἑστία, τὸ ὑπὸ μόνων τῶν ὄντων κατ' οἶκον,
327 ἅτε φῶς ἰδικὸν καὶ κατοίκιον. [215]) [e])Ἑστίαν γὰρ τὸ κατ' οἶκον φησὶ πῦρ, ἤγουν τοὺς κατ' οἶκον ἀνθρώπους, δι' ὧν τοῖς ἐκτὸς τὰ ἐν οἰκίᾳ κεκρυμμένα φανερὰ γίνεται. Οὕτως ἔχει καὶ ταῦτα. Εἰ γὰρ κατὰ τὸν πολὺν Πρόκλον ἑστίᾳ τοὺς ὄρχεις [f])ἐμπελάσας παρέφηνεν ἁλὸς ἄν τις βώλακας εἰς τὴν ἀνθρακιὰν [g])ἐπιῤῥίψας, τούτους ἂν μειδιῶν ἀπετόξευε,

πυριστρόφοις ἅλμασιν ἁλσακοντίων. Tzetzes.

Ibid. ΜΗΔ' ΑΙΔΟΙΑ ΓΟΝΗι. Μηδὲ πεπαλαγμένος ὢν, ἤγουν μεμολυσμένος, ἀπὸ τοῦ παλάσσω τὸ μολύνω, ἀπὸ γονῆς, ἤγουν μίξεως καὶ ἀποσπερματισμοῦ, τὰ αἰδοῖα τὰ αἴτια τοῦ μολυσμοῦ παράφαινε τῇ ἑστίᾳ, ἔνδον τοῦ οἴκου, ἐμπελα-

b) ἱστίῃ A. Mox τῷ ante οἴκῳ et ἢ ante πλησίον ex A. B.

c) καὶ ex E. G. Trinc. ἐντεινάμενος — φανερῷ ποιεῖσθαι τ. ὁ. ἀλλ' ἐρηρεισμένον εἶναι εἰς μίαν γυναῖκα, πάλιν παραινεῖ. Trinc. ubi post φροντίζοντα leg. Ἑστία — γίνεται. Ὁ μὲν γὰρ ἥλιος — φῶς ἰδικὸν ὄν. Καὶ τοῦτο μὲν κατὰ τὴν φωτιστικὴν τοῦ πυρὸς δύναμιν εἴρηται· κατὰ δὲ τὴν καυστικὴν, ὅτι οἱ ἐν οἴκῳ τινὸς ὄντες δοῦλοι, πολλάκις τὰ τῶν δεσποτῶν αὐτῶν δίκην πυρὸς καταλυμαίνονται πράγματα. καὶ αὐτούς ἐστιν ὅτε πιμπρῶσιν ἐνδιαβάλλοντες. οὕτως ἔχει καὶ ταῦτα. Reliqua desunt. ποιήσασθαι E. ὁμιλίας μηδὲ τὸ καὶ τὸ E. G. Bas.

d) καὶ αὐτὸν Bas. Mox ὑπὸ τῶν πολλῶν E. vulgo deest articulus.

215) Et totam hanc glossam nostra desiderabat, usque ad illa: οὕτως ἔχει καὶ ταῦτα. Heinsius.

e) ἑστίαν ad γίνεται om. E. G. Bas.

f) ἀπελάσας ἀπέφηνεν F. et mox τοὺς ἀνθράκους.

g) ἐπιρρίψειν — ἀπετόξευσε G.

δὸν, ἤγουν πλησίον, ἀπὸ τοῦ [h])ἐμπελάζειν, ἀλλ' ἀλέασθαι, ἀντὶ τοῦ ἔκφυγε· βωμὸς γὰρ τῶν θεῶν καὶ ἡ ἑστία καὶ τῶν καθημερινῶν θυσιῶν καὶ σπονδῶν ὑποδοχή. Καὶ δεῖ μὴ μολύνειν σε ταύτην ἀπογυμνούμενον. ΠΑΡΑΦΑΙΝΕΜΕΝ, παριστῶ, τὸ εἰς φανερὸν ἄγων ἱστῶ· καθ' ὃ λέγεται καὶ παράγειν τὸ εἰς φῶς ἄγειν· παραλογίζομαι δέ τινα, ἀντὶ τοῦ λαθὼν παρασύρω αὐτὸν εἰς ψευδῆ λογισμὸν, καθ' ὃ λέγεται καὶ παράγειν τὸ ἀπατᾷν, παρακινῶ τὸ μεθιστῶ καὶ διεγείρω, τὸ μὲν, ἐπὶ ἀψύχων, τὸ δὲ διεγείρω ἐπὶ ἐμψύχων. Παρακαλῶ τὸ παρ' ἐμὲ ἕλκω, ἢ παρά τι ἕτερον, παρατηρῶ δὲ, ἤγουν παρακολουθῶν σκοπῶ, παραφαίνω τὸ ἀμυδρῶς δεικνύω· καθ' ὃ λέγεται καὶ παραψαύειν τὸ μετρίως ψαύειν. Παραφαίνω καὶ τὸ πλησίον ἄγων φαίνω, καθ' ὃ λέγεται καὶ παρατιθέναι καὶ παραβάλλειν τὸ συγκρίνειν, καὶ παρεικάζειν· ἀφ' ὧν παραβολὴ καὶ παράθεσις. Κατὰ τοῦτο τὸ σημαινόμενον λέγεται κἀνταῦθα τὸ παραφαίνειν, ὥστε τὸ ἐμπελαδὸν περισσῶς λέγεται καὶ ἀδολεσχίαν ἔχει. Moschop.

733. ΜΗΔ' ΑΠΟ ΔΥΣΦΗΜΟΙΟ ΤΑΦΟΥ. Τὴν ἀρχὴν ἑκάστου τῶν σπουδαίων ἔργων θεῖόν τι δεῖ νομίζειν· μιμεῖται γὰρ τὴν κυρίως ἀρχὴν θεὸν οὖσαν. Σπουδαῖον δὲ καὶ ἡ τέκνωσις, ἅτε συντελοῦσα πρὸς τὴν ἀειγενεσίαν. Οὐ δεῖ οὖν ποιεῖσθαι ταύτην ἀπὸ μιασμάτων, ἀλλ' ἀπὸ καθαρότητος, πρὸς [i]) τὸ καὶ ὑπεναντίαν εἶναι τὴν τέκνωσιν τῇ τῶν τάφων ἐννοίᾳ· καὶ γάρ γένεσίς ἐστι καὶ φθορά. Δεῖ οὖν ἀπὸ δαιτὸς θεῶν, τουτέστι θεοῖς προσελθόντα καὶ εὐωχηθέντα καὶ παρακαλέσαντα τοὺς θεοὺς οὕτω παιδουργεῖν, ἀπὸ τῶν κοινῶν πατέρων τῆς τιμῆς ἀρχόμενον [k]) τῆς παιδουργίας. Δύσφημος δὲ ὁ τάφος· ἐκεῖ γὰρ κλαυθμοὶ γίνονται ὁμοῦ καὶ ὀδυρμοὶ πολλοί. Ἢ ἀπὸ τοῦ περιδείπνου λέγει· Τάφος γὰρ λέγεται τὸ πε- 328
ρίδειπνον, ὡς Ὅμηρος,

δαίνυ τάφον Ἀργείοισι.

Πλάτων δὲ, μὴ μεθύοντα μίγνυσθαι. Proclus.

Ibid. ΜΗΔ' ΑΠΟ ΔΥΣΦΗΜΟΙΟ. Ἐντεῦθεν πρὸς ἑτέραν διδασκαλίαν μετέβη, καὶ διδάσκει [l]) ποδαποὺς ὄντας

h) Ita B. vulgo πελάζειν.

i) Ita. A. Trinc. τῷ Heins. Mox ἐστι καὶ om A.

k) ταῖς παιδουργίαις A. Trinc. Locus Platonis mox citatus est Legg. VI. p. 775.

l) ποταποὺς Bas. ἕνεκεν π. χρὴ Trinc.

ἕνεκα παιδοποιΐας δεῖ πλησιάζειν ταῖς γυναιξὶν, καί φησιν· οὐδὲ [m]) σπερμαίνειν χρὴ τὰ τέκνα ἀπ' ἐκφορᾶς νεκρῶν ὑποστρέφοντας, ἀλλ' ἐξ εὐωχίας καὶ ἑορτῶν· τοιοῦτοι γὰρ οἱ παῖδες γίνεσθαι εἰώθασιν, ὁποῖοι οἱ πατέρες αὐτῶν εἰσὶν ἐν τῇ [n]) παιδογόνῳ καταβολῇ τῶν σπερμάτων. Μεθυόντων γὰρ μεθύοντες γίνονται, σωφρονούντων δὲ καὶ νηφαλίων σώφρονες καὶ νηφάλιοι, εὐφραινομένων ἱλαροί τε καὶ εὐφραινόμενοι, σκυθρωπαζόντων δὲ [o]) ὠρακιῶντες καὶ φιλόθρηνοι. Tzetzes.

Ibid. [p]) ΔΥΣΦΗΜΟΙΟ ΤΑΦΟΥ. Ἢ [q]) θρηνῴδους τάφου νεκρῶν, ἢ τάφου δυσφήμου καὶ δείπνου· ἤγουν καὶ πηλώδους καὶ κακοφήμου καὶ ἀσχήμονος. Tzetzes.

Ibid. ΜΗΔ' ΑΠΟ ΔΥΣΦΗΜΟΙΟ ΤΑΦΟΥ. Μηδ' ἀπὸ τάφου δυσφήμου διὰ τοὺς κλαυθμοὺς τοὺς ἐν αὐτῷ δηλονότι καὶ τοὺς θρήνους, παρακελεύομαί σε ἐπαναστρέψαντα, σπερμαίνειν, ἤγουν σπείρειν, γενεὰν, ἀντὶ τοῦ τέκνα. Ὡς ἀνοίκειον τοῦτο ἀπαγορεύει καὶ θεοῖς προσκροῦον, ἅτε τῆς μὲν τεκνώσεως οὔσης οἰκείας θεῷ, ὡς συντελούσης πρὸς τὴν ἀειγενεσίαν, τοῦ δὲ τάφου ἀνοικειοτάτου. Διὸ καὶ ἐπάγει, ἀλλ' ἀθανάτων ἀπὸ δαιτὸς, ὡς [r]) ἂν δὴ οἰκείως οὕτω δηλονότι καὶ κεχαρισμένως τοῖς θεοῖς τῆς τεκνώσεως προχωρούσης, τοῦ οἰκείου τοῖς θεοῖς ἔργου, μετὰ τὸ προσελθεῖν αὐτοῖς καὶ εὐωχηθῆναι καὶ παρακαλέσαι αὐτοὺς, γινομένου. Moschop.

734. ΑΘΑΝΑΤΩΝ ΑΠΟ ΔΑΙΤΟΣ. Μυθικῶς, ἀφ' ἑορτῆς· ἀλληγορικῶς δὲ, μὴ ἀπὸ τάφου καὶ συμποσίου ἀπρεποῦς, ἀλλ' ἐκ βουλευτηρίου, ὅπου αἱ τῶν ψυχικῶν δυνάμεων [s]) εὐωχίαι εἰσὶ, [t]) τοῦ λογικοῦ λέγω, καὶ φρονήσεως, καὶ ἀνδρείας, καὶ σωφροσύνης, καὶ δικαιοσύνης, καὶ τῶν τοιούτων θεῶν. Tzetzes.

735. ΜΗΔΕ ΠΟΤ' ΑΕΝΑΩΝ ΠΟΤΑΜΩΝ. Οἱ παλαιοὶ καὶ πᾶσαν μὲν τὴν τῶν ὑδάτων φύσιν ὡς τρόφιμον καὶ αὐξη-

m) σπείρειν Trinc. Mox τὰ om. Trinc. E. ὑποστρέφοντα Trinc.

n) Deest h. v. Trinc. παιδογνώμῳ Bas.

o) σκυθρωπάζοντες pro ὠρ. κ. φ. Trinc. ὠρακιῶνες E. φιλόφρονοι G. pro φιλόθρηνοι.

p) δυσφήμου δὲ τάφου λέγει ἢ τοῦ Trinc.

q) θηρῴδους H. In fine καταπηλώδους pro καὶ π. et καὶ ἀσχήμονος om. Trinc.

r) ἂν δὴ Trinc. et B. omisit Heins. καὶ mox addidi ex B. κεχαρισμένῳ Trinc.

s) Ita Trinc. et MSS. εὐχαὶ Heins.

t) Trinc. τῆς λογικοῦ. Heins. τοῦ λογιστικοῦ. E. λογιστικῆς. Bas. λογιστικοῦ H. λογικοῦ sine artic.

τικὴν τῶν φύσεων ἱερὰν ἐνόμιζον εἶναι τῶν ζωογόνων θεῶν· 329 *μάλιστα δὲ τοὺς ἀενάους ποταμοὺς θείους ἐνόμιζον, τὴν ἀνέκλειπτον τῶν θεῶν οὐσίαν ἱκανῶς μιμουμένους, καὶ δυνάμεις ᾤοντο θείας ἔχειν ἐφεστώσας αὐτοῖς. Εἰκότως οὖν διὰ πάντων ἡμᾶς παιδεύων εἰς εὐσέβειαν ἀξιοῖ μὴ διαβαίνειν εἰς ἀέναον ποταμὸν πρὶν εὐξώμεθα βλέποντες εἰς αὐτόν· εὔχεσθαι δὲ ἀπονιψαμένους πρότερον. Τὸν γὰρ ἄνιπτον διϊόντα διὰ κακίαν τοῦτο ποιεῖν τὴν καταφρονοῦσαν ὧν δεῖ μὴ καταφρονεῖν· καὶ ἔστι καὶ τοῦτο σημεῖον θεοσεβοῦς ζωῆς, τὸ μηδὲ ἐν τούτοις ἀμελεῖν τοῦ καθήκοντος.* PROCLUS.

Ibid. [216]) *ΜΗΔΕ ΠΟΤ' ΑΕΝΑΩΝ ΠΟΤΑΜΩΝ.* [v]) *Ἀέναον ποταμὸν λέγει τὴν κατὰ νόμους συζυγεῖσαν* [w]) *ἀνδρὶ γυναῖκα, καὶ ἀεὶ συνοῦσαν αὐτῷ. Παραινεῖ δὲ ὡς ὅτε βούλει συνελθεῖν τῇ ἰδίᾳ γυναικὶ, μὴ πρότερον τοῦτο ποιήσῃς, πρὶν ἂν δι' εὐχῆς καθαρθῇς,* [x]) *ὡς θεὸν εὐδοκοῦντα ἕξεις τῷ σπέρματι. ΚΑΛΛΙΡΡΟΟΝ δὲ λέγει ῞ΥΔΩΡ αὐτὴν, ὡς καθαρὰν καὶ νόμιμον. ΑΛΛΩΣ.* [y]) *Καὶ τί φημὶ τοιαύταις μὴ μίγνυσθαι γυναιξὶν, ἀλλὰ μηδὲ θητεύειν ἐπιχειρεῖν ἀρχικωτάτοις ἀνδράσι, πρὶν ἐν ΠΟΛΥΗΡΑΤΩι ῞ΥΔΑΤΙ ΛΕΥΚΩι, ἤγουν συμβουλῇ καὶ λόγοις καλλίστοις νιψάμενος τὰς χεῖρας, ἤτοι ἐξομοιώσας* [z]) *ἐκείνῳ τὰς σὰς πράξεις, εὐκτὸς ἐκείνῳ καὶ θυμήρης φανείης. Ἂν γὰρ σὺ τυχὸν σοφίας* [a]) *ᾖς μέτοχος, ἐκεῖνος δὲ ἡμιβάρβαρος· ἢ σὺ ἀρετῆς ἀντεχόμενος, ἐκεῖνος δὲ ἀσελγείας ἀνάμεστος, ἢ τοὐναντίον, πάριθι τὴν τοιαύτην λατρείαν, ὡς* [b]) *οὖσαν ἀπροσφυῆ καὶ ἀνάρμοστον. Συγχαίρειν γὰρ εἴωθε τῷ ὁμοίῳ τὸ ὅμοιον.* TZETZES.

Ibid. *ΜΗΔΕ ΠΟΤ' ΑΕΝΑΩΝ ΠΟΤΑΜΩΝ. Μηδέποτε διάβαινε τοῖς ποσὶν ὕδωρ μετὰ κάλλους ῥέον ποταμῶν ἀενάων, ἤγουν ἀειῤῥύτων, ἀπαύστως ῥεόντων, πρὶν ἂν εὔξῃ* [c]) *ἰδὼν*

216) *Μηδέ ποτ' ἀενάων ποταμῶν. Ἀέναον ποταμὸν*] Haec omnia ab editione nostra aberant: nos supplevimus usque ad illa, *καὶ τί φημί.* Illis autem quae sequuntur, quia eodem spectabant, et interpretatio ejusdem loci erant, vocem *ἄλλως* praefiximus. HEINSIUS.

v) Hinc ad *ἄλλως* om. E. G. H. Bas.

w) *γυναικὶ* Trinc.

x) *ὡς ἂν θεὸν* Trinc.

y) *μὴ δουλοῦσθαι ἐπιχείρει ἀνδράσιν ἄρχουσι, πρὶν ἐν* Trinc.

z) *ἐκείνοις* E. H. Mox *εὔθετος* pro *εὐκτὸς* G.

a) *ἢ* G. H. Trinc. Bas. *εἰ* Heins. Facilis erat correctio.

b) Deest *οὖσαν* Trinc. Mox *συγχωρεῖν* Trinc.

c) *ἰδὼν* usque ad *εὔξῃ* dedi ex B.

ἐς τὰ καλὰ ῥέεθρα, ἀντὶ τοῦ εἰς αὐτὸν, τουτέστι, πρὶν ἂν εὔξῃ αὐτῷ νιψάμενος πρότερον τὰς χεῖρας διὰ τοῦ λευκοῦ ὕδατος τοῦ πολυεράστου. Καὶ διὰ τούτων εἰς θεοσέβειαν νομίζει παιδεύειν τὸν ἀδελφόν. Οἱ παλαιοὶ γὰρ καὶ πᾶσαν μὲν τὴν τῶν ὑδάτων φύσιν, καθά φησιν ὁ Πρόκλος, ὡς τρόφιμον καὶ αὐξητικὴν τῶν φύσεων, ἱερὰν ἐνόμιζον εἶναι τῶν ζωογόνων θεῶν· μάλιστα δὲ τοὺς ἀενάους ποταμοὺς θείους ἐνόμιζον τὴν ἀνέκλειπτον τῶν θεῶν οὐσίαν ἱκανῶς μιμουμένους. Καὶ δυνάμεις ᾤοντο θείας ἔχειν ἐφεστώσας αὐτοῖς. Εἰκότως οὖν, φησὶν, ἀξιοῖ μὴ διαβαίνειν ποταμὸν πρὶν εὔξασθαι αὐτῷ
330 ὃς διαβῇ. Τοῦτο ἐπάγει, τὸ ἀποβαῖνον κακὸν ἀπὸ τῆς καταφρονήσεως τούτων θέλων ἐνδείξασθαι· ἤγουν ὃς ἂν διαβῇ ποταμὸν σὺν κακότητι, ἤγουν κακίᾳ τῇ καταφρονούσῃ, ὧν οὐ δεῖ καταφρονεῖν, καὶ ἄνιπτος τὰς χεῖρας. Τοῦτο ὥσπερ ἐφερμηνευτικὸν τοῦ σὺν κακότητι, τούτῳ οἱ θεοὶ νεμεσῶσιν, ἤγουν ἀγανακτοῦσιν ἀγανάκτησιν δικαίαν· καὶ ἄλγη, ἤγουν λύπας, ἔδωκαν, ἀντὶ τοῦ ἐπιφέρουσιν, ὀπίσω, τουτέστιν ὕστερον. Καλλίῤῥοον ὕδωρ, ἤγουν μετὰ κάλλους ῥέον. Σύνηθες τούτοις ἐπιθέτοις χρῆσθαι, ἐνίοτε μὲν πρὸς κόσμον τῶν ὑποκειμένων, ἐνίοτε δὲ πρὸς τὴν φύσιν ἀφορῶσιν αὐτῶν· ἐνταῦθα δὴ τὸ καλλίῤῥοον κατὰ τὸ πρότερον λέγεται, πρὸς κόσμον γὰρ λέγεται τοῦ ὑποκειμένου. Moschop.

738. [d])῞ΟΣ ΠΟΤΑΜΟΝ ΔΙΑΒΗι. Ἄλλοι γράφουσι ΚΑΚΟΤΗΤΑ· ἐπὶ κακότητα εἶδεν, ἀντὶ τοῦ ἐκακώθη. Ἀρίσταρχος δὲ ἀθετεῖ τὸν στίχον τοῦτον. Ἄλλοι κακότητα ἔπι, οἱονεὶ ἐπὶ κακῷ ἑαυτόν. Proclus.

Ibid. [217])῞ΟΣ ΠΟΤΑΜΟΝ ΔΙΑΒΗι. [e]) Τὴν ἰδίαν κατὰ νόμους λέγει γυναῖκα. Τὸ δὲ ΔΙΑΒΗι, εἰ μὲν ἀντὶ τοῦ παρέλθῃ νοήσεις, οὕτως ἐρεῖς· ὃς τὴν κατὰ νόμους συναφθεῖσαν αὐτῷ γυναῖκα παρελθὼν, ἀλλοτρίᾳ συνέλθῃ, θεομισὴς ὁ τοιοῦτος· εἰ δὲ ἀντὶ τοῦ διέλθῃ, ἤτοι συνέσεται, εἴπῃς οὕτως· ὃς τῇ ἰδίᾳ γυναικὶ συνέλθῃ μὴ πρότερον εὐξάμενος, θεομισής. ΑΛΛΩΣ. Ὅστις περαιωθῇ ποταμὸν, ἤγουν πρὸς [f]) δυνάστου

d) Hoc Scholion accessit ex A.

217) Ὃς ποταμὸν διαβῇ. Τὴν ἰδίαν etc.] Tota haec glossa, sive observatio potius quae sequitur, usque ad illa, ὅστις περαιωθῇ, aberat ab editione nostra: quae incipiebat ibi, ὅστις περαιωθῇ: quibus nos, ut supra, τὸ ἄλλως praefiximus. Heinsius.

e) Hinc ad ἄλλως om. E. F. H. Bas.

f) δυναστείας (οι) λ. ἐπέλθῃ E. ὑπέλθῃ Bas.

λατρείαν ὑπέλθῃ, μὴ ἐκκαθάρας ἐκ κακίας τὰς χεῖρας, τουτέστι μὴ [g]) *ὁμοιότροπος ὢν ἐκείνῳ (κακία γὰρ τὸ ἐναντιότροπον ἐκείνου λογίζεται) τούτῳ ἡ εἱμαρμένη νεμεσᾷ, καὶ ἐναντία ἐστὶ, καὶ ἄλγεα δῶκεν, ἤτοι δυσκληρίας ἔχει καὶ ἀτυχήματα, σκυτέων καὶ βαρβάρων* [h]) *ὑπεραιρομένων καὶ αὐξομένων, ὡς ὁμοιοτρόπων ἐκείνου.* Tzetzes.

740. [218]) *ΜΗΔ' ΑΠΟ ΠΕΝΤΟΖΟΙΟ. Πέντοζον μὲν καλεῖ τὴν χεῖρα, τοὺς δακτύλους ὄζοις εἰκάζων. ΧΛΩΡΟΝ* [i]) *δὲ, τὸ* 331 *σαρκῶδες τῶν ὀνύχων, ὡς ζῶν καὶ ὡς ἁπαλόν. ΑΥΟΝ δὲ το ἄκρον τοῦ ὄνυχος, ὃ δὴ καὶ ἄζον ἐστὶ καὶ ἀναίσθητον. Παρακελεύεται τοίνυν μὴ ἐν εὐωχίαις θεῶν τέμνειν τοὺς ὄνυχας·* [k]) *τέμνοντας γὰρ πρότερον καὶ κεκαθαρμένους τῇ ἑορτῇ παραβάλλειν, ἀλλ' οὐκ ἐν αὐταῖς τοῦτο ποιεῖν. Καὶ γὰρ τρόπον τινὰ νέκρωσίς ἐστι τῶν ἐν ἡμῖν μορίων τοῦτο, ἀφαιροῦντος αὐτὰ τοῦ σώματος, ὡς συμπεφυκότα τούτῳ καὶ συνυπάρχοντα ᾧ τρέφεται. Χρὴ οὖν εἰ μὴ ταῦτα προαποθήσεις τοῦ λοιποῦ σώματος πρότερον, τουτέστιν* [l]) *ἐκτμηθέντα ποιήσεις, ἐν ταῖς τῶν ἄσβεστον ἐχόντων ζωὴν θεῶν εὐωχίαις, μὴ ἀποστερεῖν ταῦτα ζωῆς· ἀλλότριον γὰρ ἐκείνων τὸ τοιοῦτον. ΑΛΛΩΣ. Πεντάκλαδος ἡ χείρ. Φησὶν οὖν ξηρὸν τὸν ὄνυχα, χλωρὸν δὲ τὸ ζωτικὸν αἷμα. Ἀσεβὲς δὲ ὀνυχίζεσθαι ἐν ἑορταῖς θεῶν.* Proclus.

g) Ita Trinc. *ὁμότροπος* Bas. Heins. *ἐναντ. ἐκείνου* E. H. Trinc. *ἐναντ. ἐκείνῳ* Bas. Heins.

h) Ita E. F. G. Trinc. *ὑπαιρομένων* Heins. *ἔχει* et *καὶ αὐξομένων* om. Trinc. *ὁμοιοτρόπων ἐκείνου* Trinc. *ὁμοτρόπων* (ου) *ἐκείνου* E. F. H. G. ubi *ἐκείνω·* *ὁμοτρόπως ἐκείνῳ* Bas. Heins.

218) Nihil alienum ab his adferunt reliqui veteres, quod et glossa illa ostendit magistri cujusdam *ἀπὸ πεντόζοιο. Ἡσίοδος. Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ Αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ. Πεντάκλαδος ἡ χείρ· μὴ ὀνυχίσῃς, φησὶν, ἐν ἑορτῇ ξηρὸν ὄνυχα. Χλωρὸν δὲ, τὸ ζωτικὸν αἷμα. ἀσεβὲς γὰρ ὀνυχίζεσθαι ἐν ἑορτῇ θεῶν.* Item Plutarchi: *καὶ γὰρ τὸν Ἡσίοδον οἴεσθαι δεῖ λέγοντα· Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐνὶ δαιτὶ θαλείῃ Αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ. Διδάσκων ὅτι δεῖ καθαροὺς τῶν τοιούτων γενομένους ἑορτάζειν, οὐκ ἐν αὐταῖς ταῖς ἱερουργίαις χρῆσθαι καθάρσει, καὶ ἀφαιρέσει τῶν περιττωμάτων:* qui ita interpretatur *ἐν τῷ περὶ Ἴσιδος καὶ Ὀσίριδος.* Heinsius.

i) *δὲ τοῦτο δὲ* A. et mox *ἄζον* pro *ἄζωον* A. Trinc.

k) *τέμνοντας γὰρ καὶ καθ ρ μενους ἐκείνῳ δὴ παραβάλλειν* A. quae leviter supplenda et corrigenda sunt *καθαρευομένους ἐ. δεῖ π.*

l) *ἐκτμηθέντι* B. Trinc. Totus locus sic concipitur in A. *νεκροῦν ἔστι τῶν ἐν ἡμῖν τινὰ μορίων, ἀφαιροῦνται αὐτὰ τοῦ σώματος, ὡς συμπεφυκότα ὥς ποτε τρέφε-*

Ibid. *ΜΗΔ' ΑΠΟ ΠΕΝΤΟΖΟΙΟ.* Τὸ μὲν πρόχειρον, [m]) καὶ οἷσπερ ὁ Πρόκλος μακρηγορεῖ, τοιοῦτόν ἐστιν· μὴ [n]) ἐξονυχίζου ἐν ταῖς ἑορταῖς, μηδὲ τὸν ξηρὸν ὄνυχα ἐκ τῶν χλωρῶν καὶ ζώντων δακτύλων τῆς πεντόζου χειρὸς ἀπότεμνε. Τὸ δ' ἀλληγορικὸν τοιοῦτόν [o]) ἐστιν. Ὁπότε, φησὶ, περί τινων θείων καὶ ἀναγκαιοτέρων καὶ θειοτέρων [p]) λόγοι κινοῖντο σοφοὶ, οὓς καὶ θεοὺς καλεῖ, τὰς πέντε αἰσθήσεις οἱονεὶ ἔχε τῶν τοιούτων λόγων ἐξηρτημένας, καὶ μὴ σιδήρῳ, ἤγουν σκληρῷ καὶ ἄφρονι λογισμῷ, τῆς πεντάδος τῆς τῶν αἰσθήσεων τὴν ξηρὰν καὶ ἀπροσφυῆ πρὸς τοὺς τοιούτους λόγους ἀπότεμνε ἀπὸ τῶν χλωρῶν καὶ τούτοις προσφυεστάτων· ἀλλ' ὅρα, καὶ ἄκουε, καὶ ὀσφραίνου, καὶ γεύου, καὶ ἅπτου, κἂν ἡ ἀκοὴ μόνη τότε προσφυής ἐστι καὶ χλωρὰ, αἱ δ' ἄλλαι ξηραὶ καὶ ἀπρόσφοροι· τουτέστιν, ὅλος ἐξ ὅλης ψυχῆς, καὶ προσεκτικώτατος γίνου τῶν λεγομένων. Tzetzes.

Ibid. *ΜΗΔ' ΑΠΟ ΠΕΝΤΟΖΟΙΟ.* Μηδὲ ἐν εὐωχίᾳ θαλλούσῃ θεῶν τέμνε αἴθωνι σιδήρῳ, ἤγουν τμητικῷ, ἀπὸ τῆς πεντόζου, τουτέστι τῆς χειρὸς, τῆς πέντε δακτύλους ἐχούσης, οἳ ὄζοις ἐοίκασι, τὸ αὖον, ἤγουν τὸ ξηρὸν, τουτέστι τὸ ἄκρον τοῦ ὄνυχος, ὃ δὴ καὶ ἄζωόν ἐστι καὶ ἀναίσθητον· ἀπὸ
332 τοῦ χλωροῦ, τουτέστι τοῦ σαρκώδους τῶν ὀνύχων, ὃ χλωρὸν ἐκάλεσεν, ὡς ζῶν καὶ ὡς ἀπαλόν. Δεῖ γὰρ δηλονότι τεμόντα πρότερον καὶ καθαρθέντα παραβάλλειν ταῖς τῶν θεῶν εὐωχίαις, ἀλλ' οὐκ ἐν αὐταῖς τοῦτο ποιεῖν. Ἄλλως δὲ οὐ χρὴ ταῦτα προαποθνήσκοντα τῆς ζωῆς τοῦ λοιποῦ σώματος ἀποστερεῖν ἐν ταῖς τῶν ἄσβεστον ἐχόντων τὴν ζωὴν θεῶν εὐωχίαις· ἀλλότριον γὰρ ἐκείνων τὸ τοιοῦτον. Moschop.

741. *ΑΙΘΩΝΙ ΣΙΔΗΡΩι.* Αἴθων λέβης ὁ εἰς ὑπηρεσίαν τοῦ πυρὸς ἐπιτήδειος· αἴθων μεταφορικῶς καὶ ὁ δραστήριος καὶ διεγηγερμένος, καθ' ὃ δοκεῖ καὶ αἴθων λέγεσθαι σίδηρος, ἤγουν τμητικὸς, ἀπὸ τῆς καυστικῆς τοῦ πυρὸς ἐνεργείας, ἢ καὶ ἐν

ται. Χρῆν οὖν εἰ μὴ δὲ ταῦτα προαποθνήσκοντα τοῦ λοιποῦ σώματος ἀποστερεῖν ζωῆς, ἐν ταῖς τῶν ἄσβεστον ἐχόντων ζωὴν θεῶν εὐωχίαις. ἀλλότριον γὰρ ἐκείνων τὸ τοιοῦτον.

m) καὶ — μακρηγορεῖ om. Trinc. καὶ οἷς E. F. καὶ εἴπερ Heins.

n) ἐξ ὀνύχων F.

o) ἔστιν — φησί — θείων καὶ om. Trinc.

p) λόγων Trinc. Ad finem τῶν λεγομένων om. H.

τῇ λέξει ἐμφαίνεται. Ἐπεὶ δὲ τὸ πῦρ ἔχει καὶ τὴν φωτιστικὴν δύναμιν, ἔχει δὲ καὶ μάχαιρα καὶ σπάθη καὶ τὰ τοιαῦτα τὸ λαμπρὸν, λέγοιτο ἂν αἴθων τοιοῦτος σίδηρος καὶ διὰ τὴν λαμπρότητα. Moschop.

742. *ΜΗΔΕ ΠΟΤ' ΟΙΝΟΧΟΗΝ.* Πολλὰ τοιαῦτα καὶ τοῖς Πυθαγορείοις ἐλέγετο· ζυγὸν μὴ ὑπερβαίνειν, καὶ χελιδόνα μὴ εἰσδέχεσθαι, καὶ μαχαίρᾳ πῦρ μὴ σκαλεύειν· συμβολικῶς q) παραινοῦντας τῶν ὀργιζομένων μὴ ἐπεγείρειν διὰ λόγων παροξυντικῶν τὸ πάθος, καὶ φλυάρους μὴ εἰσάγειν εἰς τὸν οἶκον καὶ λάλους, καὶ μὴ δεῖν τὸ δίκαιον ὑπερβαίνειν. Τοιοῦτον οὖν καὶ τὸ ἐπιτιθέναι τῷ κρατῆρι τὴν οἰνοχόην συμβολικὸν παίδευμα· τουτέστι, μὴ ἐπίπροσθεν ἄγειν τοῦ κοινοῦ τὸ ἴδιον. Ὁ μὲν γὰρ κρατὴρ προὔκειτο κοινὸς ἐν ταῖς τραπέζαις· ἐκ δὲ τῆς οἰνοχόης ἀρυόμενοι ἔπινον οἱ συνδειπνοῦντες. Μήτ' οὖν τὸ μέρος νομίζειν τοῦ ὅλου ὑπέρτερον, μήτε τὸ ἴδιον τοῦ κοινοῦ προτιμότερον· χαλεπὴν γὰρ εἶναι τὴν ἐπ' αὐτῷ μοῖραν ὡς ἑπομένην ἔχοντι ποινὴν ἀπὸ τοῦ παντὸς, ἐν ᾧ τὰ ὅλα τῶν r) μερῶν ἐθέλει κρατεῖν. *ΑΛΛΩΣ.* Οἰνοχόην κύαθον λέγουσι· τοῦτο δὲ εἶπεν, ἐπεὶ ὁ κρατὴρ ἱερός ἐστι καὶ κοινός· ἡ δὲ οἰνοχόη διακονητικὴ, ἡ τὸν οἶνον ἑκάστῳ διανέμουσα. Ἀπαγορεύει οὖν μὴ ποιεῖσθαι τὸ χεῖρον ἐπίπροσθεν τοῦ βελτίονος, καὶ τοῦ δεχομένου καὶ φυλάττοντος τὸ ἐξαντλοῦν καὶ ἀναλίσκον. Ἄλλοι δὲ λέγουσι, μηδέποτ' ἐν δείπνῳ πρόσκεισο τῷ πίνειν. Μόνοι γὰρ οἱ ἀεὶ πίνοντες ἀεὶ ἔχουσιν ἐπὶ τοῦ κρατῆρος τὴν οἰνοχόην· ἄλλοι δὲ μή φασι τὸ τρεφόμενον τοῦ τρέφοντος προτιμήσῃς, μηδὲ τὸ ἧττον τοῦ κρείττονος. Proclus.

Ibid. *ΜΗΔΕ ΠΟΤ' ΟΙΝΟΧΟΗΝ.* t) Νῦν καὶ ὁ Πρόκλος εἰς νοῦν γεγονὼς συμβολικὸν παράγγελμα τοῦτό φησιν, ἀντὶ τοῦ, μὴ v) προκρίνῃς τὸ ἴδιον τοῦ κοινοῦ, μηδὲ τὸ μέρος τοῦ ὅλου. Tzetzes.

q) παραινοῦντας A. B. Trinc. παραινοῦσιν de conjectura edidit Heinsius. Mox καὶ μὴ δ. τ. δ. ὑπερβαίνειν addidi ex A. Paullo post τουτέστι om. A.

r) νεκρῶν A. qui in marg. οἶμαι μερῶν. B. νεκρῶν.

s) διακενωτικὴ B. διακενιτικὴ Trinc.

t) Deest hoc Scholion Trinc.

v) Ita E. G. H. προκρίνου Bas. Heins.

333 Ibid. *ΜΗΔΕΠΟΤ' ΟΙΝΟΧΟΗΝ.* *Μηδέποτε πινόντων τινῶν καὶ συμποσιαζόντων, τίθει τὴν οἰνοχόην ἐπάνω τοῦ κρητῆρος. Συμβολικὸν τοῦτό φασιν εἶναι παίδευμα· ἀπαγορεύειν δὲ μὴ ἐπίπροσθεν ἄγειν τοῦ κοινοῦ τὸ ἴδιον, καὶ τὸ χεῖρον τοῦ βελτίονος, καὶ τὸ ἐξαντλοῦν καὶ ἀναλίσκον τοῦ δεχομένου καὶ φυλάττοντος, καὶ τὸ μέρος τοῦ ὅλου. Οἰνοχόην γὰρ εἶναι τὴν κύαθον, κρατῆρα δὲ τὸ σκεῦος τὸ ἔχον τὸν οἶνον· εἶναι δὲ τὴν μὲν* [w]) *διακονητικὴν καὶ τοῦ οἴνου ἀναλωτικὴν καὶ διανεμητικήν· τὸν δὲ κρατῆρα ἱερὸν καὶ κοινόν, καὶ τοῦ οἴνου δεκτικὸν καὶ φυλακτικόν.* Moschop.

743. [219]) *ΠΙΝΟΝΤΩΝ.* *Ἤτοι μὴ συμβουλῆς* [x]) *γενομένης περὶ τοῦ κοινοῦ, τὸ οἰκεῖον συμφέρον τοῦ κοινοῦ προτίμα, μηδὲ τὸ μέρος τοῦ ὅλου· χαλεπὸν γὰρ τοῦτο. Ἢ μὴ προτιμήσειας τὸ χεῖρον τοῦ κρείττονος· εὐτελέστερον γὰρ* [y]) *καὶ διακονητικὸν ἡ οἰνοχόη τοῦ κρατῆρος. Ἡ μὲν γὰρ οἰνοχόη ὁ* [z]) *βῖκος ἐστὶν, ἢ τὸ ποτήριον· ὁ δὲ κρατὴρ ὡς λέβης ἐστὶ, καὶ ἐτίθετο πρὶν ἐν συσσιτίοις καὶ ἑορταῖς, οὐχ ὡς ὁ βῖκος καὶ* [a]) *ἀρυτὴρ ἐν ἰδικῷ ἑστιάματι.* Tzetzes.

Ibid. *ΟΛΟΗ ΓΑΡ ΕΠ' ΑΤΤΩι.* *Χαλεπὴ γὰρ, φησὶ, μοῖρα ἐπὶ τῷ τοῦτο ποιεῖν τέτυκται, ἤγουν ἐστίν· ἀπὸ τοῦ παντὸς δηλονότι ἐν ᾧ τὰ ὅλα τῶν μερῶν ἐθέλει κρατεῖν.* Moschop.

744. *ΜΗΔΕ ΔΟΜΟΝ ΠΟΙΩΝ.* *Οἱ μὲν, ὅτι δεῖ τὰς οἰκίας πρὸ χειμῶνος συντελεῖν· ὁ γὰρ κρωγμὸς τῆς κορώνης χειμῶνος σύμβολον· οἱ δὲ, ὅτι μὴ ἀτελῆ δεῖν τὸν οἶκον ἐᾶν,*

w) Ita B. *διακινητικὴν* edd.

219) Haec verba mutila in nostra editione legebantur hoc modo: *ἤτοι συμβουλῆς γενομένης περὶ τοῦ κοινοῦ· χαλεπὸν γὰρ τοῦτο.* Scripsimus itaque ex altera: *ἤτοι μὴ συμβουλῆς γενομένης περὶ τοῦ κοινοῦ, τὸ συμφέρον τοῦ κοινοῦ προτίμα, μηδὲ τὸ μέρος τοῦ ὅλου· χαλεπὸν γὰρ τοῦτο.* Heinsius.

x) *γινομένης* F. Trinc. *μὴ* om. Bas. F. H. *συμβολῆς* F. *συμβουλῇ γινομένῃ* E. *τὸ οἰκεῖον — ὅλου* om. Bas. E. G. Pro *χαλεπὸν — κρείττονος* Trinc. habet *δυστυχία γὰρ ἐπὶ τοῦτο συμβαίνει.*

y) *καὶ διακονητικὸν* om. Trinc. et mox *ἡ μὲν — ποτήριον* Reliqua sic praebet Trinc. *κρατὴρ γὰρ ἀγκεῖον τι ἦν, ὥσπερ λέβης τιθέμενον ἐν τοῖς συμποσίοις καὶ πληρούμενον οἴνου κεκραμένου. οἰνοχόη δὲ, οἷον κύλιξ ἤ τι τοιοῦτο, δι' οὗ ἐκ τοῦ κρατῆρος ἀρύοντες ἔπινον.*

z) *βῆκος* G.

a) Ita E. H. *ἀρυστὴρ* F. *ἀρτυστὴς* G. *ἀρκτὴρ* Bas. *κρατὴρ* male edidit Heinsius.

μὴ ψόγον ἐπαγάγῃ παρ' ἄλλων, οὓς τῇ κορώνῃ ἀπείκασεν, ὡς πολλὰ ἂν φθεγξαμένους νεμεσῶντας ἐπὶ τῷ ἐλλειπεῖ. Δεῖ δὲ καὶ ἐπὶ τὰ ἄλλα τὸ παράγγελμα διατείνειν, καὶ μηδὲν τῶν ἡμετέρων ἔργων ἀτελὲς περιορᾷν φερόμενον, ἀλλ' ἑκάστῳ τὸ προσῆκον ἐπάγειν τέλος. Proclus.

Ibid. *ΑΝΕΠΙΞΕΣΤΟΝ. Ἀφιλοκάλητον, ἀκόσμητον. Ἔνιοι δὲ ΑΝΕΠΙΡΡΕΚΤΟΝ γράφουσι, τουτέστιν* [b]*) ἀθυμίατον.* Proclus.

Ibid. *ΜΗΔΕ ΔΟΜΟΝ ΠΟΙΩΝ.* [c]*) Τὸ μὲν πρόχειρον* 334
οὕτω· μὴ ἀτελῆ τὸν δόμον ἐάσῃς, μή πως καταγγελλούσης τῆς κορώνης χειμῶνα λυπήσῃ σε. Τὸ δὲ συμβολικὸν οὕτω· μηδὲν ἔργον [d]*) ἀτελὲς καὶ ἀκαλλώπιστον ἐάσῃς, μή τις μωμοσκόπος καὶ λίαν* [e]*) κρωκτικὸς, καὶ λάλος, ἐπιστὰς τούτῳ, μώμους καταχέῃ σου.* Tzetzes.

Ibid. *ΜΗΔΕ ΔΟΜΟΝ ΠΟΙΩΝ. Μηδὲ οἶκον ποιῶν ἀνεπίξεστον καταλίμπανε, ἤγουν ἀφιλοκάλητον, ἀκόσμητον, τουτέστιν ἀτελῆ. Ἔνιοι δὲ ἀνεπίῤῥεκτον γράφουσι. Τοῦτο δὲ δηλοῖ τὸν ἀθυμίαστον, ἢ τὸν ἀτελείωτον. Ἡ δ' αἰτία, ἵνα μὴ, φησὶν, ἐπικαθεζομένη αὐτῷ κορώνη πολλὰ κρώζουσα κράζῃ, τουτέστιν, ἵνα μὴ καταλάβῃ αὐτὴν οὕτως ἀτελῆ ὁ χειμὼν, καὶ κακῶς αὐτὴν διάθηται, ὁ γὰρ κρωγμὸς τῆς κορώνης χειμῶνός ἐστι σύμβολον. Ἀπὸ γοῦν τοῦ εἰπεῖν, ἵνα μὴ ἐπ' αὐτῇ κράζῃ ἡ κορώνη, τὸν χειμῶνα ἐδήλωσεν, ὃν ὁ κρωγμὸς τῆς κορώνης μηνύει. Ἢ οὕτως· Μηδὲ δόμον ποιῶν ἀτελῆ καταλίμπανε· ἀπὸ τοῦ δόμου δὲ καὶ πᾶν ἔργον δεῖ νοεῖν· ἤγουν μὴ ἔργον ποιῶν, ἀτελὲς καταλίμπανε, ἵνα μὴ ψέγοντες τινὲς τρόπον κορώνης πολλὰ κρωζούσης, πολλὰ φθέγξωνται ἐπὶ τῷ ἐλλιπεῖ.* Moschop.

746. *ΜΗΔ' ΑΠΟ ΧΥΤΡΟΠΟΔΩΝ ΑΝΕΠΙΡΡΕΚΤΩΝ. Θυσίαν ταύτην ὁ* [f]*) Πλούταρχος πρόχειρον καὶ καθημερινὴν εἶπεν ὀρθῶς ἀφ' ὧν μέλλομεν ἐσθίειν, ἱερὰ πάντα ποιοῦντας διὰ τοῦ ἀπάρξασθαι. Καὶ γὰρ αἱ τῶν ἱερῶν τραπεζώσεις τοῦτο εἶχον· ἀπαρξάμενοι γὰρ ἀπ' αὐτῶν ἐδαίνυντο. Χρῆναι δὲ*

b) *ἀθυμίαστον* A.
c) *μὲν* et mox *τῆς — σε* addidi ex Trinc. *μὴ εὐτελῆ* Bas.
d) *ἡμιτελὲς* Trinc.
e) *κροκτικὸς* Trinc. *τρωκτικὸς* E. *κρακτικὸς* Heins. Mox *τούτῳ* pro *αὐτῷ* ex E. Trinc.
f) Fragm. Comm. n. 44.

καὶ ἐπὶ τῶν λουτρῶν τὸ αὐτὸ δρᾷν· [g]) ἐλούοντο δὲ περιχεόμενοι κατὰ κρατός τε καὶ ὤμων· χρῆν οὖν καὶ τούτου πρότερον ἀφορίσαι τὶ πρὸ τῆς ἡμετέρας χρήσεως [h]) τοῖς ἱεροῖς θεοῖς, καὶ οὕτω τὸ λοιπὸν εἰς τὴν ἀναγκαίαν χρείαν [i]) παραλαμβάνειν. Proclus.

Ibid. *ΧΥΤΡΟΠΟΔΩΝ. Τῶν ἐσχάρων τῶν μαγείρων. Περιφραστικῶς δὲ χύτραν εἶπε. Τουτέστιν ἀπὸ χύτρας μὴ πρῶτον φάγῃς, πρὶν σπείσῃς ἐξ αὐτῶν τοῖς θεοῖς. [k]) ΑΝΕΠΙΡΡΕΚΤΩΝ δὲ, τουτέστιν ἀθύτων, ἐφ' ὧν θυσίαν οὐκ ἐποίησας· ῥέζειν γὰρ τὸ θύειν· τουτέστι, σπένδε πρῶτον, καὶ τότε θύε. Μηδὲ μὴν λούσῃ, ἐὰν μὴ εὔξῃ καὶ σπείσῃς.* Proclus.

Ibid. *ΜΗΔ' ΑΠΟ ΧΥΤΡΟΠΟΔΩΝ. Τὸ μὲν κοινὸν καὶ δημῶδες οὕτω· παρακελεύομαι [l]) καὶ ἐντέλλομαί σοι μηδὲ ἀπὸ χυτροπόδων καὶ πυριστατῶν ἀθύτων λαβόντα σε τὴν χύτραν, ἐσθίειν τὰ ἐν αὐτῇ. Τουτέστιν, εἰ μὴ [m]) θύσεις πρότερον,*
335 *μὴ ἅψῃ τῶν ἐν τῇ χύτρᾳ βρωμάτων, μηδὲ λούσῃ, εἰ μὴ θύσεις ὁμοίως· καὶ ταῦτα μὲν οὕτω. Τὸ δὲ βαθύτερον οὕτω· μὴ ἀπὸ τῶν ὑποτελῶν, [n]) ἤτοι τῶν σῶν δούλων ἀπανθρώπως τοὺς φόρους καὶ ἀνηλεῶς ἀφελόμενος ἔσθιε· ἀλλ' ἔσο κἀκείνοις μέτριος, [o]) καὶ εὐχῆς μοῖραν παρ' αὐτῶν κληρούμενος, μέτριος καὶ μὴ λίαν βαρύνων αὐτούς.* Tzetzes.

Ibid. *ΜΗΔ' ΑΠΟ ΧΥΤΡΟΠΟΔΩΝ. Λάσανον καὶ χυτρόπους τὸ αὐτό· ἔστι δὲ ὁ κοινῶς πυριστάτης. Ἐνταῦθα δὲ χυτροπόδων φησὶν ἀντὶ τοῦ χυτρῶν. Ἔχει δὲ πᾶς ὁ λόγος οὕτως. Μηδὲ ἀπὸ χυτρῶν ἀνεπιῤῥέκτων, ἤγουν ἀθύτων, ἀφ' ὧν θυσίαν οὐκ ἐποίησας δηλονότι, (ῥέζειν γὰρ τὸ θύειν· θυσίαν δὲ λέγει τὴν πρόχειρον, καὶ καθημερινὴν,) παρακελεύομαί σε ἀνελόντα, τουτέστι λαβόντα, μὴ ἐσθίειν· ἀλλὰ σπένδε δηλονότι πρότερον, καὶ τότε ἔσθιε.* Moschop.

g) Ita A. uti conjecit Wyttenbachius. Antea *ἐλέγοντο*.

h) *ἱερῶν θεῶν* A. An *ὡς ἱερὸν θεοῖς?* Wyttenbach.

i) Ita Wyttenbach. pro vulg. *περιλαμβάνειν*.

k) *ἐπιρρέκτων δὲ ἐν τοῖς θεοῖς πράξεσθαι καὶ θῦσαι, τουτέστιν ἀθύτων, ἐφ' ὧν θυσίαν οὐκ ἐποίησας* A.

l) *καὶ ἐ. σ.* om. Trinc. Mox *ἀθύτων* om. Trinc.

m) *θύσῃς* Trinc. et sic paullo post.

n) Ita Trinc. *ἢ σῶν* Heins. Bas.

o) *καὶ* ad *μέτριος* om. Trinc. *κληρούμενος ὡς μέτριος* E. G.

747. *ΜΗΔΕ ΛΟΕΣΘΑΙ.* Ἀπὸ λουτρῶν δηλονότι ἀθύτων. Τὸ δὲ πᾶν τοιοῦτόν ἐστιν· οἰκέταις [p]) μὲν καὶ μισθίοις οἱ παραδυναστεύοντες κέχρηνται, τοῖς μὲν, ἐξ ὧν διατρέφονται, φόρους συλλέγοντες· τοῖς δὲ κόσμου χάριν, καὶ προπομπῆς, καὶ [q]) καλλύνσεως. Καὶ τοὺς μὲν, ἐξ ὧν τοὺς φόρους λαμβάνουσι, [r]) χυτρόποδας καλεῖ, ὡς φέροντας αὐτοῖς χύτρας καὶ βρώματα· τοὺς δὲ, ἐξ ὧν τὴν ἐπικόσμησιν καὶ τὴν προπομπὴν ἔχουσιν, [s]) λουτρὸν κατωνόμασεν, ὡς τούτους κοσμοῦντας. Τὸ δὲ ὅλον τοιοῦτον· μὴ βαρὺς, ἀλλ' ἱλαρὸς ἔσο, καὶ ἀμφοτέροις τοῖς ὑποτεταγμένοις σοι, ἐξ ὧν τε τοὺς φόρους λαμβάνεις, καὶ οὓς ἔχεις πρὸς ἐπικόσμησιν, ἵν' εὐκταῖος αὐτοῖς γίνῃ. [t]) Τοῦτο δὲ καὶ εἰς τὸ κοινὸν ἀπέῤῥιψε, καὶ οὐ πρὸς μόνον τὸν Πέρσην φησί. Ποῦ γὰρ ἐκείνῳ θεραπεία τοιαύτη καὶ προπομπή; Tzetzes.

Ibid. *ΜΗΔΕ ΛΟΕΣΘΑΙ.* Ἤγουν μηδὲ λοῦσθαί σε παρακελεύομαι ἀνεπιῤῥέκτως δηλονότι, ἤγουν χωρὶς τοῦ πρότερον εὔξασθαι καὶ σπεῖσαι· ἐπεὶ καὶ τούτοις ἔνεστι ποινὴ, ἤγουν τιμωρία. Moschop.

748. *ΜΗΔ' ΕΠ' ΑΚΙΝΗΤΟΙΣΙ.* [v]) Τὸ μὲν τετριμμένον ἐπὶ τάφων τὰ παιδία μὴ ἱδρύειν· ἀκινήτους γὰρ τούτους εἶναι δεῖν. Ἀλλ' οὐ μόνον δωδεκαταῖον παῖδα ἢ δωδεκάμηνον, ἀλλὰ καὶ πάντα ἄνθρωπον φεύγειν τὰς τοιαύτας ἕδρας. [w]) [221]) Μή-

p) τε Trinc. H.

q) σεμνότητος Trinc. καὶ καλλ. om. G.

r) χειρόποδας Bas.

s) λουτρὰ F. Trinc. Mox μὴ βαρὺς ἀλλ' om. Trinc.

t) τοῦτο δὲ κοινόν ἐστι παράγγελμα. ποῦ γὰρ τῷ Πέρσῃ Trinc.

v) Ita A. Vulgo τουτέστιν ἐπὶ τάφων. Mox καὶ pro ἢ A.

w) Dedi ex A. Vulgo ὁ δὲ Πλούταρχός φησιν. Mox δεῖν habent A. B. Trinc. δεῖ de conjectura, ut videtur, Heinsius. Wyttenbachius ad Plutarch. fr. Comm. n. 45. varietatem fuisse censet, μὴ δεῖν, et ὅτι μὴ δεῖ.

221) Plutarchi sententia quam non satis probat iis qui in linguae elegantiis tirones sunt, de hoc loco Hesiodi, quem omnes περὶ τῶν τάφων fere et religione eorum accipiunt, haec fuit: venuste a poeta dictum fuisse ἐπ' ἀκίνητοισι καθίζειν, pro ἀκίνητον ποιεῖν, ἢ ἐᾷν: sicut Theocritus mira venustate dixit, ἐπὶ ξηροῖσι καθίζειν, pro ξηρὸν ποιεῖν. Ἁ δ' ἐπὶ πήρᾳ Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνάσειν Φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθιξῇ. Sicut ergo apud Theocritum, ἐπὶ ξηροῖσι, sic apud Hesiodum, ἐπ' ἀκινήτοισι καθίζειν. Scio quidem jam pridem viros doctos monuisse ibi dictum esse καθίζειν ἀκράτιστον, sicut καθίζειν κλαίοντα et similia, sed non eo minus et καθίζειν ἐπὶ ξηροῖσι dicitur. Est autem κίνησις exercitium vel corporis, quod fit τῇ γυμνασίᾳ, vel animi, quod fit virtute et scientia:

336 ποτε κάλλιον Πλούταρχος· ὅτι μὴ δεῖν τὰ νεογνὰ ἀκίνητα ἐᾷν, καὶ ἀποτίθεσθαι ἐν ἀκινήτοις· ἀσθενέστερα γὰρ γίνεται· κινεῖν δὲ αὐτὰ ὅτι μάλιστα, κἂν ἐπί τινων [x]) αὐτὰ τίς καθιζάνῃ κινουμένων, [y]) καθιζάνειν καὶ σαλεύειν διὰ τούτων, οἷα τισὶν εὐκίνητα κλινίδια μεμηχάνηται πρὸς τὴν τῶν παιδίων εὐνήν. ΑΛΛΩΣ. Οἱ μὲν ἐπ' ἀκινήτῳ τάφῳ ἢ βωμῷ· νόμος γὰρ παρὰ Ῥωμαίοις, [z]) ὅστις φησὶ τάφον μὴ κινεῖν, τουτέστιν ὀρύττειν. Ποτὲ οὖν φησὶ μὴ ἐάσῃς τὸν παῖδά σου δώδεκα ἐτῶν ἐπὶ τάφῳ καθέξεσθαι· ἐπεὶ, καὶ ἀνὴρ ἂν τοῦτο ποιήσῃ, βλάπτεται, πολλῷ μᾶλλον ὁ παῖς. ΑΛΛΩΣ. Ἄλλοι δέ φασι μὴ ἀγύμναστον ἀφήσῃς τὸν παῖδά σου ἀπὸ δώδεκα ἐτῶν, οὐ μὴν οὐδὲ δωδεκάμηνον· ὅθεν ἐπενοήθη τὸ ἀεὶ κινεῖν τὰ παιδία. Proclus.

Ibid. ΜΗΔ' ΕΠ' ΑΚΙΝΗΤΟΙΣΙ ΚΑΘΙΖΕΙΝ. Μηδ' ἐπὶ τοῖς τῶν νεκρῶν τάφοις κάθιζε παῖδα [a]) δωδεκαετῆ, ἀσεβὲς γὰρ τοῦτο· ἀκίνητοι δὲ οἱ νεκροί. Ἢ δωδεκαετῆ παῖδα μὴ ἐάσῃς ἀκινητεῖν καὶ νωθρεύεσθαι· ἀλλὰ κίνει πρὸς ἔργα τούτῳ κατάλληλα· οἱ γὰρ νωθροὶ καὶ ἀκίνητοι μέχρι τῆς τοιαύτης ἡλικίας [b]) ἀχρήσιμοι τῷ βίῳ καὶ ἀδρανεῖς. Tzetzes.

Ibid. ΜΗΔ' ΕΠ' ΑΚΙΝΗΤΟΙΣΙ ΚΑΘΙΖΕΙΝ. Μηδὲ ἐπ' ἀκινήτοις κάθιζε, ἤγουν ἵδρυε παῖδα σὸν δυωδεκαταῖον, ἤγουν δυοκαίδεκα ἐτῶν ὄντα, οὐ γὰρ ἄμεινον, ἀντὶ τοῦ καλὸν, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ, ἤγουν ἐπεὶ τοῦτο ἄνδρα τέλειον ποιεῖ ἄνανδρον. Moschop.

750. ΜΗΔΕ ΔΥΩΔΕΚΑΜΗΝΟΝ. Τὸν μὲν δωδεκαετῆ φησι, μὴ ἐάσῃς ἀκίνητον πρὸς ἔργα· τὸν δὲ δυωδεκάμηνον, οὐ πρὸς ἔργα, (ἠλίθιον γὰρ τοῦτο) ἀλλὰ πρὸς πορείαν [c]) κινῶν
337 ἁμαξίσι καὶ κλινιδίοις καὶ λοιποῖς τοιούτοις ὑποτρόχοις, ἵνα μὴ [d]) κατεῤῥαθυμικὸς καὶ νωθρότατον καὶ ἀκίνητον τὸ βρέφος γένηται. Tzetzes.

cum autem ne quidem ἡ ἠθικὴ ἀρετὴ τῇ φύσει ἐγγίνεται, ut docet philosophus Ethicorum 2. multo minus ἡ διανοητικὴ, quae ex institutione et fit, et crescit: quia ne quidem τῇ φύσει inest illarum altera, sed ut idem magnus doctor pronunciat τὰς ἀρετὰς λαμβάνομεν ἐνεργήσαντες. Quo modo Plutarchus Hesiodi κίνησιν interpretatus est, ut de institutione agat poeta. Quae sententia mihi quoque ut huic loco aptissima aliquando notata fuit. Heinsius.

x) αὐτὰ om. B.

y) Forte, κινεῖν. Vel καθιζάνῃ, ἐπὶ κινουμένων καθιζάνειν κ. σ. δ. τ. quod verti. Wyttenbach.

x) ὅτι A. B. Trinc.

a) δυοδεκαταῖον Trinc. et mox ἤγουν pro ἤ.

b) ἀνωφελεῖς ἐν τῷ Trinc.

c) κίνει ἁμαξίδι Trinc.

d) κατερ. καὶ om. Trinc. In

Ibid. *ΜΗΔΕ ΔΥΩΔΕΚΑΜΗΝΟΝ.* *Ἤγουν μηδὲ δυοκαίδεκα μηνῶν ὄντα ἐπὶ τοῖς ἀκινήτοις κάθιζε.* *ΙΣΟΝ ΚΑΙ ΤΟΥΤΟ ΤΕΤΥΚΤΑΙ*, *ἤγουν ἐστίν. Ἀκίνητον, τὸ μὴ δυνατὸν, ἢ τὸ μὴ φύσιν ἔχον κινηθῆναι, καὶ τὸ μὴ πρέπον ὑπό τινος κινηθῆναι, καὶ τὸ νενομοθετημένον ὑπὸ μηδενὸς κινηθῆναι. Κατὰ τὰ δύο ταῦτα σημαινόμενα,* [220] *τοὺς τάφους ἰδίως ἔλεγον ἀκινήτους, καὶ* [e]) *ὡς οὐχ ὅσιον ὂν δηλονότι κινεῖν αὐτοὺς τινὰ, ἀντὶ τοῦ ἀνορύττειν, καὶ ὡς νενομοθετημένον ὂν μὴ κινεῖσθαι αὐτοὺς ὑπό τινος. Ἔστιν οὖν ἐνταῦθα τὸ μὲν πρόχειρον, μὴ ἵδρυε σὸν παῖδα ἐπὶ τοῖς τάφοις. Συμβολικῶς δὲ ἔχει ὁ λόγος οὕτως· μὴ ἀγύμναστον ἀφῇς τὸν παῖδά σου, δωδεκαετῆ γεγονότα, μηδὲ δυοκαίδεκα μηνῶν ὄντα, ἀλλὰ τὸν μὲν γύμναζε ἐπὶ τελεώτερα, ἡλικίας ἤδη* [f] *ἐπειλημμένον οὐκ ἀκινητεῖν ἐπὶ τὰ τοιαῦτα προσηκούσης, τὸν δὲ ἐπὶ τὸ βαδίζειν ἔθιζε· ἐπεὶ τὸ ἀκινητεῖν καὶ ἄνδρα τέλειον βλάπτει· ἀσθενῆ γὰρ αὐτὸν ποιεῖ καὶ ἄνανδρον, καὶ ταῦτα γεγυμνασμένον ὄντα.* Moschop.

751. *ΜΗΔΕ ΓΥΝΑΙΚΕΙΩι ΛΟΥΤΡΩι.* [ff]) *Μὴ δεῖν συναπογυμνοῦσθαι ταῖς γυναιξὶ τοὺς ἄνδρας· πρὸς γὰρ τῷ ἀσχήμονι, καὶ ἀπόῤῥοιαί τινες ἐκ τῶν γυναικείων σωμάτων καὶ περιττωμάτων χωροῦσιν, ὧν ἀναπίμπλασθαι τοὺς ἄνδρας μολυσματῶδές ἐστι· καὶ τοῖς εἰς τὸν αὐτὸν ἀέρα εἰσιοῦσι, καὶ τοῖς εἰς τὸ αὐτὸ ὕδωρ, ἀνάγκη τούτων ἀπολαύειν. Διὸ καὶ ἐπὶ χρόνον τινά φασι ποινὴν παραμένειν τοῖς τοῦθ' ὑπομείνασιν, ἐν ᾧ τὸν μολυσμὸν ἀνάγκη μένειν ἐπ' αὐτοῖς.* Proclus.

Ibid. [g]) *ΑΛΛΩΣ. ΜΗΔΕ ΓΥΝΑΙΚΕΙΩι Περιεργασίας δίκην γυναικῶν· οἱ δὲ ὅτι κελεύει μὴ συλλούεσθαι γυναικὶ, ἢ μὴ, ὡς γυνὴ, ὡραΐζου λουόμενος, οἷον μὴ μύροις ἢ τισὶ χρί-*

fine *γένηται* dedi ex F. *γενήσεται* Trinc. Bas. *γενήσηται* Heins.

220) Quo respexit Teucer Ajace Lorario, qui Eurysaci *τὸν ἐντάφιον καὶ ἱκτήριον θησαυρὸν* committit, ut tantisper *ἀκίνητος* esset mortuus, cum aliud contra hostes cadaveris nil posset: *Ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας, Ἱκέτης ἔφαψαι πατρὸς ὅς σ' ἐγείνατο. Θάκει δὲ προστρόπαιος, ἐν χεροῖν ἔχων Κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτον, Ἱκτήριον θησαυρόν. Εἰ δέ τις στρατοῦ Βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ, Κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς, Γένους ἅπαντος ῥίζαν ἐξημημένος, Αὔτως ὅπως περ τόνδ' ἐγὼ τέμνω πλόκον. Ἔχ' αὐτὸν ὦ παῖ καὶ φύλασσε, μηδέ σε Κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.* Heinsius.

e) *καὶ οὐχ ὡς — κινοῦν* B.

f) *ἐπειλημμένον ἐπὶ τελεώτερα ἀκινητεῖν οὐ προσηκούσης* B.

ff) Plutarcho vindicavit Wyttenbach. fr. comm. n. 46.

g) Sequens Scholion accessit ex A.

σμασι χρῶ, ἢ ὅτι αἱ γυναῖκες κόσμου χάριν κέχρηνται τῷ λουτρῷ, οἱ δὲ ἄνδρες διὰ κόπων ἀνάπαυσιν λούονται. Proclus.

Ibid. ΜΗΔΕ ΓΥΝΑΙΚΕΙΩι ΛΟΥΤΡΩι. Τὸ μὲν πρό-
338 χειρον καὶ h) κοινὸν τῆς ἐννοίας αὐτῆς πᾶσι σαφέστατον· τὸ δὲ βαθύτερον τοιοῦτόν ἐστιν. Ἐντέλλομαι i) μηδὲ γυναικείῳ καλλωπισμῷ καλλύνεσθαι ἄνδρα, φυκιούμενον καὶ ξυρούμενον, καὶ τοῖς λοιποῖς κεχρημένον, οἷς αἱ γυναῖκες· ὅνπερ καλλωπισμὸν καὶ λουτρὸν λέγει. Ὀλεθρία γὰρ ποινὴ καὶ ἐπὶ τῷ τοιούτῳ πράγματι, καὶ μέμψις ἔσται k) μὴ χρόνῳ μαραινομένη. Tzetzes.

Ibid. ΜΗΔΕ ΓΥΝΑΙΚΕΙΩι ΛΟΥΤΡΩι. Παρακελεύομαι μηδὲ ἐπὶ λουτρῷ γυναικείῳ, ἤγουν ἐν ᾧ λοῦνται γυναῖκες, τουτέστι μηδὲ μετὰ γυναικῶν λουομένων, ἄνδρα φαιδρύνεσθαι, ἤγουν καθαίρεσθαι τὸ σῶμα· τὴν δ' αἰτίαν ὁ Πρόκλος λέγει. Πρὸς γὰρ τῷ ἀσχήμονι, φησὶ, καὶ ἀπόῤῥοιαί τινες ἀπὸ τῶν γυναικείων σωμάτων χωροῦσι περιττωματώδεις· ὧν ἀναπίμπλασθαι τοὺς ἄνδρας μολυσματῶδές ἐστι, καὶ τοὺς εἰς τὸν αὐτὸν ἀέρα καὶ εἰς τὸ αὐτὸ ὕδωρ εἰσιόντας καὶ συναπογυμνουμένους αὐταῖς ἀνάγκη τούτων ἀπολαύειν. Moschop.

752. ΛΕΥΓΑΛΕΗ ΓΑΡ. Χαλεπὴ γὰρ καὶ ἐπὶ τούτῳ ποινὴ, ἤγουν τιμωρία· ἐπὶ χρόνον, ἀντὶ τοῦ κατὰ χρόνον τινὰ καθόσον δηλονότι ἐστὶν ἐν αὐτοῖς ὁ μολυσμός. ΑΛΛΩΣ. Παρακελεύομαι μηδὲ καθαίρεσθαι ἄνδρα τὸ σῶμα διὰ λουτροῦ γυναιξὶν ἁρμόζοντος· τουτέστι, παρακελεύομαι μὴ μύροις καὶ χρίσμασι τισὶν ἐν λουτρῷ χρῆσθαι ἄνδρα, οἷς εἰώθασιν αἱ γυναῖκες χρῆσθαι. Moschop.

753. ΜΗΔ' ἹΕΡΟΙΣΙΝ. Μηδὲ ἐὰν συμβῇ σοι ἐν ἱεροῖς εὑρεθῆναι, μέμψῃ τὰ μυστήρια· ταῦτα γὰρ ὁ θεὸς πάνυ μέμφεται. Proclus.

Ibid. ΜΗΔ' ἹΕΡΟΙΣΙΝ. Τὸ πρόχειρον, μηδὲ ἐν θυσίαις θεῶν τυχὼν μωμοσκόπει τὰ μυστήρια· ἢ μὴ περὶ τῶν ἐν οἴκοις l) τινῶν κρυφῇ τελουμένων αἰσχρῶν ἐν τοῖς ἱεροῖς διαλέγου.

h) ἐννοίας πᾶσι σαφέστατον Trinc. E. F. ἐννοίας ταύτης σαφέστατον G. ἐννοίας πάσης σαφέστερον Bas. Heins.

i) μὴ μαλακοῖς καὶ γυναικώδεσι πράγμασι καὶ καλλοπισμοῖς ἄνδρα ἑαυτὸν ἐκδιδόναι Trinc. et mox οἷα pro οἷς.

k) τῷ E.

l) τινῶν om. Trinc. qui mox τισιν habet post τελουμένων.

Τὸ δὲ βαθύτερον καὶ ἀλληγορικὸν οὕτως ἔχει· μὴ ὃ ἤκουσας μυστηριῶδες ἀπό τινος συμβούλῳ σοι χρησαμένου διάσυρε, καὶ φαύλιζε, καὶ φανέρου· θεὸς γάρ τις, ἤτοι σοφός [m]) τις καὶ φρόνιμος, καὶ ταῦτα αἰτιᾶται· ἢ μοῖρά τις ἕνεκεν τῶν τοιούτων τοὺς περὶ φίλους φαύλους τιμωρεῖ. Tzetzes.

Ibid. *ΜΗΔ' ἹΕΡΟΙΣΙΝ ΕΠ' ΑΙΘΟΜΕΝΟΙΣΙ.* Μηδὲ ἐπὶ ἱερείοις καιομένοις, ἤγουν θυσίαις τελουμέναις κατὰ συμβεβηκὸς εὑρεθείς· μωμεύειν, ἀντὶ τοῦ μώμει, μέμφου, ἀΐδηλα, τουτέστιν ἄξια ἀφανισμοῦ, ἤγουν μὴ μεμφόμενος τὰ ἱερὰ, λέγε λόγους ἀξίους ἀπωλείας· ὁ θεὸς καὶ ταῦτα νεμεσᾷ, ἤγουν μέμφεται. Ἢ οὕτως· μηδὲ ἐν θυσίαις τελουμέναις κατὰ συμβεβηκὸς εὑρεθεὶς, τοῦτο γὰρ τὸ κυρήσας, μώμει, ἤγουν βλασφήμει εἰς τινά. Εἶτα· ἀδήλως γὰρ ὁ θεὸς καὶ ταῦτα μέμφεται. Moschop.

754. *ΜΩΜΕΥΕΙΝ ΑΙΔΗΛΑ.* Μὴ ἀδήλως κατὰ σεαυτὸν καὶ ἐν τῇ ψυχῇ σου μωμεῖν τὰ ἱερά. Ἔστι δὲ καὶ τοῖς ἑξῆς 339
συνάψαι,

ἀΐδηλα θεὸς νύ τοι καὶ τὰ νεμεσσᾶ.

Ἀδήλως δηλονότι ἐπὶ τῶν τοιούτων μέμφεται. Ἢ οὕτως· μὴ ἐπὶ τοῖς αἰθομένοις ἱεροῖς ἀΐδηλα, [n]) τουτέστι μάταια, διανοηθῇς, θεὸς γὰρ καὶ ταῦτα μέμφεται. *ΑΛΛΩΣ.* Οὐ μόνον ὅτι δεῖ μὴ μωμεύειν τὰ ἱερά· τοῦτο γὰρ παντὸς ἦν εἰπεῖν· ἀλλὰ τὸν παραβάλλοντα ἱεροῖς δρωμένοις [o]) μηδένα βλάσφημον λόγον λέγειν, μηδὲ ὑβρίζειν μηδένα· καὶ γὰρ ταῦτα ἄδηλά ἐστι, καὶ ἀφανῆ ὄντα ποίαν ἕξει ποινὴν, παραιτητέον· νεμεσᾶν γὰρ αὐτοῖς τὸν θεὸν ὡς ἀλλοτρίοις τῆς ἰσότητος. Proclus.

755. *ΜΗΔΕΠΟΤ' ΕΝ ΠΡΟΧΟΑΙΣ.* Ταῦτα διαγράφει [p]) Πλούταρχος, ὡς εὐτελῆ καὶ ἀνάξια παιδευτικῆς Μούσης, μὴ οὐρεῖν ἐν προχοαῖς ποταμῶν ἢ κρηνῶν, μηδ' ἀποπατεῖν, τοῦτο γὰρ τὸ ἀποψύχειν. Ἴσως δὲ καὶ ταῦτα παρακελεύεται τῆς ἰδιωτείας τῶν πολλῶν στοχαζόμενος. Οὐ γὰρ πάντες ἔχουσι νοῦν, ἀλλὰ καὶ ταῦτά τινες ἂν παρίδοιεν. *ΑΛΛΩΣ.* Ἀποψύχειν, ἀφοδεύειν, ἢ ἀποπνευματίζειν, ἢ ἀναψύξεως χάριν τοῦ σώμα-

m) τις om. Trinc. et mox μ. τ. τῶν τοιούτων χάριν τ. π. φ. φανέντας φαύλους.

n) ἄξια τοῦ ἄδηλα ὅτι μάταια A. pro τουτέστι μ. δ. Mox περὶ τούτων A. pro ταῦτα.

o) μμδὲν βλάσφημον λέγειν A.

p) Fragm. Comm. n. 47.

τος, τοῖς ποταμίοις ῥεύμασιν ἵστασθαι, ἢ ἀποπλύνειν, ἢ ἀπονίπτειν. Proclus.

Ibid. *ΜΗΔΕΠΟΤ' ΕΝ ΠΡΟΧΟΗι ΠΟΤΑΜΩΝ. Πάλιν τῶν προτέρων ἔχεται λόγων, καὶ φησι,* [q]) *μὴ συνεύνους δυναστῶν ἢ μητέρας μοιχᾶσθαι θέλε, μηδ' ἐναπόψυχε ἐν ποταμοῖς,* [r]) *τουτέστιν, τὸν φορυτὸν τῆς γαστρὸς ἔκχεε· ἤτοι, μηδ' αἰσχρότερον δράσειας πασχητιῶν καὶ θηλυνόμενος.*

Προχοὴ δὲ τὸ τῶν ποταμῶν στόμιον, δι' οὗ εἰσβάλλουσιν εἰς τὴν θάλασσαν. Νῦν δὲ τὰς συνεύνους τῶν [s]) *δυναστῶν λέγει·* [222]) *ἄλα δὲ τὸν κόσμον, εἰς ὃν οἱ δυνάσται ῥέουσι τῷ πλούτῳ περιῤῥεόμενοι· κρήνας δὲ τὰς αὐτῶν μητέρας, ἐξ ὧν αὐτοὶ πρὸς τὴν κοσμικὴν εἰσέῤῥευσαν θάλασσαν. Αἱ γὰρ πηγαὶ μητέρες τῶν ποταμῶν εἰσίν.* Tzetzes.

Ibid. *ΜΗΔΕ ΠΟΤ' ΕΝ ΠΡΟΧΟΗι. Μηδέποτε ἐν ῥεύμασι ποταμῶν εἰς τὴν θάλασσαν ῥεόντων οὔρει, μηδὲ ἐναπό-*
340 *ψυχε, ἤγουν ἀποπάτει, μηδὲ ἐπὶ κρηνῶν, ἤγουν πηγῶν, ταῦτα ποίει, μάλα δὲ ἔκφευγε, τοῦτο γὰρ οὐδαμῶς ἐστὶ λώϊον· ἀντὶ τοῦ καλόν* [t]). Moschop.

756. *ΜΗΔ' ΕΠΙ ΚΡΗΝΑΩΝ. Παρακελευσάμενος μὴ πλησιάζειν γυναικὶ χάριν παιδοποιΐας ἐκ μέθης ἐπανιόντα, ἀλλ' ἐκ βουλευτηρίου ἐπανακάμψαντα, νῦν παραινεῖ* [v]) *μηδὲ τῶν δυναστῶν μοιχᾶσθαι γυναῖκας, ἀλλὰ τῆς τοιαύτης ἀφίστασθαι πράξεως· ὃν γὰρ τρόπον αἱ κρῆναι ποταμοὺς ἀποτίκτουσι, τὸν αὐτὸν τρόπον αἱ περιφανεῖς* [w]) *τοιαίδε γυναῖκες τοὺς ἐν τῷ βίῳ πολλῷ ῥεύματι χρυσοῦ περιῤῥέοντας ἄνδρας δυνάστας, καὶ* [x]) *ὑπερόχους, ὧν τοῦ πλούτου πολλοὶ ἀπαρύονται, ἀποτίκτουσιν· ἀλλὰ νῦν αἱ τοιαῦται κρῆναι παντοίων οὔρων ἐπλήσθησαν.* Tzetz.

q) *μὴ μοιχῶ σ.* sine *μοιχᾶσθαι θέλε* Bas. et sic fere E. ubi *μηχῶ.*

r) *τουτέστιν — ἔκχεε* om. Trinc. et mox, *ἤτοι μηδὲ αἰσχρόν τι δράσειας αὐτοῖς καὶ θηλυνόμενος· ἀποψύχειν δὲ τὸ ἐκχέειν τὸν φορυτὸν τῆς γαστρός.*

s) *δυναστῶν, εἰς ἃ ἐκεῖνοι τὸν ῥοῦν προσέ. Ἄλα νῦν) τὸν κόσμον. Κρηνάων) τῶν μητέρων νῦν τῶν τοιούτων ποταμῶν. τοὶ γὰρ ὄντι λώϊον. τοῦτο γὰρ οὐδαμῶς βέλτισταν* Bas. et sic fere E. F. G. H. ubi *εἰς ἃς ἐκεῖνοι (νοῦν* F.) *προχέουσιν — τὸ γὰρ οὗτοι λώϊον.*

222) Haec in nostra omnia turbata erant, et male distincta, aliterque scripta: nos ex altera restituimus. Heinsius.

t) Post hanc vocem edd. habent *ταῦτα διαγράφει — παρίδοιεν* e Proclo. Ego delevi, secutus B. ubi leguntur quidem, sed ad marginem apposita, Procli quoque nomine praefixo.

v) *μὴ τὰς τῶν δυνατῶν* Trinc.

w) *τοιαίδε* om. Trinc. Mox *χρυσῶν* Heins. *χρησοῦ περιρρεομένους* Trinc.

x) *ὑπερέχοντας* Trinc. *ἀλλὰ — ἐπλήσθησαν* om. Trinc.

758. ʹΩΔʹ ʹΕΡΔΕΙΝ. [y]) Τοῦτο τὸ τέλος ἐστὶ τῶν παραγγελμάτων, ἱκανὸν δὲ εἰς τὸ παιδεῦσαι ἡμᾶς τὸ ἑαυτὸν ἦθος εὐλαβουμένους τὴν φήμην. Οὐ γὰρ ὅσον ἀρετῆς οἱ ἄνθρωποι σφάλλονται, τοσοῦτον καὶ κρίσεως ἀρετῆς, φησὶν ὁ Πλάτων. Τὴν οὖν χαλεπὴν φήμην φυλακτέον εἰς δύναμιν. Ἡ γὰρ κακὴ φήμη, [z]) κούφη μέν ἐστιν ὑπενεγκεῖν, κεντοῦσα τοὺς ὑπ᾽ αὐτῆς ὀνειδίστους γινομένους, ἔτι δὲ καὶ ἀρξαμένην ταύτην παῦσαι χαλεπόν· εἰώθασι γὰρ οἱ ἄνθρωποι πολλαπλασιάζειν, ἃς ἂν παραλάβωσι φήμας, καὶ ἐκ σμικρῶν μεγάλας ποιεῖν. Καὶ τέλος προσέθηκεν, ὅτι κινδυνεύει καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀληθὴς εἶναι πᾶσα φήμη, ἥν λαοὶ πολλοὶ [a]) φημίξωσι· καὶ διὰ τοῦτο ἔχειν τὶ καὶ αὐτὴν θεῖον. Πολλάκις γοῦν ὁ μὲν ἄρξας αὐτῆς οὐκ ἔστιν, εὔστοχος δὲ αὕτη δι᾽ αὐτῶν ἀναφαίνεται τῶν ἀποβαινόντων, ὥστε εἰκότως δεῖ φυλάττεσθαι τὴν κακὴν φήμην. Καὶ τοῦτο οὖν χρήσιμον, [b]) τὸ δεῖν καὶ δόξαν ὑφορᾶσθαι τὸν παιδευόμενον. Οὐ γὰρ ἁπλῶς ἀληθὲς ὃ λέγει Γοργίας· ἔλεγε δὲ, Τὸ μὲν εἶναι, ἀφανὲς, μὴ τυχὸν τοῦ δοκεῖν· τὸ δὲ δοκεῖν, ἀσθενὲς, μὴ τυχὸν τοῦ εἶναι. Παρὰ γὰρ τοῖς πολλοῖς καὶ τὸ [c]) δοκεῖν ἰσχὺν ἔχει, καὶ τὰ ἐκ τοῦ δοκεῖν ἀποβαίνοντα δυσχερῆ δείκνυται οὐκ ὄντα ὀλίγα. Μᾶλλον οὖν ὡς Ξενοκράτης ἔλεγε, Τοῦ μὲν οὖν φίλον Ἀλέξανδρον ἔχειν ἕνεκα, μηδ᾽ ἂν τὸν δάκτυλον κινῆσαι, τοῦ δὲ μὴ ἐχθρὸν, πάντα ἂν πρᾶξαι· οὕτω καὶ Ἡσίοδος τῆς μὲν παρὰ τοῖς πολλοῖς δόξης ἀξιοῖ ποιεῖσθαι λόγον μηδένα, 341 τῆς δὲ ἀδοξίας, ἵνα μὴ συμβῇ, πάντα ποιεῖσθαι λόγον. Procl.

Ibid. [d]) ʹΩΔʹ ʹΕΡΔΕΙΝ. Ἐπιλογικὸν κεφάλαιον, οὕτως ἔρδε, ἢ οὕτως ἔρδειν ἐντέλλομαι· τὴν δ᾽ αἰσχρὰν φήμην ἔκφευγε. Tzetz.

Ibid. ʹΩΔʹ ʹΕΡΔΕΙΝ. Οὕτω πράττε, τὴν κακὴν δὲ φήμην τῶν ἀνθρώπων, ἣν οἱ ἄνθρωποι δηλονότι αἴρουσιν, ὑπαλεύεο, ἤγουν ἔκφευγε, τουτέστιν, ἔργα πράττε ἀγαθὰ, ἵνα μὴ χώραν ἔχῃ κατὰ σοῦ ἡ φαύλη τῶν ἀνθρώπων φήμη· ἡ φήμη γὰρ ἡ κακὴ κούφη μέν ἐστι ῥαδίως πάνυ εἰς τὸ ἆραι αὐτήν τινα, ἤγουν κηρῦξαι, διαδοῦναι, ἀργαλέα δὲ, ἤγουν ἀλγεινὴ, βαρεῖα,

y) Hoc Scholion Plutarcho assignat Wyttenbachius n. 48. δὲ post ἱκανὸν addidi ex B. qui mox habet κρίσεων.

z) Forte, κούφη μέν ἐστιν ἀναδέξασθαι, δυσχερὴς δὲ ὑπενεγκεῖν Wyttenbach.

a) Ita A. φημίσωσι edd.

b) Forte, πρὸς τὸ δεῖν Wyttenb.

c) δοκεῖν A. Vulgo δοκοῦν. Paullo ante γεωργίας habet A. pro γοργίας. γεωργίας Trinc.

d) Deest hoc Scholion Trinc. ἐπιλογιστικὸν E. qui om. τὴν δ᾽ α. φ. ἔ.

εἰς τὸ φέρειν τινὰ αὐτὴν, ἀντὶ τοῦ ὑπομένειν. Χαλεπὴ δὲ, ἤγουν δυσχερὴς εἰς τὸ ἀποθέσθαι τινὰ αὐτὴν, ἤτοι ἀποφορτίσασθαι, ἀφ' ἑαυτοῦ ῥίψαι κινουμένην, δηλονότι κατ' αὐτοῦ παῦσαι. Φήμη δὲ οὐδεμία παντελῶς ἀπόλλυται, ἤγουν ψευδὴς λέγεται, ἥν τινα πολλοὶ φημίξουσι. Moschop.

759. *ΦΗΜΗ ΓΑΡ ΤΕ ΚΑΚΗ.* [e]) Ἡ φαύλη γὰρ φήμη ῥᾴστη καὶ ἐλαφρὰ πάνυ, εἰς τὸ ἀρθῆναι καὶ κηρυχθῆναι, καὶ ἐπαρθῆναι, ἐργώδης δὲ καὶ δυσχερὴς στέγεσθαι καὶ καρτερεῖσθαι. Ἀδυνάτως δέ τις ἔχει ταύτην ἀποθέσθαι· ἡ γὰρ φήμη, ἣν πολλοὶ κηρύξουσιν, οὐκ ἀπόλλυται, ἀλλὰ θεοῦται, καὶ παράμονος μένει. Τῷ τοι μηδὲ σὺ δρᾶ τοιαῦτα αἰσχρὰ, καὶ οὐκ ἄν σε δύσφημος φήμη κατάσχῃ. Tzetzes.

762. *ΘΕΟΣ ΝΥ ΤΙΣ ΕΣΤΙ ΚΑΙ ΑΥΤΗ.* Διά τε τὴν τῶν πολλῶν δηλονότι ὁμογνωμοσύνην, καὶ τὸ ἐπιτυγχάνειν τῆς ἀληθείας. Τοῦτο δὲ ἐπήγαγε θέλων δεῖξαι ἐφ' ἡμῖν εἶναι τὸ φυγεῖν τὴν καθ' ἡμῶν φαύλην φήμην, ἢ μὴ φυγεῖν· ὡς ἔχειν τὸν νοῦν πάντα τοῦ λόγου οὕτως· τὴν κακὴν δὲ φήμην τῶν ἀνθρώπων ἔκφυγε, ἤγουν μὴ ἔργα πράττε ταύτην κινοῦντα· ἐπεὶ εἰ ταύτην κατὰ σοῦ κινήσεις, ἔργα δηλονότι φαῦλα πράττων, μετ' ὀδύνης αὐτὴν βαστάσεις, ἀγανακτῶν δὲ καὶ θέλων αὐτὴν κατὰ σοῦ κινουμένην παῦσαι, δυσχερῶς τοῦτο δυνήσῃ. Εἰ δὲ νομίζεις μὴ ἐπὶ σοὶ εἶναι τὴν κατὰ σοῦ φαύλην ἐκφυγεῖν φήμην, ὡς ἂν δυνατὸν εἶναι μάτην αὐτὴν κατὰ σοῦ κινηθῆναι, μηδεμίαν αὐτῇ δηλονότι ἀφορμὴν δεδωκότος, οὐ καλῶς τοῦτο νομίζεις· ἐπεὶ εἰ μὴ σὺ αἰτίαν παρέξεις τινὰ, οὐκ ἂν αὐτὴ μάτην διαδοθείη. Οὐδεμία γὰρ φήμη μάτην παντελῶς διαδίδοται, ἥν τινα πολλοὶ λαοὶ φημίξουσιν, ὥστε διὰ τοῦτο καὶ θεός τις καὶ αὐτὴ δοκεῖ εἶναι. Moschop.

763. *ΗΜΑΤΑ Δ' ΕΚ ΔΙΟΘΕΝ.* Αἱ περὶ τῆς τῶν ἡμερῶν ἐκλογῆς καὶ ἀπεκλογῆς παραινέσεις ἔχουσι μὲν τὰς ἀρχὰς ἐκ τῶν παρατηρήσεων. Ἄλλαι δὲ παρ' ἄλλοις ἐκράτησαν, ἐπεὶ καὶ παρ' Ὀρφεῖ τινὲς αὐτῶν διακρίσεις, καὶ ἐν τοῖς Ἀθηναίων πατρίοις διωρίσθησαν, καὶ αἱ μὲν ἀγαθαί τινες, αἱ δὲ φαῦλαι, μέσαι δέ τινες εἶναι. Καὶ οὐχ ὅλας ἡμέρας μόνον ὑπέλαβόν τινες εὐκαιρίαν ἔχειν πρὸς καταρχὰς τινῶν πράξεων, ἀλλὰ καὶ
342 μόρια τῆς ἡμέρας, ὅτε μὲν τὰ ἑωθινὰ ἐπαινοῦντες, ὅτε δὲ τὰ

e) Deest hoc Scholion Trinc.

περὶ δείλην ὀψίαν, ὅπου δὲ καὶ τοῖς μὲν θεοῖς οἰκεῖα τὰ πρὸς μεσημβρίαν εἰρήκασιν, ἥρωσι δὲ τὰ μετὰ μεσημβρίαν. Ὁ γοῦν Ἡσίοδος τὰς πολλὰς ἐν τούτοις εἰδὼς τῶν [f]) κατ' αὐτὸν παρατηρήσεις εἰς τὰς ἡλίου κινήσεις καὶ σελήνης, καὶ τὰς πρὸς ἀλλήλους σχέσεις αὐτὸς ἀποβλέψας, ἀνάγει τὰς τῶν ἐπιτηδείων καὶ ἀνεπιτηδείων διαφορὰς, ἀφ' ὧν μάλιστα γίνεται πάντα μὲν τὰ θνητὰ τῶν κινουμένων, ἄλλα δὲ μᾶλλον ἄλλων· πρὸς τὰς δὲ τὰς περιόδους αὐτῶν οἰκείως ἢ ἀλλοτρίως ἔχει τῶν γινομένων. Δηλοῖ δὲ καὶ τῶν φυτῶν τὰ μὲν σελήνῃ [g]) συγκινούμενα, τὰ δὲ ἡλίῳ. Τὰ μὲν γὰρ ῥόδα καὶ ἴα καὶ μετὰ τούτων τὰ ἡλιοτρόπια, πρὸς ἥλιον ἀνίσχοντα τρέπει τὰ φύλλα, καὶ πρὸς καταδυόμενον ὡσαύτως εἰς ἑσπέραν ῥέποντα· τὰ δὲ τῶν ἐλαιῶν φύλλα διδάσκει καὶ τοὺς γεωργικοὺς γεγονέναι τροπὰς ἢ χειμερινὰς ἢ θερινὰς, διὰ τῆς ἑαυτῶν [h]) περιτροπῆς, ὅτε μὲν ἄνω τὸ μελάντερον ἰσχόντων, ὅτε δὲ τὸ λευκόν. Τὰ δὲ τῶν αἰλούρων ὄμματά φασι καὶ τὰ σπλάγχνα τῶν μυῶν [i]) πάντων φθίνειν μὲν σελήνης ληγούσης, αὔξεσθαι δὲ ἀκμαζούσης. Εἰ μὲν περὶ πανσέληνον ἐξαιρεθείη, τὴν γόνιμον ἀρχὴν ἔτι φυλάττει, καὶ αὖθις βλαστάνει κατὰ τὴν προσήκουσαν ὥραν· εἰ δὲ [k]) φθινούσης, ἄγονον γίνεται· καὶ ἁπλῶς, τὰ μὲν πληρουμένης, εὐθηνεῖται, τὰ δὲ ληγούσης αὐτῆς, τοῖς μὲν ὠφελίμου τῆς ὑγρότητος οὔσης, ἣν διαχεῖ τὸ σεληναῖον φῶς αὐξόμενον, τοῖς δὲ βλαβερᾶς. Ἄρχεται οὖν ὁ Ἡσίοδος ἐκ τῆς τριακάδος, καθ' ἣν ἡ ἀληθής ἐστι σύνοδος, ὅτε μὲν οὖσαν τριακάδα ἄνευ ἐξαιρέσεως, ὅτε δὲ κθ', ὅτε καὶ ὑπεξαιρεῖται ἡ πρὸ αὐτῆς [l]) ὑπὸ Ἀθηναίων. Διὸ καὶ αὐτὸς ἀξιῶν τὴν οὖσαν τριακάδα λαμβάνειν εἶπεν,

εὖτ' ἂν δή μιν λαοὶ κρίνοντες ἄγωσιν.

Εἰκότως δὲ ἀπὸ ταύτης ἤρξατο, καθ' ἣν ἡ σύνοδος. Δεῖ γὰρ τὴν κοινωνίαν αὐτὴν ὡς μίαν ἀρχὴν οὖσαν ἀμφοτέρων ἀρχὴν [m]) ποιεῖσθαι καὶ τῶν ἡμερῶν, ἃς ἐκ τῆς πρὸς ἀλλήλους ποιοῦσι σχέσεως. Βούλεται δὲ ἐν ταύτῃ τά τε ἔργα τοῦ μηνὸς ἐφορᾷν

f) Salmas. de Ann. Clim. p. 826. emendat, κατ' αὐτῶν — σχέσεις ἀναφέρεσθαι, αὐτὸς εἰς Δία ἀνάγει — ἀφ' οὗ μάλιστα γ. π. τὰ κινήματα τῶν κ. ἀστέρων.

g) Ita A. B. συγκιρνούμενα Trinc. συγκιρνώμενα Heins.

h) περιστροφῆς A.

i) πάντες A.

k) φθίνουσαν B.

l) Addidi ὑπὸ Ἀθηναίων ex A.

m) ποιεῖται B. et mox, ἐκ τῆς ἀλλήλας σχέσεως ποιοῦσι.

πάντα, καὶ τὴν τροφὴν ἀπομερίζειν τοῖς ἐργάταις, τὸ μὲν εἰς τὴν τοῦ παρελθόντος συντεῖνον ἐπίσκεψιν τῶν πονηθέντων, τὸ δὲ εἰς τὴν τοῦ μέλλοντος συντελοῦν προτροπὴν τῶν πραχθησομένων.. PROCLUS.

Ibid. *ΗΜΑΤΑ Δ' ΕΚ ΔΙΟΘΕΝ.* Οὐ ταύτας μόνον, ὡς ἀπὸ τοῦ Διὸς λέγει εἶναι, τὰς δὲ λοιπὰς οὐχί. Διαιρεῖ δὲ μόνον ταύτας, τὰς μὲν ὡς πρὸς γνῶσιν καὶ τὸ φιλοσοφεῖν συμ-
343 βαλλομένας, τὰς δὲ ὡς ἐργαστικὰς, καὶ τὰς μὲν, ὡς ἐν τῇ ἡμῶν σπουδῇ, τὰς δὲ, ὡς ἐν τῇ τοῦ ἀέρος φύσει κειμένας. PROCLUS.

Ibid. *ΗΜΑΤΑ Δ' ΕΚ ΔΙΟΘΕΝ.* Μετὰ τὴν τῶν ἔργων διδασκαλίαν, καὶ τὴν λοιπὴν ὑποθήκην [n]) τε καὶ παραίνεσιν, νῦν διαλαμβάνει περὶ τῶν τῆς σελήνης ἐφημερίδων [o]). Κατάρχεται γοῦν καί φησιν ὁποία τούτων ποίῳ τῶν ἔργων καθέστηκε χρήσιμος, κἂν δεινῶς καὶ συγκεχυμένως καὶ κακοζήλως, ἔτι δὲ καὶ ψευδῶς, καὶ οὐχ, ὥσπερ ὁ μέγας Ὀρφεὺς, διδασκαλικῶς τε καὶ τεταγμένως [p]) καὶ κατ' εὐκρίνειαν, καὶ τὸ πλέον τεχνικωτέρως καὶ ἀληθῶς. Ἐκεῖνος μὲν γὰρ οὕτω φησί [q])·

[r]) Πρῶτον μὲν πρώτῳ ἐνὶ ἤματι φαίνεται Ἄρης.
Μήνη δ' [s]) εἰς τ' Ἄρην ἐπιτέλλεται· ἴσχεο δ' ἔργων.
Τὴν δὲ γὰρ ἐξανύσασα φύσιν δίκερων ἀναφαίνει.
Αὐτὰρ ἐπὴν τρίτον ἦμαρ ἀπόπροθεν ἠελίοιο,
[t]) Πᾶσιν ἐπιχθονίοισι φυτοσπόρου αἰτίη ἀλκῆς.
[v]) Τετράδι δ' αὐξομένη πολυφεγγέα λαμπάδα τείνει.

Καὶ καθεξῆς, [w]) ε ς ζ μέχρι τῆς λ. οὗτος δὲ τριακοστὴν λέγει ἔννην. Εἶτα, [x]) δ, ζ, η, ια, ιβ, ιγ, ις, ς, η, ιβ, κ, ι, ιδ, κδ, δ, ε, ιζ, δ, ιθ, θ, κβ. οὕτως ταῦτα συγκεχυμέ-

n) τε καὶ om. Trinc.
o) Ita Trinc. κατέρχεται καὶ φ. ποῖα Heins.
p) Ita Trinc. πρὸς εὐκ. Heins. Mox τεχνικωτάτως E.
q) Haec omnia pertinent ad Maximum περὶ καταρχῶν. HERMANN. Orph. p. 497.
r) πρῶτα E. F. H. Bas. Ἄρσης E. ἄρσως Trinc.
s) ὥστ' ἄρρην F. H. ὥστ' ἀρεῖν Trinc. Mox παρεξανύσασα F. Trinc. παρεξανύσασαν E. ἀπόπροθι Trinc.
t) πᾶσιν ἀνεπιχθονίοισι F. ἐπιχθονίῃσι Trinc.
v) τετράδα Trinc.
w) Ita E. F. πέντε ἓξ ἕπτα μ. τριακοστῆς Trinc. πέμπτην· ἕκτην ῆν, ζ Bas. πέμπτην ἕκτην ἑβδόμην μ. τῆς λ. H. Mox τριακοστὴν om. Trinc.
x) η. θ. ια. E. η. θ. ι. ια. ιβ. ιγ. ις. ς. η. ιβ. κ. ι. ιδ. κδ. δ. ε. ιζ. δ. ιθ. θ. κδ. ιδ. κα. F.

νως φησί. *ΗΜΑΤΑ ΕΚ ΔΙΟΘΕΝ*, ἐκ νοὸς καὶ φρονούντων, ἢ τοῦ οὐρανοῦ, φυλάσσων καὶ ἐπιτηρῶν τὰς ἡμέρας καλῶς καὶ κατὰ τὸ πρέπον, πέφραδε, καὶ λέγε τοῖς δμωσὶ, τὴν λ̄ τοῦ μηνὸς τῆς σελήνης ἀρίστην εἴς τε τὸ ἐπιτηρεῖν τὰ ἔργα, καὶ [y]) διαδιδόναι τροφὰς, ὁπότε τέως οἱ λαοὶ κρίνοντες τὴν ἀλήθειαν ἔχωσι τὴν λ̄ τῆς σελήνης, καὶ οὐ ψευδῶς. Tzetzes.

Ibid. *ΕΚ ΔΙΟΘΕΝ.* [z])Ἤγουν ἐκ νοὸς καὶ φρονίμων μάνθανε, ἢ ὁρῶν τὴν σελήνην ἐν οὐρανῷ, καὶ τοὺς λοιποὺς ἀστέρας γίνωσκε. Tzetzes.

Ibid. *ΗΜΑΤΑ Δ' ΕΚ ΔΙΟΘΕΝ ΠΕΦΥΛΑΓΜΕΝΟΣ.* Ποιητικῶς λέγεται τὸ, ἐκ Διόθεν, ὡς τὸ, ἐξ οὐρανόθεν. Φυλάττομαι τὸ ἐκφεύγω· ἐνταῦθα δὲ τὸ πεφυλαγμένος, ἀντὶ τοῦ φυλάττων, τουτέστι παρατηρῶν, ἡμέρας δὲ ἀπὸ τοῦ Διὸς λέγει, τὰς ἀγαθάς. Ἔχει δὲ πᾶς ὁ λόγος οὕτως· τὰς ἡμέρας 344
δὲ τὰς ἀπὸ τοῦ Διὸς, τουτέστι τὰς ἀγαθὰς, παρατηρῶν καλῶς κατὰ τὸ πρέπον, ἐντέλλου τοῖς δούλοις σου· τοῦτο γὰρ τὸ *ΠΕΦΡΑΔΕΜΕΝ*· κατὰ τὴν τριακοστὴν τοῦ μηνὸς, τοῦ τῆς σελήνης δηλονότι, τὴν ἀρίστην (τὴν δὲ αἰτίαν, δι' ἣν αὐτὴν ἐξαιρέτως ἀρίστην λέγει, ὁ Πρόκλος διέξεισιν) οὐκ ἐργάζεσθαι, ἀλλ' ἡσυχίαν ἄγειν, καὶ ἐφορᾶν τὰ ἔργα τὰ πονηθέντα κατὰ τὸν παρελθόντα μῆνα. Καὶ τὴν τροφὴν αὐτοῖς ἀπομέριζε, παρασκευάζων αὐτοὺς ἐπὶ τὰς ἐργασίας τοῦ ἐπιόντος μηνὸς ὁπηνίκα ἂν ἄγωσιν αὐτὴν τὴν τριακάδα, δηλονότι οἱ λαοὶ, ἀλήθειαν κρίνοντες, οὐχ ὑπεξαίρεσιν, ὡς οἱ Ἀθηναῖοι δηλονότι, ποιοῦντες· οὗτοι γὰρ τὴν πρὸ τριακάδος ὑπεξαιροῦντες ἐνάτην καὶ εἰκοστὴν τὴν τριακάδα καλοῦσιν· οὐδ' ἐμβολίμους μῆνας τιθέντες, ὡς συγχεῖσθαι τὴν ἀληθινὴν τοῦ μηνὸς τῆς σελήνης τριακάδα. Εἶτα θέλων διεξελθεῖν τὰς ἡμέρας, ἃς εἴρηκεν παρατηρεῖν αὐτὸν, ἐπαναλαμβάνει τὸν λόγον, καὶ φησίν· αἱ δὲ γὰρ ἡμέραι, ὁ γὰρ ἀντὶ τοῦ δὲ, ἤγουν αὗται δέ εἰσιν αἱ ἡμέραι αἱ παρὰ τοῦ Διὸς τοῦ βουλευτικοῦ, ἃς εἶπον δηλονότι παρατηροῦντά σε, κατὰ τὴν τριακοστὴν τοῦ μηνὸς ἀργίαν ἄγειν, καὶ τὰ πονηθέντα ἐφορᾶν ἔργα. Moschop.

764. *ΤΡΙΗΚΑΔΑ ΜΗΝΟΣ ΑΡΙΣΤΗΝ.* Διότι ἡ λ' ἀπομιμεῖται τὴν ἀλήθειαν, κατὰ γὰρ ταύτην ἡ σελήνη τῷ ἡλίῳ

y) διδόναι Trinc.

z) ἤγουν ἐκ Διὸς Bas. καὶ om. Trinc.

συνέρχεται καὶ συνήνωται. Καὶ ἐπεὶ ἴδιον τῆς ἀληθείας τὸ μονοειδὲς ἐναντίως τοῦ ψεύδους ἐχούσης, τὸ γὰρ ψεῦδος πολυσχιδὲς, διὰ ταῦτα [a]) *ὡς ἑνοποιὸς ἡ λ' τῇ μονοειδεῖ ἀληθείᾳ ἀπείκασται.* Proclus.

Ibid. *ΤΡΙΗΚΑΔΑ ΜΗΝΟΣ ΑΡΙΣΤΗΝ. Ἰστέον, ὅτι μῆνα τὸν τῆς σελήνης λέγει· διὰ τοῦτο καὶ ἕνα μῆνα τοῦτον μόνον φησὶ καὶ τριακονθήμερον. Ὁ γὰρ τῆς σελήνης μὴν τοιοῦτός ἐστι, κθ ἥμισυ ἡμερῶν καὶ* [b]) *τετάρτης. Καὶ τὴν τριακοστὴν δὲ ἡμέραν, οὗτος ἀγαθὴν λέγει, ἣν* [c]) *Ὀρφεὺς φαύλην πᾶσιν ἔργοις φησὶ,* [d]) *δοσοληψίαις δὲ μόναις ἐσθλήν.* Tzetzes.

766. *ΕΥΤ' ΑΝ ΑΛΗΘΕΙΗΝ. Ὁπόταν τὴν ἀληθῆ σύνοδον οἱ λαοὶ διακρίνοντες ἄγωσι. Τοῦτο δέ φησιν, ὅτι ἄλλοι ἐν εἰκοσιοκτὼ ἡμέραις, ἕτεροι δ' ἐν πλείοσι, τὴν σύνοδον γίνεσθαι φασίν· ἀλλὰ μὴν καὶ ἐμβολιμαίους ἀναπλάττονται μῆ-*
845 *νας. ΑΛΛΩΣ.* [223]) *Ὅταν μετὰ ἀληθείας κρίνωσιν οἱ ἄνθρωποι τὰς ἡμέρας, ἤτοι ὅταν τὴν ἀληθῆ ἐπίστανται σύνοδον, καὶ μετὰ ἀκριβείας γινομένην. Ἄλλοι γὰρ ἀλλοίως δοξάζουσιν, ἐπειδὴ καὶ ἐμβολιμαίους μῆνας εἰώθασι τιθέναι. Αὗται γὰρ αἱ ἡμέραι εἰσὶ παρὰ τοῦ θεοῦ, αἱ τῆς σελήνης, οὐχὶ τοῦ μηνός· ἐπειδὴ αἱ τοῦ μηνὸς ἡμέραι, οὐχ αἱ αὐταὶ πανταχοῦ, αἱ δὲ τῆς σελήνης, αἱ αὐταί.* Proclus.

767. *ΑΙ ΔΕ ΓΑΡ ἩΜΕΡΑΙ ΕΙΣΙ ΔΙΟΣ. Τὴν μὲν τριακάδα πεποίηται ἀρχὴν, δι' ἣν εἴπομεν αἰτίαν, οὐκ ἐργάζεσθαι ἀξιώσας ἐν αὐτῇ, ἀλλ' ἐποπτεύειν τὰ ἔργα. Φασὶ γοῦν τινες τότε καὶ τοὺς μύρμηκας ἡσυχίαν ἄγειν· ἐπιδήλως καὶ τοῦτο πολλοῖς γίνεται τεκμήριον τοῦ εἶναι τριακάδα, καὶ τὴν*

a) *καὶ ὡς* B. *ἑνωποιὸς* omnes.
b) *τέταρτον* E. *τετάρτου* H. Bas.
c) *Ὀρφεὺς πάσης ἔννης φαύλης φησί* Trinc.
d) Ita Bas. E. H. *δυσοληψίαις μόνον ἐστιν αἰσθλή* Trinc. *δυσοληψίας* Heins.

223) Indigna Proclo sententia: nam minores illos satrapas nihil moramur: qui nobis non insolenter fumum vendunt. *Ἀλήθεια* est *ἡ δίκη.* Hesychius, *ἀληθὴς, δικαία* et *δίκαιος.* Observavi locos similes apud philosophos, qui jam non succurrunt. *Κρίνειν ἀλήθειαν*, est *δικάζειν: judicare, jus pronunciare.* Nam quis ferat illa quae *περὶ συνόδων, περὶ ἐμβολιμαίων* adferunt veteres? Mirum est quo labore ea in medium afferant, quae nihil minus sunt quam verisimilia. Sed quid agas? tanti saepenumero est Graecis hominibus falsum dicere. Nam Tzetzis qui glossam leget, *ὁπότε τέως οἱ λαοὶ κρίνοντες τὴν ἀλήθειαν ἔχωσι τῆς λ σελήνης, καὶ οὐ ψευδῶς,* mirabitur in capite

σελήνην σύνοδον ποιεῖσθαι πρὸς ἥλιον. Τὴν δὲ σῦν ἀνίερον Αἰγύπτιοί φασιν, ὅτι μίξεσι χαίρει κρυπτομένης ὑπὸ τοῦ ἡλίου τῆς σελήνης. Καὶ μήποτε καὶ τοῦτο τὸ ζῶον, ὡς χθόνιον καὶ γεννήσεσι χαῖρον, οἰκεῖόν ἐστι πρὸς ταύτην εἰκότως μάλιστα τῆς θεοῦ τὴν συνοδικὴν [e]*)φύσιν, ἣν πρὸς ἥλιον λόγον ἔχειν, ὡς θήλεος πρὸς ἄῤῥενα, φασί. Μετὰ δὲ ταύτην ἀπὸ τῆς νουμηνίας ἀρξάμενος ἐπαινεῖ τὰς τρεῖς, τὴν ἔνην, οὕτως καλῶν τὴν νουμηνίαν παρὰ τὸ ἕν, τὴν τετράδα, τὴν ἑβδόμην, καὶ πάσας ἱερὰς λέγων, τὴν δὲ ἑβδόμην καὶ ὡς Ἀπόλλωνος γενέθλιον ὑμνῶν, διὸ καὶ Ἀθηναῖοι ταύτην ὡς Ἀπολλωνιακὴν τιμῶσι δαφνηφοροῦντες,* [224]*) καὶ τὸ κανοῦν ἀποστρέφοντες, καὶ ὑμνοῦντες τὸν θεόν. Ἔχουσι δὲ αἱ τρεῖς μεσότητα ἀριθμητικὴν, καὶ ἡ τετρὰς μετὰ τῆς ἑβδομάδος τὸν εἴκοσι καὶ ὀκτὼ ἀριθμὸν, καθόσον ἡ σελήνη διήσι τὸν Ζωδιακόν. Αἱ γὰρ λοιπαὶ ἐπικινήματα αὐτῆς ἔχουσιν, ἵνα καταλάβῃ τὸν ἥλιον. Ἡ μὲν οὖν πρώτη, ἡ καὶ ἔνη ῥηθεῖσα, ὡς ἀρχὴ, θεῖόν ἐστι, καὶ γὰρ πᾶσαν ἀρχήν φησι Πλάτων εἶναι θείαν, καὶ γενέθλιος αὐτοῦ καλεῖται τοῦ μηνός. Καὶ ὁ μὴν ἐν αὐτῇ παρ'* [f]*) Ὀρφεῖ προσαγορεύεται μονόκερως μόσχος. Ἁπλῶς μὲν γὰρ ὁ μὴν, ὡς γενέσεως ἐργάτης, λέγεται βοῦς· ὡς δὲ πρώτην ἔχων* [g]*) τότε τῆς οἰκείας οὐσίας τὴν ἔκφασιν, μόσχος· καὶ διὰ τὸ μοναδικὸν, μονόκερως. Ἡ δὲ τετράς ἐστιν ἐν τῇ μονάδι συγγενής· διότι καὶ αὐτὴ πάντας περιέχει τοὺς ἁρμονικοὺς λόγους, οὓς εἶχεν ἡ μονὰς σπερματικῶς, τὸν μὲν ἐπίτριτον ποιοῦσα πρὸς τὴν τριάδα, τὸν δὲ διπλασίονα πρὸς τὴν δυάδα, τὸν δὲ τετρα-*

tam calumnioso, tam parum cerebri fuisse: sed non potuerunt hominem pulidum, et qui Hesiodo tam indignis modis passim obtrectaret, aliter punire Musae, quam ut ne verum diceret. Heinsius.

e) *φασὶν* A. B. An *φάσιν*?

224) Scribe, *καὶ τὸ κανοῦν ἐπιστρέφοντες*, ut videbatur illustri Scaligero. Caeterum erat non tantum *Ἀπολλωνιακὴ ἡ ἑβδομὰς*, sed et *τοῖν κουροτρόφοιν τοῖν θεοῖν* sacra erat, duobus Latonae liberis. Halicarnassensis in *τέχνῃ· εἰ δὲ ἑβδόμη ἢ ἕκτη ὅτι ἱεραὶ τοῖν θεοῖν, καὶ ὅτι κοινωνία πρὸς τὸ κρεῖττον, κατὰ τὸ τῆς γενέσεως*. Hinc *αἱ ἑβδόμαι* lusibus puerorum destinatae erant. Unde homo quidam ridiculus *καὶ κωμῳδούμενος ἐπὶ χλευασίᾳ*, dicebatur *ἑβδόμη* a suis: quod sicut pueri *ταῖς ἑβδόμαις*, sic ille in judiciis et rebus seriis circa nugas et res nihili versabatur. Heinsius.

f) Vide Orphei Fragm. xxxvi. Locus Platonis nescio an sit celebris ille in Phaedro p. 245. D.

g) *ποτε* B.

346 πλασίονα πρὸς τὴν αὐτὴν μονάδα. Οὗτοι δέ εἰσιν οἱ ἁρμονικοὶ λόγοι· ὁ διὰ τεσσάρων, ὁ διὰ πασῶν, ὁ δὶς διὰ πασῶν. Ἡ δὲ ἑβδομὰς [h]) ἄλλως ἐναρμόνιος, ἐκ μονάδος οὖσα, καὶ δυάδος, καὶ τετράδος, καὶ ἔχουσα δὶς τὸ διὰ πασῶν, καὶ ταύτῃ μὲν τῇ τετράδι συγγενὴς, τῇ τε μονάδι, καθόσον ἀπ' αὐτῆς γεννᾶται μόνης τῆς εἴσω δυάδος· τῶν δ' ἄλλων, ὁ μὲν ὑφ' ἑνὸς, ὡς τετρὰς καὶ ἐννεάς· ὁ δὲ ὑπὸ δυοῖν, ὡς ἡ ἑξὰς, [i]) ὑπὸ τοῦ δύο καὶ τρία, καὶ ἡ ὀγδοὰς, ὑπὸ τοῦ δύο καὶ τέσσαρα· καὶ οὐδένα γεννᾷ, καθάπερ ἡ δυὰς καὶ ἡ τριὰς γεννῶσιν, ἡ μὲν ἄλλον, ἡ δὲ ἄλλον. Διὰ μὲν οὖν τὸ ἐναρμόνιον, Ἀπόλλωνος ἥρμοσε γενέσει· διὰ δὲ τὸ ἀμήτορα καὶ ἀθήλυντον εἶναι, τῆς Ἀθηνᾶς αὐτὴν εἶπεν ἱεράν. PROCLUS.

Ibid. *ΑΙ ΔΕ ΓΑΡ ἩΜΕΡΑΙ.* [k]) Αὗται γὰρ εἰσὶν αἱ ἡμέραι παρὰ τῆς ἀμετάτρεπτον βουλὴν ἐχούσης εἱμαρμένης, ἀγαθαὶ δηλονότι· ἡ ἕνη, ἡ τετράς τε, καὶ ἡ ἑβδόμη, ἱερὰ ἡμέρα· ἐν τῇ ζ̄ γὰρ Λητὼ, φησὶν, ἐγέννησε τὸν Ἀπόλλωνα, ἤγουν τῇ ἑβδόμῃ ἐκ τοῦ χάους ἐφάνη ἥλιος. [l]) Κακῶς δέ φησι· τετάρτῃ γὰρ γέγονε, καὶ ἐφάνη. [m]) Ἡ ὀγδόη τε καὶ ἐννάτη, αὐξανομένης τῆς σελήνης, ἔξοχαι ἡμέραι εἰς τὸ πράττειν, ἡ ιᾱ καὶ ἡ ιβ̄, εἰς τὸ κείρειν ὄϊς (τοῦτο γὰρ νῦν τὸ πείκειν δηλοῖ) καὶ εἰς τὸ θερίζειν. Ἡ δὲ ιβ̄ τῆς ια̅ κρείττων. Ἐν τῇ ιβ̄ γὰρ νήθει τὰ νήματα ὁ ἀράχνης, ὁ πετόμενος ἐν τῷ ἀέρι ἐν ταῖς μεγίσταις [n]) θερείαις ἡμέραις, ὅτε ὁ μύρμηξ σταχυολογεῖ. Ἕνη, ἡ πρώτη τῆς σελήνης, παρὰ τὸ ἓν ἔννη, ὅθεν νῦν δασύνεται, ὡς μὴ διπλασιάσαν τὸ ν̄. Ὅτε δὲ [o]) διπλασιοῖ τὸ ν̄, ψιλοῦται ὡς Αἰολικόν. Τετράς τε καὶ ἑβδόμη·

Καπνοὺς Προκλικοὺς ἁρμονικοὺς ἐνθάδε,
Καὶ τοὺς [p]) ἀριθμοὺς εἰ σκοπεῖν θέλεις, σκόπει. TZETZES.

h) ἄλλος A. B. Sequentia corrupta videntur. Suspicor reponendum esse καθόσον ἀπ' αὐτῆς γεννᾶται μόνης τῶν εἴσω δεκάδος. Vide p. 348, 1. Paullo infra reposui ἐννεὰς pro ἑνάς.

i) ὑπὸ A. ἀπὸ Vulgo.

k) εἰσὶν παρὰ τῆς ἀμετάτρεπτον Trinc. sine αὗται γὰρ — αἱ ἡμέραι. ἀμετάτρεπτον E. ἀμετάτροπον Bas. Heins. βουλὴν θυμὸν ἐχούσης E.

l) καλῶς γὰρ Trinc. qui mox γὰρ om.

m) Ita Trinc. E. F. et H. ubi ὀγδοάτη. ὀγδοάτη τε sine καὶ ἐννάτη Bas. Heins. αὐξανομένης Trinc. reliqui αὐξομένης.

n) θείαις Trinc. Mox σταχολογεῖ Trinc. σταχυλογεῖ E.

o) διπλασιᾶ Trinc. διπλασιεῖ F.

p) Ita F. Trinc. ἀριθμῶν Bas. Heins. τετρὰς—σκόπει om. E. H.

768. *ΠΡΩΤΟΝ ΕΝΗ, ΤΕΤΡΑΣ ΤΕ.* Ἀντὶ τοῦ ἡ πρώτη ἡμέρα τῆς γεννήσεως. [q]) Φιλόχορος δὲ ἐν τῷ περὶ ἡμερῶν, ἡλίου καὶ Ἀπόλλωνος λέγει αὐτήν· ἡ δ' Ἡρακλέους καὶ Ἑρμοῦ ἐστιν· ἡ δὲ ἑβδόμη ἱερὰ Ἀπόλλωνος, ἐν αὐτῇ γὰρ ἐτέχθη· διὸ καὶ ἑπτάτονος αὐτοῦ ἡ κιθάρα· ἡ τετρὰς, Ἡρακλέους· ἐν αὐτῇ γὰρ ἐτέχθη. Καὶ λέγομεν ὅτι

[225]) Τετράδι [r]) κοῦρος ἔγεντο, καὶ οὔποτε πάγκακος ἔσση.

ΑΛΛΩΣ. Τὴν ἔνην πρώτην φησὶν ὡς τῇ ἀριθμητικῇ 347 ἁρμόζουσαν, ἢ πρώτη τῶν μαθηματικῶν, ἐν ᾗ προηγεῖται ἡ μονάς. Τὴν δὲ τετάρτην, ὡς τοὺς ἁρμονικοὺς περιέχουσαν λόγους· καὶ τὸν διὰ τεσσάρων, τὸν καὶ ἐπίτριτον· τρία γὰρ καὶ ἕν, τέσσαρα· τὸν διὰ πασῶν, τὸν καὶ διπλάσιον· δύο γὰρ καὶ δύο, τέσσαρα· τὸν δὶς διὰ πασῶν, τὸν καὶ [t]) δὶς διπλασιαζόμενον· δὶς γὰρ δ' ὀκτώ. PROCLUS.

Ibid. *ΠΡΩΤΟΝ ἙΝΗ ΤΕΤΡΑΣ.* Πρῶτον ἡ ἕνη ἐστὶ, δηλονότι ἡμέρα ἀπὸ τοῦ Διὸς, τουτέστιν ἀγαθὴ, ἤγουν ἡ πρώτη τοῦ μηνὸς, ἡ καὶ νουμηνία, καὶ ἡ τετάρτη, καὶ ἡ ἑβδόμη ἱερὸν ἦμαρ· εἶτα ἐπάγει τὴν αἰτίαν ὅπως ἱερὰ ἡ ἑβδόμη, καὶ φησί· κατὰ ταύτην γὰρ ἔτεκεν ἡ Λητὼ τὸν Ἀπόλλωνα, ἤγουν τὸν ἥλιον τὸν χρυσοειδεῖς ἀκτῖνας ἔχοντα· τοῦτο γὰρ δύναται τὸ χρυσάορα, τὸν χρυσῆν σπάθην φέροντα δηλονότι. Καὶ τὴν μὲν ἕνην φησὶ Πρόκλος εἰπεῖν αὐτὸν ἀγαθὴν, ὡς ἀρχὴν, καὶ διὰ τοῦτο θείαν, πᾶσαν γὰρ ἀρχὴν θείαν εἶναι ἐνόμιζον· τὴν δὲ τετάρτην, ὡς συγγενῆ οὖσαν τῇ μονάδι· περιέχειν γὰρ καὶ αὐτὴν πάντας τοὺς ἁρμονικοὺς λόγους, οὓς ἡ μονὰς εἶχε σπερματικῶς. Τὴν δὲ ἑβδόμην διότι ἱερὰν εἶπεν, αὐτὸς ἡρμήνευσεν ὁ Ἡσίοδος. Κατὰ τίνα δὲ λόγον ἥρμοσαν αὐτὴν τῇ γενέσει τοῦ Ἀπόλλωνος, ὁ Πρόκλος λέγει, καὶ ἁπλῶς πάσας αἰτίας, δι' ἃς τὴν μὲν τῶν ἡμερῶν ἐπιτηδείαν ἐπὶ ταύτην τὴν ἐργασίαν ὁ Ἡσίοδος τίθησι, τὴν δὲ ἐπὶ ταύτην οὗτος λέγει, καὶ δεῖ προσέχειν αὐτῷ. MOSCHOP.

q) Vide Hemsterhusium ad Aristoph. Plut. p. 425.

225) Facillima est emendatio, Τετράδι κοῦρος ἔγεντο, et, καὶ οὔποτε πάγκακος ἔσται: praeterfugit tamen oculos nostros; alias in contextu emendari potuisset. HEINSIUS.

r) κῦρος B. Trinc. ubi etiam ἐγένετο — ἔση.

s) τὸν δὶς διὰ πασῶν inserit B.

t) δὶς δὶς B.

770. *ΟΓΔΟΑΤΗ Τ' ΕΝΑΤΗ ΤΕ.* Τὴν ὀγδόην καὶ ἐνάτην εἰκότως καὶ ὡς συντελεστικὰς [v]) ἐπαινεῖ, καὶ διὰ τοῦτο ἡγεῖσθαι αὐτὰς τῶν ἀνθρωπίνων ἔργων. Ἡ μὲν γὰρ πρώτη πάσας ἔσχε τὰς διαστάσεις, κύβος οὖσα ἐκ τῆς δυάδος, καὶ τὴν ἐπὶ τῇ πρώτῃ ποιησαμένη πρόσοδον· ἡ δὲ δευτέρα πρώτη τετραγωνικὸν ἔχεν εἶδος, ἀπὸ περιττοῦ τῆς τριάδος αὐτὴν [w]) γεννησαμένης. Διὸ καὶ ἡ μὲν ὡς τελείως διαστᾶσα, ἡ δὲ, ὡς ἀπὸ [x]) τελείου γενομένη, τέλος ἐπάγουσι τοῖς κατειργασμένοις ἐν αὐταῖς. PROCLUS.

Ibid. *ΟΓΔΟΑΤΗ Τ' ΕΝΑΤΗ ΤΕ.* Καὶ ἡ ὀγδόη καὶ ἡ ἐνάτη δύο γε μὲν αὗται ἡμέραι τοῦ μηνὸς αὐξομένου ἔξοχοι, ἤγουν ἐξαίρετοι, εἰς τὸ πένεσθαι, ἤτοι ἐνεργεῖσθαι τὰ ἔργα τὰ ἀνθρώπινα. Τὸ πένεσθαι παρὰ μὲν τοῖς κοινοῖς, τὸ πένητα εἶναι δηλοῖ, ἐνταῦθα δὲ τὸ ἐνεργεῖσθαι σημαίνει. MOSCHOP.

771. *ΕΞΟΧ' ΑΕΞΟΜΕΝΟΙΟ.* Μετὰ τὴν ζ' γίνεται ἀμφίκυρτος, ἤτοι ὑπὲρ τὸ ἥμισυ φωτιζομένη. Διὰ τοῦτό φησιν,

Ἔξοχ' ἀεξομένοιο.

Τὴν δὲ ἑβδόμην ὡς ὑπὸ μόνης γεννωμένην τῆς μονάδος,
348 καὶ ὡς μὴ γεννῶσαν τινὰ τῶν ἐντὸς δεκάδος ἀριθμῶν· τὴν δὲ ὀγδόην, ὡς κύβον καὶ πρώτην τὴν τριχῇ διάστασιν δεχομένην. Τοῦ γὰρ τετραγώνου ἐπιπέδου ὄντος (δὶς γὰρ δύο τέσσαρα) ὁ κύβος στερεός ἐστιν, ὡς τὴν εἰς μῆκος καὶ βάθος καὶ πλάτος [y]) ἔχων κίνησιν· δὶς γὰρ τέσσαρα, ὀκτώ· ὅθεν καὶ συντελεστικός ἐστι πάσης ἐργασίας· τὴν δὲ ἐννάτην, ὡς ἀπὸ τοῦ γ' τετραγωνιζομένην, ὡς ἔστιν ἰδεῖν ἐν τῷ πλίνθῳ. Τετράγωνος δὲ ἀριθμός ἐστιν, ὁ ἰσάκις ἴσος μετρούμενος, ἤτοι ὑπὸ δύο ἴσων ἀριθμῶν· ὡς τὸ δὶς δύο, δ'. κύβος δὲ, ὁ ἰσάκις ἴσος ἰσάκις, ἤτοι ὁ ὑπὸ τριῶν ἴσων ἀριθμῶν μετρούμενος, ὡς τὸ, δὶς δύο δ'. καὶ τετράκις δύο, ὀκτώ. Ὁ τοίνυν ὄγδοος ἀπὸ τοῦ β' κύβος γίνεται. Λέγεται ἡ θ' καὶ κατὰ τοῦτο συμφέρον εἶναι, ὡς ἀπὸ τελείου ἀριθμοῦ γενομένη τοῦ τρία, ἀρχὴν ἔχοντος τὴν μονάδα, μέσην τὴν δυάδα, καὶ τέλος τὴν τριάδα,

v) ἐπαινεῖν A. B. Mox ποιεῖσθαι pro ἡγεῖσθαι A. B. Trinc. Tacite mutavit Heinsius.

w) γεννησάσης A.

x) τελείας B.

y) ἔχειν B. et mox συντελικός.

ἤτοι τὴν τριχῆ διάστασιν καὶ τὸν τετραγωνισμόν. Πᾶς δὲ ἀριθμὸς ὁ ὑφ' ἑαυτὸν πολυπλασιαζόμενος τετράγωνος λέγεται, ὡς τὸ τρὶς τρεῖς ἐννέα. PROCLUS.

Ibid. *ΑΕΞΟΜΕΝΟΙΟ.* Ἀπὸ ᾱ, [z]) μέχρι ιδ̄ ἡμέρας καὶ ἡμίσεως ὁ σεληναῖος αὔξεται κύκλος, εἶτα μέχρι κθ̄ φθίνει· [a]) τῇ δὲ λ̄ φθίνει τελείως, καὶ πάλιν νέα προέρχεται, συνοδεύουσα τῷ ἡλίῳ. Ἐπεὶ δὲ ὁ Ἡσίοδος οὐκ [b]) ἐπετήρησεν εὐκρίνειαν καὶ τάξιν, ἀλλ' ἀλληνάλλως καὶ συγκεχυμένως τὰς ἡμέρας διδάσκει, καὶ ὁμωνύμως, ὀγδόας ἢ τετάρτας, λέγων [c]) μόνον τὸν αὐξανόμενον μῆνα, εἶπεν, ἵνα νοήσῃς τὴν [d]) πρώτην ὀγδόην, καὶ τὴν πρώτην ἐνάτην· [e]) μηδὲ τὴν δευτέραν ὀγδόην καὶ τὴν δευτέραν ἐνάτην, ἤτοι τὴν ὀκτωκαιδεκάτην, ἢ ἐννεακαιδεκάτην, εἴτε τὴν τρίτην, ἤγουν τὴν κη̄, καὶ κθ̄. Πάντας γὰρ ἐνθάδε τοὺς ἀριθμοὺς, ἀπὸ μονάδος [f]) μέχρι δεκάδος, τριπλῶς λέγει, μονάδα πρώτην τὴν ἕνην, δευτέραν μονάδα τὴν ια̅. τρίτην τὴν κα̅. [g]) δυάδα πρώτην τὴν β', δευτέραν, τὴν ιβ̄· γ, τὴν κβ. τριάδας τρεῖς, τὴν γ, τὴν ιγ, τὴν κγ. δ, ιδ, κδ, καὶ τὰ λοιπὰ ὁμοίως, μέχρι καὶ αὐτῆς τῆς δεκάδος. ᾱ δεκὰς ἢ ῑ. β, ἢ κ. γ, ἢ λ. Δύο, τὸ ο μικρὸν, καὶ ἔστι μακρὸν, ὡς λῆγον εἰς μέρος λόγου. Ἀττικῶς [h]) δὲ μέγα. TZETZES.

Ibid. *ΜΗΝΟΣ ΑΕΞΟΜΕΝΟΥ.* Ὁ μὴν ὁ σεληναῖος, ὡς ἔφην, μέχρι ιθ̄ ἡμέρας καὶ [i]) ἡμισείας αὔξεται· ἐκ τότε δὲ μέχρι τῆς λ φθίνει. Τοῦτο γοῦν δηλοῖ νῦν, ὅτι ὀγδόην ἡμέ- 349 ραν καὶ θ̄ σοι λέγω τὰς τῆς αὐξήσεως τῆς σελήνης, ἤγουν τὴν πρώτην ὀγδόην, καὶ τὴν πρώτην θ̄, οὐ τὴν δευτέραν, ἤγουν τὴν ιη̄, ἢ τὴν ιθ̄, ἢ τὴν κη̄, ἢ κθ̄. Αἱ γὰρ τέσσαρες ἐκεῖναι φθίσεως εἰσὶ τῆς σελήνης, οὐκ αὐξήσεως. TZETZES.

z) Ita F. μέχρι καὶ ιδ̄ ἡμέρας ὁ σ. E. H. μέχρι ιδ̄ ἡμέρας καὶ ἡμισείας καὶ τετάρτη ἡμέρα Trinc. μέχρι καὶ ιδ̄ ἡμίσεως καὶ τετάρτης ἡμέρας Bas. Heins.

a) τὴν E. H. καὶ φθίνει H. τῇ δ. λ. φ. om. F. Mox προσέρχεται F.

b) ἐτήρησεν E. Trinc. λάμψιν pro τάξιν Trinc. Mox καὶ συγκεχυμένως om. Bas. Trinc.

c) λέγει μόνας, διὰ τοῦτο αὐξανόμενον μῆνα Trinc. μόνον διὰ τοῦτο τὸ αὐξανομένου μηνὸς E. H. μόνον δ. τ. αὐξανομένῳ μηνὶ F. τὸ αὐξόμενον μηνὸς Bas.

d) Ita E. F. H. Bas. τετάρτην Trinc. Heins.

e) μετὰ δὲ E.

f) ἔνθα δεκάδας τριπλαῖς Trinc.

g) δυάδα π. τ. β. om. Trinc.

h) Ita F. Trinc. ω̅ Heins.

i) ἡμίσεως E. ὁ μὴν ad νῦν ὅτι om. Bas.

772. ἘΝΔΕΚΑΤΗ ΤΕ. Τῶν μετὰ τὴν δεκάδα ἀριθμῶν ἡ ἑνδεκάτη τὴν μονάδα ἀποστοιχειοῦται. Διὸ καὶ ταύτην, ὡς ἀναλογοῦσαν πρὸς ἐκείνην, ἐπήνεσεν, εἴς τε τὸ πόκους προβάτων [k]) ἐξαιρεῖν, καὶ καρποὺς ἐκ τῆς γῆς ἀμᾶσθαι· συγγενῆ γὰρ ταῦτα ἀλλήλοις, ἐπεὶ καὶ τὸ θερίζειν, κείρειν καλοῦσι τὴν γῆν, καὶ τὸ κείρειν, οἷον θερίζειν ἐστὶ τοὺς ὄϊς. Ἄμφω δὲ εἰς τὴν τοῦ σώματος τείνει θεραπείαν· τὸ μὲν, εἰς τὴν τροφὴν, τὸ δὲ, εἰς τὴν σκέπην. Καὶ οἰκεῖα τῇ ἑνδεκάτῃ μὲν, ὡς ἀρχῇ τῆς τρίτης πεντάδος, τῆς μάλιστα αὐξητικῆς τοῦ σεληναίου φωτός· τῶν γὰρ τριῶν πεντάδων ἡ πρώτη, ἀτελεστάτη· ἡ δὲ τρίτη, τελειοτάτη. Καὶ εἴτε τροφὴν αὐτῆς, εἴτε περίβλημα τὸ ἀφ' ἡλίου φῶς λέγειν ἐθέλεις, οἰκείαν ἐρεῖς τὴν ἑνδεκάτην, ἀρχὴν οὖσαν τῆς τελειωτικῆς τοῦ φωτὸς πεντάδος, εἴς τε θερισμὸν, καὶ εἰς κουρὰν τῶν προβάτων. Τῇ δωδεκάτῃ δὲ, ὡς ἔτι μειζόνως αὐξητικὴ τοῦ φωτὸς, οὕτως τὴν ἀρχὴν εἶχε τῆς τελείας ἐπιδόσεως πρὸ αὐτῆς· ἔχει δὲ καὶ τὴν ἐννέα μετὰ τῆς πλευρᾶς καὶ μέχρι τῆς ἀπὸ τοῦ τρία τελειότητος, καὶ τῆς ἀπὸ τοῦ ἐννέα ἰσότητος. Εἰ δὲ καὶ δὶς ἔχει τὴν ἑξάδα τὴν πρώτην τοῖς ἑαυτοῦ μέρεσιν ἴσην καὶ διὰ [l]) τοῦτο τελείαν, εἰκότως ἔπρεπε ταῖς ἀπὸ τῶν τελείων καρπώσεσι. Διὸ καὶ μᾶλλον ἐσθλὴ λέγεται καὶ εἰκότως, διότι καὶ αὐτῶν ἐστι τῶν θεῶν ἀριθμὸς, τήν τε ἀῤῥενοποιὸν αὐτῶν ἑξάδα καὶ τὴν θηλυπρεπῆ περιλαβὼν οὗτος ὁ ἀριθμός. Ὅτι δὲ καὶ φυσικὴν ἔλαχεν ὁ ἀριθμὸς οὗτος οἰκειότητα πρὸς τὰ ὑφάσματα, ὧν ἕνεκεν καὶ τοὺς ὄϊς κείρουσι, διὰ τῶν ἑπομένων ὑπομιμνήσκει. PROCLUS.

Ibid. ἘΝΔΕΚΑΤΗ ΤΕ. Καὶ ἡ ἑνδεκάτη, καὶ ἡ δυωδεκάτη, ἄμφω γε μὴν ἀγαθαὶ καὶ εἰς τὸ πείκειν, ἀντὶ τοῦ κείρειν, ὄϊς, καὶ εἰς τὸ ἀμᾶσθαι, ἀντὶ τοῦ ἀμᾷν, ἤγουν θερίζειν, τὸν εὐφροσύνην ποιοῦντα καρπόν. Ἡ δὲ δυωδεκάτη μέγ' ἀμείνων, ἀντὶ τοῦ καταπολὺ κρείττων, τῆς ἑνδεκάτης· κατὰ ταύτην γὰρ πλέκει τὰ ἑαυτοῦ νήματα ὁ ἀράχνης ὁ ἀερσιπότητος, ἀντὶ τοῦ ὁ ἀερσιπότης, ἤγουν ὁ ἐν τῷ ἀέρι πετόμενος. MOSCHOP.

773. ΠΕΙΚΕΙΝ δὲ κυρίως τὸ ξαίνειν· ὅθεν καὶ τὸ,

πεξαμένη χερσί·

k) ἐξαίρειν A. B. Trinc. Mox τὴν γῆν addidi ex A.

l) τούτου A.

νῦν δὲ τὸ κείρειν. *ΕΥΦΡΟΝΑ ΚΑΡΠΟΝ.* Ἡδύτατον, τέρποντα τὴν ψυχὴν, ἢ εὐφραίνοντα. PROCLUS.

Ibid. *ΠΕΙΚΕΙΝ.* Κυρίως τὸ κτενίζειν ἢ πλέκειν· νῦν δὲ τὸ κείρειν τῶν προβάτων τὰ ἔρια. TZETZES.

775. *ΤΗι ΓΑΡ ΤΟΙ ΝΕΙ ΝΗΜΑΤΑ.* Ὁ μὲν ἀράχνης φυσικῶς κινεῖται πρὸς τὰς ὑφάνσεις, ἔχων τὶ κατὰ τὴν m) φαν- 350 τασίαν εὐδιάρθρωτον, ὡς δηλοῖ, κύκλους ἐπὶ κύκλοις ἐξυφαίνων, καὶ αὐτὸς ἐν τῷ κέντρῳ τῶν κύκλων ἐνεδρεύων τὰ θηρώμενα, ἵνα ἐξ ἴσου πάντων ἀπέχῃ τῶν ἐμπιπτόντων· καὶ θαυμαστὸν οὐδέν· ὥσπερ ἄλλα τῶν ζώων κινεῖται κατὰ φύσιν 226) ὑπ᾽ ἄλλου τῆς φύσεως, ὃ καὶ προεῖπε πρότερον, τὰ μὲν συνοδικῶς, τὰ δὲ πληροσελήνων, οὕτω καὶ τὸν ἀράχνην πρὸς ταύτην ἔχειν συμπαθῶς τῶν n) πλήρεις οὐσῶν ἡμερῶν τελευταίαν. Εἰ γὰρ μετὰ γένοιτ᾽ ἂν ἀποκρουστικὴ, καὶ ἀφαίρεσιν o) ἀναγάγοι τοῦ φωτός· αὕτη δὲ ἀεὶ αὐξητικὴ μόνως, καὶ τοῦτο ἔχει τελευταία. Δεῖ δὲ κἀκεῖνο συνορᾶν, ὅτι μάλιστα δεῖ τοῖς ὑφαίνουσι φωτὸς, ὅπερ αὐτὴ προξενήσει, τέλειον ἔχουσα τὸ φῶς p) ἄδεκτον ἐλαττώσεως. Ὁ μὲν οὖν ψυχρὸς ἀὴρ καὶ νεφελώδης ἐμποδών ἐστι τοῖς ἔργοις· ὁ δ᾽ ὑπὸ τοῦ φωτὸς ἑκατέρου q) θερμαινόμενος συμπράττει πρὸς πάντα τὰ τοιαῦτα. Τὸ μὲν οὖν ἄρχεσθαι τῶν ἔργων ἐν αὐτῇ καλόν· καὶ τοῦτο φυσικῶς μὲν οἱ ἀράχναι, κατὰ δὲ πεῖραν οἱ ἄνθρωποι γινώσκουσι. Τὸ δ᾽ ἐναντίον, τὸ καθαίρειν τοὺς ἱστοὺς περὶ πανσέληνον, αἴτιον εἶναι τοῦ κόπτεσθαι τὰ ὑφάσματα, τῶν ἄκρως ἐστὶ δεδημευμένων. *ΑΛΛΩΣ.* Ἐν ᾗ νήθει τὰ νήματα αὐτοῦ ὁ ἐν τῷ ἀέρι πετόμενος ἀράχνης, ὅταν r) ὡς ἔμπειρος ἀνὴρ, ὁ μύρμηξ θησαυρὸν ἑαυτοῦ σωρεύῃ ἐκ πληρεστέρας ἡμέρας ὑπὲρ τὴν νύκτα, Ἰουλίου καὶ Αὐγούστου. *ΑΛ-*

m) Ita A. vulgo ὑφανσίαν, quae vox nihili est. Mox omnes εὐδιάθρωτον. Litera facile poterat excidere.

226) Scribe, ὑπ᾽ ἄλλης τινὸς φύσεως. HEINSIUS.

n) πλήρης A. πλήρεις B. Trinc. Gr. πλήρους Heins. An πληροσελήνων?

o) ἀναγάγῃ B.

p) ἄδεκτον. ἐλαττώσεως μὲν οὖν A. B.

q) θερμὸς A. B.

r) ὡς om. B. ὁ Trinc. et ὡς ὁ μύρ. Mox ἑαυτῷ B. Trinc. Hoc Scholion ab ἐν ᾗ ν. ad Αὐγούστου exaratum est in A. ad imam paginam a manu recenti. Paullo infra dedi ἐργαστικωτέρας ex A, pro ἐργατικωτέρας.

ΛΩΣ. Ὡς ἐργαστικωτέρας οὔσης τῆς δωδεκάτης, τῷ νήματι τῆς ἀράχνης χρῆται· *ΑΕΡΣΙΠΟΤΗΤΟΣ ΔΕ*, τῆς ἐν ἀέρι πετομένης. Proclus.

Ibid. *ΤΗι ΓΑΡ ΤΟΙ ΝΕΙ.* Ἀγαθὴ, φησὶ, ἡ ιβ. εἰς τὸ ἐργάζεσθαι. Κατὰ γὰρ τὴν δυοδεκάτην s) τοῦ πλέον καὶ μεγάλου ἤματος, ἤτοι τοῦ θερείου, ἢ τοῦ ὁλοκύκλου, (t) κατὰ γὰρ τὴν ιβ ὁλόκυκλος ἡ σελήνη,) ὁ ἀράχνης ὁ ἀέρι πετόμενος ἄρχεται ἱστουργεῖν, ὅτε ὁ μύρμηξ ὁμοίως ἐν τῇ θερινῇ ιβ, κατάρχεται τοὺς στάχυας συλλέγειν· τότε γυνὴ τοῦ ἱστουργεῖν ἀρξαμένη προφερὴς τοῖς ἔργοις v) γενήσεται. Tzetzes.

Ibid. *ΑΕΡΣΙΠΟΤΗΤΟΣ.* Ὁ ἐν τῷ ἀέρι πετόμενος. Πα-
351 ρεσχηματίσθη δὲ ἡ εὐθεῖα αὕτη ἀπὸ γενικῆς. w) Ἀερσιπότης μὲν γὰρ κλίνεται ἀερσιπότου, ἀλλὰ καὶ τοῦ ἀερσιπότητος· ἀπὸ τῆς ἀερσιπότητος οὖν γενικῆς οὗτος τὴν εὐθεῖαν ταύτην παρεσχημάτισεν. *ΑΡΑΧΝΗΣ* λέγεται τὸ ζωΰφιον αὐτὸ τὸ x) ὑφαντουργόν· ἀράχνιον δὲ τὸ ὑπ' ἐκείνου ὑφαινόμενον. Tzetzes.

776. y) *ΗΜΑΤΟΣ ΕΚ ΠΛΕΙΟΥ.* Καθὸ τὸν φωτισμὸν ἡ σελήνη πλήρη ἔχει ἐν αὐτῷ. Proclus.

Ibid. *ΗΜΑΤΟΣ ΕΚ ΠΛΕΙΟΥ.* Ἢ ἐν μεγάλῃ ἡμέρᾳ, ἢ ἐκ τοῦ πλείστου τῶν ἡμερῶν. 227) *ΙΔΡΙΣ* δὲ νῦν ὁ ἔμπειρος μύρμηξ· σωρὸς δὲ ὁ θησαυρός. Proclus.

s) τοῦ πλέον ad ὁλοκύκλου om. Bas. τοῦ ὅλου κύκλου Trinc.

t) Ita E. et fere F. ubi κβ ὁ κύκλος τῆς σελήνης. κατὰ γὰρ τὴν ιβ τοῦ κύκλου τῆς σ. Trinc. ὅτι ὁλόκ. ἡ σ. Bas. Heins.

v) γένηται Trinc.

w) ὁ ἀερσιπότητος γὰρ κλίνεται τοῦ ἀερσιπότητος. ἀλλὰ καὶ τὸ ἀερσιποτήτου Trinc.

x) ὑφαντικὸν Trinc.

y) Hoc Scholion dedi ex A. Mox ἢ ἐκ τοῦ πλ. A. ἢ ἀπὸ τοῦ πλ. Trinc. ἔμπορος pro ἔμπειρος Trinc. Similis est varietas Aesch. Pers. 604. ubi v. Blomfield.

227) Sicut mensis αὐξομένου partes sunt quae τῷ φθινομένῳ opponuntur, ita sunt αὐξομένου ἤματος partes. αὐξανόμενον ἦμαρ dicitur, usque ad μεσουράνημα et meridianam solis elevationem: dies cum solaris currus ultra medium est, πλέον ἦμαρ dicitur. Certum est autem Hesiodum non dies modo sed et dierum partes statuere: quas veteres observabant. Ut non immerito supra Proclus: καὶ οὐχ ὅλας ἡμέρας μόνον ὑπέλαβόν τινες εὐκαιρίαν ἔχειν πρὸς καταρχάς τινῶν πράξεων, ἀλλὰ καὶ μόρια τῆς ἡμέρας, ὁτὲ μὲν τὰ ἑωθινὰ ἐπαινοῦντες, ὁτὲ τὰ περὶ δείλην ὀψίαν. Ὅπου καὶ τοῖς μὲν θεοῖς οἰκεῖα τὰ πρὸς μεσημβρίαν εἰρήκασιν, ἥρωσι δὲ τὰ μετὰ μεσημβρίαν, et quod nos addimus, τοῖς δὲ καταχθονίοις τὰ περὶ δυσμάς. Quod in ritibus et sacris serio observatum scimus, ut Diis singulis singulas dierum partes tribuerent.

Sequuntur quae in Hesiodi dierum rationem a Tzetze notata

Ibid. [z]) ΙΔΡΙΣ. Ἔμπειρος. Λέγει δὲ τὸν μύρμηκα, ὡς προγινώσκοντα καιροὺς καὶ ἀνέμους καὶ [a]) ἀναισίους ἡμέρας. Ἐν σαββάτῳ 352
γὰρ καὶ [b]) λ̄ τοῦ μηνὸς τῆς σελήνης οὐκ ἐργάζεται· καὶ χειμερίου καιροῦ γίνεσθαι μέλλοντος, κλείει [c]) τὴν θύραν τῆς ὀπῆς, ἔνθα κατοικεῖ· θερμοτέρου δὲ πάλιν ἀναπετάννυσι, καὶ τὸν σῖτον εἰς δύο τέμνων ἀποτίθησι, μήπως [d]) ἀναφύσῃ· καὶ ὄμβρου [e]) παρῳχηκότος ἐξάγει τὸν νοτισθέντα σῖτον, καὶ τῷ ἡλίῳ ξηραίνει, μήπως σαπῇ τῇ ἰκμάδι· καὶ ἕτερα τοιαῦτα σοφῆς γνώμης ἐχόμενα. Ἢ ἴδριν αὐτὸν λέγει, ὡς πολύμοχθον καὶ κοπιηρὸν, ἐκ τοῦ [f]) ἰδίω. Tzetzes.

Ibid. ΗΜΑΤΟΣ ΕΚ ΠΛΕΙΟΥ. Ὅμοιον τῷ

μηδέποτ' ἐξ ἠοῦς Διῒ λείβειν,

τουτέστιν ἀρχομένης τῆς μεγάλης ἡμέρας, κατὰ τὸ θέρος δηλονότι, ὅτε ὁ ἴδρις, ἤγουν ὁ μύρμηξ ὁ ἔμπειρος, σωρὸν ἀμᾶται, ἀντὶ τοῦ σῖτον συλλέγων ἀποθησαυρίζει. Κατὰ ταύτην εἰ ἱστὸν στήσαιτο γυνὴ, προβάλλοιτό τε, ἀντὶ τοῦ, ἐπίδοσιν σχοίη τὸ ἔργον αὐτῆς. Moschop.

Ibid. ΗΜΑΤΟΣ ΕΚ ΠΛΕΙΟΥ. Πλεῖον, τὸ πεπληθυσμέ-

sunt non ita multa, in quibus eadem a nobis praestita sunt quod ad emendationem quae in reliquis: praeterquam quod pauca in editione quam secuti simus addiderimus, aut mutaverimus: quod multo minus quam in superioribus mutila hic deprehenderetur nostra aut corrupta: ita ut ne necesse quidem arbitrati simus singulorum rationem reddere. Ut quid enim? cum haec facillime a lectore deprehendi possint, et chartae nos misereat, cui ejusmodi ineptias illinimus: non quin fortasse quaedam etiam hic in Tzetze a nobis suppleta sint quae lectorem scire melius sit, quam ignorare: aut quod tam iniqui in ejus monumenta simus ut existimemus studiosos Hesiodi operam lusuros si interpretationem, quam in multis locis affert sequendam arbitrentur. Sed profitemur libere, ex Grammaticorum schola non sumus, οὐδὲ τῶν φορτικῶν λεπτολογιῶν θιασῶται. Quatenus itaque sine lectoris incommodo fieri potest, aut editionis ipsius religio permittit, libenter hoc labore defungimur. Praeter alia id consecutos esse nos confido, ut nec nihil nec nimium judicio veterum tribuant adolescentes: cum toties tam manifeste lapsi fuerint, ut praeter τὰς πέντε πτώσεις quas profitentur grammatici, saepe πλείους ἢ πεντεκαίδεκα in modica pagella admittant. Heinsius.

z) ὥσπερ γινώσκοντας Trinc.

a) ανεσίμους E. H. Trinc. ἀνοσίμους F. Mihi legendum videtur ἐναισίμους.

b) ἐν τριηκάδι ἡμέρᾳ Trinc. E. F. sine ἡμέρᾳ H.

c) μάνδραν pro τὴν θύραν τ. ὀ. ἐ. κ. Bas. μάνδρα E. Mox θερμοτέρου om. Trinc.

d) ἀναφύησι Trinc.

e) παρεσχηκότος Bas. Mox μυρία Bas. E. pro σοφῆς γν. ἐχ.

f) ἰδίω τῷ κοπιῶ Trinc.

νου καὶ γέμον, καθ' ὃ λέγεται ἐνταῦθα, καὶ κλίνεται τοῦ πλείου. Ἔστι δὲ τριγενές· ὁ πλεῖος γὰρ, ἡ πλεία, καὶ τὸ πλεῖον, ὡς ὁ χρεῖος, ἡ χρεία, καὶ τὸ χρεῖον. Πλέων δὲ καὶ ἀνάπλεων ἐπὶ τοῦ αὐτοῦ, καὶ πλέως ἀφ' οὗ εὐθεῖα τῶν πληθυντικῶν οἱ πλέω, ὡς ἐν τούτοις·

[g]) Οὐ γὰρ τῆς σῆς οὕνεκ' ἐστρατεύσατο
γυναικός· ὥσπερ οἱ πόνου πολλοῦ πλέω,

καὶ

ἀνάπλεως μεγάλα.

Πλεῖον δὲ ἐπὶ συγκριτικοῦ τὸ περισσότερον, καὶ πλέον χωρὶς τοῦ ι, καὶ κλίνεται τοῦ πλείονος καὶ πλέονος· καὶ ταῦτα τριγενῆ, ὁ πλείων γὰρ καὶ ἡ πλείων, καὶ τὸ πλεῖον, καὶ ἔτι τὸ πλέον· ὧν ἁπλᾶ μὲν, ὁ πολὺς, ἡ πολλὴ, καὶ τὸ πολύ· ὑπερθετικὰ δὲ ὁ πλεῖστος, ἡ πλείστη, καὶ τὸ πλεῖστον. Μόνα δὲ ἴσως ταῦτα τὰ ὑπερθετικὰ ἐνεργείᾳ διφθόγγους ἀπὸ τῶν συγκριτικῶν λαβόντα ἐφύλαξεν, ἐνεργείᾳ δὲ εἴρηται, ἐπεὶ τὰ δυνάμει διφθόγγους ἐπὶ τῶν συγκριτικῶν ἔχοντα τουναντίον ἔχουσι· τὰς αὐτὰς γὰρ ἀεὶ φυλάττουσιν ἐπὶ τῶν ὑπερθετικῶν· οἷον λῷον, λῷστον· ῥᾷον, ῥᾷστον. Moschop.

778. ΜΗΝΟΣ Δ' ἹΣΤΑΜΕΝΟΥ. Καλῶς ἐπέστησεν ὁ [h]) Πλούταρχος, ὅτι τὸ σπεῖραι καὶ τὸ φυτεῦσαι, οὐχ ὑπὸ τῶν αὐτῶν ἔοικεν ὠφελεῖσθαι. Τὸ μὲν γὰρ σπέρμα δεῖ καταβληθὲν
353 κρυφθῆναι πρῶτον εἴσω τῆς γῆς καὶ σαπῆναι, καὶ οὕτως ἑαυτοῦ διαδοῦναι τὴν δύναμιν εἰς τὴν περικρύψασαν αὐτὸ γῆν, ἵν' ἐξ ἑνὸς πυροῦ τυχὸν ἢ κριθῆς γένηται πλῆθος. Διὸ καὶ ὑετοῦ δεῖσθαι καὶ πάχνης αὐτό φασι τὴν ἀρχὴν [i]) πιεζόντων ἔσω καὶ χεόντων τὰς ἐν αὐτῷ φυσικὰς δυνάμεις. Τὸ δὲ φυτὸν ῥιζωθὲν βλαστῆσαι χρὴ καὶ ἀναδοῦναι τὸν ἐν τῇ ῥίζῃ κρυπτόμενον λόγον, οἷον [k]) διοχευθείσῃ διὰ φωτός· ὥστ' εἰκότως τὴν τρισκαιδεκάτην πρὸς μὲν τὸ σπείρειν ἀνεπιτήδειον εἶναι, πρὸς δὲ τὸ φυτεύειν ἐπιτηδείαν. Τὸ γὰρ προκαλέσασθαι τὸν ῥιζικὸν λόγον καὶ εἰς ἐπίδοσιν ἄγειν καὶ βλάστην, ἐσήμηνεν διὰ τοῦ [l]) ὀνόματος πρὸς ἃ συντελεῖ, πλεῖον ὂν τὸ ἐκ τῆς σελήνης ἐν

g) Sophocl. Aj. 1111. Alterius exempli sedes non in promtu est

h) Fragm. Comm. n. 49.

i) πιεζούντων A.

k) διοιχηθείσῃ A. B. διοχηθείσῃ Trinc. Mox dedi προκαλέσασθαι pro προσκαλέσασθαι ex em. Wyttenbachii.

l) Vitium subesse videtur. Verti

ταύτῃ φῶς. [m]) *ΑΛΛΩΣ. Ἱστάμενον μῆνα, ὡς εἰκάδα ἔλεγον· μετὰ δὲ τοῦτο, πρώτην φθίνοντος, δευτέραν φθίνοντος. Φιλόχορος δὲ πάσας τὰς τρεῖς ἱερὰς λέγει τῆς Ἀθηνᾶς.* PROCLUS.

Ibid. *ΜΗΝΟΣ Δ' ἹΣΤΑΜΕΝΟΥ.* [n]) *Αὐξανομένης δὲ τῆς σελήνης τῇ ιγ̄ ἔκφευγε ἀροῦν,* [o]) *φυτοκόμει δέ· καὶ καλῶς εἶπεν· οὐ γὰρ ταυτόν ἐστι σπείρειν καὶ φυτεύειν. Ὁ μὲν γὰρ σπόρος καταβληθεὶς δεῖται πρῶτον ἐξυδατώσεως, εἶτα* [p]) *χυλώσεως, καὶ ἀπογαλακτώσεως, καὶ μετέπειτα ῥιζώσεως, εἶτα καὶ ἀναφύσεως· τὸ δὲ φυτὸν τέλειον ὂν δεῖται ῥιζώσεως μόνον,* [q]) *καὶ καλῶς οὕτω λέγει. Καὶ ταῦτα μὲν οὗτος· Ὀρφεὺς δὲ ἐκεῖνος ὁ* [r]) *Θρᾴκιος ἐν τῇ περὶ Γεωργίας οὐ τὴν ἁπλῶς ἡμέραν τῆς σελήνης τὴν τοιάνδε λέγει* [s]) *λυσιτελῆ, ἢ καὶ ἀνόνητον, ἀλλ' ὅταν τοιῶσδε σχηματισθῇ καὶ συντρέχῃ ζωδίοις τε καὶ τοῖς* [t]) *ἄστρασιν. Ὁ δὲ σοφὸς Πρόκλος οὐκ εἰδὼς τὰς τοιαύτας δυνάμεις, οὐ βούλεται συνετῶς ἀσπάζεσθαι τὴν περὶ τούτων σιγὴν, ἀλλ' ἐπεὶ λέγειν οὐκ οἶδε, λαλεῖν οὐκ αἰσχύνεται,* [v]) *ἀριθμητικοὺς λόγους καὶ ἁρμονίας ἐπάγων οἷσπερ οὐ δεῖ.* TZETZES.

Ibid. *ΜΗΝΟΣ Δ' ἹΣΤΑΜΕΝΟΥ. Ἱστάμενον μῆνα ἕως εἰκάδος ἔλεγον· μετὰ δὲ τοῦτο, πρώτην φθίνοντος, καὶ δευτέραν φθίνοντος, καὶ ἑξῆς. Τοῦ μηνὸς δὲ ἱσταμένου, κατὰ τὴν τρισκαιδεκάτην, ἀλέασθαι, ἀντὶ τοῦ ἔκφυγε, σπέρματος ἄρξασθαι. Εἰς τὸ ἐνθρέψασθαι δὲ φυτὰ, ἤγουν περιθάλψαι, καὶ* 354 *βλάστην ἀναδοῦναι ποιῆσαι, ἀρίστη. Τὴν αἰτίαν δὲ τούτων ὁ Πλούταρχος λέγει. Ἡ ἕκτη δὲ ἡ μέση, ἤγουν ἡ ἕκτη καὶ δεκάτη, λίαν ἐστὶν ἀνάρμοστος τοῖς φυτοῖς, εἰς ἄῤῥενος δὲ γέννησιν ἀγαθή· κόρῃ δὲ οὐ συμφέρουσά ἐστιν, οὔτε γενέσθαι πρῶτα, ἤγουν τὴν ἀρχὴν, οὔτε γάμου ἀντιβολῆσαι, ἤγουν ἐπι-*

ac si scriptum esset *ὀνομάσαι.* WYTTENBACH.

m) Post *φῶς* addit A. *ἄλλως· ὀγδοάτη τ' ἐννάτη τε: αὗται αἱ δύο μέχρις αὐξήσεως τῆς ἡμέρας καλαί εἰσι.*

n) Ita Trinc. Alii *αὐξομένης.* Mox Trinc. *τῇ ιγ̄,* alii *τήν.*

o) Ita E. F. H. Trinc. *φυτοκόμως* Bas. Heins. *φυτοκόμος* G.

p) *χιλώσεως* et mox *ἀπογαλακτίσεως* Trinc. Deinde *ῥίζης* Bas. Heins.

q) *καὶ κ. ὅ. λ.* om. Bas. E. G. H.

r) *ὁ θρακήσιος* E. G. H. *θρακίσιος* Bas.

s) Ita Trinc. E. F. G. H. *λυσιτελεῖν* Heins. Mox *ἀνήνυτον* F.

t) *ἄστροις* E. H.

v) *ἀριθμητικὸν λόγον* E. *ἁρμονίους οὕσπερ* Trinc. *οὓς* pro *οἷς* F. post *δεῖ* in F. Trinc. *λέγειν ἐστι τὸ τὰ δέοντα φθέγγεσθαι, λαλεῖν δὲ τὸ φλυαρεῖν.* Notum est Eupolidis de Phaeace dictum ap. Plutarch. Alcib. p. 196. E. *λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.*

τυχεῖν. Οὐδὲ μὴν ἡ πρώτη ἕκτη ἁρμοδία ἐστὶ κόρῃ εἰς τὸ γενέσθαι, ἀλλ' ἔστιν ἤπιον ἦμαρ, ἀντὶ τοῦ ἀγαθὸν, εἰς τὸ τάμνειν ἐρίφους, τουτέστιν εὐνουχίζειν. Moschop.

780. ἛΚΤΗ Δ' Ἡ ΜΕΣΣΗ. Τὴν ἑκκαιδεκάτην μέσην w) ἕκτην εἰπὼν, ὠφέλιμον εἶναι τοῖς φυτοῖς φησὶν, δι' ἣν εἴπομεν αἰτίαν· τὸ γὰρ φῶς χλιαρὸν ὂν τὸ σεληναῖον x) τότε καὶ ὑγρὸν προσκαλεῖται τὴν βλάστην αὐτῶν· y) τῶν δὲ ἀνθρώπων πῶς ἄῤῥεσι μὲν σπέρμασι σύμφορον, θήλεσι δὲ ἀσύμφορον· αἴτιον δὲ τούτων, ὅτι τὸ μέν ἐστι ξηρότερον, τὸ δὲ ὑγρότερον τῶν σπερμάτων, οἷς καὶ αὐτὸ τὸ ἄῤῥεν διαφέρει τοῦ θήλεος. Καὶ διὰ ταῦτα φασὶ καὶ τὰς συλλήψεις τὰς μὲν βορείων πνευμάτων ὄντων γινομένας εἶναι ἀῤῥενογόνους, τὰς δὲ νοτίων θηλυγόνους· καὶ μέντοι καὶ τὰς διαρθρώσεις τῶν θηλέων ἐμβρύων βραδυτέρας γίνεσθαι, ἢ τῶν ἀῤῥένων, διὰ τὸ ἐκεῖ z) τὴν ὑγρότητα μὴ ῥαδίως κρατεῖσθαι ὑπὸ τῆς δημιουργούσης a) ἐν τῇ φύσει θερμότητος. Φυσικῶς οὖν εἴρηται τὴν ἑκκαιδεκάτην ἀῤῥενογόνον μὲν ἄριστον εἶναι, θήλεσι δὲ ἀσύμφορον· ἔχει δέ τινα καὶ πρὸς γάμους ἐναντίωσιν, τῆς σελήνης πάμπολυ τοῦ ἡλίου διεστώσης. Διὸ καὶ Ἀθηναῖοι τὰς πρὸς σύνοδον ἡμέρας ἐξελέγοντο πρὸς γάμους, καὶ τὰ θεογάμια ἐτέλουν, τότε φυσικῶς εἶναι πρῶτον οἰόμενοι γάμον τῆς σελήνης b) οὔσης πρὸς ἡλίου σύνοδον. ΑΛΛΩΣ. Ἑξκαιδεκάτη οὐκ ἐπιτηδεία τοῖς φυτοῖς· τὸ γὰρ τῆς σελήνης φῶς χλιαρὸν ὂν σηπτικόν ἐστι. Τότε οὖν τὰ τμηθέντα ξύλα σήπεται, καὶ ὁ μεταχεόμενος οἶνος ὀξίζει. Proclus.

Ibid. ἛΚΤΗ Δ' Ἡ ΜΕΣΣΗι. Ἡ β̅, ἤγουν ἡ ι̅ς̅ ἀσύμφορος c) φυτουργία.

Πάλιν δ' ὁ Πρόκλος d) φυσικῶς ψευδῆ γράφει.

Τὸ φῶς γὰρ, φησὶ, τῆς σελήνης, ὡς χλιαρὸν, τὰ φυτευόμενα

w) Voces ἕκτην et τοῖς φυτοῖς ex ed. Heins. exciderunt. Mox θερμὸν pro χλιαρὸν A. B.

x) τότε deest A. B. Negantem particulam mox delevi cum iisdem MSS. Pro προσκαλεῖται l. προκαλ.

y) ἐπὶ δ' ἀνθ. edd. Mox πῶς adjeci ex A.

z) Ita B. Antea, τῆς ὑγρότητος μὴ ῥαδίως κρατουμένης.

a) τὴν θερμότητα φύσεως B. τῇ θερμότητι φύσεως A.

b) οὔσης om. A.

c) φυτουργίας E. φυτουργεῖν Trinc.

d) φυσικὰ Trinc. et mox ἡμέρας pro σελήνης. Locus Isocratis est Demonic, p. 11. B. ed. H. St.

σήπει. Ἀλλ' ὦ Πρόκλε, εἰ τὸν Ἰσοκράτην ἀνέγνωκας ῥήτορα γράφοντα, "Δύο καιροὺς τοῦ λέγειν ποιοῦ, ἢ περὶ ὧν οἶδας ἀκριβῶς, ἢ περὶ ὧν λέγειν ἐστὶν ἀναγκαῖον," οὐκ ἂν παρὰ καιρὸν θρασυνόμενος ἐξελέγχου· e) ἐνιαχοῦ τε καὶ πολλαχοῦ, ὡς 355 καὶ νῦν τὴν τῆς σελήνης ἑκκαιδεκαταίαν θερμὴν εἶναι λέγων καὶ σηπτικὴν τῶν φυτευομένων, f) οὐκ ἂν ἡμᾶς κατὰ σοῦ μακρηγορεῖν ἐπανηρέθιζες.

ff) Ἐμοὶ τὸ λοιπὸν χρώμενος διδασκάλῳ,
Ἄκουε λεπτῶς τὴν σεληναίαν φύσιν,
Φύσεις ἁπάντων τῶν χυμῶν g) κληρουμένην.
Ὑγρὰ μέν ἐστι διχάδος πρώτης μέχρι,
Τὴν βρεφικὴν αὔξησιν ἐκμιμουμένη,
Θερμὴ δὲ πανσέληνον h) ἀντρέχει δρόμον.
Ἀκμαστικὴ γὰρ καὶ σφριγᾶν δοκεῖ τότε.
i) Εἶτα δὲ λοιπὸν εἰς διχάδα δευτέραν
Ξηρὰ ταπεινή· πρὸς παρακμὴν γὰρ τρέχει.
Ἔπειτα γηρᾷ καὶ δοκεῖ τεθνηκέναι,
Ψυχρὰ, δυσειδὴς, συγκρυβεῖσα τῷ γνόφῳ.
Κἂν ἐξ ἀδήλου πάλιν ἔρχεται νέα,
Πρόσωπα καλλύνουσα καὶ πληρουμένη.
Ταυτὶ μὲν οὕτως· k) ὡς δὲ Πρόκλος σὺ γράφεις,
Καί τοι περισσὸν ἡ κενὴ στωμυλία. ΤΖΕΤΖΕΣ.

781. *ΑΝΔΡΟΓΟΝΟΣ Τ' ΑΓΑΘΗ.* l) Πρῶτα μὲν ἰστέον συντόμῳ λόγῳ, ὅτι τὰ περὶ τῶν ἡμερῶν τῇδε λεγόμενα παρ' Ἡσιόδῳ λῆρος εἰσὶ πάντα καὶ ψευδῆ, ἐξαιρέτως δὲ τὰ περὶ τῶν γενεθλίων. Μόνη γὰρ ἡ σελήνη οὔτε ὠφέλιμος, οὔτε βλαβερὰ, εἰ μὴ τοιῶσδε ἢ τοιῶσδε σχηματισθῇ ζῳδίοις καὶ ἄστρασιν. Ἃ m) παραληπτέον μοι λέγειν, ὡς μαθηματικὰ, καὶ πολυπλήθειαν ἔχοντα· οὐ γὰρ (ὡς ὁ Πρόκλος) ἡμεῖς ἀκαίρως γράφειν ἐθέλομεν, οὐδὲ ἐπιδείκνυσθαι, καὶ Ἡσιόδῳ ἐναντιοῦ-

e) ἐξελέγχου πανταχοῦ· καὶ νῦν E. ἐξελέγχου πολλά· καὶ νῦν τὴν σελήνην G. ἐνιαχοῦ τε om. H. ἐνιαχοῦ τε κ. π. om. Bas.

f) οὐκ ἂν κατὰ σοῦ — ἐπανηρέθηζες Trinc. οὐδ' ἂν — κατά σε — παρηρέθιζες vulgo. Mox ἐμοὶ δὲ λοιπὸν E. H.

ff) Tzetzem ad Aeschyli Prom. 330. respicere notavit Porsonus apud Blomfieldium. Idem observavit versus κἂν ἐξ ἀδήλου — πληρουμένη Sophocleos esse apud Plutarch. Vita Demetr. p. 911. C.

g) κληδουμένων E. H. Mox δίχα τῆς Trinc. Heins. Alterum recte habent Bas. E. F. H.

h) ἂν τρέχῃ Trinc. E. H.

i) ἔπειτα sine δὲ Trinc.

k) εἰ δέ τις πλείω γράφει κόμπος περισσὸς καὶ κ. σ. Trinc.

l) πρῶτον et mox λῆρα Trinc.

m) περιληπτέον Trinc. et mox πυλυπλῆθος.

356 σθαι, ἀλλὰ [n]) τοῦτον ἐπεξηγεῖσθαι. Καὶ δὴ λοιπὸν κατὰ τὸν Ἡσίοδον ἐξηγητέον μοι. Tzetzes.

783. ΟΥΔΕ ΜΕΝ Ἡ ΠΡΩΤΗ. Τὴν [o]) πρώτην ἕκτην ἀνεπιτηδείαν πρὸς κόρης γέννησιν εἶναι βούλεται, καί τοι τῆς Ἀρτέμιδος οὖσαν ἱερὰν, ὡς γενέθλιον τῆς θεοῦ. Διὸ καὶ προτέραν γενέσθαι φασὶ τοῦ Ἀπόλλωνος, ἵνα καὶ μαιεύσηται τὸν ἀδελφόν. Καὶ πῶς γὰρ οὐ μέλλει θεοῦ [p]) λοχείας εἶναι πρεπόντως ἱερὰ ἡ ἕκτη, πρώτη τελεία οὖσα, καὶ τῆς λοχείας, οὐ τῶν ἔτι ἀτελῶν οὔσης, ἄμβλωσις γὰρ ἡ ἐκείνων ἐστὶ διάκρισις, ἀλλὰ καὶ τῶν τελείων; Ἡ μὲν οὖν Ἄρτεμις τελεσιουργὸς οὖσα τῶν κυημάτων, καὶ ἐκφαντικὴ τῶν φυσικῶν λόγων, τῶν κρατησάντων τῆς ὕλης, εἰκότως ἐν τῇ ἕκτῃ γενέσθαι μυθολογεῖται, Ταῖς δὲ τῶν θνητῶν θηλείων γενέσεσιν εἰκότως ἐστὶν ἀνάρμοστος αὕτη, διότι κρατεῖ μὲν ἡ θεὸς αὕτη τῶν σεληνιακῶν φωτισμῶν, ἔστι δὲ παρθένος καὶ γεννᾷν οὐκ ἐθέλουσα. Πρὸς οὖν τὴν τῶν θηλείων [r]) γένεσιν ταύτην ἀνεπιτήδειον δείκνυσι, συμφέρουσαν δὲ, ὡς ἐρεῖ, πρὸς τὴν ἀνδρῶν· ἐκτομαῖς δὲ ἐρίφων καὶ ἀρνίων, οὓς εἶπε ΠΩΕΑ ΜΗΛΩΝ, ἐμπρέπουσαν, ὡς τὸ γόνιμον καὶ τούτων τῆς ἐκτομῆς ἀφαιρούσης. Μήποτε δὲ καὶ αὕτη φυσικῶς ἡ ἑξὰς ἀνδράσι μὲν εἰς τελείωσιν οἰκεία, γυναιξὶ δὲ οὐ, δυοῖν ἔγγονος οὖσα, δυάδος καὶ τριάδος, καὶ τῆς τριάδος ἐν αὐτῇ κρατούσης. Ἔστι γὰρ τριμερὴς, ἐκ μονάδος, δυάδος, καὶ τριάδος, οἷς ἐστιν ἴση, καὶ διὰ τοῦτο τελεία. Πρὸς μὲν οὖν θείαν γένεσιν εὖ ἔχει, πρὸς δὲ θνητὴν ἀσυμμέτρως τὴν τοῦ ὁμόρου γένους. Proclus.

784. ΚΑΙ ΠΩΕΑ ΜΗΛΩΝ. Περιφραστικῶς, ἀντὶ τοῦ ἀρνία, καὶ εἰς τὸ περιβαλεῖν σηκὸν τῶν προβάτων, τοῦτο γὰρ

n) τούτου ὑπεξηγεῖσθαι Trinc. Mox καὶ δὴ λ. κ. τ. η. ε. μ. om. E. ubi leguntur sequentia: τὴν ις ἀσύμφορον φυτουργίαις, ἀῤῥένων δὲ γενεθλίοις ἀγαθήν· οὐ μέντοι γε θηλειῶν γενεθλίοις ἢ γάμοις· οὐδὲ τὴν πρώτην, ἕκτην, ἤτοι τὴν ἑκταίαν τῆς σελήνης λέγει ἁρμόδιον εἰς θηλειῶν γενέθλιον, ἀλλ' εἰς μανδροποιίας, καὶ ἀπευνουχίσεις, καὶ ἐκτομὰς ποιμνίων χρησίμην. Ἀγαθὴν δέ φησιν αὐτὴν καὶ ἀνδρῶν γινεθλίοις· πεφύκασι γὰρ γίνεσθαι οἱ τότε γεννηθέντες ὡς Ἡσίοδος· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένα λέγω, ὑβρισταὶ, ψεῦσται, αἱμύλοι, καὶ μοιχικοί. Similia fere habet H. ubi ἀρσένων — τῆς σελήνης εἰς θηλειῶν γένεσιν.

o) πρώτην om. A. B. Mox ἐκ pro πρὸς A. Mox φασιν om. B.

p) λογχείας εἶναι A. λοχείας ἵνα reliqui.

q) καὶ deest A. Mox τελευτουργὸς A.

r) γένεσιν, τὴν γένεσιν φασὶ τ. A. B.

τὸ ποιμνήϊον. Σηκὸν δὲ λέγει τὸ κοινῶς μανδρίον. Ἀγαθὴ δὲ εἰς ἄῤῥενος γέννησιν ἡ πρώτη ἕκτη. Φιλεῖ δὲ, ἤγουν ἀγαπᾷ, τὸ γεννώμενον, ἐν αὐτῇ δηλονότι, ὑβριστικὰ λέγειν, καὶ ψεύδη φιλεῖ· καὶ λόγους αἱμυλίους, ἤγουν ἀπατηλοὺς, καὶ κρυφίους ὀαρισμοὺς, ἤγουν ὁμιλίας μετὰ γυναικῶν. MOSCHOP.

786. *ΕΣΘΛΗ Δ' ΑΝΔΡΟΓΟΝΟΣ.* Εἰ ὁ περισσὸς ἄῤῥην δυσδιαίρετος ὢν, ὡς ὁ ἄρτιος θῆλυς εὐδιαίρετος, καὶ ὁ μὲν μονάδι φίλος, ὁ δὲ δυάδι, πρῶτον ὄντα τὸν τρία περισσὸν εἰκότως ἂν εἴποις ἀῤῥενωπότατον. Οὗτος δὲ καὶ συντεθεὶς ἑαυτῷ καὶ διπλασιασθεὶς ἐποίησε τὸν ἕξ, καὶ ἐπεὶ μονὰς καὶ δυὰς καὶ τριάς εἰσιν οὗτοι [s]) μόνη πρόοδος ἐπιστροφὴ τὸν ἓξ ἀπετέλεσεν· ὥστ' εἰκότως ἀῤῥενογόνος ἑξὰς οὐκ οὖσα, τοῖς γεννᾷν ὀφείλουσιν εὐάρμοστος, ἀλλὰ τοῖς ἀναινομένοις τὴν γέννησιν. Εἰ δὲ φιλοψευδεῖς οἱ ἐν ταύτῃ γεννώμενοι λέγονται, καὶ παραλογισμοῖς χαίροντες, καὶ κρυφίαις συνουσίαις, οὐ θαυμαστόν. Καὶ γὰρ ἡ [t]) φάσις αὐτὴ τὸ εἶδος προφαίνει τῆς διχοτομίας ψευδόμενον· οὐ γάρ ἐστι κατὰ ἀλήθειαν ἴσον τῷ 357 φωτιζομένῳ τὸ σκιερόν. Καὶ ὅτι εἰ ἀόρατος δυὰς εἰς τὴν γένεσιν αὐτῆς παρείληπται, τὸ ψεῦδος [v]) ὑποικουρεῖν μετὰ τῶν κρυφίων ὀαρισμῶν οὐκ ἂν θαυμάσαις. PROCLUS.

Ibid. *ΑΝΔΡΟΓΟΝΟΣ.* Τίκτειν παῖδας ἄῤῥενας ἐν αὐτῇ ἀγαθὸν, τὸ δὲ θηλείας, οὐ καλὸν, οὔτε εἰς τὸ γαμηθῆναι, οὔτε εἰς τὸ γεννηθῆναι. PROCLUS.

788. *ΜΗΝΟΣ Δ' ΟΓΔΟΑΤΗι.* Τὴν ὀγδόην τοῦ μηνὸς, τοῦ Ποσειδῶνος ἱερὰν ὡς ἐπὶ τρία διαστᾶσαν, πρώτην τῷ [w]) τριαινούχῳ θεῷ προσήκειν εἰκότως λέγουσι, καὶ τριχίτωνι τριῶν ἄρχοντι τῶν ἐν κινήσει στοιχείων. Διὸ καὶ τοὺς ταύρους αὐτῷ φέροντες ἀνῆκαν, ὡς ὁρμητικοὺς, καὶ τοὺς κάπρους· ἄμφω γὰρ διὰ θυμὸν ἀκάθεκτοι γίνονται, πραΰνονται δὲ ἐκτμηθέντες· [228]) εἰκότως οὖν τὴν τῷ κινητικῷ θεῷ προσήκουσαν

s) μόνος B. ubi om. καὶ δυάς.
t) Ita A. φαῦσις edd.
v) ὑποικουρεῖ A. B. Trinc. Sub finem hujus Scholii in A. leguntur sequentia: ψεύδεά θ' αἱμυλίους τε λόγους: ὁ δὲ τότε γεννηθεὶς ψευστὴς καὶ χλευαστής ἐστι, καὶ κόλαξ.
w) τριαινύχῳ B. Trinc.

228) Locus manifeste turbatissimus; ad quod cognoscendum ne subsidio quidem asteriscorum uti nos necesse erat: quod tamen melius rati sumus. Notarat ad eum hunc in modum illustris Scaliger: *Hic magna perturbatio est et confusio, et quaedam videntur infulta esse, quae notavimus:* et

ἡμέραν [ὡς καὶ τὴν ἀκίνητον γῆν κινεῖν Ἐνοσίχθων καλούμενος] [x]) ᾠκείωσαν ταῦτα τὰ ζῶα ὁρμητικὰ ὄντα· καὶ μήποτε τὸν μὲν ταῦρον ὡς τῆς ὑγρᾶς οὐσίας [y]) τὰς ἀστάτους τῶν κινουμένων ὁρμὰς κινοῦντα. Διὸ καὶ ὁ θεὸς οὗτος οὐ μόνον Ἐνοσίχθων, ἀλλὰ καὶ [z]) Ἀσφάλειος ὑμνεῖται. Καὶ οἱ τοὺς σεισμοὺς παύειν ἐθέλοντες, Ποσειδῶνι θύουσιν. Ἔχει ἄρα καὶ ἡ πραΰνουσα διὰ τῆς τομῆς τὰ ζῶα οἰκεία τῷ θεῷ πρᾶξις οἰκειότητα πρὸς τὴν ἱερὰν τοῦ Ποσειδῶνος ταύτην ἡμέραν. Proclus.

Ibid. ΜΗΝΟΣ Δ' ΟΓΔΟΑΤΗι. Ἡ δ' [a]) ὀγδόη τῆς σελήνης ἀγαθὴ εἰς ἀπευνουχίσεις χοίρων καὶ κάπρων· ἡ δὲ δυοδεκάτη, εἰς ἐκτομὴν ἡμιόνων. Tzetzes.

Ibid. ΜΗΝΟΣ Δ' ΟΓΔΟΑΤΗι. Κατὰ τὴν ὀγδόην δὲ τοῦ μηνὸς εὐνούχιζε κάπρον καὶ βοῦν ἐρίμυκον, ἤγουν πολλὰ μυκώμενον. Μετὰ τὴν δυωδεκάτην δὲ εὐνούχιζε οὐρῆας, ἤγουν ὀρέας· ἡμιόνους ταλαεργοὺς, τουτέστιν ἐπ' ἔργοις καρτερικούς. Moschop.

789. ΟΥΡΗΑΣ ΔΕ ΔΥΩΔΕΚΑΤΗι ΤΑΛΑΕΡΓΟΥΣ

358 Τὰς ἡμιόνους οἰκειοῦσι τῇ σελήνῃ· διὸ καί τινες αὐτήν φασιν ἐφ' ἡμιόνων ὀχεῖσθαι. Καὶ γὰρ ὁ μὲν ἵππος ἡλιακόν ἐστι ζῶον, ὡς εὔδρομον, ὡς χθόνιον, καὶ τυφῶνι φίλον, καὶ συνουσιαστικόν· ἡ δὲ σελήνη μέση ἀμφοῖν, γῆς μὲν ἔχουσα τὸ σκοτίζεσθαι, ἡλίου δὲ τὸ οἰκεῖον εἰληχέναι φῶς. Ταύτῃ μὲν [b]) οὖν οἰκειοῦται πρὸς αὐτὴν ἡ ἡμίονος. Τῇ δὲ δυοκαιδεκάτῃ προσέταξε τούτους δαμάζειν, ἵνα πρᾳότεροι γίνωνται, διότι τὸ στάσιμον ἡ δυοδεκὰς ἔχει πέρας οὖσα τῶν αὐξήσεων πρῶτον, ὡς προείπομεν. Ἔχει δὲ καὶ ἡ πρὸς τὸ περατοῦν ἄλλως [c]) ἡ δυοδεκὰς οἰκειότητα, τοῖς εἴδεσι τοῦ ἀριθμοῦ τὸ πέρας ἐπάγουσα. Πρώτη γὰρ αὕτη περισσάρτιος, ὃς οὐκ ἦν πρὸ αὐτῆς, οὐδ' εἴσω δεκάδος. **Συγκλείουσα οὖν τὰ εἴδη τῶν ἀριθμῶν εἰκότως [d]) περα-**

paulo post: *ita videtur legendum esse:* εἰκότως οὖν τὴν τῷ κινητικῷ θεῷ προσήκουσαν ἡμέραν οἰκειοῖ, ὡς ταῦτα τὰ ζῶα ὁρμητικὰ ὄντα. *Nam quae delevimus sunt infulta ex iis quae infra sunt.* Nec dubitandum est. Infultum autem quicquid duobus asteriscis distinguimus: ita ut lectori de loco constet, κατηστερισμένον eum relinquere maluimus, quam tollere. Heinsius. Uncinos asteriscorum loco posui.

x) Ita B. ᾠκείωσεν A. οἰκείως vulgo.

y) κινητὰς pro τὰς et mox κινοῦντα om. A.

z) Vide Aristoph. Acharn. 632.

a) ὀγδοάτη τῆς δευτέρας Trinc.

b) οὖν om. B. Mox τούτοις B.

c) ἡ deest A.

d) περατωτικῆς A. Trinc.

τωτική ἐστι, καὶ ἱστᾶσα τὴν πρόοδον τῶν λόγων, ὅθεν δαμαστικαῖς πράξεσιν ἐμπρέπειν ἔδοξε, καὶ ἡμιόνων τῶν [e]) μικτὴν ἐχόντων γένεσιν καὶ αὕτη μικτὴ οὖσα ὡς περισσάρτιος, καθάπερ εἴπομεν. Δεῖν οὖν ἐν ταύτῃ δαμάζειν ἡμιόνους, ἐπιβάλλοντα τὼ χεῖρε καὶ πωλοδαμνοῦντα τοῦτο τὸ ζῶον. PROCLUS.

790. *ΕΙΚΑΔΙ Δ' ΕΝ ΜΕΓΑΛΗι.* Μεγάλην λέγει, παρ' ὅσον τὸ πλεῖστον τῶν ἡμερῶν τοῦ μηνὸς ἔχει. Διὰ τοῦτο διὰ πάσης ἡμέρας ἐπιτηδεία εἰς τὸ γεννᾶσθαι. ΜΕΓΑΛΗΝ δὲ τὴν εἰκοστὴν εἶπεν, οἱονεὶ μεγάλων ἀποτελεστικήν. Ἄριστος δὲ καὶ πολυΐστωρ ὁ ἐν ταύτῃ τικτόμενος. PROCLUS.

Ibid. *ΕΙΚΑΔΙ Δ' ΕΝ ΜΕΓΑΛΗι.* [f]) Μεγάλην εἶπεν, ὅτι τὸ πλεῖστον τῶν ἡμερῶν τοῦ μηνὸς ἔχει. Διὰ τοῦτο διὰ πάσης ἡμέρας [g]) ἐπιτήδειος εἰς τὸ γεννᾶσθαι. Ἢ μεγάλην τὴν εἰκοστὴν εἶπεν, οἷον μεγάλων ἀποτελεστικήν· ἄριστος δὲ καὶ πολυΐστωρ ὁ ἐν αὐτῇ τικτόμενος. Τίκτειν παῖδας ἄρσενας ἐν αὐτῇ ἀγαθὸν, τὸ δὲ θηλείας οὐκ ἀγαθὸν, οὔτε εἰς τὸ γεννηθῆναι, οὔτε εἰς τὸ γαμηθῆναι. Ἄλλοι ἄλλως οἰωνοὶ σημαίνουσιν, ἐκείνους δὲ εἶπεν τοὺς ἀληθῆ συμβάλλοντας εἰς τοῦτο· καὶ ἄλλως καλὴ μὲν ἐστιν ἡ τετάρτη πρὸς τὸ γαμεῖν· ἀλλ' ὅμως οἰωνοσκόπησον καλῶς, περιβλεψάμενος τοὺς ἄνδρας ἐν τῇ ἅλωῇ τῇ λείῳ ἀποθέσθαι τὰ γεννήματα. Ἀκοίτης ὁ ἀνὴρ ἦτα, ἄκοιτις ἡ γυνὴ ἰῶτα. Ὀλίγοι τὴν κζ ἀληθῶς καλὴν εἶναί φασιν εἰς τὸ τὴν ναῦν καθέλκειν εἰς τὴν θάλασσαν, πλὴν εἰ μὴ εἰς τὸ ἕτοιμον εἶναι κατὰ παρέλευσιν τοῦ τοιούτου καιροῦ ἀποπλεῦσαι. ΑΛΛΩΣ. Μεγάλην τὴν εἰκάδα εἶπεν, ὅτι τὸ δίμοιρον τοῦ μηνὸς, ἤγουν αἱ δύο δεκάδες, ἄχρι [h]) ταύτης παρέδραμον. Ἑτέρα δὲ μόνη μία δεκὰς μέχρι τῆς λ ὑπελείφθη. Διὰ τοῦτο δὲ καὶ [i]) πλέον ἦμαρ αὐτὴν λέγει. Φησὶ δὲ, ὅτι ἐν τῇ εἰκοστῇ [k]) ἐστὶ γεννᾶσθαι ἄνδρας πολυΐστορας καὶ σοφούς. TZETZES.

Ibid. *ΕΙΚΑΔΙ Δ' ΕΝ ΜΕΓΑΛΗι.* Ἐν τῇ εἰκάδι δὲ τῇ 359
μεγάλῃ, τῷ πλέῳ λέγω ἤματι. Τοῦτο γὰρ ὥσπερ ἑρμηνευτικόν ἐστι τοῦ μεγάλῃ, ἤγουν τῷ πεπληθυσμένῳ, τῷ τὴν πλεί-

e) μικτῶν B. Trinc.

f) Hinc ad ἀποπλεῦσαι om. Bas. E. F. H. et credo G.

g) ἐπιτηδείας. Trinc. mox ibid. ἀποτελεστική.

h) ταύτην Trinc. Mox μόνη om. F. Trinc.

i) πλεόνων Bas.

k) ἴσθι Trinc. Bas. F.

ονα μοῖραν τοῦ μηνὸς ἔχοντι, πολυΐστορα φῶτα γεννῆσαι. Ἀσαφῶς δὲ τοῦτο εἰπὼν, (δοκεῖ γὰρ διδάσκειν αὐτὸν πολυΐστορα ἄνδρα γεννᾷν, ὥσπερ εἰ ἐπ' αὐτὸ τοῦτο ἦν) ἐπάγει διασαφῶν τὸν λόγον,

μάλα γάρ τε νόον πεπυκασμένος [l]) ἐστίν,

ἤγουν λίαν ἐστὶν ὁ γεννηθεὶς ἐν αὐτῇ δηλονότι, πεπυκασμένος τὸν νοῦν, τουτέστι στιβαρὸς καὶ συγκεκροτημένος· ὥσπερ εἰ ἔλεγεν, Εἰ θέλεις παῖδα γεννῆσαι πολυΐστορα γενησόμενον, κατὰ τὴν εἰκοστὴν τῆς σελήνης τοῦτον γέννησον, μάλα γάρ ἐστι κατὰ τὸν νοῦν συγκεκροτημένος καὶ στιβαρὸς ὁ ἐν αὐτῇ γεννηθείς. Ἴστορα δὲ φῶτα λέγει γεννᾷν, ὡς γενησόμενον πάντως τοιοῦτον· οὐ γὰρ ἅμα τῷ γεννηθῆναι καὶ ἀνὴρ ἔσται πολυΐστωρ. Ἀγαθὴ δὲ ἀνδρογόνος, ἤγουν εἰς ἄῤῥενος γέννησιν ἀγαθὴ ἡ δεκάτη. Κόρῃ δὲ ἀγαθὴ, δηλονότι εἰς τὸ γεννηθῆναι, ἡ τετρὰς ἡ μέση, ἤγουν ἡ τεσσαρεσκαιδεκάτη. Κατὰ ταύτην τὴν τεσσαρεσκαιδεκάτην μῆλα, ἤγουν πρόβατα, καὶ βοῦς ἑλικοειδῶς τοὺς πόδας κινοῦντας, καὶ κύνα καρχαρόδοντα, καὶ οὐρέας ἐπ' ἔργοις καρτερικοὺς πράϋνε, ἐπιτιθεὶς αὐτοῖς τὴν χεῖρα, καταψῶν αὐτοὺς δηλονότι. MOSCHOP.

792. ΕΣΘΛΗ Δ' ΑΝΔΡΟΓΟΝΟΣ ΔΕΚΑΤΗ. Θηλειῶν δὲ [m]) γοναῖς, ἡ ιδ΄. ἀγαθὴ δὲ καὶ πρόβατα, καὶ βοῦς, καὶ κύνας, καὶ ἡμιόνους πραΰνειν, καὶ ἡμεροῦν, καὶ γυμνάζειν [n]) ἐπιβάλλοντα αὐτοῖς τὴν χεῖρα. TZETZES.

795. ΠΡΗΥΝΕΙΝ. Ἀντὶ τοῦ ῥαδίως τὶς [o]) ἐπιθεὶς χεῖρα πᾶν ὁτιοῦν ἡμερώσει. Φυλάττουσι δὲ μὴ λυπεῖσθαι ἡ τετάρτη καὶ ἡ εἰκὰς τετάρτη, ἐπειδὴ ἱεραὶ εἰσὶν αἱ ἡμέραι καὶ τέλειαι εἰς τὸ βλάψαι. PROCLUS.

Ibid. ΠΕΦΥΛΑΞΟ ΔΕ ΘΥΜΩι. Τοὺς πρὸ τούτων [p]) δ' στίχους οὐδὲ μνήμης ὁ Πλούταρχος ἠξίωσεν, ὡς ἂν μὴ φερομένους, τούτους δὲ ἐξηγούμενος ἀξιοῖ μὴ ἐγκαλεῖν τῷ Ἡσιόδῳ, ὡς ἂν γελοίως εἰπόντι, μὴ χρῆναι λύπας ἑαυτῷ κινεῖν ἐν ταύταις, ὡς δέον ἐν ἄλλαις τισὶ τοῦτο ποιεῖν· οὐ γὰρ τοῦτο λέγει, ἀλλ' ὡς ἐν ἱεραῖς ταύταις μάλιστα τὰς λυπηρὰς ἀποσκευάζεσθαι ἐνεργείας· ἃς εἰ καὶ ἄλλοτε δεῖ ὡς ἀναγκαίας αἱ-

l) ἐστὶν — πεπυκασμένος desunt edd. Dedi ex B.
m) Ita E. γονῆς edd.
n) ἐπιβάλλοντας E.
o) ἐπιτιθεὶς B.
p) δύο B. Plutarchi fragmentum est n. 50.

ρεῖσθαι, ἐν ταύταις οὐ δέον. [q]) Τὰς δὲ τετράδας ἄμφω εἶναι ἱεράς· τὴν μὲν ὡς μάλιστα τὸ σεληναῖον ἐκφαίνουσαν φῶς· τὴν δὲ, ὡς τοῦτον ἔχουσαν πρὸς τὴν τετράδα λόγον, ὃν ἡ ἑβδόμη πρὸς τὴν νουμηνίαν. Καὶ γὰρ ἡ τετάρτη καὶ εἰκοστὴν ἑβδόμην ἔχει τάξιν πρὸς τὴν ἐσχάτην. Proclus.

Ibid. *ΠΕΦΥΛΑΞΟ ΔΕ ΘΥΜΩι.* Φυλάσσου δὲ μὴ λυπηθῇς κατὰ τὴν [qq]) δ̄, ἢ κατὰ τὴν κδ̄, ἀποτελεσματικαὶ γὰρ αὗται καὶ ὡς ἂν τότε διατεθῇς, ἐπιπολὺ οὕτως διάξεις. Tzetzes. 360

Ibid. *ΠΕΦΥΛΑΞΟ ΔΕ ΘΥΜΩι.* Φύλαξον δὲ ἐν τῇ σῇ ψυχῇ ἐκφυγεῖν κατὰ τὴν τετράδα τοῦ μηνὸς καὶ φθίνοντος καὶ ἱσταμένου, ἤγουν κατὰ τὴν εἰκοστὴν τετάρτην, καὶ τὴν τεσσαρεσκαιδεκάτην, ἄλγη θυμοβορεῖν, τουτέστι λύπας σαυτῷ κινεῖν βιβρωσκούσας τὴν ψυχὴν, μάλα γάρ ἐστιν, ἡ τετρὰς δηλονότι ἡμέρα, τετελεσμένη, ἤγουν ἱερά. Moschop.

798. *ΕΝ ΔΕ ΤΕΤΑΡΤΗι ΜΗΝΟΣ ΑΓΕΣΘ' ΕΙΣ ΟΙΚΟΝ ΑΚΟΙΤΙΝ.* Ὅτι μὲν ἀρχαία ἡ [r]) διὰ τῶν οἰωνῶν μαντεία, καὶ ταῦτα δηλοῖ, καὶ ὅτι οἱ αὐτοὶ οἰωνοὶ πρὸς ἄλλα μὲν δεξιοὶ, πρὸς ἄλλα δ' ἐναντίοι, σαφῶς ἐδήλωσεν, εἰπὼν,

οἱ ἐπ' ἔργματι τούτῳ ἄριστοι.

τὴν δὲ τετάρτην εἶναι γαμικὴν, εἰκότως, ὡς πρώτην καὶ κατὰ σύνθεσιν καὶ κατὰ πολλαπλασιασμὸν, ἐκ τῆς γονίμου γενομένην δυάδος, ἧς τὸν γάμον ἱερὸν εἶναι φαμέν· καὶ ὡς τῶν ἁρμονικῶν λόγων περιεκτικὴν, ὧν ἔμπροσθεν εἴπομεν, τοῦ διὰ τεσσάρων, τοῦ διὰ πασῶν, τοῦ δὶς διὰ πασῶν, καὶ ὡς μητέρα τῆς δεκάδος, ἥτις κοσμικός ἐστιν ἀριθμὸς, καὶ ὡς μεσότης μονάδος καὶ ἑβδομάδος, κατὰ τὴν ἀριθμητικὴν μεσότητα· διὰ γὰρ ταῦτα πάντα γάμοις οἰκεῖα. *ΑΛΛΩΣ.* Καλὴ μέν ἐστιν ἡ τετάρτη εἰς τὸ γαμεῖν, ἀλλ' ὅμως οἰωνοσκόπησον πρώτως. *ΑΛΛΩΣ.* Ἡ τετάρτη ἱερὰ Ἀφροδίτης καὶ Ἑρμοῦ, καὶ διὰ τοῦτο πρὸς συνουσίαν ἐπιτηδεία. Proclus.

Ibid. *ΕΝ ΔΕ ΤΕΤΑΡΤΗι ΜΗΝΟΣ.* Μὴ λυπηθῇς, φησὶν, ἐν τῇ δ̄, γάμους δὲ ποίει, οἰωνοὺς ἰδὼν γαμικοὺς, καὶ μὴ ἀπαισίους· οἷον κορώνας δύο, [s]) μὴ μίαν ἀλκυόνα, μὴ πελλὸν

q) Lego, τάσδε δὲ τὰς τετράδας — πρὸς τὴν πρώτην τετράδα λόγον — καὶ γὰρ ἡ τετάρτη καὶ εἰκοστὴ ἑβδόμην ἔχει τ. π. τ. ἐσχάτην. Wyttenbach.

qq) ιδ̄ην E.

r) διὰ dedi ex A.

s) τὴν Trinc.

ἐρῴδιον, μὴ [t]) κρέκα, μὴ μόνην τρυγόνα, μηδὲ χελιδόνα, πελαργὸν, ταῶνα· κἀκείνους ἀγαθοὺς καὶ αἰσίους, καὶ μὴ ἀπαίσιόν [v]) τι δρῶντας. Tzetzes.

Ibid. *ΕΝ ΔΕ ΤΕΤΑΡΤΗι ΜΗΝΟΣ.* Ἐν δὲ τῇ τετάρτῃ τοῦ μηνὸς, τῇ πρώτῃ δηλονότι, ἄγεσθαι, ἀντὶ τοῦ ἄγου, εἰς τὸν οἶκόν σου ἄκοιτιν, ἤγουν γυναῖκα ὁμόζυγον· οἰωνοὺς κρίνας πρότερον, ἀντὶ τοῦ σκοπήσας οἵ τινες εἰσὶν ἄριστοι ἐπὶ τῷ ἔργματι τούτῳ, ἤγουν ἐπὶ ταύτῃ τῇ πράξει. Moschop.

800. *ΠΕΜΠΤΑΣ Δ' ΕΞΑΛΕΑΣΘΑΙ.* Ὅτι μὲν ἡ πεμπτὰς δίκης ἐστὶν ἀριθμὸς, καὶ [w]) τῶν *Πυθαγορείων* ἠκούσαμεν λεγόντων, καὶ λέγονται σαφῶς αἰτίαι παρ' [x]) ἐκείνοις. *Διττὸν* δέ ἐστι τὸ ἔργον τῆς δίκης, ἢ τὸ παραβαῖνον κολάζειν, καὶ τὴν πλεονεξίαν ἀφαιρεῖν, ἢ τὸ ἔλασσον ἐπανισοῦν καὶ εὐεργετεῖν.
361 Ἄμφω οὖν αἱ πέμπται [y]) δικαστικαὶ ἂν εἶεν· ἡ μὲν αὐξητικὴ, ὡς προσθετικὴ τοῦ λείποντος, ἡ δὲ φθινὰς, ὡς ἀφαιρετικὴ τοῦ πλεονάζοντος. *Εἰ* δὲ ταῦτ' ἀληθῆ, δηλονότι καὶ τὸν ὅρκιον θεὸν κολαστικὸν ὄντα τῶν συγχεόντων τοὺς ὅρκους εἰκότως ἐν τῇ πέμπτῃ γενέσθαι τῇ φθινάδι φασὶ, καὶ τὰς τιμωροὺς δαίμονας τὴν γένεσιν αὐτοῦ πενταδικὴν οὖσαν περιέπειν, καὶ γὰρ αὐτὴν τὴν πρωτίστην δίκην περιέχειν· καὶ τούτων τὴν αἰτίαν ὑμνοῦσιν, ὡς οὖσαν τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρὸν, ὥς φησι [z]) *Πλάτων*. *Εἰκότως* δ' ἄρα τὸν Ὅρκον εἶναι τῆς Ἔριδος παῖδά φησι, διότι καὶ ἡ Ἔρις πασῶν ἐστι μονὰς τῶν [a]) ἐπιτροπευόντων τὰς κακεργέτιδας δυνάμεις. *Καὶ* αἰτιῶνται αὐτήν· προείρηται δὲ ἡμῖν πλείω περὶ τούτων ἐν ἄλλοις. Proclus.

Ibid. *ΠΕΜΠΤΑΣ Δ' ΕΞΑΛΕΑΣΘΑΙ.* *Παράτρεχε* δὲ τὴν πεμπταίαν σελήνην εἰς γάμους, ἐπεὶ χαλεπὴ καὶ αἰνή. *Ἡ*

t) *κέρκα* F. *κρίκα* Trinc. *ἀλκυόνα, ἢ ζῶον θαλάσσιον* H.

v) *τίθησι* Trinc. *κἀκείνους* ad fin. om. F.

w) *τῶν* addidi ex A.

x) *αὐτοῖς* B. ex quo emendavi sequentia. Edd. habent *παρ' ἐκείνοις διτταί· τῶν δὲ τῶν ἔργων τ. δ.* Ex A. collator tantum enotavit *τὸ ἔργον.* Ceterum ex seqq. patet in Hesiodo Proclum legisse cum MSS. optimis *Ὅρκον γεινόμενον*, quod et reponendum.

y) *δικασταὶ* B.

z) Legg. IV. p. 716. A. *Ὁ μὲν δὴ θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθεῖαν περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός.*

a) *ἐπιτροπευόντων· καὶ κακεργέτιδας δυνάμεις αἰτιῶνται· καὶ προείρηται* A.

ἐπεὶ χαλεπαὶ ἐν αὐτῇ αἱ εὐναὶ, τουτέστιν οἱ γάμοι. Ἐν b) αὐτῇ γάρ φασι τὰς Ἐριννύας ὁρᾶν τοὺς γινομένους ὅρκους, οὓς ἔτεκεν ἡ Ἔρις βλάβην τοῖς ἐπιόρκοις· τοῦτο δὲ ὁ Ἡσίοδος ἐκ τοῦ Μελάμποδος εἴληφε· φησὶ γάρ που ἐκεῖνος, Ἐν πέμπτῃ σελήνης τις c) ἐπίορκον ὀμόσας τοσαῖσδε ἡμέραις τελευτᾷ. Καὶ σημειωσάμενός ποτε εὗρον τοῦτο ἀληθές. TZETZES.

Ibid. *ΠΕΜΠΤΑΣ Δ' ΕΞΑΛΕΑΣΘΑΙ.* Τὰς πέμπτας, πάσας δηλονότι, ἔκφυγε, ἐπεὶ χαλεπαί εἰσι καὶ αἰναὶ, ἐκ παραλλήλου. Ἐν τῇ πέμπτῃ γάρ φασι τὰς Ἐριννύας ἀμφιπολεύειν, ἤγουν περιέρχεσθαι, ὅρκον τιννυμένας, ἤγουν ἀπαιτούσας, ζητούσας, ὃν ἡ Ἔρις ἔτεκε βλάβην τοῖς ἐπιόρκοις. MOSCHOP.

803. *ΜΕΣΣΗ Δ' ΕΒΔΟΜΑΤΗ.* Τὴν ἑπτακαιδεκάτην ἐπιτηδείαν τίθεται πρός τε τὴν τῶν καρπῶν εἰς τὴν d) ἅλω θέσιν, καὶ πρὸς ὑλοτομίαν, τῶν τε πρὸς θαλάμους οἰκείων ξύλων εἰς ὀροφὴν, καὶ τῶν πρὸς νεῶν κατασκευήν. Τὸ μὲν οὖν ὑλοτομεῖν τηνικαῦτα συμβαίνει τοῖς ἔμπροσθεν, ἐν οἷς εἶπε, τότε χρῆναι τοῦτο ποιεῖν, ὅταν ἄρχηται τὸ μετόπωρον. PROCLUS.

Ibid. ***ΜΕΣΣΗ Δ' ΕΒΔΟΜΑΤΗι.*** **Τῇ ιζ e) ἀλοᾷν φησὶ καλὸν, καὶ ξυλοτομεῖν· τετράδι δὲ, ὡς στερεᾷ, ναυπηγεῖν. TZETZES.**

Ibid. *ΜΕΣΣΗ Δ' ΕΒΔΟΜΑΤΗ.* Κατὰ τὴν μέσην δὲ ἑβδόμην, ἤγουν τὴν ἑπτακαιδεκάτην, παρακελεύομαί σε εὖ 362
μάλα ὀπιπτεύοντα, ἤγουν παρατηροῦντα, σκοποῦντα, αὐτὴν, ἵνα μὴ παραδράμῃ, τὴν ἱερὰν ἀκτὴν τῆς Δήμητρος βάλλειν, τουτέστι στρωννύειν, ἐν ἀλωῇ εὐτροχάλῳ, ἤγουν ἀλωνοτοπίῳ ὁμαλῷ. MOSCHOP.

804. *ΕΥ ΜΑΛ' ΟΠΙΠΤΕΥΟΝΤΑ.* Καλῶς περιβλεψάμενος τοὺς ἄνδρας, τῇ ἅλωνι ἐν τῇ ἑβδόμῃ ἀποθέσθαι τὰ γεννήματα,

τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ,

μετρίως ξηρῶν ὄντων τῶν ξύλων, ὑγρότητός τε τινὸς οὐκ ἐπι-

b) αὐταῖς Trinc. Mox φασὶν E. F. Trinc. φησὶ Bas. Heins.

c) ἐπίορκως E. H. σελήνῃ τὶς ἐπίορκος ὁ. τόσσαις Trinc. Mox τελευτᾶν Trinc. De Melampode v. Fabricii B. G. I. xv. 2.

d) ἄλωσιν B. Mox οἰκιῶν B.

e) ἀλλ' οὖν Trinc. F. ὑλοτομεῖν Trinc. F. τετράδα — ὡς ἐν στ. Trinc.

δεῶν. Εἰ γὰρ [f]) καὶ αὐτὴ τῆς ὥρης εὔκαιρος, καὶ μηνὸς ἡ ἑπτακαιδεκάτη χρήσιμος, ὅτε τὸ μὲν [g]) φῶς τῆς σελήνης πρόσθεσιν οὐκ ἔτ' ἔχει πανσελήνου γεγονυίας, [230]) [h]) ἄνικμα δέ πως ἐστι τὰ ξύλα, καὶ διὰ τῆς ἐλαττώσεως τοῦ φωτὸς ἐλασσοῦται τὸ ὑγρὸν, ἀφ' οὗ συμβαίνειν εἴωθεν ἡ σῆψις. Τὸ δὲ τῆς τῶν καρπῶν εἰς τὴν ἅλω συγκομιδῆς εὖ ἔχει, διότι μετὰ πανσέληνον τρέπεται ὁ ἀὴρ, καὶ ἀνέμων γίνονται κινήσεις, οἳ τοῖς λικμῶσίν εἰσι χρήσιμοι, διασκεδαννύντες ἀπὸ τῶν καρπῶν τὸ ἄκαρπον. Εἰ δὲ, ὥς φησιν Ὀρφεὺς, [i]) τῇ ἄτῃ ἀνεῖται ἡ ἑπτακαιδεκάτη, καὶ διὰ τοῦτο τῇ τε τομῇ τῆς ὕλης ἐστὶν οἰκεία, καὶ τῇ τοῦ καρποῦ γυμνώσει τῶν περικαρπίων, καὶ Ἡσίοδος οὐκ ἀμούσως τούτοις τοῖς ἔργοις ἀνῆκε τὴν ἡμέραν. Proclus.

805. *ὙΛΟΤΟΜΟΝ ΤΕ ΤΑΜΕΙΝ.* Τὸν ὑλοτόμον δὲ, ἤγουν τὸν δρυτόμον παρακελεύομαι κατ' αὐτὴν ταμεῖν τὰ θαλαμήϊα δοῦρα, ἤγουν τὰ ξύλα τὰ τῶν οἰκιῶν, τουτέστι τὰ εἰς ὀροφὴν καὶ ἑτέραν χρείαν οἰκιῶν συντελέσοντα, καὶ νήϊα ξύλα πολλὰ, ἤγουν καὶ τὰ εἰς κατασκευὴν νεῶν συντελέσοντα ξύλα πολλά. Πολλὰ δὲ λέγει, ἐπεὶ πολλῶν ἡ ναῦς δεῖται. Τά θ' ἄρμενα, ἤγουν ἃ ἁρμόδιά ἐστι ταῖς ναυσί· τοῦτο ὥσπερ ἑφερμηνευτικὸν τοῦ νήϊα. Moschop.

807. *ΤΕΤΡΑΔΙ Δ' ΑΡΧΕΣΘΑΙ.* Καὶ τοῦτο συμβαίνει τοῖς περὶ τῆς [k]) τετράδος ἀξιώμασιν. Εἰ γὰρ στιγμῇ μὲν ἡ μονὰς ἀνάλογος, γραμμῇ δὲ ἡ δυὰς, ἐπιπέδῳ δὲ ἡ τριὰς, δῆλον ὡς τῷ στερεῷ προσήκοι ἂν ἡ τετράς· εἰκότως οὖν [l]) ἐπιτηδεία πρὸς σύμπηξιν τῶν νεῶν. Εἰ δὲ καὶ πρώτη τὸ ἰσάκις ἴσον ἔχει, καὶ πρώτη πάντας τοὺς ἁρμονικοὺς περιέχει λόγους, καὶ εἴπομεν καὶ ταύτῃ πρὸς τὸ εἰρημένον ἔργον [m]) εὐκαιρίαν δίδωσιν. Οὐδὲν γὰρ οὕτως ἁρμονίας δεῖται τῶν ἔργων, ὡς ναῦς μέλλουσα [n]) καὶ ἀέρος κινήσει μαχεῖσθαι, καὶ θαλάσσῃ πολλῇ, καὶ μόνην ἔχουσα τὴν ἀπὸ τῆς ἁρμονίας βοήθειαν τοῦ σώζεσθαι, τάχα καὶ Ὁμήρου διὰ τοῦτο μόνον καλέσαντος Ἁρμονίδην

f) *καὶ* om. A.

g) Ita A. Al. *φῶς μὲν*. Mox *ἔτ'* insertum ex A. *πρόθεσιν* B. Trinc.

230) Nullo sensu scriptum erat *αἴνιγμα*: ex quo *ἄνικμα* fecimus. Heinsius.

h) *ἔνικμα* A. *αἴνιγμα* B. Trinc.

i) *τῷ* A.

k) *τριάδος* B.

l) *ἐπιτηδείους* B.

m) Vulgo *εὔκαιρα ἰδίαν δίδωσιν ὥραν*. Deest *ὥραν* A. Locum de conjectura emendavi.

n) *καὶ* om. B.

τὸν ναυπηγόν· εἰ δὲ τὰς ναῦς ὡς κούφας, ἀραιὰς ἐκάλεσε 336 *(δεῖ γὰρ αὐτὰς εἶναι κούφας ἐπιπλεῖν μελλούσας) δῆλός ἐστι καὶ αὐτὸς τὴν μὲν πύκνωσιν βαρύτητος αἰτίαν, τὴν δὲ μάνωσιν κουφότητος ὑπολαβών.* PROCLUS.

Ibid. *ΤΕΤΡΑΔΙ Δ' ΑΡΧΕΣΘΑΙ. Πρῶτος γὰρ ὁ τῆς τετράδος ἀριθμὸς τετράγωνος ἀπὸ ἀρτίου γεγονὼς συνήρμοσται· διὸ ἀγαθὸν ἐν αὐτῇ ταῦτα ποιεῖν. Ἀραιὰς δὲ τὰς βλαπτικάς, ἢ μᾶλλον τὰς λεπτὰς καὶ ἐλαφράς, ἢ μᾶλλον τὰς στενὰς καὶ περιμήκεις· ἐξ οὗ καὶ Ὅμηρος,*

[o]) *Λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ.* PROCLUS.

Ibid. *ΤΕΤΡΑΔΙ Δ' ΑΡΧΕΣΘΑΙ. Κατὰ τὴν τετράδα δέ, τὴν πρώτην δηλονότι, ἄρχου ναῦς πήγνυσθαι, ἤγουν κατασκευάζειν. Ἀραιάς, τουτέστι κούφας, ἐλαφράς, ἀπὸ ξύλων ἀνίκμων δηλονότι, καὶ οὐ πυκνῶν ἀπὸ φύσεως.* MOSCHOP.

808. *ΕΙΝΑΣ Δ' Ἡ ΜΕΣΣΗ. Τὴν ἐννεακαιδεκάτην, ὡς καὶ τὴν ὀκτωκαιδεκάτην, τὰ πάτρια τῶν Ἀθηναίων καθαρμοῖς ἀποδίδωσι καὶ ἀποτροπαῖς,* [p]) *ὡς Φιλόχορος λέγει καὶ ἀμφοτερὸς ἐξηγηταὶ τῶν πατρίων ἄνδρες. Τάχ' οὖν καὶ διὰ τοῦτο ὁ Ἡσίοδος λέγει τὴν ἡμέραν ἱερὰν ταύτην, καὶ μάλιστα μετὰ μεσημβρίαν, διότι πρὸς τὰς καθάρσεις ἐπιτήδειον τοῦτο τὸ μέρος, ὡς ἐλαττωτικὸν πρὸς τὴν ἀφαίρεσιν τῶν περὶ ἡμᾶς μολυσμάτων.* PROCLUS.

Ibid. *ΕΙΝΑΣ Δ' Ἡ ΜΕΣΣΗ. Ἡ ἐννάτη καὶ δεκάτη τῇ δείλῃ, ἤγουν τῇ μεσημβρίᾳ, ἀγαθή ἐστιν.* TZETZES.

Ibid. *ΕΙΝΑΣ Δ' Ἡ ΜΕΣΣΗ. Ἡ μέση δὲ ἐνάτη, ἤγουν ἡ ἐννεακαιδεκάτη. Ἐπιδείελα, ἐπιῤῥηματικῶς, ἤγουν μετὰ τὴν μεσημβρίαν· λώϊον ἦμαρ, ἀντὶ τοῦ ἀγαθὴ ἡμέρα.* MOSCHOP.

809. *ΠΡΩΤΙΣΤΗ Δ' ΕΙΝΑΣ. Τὴν ἐννάτην ἱσταμένην*

o) Ita A. Trinc. cum exemplis Hom. Il. *Π.* 161. Vulgo *λάπτοντες.*

p) *ὡς* addidi ex A. B. Post *λέγει καὶ* nomen alterius exegetae excidisse suspicatur Siebelis ad Philochori fragm. p. 95. *ἀμφοτερὸς* A. B. Trinc. *ἀμφότεροι* Heinsius de conjectura. Lectionem MSStorum propterea restitui, quod sub ea verum auctoris alicujus nomen latere potest, quamquam non diffiteor rationem cel. Siebelis mihi arridere. Et fortasse reponendum *καὶ Κλείδημος. ἐξηγεῖταὶ* (sic) A. [v. Valesii Not. in Maussaci Disssert. Crit. post Harpocrat. p. 81. ed. Blanc. *Ex Addendis.*]

ἐπιτηδείαν εἶναι πρὸς πάντα, καὶ πρὸς φυτείαν, καὶ πρὸς γένεσιν, ἀῤῥένων ἠδὲ θηλειῶν γυναικῶν· ἀπὸ γὰρ τοῦ πρώτου τελείου τοῦ γ' γεγουυῖα, ἀρχὴν καὶ μέσην καὶ τελευτὴν ἔχοντος, ἰσάκις ἴση πάσαις εὐκαιρίαν πράξεσι δίδωσι, καὶ μάλιστα ταῖς τῶν γενέσεων· καὶ γὰρ ὡς ἐννέουσα τὴν ἐπωνυμίαν ἔσχεν ἐννεάς· καὶ γέγονε μὲν ἀπὸ τῆς ὀγδόης μονάδα [q]) προσλαβούσης, γεννᾷ (δὲ) ἀφαιρέσει τῆς αὐτῆς μονάδος τὴν δέκα παντέλειον· τοῦτο δέ ἐστιν ἀπὸ τοῦ κύβου κατ' ἐνέργειαν τῇ δυνάμει κύβον προσλαβούσης [γεννᾷ δὲ ἀφαιρέσει τῆς αὐτῆς μονάδος τὸν δέκα παντέλειον ἀριθμόν·] διὸ καὶ φυτείαις καὶ γενέσεσίν ἐστιν εὐάρμοστος. PROCLUS.

364 Ibid. *ΠΡΩΤΙΣΤΗ Δ' ΕΙΝΑΣ.* Ἡ πρωτίστη δὲ ἐνάτη παναπήμων ἐστὶ τοῖς ἀνθρώποις, ἤγουν ἀγαθὴ ἐπὶ πάντα, καὶ οὐδεμίαν ἔχουσα βλάβην. Ἀγαθὴ μὲν γὰρ καὶ εἰς τὸ φυτεύειν, ἀγαθὴ καὶ εἰς τὸ γενέσθαι, ἀντὶ τοῦ γεννηθῆναι, καὶ ἀνδρὶ καὶ γυναικί· καὶ οὔ ποτε πάγκακον ἦμαρ, ἀντὶ τοῦ κακόν. MOSCHOP.

812. *ΠΑΤΡΟΙ Δ' ΑΥ Τ' ΙΣΑΣΙ ΤΡΙΣΕΙΝΑΔΑ.* Τρίτην ἐνάδα, τὴν εἰκοστὴν εἶπεν ἐνάτην, ἣν ὀλίγους εἰδέναι ἀρίστην [r]) οὖσαν ἀνοίγειν πίθους, καὶ καταζευγνύναι βόας, καὶ ἡμιόνους, καὶ ἵππους. Φησὶ γὰρ, τῆς σελήνης ἀρχομένης ἀποκρύπτεσθαι δοκεῖ καὶ τὰ θυμοειδέστερα τῶν ἀλόγων ἀμβλύνειν τὸν θυμὸν, καὶ μὴ ὁμοίως ἀνθίστασθαι τοῖς δαμάζουσιν ἀσθενέστερα γινόμενα. Καὶ τὸ περὶ τὴν ἄνοιξιν δὲ τοῦ πίθου φυσικῶς εἴρηκε. Μάλιστα γάρ φασι περὶ τὰς πανσελήνους ἐξίστασθαι τὸν οἶνον, διὰ τὴν ἀπὸ τῆς σελήνης ὑγρὰν θέρμην, ὥστ' εἰκότως, ὅτ' ἂν ἥκιστα τοῦτο προβάλῃ, κελεύει τὸν πίθον ἀνοίγειν, καὶ τοῦ οἴνου πεῖραν λαμβάνειν. [s]) *ΑΛΛΩΣ. ΠΑΤΡΟΙ Δ' ΑΥΤ'.* Ἄλλοι τὴν εἰκάδα, ἑβδόμην λέγουσιν, ἄλλοι τὴν κθ'. ὀλίγοι δὲ αὐτὴν ἐπίστανται ἀγαθὴν οὖσαν. Τὴν δὲ κζ, ὅλην αὐτὴν εἶναι καλὴν, [t]) ὡσανεὶ οὐδεὶς τὴν κθ' ἐπαινεῖ, ὡς ἀφώτιστον αὐτὴν οὖσαν, ἀλλὰ φυλάττου μηδὲν τούτων ποιεῖν ἐν αὐτῇ. Ὅτι ἐν ταῖς πανσελήνοις θέρμης ὅτι πλείστης καὶ ὑγρότητος οὔσης, τὸ τηνικαῦτα κελεύει τὸν πίθον μὴ ἀνοίγειν,

q) Ita B. Vulgo προλαβούσης. Mox γεννᾷ—ἀριθμὸν om. B.

r) Ita A. εἶναι vulgo.

s) Inserit h. l. A. εἰνὰς δ' ἡ μέση: ὡς ἂν ἡ ιθ περὶ τὸ δείλης βελτίστη ἡμέρα.

t) ὡς ἂν οὐδεὶς A.

v) Haec usque ad finem seor-

ὡς εἰς ὄξινην μεταβαλλομένου. Ἐν δὲ τῇ τρίτῃ ἐνάτῃ κελεύει [w])τοῦ οἴνου πεῖραν λαμβάνειν, ἤδη καὶ τῆς θέρμης ληγούσης, καὶ τῆς ὑγρότητος. Ἐν δὲ τῇ ιδ' τοῦτο προτρέπει, διὰ τὸ τὴν ἐκ τῆς αὐξήσεως βλάβην βοηθεῖσθαι τῇ ταύτης μειώσει. Ἑκατέρων γὰρ μετέχει ἡ μέση τετράς. PROCLUS.

Ibid. ΤΡΙΣΕΙΝΑΔΑ. Τὴν [ww])κθ ὀλίγοις λέγει νομίζεσθαι ἀγαθὴν εἰς πιθοιγίαν, καὶ τὰ λοιπὰ ἅ φησιν. Ὀλίγοις δὲ πάλιν τοῦτο ἀρέσκειν, ὅτι ἀγαθή ἐστι. Τὴν δὲ ιδ, ἀρίστην φησὶν εἰς πιθοιγίαν. Ὀλίγοι δ' ἀγαθήν φασιν εἰς πιθοιγίαν τὴν κα πρωΐα οὐ δειλῃ. TZETZES.

Ibid. ΠΑΥΡΟΙ Δ' ΑΥΤ' ΙΣΑΣΙΝ. Ὀλίγοι δὲ γινώσκουσι τὴν τρισεινάδα τοῦ μηνὸς, ἤγουν τὴν ἐνάτην καὶ εἰκοστὴν, ἀρίστην οὖσαν ἄρξασθαί τε πίθου, καὶ ἐπιθεῖναι ζυγὸν τοῖς βουσὶ, καὶ ταῖς ἡμιόνοις, καὶ τοῖς ἵπποις τοῖς ταχύποσι, κατὰ τὸν αὐχένα. Ναῦν πολυκάθεδρον θοὴν ἐπὶ τὸν μέλανα πόντον ἐρύειν, ἤγουν ἕλκειν, ἐπὶ παρασκευῇ πλοῦ δηλονότι· ἀνεπιτήδειον γὰρ τότε πλεῖν, ταραχώδης γὰρ ὁ ἀὴρ ὡς ἐπὶ τὸ πᾶν ἐν ταῖς σύνεγγυς ἡμέραις τῶν συνόδων. Ὅτε δὲ οὐ δεῖ πλεῖν, δεῖ παρασκευάζεσθαι πρὸς τὸ πλεῖν. Ὀλίγοι δὲ τὴν ἀληθῆ ἐνάτην καὶ εἰκοστὴν δηλονότι καλοῦσι. Τοῦτο δέ φησιν, ἐπεὶ οἱ Ἀθηναῖοι τὴν τριακοστήν φασιν ἐνάτην καὶ εἰκοστήν. MOSCHOP.

815. ΝΗΑ ΠΟΛΥΚΛΗΙΔΑ ΘΟΗΝ. Ταῦτ' ἐναργὲς 365
ἐποίησεν, ὅτι τρίτην εἰνάδα κέκληκεν, οὐ κατὰ Ἀθηναίους τὴν δευτέραν [x])καὶ εἰκοστὴν, ἀνάπαλιν ἀριθμοῦντας τὰς φθινούσας, δεκάτην, ἐννάτην, ὀγδόην, καὶ ἑξῆς, ἀλλὰ τὴν πρὸ τριακάδος, περὶ γὰρ ταύτης ἀμφιβάλλουσιν εἴτε ἐσχάτη ἐστὶν, εἴτε πρὸ τῆς ἐσχάτης. Εἰκότως οὖν ὀλίγοι τὴν ὡς ἀληθῶς ἐννάτην [y])καὶ εἰκοστὴν καλοῦσιν· ἐν δ' οὖν ταύτῃ καθέλκειν προστάττει ναῦς εἰς θάλασσαν· ὅτε γὰρ οὐ δεῖ πλεῖν, δεῖ παρασκευάζεσθαι πρὸς τὸ πλεῖν, οἷον δὴ τὸ καθέλκειν ἐστί. Πλοῦ δὲ καιρὸς ἥκιστα οὗτος. Ταραχώδης γὰρ ἀὴρ ὡς ἐπὶ τὸ πᾶν ἐν ταῖς σύνεγγυς ἡμέραις τῶν συνόδων· [251])διόπερ ὅσοι πλεῖν

sim scripta sunt in A. et a manu diversa.

w) τοῦτο ποιεῖν B. pro τοῦ ο. π. λ.

ww) κξ Trinc. Mox ὅτι post ιδ cum Trinc. E. F. delevi.

x) καὶ ex A.

y) καὶ ex A. B.

251) Scribe, διόπερ ὅσοι πλέον-

τότε τύχωσι, τοὺς ὅρμους καταλαμβάνουσιν, ἕως ἂν ἐκφανῇ ὁ μήν. [z]) *ΑΛΛΩΣ.* Ὀλίγοι τε τὴν καθ' ἀληθῶς καλὴν εἶναί φασιν εἰς τὸ τὴν ναῦν καθέλκειν εἰς θάλασσαν. Πλὴν εἰ μὴ εἰς τὸ ἑτοίμην εἶναι μετὰ παρέλευσιν τοῦ τοιούτου καιροῦ ἀποπλεῦσαι. PROCLUS.

817. *ΤΕΤΡΑΔΙ Δ' ΟΙΓΕ ΠΙΘΟΝ.* Τὴν μέσην τετράδα, ταύτην λέγει ιδ', ἣν καὶ [a]) ἐπαινεῖ ὡς πίθοιγον, καὶ ὡς ἐν πᾶσιν ἀρίστην· καὶ γὰρ τὸ φῶς τῆς σελήνης [b]) πλούσιον ἅμα τῷ ἡλίῳ καταδυομένῳ ἀνατελλούσης. Καὶ τὸν ἥμισυν ἀριθμὸν ἔχει τοῦ πλήθους, ἐν ᾧ τὸν [c]) κύκλον ἡ σελήνη συμπληροῖ τὸν ἑαυτῆς, ὥστε καὶ αὐτὴ τελεσιουργός ἐστιν, εἴπερ ἐν τῷ ἡμίσει ὑπὸ τοῦ παντὸς κύκλου τὸ τέλειον. Αἱ δὲ [d]) αὐξομειώσεις ἐφ' ἑκάτερα τοῦ μέσου πᾶσαι. Ἴδιος δὲ αὐτῆς κύκλος πληρούμενος διὰ τῶν ὀκτὼ καὶ εἴκοσιν ἡμερῶν· διὸ καὶ τοσαῦται λέγονται τῆς σελήνης αἱ φεγγοφόροι εἶναι ἀκτῖνες. Καί τις Αἰγύπτιος μυθολογεῖ μῦθος τὸν Ὄσιριν τοσαῦτα ἔτη βασιλεῦσαι, ὁπόσος ἐστὶν ὁ τῶν ἡμερῶν τούτων ἀριθμὸς, ἐνδεικνύμενος, ὡς ἐμοὶ δοκεῖ, πάντων αὐτὸν εἶναι τῶν γεννητῶν δημιουργὸν καὶ τελεσιουργὸν, μετὰ τῶν σεληνιακῶν ἀκτίνων τέχνῃ τεύχοντα τὴν γένεσιν τῶν τε αὐξητικῶν καὶ τῶν μειωτικῶν, ἵνα [e]) καὶ γίνηται τὰ τῇδε καὶ φθείρηται. PROCLUS.

Ibid. *ΤΕΤΡΑΔΙ Δ' ΟΙΓΕ ΠΙΘΟΝ.* Κατὰ τὴν τετράδα δὲ τὴν μέσην ἄνοιγε πίθον. Πέρι πάντων, ἤγουν περισσῶς πάντων, ἱερὸν ἦμαρ. MOSCHOP.

818. *ΠΑΥΡΟΙ Δ' ΑΥΤΕ ΜΕΤ' ΕΙΚΑΔΑ ΜΗΝΟΣ ΑΡΙΣΤΗΝ.* Εἴρηται μὲν ἐλλειπτικῶς τὸ πρότερον διστιχίδιον.
366 Ἔστι γὰρ πλῆρες, τὴν μετ' εἰκάδα τοῦ μηνὸς τετάρτην ἀρίστην οὖσαν παῦροι ἴσασι. Καὶ τὸ δεύτερον μετὰ ἀναστροφῆς. Οὕτω γὰρ ἂν γένοιτο σαφὲς, εἰ λέγοιτο, ἐπιδείελα δ' ἐστὶ

τες τύχωσι, vel πλέοντες τότε τύχωσι. HEINSIUS. πλεῖν τὸ τετύχωσι Trinc.

z) Sequentia in A. seorsim scripta sunt, et a manu diversa.

a) ἐπαινεῖ καὶ pro ἣν καὶ ἐπ. A. Mox ὡς πεῦσιν pro ὡς ἐν πᾶσιν B. Post ἀρίστην edd. habent καὶ ἐν τῇ πιθοιγίᾳ.

b) τότε hoc loco inserunt edd. omittunt A. B. Mox edd. habent τῷ καταδύναι τὸν ἥλιον, emendavi ex A. B. in B. tamen l. καταδυόμενον.

c) κύκλον in marg. A.

d) Ita A. B. αὐξήσεις μειώσεις edd. Mox πάσαις B.

e) καὶ om. B.

χερείων ἠοῦς γινομένης. Εἰ δὲ ταῦτα κρατοίη, πάσας ἐπαινεῖ τὰς τετράδας, τὴν πρώτην, τὴν μέσην, τὴν τρίτην· πλὴν ὅτι τὴν τρίτην ὀλίγους γινώσκειν ἀμείνονα εἶναι ἐν τοῖς ἑωθινοῖς μέρεσι. Καὶ εἰκότως· συνάπτει γὰρ κατὰ τὴν δείλην τῇ πέμπτῃ. Ταύτην δὲ εἶπεν ὡς χαλεπήν. Proclus. Moschop.

819. ΗΟΥΣ ΓΙΝΟΜΕΝΗΣ. Ἕως τῆς ἕκτης ὥρας οὕτω καλεῖ. [f]) Ὀλίγοι δὲ τὴν μετὰ τὴν εἰκάδα τοῦ μηνὸς τετάρτην ἀρίστην πρωΐας οὔσης φασίν, χείρονα δὲ τῇ δείλῃ. Proclus.

820. ΑΙ ΔΕ ΜΕΝ ἩΜΕΡΑΙ εἰσίν, ἕως τοῦ ΑΛΛΟΤΕ ΜΗΤΗΡ. Τὰς μὲν ἐπιτηδείας ἡμέρας εἰς Δία ἀναπέμπει, τὰς δὲ παρεμπιπτούσας μεταξὺ τούτων, καλεῖ ΜΕΤΑΔΟΥΠΟΥΣ, ΑΚΗΡΙΟΥΣ, καὶ ΟΥ ΤΙ ΦΕΡΟΥΣΑΣ, σημαίνων ὅτι ἄπρακτοί εἰσι, καὶ μηδὲν ὄνειαρ [g]) περιποιῆσαι δυνάμεναι. Ἐκάλεσε δὲ τὰς μεταξὺ πιπτούσας, διότι δηλοῖ τὸ δουπῆσαι τὸ πεσεῖν. Καὶ τὸ ἀκήριον δὲ αὐτὸ τὸ ἀκέραιον σημαίνειν ἔοικε. Τούτοις δὲ προσέθηκεν, ὅτι οἱ μὲν ἄλλας ἐπαινοῦσιν, οἱ δὲ ἄλλας· καὶ γὰρ Ὀρφεὺς εἶπε περὶ τῶν ἡμερῶν τούτων, ἄλλας ἐπαινῶν, καὶ ἄλλας ἐκβάλλων. Καὶ Ἀθηναῖοι κατὰ τὴν παρατήρησιν ἴδια περὶ αὐτῶν ἐδόξασαν. Κατὰ πάντα δὲ αἱ μὲν εἰσι ἄρισται τῶν ἡμερῶν, ἃς μητράσιν αὐτὸς ἀπείκασεν· αἱ δὲ φυλακτέαι, αἷς τὰς μητρυιὰς ἐπεφήμισεν. ΑΛΛΩΣ. ΜΕΤΑΔΟΥΠΟΙ ἀβέβαιοι αἱ μεταξὺ τούτων πεπτωκυῖαι, οὔτε ἀγαθαί, οὔτε κακαί· ΑΚΗΡΙΟΙ δέ, ὡς ἐπὶ ἀνθρώπων εἶπεν, ἄψυχοι, ἢ ἀσθενεῖς, ἢ μὴ ἔχουσαι εἱμαρμένην ἀγαθοῦ καὶ κακοῦ. Proclus.

Ibid. ΑΙΔΕ ΜΕΝ ἩΜΕΡΑΙ. Συμπεράνας [h]) τὴν τῶν ἡμερῶν διδασκαλίαν νῦν [i]) ἐπιλογικῷ κεφαλαίῳ ἐπαναληπτικῶς λέγει, αἵδε μὲν ἡμέραι ἀνύσιμοι, αἱ δὲ λοιπαὶ ἀποφράδες· ἄλλος δ' ἄλλην αἰνεῖ. Τοῦτο δέ φησιν, ὅτι Ὀρφεὺς ἄλλας παραδίδωσιν, ἑτέρας δὲ ὁ Μελάμπους· ὀλίγοι δὲ γινώσκουσι τὸ ἀληθές· ἡ γὰρ ἡμέρα [k]) ὅτε μὲν συνεργεῖ, καὶ ἐστι μητήρ· ὅτε δὲ ἐναντιοῦται, καὶ δοκεῖ μητρυιά. ΤΑΩΝ ΕΥΔΑΙΜΩΝ

f) Ὀλίγοι usque ad δείλῃ in ima pagina exhibet a manu diversa A.
g) ποιῆσαι B.
h) τὴν περὶ τῶν Trinc.
i) ἐπιλογιστικῷ E. ἐπιλογικὸν κεφάλαιον Trinc. Mox ἀνέσιμοι G.
k) πότε μὲν — πότε δὲ Trinc.

ΤΕ ΚΑΙ ΟΛΒΙΟΣ, ὁ ἀναίτιος τοῖς ἀθανάτοις, ὃς τάδε πάντα εἰδὼς ἀπὸ τῶνδε τῶν ἡμερῶν l) ἐργάζεται οἰωνοσκοπῶν, καὶ τὰ ἀπαίσια ἐκφεύγων m). Tzetzes.

Ibid. *ΑΙ ΔΕ ΜΕΝ ἩΜΕΡΑΙ ΕΙΣΙΝ.* Αὗται μὲν εἰσὶν αἱ ἡμέραι αἱ ἀπηριθμημέναι, δηλονότι μεγάλη ὠφέλεια
367 τοῖς ἀνθρώποις. Αἱ δ' ἄλλαι, ἤγουν αἱ μὴ ἠριθμημέναι (οὐ γὰρ πάσας τὰς τοῦ μηνὸς ἀπηρίθμησε) μετάδουποι, ἤγουν μεταξὺ πίπτουσαι, (δουπῆσαι γὰρ λέγουσι τὸ πεσεῖν, διὰ τὸ τὰ πίπτοντα ἠχεῖν) περισσαὶ δηλονότι καὶ ἀνενέργητοι. Λέγω ἀκήριοι, ἤγουν ἄψυχοι, νεκραὶ, κατὰ μεταφορὰν, ἀντὶ τοῦ οὐδενὸς οὔτε ἀγαθοῦ οὔτε κακοῦ δύναμιν ἔχουσαι. Εἶτα ὥσπερ ἑρμηνεύων τοῦτο, ἐπάγει, οὔ τι φέρουσαι, ἤγουν οὐδὲν ἐπάγουσαι, οὔτε καλὸν δηλονότι, οὔτε κακόν. Moschop.

821. n) *ΜΕΤΑΔΟΥΠΟΙ.* Πίπτουσαι, ἤτοι ἄστατοι καὶ ἀβέβαιοι, καὶ ἄψυχοι. Τὸ *ΑΚΗΡΙΟΙ*, ἤγουν ἀσθενεῖς καὶ ἄκαρποι, διὸ ἐπάγει *ΟΥ ΤΙ ΦΕΡΟΥΣΑΙ*· ἢ αἱ μεταξὺ τῶν ῥηθεισῶν πίπτουσαι, ἢ ἄζωοί εἰσιν, ἢ ἄμοιροι ἐνεργείας τῆς εἰς τὸν βίον παρεκτικῆς. Proclus.

822. *ΑΛΛΟΣ Δ' ΑΛΛΟΙΗΝ ΑΙΝΕΙ.* Ἄλλος δὲ ἀλλοίην, ἀντὶ τοῦ ἄλλην, ἐπαινεῖ. Καὶ γὰρ ὁ Ὀρφεὺς εἶπε περὶ τῶν ἡμερῶν τούτων, ἄλλας ἐπαινῶν, καὶ ἄλλας ἐκβάλλων· καὶ Ἀθηναῖοι κατὰ τὴν παρατήρησιν ἴδια περὶ αὐτῶν ἐδόξασαν. Moschop.

Ibid. *ΠΑΥΡΟΙ ΔΕ Τ' ΙΣΑΣΙΝ.* Ἤγουν ὀλίγοι δὲ τὸ ἀληθὲς γινώσκουσιν. Moschop.

823. *ΑΛΛΟΤΕ ΜΗΤΡΥΙΗ.* Ἐπειδὴ ἡ μήτηρ ἤπιος, ἡ δὲ μητρυιὰ κακὴ, εἶπεν· αἱ μὲν τῶν ἡμερῶν εἰσὶ μητέρες, ὡς ἂν ἀγαθαί· αἱ δὲ μητρυιαὶ, ὡς ἂν κακαί. Proclus.

Ibid. *ΑΛΛΟΤΕ ΜΗΤΡΥΙΗ ΠΕΛΕΙ ἩΜΕΡΗ.* Ἄλλοτε μητρυιά ἐστιν ἡ ἡμέρα, ἤγουν κακὴ καὶ βαρεῖα, ὥσπερ ἡ μητρυιὰ περὶ τοὺς προγόνους. Moschop.

Ibid. *ΑΛΛΟΤΕ ΜΗΤΗΡ.* Ἤγουν ἀγαθὴ, καὶ ἤπιος, ὥσπερ ἡ μήτηρ περὶ τοὺς ἑαυτῆς παῖδας. Moschop.

l) Ita E. H. ἐργάζοιτο G. ἐργάζηται edd.

m) Post ἐκφεύγων in E. H. τῇ γὰρ ιδ ἵσταται μὲν, ὅτι γίνεται ὁ κύκλος (ὁλόκυκλος H.) φθίνει δὲ ὅτι ἅμα τῷ τελειωθῆναι, πάλιν φθίνει κατὰ τὴν ιδ καὶ δ (καὶ δ om. H.)

n) Hinc usque ad finem Scho-

824. *ΤΑΩΝ ΕΥΔΑΙΜΩΝ ΤΕ ΚΑΙ ΟΛΒΙΟΣ.* Διὰ τούτων ὁρίζεται τὶς ὁ ἀληθῶς εὐδαίμων. Ὁ γὰρ γνῶσιν ἔχων τῶν τε ἔργων, ἃ δεῖ o) πράττειν, καὶ τῶν ἡμερῶν, ἐν αἷς τὸ πραττόμενον τοῦ οἰκείου τεύξεται τέλους, οὗτός ἐστιν εὐδαίμων· ἀναίτιος μὲν παρὰ τοῖς θεοῖς, ὡς ἀνέγκλητος διαμένων διὰ τὸ σκοπὸν ἔχειν πάντα δίκαιον, δύο δὲ ταῦτα σπουδάζων ἀεὶ, τὰ μὲν ἄδηλα τῷ ἀνθρωπίνῳ λογισμῷ διὰ μαντικῆς ὁρᾷν, τοῦτο γὰρ τὸ, τοὺς ΟΡΝΙΘΑΣ ΚΡΙΝΕΙΝ, τὰ δὲ κατὰ λογισμὸν πράττειν, ἐκκλίνων τὰς παραβάσεις τοῦ ὀρθοῦ καὶ καλοῦ σκοποῦ, τοῦτο γὰρ δηλοῖ τὸ τὰς ΥΠΕΡΒΑΣΙΑΣ ΑΛΕΕΙΝΕΙΝ. Τοῦτο τέλος ἐπέθηκεν ὁ Ἡσίοδος τῷ ποιήματι, τὸν εὐδαίμονα ὁρισάμενος, ὅστις ποτέ ἐστι. Δεῖ γὰρ εἰς τοῦτο βλέπειν πᾶσαν ἡμῶν τὴν ζωὴν, καὶ τὴν τῶν ἔργων αἵρεσιν, καὶ τὴν τῶν ἡμερῶν ἐκλογήν. *ΑΛΛΩΣ.* Τούτων ὅστις p) εἰδὼς πασῶν τὰς ἀποτελέσεις ἐργάζεται, εὐσεβῶν μέντοι εἰς θεὸν, οὗτος εὐδαίμων ἀνήρ· ὑπερβασίας δὲ τὰς ὑπερβάσεις τοῦ καλῶς ἔχοντος. Τούτοις δὲ ἐπάγουσί τινες τὴν ὀρνιθομαντείαν, ἅ τινα Ἀπολλώνιος ὁ Ῥόδιος ἀθετεῖ. PROCLUS. 368

Ibid. *ΤΑΩΝ ΕΥΔΑΙΜΩΝ.* Τούτων τῶν ἡμερῶν ὃς ἂν τάδε πάντα εἰδὼς, ἤγουν ταύτας τὰς διαφορὰς καὶ τὰς δυνάμεις πάσας, ἐργάζηται τὰ εἰρημένα δηλονότι ἔργα, ἀναίτιος τοῖς ἀθανάτοις, 229) τουτέστιν ἀνέγκλητος, ἄμεμπτος, διαμένων παρὰ τοῖς θεοῖς διὰ δικαιοπραγίαν, ὄρνιθας σκοπῶν, ἵνα δηλονότι τὰ ἄδηλα τοῖς ἀνθρωπίνοις λογισμοῖς διὰ τῆς τούτων μαντικῆς ὁρᾷ, καὶ τὰς μετὰ γνώσεως δηλονότι παραβάσεις καὶ ἐκτροπὰς τοῦ καλοῦ ἐκφεύγων, εὐδαίμων ἐστὶ καὶ ὄλβιος, ἤγουν μακάριος. MOSCHOP.

Hi in ima pagina exhibet A. a manu diversa.

o) Ita A. Antea προστάττειν.

p) ἰδὼν A.] B. Trinc.

229) Scriptus erat pessime hic locus, τουτέστιν ἀνέγκλητος, ἄμεμπτος, δυναμένων παρὰ τοῖς θεοῖς; ex quo feci διαμένων, sensu optimo, perspicuoque: quem probare necesse non est. HEINSIUS.

369 ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΠΡΩΤΟΣΠΑΘΑΡΙΟΥ

ΕΞΗΓΗΣΙΣ ΦΥΣΙΚΗ

ΤΩΝ ΗΜΕΡΩΝ

Η Σ Ι Ο Δ Ο Υ.

Εἰ καὶ μὴ μέχρι τοῦ νῦν ῥητῶν τινων ἐπεβαλόμην ἐξήγησιν, ἀλλά γε νῦν διὰ σὲ, ὦ τέκνον, ἐπιβλητέον τῷ πράγματι, καὶ σαφηνιστέον, ὡς ἔξεστιν ἡμῖν, τὰς τοῦ Ἡσιόδου ἡμέρας· παραληπτέον δὲ καὶ θεὸν εἰς βοήθειαν, τὸν παντὸς ἔργου δημιουργὸν καὶ τελειωτὴν, καὶ [a]) δεητέον, εἰ μέν τι ὀρθῶς λελέξεται καὶ ὅσιον πολλοῖς ἐκφαίνειν, σώζειν τε τὸν λόγον ἀεὶ, καὶ εὐπαράδεκτον πάσαις ἀκοαῖς καὶ γνώσεσι παρασχεῖν· εἰ δέ τι τούτων ἐκμελῶς ἔχει, συγγνώμην μὲν ἡμῖν νέμειν τῆς τε φιλοπονίας, καὶ τῆς εἰς τὸ ὁμόφυλον φιλανθρωπίας, ἢ τελέως τῷ τῆς λήθης παραδοῦναι βυθῷ, ἢ τέως τάγε ἀπᾴδοντα.

768. ΠΡΩΤΟΝ ἝΝΗ, ΤΕΤΡΑΣ ΤΕ, ΚΑΙ ἙΒΔΟΜΗ ἹΕΡΟΝ ΗΜΑΡ. Ἕνη μέν ἐστιν ὁ νοῦς ὁ πρῶτος, τὰ διῃρημένα καὶ διεστῶτα, ὁ αὐτὸς δὲ καλεῖται καὶ μονάς· ὅτι πάντων φθειρομένων, αὐτὸς μόνος μένει, καὶ ὅτι μονὴν ἔχει ἐν τοῖς αὐτοῦ βουλεύμασιν. Ἡ ἕνη ἐστὶν αὐτὸ τὸ εἶδος, ὃ εἰδοποιεῖ τὴν ἀόριστον ὕλην· ὕλη δὲ αὐτὰ τὰ τέσσαρα στοιχεῖα, ἃ πάντα εἰσὶ, καὶ ξύλον, καὶ λίθος, καὶ ἄνθρωπος, πρὸ τοῦ ἐπιγενέσθαι τὸ εἶδος· ἐὰν δὲ εἶδος προσλάβοι, οὐ πάντα ἐστί· καθάπερ κηροῦ τινος [b]) ἀνειδέους, ὃν δύναιτό τις εἰπεῖν μήπω

a) δεικτέον Trinc. b) ἀνειδέου Trinc.

σχηματισθέντα, καὶ χύτραν, καὶ λέβητα, καὶ ἄνθρωπον. Ἐπὰν δὲ ἕν τι τούτων, οὐκέτι λέγεται πολλὰ, ἀλλ' ἕν. ΠΡΩΤΟΝ ἙΝΗ ΤΕΤΡΑΣ ΤΕ. Εἰπὼν περὶ τοῦ ἰδικοῦ αἰτίου, λέγει μετέπειτα καὶ περὶ τοῦ ὑλικοῦ. Εἰδικὸν δὲ αἴτιον ἦν ἡ ἕνη ὡς ἀναλογοῦσα τῷ εἴδει, ὡς εἴρηται. Ὑλικὸν δὲ εἴη ἂν ἡ τετρὰς, αὐτὰ τὰ τέσσαρα στοιχεῖα. ΚΑΙ ἙΒΔΟΜΗ ἹΕΡΟΝ ΗΜΑΡ. Ἑβδόμη ἐστὶν ἢ αἱ ἑπτὰ σφαῖραι, αἳ κινούμεναι ποιοῦσι πάντα τὰ ὄντα, ἢ ἡ παρθένος Ἀθηνᾶ, ἢ ὁ καιρός. Ἀλλὰ πρῶτον περὶ τῶν ἑπτὰ σφαιρῶν εἴπωμεν· εἶτα καὶ ὅπως ἑβδόμη ὁ καιρὸς καὶ ἡ Ἀθηνᾶ λέγεται ἐροῦμεν. Αἱ ἑπτὰ σφαῖραι εἰσὶν οἱ ἑπτὰ ἀστέρες οἱ πλάνητες, Κρόνος, Ζεὺς, Ἄρης, Ἥλιος, Ἀφροδίτη, Ἑρμῆς, Σελήνη. Πλάνητες δὲ λέγονται, ὅτι προποδίζουσι, καὶ ὑποποδίζουσι, καὶ οὐδέποτε φυλάττουσι τὴν οἰκείαν τάξιν· ἀλλὰ τὸν Κρόνον Διὸς ὑπεκδραμόντα καταπολὺ ἔστιν ἰδεῖν, καὶ ὑποποδίσαντα, τοῦ Διὸς ἔμπροσθεν αὐτοῦ ὑπεκδραμόντος. Οὗτοι μὲν οὖν οἱ πλάνητες· οἱ δ' 370 ἀπλανεῖς τὰ δώδεκα ἄστρα, ἤτοι τὰ δώδεκα ζώδια, ἃ τὴν οἰκείαν τάξιν οἴδασι, καὶ οὔποτε γένοιτ' ἂν ὁ καρκίνος ἔμπροσθεν τοῦ λέοντος, οὐδὲ τὰ τοῦ χειμῶνος ζώδια ἐν καιρῷ θέρους λάμπουσιν. Ἄλλο ἀστὴρ καὶ ἄλλο ἄστρον· ἄστρον μὲν τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἕν, ἀστὴρ δὲ τὸ ἕν. Ἱερὰς οὖν ἡμέρας ἐκάλουν οἱ παλαιοὶ αὐτὰς, καὶ ἐτίμων· τὴν ἕνην μὲν ὡς τῷ θεῷ c) ἢ τῷ εἴδει ἀνάλογον, τὴν δὲ τετράδα, ὡς τοῖς τέσσαρσι στοιχείοις· τὴν δὲ ἑβδόμην, ἢ ὡς ταῖς ἑπτὰ σφαίραις ἀναλογοῦσαν, ἢ ὡς Ἀθηνᾷ καὶ ὡς καιρῷ. Ἀλλ' ὅπως μὲν ἀναλογεῖ ἡ ἑβδόμη ταῖς ἑπτὰ σφαίραις, ἤδη εἴρηται· πῶς δὲ Ἀθηνᾶ καὶ καιρὸς λέγεται, ῥητέον. Τὴν Ἀθηνᾶν φασιν ἀγέννητον καὶ παρθένον εἶναι, ἀγέννητον μὲν, ὅτι οὐκ ἐκ μητρός τινος ἐγεννήθη, παρθένον δὲ, ὅτι οὐκ ἐγέννησε τινά· καὶ ὁ ἑπτὰ ἀριθμὸς οὕτως ἂν εὑρεθείη· ἐντὸς γὰρ τῆς δεκάδος οὔτε ἐγεννήθη, οὔτε γεννήσει τινά. Οἷον, ἔστω α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ θ΄ ι΄· τὸ ἓν διπλασιαζόμενον ποιεῖ δύο, τὰ δύο πολλαπλασιαζόμενα ποιεῖ τέσσαρα, τὰ τρία ποιεῖ ἕξ, τὰ τέσσαρα ὀκτὼ, τὰ ε΄, ι. τὰ ϛ΄, d) εἰ καὶ ἐντὸς τῆς δεκάδος οὐ γεννᾷ, ὁμοίως καὶ τὰ η΄ καὶ τὰ θ΄, e) ἀλλ' οὖν γεννῶνται. Δὶς γὰρ γ΄, ϛ΄. γ΄

c) ἢ τῷ εἴδει Trinc. ἢ τῷ om. Heins.

d) ιβ addit Heins. om. Trinc.

e) ἀλλ' οὖν Trinc. ἀλλ' οὐ Heins.

γ', θ'. δὶς δ', ή. Καὶ πῶς μὲν οὐ γεννᾶται ἤδη δέδεικται, πῶς δὲ οὐ γεννᾷ, δῆλον· ἐντὸς γὰρ τῆς δεκάδος οὐ γεννᾷ, δὶς γὰρ ἑπτὰ δεκατέσσαρα. Ἀλλὰ καὶ καιρὸς λέγεται διὰ τὴν αἰτίαν, ἣν μέλλομεν εἰπεῖν· ἡ γὰρ σελήνη ἑπτὰ ἡμερῶν γενομένη τετραγωνίζει τὸν ἥλιον· ἅπας δὲ καιρὸς, ἤτοι ἔαρ, ἢ θέρος, ἢ φθινόπωρον, ἢ χειμὼν, τρισὶ ζωδίοις τείνεται. Ἡ ἑβδόμη ἡμέρα καὶ παρὰ τοῖς ἰατροῖς χρησίμη καθέστηκεν, ἐν ταύτῃ γὰρ κρίνουσι τὰ νοσήματα, καὶ οἱ ἄνθρωποι, ἐν ἑβδόμαις αὔξουσι. Καὶ γὰρ ὅτε f) γίνονται ἑπτὰ ἐνιαυτῶν, ἀλλάσσουσι τοὺς ὀδόντας, δὶς δὲ ἑπτὰ γεγονότες μειράκια λέγονται, τρὶς δὲ ἑπτὰ ἀποσπερμαίνουσιν. Ἀλλὰ καὶ ζωογόνος παρὰ πολλοῖς ἡ ἑβδόμη λέγεται, ὅτι τὰ βρέφη ἑπταμηνιαῖα ὄντα ζωογονεῖται μᾶλλον, ἤπερ ὀκταμηνιαῖα. Ἀλλὰ πῶς μὲν τὰ ἑπταμηνιαῖα καὶ ἐνναμηνιαῖα ζωογονεῖται, τὰ δὲ ὀκταμηνιαῖα οὐδαμῶς, καλὸν εἰπεῖν. Ἔστω τοίνυν τρίγωνον, ὀρθογώνιον, τὰ α' β' γ'. τούτου δὲ τὸ ἐμβαδὸν ἔστω ς'. ἡ δὲ πρώτη πλευρὰ ἡ α' β', μονάδων πέντε. Ἡ δὲ α' γ' μονάδων τριῶν. Ἡ δὲ β' γ' μονάδων τεσσάρων. Φανερὸν δὲ ὅτι κατὰ τοὺς Πυθαγορείους, ὁ γ' καὶ ὁ ε', ἄῤῥενες, ὡς περιττοὶ, ὁ δὲ τέσσαρα θῆλυς, ὡς ἄρτιος.



Πεπολλαπλασιάσθω ὁ δ' ἐπὶ τὸν ε', τετράκις πέντε, εἴκοσι. Καὶ ὁ πέντε ἐφ' ἑαυτὸν, πεντάκις πέντε, κέ. Μεμίχθωσαν τὰ κ' καὶ τὰ κέ, καὶ γίνονται μέ. Ταῦτα τὰ τεσσαρακονταπέντε πεπολλαπλασιάσθωσαν ἐπὶ τὸ ἐμβαδὸν τοῦ τρι-
371 γώνου. Ἑξάκις μέ, σό. Αἱ δὲ σό ἡμέραι περιέχουσι χρόνον μηνῶν θ'. Καὶ εἰκότως ζωογονεῖται τὸ βρέφος· ἐκ γὰρ συνδρομῆς ἀρτίου καὶ περιττοῦ ἀριθμοῦ τοῦ δ' καὶ τοῦ ε', ἀπετελέσθη ὁ χρόνος τῶν θ' μηνῶν, ὡς ἐδείχθη. Πάλιν πεπολλαπλασιάσθω ὁ γ' ἐπὶ τὸν ε'· τρὶς ε', ιέ. καὶ ὁ ε' ἐφ' ἑαυτόν· πεντάκις ε', κέ. ὁμοῦ ὅλα, μ'. ὁ μ' ἀριθμὸς πεπολλαπλασιάσθω ἐπὶ τὸ ἐμβαδὸν τοῦ τριγώνου· ἑξάκις μ', σμ'. αἱ δὲ σμ' ἡμέραι περιέχουσι χρόνον μηνῶν ή, καὶ οὐ ζωογονεῖται τὸ βρέφος. Ἐκ γὰρ δύο περιττῶν ἀριθμῶν γέγονεν

f) γένονται Trinc. γένωνται χρησίμη emendat Meurs. Denar. Heins. Paullo supra κρισίμη pro Pyth. c. 9.

ἡ συνδρομή. Πάλιν πεπολλαπλασιάσθω ὁ δ' ἐπὶ τὸν ε', καὶ γίνονται κ', καὶ ὁ γ' ἐπὶ τὸν ε', καὶ γίνονται ιε'. Ὁμοῦ λε'. Ταῦτα ἐπὶ τὸ ἐμβαδὸν τοῦ τριγώνου· ἑξάκις λε', σι'. Αἱ δὲ σι' ἡμέραι περιέχουσι χρόνον μηνῶν ἑπτὰ, καὶ ζωογονεῖται τὸ βρέφος· εἰκότως ἄρα ἡ ἑβδόμη ζωογόνος λέγεται. Τί μὲν οὖν ἡ ἕνη καὶ ἡ τετρὰς καὶ ἡ ἑβδόμη, εἴπομεν· ἔτι δὲ καὶ ἄλλως παρ' ἄλλοις ἑρμηνεύεται· τετράδα γὰρ φασί τινες τὸ ἁπλῶς σῶμα, τὸ ἐκ τεσσάρων μόνον στοιχείων συνεστηκός· ἄλλο δὲ τὸ ἁπλῶς σῶμα, καὶ ἄλλο τὸ φυσικὸν, καὶ ἄλλο τὸ ἔμψυχον. Ἁπλῶς μὲν γὰρ σῶμα, τὸ ἄψυχον, σῶμα δὲ, ὡς εἴπομεν, φυσικὸν, τὸ ἐκ τεσσάρων καὶ αὐτὸ συνεστηκὸς, ἔχον δὲ καὶ κίνησιν τὴν αὐξητικὴν, οἷον τὸ δένδρον, ὃ καὶ πεντὰς ὀνομάζεται· ἔμψυχον δὲ σῶμα τὸ ἐκ τεσσάρων στοιχείων συνεστηκὸς, καὶ αὔξησιν ἔχον καὶ αἴσθησιν, ὃ καὶ ἑξὰς ὀνομάζεται. Λέγοιτο δ' ἂν τὸ ἔμψυχον σῶμα καὶ οὕτως ἑξάς· ὁ γὰρ ἓξ ἀριθμὸς οὕτω μετρεῖται· δὶς γ', ϛ'. Καὶ τὸ μὲν δὶς λαμβάνεται ἐπὶ τοῦ σώματος· διαιρετὸν γὰρ τὸ σῶμα, ὡς καὶ ὁ δύο ἀριθμός. Τὸ δὲ τρὶς λαμβάνεται ἐπὶ τῆς ψυχῆς, ἀδιαίρετος γὰρ ἡ ψυχὴ, καὶ δυὰς πολλάκις, ὅτι τρέχει ἐν ἑαυτῷ τὸ πόθεν ποῖ. Ἀπὸ γὰρ προτάσεως, ἤτοι τοῦ πόθεν, ἔρχεται ἐπὶ τὸ συμπέρασμα, ἤτοι τὸ ποῖ· συλλογίζεται γὰρ ἡ ψυχὴ οὕτως· ἐὰν ὁ ἄνθρωπος ζῶον, τὸ δὲ ζῶον οὐσία, ὁ ἄνθρωπος ἄρα οὐσία. Καὶ πρότασις μὲν ὁ ἄνθρωπος ζῶον, τὸ ζῶον οὐσία· συμπέρασμα δὲ ὁ ἄνθρωπος ἄρα οὐσία. ΠΡΩΤΟΝ ἝΝΗ ΤΕΤΡΑΣ ΤΕ ΚΑΙ ἙΒΔΟΜΗ ἹΕΡΟΝ ΗΜΑΡ. Ἄλλο ἡ ἕνη καὶ ἄλλο ἡ νέα· ἕνη μὲν ἡ τριακοστὴ τοῦ μηνὸς, νέα δὲ ἡ πρώτη τοῦ μηνὸς, ἡ καὶ νουμηνία. Ὁ δὲ μὴν παρ' Ὀρφεῖ μόσχος μονόκερως ὀνομάζεται, καὶ μόσχος μὲν, ὡς πρώτην ἔχων τῇ νέᾳ τὴν ἔκφυσιν, μονόκερως δὲ διὰ τὸ μοναδικὸν αὐτοῦ. Ἡ δὲ τετρὰς ἐτιμᾶτο, ὅτι περιεῖχε πάντας τοὺς ἁρμονικοὺς λόγους· ὁ γὰρ τέσσαρα ἅμα ἐπίτριτος, καὶ διπλάσιος, καὶ τετραπλάσιος· ἐπίτριτος μὲν, ὡς πρὸς τὸν τρία· ὁ γὰρ τέσσαρα περιέχει τὸν τρία, καὶ τὸ τρίτον τοῦ τρία τὴν μονάδα· διπλάσιος δὲ ὡς πρὸς τὸν δύο, τετραπλάσιος δὲ, ὡς πρὸς τὴν μονάδα. Ὁμοίως δὲ καὶ ὁ ἑπτὰ ἀριθμὸς ἐναρμόνιος· συνέστηκε γὰρ ἐξ ἑνὸς, β', καὶ δ', καὶ τὰ β' δὲ πρὸς τὸν ἕνα διπλάσια, καὶ τὰ τέσσαρα πρὸς τὰ δύο διπλάσια. Ἐν ταύτῃ ἐγεννήθη καὶ ὁ

μουσηγέτης Ἀπόλλων, ὁ τῆς Λητοῦς υἱός· ἀλληγορικῶς δὲ λέγεται ὁ λόγος ὁ ἐναρμόνιος, ὁ λήθην ἡμῖν ἐμποιῶν τῶν κακῶν.

372 770. ΟΓΔΟΑΤΗ Τ' ΕΝΑΤΗ ΤΕ. Ἐν τῇ ὀγδοάτῃ καὶ ἐνάτῃ τοῦ μηνὸς ἄρχεται αὔξειν τὸ σεληναῖον φέγγος, ὅπερ ὑγρόν ἐστιν ἅμα καὶ θερμὸν, καὶ τότε δεῖ βλέπειν τὸν γεωργὸν τὰ ἔργα, ὡς εἰς αὔξησιν ἔρχεται, καὶ γὰρ οὐ μικρὰ συμβάλλεται ἡ σελήνη τοῖς φυτοῖς εἰς αὔξησιν. Ἐτίμων οὖν οἱ παλαιοὶ τὴν ὀγδόην καὶ ἐνάτην, ὡς αὐξητικὰς τοῦ σεληναίου φωτὸς, καὶ τῶν καρπῶν· ἐτίμων δὲ τὴν ἐνάτην καὶ διὰ τὸν ἀριθμὸν τῶν Μουσῶν· ἐννέα γὰρ αἱ Μοῦσαι· ὁ γὰρ ἐννέα ἀριθμὸς, πρῶτος τετράγωνός ἐστι, καὶ ἴσος πᾶσι τοῖς ἑαυτοῦ μέρεσι· τοιαῦται δὲ καὶ αἱ Μοῦσαι τετράγωνοι καὶ ἴσαι πανταχόθεν. Ὁ δὲ σοφὸς τὴν ἰσότητα φιλεῖ, τὰς δὲ ὑπερβολὰς καὶ τὰς ἐλλείψεις ὡς κακίας οὔσας μισεῖ. Καὶ αἱ ἀρεταὶ ἰσότητες λέγονται· μέσαι γὰρ δύο κακιῶν οὖσαι, ἑκάστη ἀμφοτέρων ἐπίσης ἀπέχει· οἷον, ἡ σωφροσύνη μέση δύο κακιῶν, ἠλιθιότητος καὶ ἀκολασίας· ἔστι δὲ ἡ ἠλιθιότης ἔλλειψις, ἡ δὲ ἀκολασία ὑπερβολή· τούτων δ' ἀμφοτέρων ἐπίσης ἀπέχει ἡ σωφροσύνη.

772. ἘΝΔΕΚΑΤΗ ΤΕ ΔΥΩΔΕΚΑΤΗ Τ'. Ἡ ἑνδεκὰς ἐτιμᾶτο μὲν καὶ αὐτὴ ὡς αὐξητικὴ τοῦ σεληναίου φωτὸς, καὶ τῶν καρπῶν· ἐτιμᾶτο δὲ μᾶλλον, ὅτι μιμεῖται τόδε τὸ πᾶν, καὶ τὸν συναρμοζόμενον τούτῳ. Τὴν δὲ δεκάδα, δεχάδα ἔλεγον οἱ παλαιοὶ, ὡς δεχομένην πάντα ἀριθμὸν ἐφ' ἑαυτοῦ· τὸ δὲ ἓν ἔλεγον τὸν νοῦν τὸν πρῶτον· ἐπεὶ δὲ ἡ ἑνδεκὰς ἔχει τὸν νοῦν τὸν πρῶτον, καὶ τόνδε τὸν κόσμον, ὃν δεκάδα φασὶ, διὰ τοῦτο καὶ τιμᾶται. Ὁ δὲ ιβ' ἀριθμὸς συζυγία καλεῖται· ἔστι γὰρ ἐν αὐτῷ ἀῤῥενότης καὶ θηλύτης· ὁ γὰρ ιβ' διαιρεῖται εἰς ς' καὶ ς', τὰ δὲ ς', εἰς γ' καὶ γ', τὰ δὲ γ', ἀδιαίρετα. Ἐν δὲ ταῖς ιά καὶ ιβ', χρὴ θερίζειν καὶ ξυρεῖν τὰ ποίμνια· κατὰ γὰρ τὴν ιά καὶ ιβ' αὔξει τὸ σεληναῖον φῶς· ὃ καὶ θερμὸν ἐστι καὶ ὑγρόν. Χρὴ οὖν τότε κείρειν τὰ ποίμνια, καὶ θερίζειν τὰς χώρας, ἵνα μὴ οἱ καρποὶ ὑπὸ τῆς πολλῆς ὑγρότητος σήπωνται, τὰ δὲ, ἵνα μὴ τῷ πλήθει τῶν τριχῶν καὶ τῇ τοῦ καταστήματος θερμότητι βλαβῶσιν. Ἄλλαι δὲ αἱ τῆς σελήνης ἡμέραι καὶ ἄλλαι αἱ τοῦ μηνός· ἡ γὰρ σελήνη οὐ συνέρχεται πολλάκις τῷ μηνί· οἷον ἡ πρώτη τῆς σελήνης, οὐκ ἔστι πάν-

τως καὶ πρώτη τοῦ μηνός· ἀλλ' αἱ μὲν ἡμέραι τοῦ μηνὸς οὐχ αἱ αὐταί εἰσιν ἀεὶ, αἱ δὲ τῆς σελήνης αἱ αὐταὶ ἀεί.

774. Ἡ ΔΕ ΔΥΩΔΕΚΑΤΗ ΤΗΣ ἙΝΔΕΚΑΤΗΣ ΜΕΓ' ΑΜΕΙΝΩΝ. Ἐν γὰρ ταῖς ιβ' μᾶλλον λάμπει τὸ σεληναῖον φῶς, ὅπερ ὑγρὸν ὂν καὶ θερμὸν ἀναζωπυρεῖ καὶ τὰ ζωΰφια, ἃ ἐσθίει ὁ ἀράχνης διὰ τῶν ἑαυτοῦ μηχανῶν. Ἀλληγορικῶς δὲ ἀράχνην ὑποληπτέον τὸν σοφὸν, περὶ τὸν ἀέρα ἀεὶ καταγινόμενον τῇ διανοίᾳ, καὶ κύκλα καὶ τριγωνισμοὺς ἀστέρων ὑπονοούμενον, κἀκ τούτων τὴν ζωὴν ποριζόμενον.

777. ΤΗι Δ' ἹΣΤΟΝ ΣΤΗΣΑΙΤΟ ΓΥΝΗ, ΠΡΟΒΑΛΟΙΤΟ ΤΕ ΕΡΓΟΝ. Φωτὸς γὰρ χρεία καὶ ταῖς περὶ ἱστὸν μοχθούσαις γυναιξίν· ἢ ἀλληγορικῶς τε ἅμα καὶ φυσικῶς ἑρμηνευτέον τὸ ῥητόν· ἡ γὰρ σελήνη ὑγρὰ οὖσα ποιεῖ ἐν τῇ ιβ' μᾶλλον ὑγρότερα τὰ τῶν ἀνθρώπων σώματα, ὅτε καὶ ἡ φύσις ποιεῖ τὸ οἰκεῖον· ταύτην δὲ γυναῖκα ὑποληπτέον οὐχ ἱστὸν ὑφαίνουσαν, ἀλλὰ τὰ ἡμέτερα σώματα. Ὅτι δὲ ἡ φύσις ὡς 373
γυνὴ παρείληπται, ἔστι καὶ ἀπὸ ἄλλων ἰδεῖν τοῦτο· μάλιστα δὲ καὶ ἀπὸ τοῦ Ὁμήρου· τὴν γὰρ φύσιν γυναῖκα λέγει, ἱστὸν μὲν ὑφαίνουσαν ἁλιπορφύροις νήμασι, τὰ ἡμέτερα σώματα τοῖς αἵμασι τοῖς ἐρυθροῖς, ἐπὶ ἐργαλείων δὲ μαργαρίνων τῶν ὀστῶν, ἔχουσαν δὲ ἐν τῇ οἰκίᾳ δύο τὰς εἰσόδους, τὴν μὲν θεῶν μακάρων, τὴν δὲ θνητῶν ἀνθρώπων, ἤτοι τῶν ἀγαθῶν καὶ κακῶν. Δεκτικὸς γὰρ ὁ ἄνθρωπος καὶ τῶν δύο, τῶν τε ἀγαθῶν φημι καὶ τῶν κακῶν.

778. ΜΗΝΟΣ Δ' ἹΣΤΑΜΕΝΟΥ ΤΡΙΣΚΑΙΔΕΚΑΤΗΝ ΑΛΕΑΣΘΑΙ ΣΠΕΡΜΑΤΑ ΔΑΣΣΑΣΘΑΙ, ΦΥΤΑ Δ' ΕΚΘΡΕΨΑΣΘΑΙ ΑΡΙΣΤΗ. Ἡ τρισκαιδεκάτη ἀνωφελὴς τῇ σπορᾷ. Ἡ γὰρ σπορὰ νοτίας δεῖται καὶ ψύξεως· ἐν δὲ τῇ ιγ' τοῦ μηνὸς πλεῖον μὲν τὸ ὑγρὸν, πλεῖον δὲ τὸ θερμόν· τοῖς φυτοῖς δὲ ὠφέλιμος, διότι τούτοις μάλιστα χρεία θερμότητος καὶ νοτίας· ὧν μάλιστα μετέχει ἡ σελήνη.

780. ἝΚΤΗ Δ' Ἡ ΜΕΣΣΗ ΜΑΛ' ΑΣΥΜΦΟΡΟΣ ΕΣΤΙ ΦΥΤΟΙΣΙΝ. Ἡ ἑκκαιδεκάτη μετέχει ψυχρότητος· τότε γὰρ λήγει ἡ σελήνη, καὶ ἄρχεται λήγειν καὶ ἡ θερμότης αὐτῆς· ἡ δὲ ψυχρότης οὐκ ὠφέλιμος τοῖς φυτοῖς. Ὁ δὲ ἓξ ἀριθμὸς τέλειός ἐστιν· ἔχει γὰρ ἥμισυ, τρίτον, καὶ ἕκτον, ἤτοι ἀρχὴν, μέσην, τέλος.

781. *ΕΣΤΙ Δ' ΑΝΔΡΟΓΟΝΟΣ ΑΓΑΘΗ.* Φασὶ γὰρ οἱ φυσικοὶ ὅτι τὰ ἄῤῥενα σπέρματα ξηρότερά εἰσι, τὰ δὲ θήλεα ὑγρότερα· τῆς γοῦν μέσης ἕκτης ἡμέρας ἔτι μετεχούσης τοῦ σεληναίου φωτὸς, θερμοτέρου ὄντος καὶ ὑγροτέρου, συμβαίνει τὰ ἄῤῥενα σπέρματα εὔκρατα εἶναι, ὄντα μὲν αὐτὰ ξηρὰ, τῆς δὲ ιϛ΄ θερμῆς καὶ ὑγρᾶς· τὰ δὲ θήλεα ὑγρότερα, καὶ ἀπὸ νοτίων ὡς ἐπιτοπολὺ πνευμάτων συνεστηκότα, ὥσπερ τὸ ἀνάπαλιν ἐπὶ τῶν ἀῤῥένων· ἐκ γὰρ Βορείων πνευμάτων μάλιστα συνέστηκε, καὶ συμβαίνει μὴ εὔκρατα εἶναι· τῆς γὰρ ἔξωθεν καταστάσεως ὑγροτέρας οὔσης, καὶ τοῦ σπέρματος ὑγροτέρου ὄντος, συμβαίνει καὶ τὸ ἀποτέλεσμα πάντως ὑγρὸν εἶναι. Ὅτι δὲ ὑγρότερα τὰ σπέρματα τὰ θήλεα τῶν ἀῤῥένων, μᾶλλον δῆλον κἀκ τοῦδε· τῆς σπορᾶς τῆς θηλείας ὑγρᾶς οὔσης, συμβαίνει καὶ τὸ θῆλυ σπέρμα βραδέως [g]) κινεῖσθαι, διότι καὶ τὸ ὑγρὸν βραδέως συμπήγνυται· τῆς δὲ ἀῤῥενικῆς σπορᾶς ξηροτέρας οὔσης, συμβαίνει καὶ τὸ ἔμβρυον ταχύτερον τοῦ θήλεος ἐν τῇ κοιλίᾳ κινεῖσθαι. Τὰ γὰρ ὑγρὰ καὶ βαρέα, τὰ δὲ ξηρὰ καὶ κοῦφα. Καὶ ἁπλῶς εἰπεῖν, ἥ τε πρώτη ἕκτη, ἥ τε μέση ἡ ιϛ΄, ἀσύμφορος ταῖς θηλείαις εἰς τὸ γεννηθῆναι· ἐν γὰρ τῇ πρώτῃ ϛ΄ οὔπω ἀκμαῖον τὸ φῶς τῆς σελήνης, καὶ ἐν τῇ ιϛ΄ πάλιν λήγει τὸ φέγγος τῆς σελήνης· ἀλλ' οὐδὲ εἰς γάμον ἐπιτηδεία ἡ ιϛ΄, διότι ὁ ἥλιος πολὺ τότε ἀφέστηκε τῆς σελήνης· ὅταν δὲ γένηται σύνοδος καὶ ἐγγύτης ἡλίου καὶ σελήνης, [gg]) ὡς παρακατιὼν λέγει, τότε καὶ ὁ γάμος εὔκαιρος. Ἐν ταύτῃ δὲ τῇ ἕκτῃ τάμνειν ἐρίφους, ἤτοι εὐνουχίζειν, καλόν. Ἐν
374 γὰρ τῇ ιϛ΄ ἄρχεται λήγειν τὸ φέγγος τῆς σελήνης, καὶ γίνεται τὸ περιέχον ψυχρότερον, ὅτε οὐ γίνεται σῆψις ἐν τοῖς τραύμασι. Δεῖ δὲ ἐν ταύτῃ τῇ ἡμέρᾳ σηκοὺς ποιεῖν, διότι πρὸς τὸ ψυχρότερον μεταβάλλεται ὁ ἀήρ· καὶ δεῖ τότε σκέπεσθαι τὰ ποίμνια. Πῶς δὲ καὶ ὁ ἐν ταύτῃ γεννηθεὶς ψευδολόγος ἐστὶ, ψεύδεά τε φιλεῖ, καὶ κρυφίους ὀαρισμούς; ὅτι τότε ἡ σελήνη τὴν διχοτομίαν ψεύδεται, ἐν γὰρ τῇ ιϛ΄ τὸ πλεῖστον τῆς σελήνης φωτεινότερον. Πῶς δὲ καὶ κρυφίους ὀαρισμοὺς φιλεῖ; ὅτι κρυπτῶς ἔν τε τῷ ἓξ ἀριθμῷ, καὶ ἐν τῷ ἑκκαιδεκάτῳ ἐγκατέσπαρται ἡ δυὰς, ἥτις ἐστὶ θῆλυς· δὶς γὰρ τρὶς, ἓξ, καὶ δὶς ὀκτὼ, ιϛ΄.

g) κινεῖται Trinc.
[gg) ὡς παρακατιών. ὥσπερ ὁ *Κάτων* em. Fabricius in indice. *Ex Addendis.*]

788. *ΜΗΝΟΣ Δ' ΟΓΔΟΑΤΗι ΚΑΠΡΟΝ ΚΑΙ ΒΟΥΝ ΕΡΙΜΥΚΟΝ ΤΑΜΝΕΜΕΝ.* Ἡ ὀγδόη ἐτιμᾶτο παρὰ τοῖς παλαιοῖς ὡς τοῦ Ποσειδῶνος οὖσα, ὁ δὲ Ποσειδῶν τῆς θαλάσσης ἐξουσιάζει, λέγεται γὰρ καὶ Ἐνοσίχθων καὶ Ποσειδῶν· τῶν δὲ ζώων τὰ h)ὁρμητικώτερά εἰσιν ὅ τε βοῦς καὶ ὁ κάπρος· καὶ διὰ μὲν τοῦ ταύρου δηλοῦται ἡ κίνησις τῆς ὑγρᾶς· ὑγότερον γὰρ μᾶλλον ὁ βοῦς τοῦ κάπρου· διὰ δὲ τοῦ κάπρου ἡ κίνησις τῆς ξηρᾶς· ἔτεμνον δὲ οἱ παλαιοὶ ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς κάπρους καὶ τοὺς ταύρους, ἵνα καὶ αἱ συνεχεῖς κινήσεις τῆς τε ξηρᾶς καὶ ὑγρᾶς συνέχωνται.

789. *ΟΥΡΗΑΣ ΔΕ ΔΥΩΔΕΚΑΤΗι ΤΑΛΛΕΡΓΟΥΣ.* Ἡ δωδεκάτη ἡμέρα τῆς σελήνης ἐστίν· ὁ γὰρ ιβ' περάτωσις τῶν ἀριθμῶν, ὡσαύτως καὶ ἡ σεληνιακὴ σφαῖρα περάτωσις πάντων τῶν κύκλων. Ἔτεμνον δὲ ἐν ταύτῃ τοὺς ἡμιόνους· καὶ γὰρ ὁμοιότητα τινὰ ἔχει ὁ ἡμίονος πρὸς τὴν σελήνην· ὡς γὰρ ὁ ἡμίονος μέσος ταχύτητος καὶ βραδύτητος, οὕτω καὶ ἡ σελήνη μέση τῆς ἀκινήτου γῆς, καὶ τῶν κινουμένων σφαιρῶν· ἔτεμνον δὲ ἐν ταύτῃ τὰς ὁρμὰς τῶν ἡμιόνων, ὅτι καὶ ἡ σελήνη τὰς πλείους ἑαυτῆς κινήσεις κατέχουσα εὐτάκτως τὴν πορείαν ποιεῖται. Ἔστι δὲ καὶ ἀλληγορικῶς εἰπεῖν, ὅταν γνῶμεν ἐν τέλει τῶν ἡμερῶν εἶναι, τέμνομεν τὰς ἐμπαθεῖς ἐπιθυμίας.

791. *ΕΙΚΑΔΙ Δ' ΕΝ ΜΕΓΑΛΗ.* Ἡ εἰκὰς διπλῆ ἐστι δεκάς· ἡ δὲ δεκὰς ὁ κόσμος ἐστίν. Οἱ γὰρ Πυθαγόρειοι ἐκ δέκα τὸν κόσμον ἔλεγον εἶναι, ἐκ τῆς ἀπλανοῦς σφαίρας, ἐκ τῶν ἑπτὰ πλανήτων, ἐκ τῶν τεσσάρων στοιχείων, ὡς ἓν καὶ τούτων λαμβανομένων, καὶ ἐκ τῆς ἀντίχθονος, ἤτοι τῆς σεληναίας σφαίρας. Λέγεται δὲ ἡ σεληναία σφαῖρα ἀντίχθων, διότι ὃ ποιεῖ ἡ γῆ πρὸς τὴν σελήνην ἀντιφράττουσα αὐτὴν, τὸ αὐτὸ καὶ ἡ σελήνη πρὸς τὸν ἥλιον. Ὁ οὖν ἐν τῇ εἰκάδι γενόμενος κοσμιώτατός ἐστι. Καὶ ἀλληγορικῶς δέ ἐστιν εἰπεῖν, ἡ εἰκὰς πλεῖον κόμμα ἐστὶ τῶν τε ὀκτὼ, καὶ τῶν ιά, καὶ ἁπλῶς ὧν εἶπεν ἄνω ἀριθμῶν. Συμβαίνει οὖν τὸν πλείω χρόνον ζήσαντα πολυΐστορα γίνεσθαι· ἐμπειρία γὰρ καὶ χρόνος τοὺς ἀνθρώπους ἐμπειροτέρους ποιεῖ καὶ φρονιμωτέρους.

792. *ΕΣΘΛΗ Δ' ΑΝΔΡΟΓΟΝΟΣ ΔΕΚΑΤΗ, ΚΟΥΡΗι ΔΕ ΤΕ ΤΕΤΡΑΣ* κ. τ. λ. Τίς μὲν ἡ δεκάτη, μικρὸν

h) ὀσμηκότερα Trinc. ὁρμηκώτερα Heins.

375 ἄνω εἴπομεν, ὅτι δεχάς τίς ἐστιν, ἤτοι κόσμος, ὁ πάντα τὰ εἴδη δεχόμενος· ὁ δ' ἐν ταύτῃ γενόμενος [1]κόσμιος καὶ εὔχρους τὸ σῶμα· κατὰ γὰρ τὴν ι αὔξει τὸ φῶς τῆς σελήνης, ὅπερ ὑγρότητος ἅμα καὶ θερμότητος μετέχον ποιεῖ τὸ ἄῤῥεν, ἐκ σώματος ὂν ψυχροτέρου καὶ ξηροτέρου εὔκρατον. Ἡ δὲ μέση τετρὰς, ἤτοι ἡ τεσσαρεσκαιδεκάτη, σύμφορος θηλείᾳ γονῇ· τὸ γὰρ θῆλυ σπέρμα ὑγρὸν καὶ θερμόν. Ἐν δὲ τῇ ιδ' λήγει ἡ ὑγρότης τοῦ φωτὸς τοῦ σεληνιακοῦ, καὶ γίνεται τὸ περιέχον καὶ ψυχρότερον καὶ ξηρότερον. Τῶν δὲ ἐναντίων εὐκράτως συγκεραννυμένων, τὸ ἀποτέλεσμα συμβαίνει εὔκρατον εἶναι. Ἐν δὲ ταύτῃ τῇ ἡμέρᾳ πραΰνεται καὶ τὸ θυμοειδὲς τῶν ζώων· διότι καὶ ἡ σελήνη τότε ἄρχεται λήγειν.

795. ΠΕΦΥΛΑΞΟ ΔΕ ΘΥΜΩι ΤΕΤΡΑΔ' ΑΛΕΥΑΣΘΑΙ ΦΘΙΝΟΝΤΟΣ Θ' ἹΣΤΑΜΕΝΟΥ ΤΕ. Ἡ τετάρτη καὶ ἡ εἰκοστὴ τετάρτη ἡμέρα, τέλειαί εἰσιν αἱ ἡμέραι· πᾶσα γὰρ τετρὰς ἱερὰ ὡς καὶ στερεά. Στερεὰ δὲ λέγεται, διότι πάντα τὰ συνεστῶτα ἐκ στιγμῆς πρῶτον ἐγένετο· ἡ γὰρ στιγμὴ ῥυισκομένη ποιεῖ γραμμήν· ἡ δὲ γραμμὴ ἐπιφάνειαν· ἡ δὲ ἐπιφάνεια στερεόν· τελεία ἄρα ἡ τετρὰς, καὶ ἀξία τιμᾶσθαι. Ἐτιμᾶτο δὲ καὶ παρὰ τοῖς Πυθαγορείοις·

Οὐ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν,
Παγὰν ἀϊδίου φύσεως.

ἐν γοῦν ταύτῃ κατ' ἐξαίρετον λέγει μὴ χολοῦσθαι, διότι τελεία ἐστίν.

798. ΕΝ ΔΕ ΤΕΤΑΡΤΗι ΜΗΝΟΣ. Ἡ πρώτη τετρὰς τοῦ μηνὸς ἀρχὴ ὑπάρχει τῆς συνόδου τοῦ ἡλίου καὶ τῆς σελήνης, καὶ ἀρχὴ φωτὸς τοῦ σεληνιακοῦ· τότε δὲ δεῖ ἄγεσθαι εἰς οἶκον ἄκοιτιν· ἡ δὲ ἑτέρα τετάρτη ἡ πρὸς τῷ τέλει, ἀρχὴ τῆς περικλείσεως τῶν φωτισμάτων· ὅτε οὐ δεῖ λαμβάνειν γυναῖκα· τότε γὰρ ἡ σελήνη πολὺ τοῦ ἡλίου ἀφέστηκε.

800. ΠΕΜΠΤΑΣ Δ' ΕΞΑΛΕΑΣΘΑΙ. Ὁ πέντε ἀριθμὸς δίκη λέγεται· ἐπίσης γὰρ τὸν δέκα τέμνει· ἐν δὲ τῇ πέμπτῃ φασὶν ὅτι ἐγεννήθησαν αἱ Ἐριννῦς αἱ τὰς πλεονεξίας τιμωρούμεναι. Τοῦ μηνὸς ἡ πρώτη πέμπτη πλείονος μετέχει φωτός· ἡ δὲ ὑστάτη ἥττονος. Διὰ τοῦτο καὶ αἱ Ἐριννῦς ἐν ταύταις ταῖς πέμπταις ἐγεννήθησαν· τιμωρητικαὶ γὰρ τῶν πλεονεκτι-

[1]) κόσμος Trinc.

κῶν, βοηθοὶ δὲ τῶν πλεονεκτουμένων.. Ἢ ἀλληγορικῶς ἑρμηνευτέον τὸ, Πέμπτας ἐξαλέασθαι, ἀντὶ τοῦ πολλοὺς γάμους· ὁ γὰρ πέντε γάμος λέγεται. Ἐκ γὰρ ἀρτίου τοῦ δύο, καὶ περιττοῦ τοῦ τρία, συνέστηκεν, ἵνα κατὰ συνέχειαν εἴη ὁ λόγος, ἄνω γὰρ εἶπε περὶ γάμου.

803. ΜΕΣΗ Δ' ΕΒΔΟΜΑΤΗ. Ἡ ἑπτακαιδεκάτη, ἐπιτηδεία εἰς τὸ θεῖναι καρποὺς ἐπὶ τὴν ἅλω· τότε γὰρ λήγει ἡ θερμότης τῆς σελήνης, καὶ κινοῦνται αὖραι ἐπιτήδειαι τοῖς ἀλωνίζουσιν. Ἐν ταύτῃ τῇ ἡμέρᾳ δεῖ τέμνειν καὶ τὰ θαλαμήϊα ξύλα· τότε γὰρ ἡ ὑγρότης τῆς σελήνης λήγει, ἡ αἰτία σήψεως.

807. ΤΕΤΡΑΔΙ Δ' ΑΡΧΕΣΘΑΙ. Ἡ τετρὰς ἁρμονία λέ- 376
γεται. Ἔχει γὰρ τὸν ἐπίτριτον· ὁ γὰρ τέσσαρα τοῦ τρία ἐπίτριτος· ἔχει τὸν διπλάσιον· ὁ γὰρ τέσσαρα τοῦ β' διπλάσιος· ἔχει καὶ τοῦ δὶς διὰ πασῶν τὸν τετραπλάσιον· τὰ γὰρ τέσσαρα τῆς μονάδος τετραπλάσια. Ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ κατασκευαστέον τὰ ἔργα τὰ τῆς ἁρμονίας δεόμενα. Ἢ καὶ ἄλλως. Τετρὰς λέγεται στερεὸν, πρῶτον ἐκ στιγμῆς, εἶτα ἐκ γραμμῆς, εἶτα ἐξ ἐπιπέδου, καὶ τελευταῖον στερεοῦ. Δεῖ γοῦν τὰ ἔργα τὰ στεῤῥότητος δεόμενα ἐν ταύτῃ τῇ ἡμέρᾳ κατασκευάζειν.

809. ΠΡΩΤΙΣΤΗ Δ' ΕΙΝΑΣ ΠΑΝΑΠΗΜΩΝ. Πρώτη ἐννὰς, ἡ ἡμέρα τῶν Μουσῶν ἐστι τῶν Ἑλικωνιάδων· ὁ γὰρ θ' ἀριθμὸς ἰσάκις ἴσος ἐστί· καὶ ἀγαθὸς ἐν πᾶσιν. Ἑλικωνιάδες δὲ λέγονται αἱ Μοῦσαι, οὐχ ὅτι ἀπὸ τόπου τινὸς Ἑλικῶνός εἰσιν· ἀλλ' ἐν τῇ τοῦ Πτολεμαίου μουσικῇ ἔστι τὶ ὄργανον, ὃ καλεῖται Ἑλικών. Ἐν δὲ τούτῳ τῷ Ἑλικῶνι εἰσὶν ἐννέα τινὲς χορδαί· ὧν τρεῖς τοῦ διὰ τεσσάρων, ἤτοι τοῦ ἐπιτρίτου· τρεῖς δὲ τοῦ διὰ πέντε, ἤτοι τοῦ ἡμιολίου· τρεῖς δὲ τοῦ διὰ πασῶν, ἤτοι τοῦ διπλασίου· ἃς δὴ καὶ ἐννέα Μούσας προσηγορεύκασιν. Ἀλλὰ πρὸς ἀπόδειξιν ἀληθεστέραν ἐκθετέον καὶ τὰ ὄργανα οὕτως. Ἔστω τετράγωνον ἰσόπλευρον τὸ ά β' γ' δ', καὶ διαιρείσθωσαν μέσαι αἱ ά β', γ' δ', κατὰ τὰ ἑ, ζ, σημεῖα. Καὶ ἐπεζεύχθωσαν αἱ ά ζ. Καὶ β' ἡ γ'. Καὶ διήχθω παρὰ μὲν τὴν ά β'



εὐθεῖαν, διὰ μὲν τοῦ ἑ, ἡ ἑ θ́ κ́. Διὰ δὲ τοῦ ή, ἡ λ́ ἢ μ́. Φανερὸν οὖν αὐτόθεν, ὅτι ἡ ά γ́ διπλασία ἐστὶν ἑκατέρας, τῶν β́ ζ́ καὶ ζ́ δ́, καὶ ἔτι τούτων ἑκατέρα, τῆς ἑ θ́, ἐπεὶ καὶ ἡ ά β́, τῆς ά ἑ, ὥστε καὶ ἡ ά γ́, τῆς μὲν ἑ θ́ τετραπλασία· τῆς δὲ θ́ κ́ ἐπίτριτος. Ἔστιν οὖν ἐν τούτῳ τῷ ὀργάνῳ εὑρεῖν, τὸ διὰ τεσσάρων, τὸ διὰ πέντε, καὶ τὸ διὰ πασῶν. Οἷον, ὁ μὲν διὰ τεσσάρων, ὁ ἐπίτριτός ἐστιν. Ὁ δὲ διὰ πέντε, ὁ ἡμιόλιος. Ὁ δὲ διὰ πασῶν, ὁ διπλάσιος. Εὑρήσεις δὲ, εἰ σκοπήσεις, ἐνταῦθα τρεῖς ἐπιτρίτους, καὶ τρεῖς ἡμιολίους, καὶ τρεῖς διπλασίους, οὓς καὶ ἐννέα Μούσας προσαγορεύουσιν. Οἷον ὁ ΙΒ τοῦ θ́ ἐπίτριτος· περιέχει γὰρ ὅλον τὸν θ́, καὶ τὸ τρίτον αὐτοῦ, ἤγουν τὸ Γ. Ὁ Η ἐπίτριτος τοῦ ϛ́. Περιέχει γὰρ ὅλον τὸν ϛ́, καὶ τὸ τρίτον αὐτοῦ τὰ Β. Ὁ Δ τοῦ Γ ἐπίτριτος. Περιέχει γὰρ ὅλον τὸ Γ, καὶ τὸ τρίτον αὐτοῦ, ἤτοι τὸ Α. Ἰδοὺ τρεῖς ἐπίτριτοι, οἵ τινές εἰσι τοῦ διὰ τεσσάρων. Πάλιν ὁ ΙΒ τοῦ Η ἡμιόλιος, περιέχει γὰρ ὅλον τὸν Η, καὶ τὸ ἥμισυ αὐτοῦ τὸ Δ. Ὁ θ́ ἡμιόλιος τοῦ ϛ́, περιέχει γὰρ ὅλον τὸν ϛ́, καὶ τὸ ἥμισυ αὐτοῦ τὸ Γ. Ὁ ϛ́, τοῦ Δ ἡμιόλιος· περιέχει γὰρ ὅλον τὸν Δ, καὶ τὸ ἥμισυ αὐτοῦ τὰ Β. Ἰδού σοι κἀνταῦθα τρεῖς ἡμιόλιοι, τοῦ διὰ πέντε. Δεδείχ-
377 θωσαν δέ σοι καὶ τρεῖς διπλάσιοι, οἵ τινες εἰσὶ τοῦ διὰ πασῶν. Οἷον ὁ ΙΒ τοῦ ϛ́ ὅτι διπλάσιος, οὐ πώποτε ἠρώτησα, ἀλλὰ καὶ ὁ ϛ́, τοῦ Γ· καὶ ὁ Η τοῦ Δ.

812. ΠΑΤΡΟΙ Δ' ΑΥΤ' ΙΣΑΣΙΝ. Ἤτοι οὐδεὶς ἐπαινεῖ τὴν λ́. Οἱ δέ φασιν ὅτι τὴν κθ́ λέγει· ἔστι γὰρ πάντη ἀφώτιστος, καὶ ἔχει καὶ πυκνοὺς τοὺς ἀνέμους, καὶ ἐπικινδύνους τοῖς πλέουσι. [k]) Χρήσιμος δὲ εἰς τὸ ὑποτάξαι ζῶα καὶ καταστεῖλαι τὸ θυμοειδὲς αὐτῶν.

818. ΠΑΤΡΟΙ Δ' ΑΥΤΕ ΜΕΤΕΙΚΑΔΑ ΜΗΝΟΣ ΑΡΙΣΤΗΝ. Τὴν κά οἱ Ἀθηναῖοι μετεικάδα ἔλεγον εἶναι. Μετὰ γὰρ τὴν εἰκοστήν ἐστιν ἡ μονάς. Αὕτη δὲ ἡ κά πρὸς μὲν τὸν ὄρθρον καλή ἐστι, πρὸς δὲ τὴν δείλην χερείων· οὐ γὰρ ταυτὸ μονὰς καὶ ἑνάς· ἡ μὲν γὰρ ἑνὰς ἀναλλοίωτός ἐστιν, ἡ δὲ μονὰς ἀλλοιωτική· διὰ τοῦτο καὶ ἡ κά πρὸς μὲν τὴν ἀρχὴν καλή ἐστι, πρὸς δὲ τὸ τέλος ἀλλοιοῦται. Καὶ ὅπως ἡ μονὰς ἀλλοιωτική, σκοπητέον. Ἔστιν ἐν τοῖς οὖσι ταυτότης καὶ ἑτερότης· καὶ ταυ-

k) χρησίμους Trinc.

τότης μὲν τὸ ἓν, ἑτερότης δὲ τὰ δύο, δὶς γὰρ δύο, τέσσαρα. Τὸ μὲν οὖν ἓν ἀναλογεῖ τῷ θεῷ, ὅτι καὶ ἀναλλοίωτον, ὡς καὶ ὁ θεός. Ἡ δὲ μονὰς ὑλικὴ οὖσα ἀναλογεῖ τῇ ἡμετέρᾳ ψυχῇ, ἥτις τρεπτὴ μὲν, ἀδιαίρετος δὲ, καθὼς τὸ ἕν· πλὴν τὸ ἓν ὑπέρτερόν ἐστι τῆς τε μονάδος καὶ δυάδος. Καὶ λοιπὸν δέδεικται, ὅτι οὐ ταυτὸ μονὰς καὶ ἑνὰς, εἴπερ τὸ ἓν μὲν ἀναλλοίωτον, ἡ δὲ μονὰς ἀλλοιουμένη. Ταῦτά μοι περὶ τῶν ἡμερῶν ἐξεπονήθη τοῦ Ἡσιόδου.

ΕΙΣ ΤΗΝ

ΗΣΙΟΔΟΥ

ΘΕΟΓΟΝΙΑΝ

ΣΧΟΛΙΑ ΤΙΝΑ ΜΕΡΙΚΑ, ΠΑΛΑΙΑ.

Ἰστέον ὅτι [a]) ὁ τῆς Θεογονίας λόγος φυσικὴν διήγησιν τῶν ὄντων [b]) ὑπογράφει. Ἀπὸ Μουσῶν δὲ τὴν ἀρχὴν ποιεῖται τοῦ λέγειν, ὅτι αὗται προΐστανται τοῦ λόγου. Μοῦσαι δὲ ἐκλήθησαν ὡς ὁμοῦ ἀεὶ οὖσαι· μίαν γὰρ ἁρμονίαν ἐντεινάμεναι, συνᾴδουσι καὶ συγχορεύουσιν ἀλλήλαις, μηδέποτε ἀπ' ἀλλήλων χωριζόμεναι. Εἰ γὰρ καὶ ἴδιον κλῆρον ἑκάστη εἴληχεν, ἡ μὲν ἀστρονομίας, ἡ δὲ γεωμετρίας, ἡ δὲ καλλιεπείας, ἡ δὲ ᾠδῶν, καὶ ἑτέρα [c]) ἑτέρων, ἀλλ' ἐν ἑκάστῃ πάσας ἐστὶν εὑρεῖν. Ἐν γὰρ ἀστρονομίᾳ καὶ γεωμετρίαν εὕροι τις ἄν, καὶ κάλλος ἐπῶν, καὶ ἱστορίαν, καὶ τῶν λοιπῶν ἕκαστον. Εἰσὶ δὲ ἐννέα τὸν ἀριθμόν, καὶ ὀνομάζονται οὕτως· Κλειώ, Θάλεια, Εὐτέρπη, Τερψιχόρη, Ἐρατώ, Μελπομένη, Πολυμνία, Οὐρανία, καὶ Καλλιόπη.

1. *ΜΟΥΣΑΩΝ ἙΛΙΚΩΝΙΑΔΩΝ.* [d]) Ἀπὸ τῶν Μουσῶν

---

a) ὁ περὶ τῆς Trinc. Heins. Praepositio deest K. Bas.

b) Ita K. ὑπαγορεύει edd. Mox *Ἀπὸ Μουσῶν* ad *Ἑλικωνιάδων* om. Bas.

c) ἑτέρου Trinc. Mox εὕρῃ Trinc. Heins.

d) Sequentia ita leguntur in Trinc. *Μουσάων ἑλικωνιάδων*) *Τῶν ἐν ἑλικῶνι διατριβουσῶν. ὁ δὲ ἑλικών, ὄρος τῆς βεστιαίων χώρας ἐν τῇ βοιωτίᾳ. ἀφ' ἧς καὶ ὁ ποιητής. εἰς ὃ καὶ ἱερὸν μουσῶν, ἔνθα χορεύουσιν. ἐν δὲ τῇ πιερίᾳ ἐγεννήθησαν. ἥτις καὶ αὐτὴ βοιωτίας ἐστὶν ὄρος ἐν ἑλικῶνι δὲ καὶ ἱερόν ἐστι διὸς ἑλικωνίου. διατὶ δὲ αὐτὰς οὐχ ὀλυμπιάδας ἐκάλεσεν, ἀλλὰ μουσάων ἑλικωνιάδων εἶπεν. βούλεται ὡς φιλόπατρις ἀποχαρίσασθαι τὰ*

ἀρχὴν ποιούμεθα τοῦ [e]) λέγειν, διότι αὗται ἡμῶν τοῦ λόγου ἄρχουσιν. 380 Ἑλικωνιάδας δὲ, ὡς Βοιωτὸς, εἶπεν αὐτάς. Ἑλικὼν γὰρ ὄρος τῆς Βοιωτίας. Ἐπεὶ οὖν οἱ Βοιωτοὶ [f]) ἔσθ' ὅτε ὡς ἰδιῶται διεβάλλοντο, ἐβουλήθη εἰπεῖν Ἡσίοδος Ἑλικωνιάδων, καὶ δεῖξαι, ὅτι καὶ αὐτοὶ ἔχουσι μέρος τι τῆς φρονήσεως, καὶ ὅτι [g]) πάντη φοιτῶσιν αἱ Μοῦσαι, ἔνθα βούλονται.

2. ΑΙΘ' ἙΛΙΚΩΝΟΣ. Αἵ τινες Μοῦσαι, δηλαδὴ ὁ λόγος καὶ ἡ σοφία, Ἑλικῶνος ἔχουσιν ὄρος, ἀντὶ τοῦ, αὐτὸν τὸν Ἑλικῶνα οἰκοῦσι περιφραστικῶς, δηλονότι τὴν κεφαλὴν περιπολεύουσι, καὶ εἰς τὸν νοῦν τὸν καθαρὸν καὶ [h]) ἄῤῥυπον ἐπιπολοῦσι· καί τε περὶ Ἑλικῶνα καὶ περὶ βωμὸν ὀρχεῦνται· ἐν τῷ αὐτῷ γὰρ ὄρει καὶ κρήνη ἦν, καὶ βωμός. Ἡ δὲ ἵππου κρήνη οὕτως λέγεται [i]) ἀναδοθεῖσα ἐκ τῆς ὁπλῆς τοῦ Πηγάσου. Ἐν γὰρ τῷ Ἄργει διψήσαντος τοῦ Βελλεροφόντου, ὁ Πήγασος τῷ ποδὶ τὴν γῆν πατάξας ἐξέβαλεν ὕδωρ, καὶ ἐκλήθη ἵππου κρήνη. Ἄλλοι δὲ [k]) Πηγασίαν ἐκ τοῦ ὄρους. Ἰοειδέα [l]) δὲ, ἀνθώδη, μελάνυδρον· ἴον γὰρ εἶδος ἄνθους· ἢ τὴν ἴοις περιπεφραγμένην, ἀνθώδη. Ἢ [m]) διαυγῆ καὶ καθαράν· δεῖ γὰρ

ἄριστα τῇ ἑαυτοῦ πατρίδι. καὶ παιδίας αὐτὴν οἶκον ἀποδεῖξαι. ἐπειδὴ γὰρ οἱ βοιωτοὶ ἰδιῶται ὄντες διεβάλλοντο, ἠβουλήθη εἰπεῖν ἡσίοδος ἑλικωνιάδων. καὶ δεῖξαι ὅτι καὶ αὐτοὶ οἱ βοιωτοὶ ἔχουσι μέρος τὶ φρονήσεως. καὶ περὶ πάντα τὰ μαθήματα ἐσπουδάκασι. καὶ ὅτι πάντη φοιτῶσιν αἱ μοῦσαι ἔνθα βούλονται καὶ τοὺς ἰδιώτας καὶ ἀμαθεῖς σοφίζουσιν. ἢ ὅτι αὐτῷ παρακείμεναι καὶ συνοικοῦσαι, δεδώκασιν αὐτῷ τὴν ποιητικήν. ὅθεν, διασαφεῖ. ἔνθα με πρῶτον λιγηρῆς ἐπέβησαν ἀοιδῆς.

e) λόγου B. Mox Ἑλικὼν γὰρ ὄρος τῆς βεστιαίων χώρας ἐν τῇ βοιωτίᾳ ἱερὸν μουσῶν. Ἐν Ἑλικῶνι δὲ βωμὸς ἦν τοῦ πατρὸς Διός. B.

f) ἔσθ' ὅτε ὡς addidi ex B. et K. ubi διαβάλλονται. Themistius Orat. XXVII. p. 334. B. καὶ γὰρ δὴ καὶ ἡ Βοιωτία χωρίον μὲν ἀμαθίας εἶναι ἐδόκει· καὶ ὗν τινά, οἶμαι, Βοιωτίαν ἐκάλουν, εἰς ἀπαιδευσίαν τὸ φῦλον ἐπισκώπτοντες. ἀλλ' ὅμως Πίνδαρος, καὶ Κορίννα, καὶ Ἡσίοδος οὐκ ἐμολύνθησαν τῆς ὑός.

g) πανταχοῦ K.

h) Ita B. edd. ἄῤῥητον. πολοῦσι B. κρήνην B. pro Ἑλικῶνα καὶ π. β. ὀ. Mox ἦν inserui ex B.

i) ἀναδοθῆναι Trinc. B.

k) πηγασίαν ταύτην καλοῦσιν Trinc. πηγασίαν ὄνομα ποταμοῦ B.

l) δὲ ἀνθώδη om. Trinc. μελανοειδῆ K. pro μελάνυδρον. Etymologus MS. Leidensis: Ἰοειδέα· ἀνθώδη· ἀπὸ τοῦ ἴου τῆς βοτάνης. Ὅμηρος δὲ τὸν μελανώδη παρὰ τὸ ἰός. Ὀππιανὸς, νεφελὴν ἰοειδέα παπταίνουσιν.

m) Eam Scholiastae interpretationem probo, cum exponit διαυγῆ καὶ καθαράν. Nimirum epitheton ἰοειδὴς saepius simpliciter aquae tribuitur; verum quidem exponi quoque posse μελάνυδρον, sed hoc potissimum de aqua marina dicitur, quae cyaneum praefert nigrorem; in fontibus vero et fluviis praecipue laudatur aqua διαυγὴς

τοὺς περὶ [n]) λόγους ἠσχολημένους, διαυγῆ καὶ καθαρὸν ἔχειν τὸν λογισμόν· καὶ οὐ μόνον τὸν λογισμὸν, ἀλλὰ καὶ τὸ σῶμα. [o]) Καὶ διὰ τοῦτο φησὶ,

Καί τε λοεσσάμεναι χρόα καλὸν, πόσσ' ἀπαλοῖσιν
Ὀρχεῦνται.

381 Μάχεται τὸ ΑΠΑΛΟΙΣΙ, καὶ τὸ ΕΠΕΡΡΩΣΑΝΤΟ· [p]) τὸ γὰρ σύντονον τῷ ἠρεμαίῳ ἀντίκειται· ἢ ὅτι πόδας μὲν εἶχον ἀπαλοὺς, ἐῤῥωμένως δὲ καὶ συντόνως ὠρχοῦντο, ἢ ἐπισταμένως ἐχόρευον. [3]) Ἀνοίκειον δὲ παρθένοις Μούσαις τὸ ἐπίθετον.

4. ΕΡΙΣΘΕΝΕΟΣ. Μέλλων [q]) αὐτοῦ λέγειν τὴν δύναμιν, εἶπεν ἐνταῦθα τὸ ΕΡΙΣΘΕΝΕΟΣ, [r]) ἤγουν αὐτὸν τὸν Δία. Ἐν Ἑλικῶνι δὲ ἦν ὁ βωμὸς, ὡς εἴρηται, τοῦ Διὸς τοῦ Ἑλικωνίου.

5. ΤΕΡΕΝΑ ΧΡΟΑ. Τέρενα, τὰ ἁπαλὰ, κατὰ κοινωνίαν τοῦ τ πρὸς τὸ θ, οἷον θέρενα. Τὰ γὰρ ἁπαλὰ, [s]) εὐθέρμαντα. τὰ δὲ σκληρὰ, ἀθέρμαντα καὶ ἀτέρενα.

Ibid. ΠΕΡΜΗΣΣΟΙΟ. [g]) Οἱ μὲν ποταμοὶ τῆς Βοιωτίας οὗτοί εἰσι. Περμησὸς, ὃν καλοῦσιν οἱ ἐγχώριοι διὰ τὸ πρῶτον φανῆναι, Πάρμησον, ὥς φησι Κράτης ἐν τοῖς Βοιωτικοῖς.

et καθαρὰ, unde Horatius de fonte ait, *splendidior vitro.* Theocrit. Eid. XVI. v. 62. ἢ ὕδατι νίζειν θολερὰν ἰοειδέι πλίνθον, ubi sane oppositio ὕδωρ ἰοειδὲς, et θολερὰ πλίνθος, ἰοειδὲς exponi debere καθαρὸν, διαυγὲς docet. Nihilominus non respuo eorum sententiam, qui *caeruleum* seu *nigricantem fontem* exponunt. Hesychius exponit μέλαν ἢ ἀνθηρὸν ἐν τῷ ὁρᾶσθαι πορφυροῦν: paullo diversa notione apud Nicand. Th. 886. intelligitur, quo loco scorpio attribuit ἰοειδὲς κέντρον, quam vocem, hoc loco eruditus sane interpres, recte, ni fallor, exposuit ἰοβόλον. Χρῶμα ἰῶδες est apud Galen. περὶ τῆς τ. ἁ. φαρμ. δυν. l. X. c. περὶ χολῆς. Ἰοβόστρυχος Etymol. p. 443, 13. HEMSTERHUSIUS.

n) λογον ἀσχολουμένους K. ἀσχολουμένους B.

o) διατοῦτο λοεσσάμεναι φησὶν ἀπαλὸν χρόα Trinc.

p) Inserunt h. l. B. K. εἰ γὰρ ποσὶν ἀπαλοῖς ὀρχοῦνται, πῶς ἐπεῤῥώσαντο;

3) Scribendum, ἀνοίκειον δὲ παρθένοις Μούσαις τὸ ἐπίθετον, nimirum ἐῤῥωμέναι, aut simile quid quod denotat τὸ σύντονον, et pugnat cum ἀπαλοῖς. Quamvis omnino existimem locum esse mutilum: hoc tamen modo legendum esse facile apparet. HEINSIUS. Μούσαις recte habet ed. Trinc. et B.

q) αὐτῶν B.

r) αὐτὸν δὲ λέγει τὸν Δία, ἐν γὰρ Ἑλικῶνι, ὡς εἴρηται, οἴκησίς ἐστι Δ. E. Trinc. B. sed βωμὸς pro οἴκησις B.

s) Ita Tr. B. ἀθέρμαντα Heins. Mox τὰ δὲ σκληρὰ ἀτέραμνα Trinc. B.

g) Sequentia ad οὗ ποταμὸς edidi ex Trinc. et B. In Heins. leguntur tantum haec, Περμησσὸς δὲ ποταμὸς παρακείμενος τῷ Ἑλικῶνι.

Ἐμβάλλει δὲ εἰς τὴν Κωπαΐδα λίμνην. Ἐν δὲ τοῖς Ζηνοδοτείοις [h]) γράφει Τερμησσοῖο. Τὰς δὲ πηγὰς ἔχει ἐν τῇ Θεσπιακῇ χώρᾳ, καὶ ἀπ' αὐτῆς ῥεῖ εἰς τὴν Κωπαΐδα λίμνην, κακῶς· ὁ γὰρ Τερμησσὸς ὄρος ἐστὶ, καὶ οὐ ποταμός. Καὶ ὁ Ὀλμειὸς, ποταμός ἐστιν ἐν Ἑλικῶνι τῆς Βοιωτίας κατὰ τὸ ἄκρον αὐτοῦ, ἀπὸ Ὀλμειοῦ τοῦ Σισύφου παιδός· τριακόσια δέ που στάδια ἀπέχει Θηβῶν.

8. [hh]) ΕΠΕΡΡΩΣΑΝΤΟ. Ἐπιτεταμένως, καὶ ἐῤῥωμένως, καὶ εὐτόνως ἐχόρευσαν, ἢ ἐφωρμήθησαν. Σημαίνει δὲ καὶ τὸ ἰσχυροποιήσαντο.

9. ΕΝΘΕΝ ΑΠΟΡΝΥΜΕΝΑΙ ΚΕΚΑΛΥΜΜΕΝΑΙ. Διὰ τὸ ἀπορνύμεναι εἶπε κεκαλυμμέναι, οἱονεὶ μεθερμηνεύων τὸ ἀπορνύμεναι.

10. [i]) ΟΣΣΑΝ ΙΕΙΣΑΙ. Ὄσσαν ᾄδουσαι πορεύονται δι' ὅλης τῆς νυκτός. Ὄσσαν, τὴν θείαν φωνὴν, καὶ τὴν θείαν κληδόνα· ὡς καὶ παρ' Ὁμήρῳ·

Ἢ ὄσσαν ἀκούσαις Ἐκ Διός.

Ἔστὶ δὲ Ὄσσα, καὶ ὄρος Θεσσαλίας.

12. ΧΡΥΣΕΟΙΣΙ ΠΕΔΙΛΟΙΣ. Τοῖς ὑποδήμασιν, ἤτοι διὰ τὸ πρὸς τῷ πέδῳ εἶναι, ἢ παρὰ τὸ τοῖς ποσὶν εἱλεῖσθαι τὰ πρὸς τοὺς πόδας εἱλούμενα. Συνέζευξε δὲ [k]) τούτοις καὶ τὴν [382] οἰκειότητα· ὅτε μὲν γάρ τις θεωρητικός [l]) ἐστι τοῦ ἐν τοῖς ὁρατοῖς ἐμφαινομένου κάλλους, φυσικός τις ἢ φυσιολόγος προσαγορεύεται· ἐπειδὰν δὲ ταῦτά τις ὑπερβὰς αὐτῷ παραστῇ τῷ θεῷ, μετὰ τὸ γνῶναι τίνα τρόπον τὰ πάντα ἐστὶ καλὰ λίαν, ἀπὸ τοῦ ἐν τούτοις κάλλους ἐπὶ τὸ ὄντως καλὸν ἀναδράμῃ, τότε ἐπὶ τὰ τῆς φυσιολογίας ἀνώτερα προκόψας, τὰ καλούμενα μετὰ τὰ φυσικὰ, ἐποπτικὸς γίνεσθαι δύναται.

16. ΚΑΙ ΘΕΜΙΝ ΑΙΔΟΙΗΝ. Αἰδοῦς ἀξίαν, τιμίαν. Ἢ ὡς μαλερὸν πῦρ τὸ μαραντικὸν, οὕτω καὶ αἰδοίην, τὴν δι' αἰδοῦς τοῖς [m]) νομίμοις ἀνθρώποις οὖσαν.

h) Forte, γράφεται.

hh) Deest hoc Schol. Heins. In Trinc. post ἰσχυροποιήσαντο seq. μάχεται — ἐπίθετον. v. supra v. 2. Deest Schol. seq. Heins.

i) Hoc et seq. Scholion om. Trinc.

k) τούτοις addidi ex B.

l) Locus ex B. additus. In codice est θεωρητικὸς εἶ τοῖς ἐν τοῖς. Quae sunt aperte mendosa. Legere etiam possumus, ὅταν μ. γ. τ. θ. ἢ τοῦ.

m) Ita Trinc. B. φρονίμοις Heins.

Ibid. *ἙΛΙΚΟΒΛΕΦΑΡΟΝ Τ᾽ ἈΦΡΟΔΙΤΗΝ.* Καλὴν, ἀπὸ μέρους, τὴν ἑλικοειδῆ καὶ στρογγύλα καὶ [n])περιφερῆ καὶ ἀνακεκλασμένα τὰ βλέφαρα ἔχουσαν, ἐκ μεταφορᾶς τῶν τῆς ἀμπέλου ἑλίκων.

17. *ἩΒΗΝ ΤΕ ΧΡΥΣΟΣΤΕΦΑΝΟΝ.* Τὴν εὔμορφον, [o]) ἀπὸ τῆς στεφάνης τοῦ γυναικείου κόσμου, τοῦ ἐκ χρυσοῦ καὶ λίθων κατεσκευασμένου.

Ibid. *ΔΙΩΝΗΝ.* Οὐ τὴν τῆς Ἀφροδίτης μητέρα, ἀλλὰ μίαν τῶν Ὠκεανίδων, [p]) τουτέστι τῶν Τιτανίδων. Σημείωσαι δὲ, ὅτι δύο Ἀφροδῖται· ὧν τὴν μίαν συνέζευξε Θέμιδι ἀρχαιοτάτην οὖσαν.

22. *ΑΙ ΝΥ ΠΟΘ᾽ ἩΣΙΟΔΟΝ.* Ἤγουν ἐμέ. [q]) Καὶ Ὅμηρος·

Ἦ ποτ᾽ Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

Περὶ αὐτοῦ δὲ λέγων, ὡς περὶ ἄλλου λέγει· ἀρχαῖον δὲ τὸ ἦθος [4]).

383 23. [r]) *ἙΛΙΚΩΝΟΣ ὙΠΟ ΖΑΘΕΟΙΟ.* Αἱ Μοῦσαι ἀκροτάτῳ Ἑλικῶνι ὡς θεαὶ, αὐτὸς ὑποκάτω τοῦ ὄρους ὡς βροτός.

Mox *οὖσαν ἀξίαν* Trinc. Heins. *ἀξίαν* deest Bas.

n) *εὐπεριφερῆ* B. *καὶ ἀνακεκλασμένα τὰ* om. Trinc. Mox *ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν ταῖς ἀμπέλοις ἑλίκων.* Trinc.

o) *ἀπὸ τοῦ στεφανοῦ τοῦ κοσμοῦντος τὰς γυναῖκας, ὃς ἐκ χ. κ. λ. κατασκευάζεται* Trinc.

p) Hinc ad *ἀρχαιοτάτην οὖσαν* om. Trinc.

q) Sequentia exhibui secundum Trinc. In Bas. desunt *ἤγουν ἐμὲ καὶ Ὅμηρος*, et reliqua sic leguntur: *περὶ αὐτοῦ λέγει ὡς περὶ ἄλλου· ἀρχαῖον δὲ τὸ ἦθος, ὡς Ὅμηρος ἐξ Ἀχιλλέως, ἤ πότ᾽ Ἀχιλλῆος ποθή. Ἡσίοδον φησὶ, τὸν εὐτελῆ.* Utriusque editionis lectiones conjunxit Heinsius.

4) Certum est nunquam hoc ita sumpsisse veteres: qui totum hunc Hesiodi locum tanquam a *περιαυτολογίᾳ* suspectum habuerunt, varieque illuserunt. Nec alio spectat totus Luciani dialogus qui ab Hesiodo inscriptus est, quam ut ex hoc loco poetae insultet, tanquam *φορτικῷ* et *περιαυτολόγῳ*. Nec aliud in animo habuit Naso cum scripsit in primo ingeniosissimae artis suae: *Nec mihi sunt visae Clio Cliusque sorores Pascenti pecudes vallibus Ascra tuis.* Amolitur a se suspicionem qua laborabat Hesiodus: ita ut antiqui *γοησιόδους* vocarint gloriosos homines, qui idem de se quod Hesiodus praedicarent; quod a Musis artem accepissent; falso tamen, ac propterea *γόητες* essent, hoc est *ἀπατεῶνες, καὶ ἀλαζόνες.* Hesychius: *Γοησίοδος, ᾠδὸς ἀπατεών.* Quales sunt hodieque laureata illa mendicabula, *Δύστηνα Ῥήνου κ᾽ ἀπατηλὰ θρέμματα, Λιμοῖο πατρὸς δυσσεβέστατον γένος, Ἄνδρες φρενήρεις, οἰνοπλῆγες, οἳ ἀεὶ Σέβουσι Μούσας ὥσπερ ἀρτοπώλιδας.* Heinsius.

r) Desunt hinc Trinc. ad *γαστέρες οἶον.*

26. *ΑΓΡΑΥΛΟΙ.* Οἱ ἐν ἀγρῷ αὐλιζόμενοι.

Ibid. *ΓΑΣΤΕΡΕΣ ΟΙΟΝ.* Οἱονεὶ, ἀντὶ τοῦ περὶ τὴν γαστέρα μόνην ἀσχολούμενοι, καὶ μόνα τὰ τῆς γαστρὸς φρονοῦντες. Ἀπολλώνιος μὲν ὁ Ῥόδιος λείπειν τὸν πρῶτον στίχον φησίν· οὐ λείπει [s]) δὲ, ἀλλ' ἔστι,

Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον.

28. *ΙΔΜΕΝ Δ' ΕΥΤ' ΕΘΕΛΩΜΕΝ.* Πολλή τις ἐστὶ περὶ ἡμᾶς ἀρετή· [t]) καὶ οὐχ ὥς φασί τινες, πάντα φαμὲν τὰ ψευδῆ. Τὸ γὰρ δ, ἀντὶ τοῦ και ἐστίν· ἤγουν, Καὶ ἀληθῆ ἴσμεν λέγειν ἡμεῖς. Τοῦτο δὲ προκατασκευάζειν [v]) φασὶ τὸν ποιητὴν, ἵνα ὡς τῶν Μουσῶν ἀκροώμενοι παραδέξαιντο τὴν μέλλουσαν τῶν θεῶν γένεσιν, τῶν Μουσῶν διδαξουσῶν ἡμᾶς, ἀλλ' οὐχ Ἡσιόδου ψιλῶς.

Ibid. *ΑΛΗΘΕΑ.* [w]) Μηδὲν διαψευδόμεναι καὶ διαπλανῶσαι. Γράφεται δὲ ΓΗΡΥΣΑΣΘΑΙ, ἀντὶ τοῦ εἰπεῖν, ἔνθεν γῆρυς, ἡ ὁμιλία. Ὅμηρος·

[x]) οὐδ' ἴα γῆρυς.

ἐκ δὲ τούτου γίνεται γήρυξ, καὶ τροπῇ τοῦ γ εἰς κ, κήρυξ, ὁ λέγων ἐν τῷ ἀπαγγέλλειν τὰς ἀγγελίας.

29. *ΑΡΤΙΕΠΕΙΑΙ.* Αἱ ἀπηρτισμένα καὶ τέλεια καὶ ὑγιῆ λέγουσαι, ἢ ἀρτίοις ἔπεσι χρώμεναι.

30. *ΚΑΙ ΜΟΙ ΣΚΗΠΤΡΟΝ.* [y]) Ἤγουν ἐπεὶ πολύδαφνος ὁ Ἑλικὼν, τὰς Μούσας ἐκ τῆς παρακειμένης ὕλης ἔφησεν δοῦναι αὐτῷ κλάδον. Ἔπρεπε δὲ ἐπὶ Ἀπόλλωνος τοῦτο· ὁ γὰρ θεὸς Μουσαγέτης.

Ἐκ γάρ τοι [z]) Μουσέων, καὶ ἑκηβόλου Ἀπόλλωνος,
Ἄνδρες ἀοιδοὶ ἔασιν.

s) δὲ addidi ex C. ubi sequentia sic exhibentur, ἀλλ' ἔστι, ποιμένες ἄγραυλοί ἐστι, κακελεγχέες γαστέρες. γαστέρες μόνον Bas.

t) οὐ γὰρ Trinc. qui mox dedit ἤγουν, ubi Heins. ἀντὶ τοῦ.

v) προκατασκευάζων φησὶν ὁ ποιητής. ἵνα ὡς τῶν Μουσῶν ἀκροώμενοι, παραδέξονται οἱ ἀκροαταὶ τὴν τῶν θεῶν γένεσιν, ἀλλ' οὐχ Ἡσιόδου μόνου ταύτην διηγουμένου Trinc.

w) μὴ διαψ. καὶ πλανῶσαι Trinc.

x) Trinc. Heins. οὐ διὰ γῆρυν. Paullo ante ἔνθεν et ἡ om. Trinc. Mox καὶ τροπῇ τοῦ γ εἰς κ κήρυξ om. Trinc. qui paullo post habet ἐπαγγέλλειν. De affinitate vv. κῆρυξ γῆρυς consulendus est inprimis Valckenaerius Schol. ad S. Pauli 1 Ep. Corinth. I. 23.

y) ἤγουν om. Trinc. Mox ibid. ἔφη. δοῦναι αὐτῷ κλάδον om. Bas. Mox ἐπίπρεπε δὲ καὶ Trinc.

z) μουσάων καὶ ἑλικωνίου Trinc. Ἑλικωνίου B.

Ἢ παρόσον ἡ δάφνη ἐνεργεῖ πρὸς τοὺς ἐνθουσιασμούς. [a]) Σοφοκλῆς·

384 Δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα.

καὶ Λυκόφρων·

Δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα.

καὶ τὰ ποιήματα δὲ μετὰ θεοῦ ἐμπνεύσεως εἴρηται. Ἢ ἐπεὶ ἡ δάφνη ἀειθαλής ἐστιν, ἀεὶ θάλλουσι καὶ οἱ λόγοι.

32. [b]) ΤΑ Τ' ΕΣΣΟΜΕΝΑ. Παρὰ τῶν Μουσῶν φησὶν ἀκούων μανθάνω τά τε ἐσόμενα, καὶ τὰ ὄντα, καὶ προγεγονότα· [c]) ἵνα δείξῃ, ὅτι ὅμοιόν τι ἐστὶν ἡ ποίησις τῇ μαντείᾳ· τὸ κυριώτερον κεῖται ἐπὶ μάντεως, οὐκ ἐπὶ ποιητοῦ, τὰ ἐσσόμενα μὴ δυναμένου λέγειν τοῦ ποιητοῦ.

34. ΣΦΑΣ Δ' ΑΥΤΑΣ. [d]) Αὐτὰς δὲ ὑμνεῖν πρῶτον τὸ καὶ ὕστερον· ὡσανεὶ ἀεί. [5]) Ἀλλὰ σὺ, ὦ Ἡσίοδε, παύου τῶν ἀρχαίων ῥημάτων, παῦσαι κομψοποιῶν, παῦσαι μύθους ληρωδῶν ἀλλοκότους. Τὸ δὲ ΤΥΝΗ, πρὸς ἑαυτόν φησι κατὰ ἀρχαϊσμόν· ἀντὶ τοῦ σὺ, ὦ Ἡσίοδε, Δωρικῶς.

35. ΑΛΛΑ ΤΙΗ ΜΟΙ ΤΑΥΤΑ. [e]) Ὥσπερ ἄκαιρος ἐφάνη αὐτῷ ἡ ὁμιλία, ἣν ἤρξατο λέγειν, ὅτι αἱ Μοῦσαι ἔδωκάν μοι, καὶ τἄλλα. Καὶ φησὶ, Τί μοι ταῦτα τὰ ῥήματα, ὡς περὶ δρῦν, ἢ περὶ πέτρην, τί μοι χρεία ἐστὶν ἀρχαιολογεῖν; ἡ γὰρ ποίησις μυθολογία ἐστὶν ἐοικυῖα ἀληθείᾳ. [f]) Εἰς τί τοῦτο καιροῦ ἐπείγοντος ἀρχαιολογῶ, καθάπερ οἱ ἐν δρυσὶ καὶ πέτραις κατατιθέμενοι τέκνα, ἢ λέγοντες αὐτοὺς ἐκ δρυὸς γεγεννῆσθαι ἢ πέτρης;

[g]) ΑΛΛΩΣ. Παροιμία ὅταν τις καιροῦ τινὸς αὐτὸν κατε-

a) Σοφοκλῆς ἐν Κασάνδρᾳ Trinc. B. Σοφοκλῆς ad στόμα καὶ om. Bas. Mox πρίετο Trinc. ἰδόντι πρίετο B. Locum hunc perinde habet C. ac in ed. Heins. vulgatur, si collatoris silentio fides tribuenda sit. In Lycophronis v. MSS. et Trinc. δάφνην φαγών. Vide Brunck. ad Sophocl. Fr. incert. XCVIII. Reliqua hujus Scholii exhibui ex Trinc. et C.

b) Hinc ad προγεγονότα om. Bas.

c) τοῦτο δὲ εἶπεν ἵνα δ. ὁ. ο. τ. τῆς μαντικῆς ἡ ποίησις. Caetera desunt Trinc.

d) Deest hoc Scholion Trinc.

5) Relliquias has esse Tzetzis, quae alicunde hic irrepserunt, aut cum his Scholiis commistae sunt, quovis precio contenderim. Heinsius.

e) Deest hoc Scholion Trinc.

f) Haec repraesentavi ex C. Vulgo εἰς τὸ αὐτὸ τοῦτο ἐπείγοντος ἀρχαίῳ λόγῳ.

g) Deest hoc Scholion Bas. In C. cum superiore jungitur ita: εἴη δ' ἂν καὶ παροιμία.

πείγοντος περὶ ἄλλων λέγειν, ὁ δὲ ταῦτα ἀφεὶς ἄλλοις χρῆται. Καὶ οὗτος οὖν ἀφεὶς περὶ τῶν προκειμένων αὐτῷ λέγειν, ἤτοι τῆς τῶν θεῶν γενέσεως, ὅπως αὐτῷ αἱ Μοῦσαι δάφνης ἔδωκαν κλάδον λέγει.

39. ΦΩΝΗι ὉΜΗΡΕΥΣΑΙ [h]). Ὁμοῦ εἴρουσαι, ἢ τῇ φωνῇ συμφωνοῦσαι, ὁμοῦ τῇ φωνῇ λέγουσαι. Τὸ δὲ ΕΙΡΕΥΣΑΙ, ὅ ἐστι λέγουσαι, ὑμνοῦσαι.

40. ΓΕΛΑι ΔΕ ΤΕ ΔΩΜΑΤΑ ΠΑΤΡΟΣ. Ἀπὸ ἀνθῶν τινῶν ἡδυτάτων χαίρουσιν οἱ οἶκοι τοῦ Διός. Ἢ τὸ ΓΕΛΑι, ἀντὶ τοῦ διαχεῖται τῆς φωνῆς σκιδναμένης, ἠχεῖ καὶ γελᾷ τὰ δώματα. Τὸ δὲ ΘΕΑΝ, ἀντὶ τοῦ θεῶν, Δωρικῶς· πᾶσαν γὰρ 385
τὴν φωνὴν ὁ Ἡσίοδος ὄσσαν καλεῖ.

44. ΘΕΩΝ ΓΕΝΟΣ ΑΙΔΟΙΟΝ ΠΡΩΤΟΝ ΚΛΕΙΟΥΣΙΝ ΑΟΙΔΗι. Τὸ τίμιον γένος τῶν θεῶν ὑμνοῦσι καὶ δοξάζουσι τῇ φωνῇ, οὓς ἐξ ἀρχῆς ἔτεκεν ἡ Γῆ καὶ ὁ Οὐρανός, καὶ τοὺς ἐκ τούτων [i]) γινομένους. Λέγει δὲ τοὺς Τιτᾶνας.

46. [6]) ΔΕΥΤΕΡΟΝ ΑΥΤΕ ΖΗΝΑ. [k]) Ἀρχόμενος τοῦ δευτέρου προοιμίου, τὸν Δία ἐκ δευτέρου ὑμνοῦσι καὶ ἀρχόμεναι καὶ λήγουσαι ὡς θεόν, ὡς ἀπ' αὐτοῦ ἄρχουσαι, καὶ εἰς αὐτὸν λήγουσαι, διὰ τὴν νίκην.

53. ΤΑΣ ΕΝ ΠΙΕΡΙΗ. [l]) Δείκνυσιν ὅτι Βοιωτία μὲν ἦν ἡ Μνημοσύνη, ἐμίγη δὲ τῷ Διῒ ἐν Πιερίᾳ ὄρει Μακεδονίας, ἐν ᾧ ἐγεννήθησαν αἱ Μοῦσαι, παρατείνοντι ἕως τῆς Θρᾴκης.

54. [m]) ΓΟΥΝΟΙΣΙΝ ΕΛΕΥΘΗΡΟΣ. Ἤτοι τοῖς γονιμω-

h) Hoc et sequens Scholion om. Trinc.

i) γεννωμένους Trinc.

6) Bene legit quisquis est interpres versum, qui in Hesiodo male conceptus legitur: Ἀρχόμεναι θ' ὑμνοῦσι θεαί, λήγουσί τ' ἀοιδῆς: sine ullo sensu, quod metuerunt τὴν συστολὴν τῆς αι, quod satis usitatum, et tutum est: si non ex artis ratione at usurpationis certe. Ut sit Ἀρχόμεναί θ' ὑμνοῦσι θεαὶ λήγουσαί τ' ἀοιδῆς. Heinsius. Hujus lectionis patrocinium nuper suscepit Wolfius Analect. T. II. p. 448. Diphthongum αι ante consonantem corripi posse nemo hodie credet. Λήγουσαί τ' ἀοιδῆς tum demum a me probabitur, quando indubitatis exemplis confirmatam habebo syllabarum αοι synizesin. In genuinis vetustorum poetarum reliquiis, Homeri dico et Hesiodi, nec ἀοιδὴν disyllabon, nec vocem ᾠδὴν a quoquam repertum iri existimo.

k) ἀρχόμενος τ. δ. πρ. om. Trinc. Mox ὑμνοῦσι om. Bas. ὡς θεὸν om. Trinc.

l) δείκνυσι — Διῒ ἐν om. Bas. ubi mox ὄρος — παρατεῖνον. In Trinc. desunt ἐν ᾧ ἐγ. αἱ Μ. qui habet θαλάσσης pro τῆς Θρ. et sic B.

m) Dedi hoc Scholion ex Trinc. ubi tamen legitur καὶ τοῦτο δὲ δόξαν πρ. καὶ τοῦτο δόξα B. Ed.

τάτοις τόποις τοῦ Ἐλευθῆρος. Ὁ δὲ Ἐλευθὴρ ὄνομα πόλεώς ἐστι τῆς Βοιωτίας, ἀπό τινος βασιλέως αὐτῆς τῆς πόλεως οὕτως ὠνομασμένου, υἱοῦ Ἀπόλλωνος καὶ Αἰθούσης τῆς Ποσειδῶνος. Ἔστι δὲ καὶ ὄρος, ὥς φασιν, ἐπ' ὀνόματι τοῦ ἥρωος· οὕτω δὲ λέγεται, ὅτι ἐκεῖ ὁ Διόνυσος τῆς μανίας ἐπαύσατο καὶ ἠλευθερώθη· καὶ τούτου δὲ δόξαν προσάπτων τῇ ἑαυτοῦ πατρίδι, λέγει, ὅτι ἐγεννήθησαν μὲν ἐν Πιερίᾳ, ἡ δὲ μήτηρ αὐτῶν ἐξ Εὐβοίας ἦν.

386 55. [n]) *ΛΗΣΜΟΣΥΝΗΝΤΕ. Δεῖ γὰρ τὸν συγγραφέα ἔχειν νοῦν καὶ μνήμην, ἵνα γεννᾷ λόγον· καὶ ὅτι ἐν ταῖς ἀναγνώσεσι χρῆσθαι δεῖ προσοχῇ τὸν συγγραφέα.*

56. *ΕΝΝΕΑ ΓΑΡ ΟΙ ΝΥΚΤΑΣ.* [o]) *Ἀπορήσειεν ἄν τις, πῶς Ἡρακλῆς μὲν ἐν μιᾷ νυκτὶ πεντήκοντα διεκόρησε* [p]) *κόρας, καὶ κύειν πεποίηκεν, ὥστε τεκεῖν πεντήκοντα καὶ ἓν τέκνα, τῆς* [q]) *πρώτης δίδυμα τεκούσης, Ζεὺς δὲ ἐννέα νυκτῶν χρείαν ἔσχε Μνημοσύνῃ συγγενέσθαι, πρὸς σύλληψιν τῶν Μουσῶν; Φαμὲν τοίνυν ὅτι εἰδὼς ὡς ὁ πρὸς τὰς Μούσας ἔρως βραδέως ἀνύεται, ὁ δὲ πρὸς ἡδονὴν ταχέως· ἐντελεῖ δὲ ἐχρήσατο ἀριθμῷ· οὐδὲν γὰρ ἐλλιπὲς παρὰ ταῖς Μούσαις.* [r]) *ΝΟΣΦΙ δὲ εἰπών, ἐπήγαγε τὸ ἹΕΡΟΝ, ἵνα μὴ νομισθῇ μοιχεία.*

58. *ΑΛΛ' ΟΤΕ ΔΗ Ρ' ΕΝΙΑΥΤΟΣ. Ὑποδιαίρεσιν ἐνταῦθα* [s]) *τοῦ χρόνου πεποίηκε, καὶ ἄρχεται ἀκολούθως ἀπὸ τοῦ γένους· λέγω δὴ τοῦ ἐνιαυτοῦ· εἶτα εἰς τὸ καθέκαστον καὶ*

Bas. haec habet: *ΚΡΟΝΟΣ ΤΕΚΕ ΤΥΤΘΟΝ ΕΠ' ΑΚΡΟΤΑΤΗΣ ΚΟΡΥΦΗΣ. Λείπει τὸ, οὖσαν τὴν Πιερίαν δηλονότι. Ταύτας Μούσας τῷ ἰδίῳ πατρὶ μιγεῖσα τῷ Διῒ ἡ Μνημοσύνη ἐγέννησεν, ἣ τοῦ λιπαρωτάτου τόπου τοῦ Ἐλευθῆρος ἄρχουσα. Σὺν αἷς καὶ τὴν Λήθην, τὴν τῶν πολυλύπων μεριμνῶν ἀνάπαυσιν. Ὁ δὲ Ἐλευθὴρ βασιλεὺς ἦν τῆς χώρας, καὶ ὄρος ἐπ' ὀνόματι τοῦ ἥρωος, υἱὸς Ἀπόλλωνος καὶ Αἰθούσης τῆς Ποσειδῶνος. Ἐλευθὴρ ὄνομα πόλεως τῆς Βοιωτείας. Ἐκ τούτου δόξαν προσάπτει τῇ ἑαυτοῦ χώρᾳ, ὅτι ἐγεννήθη μὲν ἐν Πιερίᾳ, ἀλλ' ἡ μητὴρ τῶν τῆς Εὐβοίας ἦν Μνημοσύνη ὄνομα γυναικός· ὅπου (φησὶν) ἡ Μνημοσύνη τιμᾶται. Οὕτως λέγει, ὅτι ἐκεῖ Διόνυσος τῆς μανίας ἐπαύσατο, καὶ ἐλευθερώθη.*

n) Deest hoc Scholion Trinc.

o) *ἀπορία* Bas.

p) *γυναῖκας* Trinc. *κόρας θυγατέρας θυστίου καὶ κύειν* C. *κυῆσαι* ed. Heins. Bas.

q) *μιᾶς* C. Sequentia dedi ex Trinc. Bas. habet, *ε. ἡμερῶν ἐδεήθη; Λύσις· Ὅτι χρείαν ἔ. — εἰδὼς ὅτι ὁ πρὸς τ. Μ. ἔ. καὶ ἡ ἡδονὴ βραδέως ἀνύεται, διὰ τοῦτο τῷ ἐ. κέχρηται ἀ. ὅθεν καὶ ἐννέα τίκτονται Μοῦσαι· οὐδὲν γ. ἐλλεῖπον.*

r) *νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος. διὰ τὸ νόσφιν ἐπήγαγε* Trinc.

s) *ποιεῖται τοῦ χρόνου* Trinc. *πεποίηται* B.

τὸ εἶδος. Ἀπὸ γὰρ τῶν ὡρῶν αἱ ἡμέραι συνίστανται, ἀπὸ δὲ ἡμερῶν οἱ μῆνες, ἀπὸ δὲ μηνῶν [t]) οἱ ἐνιαυτοί.

Ibid. [v]) ΠΕΡΙ Δ' ΕΤΡΑΠΟΝ ὩΡΑΙ. Ἀντὶ τοῦ ἀπὸ τροπῶν εἰς τροπὰς ἰοῦσαι εἰς τὸ αὐτὸ κατέστησαν. Ἤγουν περιῆλθεν ὁ καιρός.

60. ὉΜΟΦΡΟΝΑΣ. Ὅμοια [w]) ἑαυταῖς φρονούσας, ἢ τὸ αὐτὸ φρονούσας, καὶ μὴ ἐναντιουμένας ἀλλήλαις. ΑΛΛΩΣ. Οὐχ ὥσπερ Ἀμφίων καὶ Ζῆθος, ἀδελφοὶ μὲν ἦσαν, ἑτερόζηλοι δὲ γεγόνασι ταῖς προαιρέσεσιν, ἀλλὰ τὴν αὐτὴν τῶν ἐπιτηδευμάτων [x]) ἔσχον προαίρεσιν· ἢ ὅτι δείκνυσι τὰς λογικὰς ἐπιστήμας ἀλλήλαις ἐπικοινωνούσας. [y]) Τὸ δὲ κούρας, Δωρικῶς συνέστειλεν.

61. ΜΕΜΒΛΕΤΑΙ. Μέλει, ἐν φροντίδι ἐστί. Τὸ δὲ ΑΚΗΔΕΑ, [z]) ἤγουν ἄλυπον, οὕτως λεκτέον. Δεῖ γὰρ τὸν περὶ λόγους ἀσχολούμενον, ἀφρόντιστον καὶ ἄλυπον εἶναι.

62. ΤΥΤΘΟΝ ΑΠ' ΑΚΡΟΤΑΤΗΣ. Ὑπέρβατόν ἐστι, τὰς ἐν Πιερίῃ τίκε τυτθὸν ἀπὸ τοῦ Ὀλύμπου. Ἐγγὺς γὰρ ἡ Πιερία [a]) τοῦ Ὀλύμπου.

64. ΠΑΡ' Δ' ΑΥΤΗιΣ ΧΑΡΙΤΕΣ. [b]) Ἀντὶ τοῦ περὶ τὰς Μούσας πάρεισιν. ΑΛΛΩΣ. [c]) Φασὶν ὅτι ἐστὶν ἐν Ἑλικῶνι καὶ Χαρίτων ἱερὸν, καὶ Ἱμέρου, καὶ Μουσῶν. Καὶ Εὐρι- 387
πίδης·

t) ἐνιαυτός Trinc. B.
v) Deest hoc Scholion Bas.
w) αὐτῇ Bas. Mox ἢ τὸ αὐτὸ φρονούσας om. Trinc.
x) εἶχον Trinc. Mox ἢ δείκνυσιν ἐκ τούτου Trinc. et in fin. ἐπικοινωνεῖν. Hoc habet C. omisso ὅτι.
y) τὸ δὲ — τὸ δὲ om. Trinc.
z) ἤγου νἄλυπον om. Bas. οὕτως λεκτέον om. Trinc. ubi χρὴ pro δεῖ.
a) τοῦ Ὀλύμπου om. Trinc.
b) ἀντὶ — ἄλλως om. Trinc.
c) Ita Trinc. C. φησὶ γὰρ ὡς Bas. Heins. Sequentia reformavi partim ex B. C. et Trinc. In Heins. Bas. sic leguntur: καὶ Ἱμέρου καὶ Μουσῶν. Ἵμερος δὲ ἡ ἐπιθυμία. κατὰ λόγον δὲ Ἵμερος καὶ Χάριτες συνοικοῦσι ταῖς Μούσαις· ἦτε γὰρ χάρις καὶ ἡ ἐπιθυμία, ὧν ἄνευ οὐδὲν τὰ τῶν Μουσῶν δῶρα, ἢ ὅτι ὁ χρηστὸς ποιητὴς οὐ μόνον ἐστὶ πολυμαθὴς καὶ δυνατὸς, ἀλλὰ καὶ ἐπίχαρις καὶ στωμύλος, ὡς Εὐριπίδης· καὶ μὴ παυσαίμην ταῖς Μούσαις τὰς Χάριτας συγκαταμιγνύειν. In Trinc. vero sic: καὶ ἡμέρας. καὶ εὐριπίδης. καὶ μὴ παυσαίμην τὰς χάριτας ταῖς μούσαις συγκαταμιγνύσκων. καὶ ἵμερος οἰκί' ἔχουσιν. ἵμερος ἡ ἐπιτημία· ὁ ἵμερος δὲ καὶ αἱ χάριτες παροικοῦσι ταῖς μούσαις, ἤγουν ἡ χάρις καὶ ἡ ἐπιθυμία, ὧν ἄνευ οὐδὲν τὰ τῶν δώρων. ἢ ὅτι ὁ ἀγαθὸς ποιητὴς, οὐ μόνον ἐστὶ πολυμαθής. καὶ δυνατὸς λέγειν, ἀλλὰ καὶ ἐπίχαρις καὶ στωμύλος.

Καὶ μὴ παυσαίμην τὰς Χάριτας
ταῖς Μούσαις συγκαταμιγνύς.

Φησὶν οὖν ὅτι ὁ Ἵμερος καὶ αἱ Χάριτες συνοικοῦσι ταῖς Μούσαις, ὧν ἄνευ τὰ τῶν Μουσῶν δῶρα ἀγλευκῆ τε ἐστὶ, καὶ μηδεμίαν ἔχοντα χάριν· ἢ ὅτι ὁ ἀγαθὸς ποιητὴς οὐ μόνον ἐστὶ πολυμαθὴς καὶ δυνατὸς λέγειν, ἀλλὰ καὶ ἐπίχαρις καὶ ἡδύς. [d]) Τὸ δὲ ΕΝ ΘΑΛΙΗιΣ, ἐν τῇ εὐωχίᾳ γὰρ πάντα ἐστὶ τὰ μουσικά. Ὄσσαν εἶπεν, ὡσανεὶ δύναμιν κληδόνος ἔχουσαν τὴν λέξιν, εἴγε περὶ τῶν μελλόντων διαγορεύουσι.

66. [e])ΝΟΜΟΥΣ ΚΑΙ ΗΘΕΑ ΚΕΔΝΑ. [7]) Νόμους δὲ λέγει, τὰς πολιτείας, τὰς διατριβὰς, τὰς νεμέσεις, τὰ διαιτήματα. ΚΑΙ ΗΘΕΑ ΚΕΔΝΑ. Ἤθεα δὲ, τὰ ἔργα. Τῶν νόμων γὰρ οἱ μέν εἰσι φυσικοὶ, οἱ δὲ τῶν θεῶν, οἱ δὲ τῶν ἀνθρώπων. Εἰ δὲ νόμους ὡς σοφὸς ἀγαπήσεις, τὴν αὐτῶν ἕξεις διάνοιαν.

68. ΑΙ ΤΟΤ' ΙΣΑΝ ΠΡΟΣ ΟΛΥΜΠΟΝ. [f])Ἐπεσημήνατο ταῦτα ὁ Ἀριστοφάνης. Νῦν περὶ τῆς ἀνόδου [g]) αὐτῶν φησὶ τῆς εἰς τὸν Ὄλυμπον· [h]) πρότερον γὰρ ἦν ὁ λόγος αὐτῷ περὶ τῆς ἐν τόπῳ αὐτῶν χορείας.

71. ΥΜΝΕΥΣΑΙΣ, ΕΡΑΤΟΣ. [i])Ἡ γὰρ συνθήκη τοῦ λόγου ἡδονὴν ποιεῖ, καὶ δείκνυσι τὸν ποιήσαντα αὐτὸν τίμιον, καὶ πανταχοῦ διαβεβοημένον, πλὴν εἰ σώφρων καὶ συνετὸς εἴη.

Ibid. ΝΕΙΣΣΟΜΕΝΩΝ ΠΑΤΕΡ' ΕΙΣ ὉΝ. Πορευομένων αὐτῶν πρὸς τὸν ἑαυτῶν πατέρα. Ἔδει δὲ εἰπεῖν, σφῶν πορευομένων αὐτῶν πρὸς τὸν ἴδιον πατέρα, ὃς ἐν οὐρανῷ βασιλεύει.

d) Hinc ad finem Scholii desunt Trinc.

e) Deest hoc Scholion Trinc.

7) Malim *νεμήσεις*: infra eadem glossa tota propemodum repetitur. *Τιμὰς δὲ λέγει τὰς πολιτείας, τὰς διατριβὰς, τὰς νεμέσεις, τὰ διαιτήματα.* Addit tamen, *ἤθεα δὲ τὰ ἔργα*. Heinsius.

f) In ed. Heins. Bas. post *ἴσαν* leguntur; *ἐπορεύοντο, ἀντὶ τοῦ, εἰς τὸν λογισμόν μου ἐπῆλθε γνῶσις, ὥστε κόποις χρήσασθαι εἰς τὸ γενέσθαι με σοφόν.* Post haec subjicit Bas. *Ὁ νοῦς) οὐκ ἐπὶ τοῦ ἀνθρώπου λεχθῆναι, ἀλλ' ἐπὶ τῶν ἀγγέλων. διὸ καὶ νόεα λέγονται. οὕτω δὲ καλοῦνται, διὰ τὸ προνοεῖν τὰ μέλλοντα. ἐπὶ ἀνθρώπου δὲ λέγεται, τὸ λογίζεσθαι. καὶ τὸ ἀγχίνους ἐστί, καὶ ὀλίγοι δὲ ἀγχίνοιαν ποιοῦσι.*

g) *ταῦτα* Bas.

h) *ὁ πρότερος* Bas. Heins. sine articulo ante *λόγος* — et mox *περὶ αὐτῆς*.

i) Hoc et sequens Schol. om. Trinc.

73. *ΕΥ ΔΕ ΈΚΑΣΤΑ ΑΘΑΝΑΤΟΙΣ ΔΙΕΤΑΞΕΝ.* [k]) Τουτέστιν ἑκάστῳ τῶν θεῶν καλῶς τὴν ἁρμόζουσαν παρέσχε τιμὴν ἔχειν. [l]) Τὸ δὲ ΔΙΕΤΑΞΕΝ μετὰ τάξεως διεμέρισεν, ἤγουν τὰ ἄτακτα εἰς τάξιν [m]) ἤγαγεν, ἑκάστῳ μεταδοὺς τῆς οἰκείας ἀρχῆς. Τιμὰς δὲ λέγει τὰς πολιτείας, τὰς διατριβὰς, τὰς νεμέσεις, τὰ διαιτήματα. Ἤθεα δὲ τὰ ἔργα.

75. *ΤΑΥΤ' ΑΡΑ ΜΟΥΣΑΙ ΑΕΙΔΟΝ.* Ἀπὸ διηγηματικοῦ [n]) μετέβη εἰς πρόσωπον μιμητικῶς, ὡς καὶ Ὅμηρος·

Ὦ ὁ [o]) γέρων ὤτρυνε πάλαι πολέμων εὖ εἰδώς.

οὕτω δὴ καὶ Ἡσίοδος,

Ταῦτ' ἄρα Μοῦσαι ἄειδον.

76. *ΕΝΝΕΑ ΘΥΓΑΤΕΡΕΣ.* [p]) Εἰσὶ δὲ τὰ τῶν Μουσῶν εὑρήματα ταῦτα. Κλειὼ ῥητορικὴν, Εὐτέρπη αὐλητικὴν, Θάλεια κωμῳδίαν, Μελπομένη τραγῳδίαν, Τερψιχόρη κιθαρῳδίαν, Ἐρατὼ ποίησιν, Πολύμνεια γεωμετρίαν, Οὐρανία ἀστρονομίαν, Καλλιόπη ἔπη, [q]) ἣν καὶ προφερεστάτην εἶπε πασῶν, ὅτι πάσης ἐπιστήμης ὁ λόγος ἀνώτερος, ἢ διὰ τὸ τὴν ποιητικὴν ἀνωτέραν εἶναι. Ἀρίσταρχος τὸ ΠΡΟΦΕΡΕΣΤΑΤΗ ἀντὶ τοῦ πρεσβυτάτη ἤκουσεν, ὥστε ἄδηλον πότερον τῇ τιμῇ, ἢ τῷ χρόνῳ προφερεστάτη· οἱ δὲ [r]) ἐντιμοτάτη.

80. *ἈΜ' ΑΙΔΟΙΟΙΣΙΝ.* Ὅτι οὐ πᾶσιν ὁπηδεῖ, ἀλλὰ τοῖς [s]) αἰδοῦς καὶ ἐντροπῆς ἀξίοις. Τοῦτο δὲ οὐκ ἤρτηται ἐκ τῆς προτέρας διανοίας, ἀλλ' ἀπ' ἄλλης ἀρχῆς.

82. *ΓΕΙΝΟΜΕΝΟΝ Τ' ΕΣΙΔΩΣΙ.* Ἀντὶ τοῦ εὐμενῶς θεάσονται, καὶ ὅν τινα φησὶ βασιλέα ἴδωσι καλοῖς ὀφθαλμοῖς. Ἐντεῦθεν καὶ Καλλίμαχος ἔφη,

Μοῦσαι γὰρ ὅσους [t]) ἴδον ὄμματι παῖδας
Μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους.

k) *καλῶς δὲ τῶν θεῶν, τουτέστιν ἑκάστῳ αὐτῶν τὴν ἑαυτοῦ* Bas. *εὖ δὲ ἕκαστα) τὰ τῶν θεῶν, τουτέστιν ἑκάστῳ αὐτῶν τὴν ἑαυτοῦ π. τ.* B.

l) *διατάξας καὶ μερίσας ἐνετείλατο καὶ* Bas. *τὸ διέταξε διεμέρισεν ἐνετείλατο τὰ ἄτ.* B.

m) *ἤνεγκεν* Bas. B.

n) *διέβη* Bas. Mox *μιμητικῶς* om. Trinc.

o) *ὀρέων* Trinc. *οὕτω* ad *ἄειδον* om. Bas. Heins.

p) Deest hoc Scholion Trinc. ad *Καλλιόπη ἔπη.*

q) *ἥδε προφερεστάτη ἐστὶν ἁπασάων) ὅτι* Trinc.

r) *ἐντιμοτάτη· ὃ καὶ κρεῖττον* Trinc.

s) *αἰδοίοις* Bas. Heins.

t) *βλέμματι εἶδον* Trinc. B. Mox *μὴ λοξῶς* Trinc. *μιξοπολίους* Bas. *μὴ λοξῷ π. οὐ κατέθεντο* B. Vide Bentleium ad Callim. Epigr. 22.

389 83. ΕΕΡΣΗ. [v])Ἡ δρόσος κυρίως· νῦν δὲ μεταφορικῶς τὸ μέλι. ΓΛΥΚΕΡΗΝ δὲ, τὸ γλυκὺ καὶ ἁπαλὸν τῶν λόγων.

88. ΤΟΥΝΕΚΑ ΓΑΡ ΒΑΣΙΛΗΕΣ ΕΧΕΦΡΟΝΕΣ. Διὰ τοῦτο γὰρ οἱ βασιλεῖς ἐχέφρονές εἰσι, καὶ καλοῦνται, ὅτι τοῖς ὄχλοις βλαπτομένοις δι' [w]) ἀγνωσίαν τοῦ δικαίου, μετατρέποντες τὰς ἀδικίας αὐτῶν ἐπὶ τὸ βέλτιον τελοῦσι τὰ ἔργα, οὐκ ἐξουσιαστικῶς, ἀλλὰ παραινετικῶς· [x])ἤγουν, οὐ κολάσει, ἀλλὰ μειλιχίοις λόγοις. Τοῦτο γὰρ τὸ,

μαλακοῖσι παραιφάμενοι ἐπέεσσιν.

Ἄλλως. Μετὰ πειθοῦς νέμουσι τὴν δικαιοσύνην. [y]) Μετατρέπουσι γὰρ τὰ ἔργα, τοὺς ἀδικουμένους περισώζοντες, καὶ τὸν ἀδικοῦντα ἀνακόπτοντες, οὐ κολάσει, ἀλλὰ μειλιχίοις ἐπέεσσι.

89. [z]) ΜΕΤΑΤΡΟΠΑ. Ἀντὶ τοῦ μεταβλήσιμα εἰς τὸ βέλτιον.

91. ΕΡΧΟΜΕΝΟΝ Δ' ΑΝΑ ΑΣΤΥ. Οὐκ ἀνάγκῃ, ἀλλὰ φίλτρῳ τοῦ βασιλέως, ὄντος ἠπίου καὶ δικαίου πρὸς τοὺς κρινομένους, μὴ ἀλαζόνος πρὸς τοὺς προσιόντας. ΑΝΑ ΑΣΤΥ. γρ. ΑΝ' ΑΓΩΝΑ, ἀντὶ τοῦ ἀνὰ τὸ ἄθροισμα. Λέγεται δὲ [a]) τριχῶς, αὐτὸ τὸ χωρίον, καὶ ὁ ἐν αὐτῷ ὄχλος, καὶ τὸ ξυναμφότερον, ὥσπερ καὶ πόλις. Ἐτυμολογεῖται δὲ διὰ τὸ μὴ γωνίαν ἔχειν, ἀλλ' εἶναι περιφερῆ. Οἱ δὲ ἐκ τοῦ ἀθροίσματος ἄγυριν λέγουσι.

Ὡς [b]) οἵ γ' ἐν νηῶν ἀγύρει,

ἀντὶ τοῦ, ἐν ἀγῶνι. Τὸ δὲ,

θεὸν ὡς ἱλάσκονται,

ἀντὶ τοῦ ὡς θεὸν αὐτὸν τιμῶσι, [c]) διὰ τὴν προσήνειαν αὐτοῦ τὴν τιμίαν.

v) Deest hoc Schol. Trinc.

w) ἄγνοιαν Trinc. Mox μετατρέποντας τὰς δίκας B.

x) ὅ ἐστι παρφάμενοι μαλακοῖς ἐπέεσσι, μετὰ πειθοῦς νέμουσι B. mediis omissis; et sic fere Trinc.

y) μετατρέπουσι γὰρ τὸν ἀδικούμενον Trinc. B. et in fin. λόγοις pro ἐπέεσσι.

z) Hoc Schol. cum sequente usque ad v. προσιόντας om. Trinc.

a) His similia habet Etymologus Gudianus p. 87, 22. qui male ad v. ἄστυ refert, cum aperte spectent ad alteram lect. ἀγών. Vide Schol. Venet. Il. Ω. 1. Etymolog. M. in v. Ἀγών.

b) Homeri locus est Il. Ω. 141. ὡς σοί γ' ἐκ νηῶν ἀγείρει Trinc. ὡς Ὅμηρος νηῶν ἀγύρει Heins. Bas.

c) διὰ τὴν προσοῦσαν αὐτῷ σύνεσιν καὶ αἰδῶ. ἐμπρέπει γὰρ αὐτῶν τῷ ἀθροίσματι, καὶ προσηνῶς τοὺς προσιόντας ὑποδέχεται,

93. *ΟΙΑ ΤΕ ΜΟΥΣΑΩΝ.* Τὸ τοιοῦτον εἶδος ἀνθυποφορὰ καλεῖται, ἀνθυποφέρει γὰρ ἑαυτῷ ὁ Ἡσίοδος, ἐκ γάρ τοι Μουσάων τοιοῦτος βασιλεύς ἐστιν, ἐπειδὴ τοὺς βασιλεῖς εἶπε φιλεῖσθαι ὑπὸ τῶν Μουσῶν, φιλοῦνται [d]) δὲ καὶ ὑπὸ τοῦ Διὸς εἶπεν. Οἶδα μὲν γάρ, φησί, ὅτι ὑπὸ μὲν τοῦ Ἀπόλλωνος καὶ τῶν Μουσῶν οἱ ἀοιδοὶ καὶ οἱ κιθαρισταὶ φιλοῦνται, ὑπὸ δὲ τοῦ Διὸς οἱ βασιλεῖς, ἀλλ' [e]) ἐκεῖνος, φησί, ὀλβιώτατος βασιλέων ὅν τινα μετὰ τοῦ Διὸς καὶ αἱ Μοῦσαι φιλοῦσιν. 390
ΑΛΛΩΣ. Ἀναλαμβάνει διὰ τὸν ἀνακόπτοντα λόγον· ἐκ γὰρ Μουσάων οὐχ ὑπάρχει τὸ βασίλειον γένος, ἀλλ' ἐκ Διός· μόνον δὲ τὸ εὔγλωττον αἱ Μοῦσαι παρέχουσιν.

95. *ΑΝΔΡΕΣ ΑΟΙΔΟΙ.* Ἐνταῦθα μαθηματικῶς διδάσκει, καὶ λέγει, ὅτι ἐκ τῆς συμφωνίας τῶν ἀστέρων, καὶ τῆς ἀγαθῆς συνδρομῆς τοῦ ἡλίου, γίνονται οἱ ἄνδρες σοφοὶ καὶ μουσικοί, ὥσπερ καὶ ἐκ τοῦ Ἑρμοῦ· ἐκ δὲ τοῦ Διός, βασιλεῖς.

98. *ΕΙ ΓΑΡ ΤΙΣ ΚΑΙ ΠΕΝΘΟΣ ΕΧΩΝ.* Ἐνταῦθα δείκνυσι τὴν δύναμιν τῆς μουσικῆς, διὰ τὸ εἰπεῖν *ΝΕΟΚΗΔΕΙ ΘΥΜΩι·* [f]) δυσκατάπαυστον γὰρ τὸ νέον πένθος.

99. *ΑΥΤΑΡ ΑΟΙΔΟΣ.* [g]) Ὡς δυνατοῦ ὄντος τοῦ ἀοιδοῦ παραμυθήσασθαι, [g]) ὅτε καὶ Ζεὺς ἀπώλεσε τὸν παῖδα Σαρπηδόνα. Εἰ γὰρ καὶ πλάσμα ἐστίν, ἀλλ' ὡς ἀληθὲς λαμβάνων παραμυθήσεται.

καὶ πρὸς τοὺς κρινομένους ἥμερον βλέπει. Trinc.

d) γὰρ pro δὲ καὶ Trinc.

e) Ita Trinc. ἐκεῖνόν φησι ὀλβιώτατον βασιλέα Bas. Heins. Ἄλλως ad τοῦ Διὸς βασιλεῖς om. Trinc.

g) Verba illa quae uncis inclusimus, [ὅτε καὶ Ζεὺς ἀπώλεσε γὰρ πηδῶντος παῖδα φάσκων καὶ τὰ ἑξῆς· εἰ γὰρ καὶ πλάσμα ἐστίν, ἀλλ' ὡς ἀληθὲς ἐκλαμβάνεται, οὐχ ὡς ἔλαχε παραμυθήσεται] aliunde manifeste translata sunt: illa tamen quae sub finem sunt, οὐχ' ὡς ἔλαχε παραμυθήσεται, ita fortasse cum superioribus connecti possunt, et ad hujus loci interpretationem trahi: ὡς δυνατοῦ ὄντος ἀοιδοῦ, παραμυθήσασθαι, οὐχ' ὡς ἔλαχε παραμυθήσασθαι, ἀλλ' ὡς οὐκέτι τῶν κηδέων μεμνῆσθαι ἐκεῖνον. Nam haec aut similia deesse videntur. Ita tota glossa esset: Εἰ γάρ τις καὶ πένθος ἔχων] ἐνταῦθα δείκνυσι τὴν δύναμιν τῆς Μουσικῆς, διὰ τὸ εἰπεῖν, [νεοκηδέϊ θυμῷ] δυσκατάπαυστον τὸ νέον πάθος, ὡς δυνατοῦ τοῦ ἀοιδοῦ παραμυθήσασθαι, καὶ οὐχ' ὡς ἔλαχε παραμυθήσασθαι, ἀλλ' ὡς οὐκέτι τῶν κηδέων μεμνῆσθαι ἐκεῖνον. HEINSIUS.

f) ἀκατάπαυστον Trinc. δυσκατάπαυστον τὸ νέων πάθος Bas. Heins. Paullo ante ἐκ τοῦ εἰπεῖν Trinc.

g) Sequentia exhibentur ex B. quae corrupta exstant in edd. Bas. Heins. Desunt Trinc. Verba

Ibid. [h]) *ΑΥΤΑΡ ΑΟΙΔΟΣ.* Ὁ ποιητὴς, φησὶ, δυνατός ἐστι παραμυθήσασθαι τοὺς λυπουμένους διηγούμενος τοὺς ἐπὶ καρτερίᾳ θρυλλουμένους παλαιοὺς ἄνδρας ὅπως πρὸς τὰς λύπας διετέθησαν, καὶ θαυμάζων αὐτῶν τὴν καρτερίαν καὶ πρὸς συμφορὰς γενναιότητα.

Ibid. [i]) *ΑΖΗΤΑΙ ΚΡΑΔΙΗΝ.* Ἀναξηραίνει γὰρ ἡ λύπη, ὅθεν καὶ ἄϋπνον τίθησι.

100. *ΚΛΕΙΑ ΠΡΟΤΕΡΩΝ.* Δόξας τοῦ κλέους ἠξιωμένας. *ΤΑΧΕΩΣ ΔΕ* [k]) *ΠΑΡΑΤΡΕΠΕ*, ἀντὶ τοῦ αἶψα παρέτρεψεν τὴν λύπην τὰ δῶρα τῶν θεῶν, ἤγουν ἡ μουσική.

102. *ΟΥΔΕ ΤΙ ΚΗΔΕΩΝ.* Τῶν θλίψεων. Ὁ γὰρ
391 λόγος δύναται καταστέλλειν τὰς θλίψεις. *ΑΛΛΩΣ*· Τῶν λόγων καὶ τῶν Μουσῶν ἡ συνθήκη παρέτρεψε τὸ λυπούμενον τῆς λύπης.

108. *ΕΙΠΑΤΕ Δ' ὩΣ ΤΑ ΠΡΩΤΑ.* Ἐρωτᾷ τὰς Μούσας, πῶς ἀκριβῶς γράψει [l]) τὰ τῆς θεογονίας, διὰ τοῦτο τῷ *ΕΙΠΑΤΕ* κέχρηται· τὸ καὶ τὸ, [10]) *ΚΑΙ ΠΟΤΑΜΟΙ ΚΑΙ ΓΑΙΑ* τῇ καταπλήξει ἐπαπορεῖ τὸν ἀκροατήν.

αὐτὰρ ἀοιδὸς praefixi Scholio, cum in MS. legatur εἰ γάρ τις καὶ πένθος.

b) Hoc Scholion dedi ex Trinc.

i) Hinc ad λυπούμενον τῆς λύπης om. Trinc.

k) Dedi partim ex B. In Heins. Bas. sic leg. παρατρέπεται, ἀντὶ τοῦ παρέτρεψεν ἡ λύπη. In B. αἶψα ταχέως δὲ παρέτραπε δ. θ. παρέτρεψε τὴν λύπην τ. δ. τ. θ. τουτέστιν ἡ. μ.

l) τὰ περὶ τῆς θεογ. Trinc. ubi reliqua hujus Sch. desunt. Sequentia dedi ad fidem codicis B. Edd. Bas. Heins. ita exhibent: τὰ τῆς θεογονίας, μαθών. εἴπατε, διὰ τοῦτο τῇ εἴπας μετοχῇ κέχρηται. καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος] καὶ γαῖα τ. κ. ἐπαπειλεῖ τ. ἀ.

10) Illa verba καὶ γαῖα non est dubium quin remanserint ex aliqua interpretatione quae desideratur. Scripsit enim Hesiodus: Εἴπατε δ' ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο. Καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων. Ponamus igitur scripsisse Grammaticum, quandoquidem hic conjecturis agendum est, ut cohaereat cum superiori glossa, cujus haec postrema sunt, εἴπατε, διὰ τοῦτο τῇ εἴπας μετοχῇ κέχρηται, ὡς θεοὶ, καὶ γαῖα. Καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος, οἴδματι θύων] τῇ καταπλήξει ἐπαπειλεῖ, etc. nam illud καὶ γαῖα, transpositum est, aut ex tali interpretatione, aut constitutione verborum Hesiodi remansit: illa autem Glossa, τῇ καταπλήξει, ad ultima proprie spectant, quae de mari dicuntur. Heinsius.

112. [m])*ΩΣ Τ' ΑΦΕΝΟΣ ΔΑΣΣΑΝΤΟ.* Ἄφενός ἐστι κυρίως μὲν ὁ ἀπὸ ἐνιαυτοῦ πλοῦτος. Νῦν δὲ ἄφενος τὸν οὐρανὸν λέγει, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν. Καὶ ὅπως φησὶ διεμερίσαντο, καὶ ἔσχεν [n]) ἕκαστος τῶν θεῶν τὴν ἑαυτοῦ τιμήν.

114. Ταῦτα δύο ἔπη ὁ Σέλευκος ἀθετεῖ· οἱ δὲ περὶ Ἀρίσταρχον τὸ *ΕΞ ΑΡΧΗΣ* μόνον λέγουσιν.

115. *ΕΞ ΑΡΧΗΣ ΚΑΙ ΕΙΠΑΘ' Ὁ ΤΙ.* Τρία πρῶτον [o]) ἐγένοντο· Χάος, Γῆ, Ἔρως οὐράνιος, ὃς καὶ Θεός· ὁ γὰρ ἐξ Ἀφροδίτης νεώτερός ἐστι. [p]) Ἐκ δὲ τοῦ ὕδατος ἐγένοντο τὰ στοιχεῖα· γῆ, κατὰ συνίζησιν, ἀὴρ, κατὰ ἀνάδοσιν, τὸ [q]) δὲ λεπτομερὲς τοῦ ἀέρος, γέγονε πῦρ· ἡ δὲ θάλασσα, κατὰ ἐκμύζησιν· τὰ δὲ ὄρη, κατὰ ἐξοστρακισμὸν τῆς γῆς. Εἰδέναι δὲ δεῖ, [r]) ὡς ἐντεῦθεν ὁ Ἡσίοδος ἄρχεται τῆς Θεογονίας τοῦ προοιμίου, καὶ τοῦ τῶν Μουσῶν ἐγκωμίου καὶ τῆς ἀνακεφαλαιώσεως παυσάμενος· καὶ ἄλλων δέ τινων περὶ Θεογονίας 392 γραψάντων, καὶ ἴσως ἀληθέστερον τοῦ Ἡσιόδου, οὗτος ἐκείνων προεκρίθη, τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχων.

116. *ΗΤΟΙ ΜΕΝ ΠΡΩΤΙΣΤΑ.* [s]) Ἐντεῦθεν ἄρχεται ὁ τῶν Μουσῶν λόγος, ἤγουν ἀλληγορικῶς ἡ γνῶσις τοῦ ποιητοῦ. Ἡ τέχνη καὶ ὁ κόσμος τοῖς αὐτοῖς ὑποπέπτωκε πράγμασι, καὶ ἔχει τεχνίτην μὲν τὸν θεὸν, ὑπὸ δὲ τῆς τέχνης [t]) τόδε πεποίηται. Ἔστι δὲ τὰ προϋφεστῶτα τοῦ παντὸς, ὕλη καὶ ἀρχὴ καὶ στοιχεῖα. Καὶ οἱ μὲν συνωνυμίαν ἔφασκον [v]) ἔχειν τὰ προειρημένα, καὶ ἓν ἕτερον·

m) Legitur hoc Schol. in Trinc. post annotationem ad v. 115. ubi tamen om. ἄφενος — πλοῦτος.

n) ἔχει ἕκαστος B. Trinc. ἔσχεν ἕκαστον Heins. Bas. Scholion ad v. 114. editur ex C. qui post λέγουσιν habet ὁ δὲ Πλάτων v. infr. ad v. 116.

o) ἐγένετο· χάος ἔρεβος καὶ γῆ· ἑξῆς δὲ ὁ οὐράνιος ἔρως Trinc.

p) ἐκ τοῦ ὕδατος δὲ ἐγένετο Trinc.

q) δὲ om. Trinc. ubi mox ἐγένετο pro γέγονε.

r) ὡς ἐντεῦθεν Ἡσίοδος Trinc. B. ὁ Ἡσίοδος ἐνταῦθα Heins. Bas. Sequentia reformavi ex Trinc. quae in edd. Heins. Bas. sic leguntur: τῶν Μουσῶν ἐγκωμίου τῆς ἀνακεφαλαιώσεως παυσάμενος, ὡς καὶ ἄλλων τινῶν περὶ Θεογονίας γραψάντων καὶ ἴσως ἀληθέστερον Ἡσίοδος κατά τινας παλαιοτέρους ἔγραψεν. Similia fere habet B. ubi tamen in fine τοῦ Ἡσιόδου κατά τινα παλαιοτέραν ὠφέλειαν.

s) ἐντεῦθεν — ποιητοῦ accedunt ex Trinc.

t) τάδε B.

v) ἔχειν dedi ex C. εἶναι Heins. Bas. verbum deest Trinc. συνωνυμίαν καὶ ἓν ἅπαντα B. καὶ ἓν ἐστιν C.

οἱ δὲ διαφέρειν λέγοντες, τὴν μὲν ἀρχὴν γένει ἐοικέναι φασὶν, [w]) εἶδος δὲ τὴν ὕλην οὐσιωδῶς λαμβάνουσιν. Ἔνιοι δὲ καὶ τὴν ὕλην διαφέρειν· καὶ τὴν μὲν ἔννοιαν τῆς ὕλης [x]) ἀνήκουσαν πρὸς τὸν τεχνίτην, τὴν δὲ τῆς οὐσίας [y]) προσγινομένην, οἷον τῷ ἀνδριαντοποιῷ ὕλη μέν ἐστιν ὁ χαλκὸς, οὐσία δὲ ἡ διατύπωσις τοῦ χαλκοῦ, [z]) καθ' ὃ δηλονότι εἶδος ὁρμώμενος ὁ τεχνίτης τὸν ἀνδριάντα ποιεῖ. [a]) Καὶ τὴν ὕλην οὖν τοῦ κόσμου ἀσχημάτιστον οὖσαν, εἰς εἶδος καὶ σχῆμα διετύπωσεν ὁ τεχνίτης καὶ δημιουργὸς θεὸς, οὐκ ἐξ ἄλλου τὴν ἔννοιαν λαβὼν ὥσπερ ὁ ἀνδριαντοποιὸς τὸ τοῦ ἀνθρώπου εἶδος ὁρῶν πλάττει, ἀλλὰ καὶ τὴν ὕλην αὐτὸς τῇ ἀπείρῳ παρήγαγε δυνάμει, καὶ τὸ εἶδος τῇ ὕλῃ ἐπέθηκε τῷ περιόντι τῆς σοφίας. Καὶ Φερεκύδης δὲ ὁ Σύρος; καὶ Θαλῆς ὁ Μιλήσιος, ἀρχὴν τῶν ὅλων τὸ ὕδωρ φασὶν εἶναι, τὸ ῥητὸν τὸ τοῦ Ἡσιόδου [b]) ἀναλαβόντες.

116. ΧΑΟΣ. [m]) Παρὰ τὸ χεῖσθαι χάος γένετο. [n]) Πλά-
393 των πανδεχῆ φύσιν λέγει. Δεῖ γὰρ τόπον ὑποστήσασθαι, ὃς

w) εἴδει δὲ τὴν ὕλην sine οὐσιωδῶς λαμβάνουσιν Trinc. B.

x) Ita C. ἂν εἰκὸς edd. εἰκὸς B.

y) προσγινόμενον Trinc. πρὸς τὸ γινόμενον C. τῆς δὲ τῆς οὐσίας προσγινομένης B.

z) Ita Trinc. καθότι ἐστὶν εἶδος Heins. Bas. καθ' ὅ ἐστιν εἶδος· ὁ δὲ τεχνίτης ὁρμώμενος B. καθ' ἣν ἐπὶ εἶδος ὁρμ. C.

a) Sequentia ad σοφίας dedi ex Trinc. Ita leguntur in Heins. Bas. Ὕλη τίς ἐστιν ἀποίητος, ἀσχημάτιστος· ἣν ὁ θεὸς παραλαβὼν, ἐπέθηκεν αὐτῇ σχῆμα. Οὐκ ἐπ' ἄλλο τι εἶδος τὴν ὕλην παραλαβὼν ὁ τεχνίτης κατεσκεύασε θεὸς, ἀλλ' ἄπλαστον οὖσαν καὶ ἀδιατύπωτον τυποῖ καὶ δημιουργεῖ, οὐκ ἐξ ἄλλου τὴν ἔννοιαν λαβὼν, ὥσπερ καὶ ὁ ἀνδριαντοποιὸς ἐπὶ τοῦ ἀνθρώπου εἶδος ὁρμώμενος πλάττει. Eadem fere habent B. C. In B. tamen, ἡ δὲ ὕλη ἔστι τις — ἐνέθηκεν — οὐκ ἐπ' ἄλλα· ὅτι εἶδος τ. ὕ. οὐ π. ὁ θεὸς κατ. — ὁρώμενος. Et in C. ἡ δὲ ὕλη ἄποιός τις καὶ ἀσχημάτιστος, ἣν ὁ θεὸς παραλαβὼν ἄπλαστον καὶ ἀδιατύπωτον τυποῖ — ἀπὸ τοῦ ἀνθρώπου — πλάττει.

b) ἀναλαβών. διὰ τοῦτο καὶ Πλάτων αἴτιον τοῦ κόσμου φησὶ τὴν γῆν ἐν τῷ φαίδωνι. B.

m) Hoc Scholion ita exhibet Trinc. Χάος δὲ παρὰ τὸ χεῖσθαι· ἔστι δὲ ὁ μεταξὺ γῆς καὶ οὐρανοῦ κενὸς τόπος, ἐκ τοῦ ἀφανοῦς γὰρ γέγονε. Etymologus Gudianus p. 562. Χάος παρὰ τὸ χεῖσθαι, ὁ κενὸς τόπος μεταξὺ γῆς καὶ οὐρανοῦ· χάος παρὰ τὸ χῶ χαίω, ὡς δαίω τὸ καίω, δαὸς ἡ λαμπάς· δηλοῖ δὲ τὸ χαὸς τὸ μέγα καὶ ἀπέραντον χώρημα.

n) Plato Timaeo p. 50. B. ὁ αὐτὸς δὴ λόγος καὶ περὶ τῆς τὰ πάντα δεχομένης σώματα φύσεως — et mox p. 51. A. Διὸ τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ παντὸς αἰσθητοῦ μητέρα καὶ ὑποδοχὴν, μήτε γῆν, μήτε ἀέρα, μήτε πῦρ, μήτε ὕδωρ λέγωμεν, μήτε ὅσα ἐκ τούτων, μήτε ἐξ ὧν ταῦτα γέγονεν· ἀλλ' ἀόρατον εἶδός τι καὶ ἄμορφον, πανδεχές.

δέχεται τοὺς εἰς αὐτὸν [o]) γεννωμένους. Οἱ δὲ εἰρῆσθαι φασὶ χάος παρὰ τὸ χεῖσθαι, ὅ ἐστι χέεσθαι· οἱ δὲ φασιν ἀπὸ τοῦ χαδεῖν, ὅ ἐστι χωρεῖν·

"Ηρη δ' οὐκ ἔχαδε χόλον.

Ἡ οὖν εἰς τὰ στοιχεῖα διάκρισις καὶ διαχώρησις, χάος· οἱ δὲ τὸ ὕδωρ λέγουσιν, ἄλλοι δὲ τὸν ἀέρα, ἤγουν τὸν κεχυμένον ἐν τῷ μεταξὺ γῆς καὶ οὐρανοῦ. [p]) ΑΛΛΩΣ. Χάος λέγει τὸν κεχυμένον ἀέρα, καὶ γὰρ Ζηνόδοτος (οὕτως) φησί. Βακχυλίδης δὲ χάος τὸν ἀέρα ὠνόμασε, λέγων περὶ τοῦ ἀετοῦ,

Νωμᾶται δ' ἐν ἀτρυγέτῳ χάει.

117. ΓΑΙ' ΕΥΡΥΣΤΕΡΝΟΣ. Τὴν γῆν οὐκ ἐκ τοῦ χάους [pp]) λέγει· οὐ γὰρ εἶπεν ἐκ τοῦ χάους γῆ, ἀλλ' ΑΥΤΑΡ ΕΠΕΙΤΑ ΓΑΙΑ. Ζήνων δὲ ὁ Στωϊκὸς [q]) καὶ τοῦ ὑγροῦ τὴν ὑποστάθμην γῆν γεγεννῆσθαι φησίν. [r]) ΑΛΛΩΣ. Ὡς θεὰν αὐτὴν ἀναπλάττει εὐρύστερνον λέγων. Μνασέας ὁ Παταρεὺς ἐν τῇ τῶν Δελφικῶν χρησμῶν συναγωγῇ εὐρυστέρνας ἱερὸν φησὶν ἀναστῆσαι. Εὐρύστερνον δὲ, πλατεῖαν, πλατύπεδον.

Ibid. ΠΑΝΤΩΝ ἙΔΟΣ. [s]) Ὁ Πλάτων ἐν τῷ Φαίδωνι τὴν γῆν εἶναι φησὶν ἁπάντων ἕδος καὶ ἕδρασμα. [u]) Ἀθανά-

o) γεννώμενα C. Φασὶν ἀπὸ τοῦ addidi ex eodem, ut et "Ηρη δ' οὐκ ἔχαδε χ. Quae verba sunt Homeri Il. Δ. 24. Θ. 461.

p) Scholion hoc addidi e cod. apud Ruhnkenium Ep. Crit. I. p. 91. et S.

pp) λέγουσι γεγεννῆσθαι Trinc.

q) ἐκ τοῦ ὑ. ὕπος. γῆν γενέσθαι Bas. reformavi ex Trinc. B. Post φησιν sequentia habent Heins. Bas. "Οθεν ἐγαγόμενος ἀθετεῖ τοὺς στίχους. Ἰστέον δὲ, ὅτι τὴν ἔννοιαν λέγει τῆς ὕλης πρὸς τὸν τεχνίτην· τὴν δὲ τῆς οὐσίας, πρὸς τὸ γεγονός. Ὡς γὰρ ἐπὶ εἶδος ὁρμώμενος ὁ τεχνίτης τὸν ἀνδριάντα ποιεῖ, οὕτω καὶ ὁ κόσμος ὕλη τις ἄποιος, ἀσχημάτιστος, ἣν ὁ θεὸς ἔλαβεν ὥσπερ ἀνδριαντοποιός. De Zenonis sententia vide Diogen. Laert. VII. 157. Schol. Apollon. Rhod. I. 498.

r) Hoc Scholion dedi ex C. ubi Μνασεὺς — ἀδελφικῶν. Correxit Ruhnkenius Ep. Crit. I. p. 91. qui εὐρυστέρνου habet non εὐρυστέρνας. εὐρύστερνον ἱερὸν ex apographo Ruhnkenii citat Wyttenbachius ad Platonis Phaedon. p. 298. Pro ἀναστῆσαι Ruhnkenius conjicit ἀναστῆναι. Quid deesse suspicatur Wyttenbachius. εὐρυστέρνας S.

s) Hoc Scholion deest Trinc.

u) Nec glossa haec placet, nec verba Hesiodi quae respicit: "Ητοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ Ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου. Nullus est qui non facillime intelligat, cur terra πάντων ἕδος ἀσφαλὲς dicatur At vero cur ἀθανάτων ἕδος dicatur. ἐνταῦθα ut in proverbio est, πᾶς ὁ ἀγὼν κεῖται. Succurrit interpres Graecus Glossa lepida, hec est revera

394 των δὲ εἶπεν, ἵνα δείξῃ, ὅτι τῶν ἀρχαίων εὐσεβῶν ὄντων, συνανεστρέφοντο αὐτοῖς οἱ θεοί. t) *ΑΛΛΩΣ.* *Διὰ τοῦτο καὶ* v) *Πλάτων αἴτιον τοῦ κόσμου τὴν γῆν φησὶν ἐν τῷ Φαίδωνι,* ὅθεν ὁ ἐπαγόμενος ἀθετεῖται στίχος.

119. *ΤΑΡΤΑΡΑ Τ' ΗΕΡΟΕΝΤΑ.* Τὰ διήκοντα μέχρι τῶν ἐσχάτων τῆς γῆς. *Λέγει δὲ τὸν ἀέρα τὸν τὴν γῆν* w) *περι-*

Graeca, et *μυθικῶς πεπλασμένη.* *Ἀθανάτων εἶπεν, ἵνα δείξῃ, ὅτι τῶν ἀρχαίων εὐσεβῶν ὄντων, συνανεστρέφοντο αὐτοῖς οἱ θεοί.* Quae verba hoc volunt. Propterea Hesiodum terram dixisse sedem deorum, ut ostendat ante fugatam e terris justitiam, Deos in terris cum hominibus egisse. Aristoteles *ἐν τῷ περὶ Ξενοφάνους* totum hunc Hesiodi locum duobus versibus minorem adducit: *Αὐτίκα δ' Ἡσίοδος*, inquit, *Πρῶτον μὲν πάντων, φησὶ, χαὸς ἐγένετ' αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ, Ἠδ' ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισι.* Quod quidem a Philosopho factum existimaremus, ut eo citius ad propositum suum festinaret, nisi idem a Platone fieret, qui in Symposio: *ἀλλ' Ἡσίοδος πρῶτον μὲν χάος γενέσθαι φησὶν, αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ Ἠδ' ἔρος.* Iterum Aristoteles Metaphys. I. cap. 4. *Ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχὴν οἷον καὶ Παρμενίδης. Καὶ γὰρ οὗτος κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν, Πρώτιστον μὲν* (*φησὶν*) *ἔρωτα θεῶν μητίσσατο πάντων. Ἡσίοδος δὲ Πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος Ἠδ' ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν.* Aristoteles igitur, ut videtur, *ἠθέτει* duos interjectos versus, ut et Plato: quamvis sciam saepenumero inter citandum nihil respicere philosophos illos, praeter illud cujus gratia citatur. Zenonem quoque idem fecisse notat interpres, et inter reliquos illum, *Γαῖ' εὐρύστερνος.* Si igitur Aristotelem sequamur et Platonem, duosque hos versus ejiciamus, nihil erit opus Glossa tam frigida. HEINSIUS.

t) Hoc Scholion edidi ex Trinc. C. Deest Heins.

v) Platonis locum puto significari in Phaedro p. 345 A. (247.) *μένει γὰρ ἑστία ἐν θεῶν οἴκῳ μόνη.* Unde apparet *αἴτιον* mutandum esse in *Ἑστίαν.* In citandis autem his duobus Dialogis librarii saepe permutarunt nomina *ἐν τῷ Φαίδωνι* et *ἐν τῷ Φαίδρῳ.* WYTTENBACH. Dubito an haec emendatio probari possit. Subest aliquid mendi quod meliores codices olim fortasse abstergebunt. Aliquando suspicatus sum Timaeum respici p. 55. Confer etiam Timaeum Locrum de Anim. Mundi p. 97. D. seqq. Interim hoc liceat monere, locos veterum Philosophorum, qui *Terram* omnium rerum principium esse docuerunt, collegisse Gassendum Opp. T. I. p. 235. 236.

w) Sequentia exhibui ex Trinc. In Bas. Heins. sic leguntur: *περιέχοντα καὶ τὸ περὶ αὐτήν. εἶναι δὲ εἰκὸς τοῦτο ἐξ ἐλάσσονος ὑγροῦ εἰς πλείονα ὄγκον διαχεόμενον, καὶ ἀτμιζόμενον. τετάρακται δὲ μέχρι ἂν λάβῃ τὸν ἥλιον. τότε γὰρ τῷ ἡλίῳ συμπαρεκτείνεται, ὥσπερ τῷ πυρακτωθέντι σιδήρῳ τὸ πῦρ.* In B. vero sic; *λέγει δὲ τὸν ἀέρα ἀπὸ τοῦ ταράττεσθαι, οἱονεὶ τὸν τὴν γῆν περιέχοντα, καὶ τὸ περὶ αὐτὴν αὐτὸν εἶναι, εἰκὸς τοῦτο*, in ceteris cum Heins. conspirans, nisi quod habet *τὸν πλείονα*, omittit *δὲ* post *τετάρακται*,

ἔχοντα, ἀπὸ τοῦ ταράττεσθαι· ἐξ ἐλάσσονος γὰρ ὑγροῦ εἰς πλείονα ὄγκον διαχεόμενος, τῇ τοῦ ἡλίου θέρμῃ ἐξατμιζόμε- 395 νος ταράττεται, ὥσπερ καὶ ἐν τῷ πυρακτωθέντι σιδήρῳ γίνεται. [x]) Τάρταρα δὲ εἶπεν, ἀπὸ τοῦ ταράττεσθαι· ἠερόεντα δὲ, σκοτεινά. ΑΛΛΩΣ. Τάρταρα τὸν ἀέρα, ἀπὸ τοῦ ταράττεσθαι. Ἐπειδὴ, ὥς φασιν, ἕως ὧδε εἶπε τὰ δ̄ στοιχεῖα· ἐν πρώτῳ γὰρ τάρταρα, τὰ ὑπόγεια μέρη λέγει, τὰ ῥιγηλὰ, ἀπὸ τοῦ τρόμου ἐμποιεῖν.

120. ΗΔ' ΕΡΟΣ. [y]) Αἰολικὸν Ἔρος. Ἔνιοι δὲ πῦρ· τὸ πυρῶδες γὰρ τῆς ἐπιθυμίας. Ἢ οὕτως, ἐπειδὴ λυμαίνεται τῷ ζωογονικῷ τὸ πῦρ, διὰ τοῦτο Ἔρωτα αὐτὸν ἀνέπλασε. Προσφόρως δὲ, ὅτι μετὰ λαμπάδων γράφεται, ἢ ὅτι ἐκ θερμότητος γίνεται. ΑΛΛΩΣ. Τὰ τρία στοιχεῖα εἰπὼν, τὸ δ̄ λέγει, τὸ πῦρ, ὅπερ δαιμονίως ἐρωτά φησι· συναρμόζειν γὰρ καὶ συνάγειν καὶ ἑνοῦν πέφυκεν. Ἔστι δὲ τὸ λεῖπον, εἰς τὸ ἕτερον πᾶν, ὅπερ ἁρμονίας εἶδος, ἢ Ἔρωτος. Καὶ οἱ πλάσται γὰρ ἄνευ πυρὸς οὐ γράφουσιν Ἔρωτας.

[z]) Λυσιμελὴς δὲ, ὁ λύων τὰς φροντίδας· οὐ γὰρ ἐνταῦθα τὴν μίξιν καὶ τὴν ἐπιθυμίαν λέγει, τὴν λύουσαν τὰ μέλη, ἀλλὰ τὴν ἡδονὴν καὶ τὴν σύγκρασιν τῶν στοιχείων. Τὸ γὰρ [a]) διάστημα τοῦ ἀέρος εὔκρατον ὂν λύει τὰς φροντίδας. Ἔρωτα δὲ λέγει τὸ πῦρ, ὅπερ ηὐκράτωσε τὰ πάντα. Ὥσπερ γὰρ ὁ Ἔρως ἑνοῖ τὰ διεστῶτα, οὕτω καὶ ὁ ἥλιος ηὐκράτωσε τὰ πάντα. Ὅμηρος δὲ τοῦτο Ἥφαιστον καλεῖ.

123. ΕΚ ΧΑΕΟΣ. [b]) Ὀρθῶς πάνυ. [c]) Ὁ γὰρ ἀὴρ πρὸ

et mox habet τοῦ ἡλίου. In C. etiam, ἀέρα ἀπὸ τοῦ ταράττεσθαι, οἱονεὶ τὸν ἀέρα τὸν τὴν γῆν περιέχοντα — εἰς τὸν πλείονα.

x) Reliqua hujus Sch. om. Trinc.

y) Deest hoc Scholion Trinc. Αἰολικῶς, ὁ Ἔρως C. Et mox idem cod. τὸ πῦρ· ἔδει γὰρ ἐκ πυρώσεως ἢ ἐξ ἐπιθυμίας τὰ μετὰ ταῦτα γίνεσθαι ἢ οὔ· ἐπειδὴ λ. τ. ζ. τ. π. καὶ διὰ τ. ε. αὐτὸς ἐνέπλασε.

z) λυσιμέλης ὁ λύων τὰ μέλη διὰ τὰς ἀναπαύσεις· ἢ ὁ λύων τὰς μερίμνας. ΔΑΜΝΑΤΑΙ ὅτι οὐχ ὁ λύων ἐστὶ τὰ μέλη, ἀλλὰ ὁ λύων τὰ μελεδήματα ἤτοι τὰς φροντίδας: — S.

a) An διαίτημα?

b) Hinc ad γεγονότων om. Tr.

c) ὁ γὰρ αἰθὴρ καθ' ἑαυτὸν π. ἠ. ἀ. κ. α. σ. Τινὲς δὲ φασὶ τὸ χάος ὕδωρ ἐστὶν ἐκ σώματος. Ἔρεβος δὲ τὸ ὕδωρ· ἐπεὶ τὸ ὕδωρ φύσει μέλαν· ἢ ἔρεβος τὸ σκότος· ἕπεται γὰρ τῇ νυκτί· ἔρεβος γίνεται οὖν ἡ σκοτία· ὡς μηδέπω κ. τ. λ. S.

ἡλίου ἀνατολῆς καὶ ἄστρων, σκοτεινός. Ἔρεβος δὲ τὸ [d]) σκότος· ἕπεται γὰρ τῇ νυκτὶ τὸ σκοτεινὸν, ὡς μηδέποτε τῶν διαφωτιζόντων τὸ σκότος ἄστρων γεγονότων. ΑΛΛΩΣ. Τινὲς δὲ τὸ ὕδωρ, [e]) ὃ ἐκ τῆς γῆς ἀναδίδοται ὥσπερ ἀὴρ σκοτεινὸς, χάος ὠνόμασαν. Ἢ ἓν ἐστιν ἐξ ἀμφοτέρων δηλούμενον ἡ νύξ. Διαιρεῖ δὲ αὐτὴν εἰς δύο σώματα.

396 124. [f]) ΝΥΚΤΟΣ Δ' ΑΥΤ' ΑΙΘΗΡ ΤΕ. Ἐν γὰρ τῇ νυκτὶ ὁρῶμεν τὸν [g]) ἀέρα κεκοσμημένον ἄστρασι, καὶ σελήνῃ· καὶ πάλιν ἐὰν μὴ παραχωρήσῃ ἡ νὺξ, οὐ φαίνεται ἡ ἡμέρα.

126. ΓΑΙΑ ΔΕ ΤΟΙ ΠΡΩΤΟΝ ΜΕΝ. Κέντρον ἡ γῆ· αἴτιον δὲ σφαίρας τὸ κέντρον· διὸ γεννᾷ ἡ γῆ τὸν οὐρανόν. Ἀλλ' ὁ Κράτης ἀπορεῖ, [h]) λέγων, εἰ γὰρ ἴσον, πῶς δύναται καλύπτειν; λέγει οὖν ἴσον, ὅμοιον τῷ σχήματι, σφαιροειδῆ, τῷ μεγέθει δὲ ἀπειροπλάσιον. Δίδυμος δὲ, τὸ ΙΣΟΝ ἙΑΥΤΗΙ κατὰ τὸν τῆς γεννήσεως λόγον, ἤγουν ὅτι καὶ αὐτὸς ὥσπερ αὐτὴ ἐγεννήθη. Καὶ Ἀριστοφάνης, Ἀμφιτρύων γενναιότερον αὐτοῦ παῖδα γεννᾷ. Ὅτε ἐπηυξήθη οὐρανὸς ἀστερόεις.

d) Pro σκότος Bas. * habet. De proprio addidisse videtur Heinsius. Mox τῶν ante διαφωτιζόντων accedit ex S. Post γεγονότων subjicit S. ἐὰν γὰρ μὴ παραναχωρήσῃ ἡ νὺξ, οὐ γίνεται ἡμέρα: — v. infr. 124.

e) Ita Trinc. χάος εἶναι ἐκ τοῦ οὐρανίου ὕδατος. ἀναδίδοται δὲ, ὥσπερ ἀὴρ σκοτεινός. ἢ ἔνεστιν Bas. Heins. Τίνες φασὶ τὸ χάος ὕδωρ ἐστίν· ἐκ τοῦ οὖν ὕδατος ἀναδίδοται, ὥσπερ ὁ ἀήρ C. Et sic fere S. nisi quod habet οὐρανίου. Τινὲς τὸ ὕδωρ χάος εἶναι λέγουσι ἐκ τοῦ οὐρανίου ὕδατος ἀναδιδόμενον ὥσπερ α. σ. B.

f) Deest hoc Scholion Trinc.

g) αἰθέρα S. et post ἄστρασι addit, καὶ πλέω φαινόμενον.

h) Sequentia dedi ex Trinc. In Bas. Heins. sic leguntur: ἀπορεῖ. εἰ γὰρ ἴσον, πῶς δύναται καλ. λ. ο. ἴ. ὅ. τῷ σχήματι, σφαιροειδῆ δὲ τῷ μεγέθει, Δίδυμος δὲ ὅτι ἐγεννήθη. οὗ καὶ Ἀριστοφάνης ἐν τῷ βίβλῳ λέγειν, Ἀμφιτρύων δὲ αὐτοῦ γενναιότερον παῖδα γεννᾷ· ἀντὶ τοῦ, τότε ἐπηυξήθη ὁ οὐρανὸς ἀστεροείς. Similiter B. nisi quod habet τῷ βίῳ pro τῇ βίβλῳ et ἀντὶ τοῦ ὅτε ηὐξήθη. In S. sic: σχήματι σφαιροειδές. δίδυμον δὲ ὁ. ε. οὕτω καὶ Α. ἐν τῷ βίῳ — deinde δὲ omittit, et mox ἀντὶ τοῦ, et pro τότε habet ὅτι. Ex hac varietate scribendum suspicor, Οὕτω καὶ Ἀριστοφάνης ἐν τῷ δευτέρῳ (Βοιωτικῶν) λέγει, Ἀμφιτρύων γενναιότερον αὐτοῦ παῖδα γεννᾷ, ἤγουν ὅτε ἐπηυξήθη. Ultima verba οὐρανὸς ἀστ. sequenti Scholio praefigenda sunt. Superest ut emendatio mea exemplo et auctoritate confirmetur. Aristophanis liber, quem affert Grammaticus, citatur a Stephano Byzant. in v. Χαιρώνεια — Ἀριστοφάνης ἐν ΒΟΙΩΤΙΚΩΝ ΔΕΥΤΕΡΩι. Deinde voces βίβλος et βίος, βίος et δεύτερος, alibi inter se commutantur. In Schol. Ven. ad Il. ι. 90. vulgatur, ὅλον βίον ἐδεήθη Δωροθέῳ τῷ Ἀσκαλωνίτῃ, εἰς ἐξήγησιν τοῦ παρ' Ὁμήρου κλησίου. Ut doctissimus Gramma-

127. ΟΥΡΑΝΟΝ ΑΣΤΕΡΟΕΝΘ', ῞ΙΝΑ ΜΙΝ. [i]) Τὴν γῆν ὥσπερ κέντρον ὑπέθετο, ἐξ ἧς ὡς ἐν διαβήτῃ περιήχθη 397 οὐρανός. Καὶ τὸ πρῶτον παγὲν, τοῦτο αἴτιον τοῦ περιαχθέντος· οὐ γὰρ πρῶτον ἡ περιφέρεια καὶ τότε ἡ νυγμὴ, ἀλλὰ πρῶτον ἡ νυγμὴ ὑποτίθεται, εἶτα περιάγεται ὁ κύκλος· ἴσα δ' ἂν εἴη ἀμφότερα κατὰ τὸ περιφερές.

129. [k]) ΕΝΑΥΛΟΥΣ. ἐναυλιστήρια, ἐνδιαιτητήρια, [13]) ἐγκοιμήσεις, ἤτοι κοιλοτάτας ἔχοντα φάραγγας.

132. ΠΟΝΤΟΝ, ΑΤΕΡ ΦΙΛΟΤΗΤΟΣ. Οὗτος τὸν Ὠκεανὸν τῆς θαλάσσης διαστέλλει. Ὁ Ὠκεανὸς, φησὶν, ὁ τὴν ποιότητα παρέχων τῇ γῇ. Γέγονεν οὖν πρῶτον τὰ ὄρη, καὶ

ticus per totam vitam in uno Homeri loco illustrando desudaverit, res est incredibilis, ne dicam ridicula. Omnia erunt plana et facilia si cum Coraio ad Hippocr. περὶ Ἀέρων p. 305. corrigas, ὅλου Βιβλίου ἐδεήθη. Similiter correxit idem Schol. Ven. Il. Θ. 325. ubi nunc perperam legitur ὅλον βίον γράψας. Euripides Archelao fr. IX. apud Stobaeum XLVII. (XLV.) p. 322, 15. Τυραννὶς εἶναι θεῶν βίος νομίζεται· Τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τἄλλα δ' ἔχει. Egregia sane tyrannidis laudatio, quae deorum vitae ideo aequiparatur, quia non est immortalis. Hoc nimis absurdum est, nec ab Euripide proficisci potuit. Codex Stobaei insignis, a me Parisiis haud indiligenter collatus, priorem versiculum hoc modo exaratum praefert; τυραννίδα ἡ θεῶν β νομίζεται. Hinc optimus sensus poetae redonabitur, legendo, Τυραννίδ', ἡ θεῶν δευτέρα νομίζεται, Τὸ μὴ θανεῖν γὰρ οὐκ ἔχει, τὰ δ' ἄλλ' ἔχει. Tyrannis idcirco diis minor habetur, quia caret immortalitate. Δεύτερος in MSS. saepenumero tali compendio reperitur delineatum, β.ος, quod ut cum voce βίος ab imperitis vel festinantibus librariis aliquando confusum sit, nemo harum rerum sciens mirari potest.

i) Ita Trinc. nisi quod in extremis legitur ἴσαν δ' ἂν εἴη. Edd. Bas. Heins. haec habent: τὸ ἀπὸ τῆς γῆς συμβὰν, ἐναντία λέγει. Τὴν γῆν καλεῖ τὴν νυγμὴν, ὡς ἐν διαβήτῃ, περιῤῥαγέντος τοῦ οὐρανοῦ, καὶ τὸ πρῶτον παγὲν αἴτιον, τοῦ περιῤῥαγέντος. Οὐ γὰρ πρῶτον ἡ περιφέρεια, καὶ τότε ἡ νυγμή· ἀλλὰ νυγμὴ, καὶ τότε περιφέρεια γίνεται. Ἴσον δ' ἡ ὁμοίωσις τῆς ὁμοίας καὶ σφαιροειδοῦς. Quibuscum consentire videtur S. ubi tamen pro γῆς habetur τύχης, pro ἐναντία, ἐναντίαν, pro παγὲν αἴτιον, παγὲν τοῦτο αἴτιον, et ad fin. ἴσον δ' εἰς ὁμοίωσιν τῆς περιφερείας καὶ σφαιροειδοῦς. In B. omittuntur τὸ ἀπὸ τῆς — λέγει et καὶ τὸ πρῶτον — περιρραγέντος. Postrema sic repraesentantur: τότε τὸ περιφερὲς γίνεται. Ἴσον δ' ἡ μείωσις τῆς περιφερείας καὶ τοῦ σφαιροειδοῦς. In C. post σχήματι σφαιροειδές, (vide notam proxime antecedentem) subjunguntur sequentia: ἡ δὲ γῆ οἷον νυγμή τις, ὡς ἐν διαβήτῃ περιρραγέντος τοῦ οὐρανοῦ καὶ τὸ πρῶτον παγὲν τοῦτο αἴτιον τοῦ περιρραγέντος· οὐ γὰρ πρῶτον ἡ περιφέρεια καὶ τότε ἡ νυγμὴ, ἀλλ' ἡ νυγμὴ καὶ τότε τὸ περιφερές.

k) Deest hoc Schol. Trinc. Ἐγκοιμήσεις dedi ex S. ἐγκοιμέλσεις Bas. Heins.

13) Scribe, ἐγκοιλάσεις, ἤτοι κοιλοτάτας, etc. Heinsius.

ἡ θάλασσα, μήπω βροχῆς, ἢ δρόσου, ἢ ἄλλης τινὸς [l])ποιότητος οὐρανίας ἐπὶ τὴν γῆν γενομένης· [m]) μετὰ ταῦτα δὲ τῷ οὐρανῷ εὐνηθεῖσα ἡ γῆ ἤρξατο καὶ βρέχεσθαι καὶ καρποφορεῖν.

134. [n]) *ΚΟΙΟΝ ΤΕ ΚΡΕΙΟΝ ΤΕ.* Ὁ Ζήνων φησὶ τοὺς Τιτᾶνας διὰ παντὸς εἰρῆσθαι τὰ στοιχεῖα τοῦ κόσμου. *ΚΟΙΟΝ* γὰρ λέγει τὴν ποιότητα, κατὰ τροπὴν Αἰολικὴν τοῦ π̄ πρὸς τὸ
398 κ̄. *ΚΡΕΙΟΝ* δὲ τὸ βασιλικὸν καὶ ἡγεμονικόν. *ΥΠΕΡΙΟΝΑ* δὲ τὴν ἄνω κίνησιν, ἀπὸ τοῦ ὑπεράνω ἰέναι. Ἐπεὶ δὲ φύσιν ἔχει πάντα τὰ κοῦφα ἀφιέμενα πίπτειν ἄνω, τὸ τοιοῦτον μέρος *ΙΑΠΕΤΟΝ* ἐκάλεσε.

135. [o]) *ΘΕΙΑΝ* τὴν θεωροῦσαν τὰ πάντα δύναμιν, παρὰ τὸ θεᾶσθαι· ἢ παρὰ τὸ θέειν, ἤτοι πανταχοῦ φέρεσθαι. [p])*ῬΕΙΑΝ.* Ῥεία κατὰ τὸν Χρύσιππον, ἡ ἐξ ὄμβρων χύσις. Ἐστὶ δὲ ἡ γῆ, ῥέα ἡ φθαρτική, ὅτι εἰς αὐτὴν ἀναλυόμεθα, καὶ ὅτι πάν-

l) *οὐρανίου ποιότητος ἐπὶ τὴν γῆν γενομένης* Trinc. B. *τὴν γῆν γεγεννημένης* C. *τῆς γῆς γινομένης* Heins. Bas.

m) Ita Trinc. *τῷ οὐρανῷ δὲ εὐνηθεῖσα, ὡσανεὶ* (*ὡς ἂν* B.) *μετὰ ταῦτα* Bas. Heins. B. *βρέχειν καὶ καρποποιεῖν* Bas. Heins.

n) Ita Trinc. nec multum diversa habet B. Locus in Heins. Bas. sic legitur: *Κοῖόν τε. Οἱ Αἰολεῖς τὸ κ̄ ἀντὶ τοῦ π̄ τίθενται. Ποῖον οὖν φησί, τὴν ποιότητα. Ζήνων δὲ Τιτῆνας, φησὶ εἰρῆσθαι φυσικωτέρως, διὰ τὸ μὴ διατάττεσθαι διαπαντὸς τοῦ κόσμου τὰ στοιχεῖα.*

Κρεῖον. Τὸ βασιλικὸν, καὶ ἡγεμονικόν. Ὑπερίονα. Τὴν ὑπὲρ τῆς γῆς κίνησιν τοῦ παντός. Ἰαπετὸς δὲ ἀπὸ τοῦ ἰέναι. Ἐπεὶ γὰρ φύσιν ἔχειν πάντα τὰ μέρη ἀφιέμενα πίπτειν ἄνω, τὸ τοιοῦτον εἶδος Ἰαπετὸν ἐκάλεσεν. Οὗτοι δὲ, ὡς Ἀρκέσιλαος, Τιτᾶνες καλοῦνται, καὶ Τιτανίδες. Ἀλληγοροῦσι δὲ τὸν μὲν Κοῖον εἶναι τὴν ποιότητα, καὶ Κρεῖον τὴν διάκρισιν. Ὑπερίονα δὲ τὸν οὐρανὸν, τὸν ὑπεράνω ἡμῶν ἰόντα· καὶ Ἰαπετὸν, τὴν κίνησιν αὐτοῦ, παρὰ τὸ ἵεσθαι καὶ πορεύεσθαι. Ὁ γὰρ οὐρανὸς ἀεικίνητός ἐστι.

o) Ita Trinc. In Heins. Bas. sic habetur: *Θείαν*) *παρὰ τὸ θεωρεῖν τὰ παρόντα ἢ παρὰ τὸ τρέχειν.* Eadem habet Etymologus Gudianus p. 257, 3. Verba quae sequuntur in iisdem edd. *ἢ τὴν θέσιν τοῦ παντὸς τὴν ἀμετάθετον*, etymologiam *τῆς Θέμιδος* complectuntur. Ad hunc locum vel ad v. 371. spectat Etymol. M. p. 449, 15. *Θεῖα σημαίνει τὴν μητέρα τῆς σελήνης καὶ τοῦ ἡλίου. Παρὰ τὴν θέαν γέγονε θέεια, καὶ κατὰ συναίρεσιν, θεῖα· καὶ γὰρ αὕτη ἐστὶν αἰτία τῆς θέας, καὶ τοῦ θεωρεῖν ἡμᾶς.*

p) *Ῥείαν* ad *διαῤῥέουσι* desunt Trinc. Plura in Scholiis ad h. l. olim extitisse patet ex Etymologo M. p. 701, 18. qui ex illis sequentia proculdubio descripsit; *Ῥέα, ἐπὶ τῆς θεοῦ. Πλάτων μὲν, παρὰ τὸ ῥεῖν καὶ μὴ μένειν τὸν χρόνον· οἱ δὲ ἐπειδὴ παρὰ τοῦ παιδὸς αὐτῆς Διὸς, ὄμβροι καταρέουσι. Κρόνῳ δὲ λέγουσιν αὐτὴν συνεῖναι, καθόσον ἐξ ἀϊδίου χρόνου ἡ τοιαύτη ῥύσις γίνεται. Αἰγύπτιοι δέ φασιν αὐτὴν εἶναι ῥύσιν καὶ φορὰν τῶν γινομένων πραγμάτων. Χρύσιππος δὲ λέγει τὴν γῆν Ῥέαν κεκλῆσθαι, ἐπειδὴ ἀπ᾽ αὐτῆς ῥεῖ τὰ ὕδατα.*

τες τῶν ἐν αὐτῇ διαῤῥέουσι. ΘΕΜΙΝ [q]) γὰρ τὴν θέσιν τοῦ παντὸς τὴν ἀμετάθετον. ΜΝΗΜΟΣΥΝΗΝ δὲ τὴν ἐπίμονον διάπλασιν τῶν ζώων.

136. [r]) ΦΟΙΒΗΝ. Τὸ καθαρὸν τοῦ ἀέρος, διὰ τοῦτο καὶ χρυσοστέφανον· καθαρὸς γὰρ ὁ χρυσός.

Ibid. ΤΗΘΥΝ Τ' ΕΡΑΤΕΙΝΗΝ. Τὴν τροφὸν, ἢ τὴν πλευστὴν θάλασσαν, [s])τὴν διὰ κέρδος τρέφουσαν.

137. ΤΟΥΣ ΔΕ ΜΕΘ' ὉΠΛΟΤΑΤΟΣ. [t])Κρόνον, τὴν ἀπόκρισιν τῶν στοιχείων, ἣν ἀπ' ἀλλήλων ποιησάμενα ἄνευ ταξέως λοιπὸν διέμειναν. Ἢ Κρόνον, τὸν χρόνον· ὅτι τὰ μὲν κρύπτει ὁ χρόνος, τὰ δὲ φαίνει. Ἢ ὅτι λεληθότως παρέρχεται.

138. ΘΑΛΕΡΟΝ Δ' ΗΧΘΗΡΕ ΤΟΚΗΑ. Ἀμφίβολον, πότερον αὐτὸς ἐμίσησε τὸν Κρόνον, διὰ τὸ ἀποκτείνειν τοὺς [v])γεννωμένους, ἢ αὐτὸν αὐτὸς ὁ Κρόνος ἐμίσησεν, τὰ γεννητικὰ μόρια διαφθείρων. Ἀρίσταρχος [w]) δὲ ἐπιλαμβάνει, ὡς 399
οὐ καλῶς τοῦ πρεσβυτέρου οὐρανοῦ θαλεροῦ εἰρημένου. Εἰ μὴ ὡς μαλερὸν πῦρ τὸ μαραντικὸν λέγει, καὶ χλωρὸν δέος, τὸ χλωρὸν ποιὸν, οὕτως θαλερὸς οὐρανὸς, ὁ θαλεροποιὸς τῷ βίῳ· διὰ γὰρ τῆς ὀμβρήσεως θάλλειν πάντα καὶ αὔξεσθαι ποιεῖ. Ὅλα γὰρ αὔξεται ἐξ οὐρανοῦ. Μένανδρος,

Ἐρᾷ μὲν ὄμβρων γαῖα.

139. ΓΕΙΝΑΤΟ Δ' ΑΥ ΚΥΚΛΩΠΑΣ. Τὰς ἐγκυκλίους

q) Etymol. M. p. 445, 13. Θέμις δηλοῖ καὶ τὸ πρέπον καὶ τὴν σωματικὴν θεάν· γίνεται παρὰ τὸν θεσμὸν θέσμις, καὶ ἀποβολῇ τοῦ σ. τὸ δὲ θεσμὸς ὄνομα τῆς θέσεως· ἕκαστος γὰρ νομοθέτης, ὡς ἐβούλετο, ἐτίθετο τοὺς νόμους κ. τ. λ. Mox in Heins. Bas. Μνημοσύνην, τὴν ἐπιμονὴν τῆς διαπλάσεως τῶν ζώων.

r) Deest hoc Scholion Trinc.

s) τὴν τρέφουσαν τῇ τοῦ κέρδους ἐπιθυμίᾳ. Trinc.

t) Hinc ad χρόνον om. Trinc. Etymologus M. p. 540, 9. Χρύσιππος δέ φησιν, ὅτι καθύγρων ὄντων τῶν ὅλων, καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν ἔκκρισιν τούτων Κρόνον ὠνομάσθαι.

v) γενομένους B. Mox ἠχθηρόποιησε B. ἠχθηροποίησε — ἀφαιρῶν S. ἤχθηρεν, ἐπειδὴ ἀΐδια τὰ οὐράνια, καὶ οὐ χρόνῳ φθαρτά. Bas. Heins. Ceterum in hoc Scholio exhibendo secutus sum auctoritatem codicis B. et ed. Trinc. Nam Heins. Bas. voci ἀμφίβολον praefigunt ἤχθηρε, et reliqua usque ad χρόνῳ φθαρτὰ post ὄμβρων γαῖα collocant.

w) ἐπιλαμβάνεται B. Trinc. θαλεροῦ εἶναι εἰρ. Trinc. B. ἢ μήπως Trinc. καὶ χλωρὸν — ποιόν. om. Trinc. B. et mox καὶ αὔξεσθαι, et paullo post, ὅλα γὰρ . . ὄμβρων γαῖα. Verba ἐρᾷ μὲν ὄμβρων (ὄμβρου) γαῖα, non sunt Menandri sed Euripidis. Vide fr. Oedipodis n. XVII.

δυνάμεις. Ἑλλάνικος δὲ τοὺς Κύκλωπας [x]) *φησὶ τοὺς ἀπὸ Κύκλωπος υἱοῦ τοῦ Οὐρανοῦ. Ζήνων δὲ πάλιν φυσικωτέρως τὰς ἐγκυκλίους φορὰς εἰρῆσθαί φησι· διὸ καὶ τὰ ὀνόματα τούτων ἐξέθετο Βρόντην τε καὶ Στερόπην· Ἄργην δὲ, ἐπειδή φασι τὸν ἀργῆτα κεραυνόν· παῖδας δέ φησιν αὐτοὺς τοῦ Οὐρανοῦ, ἐπειδὴ πάντα ταῦτα τὰ πάθη περὶ τὸν οὐρανόν εἰσι. Καὶ Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἥψατο* [y]) *τοῦ φυσικοῦ, παίζων τὸν Σωκράτην·*

> *Ὅτ᾽ ἂν ἐμπλησθῶσ᾽ ὕδατος πολλοῦ, κἀναγκασθῶσι φέρεσθαι*
> *Κατακρημνάμεναι πλήρεις ὄμβρου δι᾽ ἀνάγκην, εἶτα βαρεῖαι*
> *Εἰς ἀλλήλους ἐμπίπτουσαι ῥήγνυνται καὶ παταγοῦσιν.*

ΑΡΓΗΝ δὲ ΟΒΡΙΜΟΘΥΜΟΝ λέγει τὴν ὀξεῖαν ἔξαψιν. [z]) *ΑΛΛΩΣ. Ἐν χρόνῳ γάρ τινι ἐγένοντο ἔγκυκλοι περιφοραὶ τοῦ πυρὸς ἐκ τοῦ ἀέρος. ΑΛΛΩΣ. Ὅτε ἔμελλε διαρθρωθῆναι ὁ κόσμος, ἐγένετο τὸ σκότος τὸ διαρθρωτικόν.*

142. *ΟΙ ΔΗ ΤΟΙ. Κράτης ἀντὶ τούτου ἄλλον στίχον παρατίθεται,*

> *Οἳ δ᾽ ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες.*

Πῶς γὰρ τοὺς αὐτοὺς θεοῖς ἐναλιγκίους λέγει, καὶ ἐν [a]) *τῷ τῶν*

x) Dedi hoc Scholion ad fidem Trinc. B. S. In Heins. Bas. haec leguntur: *Ἑλλανικος δὲ τοὺς Κύκλωπας ὀνομάζεσθαι ἀπὸ Κύκλωπος υἱοῦ Οὐρανοῦ, οὐ περὶ τῶν παρ᾽ Ὁμήρῳ Κυκλώπων λέγει. Κυκλώπων γὰρ γένη τρία· Κύκλωπες οἱ τὴν Μυκήνην τειχίσαντες, οἱ περὶ τὸν Πολύφημον, καὶ αὐτοὶ οἱ θεοί. Ἄλλως. Ζήνων τὰς ἐγκύκλους φυσικώτερον περιφορὰς εἴρηκε καὶ τὰ ὀνόματα αὐτῶν Βρ. καὶ Ἀστερόπην.*

y) *φυσικῶς* Trinc. B. *ὅτε γάρ φησι, ὕδατος ἐμπλησθῶσιν πολλοῦ καὶ ἀναγκασθῶσι φέρεσθαι κρεμάμεναι, παταγοῦσι δι᾽ ὄμβρου ἀνάγκην· εἶτα βαρεῖαι εἰς ἀλλήλας ἐμπίπτουσαι ῥήγνυνται.* Bas. Heins. *ὅταν ὕδατος ἐμπλησθῶσιν* (*ἐμπλησσῶσι* Trinc.) *πολλοῦ κατακρημνάμεναι. καὶ τὰ ἑξῆς* Trinc. B. Non dubitavi genuinos poetae anapaestos Nub. 375. recipere.

z) Hinc ad finem Schol. om. Trinc. B.

a) Sic B. S. *τῷ τῶν Λευκίππων* Trinc. *τῷ Λευκοππιδῶν* Bas. *τῷ τὸν Λεύκιππον ἐν καταλόγῳ* est Heinsii tacitum *παραδιόρθωμα*, quod, nimis festinans, nec re satis explorata, vertit Graevius, *teste Leucippo in Catalogo*. *Κατάλογος τῶν Λευκιππίδων* est ea pars carminis, *Κατάλογος Γυναικῶν* inscripti, qua Leucippi filias a Castore et Polluce raptas cecinit Hesiodus. Vide Apollodorum III. 11. et Heynii Observ. T. II. p. 290. Parum dubito quin ex eadem *τοῦ Καταλόγου* parte excerpti sint versus ab Athenagora p. 134. servati et a nobis inter fragmenta Hesiodea relati n. LIX. Confer Apollodorum III. 10. p. 317. [Scripta et typothetae tradita animadversione, deprehendi serius pleraque occupasse Werferum Act. Monac. II. p. 500. Creuzerum ad Ciceron. N. D. III. 23. *Ex Addendis.*]

Λευκιππιδῶν καταλόγῳ ὑπὸ Ἀπόλλωνος [b]) *ἀναιρεῖσθαι ποιεῖ;* 400 *Ἢ ὅτι οὐ πάντας τοὺς ἐκ τῶν θεῶν γεγονότας ἀθανάτους εἶναι συμβαίνει, ὥς φησιν Ἡσίοδος. (Ἐν γὰρ τοῖς ἑξῆς* [c]) *Γηρυόνην θνητὸν ὄντα, Χρυσάορος εἶναι λέγει παῖδα· ὁ δὲ Χρυσάωρ Μεδούσης ἦν. Πῶς δὲ καὶ αὐτὴ ἡ* [d]) *Μέδουσα ἀναιρεῖται ὑφ' Ἡρακλέους, καὶ ὁ Ὄρθρος κύων ἀπ' ἀθανάτων γεννηθέντες;) Ἢ ὅτι κατὰ κάλλος καὶ μέγεθος θεοῖς ἐναλίγκιοι ἦσαν.*

143. [e]) *ΜΟΥΝΟΣ Δ' ΟΦΘΑΛΜΟΣ. Τὴν ἀστραπήν φησι τὴν ἐκ τῶν ἐναπειλημμένων τοῖς νέφεσι πνευμάτων γινομένην.*

144. *ΚΥΚΛΩΠΕΣ Δ' ΟΝΟΜ' ΕΣΣΑΝ ΕΠΩΝΥΜΟΝ. Οὐ τοὺς παρ' Ὁμήρῳ Κύκλωπας λέγει· τρία γὰρ ἔθνη Κυκλώπων, οἱ τὴν Μυκήνην τειχίσαντες, οἱ περὶ τὸν Πολύφημον, καὶ αὐτοὶ οἱ θεοί.*

145. *ΚΥΚΛΟΤΕΡΗΣ ΟΦΘΑΛΜΟΣ ἘΕΙΣ. Ἀντὶ τοῦ εἷς, ἐστὶ δὲ διαίρεσις τῆς περισπωμένης· εἰς γὰρ ὀξεῖαν καὶ βαρεῖαν διαιρεῖται.*

146. *ΙΣΧΥΣ Τ' ΗΔΕ ΒΙΗ. Ἐκ παραλλήλου τὰς* [f]) *δυνάμεις αὐτῶν λέγει. Καὶ ἐπὶ τοῖς ἔργοις αὐτῶν φησιν ἦσαν μηχαναὶ πολλαὶ, καὶ ἐπίνοιαι· ἢ ὅτι οὗτοι τεχνῖται εἰσὶν ἐν τοῖς θεοῖς.*

148. *ΟΥΚ ΟΝΟΜΑΣΤΟΙ. Ἤγουν, οὓς οὐ δύναταί τις ὀνομάσαι,* [g]) *ἀντὶ τοῦ δεινοί. Ἐπιφέρει γοῦν αὐτῶν τὰ ὀνόματα.* [h]) *Καὶ Κόττον μέν φησι τὴν κινητικὴν δύναμιν, παρὰ τὸ κοτεῖν. Βριάρεων δὲ, τὸν ἰσχυρόν· Γύγην, τὴν δύναμιν.*

b) *ἀνηρῆσθαι* B. Trinc.

c) *γηρυόνου θάνατον χ.* Bas. *γηρυονῆα* B. *χρυσάορος ὄντα παῖδα* B. Bas. Mox *ἦν* om. B. Trinc.

d) Minime haec sunt vera; nam primo Medusam mortalem fuisse disertis verbis narrat Hesiodus v. 277: deinde, eam non Hercules, sed Perseus interemit. In sequentibus restitui *ὁ Ὄρθρος κύων* ex Trinc. ubi *ὄρθος*, collato Theogoniae v. 309. cum v. 293. *Κέρβερος κύων* Bas. Heins. Eaedem edd. mox *ἀπ' ἀθανάτου γενέσεως ὤν.*

e) Dedi hoc Schol. ex Trinc.

f) Ita Trinc. *τοὺς ἰσοδυνάμους* λ. B. *τὰς ἰσοδυνάμους* Bas. Heins. Mox *καὶ μηχαναὶ ἐ. τ. ἔ. ἁ. ἤ. ὅ ἐστιν εὐπορίαι πολλαὶ κ. ἐ. οὗτοι γὰρ τ. ε. ε. τ. θ. ὕπερ τὴν ψυχὴν τὴν ἰσχὺν ἔχοντες* Heins. Bas.

g) Post *δεινοὶ* habet B. *οἱ ἐκ γῆς καὶ οὐρανοῦ γενόμενοι.* reliqua desunt. *γὰρ* pro *γοῦν* Trinc. qui sequentia habet post *ὀνόματα. Ὅσσος γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο. Τῶν γὰρ ἐξ ἄλλων γεννηθέντων παίδων, οὗτοι μᾶλλον δεινότεροι, οἱ ἐκ γῆς καὶ οὐρανοῦ γεγονότες.*

h) Desunt hinc in Trinc. ad finem Scholii.

401 *Οὗτοι δὲ λέγονται ἐκνέφεοι ἄνεμοι· εἰσὶ δὲ ἁρπακτικοὶ πάντες. Διὰ τοῦτο καὶ ἑκατόγχειρες μυθικῶς, διὰ τὸ ὁρμητικὸν τῆς μάχης. Κόττος, Βριάρεως καὶ Γύγης, οἱ τρεῖς καιροί εἰσιν· Κόττος, ἡ ὀργὴ τοῦ καύματος, ἤγουν ὁ θερινός· Βριάρεως, τὸ ἔαρ, παρὰ τὸ βρύειν, καὶ αὐξάνειν τὰ φυτά· Γύγης δὲ, ὁ χειμερινὸς καιρός. Οὓς καὶ ἑκατόγχειρας καλεῖ, διὰ τὸ πολλὰς ἐνεργείας ἔχειν. Ὁ δὲ Ὅμηρος, [14]) τὸ * ὅμηρον καλεῖ ἑκατόγχειρα δι' αὐτὸ τοῦτο.*

151. *ΑΠΛΑΣΤΟΙ. Ἀπροσπέλαστοι, διὰ φόβον δεινοὶ, οὗτοι δὲ λέγονται διὰ τὴν πολυπλήθειαν τῶν πολεμούντων εἶναι ἁρπακτικοὶ πάνυ. Διὰ τοῦτο καὶ ἑκατόγχειρες διὰ τὸ [i]) ὁρμητικὸν, τὸ πρὸς τὴν μάχην, καὶ δραστικὸν, καὶ ἁρπακτικόν.*

154. *ΟΣΣΟΙ ΓΑΡ ΓΑΙΗΣ. Ὅσοι γὰρ δεινότατοι τῶν παίδων τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς [k]) ἦσαν, ἐμισοῦντο ὑπὸ τῶν προτέρων παίδων, τουτέστιν ὑπὸ τῶν ἀδελφῶν, [l]) οἳ καὶ τῷ σφετέρῳ τοκῆϊ ἤχθοντο. Τοῦτο δὲ ἐδήλωσε, διὰ τοῦ εἰπεῖν ΣΦΕΤΕΡΩι ΔΕ· ὁ γὰρ δὲ σύνδεσμος καὶ ἄλλον τινὰ ἐσήμηνεν, ἐπεὶ εἶχεν εἰπεῖν σφετέρῳ μόνον.*

156. [m]) *ΕΞ ΑΡΧΗΣ. Ἤγουν ἐφαίνετο δένδρα καὶ ζῶα, καὶ ἄλλα τινά. Καὶ πάλιν ἐπικρατοῦντος τοῦ σκότους, ἐκρύπτοντο, καὶ συνεχέοντο πάντα, καὶ τὸ φῶς οὐκ ἐφαίνετο.*

157. *ΠΑΝΤΑΣ ΑΠΟΚΡΥΠΤΑΣΚΕ. Ἐπεὶ οὐκ ἐπιπολάζει τὸ τῆς ὀργῆς, ἀλλ' ἐν καιρῷ γίνεται καὶ κινεῖται.*

160. *ΣΤΕΙΝΟΜΕΝΗ. Σέλευκος ΑΧΝΥΜΕΝΗ γράφει. Οὐ γὰρ ἐστενοχωρεῖτό φησιν, ἀλλὰ διὰ τοὺς κρυφθέντας παῖδας αὐτῆς ὑπὸ τοῦ οὐρανοῦ ἐλυπεῖτο.* [n]) *ΑΛΛΩΣ. Στεινομένη, στενοχωρουμένη, ὡς τὸ*

Στεινόμενος νεκύεσσι,

14) Scribe, *τὸν Βριάρεων*. Heinsius.

i) *ὁρμητικὸν τῆς μάχης* B. ubi cett. om. Deest hoc Schol. Bas.

k) *ἦσαν* om. Heins. Bas. ubi etiam *ἀγαθῶν* pro *προτέρων*.

l) Sic Trinc. Locus in Bas. Heins. ita legitur: *ὑπὸ τοῦ πατρός. ἐσήμαινε δὲ τὸ ὑπὸ τῶν ἀδελφῶν ἐμισοῦντο, διὰ τὸ εἰπεῖν [σφετέρῳ δ'] ὁ γὰρ δὲ σύνδεσμος, ἐσήμαινε καὶ ἄλλην τινά. Ἐπεὶ εἶχεν εἰπεῖν σφετέρων μόνων ἄλλων. Οὗτοι μᾶλλον δεινοὶ τῶν ἐξ ἄλλων γεννηθέντων παῖδες δεινότατοι, οἱ ἐκ Γῆς καὶ Οὐρανοῦ γενόμενοι.*

m) Hoc et seq. Schol. om. Trinc.

n) Sequentia om. Trinc. Paullo supra *πάντας* pro *παῖδας* Bas.

διὰ τὸ τοὺς πολλοὺς καρποὺς εἶναι αἰτίους τῶν μαχῶν. ΑΛΛΩΣ. Τὸ ὅλον τοῦτό ἐστι. Τὰ πνεύματα ἐκ τῆς στενοχωρίας ἀναπέμπεται, τῆς γῆς στενοχωρουμένης. Τὸ δὲ ἄλλο, προσωποποιΐα.

161. [o]) *ΠΟΛΙΟΥ ΑΔΑΜΑΝΤΟΣ. Λευκοῦ. Ἢ διὰ τοὺς πολλοὺς καρποὺς τοὺς αἰτίους τῶν μαχῶν. Δρέπανον νῦν λέγει τὸν καιρὸν τοῦ ἀμητοῦ.*

164. *ΠΑΙΔΕΣ ΕΜΟΙ, ΚΑΙ ΠΑΤΡΟΣ ΑΤΑΣΘΑΛΟΥ.* [p]) *Προσδιαστέλλει τὸ ὄνομα ΑΤΑΣΘΑΛΟΥ, ἤγουν πονηροῦ,* 402
[q]) *ἀπὸ τοῦ ἄταις θάλλειν. Ἢ ἀτασθάλου εἶπεν, πλέον αὐτοὺς κινοῦσα πρὸς ὀργήν. Οὐ γὰρ ἐπὶ πατέρα δίκαιον εἶχον ἐπιβαλεῖν χεῖρας.*

166. *ΑΕΙΚΕΑ.* [r]) *ἀνόμοια, τουτέστι, κακά. Ἔλαβον δὲ ὑπουργῆσαι, δηλονότι τὸ τέλος ἀποτελεῖν κρυπτόμενον.*

171. [s]) *ΠΑΤΕΡΟΣ ΓΕ ΔΥΣΩΝΥΜΟΥ. Δυσώνυμον τοῦτον λέγει, διὰ τὸ ἀφανίζειν τὰ αὐτοῦ τέκνα.*

174. *ΕΙΣΕ ΔΕ ΜΙΝ. Διὰ τὸ λεληθότως τὸν χρόνον παριέναι, εἴρηκε τὸ, κρύψασα.*

176. *ΗΛΘΕ ΔΕ ΝΥΚΤ' ΕΠΑΓΩΝ. Τὸ ἀποτέλεσμα τοῦ Οὐρανοῦ πάλιν διακρῖναι θέλει. Οὕτω γὰρ ἦν εὐκρινὴς ὁ οὐρανός.*

178. *Ὁ Δ' ΕΚ ΛΟΧΕΟΙΟ.* [t]) *Ἀριστόνικος ΛΟΧΕΟΙΟ φησὶ, ὡς θυρεοῖο· λοχεὸς γὰρ λέγει. Βεβίασται δὲ τὸ ΛΕΧΕΟΙΟ, παρὰ τὸ ἔθος. Τὸ δὲ ΔΕΞΙΤΕΡΗι, σχῆμα θερίζοντος ἔδειξε. Ὅτι ὁ χρόνος τῶν ἐξ οὐρανοῦ καὶ γῆς ἀναδιδομένων σπερμάτων* [v]) *τὰς γονιμότητας ἀφανίζει, ἢ θερίζει, ἐπεὶ καὶ οἱ ταῦτα θερίζοντες ἄνθρωποι δρεπάναις ταῦτα ἀποτέμνουσι, πάλιν δὲ ῥίπτουσι ταῦτα ἐξοπίσω, ὅτι τοὺς σπόρους ἐκ τῶν θερισθέντων καταβάλλουσι.*

180. [w]) *ΦΙΛΟΥ Δ' ΑΠΟ ΜΗΔΕΑ. Μήδεα λέγει, ἐκ τοῦ*

o) Deest hoc Schol. Trinc.
p) *προσδιασύρει* Bas.
q) *παρὰ τὸ ταῖς* Trinc. Mox *ἢ ἀπὸ τοῦ ἀτάσθαλον εἶπεν* Heins. Bas. Deinde *εἰς ὁρμὴν* Trinc. *εἰς πατέρα* Trinc.
r) Deest hoc Schol. Trinc.
s) Dedi hoc Schol. ex Trinc. Scholia duo seqq. desunt Trinc.
t) *Ἀριστόνικος* ad *ἔδειξε* om. Trinc. *Ὅτι ὁ χρ.* ad fin. Scholii om. Bas.
v) *τὰ γονιμώτατα* Heins. Mox *ἀποδρεπάνης* Heins.
w) Hoc et sequens Scholion om. Trinc.

τῆς γονῆς ἄρχειν· τὰ γὰρ πλείονος γονῆς αἴτια ἀπέτεμε. ΜΗΔΕΑ. Ἢ ἀπὸ τοῦ μέζεά τινα εἶναι τὰ μέσον ὄντα τῶν μηρῶν, ἢ ἀπὸ τοῦ μήδω τὸ βουλεύομαι. Οἱ ἄνθρωποι γὰρ οἱ βουλευτικοὶ, καὶ πάντες, ἀπὸ τούτων γίνονται.

182. ΕΞΟΠΙΣΩ. Διὰ τὸ ἐξοπίσω ῥίπτειν τοὺς θερίζοντας. Νοεῖται δὲ τὸ ἐξοπίσω καὶ μετὰ ταῦτα, ὡς ἂν μετὰ τὸ κόψαι ἔῤῥιψε.

184. ΠΑΣΑΣ ΔΕΞΑΤΟ[x]). Διὰ τὸ ἀδέσποτον τοῦ σίτου. Ἐκ διαδοχῆς γὰρ ἐσπείρετο ἡ γῆ τῆς Ἑλλάδος.

185. ΓΕΙΝΑΤ' ΕΡΙΝΝΥΣ ΤΕ. [y]) Τὰς Ἐριννῦς λέγει, καὶ τοὺς Γίγαντας, καὶ τὰς Νύμφας ἐντεῦθεν γεννηθῆναι, διὰ τοὺς ἐπιβαίνοντας μόχθους, καὶ [z]) αἱματηροὺς ἱδρῶτας, καὶ πολέμους, περὶ πόλεως καὶ χωρῶν εὐκράτων καὶ γονίμων.
403 [a]) Ἐριννῦς αἱ μετερχόμεναι τὸ συγγενικὸν αἷμα. Ἐγέννησε γοῦν τὰς Ἐριννῦς ἐκ τοῦ αἵματος καὶ τοὺς Γίγαντας. Γίγαντες δὲ [b]) οἱ γηγενεῖς οἱ ἀσεβεῖς· πάντες μὲν γὰρ γηγενεῖς, ἀλλ' οἱ Γίγαντες ἀσεβεῖς· ἀνθρώπους γὰρ τοὺς δικαίους καλεῖ. ΑΛΛΩΣ. Ἐριννῦς ἀπὸ τῆς [c]) ἔρας· γίγαντες δὲ ἀπὸ τῆς γῆς ὠνομάσθησαν. ΑΛΛΩΣ. [d]) Μεγάλους Γίγαντας τοὺς ἀνδρείους ἄνδρας λέγει. Γιγάντων δὲ ὀνόματα ταῦτα· [e]) Ἀλκιονεὺς, Ἐγκέλαδος, Πορφυρίων, Μίμας, Ὄβριμος, Φροῦτος.

187. [f]) ΝΥΜΦΑΣ. Ἐκ τούτων ἦν τὸ πρῶτον γένος τῶν ἀνθρώπων· Μελίας δὲ, διὰ τὸ ἅμα τοῖς δένδρεσι γενέσθαι· ἢ διὰ τὸ ἐν ὄρεσι δενδροφόροις ἀναστρέφεσθαι. [g]) Ἀπὸ τοῦ ἠπείρου φησὶ βάλλειν ταῦτα καὶ ἐν θαλάσσῃ, ὅτι οὐ μόνον ἐν γῇ

x) διὰ τὸ ἀ. τ. σ. om. Trinc.
y) Hinc ad γονίμων om. Bas.
z) αἷμα τηροὺς ἱδρῶτα = (sic) Trinc.
a) Hinc ad καλεῖ. Ἄλλως. in Trinc. leguntur post Schol. ad v. 187. Ubi annotatio ita exorditur: Ἄλλως ἐριννῦς τε λέγει τὰς μετερχομένας τ. σ. α. ἐγέννησεν οὖν.
b) συγγενεῖς Bas. Heins.
c) ἔρας ὠνόμασται· τοὺς δὲ γ. ἀπὸ τῆς γ. λέγει. Trinc.
d) μεγάλους δὲ τοὺς γ. Trinc.
e) Ἀγκυονεὺς Trinc. B. et mox φοῦτος. Bentleius ad Horatii Carm. II. xix. pro Φοῦτος reponit Ῥοῖτος. Ἀγκέλαδος — Ὄμβριμος Trinc.
f) In Trinc. post ἀπὸ τῆς γῆς λέγει, legitur sequens Schol. quod ibi ita exorditur. τὰς νύμφας ἐκ τούτων. πρῶτον ἦν τὸ γένος τῶν ἀ. Post δένδρεσι ita pergunt edd. Bas. Heins. γίνεσθαι τὴν γένεσιν τῶν ἄλλων ζώων. Νύμφας γὰρ, τὴν ἄλλην γένεσιν τῶν ζώων. Μελίας δὲ, ἐκ τοῦ μῆλα εἶναι τὰ πρόβατα. Λέγει δὲ καὶ Ὀρεστιάδας, καὶ Ἁμαδρυάδας.
g) Haec usque ad νήσοις pertinent ad v. seqq. Τὴν γένεσιν — ἄλογα refer ad Νύμφας.

καταβάλλεται τὰ σπέρματα, ἀλλὰ καὶ ἐν ταῖς ἐν θαλάσσῃ νήσοις. Τὴν γένεσιν τῶν ἀλόγων ζώων. Μελίας δὲ ἀπὸ τοῦ μῆλα τὰ ἄλογα.

188. [h]) *ΜΗΔΕΑ Θ' ὩΣ.* Μήδεα, τὰ αἰδοῖα. Οὐ γὰρ θέλει ἀλογίστως ἡμᾶς προσιέναι τοῖς ἀφροδισίοις, ἀλλὰ μετὰ λόγου. Ὀρθῶς οὖν τὴν τῶν Ἀφροδισίων προεστῶσαν, φιλομηδέα φησί.

191. [i]) *ΑΦΡΟΣ ΑΠ' ΑΘΑΝΑΤΟΥ.* Τὴν ζέσιν τοῦ αἵματος, τὸν ἀφρισμὸν τῆς μίξεως, τὴν ἀφροειδῆ σποράν.

Ibid. *ΤΩι Δ' ΕΝΙ ΚΟΥΡΗ.* Τουτέστιν ἐν τῷ ἀφρῷ τῆς μίξεως. Ἐκ γὰρ τῆς θαλάσσης ἡ Ἀφροδίτη, διὰ τὸ ὑγρόν. Ἡ γὰρ ἐπιθυμία [k]) ἀπὸ τῆς ὑγρότητος γίνεται· ὅθεν καὶ ὑγροὺς καλοῦμεν τοὺς ἀσελγεῖς ἀνθρώπους.

192. *ΚΥΘΗΡΟΙΣΙ ΖΑΘΕΟΙΣΙ.* Κύθηρά ἐστι πόλις Κύπρου [l]) μικρά· εἴρηται δὲ οὕτω, παρὰ τὸ κεύθειν καὶ κρύπτειν τὸ αἰσχρὸν, [m]) ἢ παρὰ τὸ κύειν ἐν θισί· παραθαλασσία γὰρ ἡ πόλις.

194. *ΕΚ Δ' ΕΒΗ ΑΙΔΟΙΗ.* [n])Ἤγουν τιμία, ἢ ἀπὸ τῶν αἰδοίων.

195. *ΤΗΝ Δ' ΑΦΡΟΔΙΤΗΝ.* Τὸ αὐτὸ, τὴν Ἀφροδίτην καὶ τὴν Δήμητραν καλοῦσι. Μετὰ τὴν μίξιν γὰρ καὶ ἡ γῆ βο- 404
τάνας ἀνέδωκε. Μίξιν δὲ λέγει τοῦ ὄμβρου πρὸς τὴν γῆν.

196. *ΑΦΡΟΓΕΝΕΙΑΝ ΤΕ.* Τὴν Ἀφροδίτην. Ἢ παρὰ τὸν ἀφρὸν, ἢ παρὰ τὸ ἀφραίνειν. Ὡς Εὐριπίδης [o])·

Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς.

Κυθέρεια δὲ, ἀπὸ τοῦ κεύθειν τοὺς ἐραστὰς, καὶ λάθρα [p]) παραγίνεσθαι· ἢ ἀπὸ τοῦ χέειν τὸν ἔρωτα.

201. *ΤΗι Δ' ΕΡΟΣ ὩΜΑΡΤΗΣΕ.* [q]) Τὰ ἑπόμενα ταύτῃ

h) Deest hoc Schol. Trinc.

i) His verbis subjicit Trinc. ἀπὸ τῆς θαλάσσης mediis omissis.

k) ἐξ pro ἀπὸ τῆς Trinc. Post ἀνθρώπους Trinc. habet quae leguntur infra ad v. 195. et sic B.

l) μικρὰ om. Heins. Bas. Eaedem pro οὕτω dant Κύθηρα.

m) Ita Trinc. In Bas. Heins. ἤγουν τὸν Ἔρωτα. Ἢ ἐκ τοῦ κύειν· παραθαλάσσιοι γὰρ οὗτοι.

n) Deest hoc Scholion Trinc.

o) Troad. 989. Euripidis versus ita legitur in Trinc. τὰ μόρια γὰρ πάντεσσι γίνεται ἀφροσύνη βροτοῖσι.

p) Sequentia dedi ex Trinc. praeter χέειν, quod pro κύειν ausus sum rescribere ex Etymologo M.

q) Ita Trinc. τὰ παρεπόμενα θεῷ ὠνόμασε, καὶ Ἵμερος ἀδιαφόρως. Bas. Heins. ubi mox, Ἔρως δὲ τὸ δι' ἐράσεως — ἔρασιν. In Trinc. ἡ — ἐπιθυμία pro τὸ — ἐπιθυμεῖν. περὶ — ἑξῆς om. Tr.

θεοὺς ὠνόμασεν, Ἔρωτα καὶ Ἵμερον διαφόρως, ἵνα μὴ ξενισθῇς. Ἔρως μὲν γὰρ, τὸ δι' ὁράσεως ἐρᾷν· Ἵμερος δὲ, τὸ μετὰ τὴν ὅρασιν ἐπιθυμεῖν· οἷον, εἶδες βιβλίον καλὸν περὶ τὴν ἀμφίασιν, καὶ τὸ γράμμα, καὶ τὰ ἑξῆς· καὶ ἰδὼν ἠράσθης κτήσασθαι αὐτό· r) ἰδοὺ ἔρως· Ἵμερος δὲ ἐὰν μετὰ τὸ κτήσασθαι ἐπιθυμήσῃς, καὶ ἐκμαθεῖν αὐτὸ, καὶ ποιῆσαι τὰ γεγραμμένα. Οὕτω δὴ καὶ ἐπὶ παντὸς πράγματος.

203. s) ΤΑΥΤΗΝ Δ' ΕΞ ΑΡΧΗΣ ΤΙΜΗΝ ΕΧΕΙ. Ὅτε ἐγεννήθη, καὶ συνηριθμήθη τοῖς θεοῖς. Λοιπὸν, ΠΑΡΘΕΝΙΟΥΣ Τ' ΟΑΡΟΥΣ, καὶ ἑξῆς. Πρῶτον γὰρ κινεῖται ὁμιλία μεταξὺ παρθένων, εἶτα γέλως καὶ μεδιάματα, ἔπειτα ἐξαπατῶνται, μετὰ δὲ τοῦτο ἐπακολουθεῖ τέρψις, καὶ φιλία, καὶ v) προσηνία. ΑΛΛΩΣ. Τιμὴν ἔχει τὸ ἕπεσθαι αὐτῇ τὸν Ἔρωτα καὶ τὸν Ἵμερον, ταύτην ἐξ ἀρχῆς τιμὴν ἔχει. Παρθενίους δὲ, ἵν' ᾖ τὰς ἐπὶ τῆς παρθενίας ὁμιλίας.

207. ΤΟΥΣ ΔΕ ΠΑΤΗΡ. w) Μετὰ τὸ εἰπεῖν περὶ Ἀφροδίτης, ἦλθεν ἐπὶ τοὺς Τιτᾶνας. Τιτᾶνες δὲ οἱ ἄδικοι καὶ βλαπτικοὶ, ἐκ τοῦ σίνεσθαι τὴν ψυχὴν τοῦ μέλλοντος βλάπτεσθαι.
405 Ἢ ἀπὸ τοῦ μέλλειν αὐτοὺς τιμωρίας τίνειν, ὑπὲρ τῆς τοῦ πατρὸς ὕβρεως, ἕνεκα τοῦ Οὐρανοῦ, παρὰ τοῦ Διὸς τοῦ υἱοῦ αὐτοῦ.

209. ΤΙΤΑΙΝΟΝΤΑΣ. x) Θελήσεται τιμωρίαν ἀπαιτῆσαι

r) ἰδοῦ — κτήσασθαι om. Bas. Heins. ubi ἐπιθυμήσας. αὐτὸ om. Trinc. δὲ ἐπὶ π. Bas. Heins. Hoc Scholion transcripsit Etymologus MS. Vossianus quem excerpsi in Bibl. Leidensi: Ἵμερος ἡ ἐπιθυμία· παρὰ τὸ ἵημι τὸ προθυμοῦμαι γέγονεν ἵμερος· ὁ γὰρ ποθῶν ἵεται ἐπὶ τὸν ποθούμενον· ἐκ τοῦ ἵμερος ἱμερόεις ἱμερόεντος, ἐξ αὐτοῦ δὲ καὶ τὸ ἵμερος καὶ τὸ ἱμείρω· ἔρως δὲ καὶ ἵμερος διαφέρει· ἔρως μὲν γὰρ τὸ διὰ τῆς ὁράσεως ἐρᾷν, ἵμερος δὲ τὸ μετὰ τὴν ὅρασιν ἐπιθυμεῖν· οἷον, εἶδες βιβλίον καλὸν περὶ τὴν ἀμφίασιν, καὶ ἰδὼν ἠράσθης αὐτοῦ· ἰδοῦ ἔρως· ἵμερος δὲ ἐὰν μετὰ τὸ κτήσασθαι καὶ ἐκμαθεῖν ἐπιθυμήσῃς καὶ ποιῆσαι τὰ γεγραμμένα.

s) Ita fere Trinc. B. Γεινομένη τὰ πρῶτα.] αὕτη Bas. Heins. quae in proximis habent, συνηριθμήθη τοῖς θεοῖς, ποίας τιμῆς μετήλλαξε λέγων Παρθενίους τ' ὀ. κ. τ. ἑ. τὰ πρῶτα] Πρῶτον γὰρ κ. ὁ. μ. παρθένου, εἶτα μειδιασμὸς καὶ γέλως εἶτα τέρψις ἐπ.

v) ἕνωσις Trinc. ubi mox Ἄλλως — ὁμιλίας om.

w) Τοὺς δὲ π. τ. ἐ. κ.] Ἀπὸ τοῦ μέλλειν αὐτοὺς τιμωρίαν τίνειν ὑπὲρ τῆς τοῦ πατρὸς ὕβρεως, ὑπὸ τοῦ Διός. ἢ ἀπὸ τοῦ τιταίνειν τὴν ψυχὴν ἑαυτῶν ὅ ἐστι βλάπτειν. μέλλοντας τιμωρεῖσθαι ὑπὸ διὸς διὰ τὴν αὐτῶν ἀδικίαν καὶ ἐπανάστασιν· Τιτᾶνες γὰρ οἱ ἄδικοι καὶ βλαβεροί· ὅθεν καὶ Τιτᾶνες ὀνομάζονται οἱ μωραίνοντες. Trinc. et B. nisi quod B. habet ἀπὸ τοῦ τιταίνειν τὴν ψυχὴν μέλλοντος βλάπτεσθαι pro ἢ ἀπὸ — ἐπανάστασιν.

x) τίσιν καὶ τιμωρίαν λαμβάνον-

τὸν πατέρα παρεκτείνοντα τῇ ὕβρει, καὶ τίσεως ἄξια ποιοῦντα, τιμωροῦντας τῇ μητρί. ΑΛΛΩΣ. Τίσιν καὶ τιμωρίαν λαμβάνοντας, ὑπὲρ ὧν ἠδίκει ὁ Οὐρανός. Ἢ τιμωρίαν παρέχοντας παρόσον καὶ Τιτᾶνες ὀνομάζονται οἱ μωραίνοντες. [y]) ΑΛΛΩΣ. Παρὰ τὸ τετάσθαι καὶ ἐξαπλωθῆναι. Ἢ ὅτι (ὡς λέγει οὗτος ἀπὸ τῆς δόξης τοῦ Ὀρφέως λαβὼν τοῦτο) ὅτι πάλιν τιμωρῆσαι μέλλει ὁ Κρόνος τοὺς θεοὺς, καὶ λαβεῖν τὴν βασιλείαν αὐτοῦ, ἤγουν πάλιν ἐπικρατῆσαι μέλλει τὸ σκότος ἐκεῖνο τὸ ἀρχαιότατον τοὺς Ζωδιακοὺς κύκλους, τοὺς ἔχοντας τοὺς ἀστέρας.

Ibid. [z]) ΜΕΓΑ ῬΕΞΑΙ. Μέγα γάρ ἐστιν ἔργον τὸ τοὺς πονηροὺς κολάζειν· τοῦτο γὰρ ὁρῶντες οἱ λοιποὶ σωφρονίζονται.

210. ΤΟΙΟ Δ' ΕΠΕΙΤΑ. [a]) Τούτου γὰρ τοῦ ἔργου ἔμελλεν αὐτὸς ὁ Ζεὺς τιμωρῆσαι τὸν Κρόνον, ἐπεὶ καὶ αὐτὸς ἥμαρτεν εἰς τὸν ἴδιον πατέρα.

211. ΝΥΞ Δ' ΕΤΕΚΕ. Εἰκότως ἐκ νυκτὸς εἶπε γεγενῆσθαι· ἀγνοίας [b]) γὰρ δὴ τὰ τοιαῦτα παθήματα. Ἔθος οὖν καὶ τῷ ποιητῇ ἐπὶ τῶν τεθνηκότων λέγειν, στυγερὴ νὺξ ἐκάλυψεν. Ὀνείρων δὲ φῦλον τὸ πλῆθος αὐτῶν ἐμφαίνει· ὧν τινὲς μὲν θορυβώδεις, τινὲς δὲ ἀπατεῶνες· ἡ δὲ ἀκριβῶς οὐδενὶ συγκαθευδήσασα τέτοκε κῆρα μέλαιναν. Καὶ Μοίρας λέγει τὰς [c]) ἐπιμεριζούσας καὶ ἐπικυρούσας, ὡς εἴρηται, τὸν θάνατον, ἢ τὰς γινομένας τιμωροὺς τῶν κακῶν ἔργων· ἐξ ἀφανοῦς γὰρ καὶ αὐταὶ ἐπέρχονται τοῖς ἀνθρώποις. Τρεῖς δὲ φασὶν εἶναι τὰς Μοίρας, τὴν μὲν Κλωθὼ, ὡς ἐπικλώθουσαν ἑνὶ ἑκάστῳ τῶν ὑπὸ γένεσιν τὸ εἱμαρμένον, τὴν δὲ Λάχεσιν ἀπὸ τοῦ λαγχάνειν, ὡς ἐπικληροῦσαν τῷ μὲν ἀγαθὸν, τῷ δὲ ἐναντίον, τὴν δὲ Ἄτροπον ὡς ποιοῦσαν τὸ ἀποκληρωθὲν ἀμετάτρεπτον. [d]) ΤΕΚΕ Δ' ῪΠΝΟΝ. Ταῦτα ἔθος ἕπεσθαι τῇ νυκτί. ΑΛΛΩΣ. Τὰ γὰρ ἐξ ἀμιξίας γεννηθέντα φόβον ἐμποιεῖ.

τας (λαμβάνειν B.) ὑπὲρ ὧν ἠδίκησαν, (ἠδίκει ὁ οὐρανὸς B.) ἢ τιμωρίαν παρέχοντας ἢ θελήσαντας (παρέχοντες ἢ θελήσαντες B.) τιμωρίαν ἀποτῖσαι τὸν πατέρα παρεκτείνοντα τὴν ὕβριν (τῇ ὕβρει B.) καὶ τίσεως ἄξια ποιοῦντα Trinc. B. Mox ἢ μωραίνοντας Bas.

y) Hinc ad τοῖο δ' ἔπειτα om. B. Trinc.

z) Deest hoc Schol. Bas. Heins.

a) ἔμελλεν γὰρ sine τούτου γ. τ. ἔ. Trinc. τιμωρήσασθαι Trinc. B. ubi mox om. ἴδιον.

b) γὰρ τὰ παθήματα ταῦτα Trinc. ἔθος ad μέλαιναν καὶ om. Trinc.

c) ἐπιμεριζούσας, κῆρας δὲ τὰς ἐπιψηφιζομένας τὸν θάνατον. Trinc. ubi καὶ ἐπικυρούσας — ἀμετάτρεπτον leguntur post τὰ ἄστρα in Sch. ad v. 215.

d) Deest hoc Schol. Trinc.

406 212. [e]) ΟΥ ΤΙΝΙ ΚΟΙΜΗΘΕΙΣΑ. Οὐδενὶ συνευνηθεῖσα φησὶν, ἡ νὺξ τέτοκε τὸν ὕπνον καὶ τοὺς ὀνείρους· τοῦτο γὰρ ἔθος ἕπεσθαι τῇ νυκτί.

215. ἙΣΠΕΡΙΔΑΣ. [f]) Τὰς ἑσπερινὰς ὥρας λέγει. Μῆλα δὲ χρυσᾶ, τὰ ἄστρα. [g]) Αὐτοῖς δὲ μέλει, ἐπειδὴ ἐν αὐτοῖς ταῦτα ὁρῶμεν. Ἡρακλέα δὲ, τὸν ἥλιον. Λέγει δὲ τοῦτο, ὅτι παρερχομένου τοῦ ἡλίου ἐμφαίνονται τὰ ἄστρα, ὅ ἐστι τὸ τρυγῆσαι τὸν Ἡρακλέα τὰ μῆλα.

216. ΦΕΡΟΝΤΑ ΤΕ ΔΕΝΔΡΕΑ. Καρπὸν δὲ, διὰ τὸ συνυπάρχειν τοὺς καρποὺς τῇ δυνάμει ἐν τοῖς ἀρδεύουσιν ὕδασιν. Ἐν ᾧ καὶ ὁ Ζεὺς τὸ ἐπὶ Ἀλεξάνδρου μῆλον ἔλαβε.

217. ΚΑΙ ΜΟΙΡΑΣ, ΚΑΙ ΚΗΡΑΣ. [h]) Μοίρας λέγει τὰς ἐπιμεριζούσας, Κῆρας δὲ τὰς ἐπιψηφιζομένας τὸν θάνατον.

Ibid. ΝΗΛΕΟΠΟΙΝΟΥΣ. Ἀνηλεεῖς ἐν τῷ τιμωρεῖσθαι, [i]) καὶ τὰς γινομένας τιμωρίας τῶν κακῶν ἔργων.

220. ΑΙΤ' ΑΝΔΡΩΝ ΤΕ ΘΕΩΝ ΤΕ. Ἵνα δείξῃ [k]) τῇ ὑπερβολῇ τὸ ἔλαττον, ὅτι εἰ καὶ θεοὶ ἁμαρτάνοντες τιμωροῦνται, πολλῷ μᾶλλον οἱ ἄνθρωποι. Ὅσα δὲ λαμβάνεται ἐπ' ἀνθρώπων, ταῦτα καὶ ἐπὶ θεῶν.

222. [l]) ΚΑΚΗΝ ΟΠΙΝ. Τὴν ἐξ ἐπιστροφῆς γινομένην ἀπόδοσιν.

223. [*]) ΤΙΚΤΕ ΔΕ ΚΑΙ ΝΕΜΕΣΙΝ. Ὅμηρος τὸ μὲν πρᾶγμα οἶδε, τὴν δὲ Θεὸν οὔ. Ἀσκληπιάδης δὲ ἐν τοῖς Τραγῳδουμένοις φησὶν εἰς κύκνον μεταβληθέντα τὸν Δία Νεμέσει μιγῆναι. [m]) Νέμεσιν δὲ λέγει τὴν μέμψιν, [n]) ὡς ἐὰν ὑβρίσῃς πένητα, μέμψις αὕτη· ἐὰν δὲ ἀδικήσῃς, δίκη ἐνταῦθα ἐπακολουθεῖ.

224. ΝΥΞ ΟΛΟΗ. [o]) Ὥσπερ γὰρ ἐπιλανθανόμενοι τῆς

e) Dedi hoc Schol. ex Trinc.

f) τὰς τῆς νυκτὸς Trinc. ubi mox χρυσᾶ om.

g) Hinc ad fin. Schol. om. Trinc.

h) Trinc. habet supra. v. n. c.

i) Hinc ad finem Schol. om. Trinc.

k) τῇ ὑ. τ. ἔ. om. Trinc. ὅτι εἰ θεοὶ — λαμβάνονται ἐ. ἀ. καὶ ἐ. θ. λαμβάνονται.

l) deest hoc Schol. Trinc. Post ἀπόδοσιν ea fere habent edd. Bas. Heins. quae Trinc. et B. C. auctoribus ad v. seq. apposuimus Ὅμηρος — μιγῆναι.

[*) Vide Werfer. Act. Monac. II. p. 550, 556. *Ex Addendis.*]

m) τίκτε δὲ καὶ Νέμεσιν] τὴν μέμψιν τοῖς κακοῖς δηλονότι. Heins. Bas.

n) οἷον εἰ ὑβρίσεις Trinc. et mox ἐστὶν pro αὕτη, et ἐπίκηται pro ἐπακολουθεῖ.

o) ὥσπερ λανθανόμενοι Heins. Bas.

τιμωρίας ἁμαρτάνομεν, διὰ τοῦτο [p]) νυκτὸς ἀπάτῃ τὰ ἐν σκοτίᾳ γινόμενα εἴκασται. Λεληθότως γὰρ ἐπεισέρχεται τὰ ἐν σκότει γινόμενα· ὁ γὰρ [q]) ἀπατῶν τὴν ἀλήθειαν ἀποκρύπτει.

Ibid. ΜΕΤΑ ΤΗΝ Δ' ΑΠΑΤΗΝ ΤΕΚΕ. Οὐ τὴν ἐν τῷ βίῳ ἀπάτην λέγει, ἀλλὰ τὴν τῆς Ἀφροδίτης. Ἡ γὰρ Φιλότης παρακειμένη ταῦτα ὑποβάλλει.

225. ΓΗΡΑΣ Τ' ΟΥΛΟΜΕΝΟΝ. Ὅτι οἱ γηρῶντες [r]) παραπλήσιοί εἰσι τῷ θανάτῳ. 407

226. ΑΥΤΑΡ ΕΡΙΣ. [s]) Μίαν ἐνταῦθα Ἔριν λέγει· ἐξ αὐτῆς δὲ Πόνον, καὶ Λήθην, καὶ Λιμὸν, καὶ τἄλλα τὰ ἐκ ταύτης ἀποτελούμενά φησι γεγενῆσθαι. Ἐκ γὰρ τῆς φιλονεικίας πόνοι, καὶ μάχαι, καὶ πᾶν κακὸν γίνεται.

227. [t]) ΛΗΘΗΝ ΤΕ. Πολλάκις γὰρ Ἔριδος πρός τινα γινομένης ἐπιλανθανόμεθα καὶ τῶν προσηκόντων.

230. [v]) ΔΥΣΝΟΜΙΗΝ, ΑΤΗΝ ΤΕ. Ἕπεται ἡ βλάβη τῇ δυσνομίᾳ. ΣΥΝΗΘΕΑΣ. Τουτέστι συντριβούσας ἀλλήλαις· ὁ γὰρ τοῖς νόμοις μὴ προσέχων ἐν ἄτῃ διατρίβει.

233. ΝΗΡΕΑ ΤΕ. Τὴν ῥεῦσιν, καὶ τὸ κατωφερὲς τῆς ὕλης λέγει. ΑΨΕΥΔΗ δὲ ΚΑΙ ΑΛΗΘΗ, ὡς παλαιᾶς οὔσης τῆς ὕλης, καὶ ὅτι αἰσχρὸν τοῖς παλαιοῖς ψεύδεσθαι. [w]) Ἀληθῆ δὲ, ἢ ὡς μὴ ἐπιλανθανόμενον τῶν ἀληθῶν, ἢ ὡς μὴ πειθόμενον ψεύδει, ἢ ὡς μὴ λέγοντα ψεῦδος. Διπλῶς δὲ τοῦτο εἶπεν, ὅτι οἱ ψευδόμενοι διὰ δύο ψεύδονται· ἢ ἑκουσίως διά

p) Ita Trinc. C. ἀπάτην B. νυκτὶ τὰ ἐν σκότει γ. Bas. Heins. εἰκάζεται Trinc. C. Mox ἐπεισέρχονται Heins. Bas.

q) ἀπατῶν δηλονότι Bas. Heins. ἀ. δηλαδὴ B. Mox κρύπτει Heins. Bas.

r) πλησίον τῆς φθορᾶς καὶ τοῦ θανάτου εἰσιν. Trinc.

s) Hujus Scholii loco habet Bas. Αὐτὰρ ἔρις· στυγερὴ, τὰ τελούμενα ἐκ τῆς ἔριδος· ἐκ ταύτης γὰρ φόνοι καὶ μαχαι γίνονται.

t) Deest hoc Schol. Trinc.

v) Deest hoc Schol. Bas. συνήθεας — ἀλλήλαις om. Trinc.

w) Ita Trinc. In Heins. Bas. sic leg.: Ἄλλως. Ἀψευδῆ, ὅτι ψεύδει οὐ πείθεται· ἀληθῆ δὲ, ὅτι ψεῦδος οὐ λέγει. Τὸ δὲ σημαινόμενον παράκειται, ὅτι οὐκ ἔστι διὰ λόγον, ἀλλ' ἐπεὶ καὶ ψευδόμενοι διὰ δύο ψεύδονται, ἤγουν ἑκουσίως διά τινα ὠφέλειαν, ἢ διὰ τὸ ἐπιλανθάνεσθαι. Ἀκουσίως δὲ, τὸν μὴ ἑκουσίως ψευδόμενον. Μάτην γὰρ ἀψευδῆ εἶπεν. ἌΛΛΩΣ. Τὸν μὲν ἀψευδέα μὴ ψευδόμενον, τὸν δὲ ἀληθέα μὴ ἐπιλανθανόμενον. Ὁ γὰρ ἐπιλανθανόμενος ἄκων ψεύδεται. B. haec habet: ὁ μὴ ἐπιλανθανόμενος τῶν ἀληθῶν, ἢ ὅτι ψεύδει οὐ πείθεται, ἢ ὅτι οὐ ψεῦδος λέγει· τὸ δὲ σημεῖον παράκειται ὅτι οὐκ ἔστι διλογος (sic) ἀλλ' ἐπεὶ οἱ ψευδόμενοι διὰ δύο ψεύδονται, ἤτοι ἑκουσίως διά τινα ὠφέλειαν, ἢ

τινα ὠφέλειαν, ἢ ἀκουσίως διὰ τὸ ἐπιλαθέσθαι. Μάντιν γὰρ ἀψευδῆ φασι τὸν μὴ ψευδόμενον, ἀλλὰ τὸν ἀληθῆ λέγοντα· ἀψευδὴς γάρ ἐστιν ὁ μὴ ψευδόμενος, ἀληθὴς δὲ ὁ μὴ ἐπιλανθανόμενος· ὁ γὰρ ἐπιλανθανόμενος ἄκων ψεύδεται. Γέροντα δὲ λέγει καλεῖσθαι αὐτὸν, ἢ διὰ τὸ ἔντιμον καὶ ἀληθὲς, ἢ διὰ τὸ τὸν γέροντα ἄκρον εἶναι.

234. *ΠΡΕΣΒΥΤΑΤΟΝ ΠΑΙΔΩΝ.* Ἢ διὰ τὸ ἔντιμον καὶ ἀληθὲς, ἢ διὰ τὸ γέροντα ἄκρως εἶναι. Ἐπεὶ γὰρ συμβαίνει κατὰ περίστασιν τινα καὶ ὧν ἐν νοῒ ἔχομεν λανθάνειν θέλων δηλῶσαι, τὸν δὲ μὴ ἄκοντά ποτε αὐτὸν ἐπιλανθάνεσθαι, τοῦτο φησί.

237. *ΑΥΤΙΣ Δ' ΑΥ ΘΑΥΜΑΝΤΑ.* Τὴν ἀπὸ τῶν πε-
408 λάγων γινομένην ἀναθυμίασιν, καὶ τὸ πλῆθος τῶν ὑδάτων [x]) λέγει, παρὰ τὸ θαῦμα παρέχειν. Φόρκυνα δὲ, τὴν [y]) περιφορὰν τῶν ὑδάτων καλεῖ ἐνταῦθα. [z])Ἔχει γὰρ ὄψιν μόνην καλὴν τῶν ὑδάτων τῆς θαλάσσης ἡ φύσις. ΓΑΙΗι δὲ ΜΙΣΓΟΜΕΝΟΣ, διὰ τὸ εἴσω τῆς γῆς ὑπεισδύεσθαι. Ἢ Φόρκυνα, τὸ βίαιον τοῦ πόντου· Θαύμαντα δὲ τὸ θαυμάζειν.

238. *ΚΑΙ ΚΗΤΩ.* [a])Ἐν πόντῳ γὰρ τὰ κήτη διάγειν εἰώθεισαν ἰσχυρότατά τε ὄντα, καὶ εὐμεγέθη, καὶ ἀδάμαντος ἰσχὺν ἔχοντα.

240. *ΝΗΡΗΟΣ Δ' ΕΓΕΝΟΝΤΟ.* Ὅσα κατὰ ναυτιλίαν ἔργα ἐπαινετὰ καὶ ἀξιόχρεα σημαίνει, ταῦτα ὁ λόγος τέκνα τοῦ Νηρέως προσαγορεύει, ἐπεὶ καὶ ταῦτα ῥευστά ἐστι.

Ibid. [b]) *ΜΕΓΗΡΑΤΑ ΤΕΚΝΑ ΘΕΑΩΝ.* Μεγάλα, ἐπέραστα, ἢ ὑπερήφανα τέκνα, διὰ τὸ κάλλος, καὶ θαυμαστά· [c]) *ΜΕΓΗΡΙΤΑ ΤΕΚΝΑ ΘΕΑΩΝ.* Μεγάλως ἐρίζοντα περὶ

διὰ τὸ ἐπιλανθάνεσθαι, ἀκουσίως, τὸ μὲν ἀφευδέα μὴ ψευδόμενον, τὸν δὲ ἀληθέα μὴ ἐπιλανθανόμενον· ὁ γὰρ ἐπιλανθανόμενος ἄκων ψεύδεται. Γέροντα δὲ λέγει καλεῖσθαι αὐτὸν, ἢ διὰ κ. τ. λ. Schol. seq. om. Trinc.

x) λέγει dedi ex Trinc. Illud παρὰ τὸ meum est. Heinsius habet ἄλλως. θαῦμα π. B. ἢ τὸ θαῦμα π.

y) Ita Trinc. B. περιφέρειαν Heins.

z) Ita Trinc. τῆς θαλάσσης ἡ φύσις om. B. μόνην γὰρ καλὴν ὄψιν ἔχει ἡ τῶν ὑδάτων θέα, διὰ τὸ τείνεσθαι ἔξω εἰς γῆν Heins. Bas. Γαίῃ — ὑπεισδύεσθαι om. Bas. Θαύμαντα — θαυμάζειν om. Trinc.

a) Hoc et sequens Schol. om. Bas.

b) Hinc ad θαυμαστὰ om. Tr. Δώριδος δὲ supplevi ex eadem editione.

c) Ita Trinc. ἄλλως Heins.

κάλλους, [d]) ἢ πρὸς οὓς δύναται ἐρίσαι τις, ἢ αὐτοὶ μετ' ἀλλήλων ἐρίζειν. Ἢ τίμια, ἤγουν ἔνδοξα. ΔΩΡΙΔΟΣ δὲ, διότι δεδώρηται καὶ ἐν γαλήνῃ πλεῖν καὶ κερδαίνειν.

242. ΤΕΛΗΕΝΤΟΣ. Ἐπισήμου· καὶ ἡμεῖς γὰρ τοὺς ἐπισήμους ἐντελεῖς καλοῦμεν· ἢ τοῦ τὰ πάντα τελεσφοροῦντος· πάντων γὰρ ἡ τροφὴ ἐκ τοῦ Ὠκεανοῦ.

243. ΠΡΩΤΩ Τ' ΕΥΚΡΑΤΗ ΤΕ. Τὰ ὀνόματα τῶν Νηρηΐδων, ὡς πρὸς τὰ θαλάσσια εἴδη καὶ σχήματα λέγεται. [e]) Πρωτὼ γὰρ, παρὰ τὸ πρώτως ἐπιβαίνειν τῆς θαλάσσης, ἢ παρὰ τὸ πρωτεύειν· πρωτεύει γὰρ ὡς φασὶ τὸ ὕδωρ πάσης ὕλης, ἢ διὰ τὸ βασιλικὸν τῆς γαλήνης. ΕΥΚΡΑΤΗ. Διὰ τὸ εὐκατόρθωτον, [f]) ἢ διὰ τὸ εὐκράτους διδόναι τοὺς ἀέρας. ΣΑΩ. Διὰ τὴν σωτηρίαν τῶν πλεόντων. ΑΜΦΙΤΡΙΤΗ. Διὰ τὸ ἀμφίβολον τοῦ φόβου, ἢ διὰ τὸν πανταχόθεν φόβον, [g]) ἢ διὰ τὸ πανταχόθεν, ἄνωθέν τε καὶ κάτωθεν, τρίτον εἶναι στοιχεῖον. ΕΥΔΩΡΗ. [h]) Ἡ καλλίδωρος.

244. ΘΕΤΙΣ Τ'. Ἡ θέσις τῶν ὑδάτων. ΓΑΛΗΝΗ. [i]) Ἡ στόρεσις καὶ ἡσυχία τῶν ὑδάτων. ΓΛΑΥΚΗ. Διὰ τὴν ὄψιν τῶν ὑδάτων.

245. ΚΥΜΟΘΟΗ. Διὰ τὸ ταχὺ τῶν κυμάτων, ἢ τῶν πλεόντων. ΣΠΕΙΩ. Ἡ [k]) ἐπακολουθία. ΘΟΗ. Ἡ ταχυτά- 409
τη. ΘΑΛΙΗ. [l]) Ἡ θάλλειν δυναμένη. ΕΡΟΕΣΣΑ. [m]) Ἐπιθυμητή.

246. ΜΕΛΙΤΗ. [n]) Διὰ τὴν τοῦ κέρδους ἡδύτητα· ἡδὺ γὰρ τοῖς πᾶσι τὸ πλεῖν. ΕΥΛΙΜΕΝΗ. Διὰ τὴν ἡδονὴν τοῦ λιμένος [o]) τοῖς ἐκ ζάλης ἐρχομένοις. [p]) ΑΓΑΥΗ. Ἡ λαμπρότης τῶν ὑδάτων.

247. ΠΑΣΙΘΕΗ. [q]) Ὑπὸ πάντων θαυμαζομένη, ἢ εἰς ἣν πάντες θέουσι.

d) μηγήρητα πρὸς ἃ οὐδεὶς ἐρίσει· πρὸς ἄλληλα γὰρ ἐρίζουσιν. Trinc.

e) πρωτὼ δὲ π. τ. πρότερον ἐπιβαίνειν θάλασσαν. Heins. Bas. ubi om. πρωτεύει γὰρ ὡς φ. Vide Eustath. Il. Σ. p. 1130, 62. ἢ — γαλήνης om. Trinc.

f) Hinc ad ἀέρας om. Bas.

g) Hinc ad στοιχεῖον accedunt ex Trinc. B. In B. autem τρίτα ε. στοιχεῖα.

h) ὡς κ. Trinc.

i) διὰ τὴν γαληνιῶσαν B. διὰ τὸ γ. Bas.

k) ἐπακολούθησις Trinc.

l) τὸ θάλλειν Trinc.

m) Ita Trinc. habet Heins. ε. ἐπιθυμητικὴ ad v. 251.

n) Ita Trinc. B. τὸ ἡδύ. ἡδὺ γάρ τισι τὸ πλεῖν. διὰ τὴν τ. κ. ἡ. Heins.

o) τοῖς ε. ζ. ε. om. Bas.

p) Hoc Schol. om. Trinc.

q) ἢ παρὰ πάντων Trinc.

248. [r])ΔΩΤΩ. Διὰ τὴν γινομένην δωρεὰν τοῖς ἀνθρώποις.

249. ΠΡΩΤΟΜΕΔΕΙΑ. [s])Διὰ τὸ πρωτεύειν τῶν ἄλλων στοιχείων καὶ βασιλεύειν αὐτῶν ὡς ἐξ αὐτοῦ γεγενημένην, ὡς εἴρηται, τὸ βασιλικὸν τῶν πρωτίστων τὴν βουλὴν, διὰ τὴν σχολὴν καὶ γαλήνην.

250. ΠΑΝΟΠΗ. Ἡ πᾶσιν ὁρωμένη. ΕΥΕΙΔΗΣ ΓΑΛΑΤΕΙΑ. [t])Ἡ εὐειδὴς γαλήνη, ἡ λευκότης τῶν κυμάτων, ὅτε μετρίαις αὔραις περιπνέεται θάλασσα, καὶ ἡ ὄψις αὐτῶν ἡ χαρίεσσα. Τοῦτο δὲ τὸ ἐπίθετον ἀφορμὴν παρέσχεν τοῖς νεωτέροις [v]) τὸν Κύκλωπος καὶ Γαλατείας κατασκευάσαι ἔρωτα.

251. ἹΠΠΟΘΟΗ. Ἡ ταχύτης. ΕΡΟΕΣΣΑ. Ἐπιθυμητική. ἹΠΠΟΝΟΗ. Ἡ ἐκ τῆς ταχύτητος τοῦ νοῦ.

252. ΚΥΜΟΔΟΚΗ. [w]) Τὸ πραΰντικὸν καὶ δεκτικὸν τῶν κυμάτων, ἢ παρὰ τὸ δοκεύειν τὰ κύματα, ἢ διὰ τὴν [x]) ἐπιτήρησιν αὐτῶν. [y]) ΗΕΡΟΕΙΔΕΙ. Ἀερώδει καὶ μέλανι.

253. ΖΑΘΕΩΝ. [z])Ἄγαν πνεόντων. ΣΥΝ ΚΥΜΑΤΟΛΗΓΗι. [a])Τῇ τῶν κυμάτων λήξει, τουτέστι καταπαύσει. Ἐὰν γὰρ ὄνομα ἀκούσωμεν, ὥς φησιν Ἀρίσταρχος, ἔσονται μία καὶ πεντήκοντα Νηρηΐδες κατηλεγμέναι. [b]) Οἱ δὲ ἐπὶ τοῦ

Πατρονόη
Νημερτής τε ἣ πατρὸς ἔχει νόον —

410 τὸ τὲ περισσόν φασι κεῖσθαι· ἵνα κατὰ τοῦ Πατρονόη ἀκούσηται ἐπιθετικῶς. Ἡ γὰρ προνοουμένη πάντων ἀληθής ἐστι· καὶ ὁ πατὴρ αὐτῆς Νηρεὺς ἀληθὴς παρωνόμασται. ΑΛΛΩΣ. Αὐτὸ τὸ λήγειν τὰ κύματα· ἔδειξεν δὲ ὅτι λήγοντα τὰ κύματα κάθηται ὡς ἔν τινι κάτω μέρει. Πανομένων[c]) οὖν τῶν ἀνέμων, ἢ

r) Quam vocis Δώτω explicationem h. l. praebent Bas. Heins. eandem ad Δωρὶς v. 250. apponit Trinc. ubi nihil habent edd. reliquae. Cum Trinc. consentit B.

s) διὰ — εἴρηται om. Bas. B. τὸ βασιλικὸν — γαλήνην om. Trinc.

t) ἡ ἐ. γ. om. Trinc. ἡ λευκότης — χαριέσσα om. Bas.

v) διασκευάσαι τὸν τοῦ Κύκλωπος ἐπὶ τὴν Γαλάτειαν ἔρωτα Bas. Heins. B. Mox Ἱπποθόη — τοῦ νοῦ om. Trinc.

w) αὐτὸ τὸ δεκτικὸν καὶ πραΰντικὸν τῶν κυμάτων Trinc.

x) ἐπήρτησιν τῶν κυμάτων Tr.

y) ἠεροειδέα τὸν ἀερώδη καὶ μέλανα Trinc.

z) Deest hoc Scholion Trinc.

a) Hinc ad ἄλλως om. Trinc.

b) Οἱ δὲ — παρωνόμασται inserui ex ed. Bas. Desunt Trinc. Heins.

c) οὖν om. Trinc. B. αὐτοῖς addidi ex Trinc.

κατάπαυσις γίνεται αὐτοῖς. [d])Ἐξαναστροφὴ δὲ τὸ σχῆμα. Ὅτι ἡ Κυμοδόκη, καὶ ἡ Κυματολήγη σὺν τῇ Ἀμφιτρίτῃ παύουσι τοὺς ἀνέμους, [e])ἀλλὰ τὰ πνεύματα λήξαντα καὶ τῶν κυμάτων κατάπαυσιν ποιεῖ.

255. ΕΥΣΤΕΦΑΝΟΣ Θ' ἉΛΙΜΗΔΗ. [f])Ἡ σκῆψις τῶν πλεύντων, ἢ τὴν ἁλμυρότητα λέγει, καὶ τὸ μήδεσθαι, τουτέστι βασιλεύειν.

257. ΛΕΙΑΓΟΡΗ. Τὸ ἀκώλυτον τῆς ὁμιλίας. ΛΑΟΜΕΔΕΙΑ. Ἡ τῶν ἀλλοτρίων ἐν πλῷ μνήμη πραγμάτων.

258. ΑΥΤΟΝΟΗ. Ὁ αὐτόματος νοῦς. ΛΥΣΙΑΝΑΣΣΑ. Παρὰ τὸ λυσιτελεῖν.

259. [g])ΕΥΑΡΝΗ. Οἱ γὰρ [h])νουνεχεῖς σωθέντες ἐκ τῶν δυσχερῶν τῆς θαλάσσης ἄρνησίν τινα, ὡς εἰπεῖν, ποιοῦσιν τοῦ μὴ αὖθις εἰσελθεῖν ἐν αὐτῇ. Ἐπέραστον γὰρ καὶ ἀμώμητον τὸ μένειν ἐν γῇ.

260. [i])ΜΕΝΙΠΠΗ. Ἡ παραμονὴ τῆς ὀξύτητος τοῦ πλοῦ.

265. ΘΑΥΜΑΣ. [k])Πόντου παῖς· λέγει δὲ τὸ τοῦ πελάγους θαῦμα.

266. ΗΓΑΓΕΤ' ΗΛΕΚΤΡΗΝ. Ἠλέκτρα δὲ ἡ λαμπηδών. [l])Διὰ τοῦτο γυνὴ Θαύματος, ὅτι τὸ ὁρώμενον θαυμάζεται. ΤΕΚΕΝ ΙΡΙΝ. Ἶριν δὲ τίκτει, ἐπεὶ καὶ ἡ Ἶρις θαύματός ἐστιν ἀξία. Ὁρῶντες γὰρ αὐτὴν θαυμάζομεν, καὶ περιφέρομεν λόγῳ. Ἶρις δὲ ὁ προφορικὸς λόγος, [m])ἀπὸ τοῦ εἴρω, τὸ λέγω. Ὁρῶντες γὰρ καὶ θαυμάζοντες, προφερόμεθα λόγους. [n])Ἀπὸ τῆς λαμπηδόνος γίνεται τὸ τόξον· οὐ γὰρ ἔχει ἰδίαν ὑπόθεσιν, ἀλλ' ἔμφασίς τίς ἐστι. Τοῦ γὰρ νέφους μικρὰς ῥανίδας ἔχοντος, καὶ ἐξεναντίας κειμένου τοῦ ἡλίου,

d) ἐναντίον δέ ἐστι τὸ ἐν τούτοις νόημα· οὐ γὰρ ἡ K. Trinc. ἐξανάστροφον οὖν τὸ νόημα B.

e) ἀλλὰ — ποιεῖ om. Bas. κυματολήγη τῇ τῶν κυμάτων λήξει, τουτέστι καταπαύσει B.

f) Deest hoc Schol. Trinc. et seq. ad λυσιτελεῖν.

g) Loco hujus Scholii Bas. habet ἡ καλὴ ἀντίδοσις.

h) Ita Trinc. συνιχῶς Heins. Mox ἀμώμοτον Trinc.

i) Μελανίππη Bas. Deest hoc Schol. Trinc.

k) Deest hoc Schol. Trinc.

l) Hinc ad τίκτει om. Trinc. Ubi reliqua sic leguntur: διὰ τοῦτο καὶ γενητικὴ θαύματος ἡ ἠλέκτρα, φησὶ γὰρ, ἤδ' ὠκεῖαν τέκεν Ἶριν. Τις γὰρ οὐκ ἀνεθαυμάσεις Ἶριν, τοῦ τε σχήματος καὶ ποῦ χρώματος. Ἶρις δὲ ἐστὶ καὶ ὁ πρ — λόγους.

m) ἀπὸ — λέγω om Bas. Mox περιφερόμεθα Bas. Heins. Mendosum videtur περιφέρομεν supra.

n) Hinc ad ἴριδες om. Trinc.

ἀνακλᾶται ἡ ἡμετέρα ὄψις πρὸς τὸν ἥλιον, καὶ δοκεῖ τι κύκλου τμῆμα ἐν τῷ νέφει εἶναι. Πολλάκις δὲ ἐν ταυτῷ δύο φαίνονται ἴριδες.

411 267. *ΗΥΚΟΜΟΥΣ Δ' ἉΡΠΥΙΑΣ.* [o]) *Τὰ ὀνόματα τῶν Ἁρπυιῶν Ἀελλὼ καὶ Ὠκυπέτη. Ἁρπυίας τὰς ἁρπακτικὰς πνοὰς, τὰς ἐκ τῆς* [p]) *τῶν ὑδάτων ἀναδόσεως γινομένας· ὅθεν καὶ τὴν προσηγορίαν ἔσχον.* [q]) *Δωρικῶς δὲ συνέστειλε τὸ ας. τὰς γὰρ εἰς ᾱς ληγούσας αἰτιατικὰς* [r]) *πάσας Δωριεῖς συστέλλουσι.*

269. [s]) *ΜΕΤΑΧΡΟΝΙΑΙ ΓΑΡ ΙΑΛΛΟΝ. Ἀντὶ τοῦ ἔτρεχον, ἐπέτοντο, καὶ τὸν οὐρανὸν γὰρ χρόνον καλοῦσι.*

270. [t]) *ΦΟΡΚΥΙ. Φόρκυς ἡ ἐπιφορὰ τῶν ὑδάτων. ΚΗΤΩ δὲ τὸ βάθος. ΓΡΑΙΑΣ δὲ, τὸν ἀφρόν. Ἄμεινον δὲ γράφειν ΚΑΛΛΙΠΑΡΗιΟΣ, ἵν' ᾖ ἐπὶ τῆς Κητοῦς τὸ ἐπίθετον, ὡς Σέλευκος· ἄλλως τε καὶ ἐν τοῖς* [v]) *ἐπάνω τὴν Κητὼ καλλιπάρῃον εἶπεν.* [w]) *Ἐκ γενετῆς δὲ πολιὰς, διότι ἅμα τῷ γίνεσθαι λευκαί εἰσιν· ἢ ἐντίμους λέγει.*

273. *ΠΕΦΡΗΔΩ. Τὴν* [x]) *ἐναλίαν τομὴν, τὸν πλοῦν. Ἐπεὶ οὖν ἐν τῷ πλεῖν ἔνι καὶ σωθῆναι, καὶ ναυαγῆσαι, τὴν μὲν Πεφρηδὼ εἶπεν εὔπεπλον, τὴν δὲ Ἐνυὼ κροκόπεπλον, ὡς ἐπὶ κακῷ. Φρίσσει γάρ τις ἀρχόμενος τοῦ πλοῦ διὰ τοὺς ἐπιγενομένους κινδύνους, ἀλλὰ λαμπροφορεῖ ταῖς ἐλπίσι θελγόμενος, μάχης δὲ γενομένης αὐτῷ μετὰ τῆς θαλάσσης καὶ ναυαγήσας, οὐκέτι λαμπροφορεῖ, ἀλλὰ στολὴν ἀμφιέννυται μέλαιναν.* [y]) *Καὶ ὁ μὲν Ἡσίοδος Ἐνυὼ μίαν τῶν Φορκίδων λέγει· Ὅμηρος δὲ πολεμικόν τινα θεόν. Γοργοὺς* [z]) *δὲ εἶπεν ἀπὸ εὐθείας τῆς Γοργώ· λέγει δὲ τὸν φόβον τῆς* [a]) *ἀπηνοῦς καὶ ἀπλεύστου θαλάσσης, τουτέστι τὸν ἀφανῆ πλοῦν.*

275. [b]) *ἽΝ' ἙΣΠΕΡΙΔΕΣ ΛΙΓΥΦΩΝΟΙ. Διὰ τοῦτο*

o) *Τὰ—ἁρπυίας* om. Trinc.
p) *τοῦ ὕδατος* Trinc.
q) *Ἁρπυίας Δωρικῶς συνέστειλε* Heins. Bas.
r) *αὐτοὶ* pro *π. Δ.* Bas.
s) Deest hoc Schol. Bas.
t) Hinc ad *ἀφρὸν* om. Trinc. h. l. Habet infra post *καλλιπάρῃον εἶπεν*, ubi *περιφορά*.
v) *ἄνω εἰρημένοις* Trinc.
w) Hinc ad fin. om. Trinc.
x) *ἐνναλίαν ποτμὴν* Bas. Mox *φρίσσει* ad *μέλαιναν* om. Bas.
y) *ἐνυὼ δὲ ὁ μὲν Ἡσίοδος μίαν* Trinc.
z) *εἴρηκεν* Trinc.
a) *ἀπηνοῦς καὶ* om. Trinc. *ἀπλέτου* Bas.
b) Deest hoc Schol. Trinc.

ταύτας καλεῖ, διότι κατὰ μουσικὴν ἁρμονίαν οἱ ἀστέρες κινοῦνται περὶ τὰ Γάδειρα, ὡς Ἀριστοτέλης φησί.

276. ΣΘΕΙΝΩ Τ' ΕΥΡΥΑΛΗ ΤΕ. c)Διὰ τὸ δύνασθαι πολλοῖς καὶ δεινοῖς περιβάλλειν κακοῖς τοὺς ἐκεῖ παραγενομένους. Εὐρυάλην δὲ, τὸν ἐκ τοῦ πλάτους τῆς θαλάσσης φόβον, Μέδουσαν δὲ, τὴν ἀναδιδομένην ἄνω δύναμιν τῶν ὑδάτων. Παρελέξατο δὲ καὶ συνεγένετο τῇ μιᾷ αὐτῶν ὁ κυανοχαίτης ἐν μαλακῷ λειμῶνι, τῷ τοῦ ἔαρος δηλονότι καιρῷ διὰ τὴν ἡσυχίαν· ὅτε γὰρ τὰ ἄνθη, τότε καὶ ἡσυχία. d) Τὸ δυνατὸν καὶ κατάμηκες πέλαγός φησι, Μέδουσαν δὲ τὴν λεπτοτάτην οὐσίαν. Περσέα δὲ τὸν ἥλιον καλεῖ, παρὰ τὸ περισσῶς σεύειν, τουτέστιν ὁρ- 412
μᾶν· καί φησιν, ὅτι ὁ ἥλιος κινούμενος τῇ οὐρανίᾳ φορᾷ τὴν μὲν Σθεινὼ καὶ τὴν Εὐρυάλειαν, ἤγουν τὸ δυνατὸν καὶ κατάμηκες πέλαγος τῆς θαλάσσης οὐκ ἀναιρεῖ, ἤγουν οὐκ ἀνιμᾶται· τὴν δὲ Μέδουσαν, ὡς θνητὴν ἀναιρεῖ· ἤγουν τὸ βασιλικώτατον καὶ λεπτὸν τῇ κινήσει τῇ ἑαυτοῦ ἀνιμᾶται. Ὁρμᾷ δὲ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ὁ Πήγασος. Ἀνιμωμένου γὰρ τοῦ ἡλίου καὶ τοῦ ἀέρος, τὸ κεφαλαιῶδες καὶ ἀτμῶδες συμβαίνει τὸ βαρύτατον ἀναφερόμενον καταπηγάζειν καὶ χέεσθαι. Μέδουσα ὁ πρὸς καιρὸν φόβος, καὶ ἡ φροντὶς, ἢ ἡ ἀναδιδομένη ἄνω κίνησις τῶν κυμάτων. Περσεὺς δὲ ὁ ἥλιος, ὁ πρὸς ἑαυτὸν ἕλκων τὴν ἰκμάδα, ὡς ἀποτέμνων αὐτήν. Ἐν μαλακῷ δὲ λειμῶνι, ὅτε γὰρ τὰ ἄνθη τότε ἡ ἡσυχία ἐστί.

282. ΠΕΡΙ ΠΗΓΑΣ. Διὰ τὰς πηγὰς λέγουσι τῆς χιόνος λυομένης ΚΑΙ ΠΗΓΑΣΟΣ ἹΠΠΟΣ. Τοῦ γὰρ ὕδατος ἀναχθέντος, τίκτονται ἀστραπαὶ καὶ ὄμβροι, ὅ ἐστι Χρυσάωρ, καὶ Πήγασος. Χρυσάωρ, ὁ λαμπρὸς ἀήρ. Πήγασος, διὰ τὰς πηγὰς λέγει, τὰς γινομένας λυομένης τῆς χιόνος. Περσεὺς δὲ ἡ διαπεραίωσις τοῦ χρόνου τῶν ἀρχομένων πλεῖν.

284. ΧΩ ΜΕΝ ΑΠΟΠΤΑΜΕΝΟΣ. Ὁ Πήγασος οὐχ

c) Hinc ad ἡσυχία om. Bas.

d) Hinc ad ἀρχομένων πλεῖν secundum ed. Bas. exhibentur. Trinc. habet, Περσέα δὲ, ἢ τὴν διαπεραίωσιν τοῦ χρόνου τῶν ἀρχομένων πλεῖν, ἢ τὸν λαμπρὸν ἀέρα τὸν τὴν διαπεραίωσιν ἐργαζόμενον, ἢ Περσέα φησὶ τὸν ἥλιον τὸν ἕλκοντα καὶ ἀποτέμνοντα τὴν ἰκμάδα τὴν ἐπιπολάζουσαν τῇ θαλάσσῃ, ταύτης δὲ ἀναχθείσης τίκτονται ἀστραπαὶ καὶ ὄμβρο., ὅ ἐστι χρυσάωρ καὶ πήγασος· η πήγασον λέγει τὰς πηγὰς τὰς γνομένας λυομένης τῆς χιόνος.

ἅμα τῷ γεννηθῆναι ἀνέβη εἰς τὸν οὐρανὸν, ἀλλὰ μετὰ χρόνον· ἡ γὰρ [e]) ἀνάβασις τῶν ὑδάτων καὶ νέφεσι συγκροτεῖ.

286. ΒΡΟΝΤΗΝ ΤΕ. Λέγουσι δὲ αὐτὸν βαστάζειν τὰς βροντὰς, καὶ τὰς ἀστραπάς· ἐκ γὰρ τῶν ὑδάτων [f]) εἰσὶ ταῦτα.

287. ΓΗΡΥΟΝΗΑ. [g]) Οἱ μὲν Γηρυόνην τὸν χειμερινὸν ὠνόμασαν καιρὸν, οἱ δὲ τὸν χρόνον. Θέλουσι γὰρ τὰς τρεῖς κεφαλὰς [h]) εἶναι, διὰ τὰ ἐσόμενα, τὰ ἐνεστῶτα, καὶ τὰ παρεληλυθότα. Ἢ τὴν σελήνην· ἡ αὐτὴ δέ ἐστι τῇ Ἑκάτῃ· τρίμορφος δέ ἐστιν ἡ θεός. Ἔστι δὲ ὁ Γηρυονεὺς ἐκ Καλλιῤῥόης τῆς Ὠκεανοῦ, καὶ Χρυσάορος. Στησίχορος δὲ καὶ ἓξ χεῖρας ἔχειν φησὶ καὶ ἓξ πόδας, καὶ ὑπόπτερον εἶναι.

289. [i]) ΤΟΝ ΜΕΝ ΑΡ' ΕΞΕΝΑΡΙΞΕ. Τὸ θερμὸν τοῦ ἀέρος, ἐπειδὴ τότε τὰ ζῶα ταῦτα προσέρχεται.

290. [k]) ΕΙΝ ΕΡΥΘΕΙΗι. Ὄνομα νήσου περὶ τὸν Ὠκεανὸν, ἔνθα ᾤκει ὁ Γηρυονεὺς, καὶ οἱ τούτου βόες.

413 292. ΤΙΡΥΝΘ' ΕΙΣ ἹΕΡΗΝ. [l]) Πόλις Ἄργους· ἱερὴ δὲ, ὅτι Κύκλωπες αὐτὴν ἐτείχισαν. Ἦν δὲ ὁ Γηρυονεὺς Τιρύνθιος.

293. ΟΡΘΟΝ. [m]) Τὴν εὐμαρῆ ῥύσιν τῶν ὑδάτων. Ὁ δὲ Ὄρθος ἐκλήθη ἀπὸ τοῦ ὁρμᾷν· ὡς Ὅμηρος,

Πρὶν ὦρθαι παρὰ ναῦφι ποδώκεα Πηλείωνα.

[n]) ΑΛΛΩΣ. Παρὰ τὸ ἀνορμᾷν ἀπὸ τῶν ἐκεῖ τὸν ἥλιον, ὄρθον αὐτὸν ὠνόμασεν, ἤγουν τὸν ὀρθὴν ποιούμενον τὴν ἀνάδοσιν τῶν ὑδάτων. Εὐρυτίωνα δὲ λέγει, τὴν * ὁρμὴν καὶ κίνησιν. Τὸν Εὐρυτίωνά φησιν Ἑλλάνικος γεγενῆσθαι ἀπὸ Ἄρεος καὶ Ἐρυθείας· λέγει δὲ τὴν ῥίζαν, καὶ τὴν ἀνάδοσιν τῶν φυτῶν. Καὶ γὰρ ἐξ ὑγρᾶς δυνάμεως φύει, καὶ ὅτι κάτω μὲν ἔχει τὴν ῥίζαν, ἄνω δὲ τοῦ ἄνθους τὸ κάλλος, ἢ τὴν κατὰ γῆς τῶν

e) ἀνάδοσις Bas. Heins. Mox νέφη B. Bas.

f) καὶ Trinc.

g) οἱ μὲν εἶπον * θέλουσι (sic) Bas.

h) ἔχειν αὐτὸν, τά τε ἐσσ. Tr.

i) Deest hoc Schol. Trinc.

k) Deest hoc Schol. Trinc.

l) πόλιν Ἄργους. Κύκλωπες δὲ αὐτὴν ἐτείχισαν· διὰ τοῦτο ἱερὴν λέγει. Ὁ δὲ γηρυόνης ἐκ Τίρυνθος. Trinc.

m) τὴν ad ὑδάτων ex Trinc. B. Mox παρὰ ναῦφι Trinc. B. cum Hom. Il. Θ. 474. περὶ νανσὶ Bas. Heins. Post Πηλείωνα haec habet Trinc. Ἡ γηρυόνη ὁ χειμὼν ἀπὸ τοῦ γαρύω τὸ φωνῶ· διὰ τὰς τότε τῶν ἀνέμων καὶ ὄμβρων ταραχάς.

n) Hinc ad κίνησιν om. Trinc. Τὸν Εὐρυτίωνα ad ῥεῦσιν om. Bas.

ὑδάτων κυκλοτερῆ ῥεῦσιν. o) ΑΛΛΩΣ. Ὄρθιον, τὴν ὁρμὴν καὶ ἀνάδοσιν τῶν ὑδάτων, ἢ τὴν εὐμαρῆ ῥύσιν τῶν ὑδάτων. ΟΥΔΕ ΕΟΙΚΟΣ ΘΝΗΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ. Τὴν φύσιν τὴν ἀνθρωπίνην λέγει, τὴν μήπω μήτε θεοῦ ἔχουσαν γνῶσιν, μήτε λόγου· ἢ τὴν ἄμικτον γνώμην· καθάπερ οὐ μίγνυται ὄφις ἀνθρώπῳ.

297. ΣΠΗΙ ΕΝΙ ΓΛΑΦΥΡΩι. p) Τοῖς κοιλώμασι τῆς γῆς· διὰ τὸ μὴ λείπειν ἀπὸ τῶν κοίλων τῆς γῆς πνεύματα.

298. ἩΜΙΣΥ ΜΕΝ ΝΥΜΦΗΝ. q) Ἤγουν γυναῖκα νύμφην, διὰ τὸ ἀνωφερὲς τῆς ξηρᾶς ἀναθυμιάσεως, ἢ τοὺς κλάδους τῶν δένδρων καὶ τὰ τούτων ἄνθη.

299. ΟΦΙΝ ΔΕΙΝΟΝ ΤΕ ΜΕΓΑΝ ΤΕ. r) Διὰ τὸ ῥοιζηδὸν τελεῖσθαι, καὶ σφοδρότερον φαρμακεύειν. ΠΟΙΚΙΛΟΝ, διὰ τὸ διάφορον τῆς κινήσεως, ἢ πολυέλικτον τῶν κλάδων καὶ πολυειδὲς τῶν φυτῶν. ΩΜΗΣΤΗΝ δὲ διὰ τὸ s) ἀπηνὲς τῶν σεισμῶν. Ἢ διὰ τὸ ἕλκειν τὴν ἰκμάδα τῆς γῆς τὰς ῥίζας ἐφ' ἑαυτάς.

304. Ἡ Δ' ΕΡΥΤ' ΕΙΝ ΑΡΙΜΟΙΣΙΝ. t) Ἀντὶ τοῦ ἐφυλάσσετο, ἢ ᾤκει ἐν Ἀρίμοις. Ἄριμα δὲ ὄρη Κιλικίας, ἢ Λυδίας, ὅπου ἡ τοῦ Τυφῶνος κοίτη· καὶ Ὅμηρος,

Εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

v) Τυφὼν ταραχῶδες πνεῦμα, ὃ λυμαίνεται ἀεὶ τὰ φυτά. Τυφὼν βλαβερώτερος ἄνεμος, καὶ σφοδρὸς, ἐκνεφίας καλούμενος. 414
Οὕτω Ἄνεμον, ἂν μετὰ τοῦ ο γράψῃς, ἄνομον ἀκουσώμεθα, ἐπεὶ τῇ τοῦ Διὸς ἀρχῇ ἐπέθετο. Ἐὰν δὲ διὰ τοῦ ε, ἐπειδὴ αἱ πνοαὶ τυφῶνες λέγονται, ὡς καὶ αὐτὸς λέγει·

Ἐκ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων.

ἀραιωθείσης τῆς ῥιζοφυΐας τῶν δένδρων, ἀναθορεῖν καὶ ἀναπέμπεσθαι ἤρξαντο πνεύματα, καὶ γίνεται πάντα τὰ κάρπιμα, καὶ ὅσα λυσιτελοῦσι τοῖς ἀνθρώποις.

o) Hinc ad ὑδάτων om. Trinc.

p) Deest hoc Schol. Bas.

q) Hinc ad ἄνθη om. Bas. καὶ τὰ τ. ἄνθη om. Heins. Post δένδρων in Heins. leguntur Τὴν νύμφην (φύσιν) ἀνθρώπῳ, quae eo loco exhibui quo vulgantur in Trinc.

r) Deest hoc Schol. Bas.

s) ἀπηνοὺς Trinc. et mox ἑαυτούς.

t) ἐφυλάττετο ἐν τοῖς ὄρεσιν· Ἄριμα γὰρ ὄρη ἐν Κιλικίᾳ· κατὰ δ' ἄλλους ἐν Λυδίᾳ. Trinc.

v) Hinc ad λυσιτελοῦσι τοῖς ἀνθρώποις om. Trinc.

309. *ΟΡΘΟΝ ΜΕΝ ΠΡΩΤΟΝ.* [w]"Ον ἀνωτέρω εἶπεν ἀναιρεθῆναι ὑπὸ Ἡρακλέους.

310. *ΟΥ ΤΙ ΦΑΤΕΙΟΝ.* [x]Οἷον, οὐ ῥητὸν κατ' ἀξίαν, ἢ οὐ φονεύσιμον· φάσαι γὰρ, τὸ φονεῦσαι.

311. *ΚΕΡΒΕΡΟΝ ΩΜΗΣΤΗΝ.* [y]Ὁ μὲν Πίνδαρος ἑκατοντακέφαλόν φησιν εἶναι τὸν Τυφωέα, οὗτος δὲ πεντηκοντακέφαλον. Τὸν δὲ Κέρβερον οἱ μὲν δράκοντα εἶπον, οἱ δὲ κύνα· κύνα δὲ καλοῦσι τὸν φύλακα τῶν καταχθονίων. [z]Κέρβερος δὲ, παρόσον οἱ ὑπὸ σεισμοῦ καταποντιζόμενοι βιβρώσκονται τὸ κέαρ, ἤτοι τὴν ψυχὴν, καὶ ἐν Ἅδῃ κατάγονται.

312. *ΑΝΑΙΔΕΑ ΤΕ ΚΡΑΤΕΡΟΝ ΤΕ.* Τοιοῦτοι οἱ σεισμοὶ ἀναιδεῖς, διὰ τὸ κατὰ πάντων ἐπέρχεσθαι, πάντα κατασείειν· κρατερὸν δὲ, διὰ τὸ μετὰ ἰσχύος πάντα καταβάλλειν.

313. *ΤΟ ΤΡΙΤΟΝ, ῞ΥΔΡΗΝ ΑΥΤΙΣ.* [a]Τοὺς ὑετοὺς, διὰ τὸ αὐτοὺς εἶναι ἀπὸ τῶν ἀναθυμιάσεων. Ὕδραν τὴν κακίαν λέγει. Καὶ ὅτι ὁ Ἡρακλῆς αὐτὴν ἀνεῖλεν, ἤγουν ἡ ἀρετὴ ἡ δυναμένη πᾶσαν κακίαν ἀφανίσαι, [b]κἂν πολυμήχανος ᾖ, πολυκέφαλος γὰρ ἡ ὕδρα. Ἢ τὴν καταφορὰν τῶν τοῦ ἀέρος ὑδάτων, [c]ἣν Ἡρακλῆς ἀναιρεῖ· ἤγουν ὁ ἥλιος, ὁ τοῦ ἀέρος ὢν κλέος· τὴν ὕδραν δὲ Ἀλκαῖος μὲν ἐννεακέφαλόν φησι, Σιμωνίδης δὲ πεντηκοντακέφαλον. [d]*ΛΕΡΝΑΙΗΝ.* Λέρνη λίμνη ἐν Ἄργει δίκην ἔρνου λίαν αὐξομένη. *ΛΕΥΚΩΛΕΝΟΣ* δὲ Ἥρη, ὅτι ἐν τῷ ἀέρι συνίσταται καὶ τρέφεται τὰ ὕδατα. Σὺν δὲ Ἡρακλεῖ, ἐπεὶ καὶ ὁ καρκίνος τῇ Λέρνῃ κατηστέρισται. Ὕδρην καὶ λέγει, ἐπεὶ ἐν τοῖς ὕδασι διέτριβε. *ΑΛΛΩΣ.* Ὕδρην, τὴν κακίαν φησὶ, διὰ τὸ ὑδαλέην καὶ διακεχυμένην εἶναι πανταχοῦ. *ΛΕΡΝΑΙΑΝ* δὲ ταύτην καλεῖ, διὰ τὸ λίαν ἀραιοῦσθαι, καὶ αὔξεσθαι τὴν φανερὰν κακίαν. *ΑΠΛΗΤΟΝ* δὲ ἀπλήρωτον, ἀμέτρητον. *ΚΟΤΕΟΥΣΑ* δὲ, ἤγουν τῇ θερμότητι ὁ ἀὴρ ὀργιζόμενος.

w) ἀπὸ τῆς ἀδδηφαγίας γὰρ τὰ πάθη γίνεται δίκην κυνῶν δάκνονταῦτὴν ψυχήν. Trinc.

x) Deest hoc Schol. Trinc.

y) Hinc ad καταχθονίων om. Trinc.

z) Hinc ad καταβάλλειν om. Bas.

a) Τοὺς ad ἀναθυμιάσεων om. Bas.

b) Ita nisi quod ἐστιν habet pro ᾖ. Trinc. κἂν πολυμήχανοι εἰσι B. καὶ πολυκέφαλός ἐστιν, ὥσπερ πολυκέφαλος ὕδρα. Bas. Heins.

c) Ita Trinc. ὑδάτων λέγει. Λέρνη δὲ λίμνη ἐν Ἄργει. Λερναίην δὲ τὴν Ὕδραν ἣν ἀκούσομεν Bas. Heins.

d) Λερναίην — ὕδατα accesserunt ex Trinc. ubi reliqua om. ad τουτέστιν ἀπόλλουσαν.

316. *ΔΙΟΣ ΥΙΟΣ.* Ὁ φρόνιμος καὶ ὁ στεῤῥὸς νοῦς κα- 415
ταβάλλει τὴν κακίαν ἐν τῷ ἑαυτοῦ τμητικῷ ξίφει, ἤγουν τῇ φρονήσει. Σὺν τῷ Ἰολάῳ δὲ, τῷ φρονίμῳ λόγῳ, τῷ εὐφραίνοντι τοὺς λαούς. *ΕΝΗΡΑΤΟ* αὐτὴν, ἀνεῖλε, καταχρηστικῶς. Ἔναρα γὰρ τὰ ὅπλα, ἢ τὰ σκῦλα.

317. *ΙΟΛΑΩι.* Ὁ δὲ Ἰόλαος υἱος ἦν ἀδελφοῦ τοῦ Ἡρακλέους. Οὗτος κατὰ μέρος ἔκαιε τὰς κεφαλὰς τῆς Ὕδρης· ἦσαν γὰρ ἀθάνατοι.

319. *ΑΜΑΙΜΑΚΕΤΟΝ ΠΥΡ.* Ἀπροσπέλαστον, ἀπροσμάχητον. Ἢ τὴν ἄγαν μαιμῶσαν, κατὰ ἐπέκτασιν· τουτέστιν ἀπόλλουσαν. *Η ΔΕ ΧΙΜΑΙΡΑΝ ΕΤΙΚΤΕΝ.* [e]) Ἡ καθόλου, φησὶ, κακία ἐγέννησε τὴν μερικήν· καὶ ὁ μὲν λέων ἔχει φανερὸν καὶ ὀξὺν τὸν θυμὸν, ὁ δράκων δὲ ποικιλώτερον· ἡ χίμαιρα δὲ τὸν μερικὸν θυμὸν, καὶ μέσον, καὶ κεκραμένον. *ΑΛΛΩΣ.* Τοὺς χειμάῤῥους λέγει, διὰ τὸ ἐκ τῶν ἀναθυμιάσεων καὶ τῶν ὄμβρων [f]) αὐτὴν γίνεσθαι.

323. [g]) *ΠΡΟΣΘΕ ΛΕΩΝ.* Ὅτι οἱ μεταβάλλοντες τὴν φράσιν ὀφείλουσι βέλτιον ἐπεξεργάζεσθαι· εἰ δὲ μή γε, τῇ προσλαβούσῃ χρήσασθαι.

325. *ΠΗΓΑΣΟΣ ΕΙΛΕ.* Πήγασον καλεῖ τὸν συγκεκραμένον θυμὸν, ὃς ἔχει συγκεκραμένον τὸ ἄλογον μέρος τῷ λογικῷ. Βελλεροφόντην δὲ τὸν ἀναιροῦντα τὰ θανάσιμα, παρὰ τὸ ἐν τῇ ἔρᾳ βάλλειν, τὰ βάλλοντα εἰς τὴν γῆν. [h]) *ΑΛΛΩΣ.* Βέλλερα, τὰ κακὰ λέγει. Βελλεροφόντης οὖν ὁ προνοούμενος παύειν τὰ κακά. [i]) Ἐνταῦθα ἄν τις οὐκ ἀφυῶς καὶ τὰ τῆς ῥητορικῆς τρία μέρη τὸν ποιητὴν αἰνίττεσθαι νοήσειε· τό τε δικανικὸν καὶ τὸ πανηγυρικὸν καὶ τὸ συμβουλευτικόν. Καὶ λέων μὲν ἂν εἴη τὸ δικανικὸν, διὰ τὸ καταπλήττειν καὶ ἀφώνους, ὡς εἰπεῖν, καθιστᾶν τοὺς ἀντιλέγοντας· χίμαιρα δὲ τὸ πανηγυρικὸν, διὰ τὸ σκιρτᾶν καὶ χαίρειν τόν τε λέγοντα καὶ τὸν ἀκούοντα, καὶ ἦχόν τινα ἀποτελεῖν τὸν τῶν ὀνομάτων ῥυθμόν· δράκων δ' ἂν εἴη τὸ συμβουλευτικὸν, διὰ τὸ ποικί-

e) Hinc ad *κεκραμένον* om. Tr. *τοὺς χειμάῤῥους* ad *γίνεσθαι* om. Bas.

f) *αὐτοὺς* Trinc.

g) Hinc ad *εἰς τὴν γὴν* om. Trinc.

h) *Βελλεροφόντης· ὁ ἥλιος ὁ τὰ βέλη τὰ ῥέοντα φονεύων· ἢ βέλλερα λέγονται τὰ κακά.* Trinc.

i) Hinc ad *χιμαίρας πνέουσα* om. Bas.

λον καὶ πολύστροφον εἶναι τοῦτο τὸ εἶδος, καὶ μακρῶν τινῶν δεῖσθαι τῶν λόγων πρὸς τὸ πεῖσαι. Ἐπεὶ δὲ χαροπόν τινα τὸν λέοντα εἴρηκεν, εἴη ἂν καὶ τὸ δικανικὸν χαροπὸν, διὰ τὸ μετὰ χάριτός τινος λογικῆς καὶ κομψότητος γίνεσθαι. Ἀλλὰ καὶ τὸν δράκοντα κρατερὸν εἶναί φησι διὰ τὸ ἰσχυραῖς τισὶν ἀποδείξεσι χρῆσθαι πρὸς τὸ πεῖσαι τὸν συμβουλεύοντα. Ἔχιδνα δ' ἂν εἴη μήτηρ αὐτῶν, ὁ ποικίλος καὶ πολυειδὴς νοῦς· ἢ ἡ μακρὰ καὶ πολυέλικτος τέχνη, ἡ πυρὸς μένος δίκην χιμαίρας πνέουσα.

326. *ΦΙΚ' ΟΛΟΗΝ.* Φῖκα τὴν Σφίγγα λέγει. Αὕτη δέ ἐστι θυγάτηρ Χιμαίρας καὶ Τυφῶνος. Ἀπ' αὐτῆς δὲ ἐκλήθη
416 καὶ τὸ Φίκιον, ἔνθα [hh]) κατῴκει. Λύκος δὲ ἐν τῷ περὶ Θηβαίων, αὐτὴν ὑπὸ Διονύσου πεμφθῆναί φησι. Φῖκα δὲ αὐτὴν οἱ Βοιωτοὶ ἔλεγον.

327. [ii]) *ΑΛΛΩΣ. ΟΡΘΡΩι ΥΠΟΔΜΗΘΕΙΣΑ.* Ὄρθον μὲν πρῶτον, ὃν καὶ ἀνωτέρω εἶπεν ἀναιρεθῆναι ὑφ' Ἡρακλέους· παρόσον ἐν τῷ ὄρθρῳ σφοδροτέρα ἡ ψύξις. [k]) Τὸ δὲ Νεμεαῖον ἔργον Πελοποννήσου ἢ Ἄργους, ἔνθα ἦν ὁ λέων. Πρῶτον δὲ ἔργον τοῦ Ἡρακλέους ἐκλήθη τοῦτο, ἀπὸ τοῦ νεμηθῆναι περὶ τοὺς τόπους τοῦ Ἄργους. Ἡ δὲ Σφὶγξ πραγματικῶς μὲν γυνὴ ἦν λῃστρὶς, καὶ εἶχε πολλοὺς σὺν αὐτῇ τοὺς συναρπάζοντας· ἐνταῦθα δὲ τὴν κρυψίνουν καὶ μερικὴν κεκρυμμένην κακίαν λέγει.

329. *ΓΟΥΝΟΙΣΙΝ ΚΑΤΕΝΑΣΣΕΝ.* Ἐν τοῖς γονιμωτάτοις τόποις κατῴκησε τῆς Νεμέης, ὃ ἐστιν ὄνομα σπηλαίου, ἢ μᾶλλον τοῦ ὄρους.

328. *ΤΟΝ Ρ' ΗΡΗ.* [l]) Ἤγουν ὁ ἀὴρ ὁ κυδροῤῥόας, ἤτοι ὁ δοξαζόμενος διὰ τῆς βροχῆς. Διὸς δὲ παράκοιτις, ὅτι τοῦ αἰθέρος κάτωθεν ὁ ἀήρ.

330. *ΕΛΕΦΑΙΡΕΤΟ.* [m]) Ἀντὶ τοῦ ἔβλαπτεν. Ὅμηρος δέ ποτε καὶ παρελογίζετο.

hh) διέτριβε Heins. Bas.

ii) Hinc ad ψύξις om. Bas.

k) Hinc ad μᾶλλον τοῦ ὄρους om. Trinc. Sed eorum loco sequentia leguntur: Νεμειαῖόν τε λεόντα.) Τὴν ψύξιν τὴν νεμομένην τὰ φυτὰ καὶ τὰ σώματα. Ἐν Ἄργει δ' ἐστὶν ὄρος ἡ Νεμέα, ἔνθα ἦν ὁ λέων, εἰς ὃν πρῶτον ἆθλον Ἡρακλῆς ἐποιήσατο, φονεύσας αὐτὸν ὡς νεμόμενον καὶ ἀφανίζοντα τοὺς ἐν Ἄργει τόπους.

l) Deest hoc Schol. Bas.

m) Deest hoc Schol. Trinc.

338. *ΝΕΙΛΟΝ ΤΕ.* *Καὶ ἐκ τούτου φαίνεται Ἡσίοδος Ὁμήρου νεώτερος· καὶ γὰρ Ὅμηρος Αἴγυπτον καλεῖ τὸν Νεῖλον. Ἀλφειὸς δὲ ποταμὸς Πελοποννήσου, ἐν Ἤλιδι· κατέρχεται δὲ ἀπὸ Ἀσίας, κώμης Ἀρκαδικῆς. Ἠριδανὸς δὲ ποταμὸς Κελτῶν. Στρυμὼν δὲ ποταμὸς Θρᾴκης. Μαίανδρος, Λυδίας ἢ Καρίας. Ἴστρος, Σκυθίας. Φάσις, Κόλχων. Ῥῆσος, Τροίας. Ἀχελῶος* [n]) *Ἀκαρνανίας, ἢ Αἰτωλίας. Νέσσος, Θρᾴκης. Ῥόδιος, Τροίας. Ἁλιάκμων, Μακεδονίας. Ἑπτάπορος, καὶ Γρήνικος, καὶ Αἴσηπος, καὶ* [o]) *Σιμόεις, Τροίας.* [p]) *Πηνειὸς, Θετταλίας. Ἕρμος, Λυδίας. Κάϊκος, Μυσίας. Σαγγάριος, Φρυγίας τῆς ἄνω. Λάδων, Ἀρκαδίας.* [q]) *Παρθένιος, Παφλαγονίας. Εὔηνος, Αἰτωλίας. Ἄρδησκος, Σκυθίας. Σκάμανδρος, Τροίας. Ὁ δὲ ἐν Σάμῳ Παρθένιος, καὶ* [r]) *Ἴμβρασος καλεῖται. Ἴμβραμος δὲ ὑπὸ Καρῶν ὁ Ἑρμῆς καλεῖται.*

346. *ΤΙΚΤΕ ΔΕ ΘΥΓΑΤΕΡΩΝ.* [s]) *Ἔτεκε δὲ τὰς λίμνας,* 417
αἵ τινες σὺν τῷ ἡλίῳ τρέφουσιν ἡμᾶς. Ταῦτα δὲ εἰσιν ὀνόματα ποταμῶν, καὶ λιμνῶν.

347. *ΑΝΔΡΑΣ ΚΟΥΡΙΖΟΥΣΙΝ.* *Ἀνατρέφουσιν. Ἐκ γὰρ τῆς ποιότητος* [t]) *τοῦ ὑγροῦ ἐστὶν ἡ τροφὴ τοῦ ἡλίου.*

Ibid. *ΣΥΝ ΑΠΟΛΛΩΝΙ ΑΝΑΚΤΙ.* *Καὶ γὰρ Ἀπόλλωνι καὶ ποταμοῖς οἱ νέοι* [v]) *ἀπέτεμον τὰς κόμας, διὰ τὸ αὐξήσεως καὶ ἀνατροφῆς αἰτίους εἶναι,* [w]) *ὡς Ὅμηρος,*

Σπέρχει᾽ ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.

Τὰ γὰρ ὕδατα αὐξητικὰ, καὶ ὁ ἥλιος.

n) *Ἀκαρνάνων* Trinc.

o) *Σιμοῦς* Bas.

p) *Σπειὸς Θρᾴκης. τινὲς δὲ τὸν Γρήνικον καὶ Σιμοῦντα καὶ Πηνειὸν Θεσσαλίας φασί.* Bas. Heins.

q) H. l. inserit Trinc. *Κάϊος μυσίας.* Post *Τροίας* addit Bas. *ὁμοῦ ποταμοὶ εἰσιν εἰκοσιπέντε.*

r) *Ἴμβρος* B. Trinc. Sed retinendum *Ἴμβρασος* auctore Callimacho apud Schol. Apollon. Rhod. II. 866. *Ἴμβρασος, ποταμὸς Σάμου, πρότερον Παρθένιος λεγόμενος. „Καλλίμαχος· Ἀντὶ γὰρ ἐκλήθης Ἴμβρασε Παρθενίου.* Vid. Ez. Spanhem. ad H. Dian. 228. Mox *Ἴμβραμος* reposui pro *Ἴμβρασος* ex Steph. Byz. v. *Ἴμβρος*, ubi consulantur Berkelius et Holstenius.

s) Deest hoc Schol. Trinc.

t) *τῶν ὑγρῶν — τῷ ἡλίῳ* Trinc.

v) *ἀποκείρουσι* Trinc. B.

w) Reliqua hujus Schol. om. Trinc. Locus Homeri est Il. ψ. 144. Male edd. habent *πῆμα Πηλεύς.*

349. [x]) *ΠΕΙΘΩ*, ἀπὸ τοῦ ποθῶ· τὸ γὰρ ὕδωρ ἄριστον καὶ ποθούμενον πᾶσιν· ἢ ἀπὸ τοῦ μὴ πείθεσθαί τινι· ἄσχετον γὰρ τὸ ὕδωρ. *ΑΔΜΗΤΗ* διὰ τὸ ἰσχυρόν. *ΙΑΝΘΗ* διὰ τὸ ὑδάτων εὐφραντικὸν, ἢ διὰ τὸ καθαρὸν καὶ δίκην ἠλέκτρου φαεινὰ τυγχάνειν τὰ ὕδατα.

350. *ΔΩΡΙΣ*, διὰ τὰ ἐπιγιγνόμενα δῶρα τοῖς πλέουσιν. *ΠΡΥΜΝΩ*, διὰ τὸ πρὸς τῇ πρύμνῃ ὄντος ἀνέμου πλέειν τοὺς ναύτας. *ΟΥΡΑΝΙΑ*, διὰ τὸ ἐκ τῶν οὐρανῶν ὕδατα κατάγεσθαι.

351. *ΙΠΠΩ*, διὰ τὸ ταχύ. *ΚΛΥΜΕΝΗ*, διὰ τὸν ἀποτελούμενον ἦχον ἐκ τῶν ὑδάτων. *ῬΟΔΕΙΑ*, διὰ τὸ τὰ ῥόδα αὔξειν, ἢ ἀπὸ τοῦ ῥέω. *ΚΑΛΛΙΡΟΗ*, δια τὸ καλῶς ῥέειν.

352. *ΖΕΥΞΩ*, διὰ τὸ τὰ ὑποζύγια ἐμφορηθέντα τοῦ ὕδατος ζεύγνυσθαι. *ΚΛΥΤΙΗ*, διὰ τὸ ἔνδοξον. *ΕΙΔΥΙΑ*, διὰ τὸ ἐχρῆν εἶναι τοὺς πλέοντας ἐπιστήμονας πάντων. *ΠΑΣΙΘΕΗ*, διὰ τὸ πανταχοῦ θέειν.

353. *ΠΛΗΞΑΥΡΗ*, διὰ τὸ πλήττεσθαι ὑπὸ τῶν ἀνέμων. *ΓΑΛΑΞΑΥΡΗ*, διὰ τὸ ὑπὸ τῶν ἀνέμων λευκαίνεσθαι, καὶ οἷον ἐκγαλατοῦσθαι. *ΕΡΑΤΩ*, διὰ τὸ ἐπιθυμητικόν. *ΔΙΩΝΗ*, διὰ τὴν ἐκ τῶν ὑδάτων ὠφέλειαν.

354. *ΜΗΛΟΒΟΣΙΣ*, διὰ τὸ θρεπτικὸν εἶναι τῶν προβάτων τὸ ὕδωρ. *ΘΟΗ*, διὰ τὸ ταχύ. *ΠΟΛΥΔΩΡΗ*, διὰ τὸ πολλὰ δωρήματα ἔχειν τοὺς ναύτας ἐξ αὐτῆς.

418 355. [y]) *ΚΕΡΚΗΙΣ*, διὰ τὸ ἠχητικόν. *ΠΛΟΥΤΩ*, διὰ τὸν ἐπιγιγνόμενον πλοῦτον.

x) Sequentia exhibui ex B. Leguntur multo contractiora in edd. Heinsius dedit, *ΔΩΡΙΣ.* Νηρέως γυνή. Πρυμνῷ δὲ ὁ πλοῦς. *ΟΥΡΑΝΙΗ.* Ἡ αἴσθησις τῶν οὐρανίων. *ΙΠΠΩ.* Ἡ ὀξύτης. *ΚΛΥΜΕΝΗ.* Ἡ αἴσθησις. *ΡΟΔΙΑ.* Ἡ ἀνθηρότης. *ΖΕΥΞΩ.* Ἡ ζεῦξις τῶν ὑποζυγίων. *ΙΔΥΙΑ.* Ἡ τέχνη. *ΠΑΣΙΘΟΗ*, ἐν ἄλλῳ Πεισιθόη, διὰ τὸ ἐν πάσῃ τῇ γῇ θέειν, ἤγουν πανταχοῦ ἀναβλύζειν πηγὰς, ἢ διὰ τὸ ἕνεκεν πάντων πηγάζειν, ἤγουν κοινῶς προκεῖσθαι πᾶσιν ἀρύεσθαι. *ΠΛΗΞΑΥΡΗ.* Ἡ πλησμονή. *ΓΑΛΑΞΑΥΡΗ.* τὰ ἀνθηρὰ πνεύματα. Sed Δωρὶς — γυνή. om. Tr. et mox ἐν ἄλλῳ, πεισιθόη. Διὰ τὸ ad ἀρύεσθαι om. Bas.

y) Sequentia usque ad v. 361. sunt ex B. Ita leguntur in edd. Κερκηῒς· Ἡ σοφία. Πλουτώ τε βοῶπις. Ἡ Ταντάλου μήτηρ, διὰ τὸ πλουτίζειν τοὺς πλησίον αὐτῶν ἐν βουσὶν ἐργαζομένους γεωργούς. Περσηῒς τ'. Μήτηρ Αἰήτου. Ἀκάστη. Ἡ θεραπεία. Ξάνθη. Ἡ ἀνθηρότης. Πετραίη. Τὸ ὑπὸ πέτραις διαιτᾶσθαι. Μενεσθώ. Ἡ παραμονή. Εὐρώπη. Τὸ πλατὺ τοῦ ἀέρος. Διὰ τὸ εὐρύνεσθαι τοὺς τούτων ὀφθαλμούς. Μύουσι γὰρ τούτους ἤδη ἐκλείποντες. Εὐρυνόμη. Ἡ εὐνομία. Ἀσίη. Ὁ κύ-

356. *ΠΕΡΣΗΙΣ*, διὰ τὸ ἀπὸ τόπου εἰς τόπον περᾷν. *ΙΑΝΕΙΡΑ*, διὰ τὸ εὐφραντικὸν τοῦ πλοῦ. *ΑΚΑΣΤΗ*, διὰ τὸ θεραπευτικόν. *ΞΑΝΘΗ*, διὰ τὸ τῶν ὑδάτων ξανθόν.

357. *ΠΕΤΡΑΙΗ*, διὰ τὸ ἐκ πετρῶν βλαστάνειν τὰ ὕδατα. *ΜΕΝΕΣΤΩ*, διὰ τὸ ἐπὶ τοῦ αὐτοῦ μένειν. *ΕΥΡΩΠΗ*, διὰ τὸ εὐρὺ τοῦ πελάγους.

358. *ΜΗΤΙΣ*, διὰ τὸ βουλευτικοὺς δεῖν εἶναι τοὺς πλέοντας. *ΕΥΡΥΝΟΜΗ*, διὰ τὸ πλατεῖαν νομὴν ἔχειν. *ΤΕΛΕΣΤΩ*, διὰ τὸ αὐξητικόν.

359. *ΚΡΥΣΗΙΣ*, διὰ τὸ κρυερόν. *ΑΣΙΗ*, διὰ τὴν ἄσιν, καὶ τὸν ῥύπον ὃν φέρει, ἢ παρὰ τὸ τοὺς ῥύπους καθαίρειν. *ΚΑΛΥΨΩ*, διὰ τὸ βαθύ.

360. *ΕΥΔΩΡΗ*, διὰ τὸ εὖ δωρεῖσθαι τοὺς πλέοντας. *ΤΥΧΗ*, διὰ τὸ τυχαῖον καὶ ἄστατον τῶν ὑδάτων.

361. *ΣΤΥΞ*, διὰ τὸ καταπληκτικὸν καὶ φοβερὸν τῶν πλεομένων ὑδάτων.

364. [z]) *ΤΑΝΥΣΦΥΡΟΙ* δὲ *ΩΚΕΑΝΙΝΑΙ*, ἀντὶ τοῦ μακρόσφυροι. Ἐκ δὲ τῆς εὐσφύρου, ἡ εὐμήκης ἀπὸ μέρους.

365. [a]) *ΠΟΛΥΣΠΕΡΕΕΣ*. Αἵ τινες εἰσὶ πανταχοῦ ἐσπαρμέναι. Καὶ τὸ *ΘΕΑΩΝ*, ἀντὶ τοῦ θεᾶς, [b]) πληθυντικῶς ἀντὶ ἑνικοῦ. Ἐκ γὰρ μιᾶς μητρὸς ἡ τούτων γένεσις.

370. ΟΙ ΔΕ ῾ΕΚΑΣΤΟΙ. [c]) Οὗτοι δὲ ἴσασιν, οἳ ἕκαστοι πλησίον οἰκοῦσιν, ἢ οἰκοῦντες.

371. ΘΕΙΑ Τ' ΗΕΛΙΟΝ ΤΕ. [d]) Ἡ κίνησις τῆς σφαίρας, ὁ θαυμασμὸς, παρὰ τὸ θέειν.

374. ῾ΥΠΕΡΙΟΝΟΣ. [e]) Τῆς κινήσεως, παρὰ τὸ ἴεσθαι καὶ πορεύεσθαι.

ρος. *Καλυψώ*. Ἡ περιβολή. *Εὐδώρη*. Ταύτην Ὅμηρος Εὐρυνόμην εἶπε. *Στὺξ*. Ὁ φόβος. Sed desunt διὰ τὸ — γεωργούς. διὰ τὸ εὐρ. — ἐκλείποντες Bas. ubi ὑπερβολὴ pro περιβολή.

z) Deest hoc Schol. Trinc.

a) *Πολυσπερέες* — καὶ τὸ om. Trinc.

b) κεῖται δὲ τὸ πληθυντικὸν Trinc.

c) Deest hoc Schol. Trinc. ἑκάστῳ Bas.

d) θεία ἡ θεῦσις δὲ καὶ ἡ κίνησις ἐγέννησε τὸν ἥλιον καὶ τὴν σελήνην. ποῖον ἥλιον; τὸν ὑπερίονος υἱὸν, ἤτοι τὸν ὑπὲρ ἡμᾶς ἱέμενον. B. ἡ σφαλερὰ, ἡ πάντα διακρίνασα, καὶ ἑκάστῳ τὸν ἁρμόζοντα τόπον. Trinc. Vid. Etymol. M. p. 779, 1.

e) Deest hoc Schol. Trinc.

419 375. ΚΡΕΙΩι. Κρεῖος Γῆς καὶ Οὐρανοῦ ἦν παῖς. [f]) Θέλουσι δὲ αὐτὸν τὴν διάκρισιν τῶν ὄντων καλεῖν, ἢ τὴν τῶν πραγμάτων περαίωσιν, ἢ τὴν τῶν ἄστρων ἐξ ἀνατολῶν εἰς δύσιν. ΕΥΡΥΒΙΗ δὲ Πόντου θυγάτηρ. Λέγουσι δὲ μεγάλην τινὰ δύναμιν αὐτὴν εἶναι.

376. ΑΣΤΡΑΙΟΝ ΤΕ. Τὴν γένεσιν τῶν ἄστρων. ΠΑΛΛΑΝΤΑ. Τὴν κίνησιν αὐτῶν.

377. ΠΕΡΣΗΝ Θ', ὍΣ. Πέρσην τὴν τῶν ἄστρων [g]) διαπεραίωσιν, ἢ κίνησιν ἀπὸ ἀνατολῆς εἰς δύσιν. ΙΔΜΟΣΥΝΗιΣΙΝ. Ἐμπειρίαις· ἀπὸ τοῦ ἴδμεναι, ἤγουν ἐπίστασθαι. Πολλῆς γὰρ ἐμπειρίας ἐστὶ τὸ γνῶναι τὴν διαπεραίωσιν τῶν ἄστρων. [h]) ΑΛΛΩΣ. Τῶν ἄστρων γὰρ ἡ περαίωσις καὶ ἐπιστημονικὴ τῆς αὐτῶν κινήσεως μετάληψις διαπρέπει ἐν πάσαις ταῖς λογικαῖς ἐπιστήμαις, ὅσον καὶ τὸ ὑποκείμενον τιμιώτερον ἔχει.

378. ΑΣΤΡΑΙΩι Δ' ἨΩΣ ΑΝΕΜΟΥΣ ΤΕΚΕΝ. Ἔτι γὰρ ὄντων τῶν ἄστρων ὑπὸ τὴν ἕω, τότε τίκτονται ἐξ ἀνατολῆς οἱ ἄνεμοι δ. Ἐπεὶ καὶ τέσσαρα κλίματα τοῦ κόσμου· Εὐρώπη, Ἀσία, Λιβύη, Μέση.

379. ΑΡΓΕΣΤΗΝ. Τὸν ὀξὺν καὶ ταχὺν καὶ καθαρὸν Ἀργέστην Ζέφυρον εἶπε. Ζέφυρον δὲ λέγει τὸν Εὖρον. Πνεῖ δὲ Ἀργέστης, ὁ καὶ Εὖρος καλούμενος, ἀπὸ ἀνατολῆς· ὁ δὲ Ζέφυρος, ἀπὸ δύσεως. Ὁ δὲ Βορᾶς ἀπὸ τῆς ἄρκτου, καὶ ὁ Νότος ἀπὸ μησημβρίας. Ἀκουσίλαος δὲ τρεῖς ἀνέμους εἶναί φησι κατὰ Ἡσίοδον, Βορᾶν, Ζέφυρον, καὶ Νότον· τοῦ γὰρ Ζεφύρου ἐπίθετον, τὸ Ἀργέστην φησίν. Ὅμηρος εἶπεν Ἀργέστην τὸν [i]) λευκόνοτον. Τοῦτο ἀρχὴ, ἀπηλιώτην φησί. Ζητητέον δὲ, ὅτι χωρὶς συνδέσμου Ἀργέστην Ζέφυρον εἶπεν.

f) ἔστι δὲ ἡ διάκρισις τῶν ὄντων, ἢ ἡ τῶν πραγμάτων περαίωσις, ἢ τῶν ἄστρων ἀπ' ἀνατολῆς εἰς δύσιν δίοδος Trinc. et mox θέλουσι pro λέγουσι.

g) διαπεραίωσιν αὐτῶν ἀπ' ἀνατολῶν Trinc.

h) Hinc ad finem Scholii om. Bas. Scholia ad 378. 379. om. Trinc.

i) λευκὸν νότον Bas. Eustath. Il. Λ. p. 845, 61. λευκὸν νότον, ὃν καὶ συνθέτως οἱ σοφοὶ λευκόνοτόν φασι. Vide Heynium ad Il. λ. 306. Sequentia verba τοῦτο ἀρχὴ, proculdubio mendosa sunt. An legendum τοῦτον Ἀρίσταρχος? Vix dubitem, si quis MSS. peritis oculis lustraret, quin h. l. reperiret voces sic breviter exaratas,

τ χ
του ἀρ. vel pauxillo spatio diremtas,
τ χ
του , . ἀρ.

381. *ΤΟΥΣ ΔΕ ΜΕΤ' ΑΣΤΕΡΑ ΤΙΚΤΕΝ.* Εἶπεν γὰρ ἐν ἀρχῇ,

ἄστρα τε λαμπετόωντα.

[k])Ἑωσφόρος δὲ εἴρηται, ἐπεὶ περὶ τὴν ἑῴαν ἀνατέλλει.

383. *ΣΤΥΞ Δ' ΕΤΕΚΕΝ.* Στὺξ λέγεται καὶ τὸ στυγεῖν, καὶ τὸ τιμᾷν, καὶ τὸ φοβεῖσθαι. [l])*ΠΑΛΛΑΝΤΑ* δὲ, τὴν ἀνωτέρω κίνησιν λέγει, ἢ συμμισγόμενον τὸ ὕδωρ δυνάμεις τινὰς 420 ἀποτελεῖ. *ΖΗΛΟΝ* δὲ, τὸν περὶ τὸ ἀγαθὸν λέγει. *ΑΛΛΩΣ.* Ἢ τὸ πρός τινα μῖσος ἔνωθεν τῇ τοῦ θυμοῦ ὁρμῇ ζῆλον καὶ φθόνον γεννᾷ, καὶ μετὰ ἰσχύος καὶ βίας μάχην πρὸς τοῦτον συστησάμενον, μετὰ καλοῦ τέλους, τῆς νίκης φημὶ, πρὸς οἶκον ὑπέστρεψεν.

386. [m]) *ΤΩΝ ΟΥΚ ΕΣΤ'* Πανταχοῦ γὰρ καὶ ἐν οὐρανοῖς καὶ ἐν γῇ αἱ δυνάμεις περιπολοῦσιν αὗται, καὶ ἐκ τούτων πάντα συνίστανται τὰ γινόμενα.

389. *ΩΚΕΑΝΙΝΗ.* [n]) Τὰ τοιαῦτα ὀνόματα ὁ μὲν Ἄβρων φησὶ πατρωνυμικὰ, Ὠκεανίνη, Ἀδρηστίνη, Αἰητίνη. Τρύφων δὲ παρώνυμα, ἐπεὶ οὐκ ἔχει ἄῤῥενα παρακείμενα πατρωνυμικῶς τοῦ αὐτοῦ.

392. *ΕΙΠΕ Δ', ΟΣ ΑΝ.* Ὅτι τὸν μαχόμενον μετ' ἐμοῦ τοῖς Τιτᾶσι, [o]) ἔχειν τὴν ἑαυτοῦ τιμήν· εἶπε δὲ ὅτι καὶ τὸν μὴ ἔχοντα ἐξ ἀρχῆς τιμὴν παρευθὺς τιμήσειν. Ἐπειδὴ συμβουλευτικός ἐστιν ὁ λόγος, ὑποτίθησιν ἡμῖν καὶ ὅστις ἂν ἄρα καὶ εἴη ἀγέραστος ἐπὶ Κρόνου, τοῦ ἀφανοῦς δηλαδὴ βίου καὶ κοραίνοντος, στυγνασάτω, καὶ συντριβὴν καρδίας πολλάκις ἐπιδειξάτω, καὶ οὕτω τοῖς ἐναντίοις Τιτᾶσι μαχεσάμενος, καὶ πᾶσαν ἐναντίαν καταβαλὼν τῶν παθῶν ἰσχὺν, ἕξει τὴν ἐξ ὕψους ἀρωγήν.

k) Ἑωσφόρος δ. ε. om. Trinc. B.

l) *Πάλλαντι δὲ τῇ ἀνωτέρᾳ κινήσει λέγει, συμμισγόμενον γὰρ τὸ ὕδωρ δ. τ. ἀποτελεῖ* Trinc. *ὑγρὸν — ἀποτελεῖ* B. *ἐκτελεῖ* Bas. Heins. Ζῆλον — *Ἄλλως* om. Trinc. *ἢ τὸ πρὸς — ὑπέστρεψεν* om. Bas.

m) Deest hoc Schol. Heins. Bas.

n) *ταῦτα δὲ τὰ ὀνόματα ὁ μὲν ἄβρων φησὶν, ὠκεανίνη, ἀλμονίνη, φαυστίνη. τρύφων δὲ παρώνυμα λέγει. ἐπεὶ οὐκ ἔχει ἀρσενικὰ, ὡς πατρωνυμικὰ εἴη.* Trinc. Eustath. Il. *I.* p. 776, 5. τὸ δὲ *Εὐηνίνη τύπου ἐστὶ πατρωνυμικοῦ θηλυκοῦ καὶ δηλοῖ θυγατέρα Εὐήνου. Οὕτω καὶ Ἀδρηστίνη, ἡ τοῦ Ἀδράστου, καὶ Ὠκεανίνη, ἡ τοῦ Ὠκεανοῦ.*

o) *τὴν αὐτὴν τιμὴν παρεάσω. εἶπε δὲ καὶ τῷ μὴ ἔχοντι ἐξ ἀρχῆς τιμὴν παρέξει. τιτᾶνας δὲ τὰς δυσφημίας τὰς ἐν τῷ βίῳ φησί.* Bas. Heins. ubi reliqua desunt.

397. *ΠΡΩΤΗ ΣΤΥΞ.* [p]) Πρῶτον γὰρ ἐχωρίσθη τὸ ὕδωρ τὴν γῆν ἐπικαλύπτον, καὶ πρὸς τὸν ἀέρα ἀνέδραμεν· ἐπὶ τοῦτο γὰρ κεῖται τὸ ὕδωρ.

398. *ΔΙΑ ΜΗΔΕΑ ΠΑΤΡΟΣ* [q]). Τοῦ πατρὸς συμβουλεύσαντος αὐτῷ δηλονότι, ἢ τοῦ Διὸς, ἢ τοῦ Ὠκεανοῦ.

400. *ΘΕΩΝ ΕΜΜΕΝΑΙ ῾ΟΡΚΟΝ.* Ἐπεὶ καὶ ὁ ὅρκος φοβερός.

Ibid. *ΑΥΤΗΝ ΜΕΝ ΓΑΡ ΕΘΗΚΕ.* Τὸ ἀνερχόμενον ὕδωρ περὶ τὸν ἀέρα συννεφούμενον ὅρος τις γίνεται, καὶ οἷον διάφραγμα τῶν θεόντων ἀστέρων. Ὅρκον δὲ εἶπεν, ἀπὸ γὰρ εἰς πολὺ μῆκος κίειν καὶ πορεύεσθαι, ἤτοι ἐκτείνεσθαι τὸν τοιοῦτον ὅρον.

404. *ΦΟΙΒΗ Δ' ΑΥ ΚΟΙΟΥ.* Τὸ καθαρὸν, καὶ ἡ λαμπηδὼν τοῦ ὁρωμένου ἐστὶ Φοίβη. Κοῖος δὲ τὸ ἀρκτικόν. Ἔτεκε δὲ νύκτα, ὅτι ἐκ τοῦ ὁρωμένου ἀέρος καὶ ἡ νὺξ τίκτεται, καὶ τὰ ἄστρα. [r])Ἢ Κοῖος ὁ ποιητής· Φοίβη δὲ, ἡ καθαρότης τῆς ποιήσεως.

406. *ΛΗΤΩ ΚΥΑΝΟΠΕΠΛΟΝ.* Λητὼ λέγεται ἡ λήθη,
421 καὶ ἡ νύξ· τερπόμενοι γὰρ οὐκ ἐννοοῦμεν τὴν τοῦ βίου πάροδον. Καλῶς δὲ τίθεται τὸ ἐπίθετον· ἡ αὐτὴ γὰρ [s]) λέγεται τῇ νυκτὶ, ἢ κατ' εὐφημισμὸν, ἢ ὅτι οἱ αὐτῆς παῖδες ἀναιρετικοί εἰσι τῶν ἐναντιουμένων αὐτοῖς.

407. *ΗΠΙΟΝ ΑΝΘΡΩΠΟΙΣΙ.* [t]) Ἐπεὶ οἱονεὶ τέρπονται οἱ θεοὶ μὴ ἐννοούντων ἡμῶν τὴν τοῦ βίου πάροδον, ἢ τὴν τούτων πάροδον.

409. *ΑΣΤΕΡΙΗΝ.* [v])Ἡ τῶν ἀστέρων κίνησις. Διὰ γὰρ τῆς κινήσεως αὐτῶν τὰ πράγματα περαιοῦνται. [w]) *ΕΥΩΝΥΜΟΝ.* Ἐμοὶ δοκεῖ, ὡς ἐπειδὴ τὰ δεξιὰ παρὰ πᾶσιν ἄριστά ἐστι, τὰ δὲ εὐώνυμα ἐλάττονος μετέχει τοῦ ἀγαθοῦ, διὰ τοῦτο εὐώνυμα τὰ ἄστρα εἶπεν, ἐπειδὴ τὸ μὲν τῆς ἡμέρας φῶς λίαν ἄριστόν ἐστι, τὸ δὲ τῶν ἄστρων ἔλαττον. *ΠΕΡΣΗΝ* τὸν ἥλιον λέγει. Ἀνατέλλει γὰρ, καὶ [x]) περαιώσας τὸν δρόμον τοὺς ἀστέρας ἀφῆκε λάμπειν.

p) Deest hoc Schol. Bas.
q) Hoc et seq. Schol. om. Trinc. Sequens Schol. om. Heins. Bas.
r) Hinc ad ποιήσεως om. Trinc.
s) τίθεται νυκτὶ καὶ λέγεται Trinc.
t) Deest hoc Schol. Trinc.
v) Διὰ γὰρ τῆς τῶν ἄστρων κινήσεως Trinc.
w) Hinc ad ἔλαττον om. Bas.
x) πάλιν ἕως εἰς ἑαυτὸν δύνου-

411. *ΈΚΑΤΗΝ ΤΕΚΕ.* *Ἐπαινεῖ τὴν Ἑκάτην Ἡσίοδος, ὡς Βοιωτός· ἐκεῖ γὰρ τιμᾶται ἡ Ἑκάτη.* [y]) *Οὕτω δὲ λέγεται, διὰ τὸ ἑκάστου προνοεῖσθαι. Τῶν γὰρ ἐν γῇ καὶ ἐν θαλάσσῃ πάντων ἔχει τὴν ἐξουσίαν ἡ εἱμαρμένη· ὡς γὰρ θεᾷ πάντες εὔχονται τῇ μοίρᾳ.* *ΑΛΛΩΣ.* *Ἑκάτην τὴν σελήνην λέγει, διὰ τὸ ἑκὰς καὶ μακρὰν εἶναι ἡμῶν. Μετὰ γὰρ τοὺς ἀστέρας ἡ σελήνη. Διὰ τοῦτο ἡ Ἀστερίη ταύτην γεννᾷ.*

413. *ΜΟΙΡΑΝ ΕΧΕΙΝ.* *Ἡ γὰρ σελήνη καὶ ὁ ἥλιος ἐπιτροπεύειν ἐτάχθησαν τῶν κατὰ γῆν τε καὶ θάλατταν γινομένων.*

416. *ΚΑΙ ΓΑΡ ΝΥΝ ΌΤΕ ΠΟΥ ΤΙΣ.* *Καὶ γὰρ ἐάν τις κατὰ* [z]) *νόμους ποιῆται τὰς θυσίας, καὶ θέλῃ ἐξευμενίσαι ἑαυτῷ τοὺς θεοὺς, θύει καὶ τῇ Ἑκάτῃ· καὶ τιμὴ αὐτῷ λοιπὸν μεγάλη γίνεται.* *ΑΛΛΩΣ.* *Ταῦτα κατὰ τὴν τῶν Ἑλλήνων ἐπικρατήσασαν εἰς τοὺς πλάνητας τιμὴν ἐκληπτέον,* [a]) *διὰ γὰρ τὰς αὐτῶν δυνάμεις τούτους ἐθεοποίησαν.*

419. *Ὧι ΠΡΟΦΡΩΝ.* [b]) *Ὧι τινι, πτῶσιν ἀντὶ πτώσεως, οὗ τινος. Οἱ γὰρ ῥήτορες τῇ δοτικῇ ἀντὶ γενικῆς χρῶνται.*

422. *ΕΧΕΙ ΑΙΣΑΝ ἉΠΑΝΤΩΝ.* *Ἐπειδὴ πάντες τὴν* [c]) *Ἑκάτην καλοῦσι· καὶ Ποσειδῶνι καὶ τοῖς ἄλλοις θεοῖς θύοντες, ἐκ τούτων πάντων μέρος ἔχει τιμῆς.*

424. *ὉΣΣ' ΕΛΑΧΕΝ ΤΙΤΗΣΙ.* [d]) *Ἐκληρώσατο ἐν τοῖς* 422 *προτέροις θεοῖς, τοῖς Τιτᾶσι λέγει, ἤγουν ὅσην κατὰ τῶν ὑποχθονίων πνευμάτων ἔχει τὴν δύναμιν.*

426. *ΟΥΔ' ὉΤΙ ΜΟΥΝΟΓΕΝΗΣ.* *Οἱ γὰρ μονογενεῖς* [e]) *πλεονεκτοῦσι πάντοτε. Διὰ γὰρ τὸ μὴ ἔχειν ἀδελφοὺς ὁ μονογενὴς πλείονος τετύχηκε τιμῆς.*

σιν οἱ ἀστέρες Heins. Bas.

y) Sequentia dedi ex Trinc. Haec tantum habent Bas. Heins. *Μοῖραν ἔχειν*] *διὰ τὸ ἑκάστῳ προνοεῖσθαι· τῶν γὰρ ἐν γῇ καὶ ἐν θαλάσσῃ πάντων ἄρχει η εἱμαρμένη· ὡς γὰρ θεῷ εὐχόμεθα τῇ μοίρᾳ.*

z) *νόμον — καὶ βούλεται ἑ. ἑαυτὸν τοῖς θεοῖς — λοιπὸν αὐτῷ* Bas. *ποιεῖται* omnes edd. *ἄλλως — ἐκληπτέον* om. Bas.

a) Hinc ad *ἐθεοποίησαν* om. Heins. Bas.

b) Deest hoc Schol. Trinc. Ubi leg. sic, *Ῥεῖα μάλ' ᾧ πρόφρων γε θεὰ) Ἐπειδὴ π.*

c) *Τύχην* Heins. Bas. et mox *ἢ ἐκ τούτων ἁπάντων.*

d) Deest hoc Schol. Bas.

e) Ita Trinc. *οἱ γὰρ μ. πλεονεκτοῦντες, καὶ συμμάχους μὴ ἔχοντες, ἢ ὅτι κἂν ἀδελφοὺς μὴ ἔχοντες, ἢ ὅτι κἂν ἀδελφοὺς οὐκ ἔχῃ, πλείονος τετύχηκε τιμῆς. Οὐκ ἀθετεῖται ὁ μονογενὴς, πρὸς ὃν μεγάλως παραγίνεται καὶ ὠφελεῖ.* B. *πλεονέκται, ὡς συμμάχους μὴ ἔχοντες. ἢ ὅτι ἀδελφοὺς οὐκ ἔχει, καὶ πλείονος τετύχηκε τιμῆς. καὶ γὰρ οὐκ ἠθετήθη ὡς μονογενής.* Heins. Bas.

429. Ὧι Δ' ΕΘΕΛΕΙ. [f]) Πρὸς ὃν ἂν βούληται λιπαρῶς παραγίνεται, καὶ ὠφελεῖ αὐτόν. ΑΛΛΩΣ. Ἐπειδὴ μεγίστην τινὰ δύναμιν ὁ δημιουργὸς ἐν Ἡλίῳ καὶ Σελήνῃ ἐνέθηκεν. [g]) Ἔσονται γὰρ, φησὶν, εἰς σημεῖα καὶ ἐς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς. Καὶ μείζονα τὴν συντέλειαν τοῖς ἐπὶ γῆς χαρίζονται, καὶ ὡρῶν καὶ ἡμερῶν εἰσιν αἴτιοι. Καὶ τῶν ὡρῶν καθ' Ἕλληνας αἱ μὲν εἰσιν ἀγαθαὶ, αἱ δὲ ἀποφράδες· ὡσαύτως δὲ καὶ τῶν ἡμερῶν, καθὰ φησιν οὗτος ἐν ταῖς ἡμέραις ὁ ποιητής. Διὰ τοῦτο τοιαῦτα ποιεῖν τὴν Ἑκάτην ἐν τοῖς ἀπηριθμημένοις φησίν. Ὁ γὰρ ἐν ταῖς ἀγαθαῖς τῶν ἡμερῶν ἐπ' ἔργον ἐξελθὼν, δῆλος ὡς μετὰ κέρδους ὑποστρέψειεν.

435. ΑΓΩΝΙ ΑΕΘΛΕΥΟΥΣΙ. Καὶ πρὸς ἀγωνιστὰς, [h]) οἷς ἐθέλει ἀγαθή ἐστι, καὶ ὁ νικήσας δι' αὐτῆς μάλα χαίρων παραγίνεται εἰς τὴν ἑαυτοῦ οἰκίαν.

438. [i]) ΤΟΚΕΥΣΙΝ ΚΥΔΟΣ ΟΠΑΖΕΙ. Τί μὲν γὰρ προφέρει τοῖς γονεῦσιν ὁ νικήσας τῇ τε νίκῃ καὶ τῷ βραβείῳ. Τιμῶνται γὰρ ὑπὸ πάντων ὡς νικητοῦ πατέρες καὶ τοῦ βραβείου ἀπολαύουσιν. Ἀναγορεύεται γὰρ τίνος πατρός ἐστιν.

440. [k]) ΚΑΙ ΤΟΙΣ, ΟΙ ΓΛΑΥΚΗΝ. Καὶ τοῖς πλέουσι τὴν θάλασσαν εὐχομένοις ἑαυτῇ καὶ τῷ Ποσειδῶνι ἄγραν πολλὴν παρέχει. Ἀρκεσθεὶς δὲ τοῖς δύσιν ἐπιθέτοις, ἤγουν τῷ ΓΛΑΥΚΗΝ, καὶ τῷ ΔΥΣΠΕΜΦΕΛΟΝ, οὐκ εἶπε τὸ κύριον.

442. ῬΗΙΔΙΩΣ Δ' ΑΓΡΗΝ. Καὶ τοῖς [l]) κυνηγετοῦσι συνέρχεται. Οὓς δ' ἐθέλει καὶ βλάπτει κυνηγέτας.

444. ΕΣΘΛΗ Δ' ΕΝ ΣΤΑΘΜΟΙΣΙ. [m]) Ἐν ταῖς ἐπαύλεσι
423 τὰ ποίμνια αὐξῆσαι σὺν τῷ Ἑρμῇ· μέλει γὰρ καὶ αὐτῷ τῶν ποιμνίων. ΛΗΙΔΑ δὲ, [n]) τὰ τετράποδα λέγει, ἀπὸ τοῦ τὰ λήϊα κατανέμεσθαι, ἢ ΛΗΙΔΑ τὴν κτῆσιν.

f) Hinc ad ἄλλως om. Trinc. βούλεται Bas. Heins. Legitur hoc Schol. in Etymolog. MS. Voss. v. μεγάλως, ubi πρὸς ὃν δὲ βούλεται. Ab ἄλλως ad ὑποστρέψειεν om. Bas.

g) Ex hoc loco apparet Scholiorum istorum auctorem fuisse Christianum; sunt enim ex Genes. I. 14. Graevius.

h) ὅπου θέλει ἡ ἑκάτη Trinc. et mox, εἰς τὸν ἑαυτοῦ οἶκον παραγίνεται.

i) Deest hoc Schol. Bas.

k) Ἀλλὰ καὶ τοῖς πλέουσιν ὠφελει. ἀρκεσθῆς γὰρ ceteris omissis Trinc. Mox τῷ γλαυκὴν — δυσπέμφελος Trinc. τῇ γλαυκῇ — τῇ δυσπεμφέλῳ Bas. Heins. κυρίως. Bas.

l) κυνηγεταῖς συνέπεται Trinc. κυνηγοῦσι συνέπεται B.

m) συνέρχεται καὶ ἐν Bas. Heins. et mox ἅμα φησί post Ἑρμῇ. Delevi secutus ed. Trinc.

n) Ita B. ἢ ληΐδα τὴν κτῆσιν om.

451. [o]) *ΠΟΛΥΚΕΡΔΕΟΝ ΗΟΥΣ.* Διὰ τὸ ὑπὸ πολλῶν βλέπεσθαι, ἢ πολλὰ ὁρᾷν, ὡς τὸ

ἥλιος, ὃς πάντ' ἐφορᾷ.

452. *ΟΥΤΩΣ ΕΞ ΑΡΧΗΣ ΚΟΥΡΟΤΡΟΦΟΣ.* Τοῖς μετὰ ταῦτα, δηλονότι ἐξότου ἐγεννήθη, Ἑκάτη ἐστὶ κουροτρόφος· ἢ τοῖς γεννωμένοις μετ' αὐτὴν, ὅσοι εἶδον τὸ φῶς τοῦ ἡλίου. *ΑΛΛΩΣ.* Οἵ τινες, φησὶ, μετὰ τὸ γεννηθῆναι τὴν σελήνην γεννῶνται, οὗτοι εὐτυχεῖς. Αὔξει γὰρ ἡ σελήνη ἐπὶ τῇ γεννήσει αὐτῶν.

Ibid. *ΑΙ ΔΕ ΤΕ ΤΙΜΑΙ.* [p])Ἀπόθεσιν ποιεῖται τῶν περὶ τῆς Ἑκάτης, καί φησιν, αὗταί εἰσιν αἱ τιμαὶ αὐτῆς, ἃς ἀνωτέρω δηλαδὴ εἶπε.

453. *ῬΕΙΗ Δ' ὙΠΟ ΔΜΗΘΕΙΣΑ.* Ἡ εὐμάρεια καὶ τὸ εὐχερὲς τῶν θεῶν. Ὑπὸ χθόνα δὲ ναίειν φησὶ τὸν Ἅδην, διὰ τὸ δέχεσθαι μὲν τοὺς θανόντας, μὴ ἐᾷν δὲ ἀποστρέφειν· διὸ καὶ νηλεῆ αὐτὸν εἴρηκεν.

457. *ΖΗΝΑ ΤΕ ΜΗΤΙΟΕΝΤΑ.* Τὸν αἰθέρα λέγει, διὰ τὸ εἰς μέγιστον τείνεσθαι μῆκος. Ἐπειδὴ γὰρ τὴν ἀνωτάτω χώραν εἴληχε τοῦ παντὸς, καὶ μείζονα κύκλον ἀποτελεῖ τῶν ὑπ' αὐτόν· ἀέρος λέγω καὶ ὕδατος καὶ γῆς.

459. *ΚΑΙ ΤΟΥΣ ΜΕΝ ΚΑΤΕΠΙΝΕ ΚΡΟΝΟΣ ΜΕΓΑΣ.* [q])Κρόνος εἴρηται ἀπὸ τοῦ κερᾷν καὶ κιρνᾷν ἕκαστα τῶν γενεθλιωμάτων καὶ μῖξαι τὸ θῆλυ τῷ ἄῤῥενι. Χρύσιππος δέ φησιν, ὅτι καθύγρων ὄντων τῶν ὅλων, καὶ ὄμβρων καταφερομένων πολλῶν, τὴν τούτων ἔκκρισιν Κρόνον ὠνομάσθαι. Ἡ δὲ ἐκτομὴ αὐτοῦ οὕτως ἀναλύεται· ὅτι τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς μίξεως γενομένης ἐξωογονεῖτο πολλά· εἶτα τοῦ χρόνου ἕκαστα διακρίναντος, καὶ τὰ γεννηθέντα ἐκ τῆς πρὸς ἄλληλα μίξεως ζωογονοῦντος, ἐκτετμῆσθαι τὸν Οὐρανὸν εἴρηται. Ἄλλοι δέ φασι Κρόνον εἰρῆσθαι ὅτι πρῶτος θεῶν εἰς κρίσιν ἐπέβαλε. Νομίζεται δὲ παῖς Οὐρανοῦ καὶ Γῆς, ὅτι ἐκ τῆς ἐπιτο-

Trinc. *Ληΐδα δὲ τὴν τῶν τετραπόδων κτῆσιν φησι· Λήϊα γὰρ τὰ τ. λέγονται* Heins. Bas.

o) Ita Trinc. In Bas. Heins. *οἳ μετ' ἐκείνην) τοῖς μετ' αὐτὴν δηλονότι. ἐξ οὗ γὰρ ἐγεννήθη κουροτρόφος. — Ὅσοι — Ἄλλως* om. Trinc. Mox *ἐν τῇ γεννήσει* Trinc.

p) Hinc ad *συνδιαφθείρεται* Schol. ad v. 459. om. Bas.

q) Sequentia descripsit Etymologus M. p. 540, 7. ex h. l. saepius emendandus.

λῆς τῶν ὑπὲρ γῆς καὶ ὑπὸ γῆν ἄστρων ὁ Κρόνος γίνεται. Διὰ γὰρ τούτου καὶ ἡμερονύκτιον, καὶ μῆνα, καὶ καιρὸν διορίζομεν. Καταπίνειν δὲ λέγεται τὰ τέκνα, ὅτι ὅσα διὰ χρόνου γίνεται, τῷ χρόνῳ πάλιν συνδιαφθείρεται.

463. *ΠΕΥΘΕΤΟ ΓΑΡ ΓΑΙΗΣ ΤΕ.* [r]) Τῷ ἐρωτήματι
424 συμβολικῶς ἕπεται ἡ ἀπόκρισις· τῷ πύσματι δὲ, διεξοδικῶς.

465. [s]) *ΚΑΙ ΚΡΑΤΕΡΩι ΠΕΡ ΕΟΝΤΙ.* Καίπερ ἰσχυρῷ ὄντι, ἐπέπρωτο τῷ Κρόνῳ ὑπὸ τοῦ ἰδίου παιδὸς Διὸς δαμασθῆναι. Διὰ τοῦτο κατέπινεν αὐτοὺς, οὐ [t]) μάτην ἔχων τὸν κατ' αὐτῶν σκοπόν. Ἄλλοι γράφουσι, *ΠΑΤΡΟΣ ΜΕΓΑΛΟΥ ΔΙΑ ΒΟΥΛΑΣ.* Ὅπως γὰρ γραπτέον *ΠΑΤΡΟΣ* τουτέστι τοῦ οὐρανοῦ. Ὁ γὰρ Ζεὺς πῶς εἶχε συμβουλεῦσαι τῷ Κρόνῳ, μήπω γεννηθείς; ἐν τούτοις ἡ ζωή.*) Καὶ διὰ τοῦ τελευταίου. Πάντα γάρ φησι ἦν ἀφανῆ ἄνευ ζωῆς· ἵνα μή τις αὐτῶν ἀφέληται τὴν τιμὴν τῆς βασιλείας αὐτοῦ.

474. *ΗΔ' ΕΠΙΘΟΝΤΟ.* [v]) Ἐκβολὴ γίνεται τοῦ ε διὰ τὸ μέτρον εἰς τὸ ἐπίθοντο, Ἰωνικῶς.

477. *ΠΕΜΨΑΝ Δ' ΕΣ ΛΥΚΤΟΝ.* [w]) Ὅτε ἔμελλε γεννᾷν, ὡς πλεοναζόντων τῶν ἐδωδίμων ἐκεῖ. Ἔστι δὲ τὸ Λύκτον, τόπος ἐν Κρήτῃ.

479. *ΤΟΝ ΜΕΝ ΟΙ ΕΔΕΞΑΤΟ.* Τὸν Δία γεννηθέντα ἐδέξατο ἡ γῆ, τουτέστι τὴν καταβολὴν τῶν σπερμάτων. Ἐκ γὰρ τοῦ [x]) αἰθέρος αὔξουσιν αἱ σποραὶ, [y]) ἡ εὐμάρεια, τὸ εὐχερὲς τῶν θεῶν.

480. *ΤΡΑΦΕΜΕΝ.* Ἀντὶ τοῦ τρέφειν, καὶ ἐπιμελεῖσθαι· δέονται γὰρ ἐπιμελείας τὰ σπέρματα. [z]) Εἰς γὰρ τὴν εὔκρατον καὶ πίονα καὶ εὐροοῦσαν ἐν ὕδατι γῆν πεσόντα τὰ σπέρματα τρέφεται καὶ θάλλει καὶ αὔξει.

481. *ἹΚΤΟ ΦΕΡΟΥΣΑ.* Ἤγουν ἦλθε φέρουσα τὸν διὰ νυκτὸς, ὅτι ἀφανῶς προκόπτει τὰ σπέρματα.

482. *ΠΡΩΤΗΝ ΕΣ ΛΥΚΤΟΝ.* Ὅτι οὐ μόνον ἐν ταῖς

r) Deest hoc Schol. Trinc. Sub finem habet Bas. Ἀκάκητα] Ἀκακίσιον ὄρος ἀρκαδίας ἔνθα ἐτιμᾶτο ὁ Προμηθεύς. Vide infra 614.

s) Deest hoc Schol. Trinc.

t) Ita Bas. Heins. ματαῖον εἶχε B.

*) Haec stellula, quae in Heins. exstat, corruptelam indicat.

v) Deest hoc Schol. Bas.

w) Ὅτε δ. ε. γ. om. Bas. Λύκτος δὲ τόπος Trinc.

x) θέρους Bas.

y) Hinc ad σπέρματα Schol. seq. om. rinc.

z) Hinc ad σπέρμασιν om. Bas.

πεδιάσιν ὑπὸ τοῦ αἰθέρος θάλλει τὰ σπέρματα, ἀλλὰ καὶ ἐν τοῖς ὑψηλοῖς ὄρεσι καὶ ἐν ταῖς κοιλότησι τῶν ὀρῶν· ἐν γὰρ τοῖς εὐκράτοις τόποις καὶ ἀμφότερα θάλλει τοῖς σπέρμασιν.

483. *ΑΝΤΡΩι ΕΝ ΗΛΙΒΑΤΩι.* [a]) Εἰς ὃ ἀνέρχεται ὁ ἥλιος. Ἐνταῦθα δὲ, ἐν κοίλῳ καὶ ὑψηλῷ.

484. *ΑΙΓΑΙΩι ΕΝ ΟΡΕΙ.* [b]) Σημείωσαι, ὅτι καὶ οὗτος αἰγίοχον ἤκουσεν τὸν Δία, ἐπεὶ αἶγα ἐθήλασεν. Ἀφ' [c]) οὗ ἐν Κρήτῃ καὶ Αἰγὸς ὄρος καλεῖται, καὶ Αἰγαῖον τὸ ὑπ' ἐνίων ἔκδι- 425 κον καλούμενον. Ὁ δὲ Ὅμηρος, ἀπὸ τοῦ ἰδίου ὅπλου τῆς αἰγίδος, αἰγίοχον αὐτὸν ἐκάλεσεν.

485. *ΤΩι ΔΕ ΣΠΑΡΓΑΝΙΣΑΣΑ.* [d]) Τὸ σῶμα τὸ ἀνθρώπινον. Ἀγαθοκλῆς δὲ ὁ Βαβυλώνιός φησι τὴν Ῥέαν ἐκ Προικοννήσου δέξασθαι τὸν λίθον. Τοῦτον δὲ τὸν λίθον λέγει, τὸ τὴν γῆν ἀποκεκρύφθαι ὑπὸ τῆς ἀκαταστασίας τῶν ἀέρων τὸ πρίν.

493. *ΕΠΙΠΛΟΜΕΝΩΝ Δ' ΕΝΙΑΥΤΩΝ.* Τοῦ δὲ ἐνιαυτοῦ προελθόντος, ἐξήμεσε τὰ τέκνα αὐτοῦ, διὰ τῆς ἀγαθῆς βουλῆς τῆς γῆς· ἡ γὰρ γῆ [e]) συνεβούλευσε τὸν δόλον. Πρῶτον δ' ἐξήμεσε λίθον, τὴν αἴσθησιν τῶν κράσεων. Καὶ ὁ λίθος γὰρ τὸ σῶμα, παρόσον ἐκ τεσσάρων στοιχείων.

494. *ΓΑΙΗΣ ΕΝΝΕΣΙΗιΣΙ.* [f]) Γῆ συνεργεῖ τῷ χρόνῳ εἰς τὸ ἐξεμέσαι καὶ ἐξαγαγεῖν ἅπερ κατέφαγε καὶ διέφθειρε· τὰ γὰρ ὑπὸ τοῦ χρόνου γινόμενα ὑπὸ τοῦ χρόνου πάλιν ἀφανίζεται, ὡς ἔχει καὶ τὸ παρὰ Σοφοκλέους ῥηθέν·

> Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
> Φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται.

Ἀλλὰ διελθόντος τοῦ χρόνου, αὖθις τὰ φθαρέντα ἀναβλαστάνει.

499. *ΓΥΑΛΟΙΣ.* Ἐν τοῖς κοίλοις, διὰ τὸ ἀνόητον τοῦ σώματος. Ἡ γὰρ ψυχὴ θεία, καὶ οὐ δέεται προγνώσεως. [g]) Πατροκασιγνήτους δὲ τοὺς Κύκλωπας· καὶ αὐτοὺς δὲ λέγει τοὺς Γίγαντας.

a) Deest hoc Schol. Trinc.
b) *Σημείωσαι* om. Trinc.
c) Ita Trinc. *ἀφ' ἧς καὶ Κρήτῃ αἰγὸς ὄ.* Bas. Heins. *καὶ αἰγαῖον — καλούμενον* om. Trinc. Pro *ἔκδικον* nescio an leg. *Δικταῖον*. Mox *ἐκ τοῦ ἰδίου* Bas. Heins. *αὐτὸν* om.
d) *Μέγαν λίθον τὴν γῆν λέγει διὰ τὸ ἀποκεκρύφθαι τῆς ἀκαταστασίας τῶν ἀέρων.* Trinc.
e) Hinc ad *ἐννεσίῃσι* om. Trinc. Paullo ante *διὰ τὴν ἀγαθὴν βουλὴν* Trinc.
f) Deest hoc Schol. Bas.
g) Hinc ad fin. Schol. om. Trinc.

501. [h]) *ΛΥΣΕ ΔΕ ΠΑΤΡΟΚΑΣΙΓΝΗΤΟΥΣ.* Τοῦ πυρὸς ἤτοι τοῦ αἰθέρος τὸν ἄνω τόπον λαχόντος, πάντα τὰ ἄλλα στοιχεῖα ζωογονεῖσθαι καὶ συνίστασθαι ἤρξατο. Καὶ ἡ γῆ μὲν φυτά, ἡ θάλασσα δὲ ἰχθύας ἐδίδου, τὸ δὲ ἐπικείμενον τῷ παντὶ σκότος ἀπελιθοῦτο καὶ ἄπρακτον ἔμενε, τοῦ παντὸς ἐξελαυνόμενον.

503. *ΟΙ ΟΙ ΑΠΕΜΝΗΣΑΝΤΟ.* Οἱ οὐρανίδαι ἀπεμνήσαντο, ἤγουν ἀπεμνημόνευσαν τὴν χάριν τῷ Διΐ.

504. *ΔΩΚΑΝ ΔΕ ΒΡΟΝΤΗΝ.* Ἐκ τῶν ἀναδιδομένων ἐκ τῆς γῆς ἀτμῶν συνίστανται περὶ τὸν ἀέρα βρονταί τε καὶ ἀστραπαὶ καὶ κεραυνοί· ἀναπέμπει δὲ τοὺς ἀτμοὺς ἡ γῆ, ὑπὸ τοῦ ἡλίου θερμαινομένη· τοῦ ἡλίου δὲ ὑπὸ γῆν ὄντος ἢ τοῖς νέφεσι καλυπτόμενος, οὐκέτι ἀτμοὺς ἡ γῆ ἀναδίδωσι, ἀλλὰ παρ' ἑαυτῇ τούτους ἔχει.

505. *ΓΑΙΑ ΚΕΚΕΥΘΕΙ.* Ἐκ γὰρ τῆς ἀναδόσεως τῆς γῆς γίνονται βρονταί τε καὶ κεραυνοὶ καὶ ἀστραπαί.

507. *ΚΟΥΡΗΝ Δ' ΙΑΠΕΤΟΣ.* Ἰαπετὸν τὴν κίνησιν λέγει
426 τοῦ οὐρανοῦ. Κλυμένην τὴν δόξαν, αὐτὸ τὸ [i]) θαυμάζειν· ἐξ Ὠκεανοῦ δὲ ἡ ἀνάδοσις τοῦ πλοῦ, καὶ ἡμεῖς τὸ νοερὸν ἐκ τῆς ἄνωθεν δυνάμεως ἔχομεν. *ΑΛΛΩΣ.* Ὁ ὠκὺς καὶ ταχὺς νοῦς ἄνω νεύσας, καὶ τὴν περὶ τῆς κινήσεως τοῦ οὐρανοῦ καταμαθὼν τὴν καλὸν ἔχουσα τέλος δόξαν ἠνέγκατο, τὴν τῆς ἀστρονομίας φημί· ὁ γὰρ περὶ τὴν ἀστρονομίαν σχολάσας νοῦς, πρῶτον τὴν τοῦ οὐρανοῦ κίνησιν ἐνόησεν.

509. *Η ΔΕ ΟΙ ΑΤΛΑΝΤΑ.* Ἐπ' ἄξονί τινι λέγουσι στρέφεσθαι τὸν πόλον. Ἄτλας δὲ τὸ καρτερικὸν αὐτοῦ, [k]) ἐν ἡμῖν δὲ τὸ θυμῶδες Ἄτλας, δυνατὸν ὄν.

511. *ἉΜΑΡΤΙΝΟΟΝ Τ' ΕΠΙΜΗΘΕΑ.* [l]) Προμηθέα αἰολόμητιν λέγει τὸν ποικίλον τὰς φρένας ἄνθρωπον. Ἁμαρτίνοον δὲ Ἐπιμηθέα, τὸν κακόβουλον καὶ ἀπρονόητον, [m]) τὴν μετὰ τὸ πρᾶξαι ἐνθύμησιν, οἷον,

h) Scholia ad vv. 501. 503. 504. 505. om. Bas Heins.
i) θαυμάζειν καὶ τὸ δοξάζειν Bas. et mox, τοῦ πόλου — καὶ τῆς ἄνω δ. Ibidem ἄλλως — ἐνόησεν om.
k) Hinc ad fin. Schol. om. Bas.
l) Προμηθέα τὴν πρόνοιαν. ἐπιμηθέα τὴν μετὰ τὸ πρᾶξαι ἐνθύμησιν τὸ ἀπρονόητον Bas.
m) Ἐπιμηθεὺς γὰρ ἡ μετὰ τὸ γενέσθαι τὸ ἔργον ἐνθύμησις, ὡς τὸ Trinc.

ῥεχθὲν δέ τε νήπιος ἔγνω.

[n]) ἢ ἁμαρτίνοον, τὸν σφαλέντα κατὰ τὴν γνῶσιν· τὸ γὰρ θυμικὸν καλύπτει τὸν νοῦν [o]) ἀναφλεχθέν· ὁ γὰρ θυμὸς ἐπισκοτήσας τοῦ φονέως τὸν νοῦν, τὸ ἔργον τελέσαι πεποίηκεν· ὅθεν καὶ κολάζεται.

515. *ΕΙΣ ΕΡΕΒΟΣ.* [p]) Ἐπεὶ δὴ κρύπτεται τὸ θυμικόν. Ὁ γὰρ φονεύων ὑπὸ τοῦ θυμοῦ νικᾶται, καὶ φονεύει· ὅθεν καὶ κολάζει. ΨΟΛΟΕΝΤΙ. Τῷ τῇ ψαύσει ὀλλύντι, παρὰ τὸ ψαύειν καὶ ὀλλύειν.

517. *ΑΤΛΑΣ Δ' ΟΥΡΑΝΟΝ.* [q]) Μετὰ τὸ ἐφευρεῖν τὸν νοῦν τὸ ἀκίνητον τῆς γῆς, καὶ πληρῶσαι τὸν περὶ τούτου λόγον αὖθις τὴν τοῦ ἄξονος ἐνενόησε στάσιν πρὸ τῶν ἄστρων, καὶ τῶν ἑτέρων τοῦ οὐρανοῦ θαυμάτων.

521. *ΔΗΣΕ Δ' ΑΛΥΚΤΟΠΕΔΗιΣΙ.* [r]) Τὸ δεδέσθαι ἐν τῷ σώματι τὸ προνοητικὸν, τουτέστι τὴν ψυχήν. Τὸ δὲ *ΑΛΥΚΤΟΠΕΔΗιΣΙ* πλεονάζει τὸ κ· ἀλυτοπέδαις γὰρ ἦν.

522. *ΜΕΣΟΝ ΔΙΑ ΚΙΟΝΑ ΕΛΑΣΣΑΣ,* ἤγουν διὰ μέσου κίονος δήσας τὸν Προμηθέα. Ἢ μέχρι [s]) τοῦ μέσου κίονος ἐλάσας, καὶ εἰς τὴν γῆν κατακρύψας· ἵν' ᾖ περὶ τὸ [t]) ἀνώτατον μέρος δεδεμένος ὁ Προμηθεύς. [v]) Ἢ ἀναγωγικῶς λέγει, ὅτι [w]) ἡ ἔννοια ἢ νοῦς τοῦ σώματός ἐστιν ὁ κίων.

523. [x]) *ΚΑΙ ΟΙ ΕΠ' ΑΙΕΤΟΝ ΩΡΣΕ.* Τὴν κίνησιν τοῦ λογισμοῦ· ἐν τῷ ἥπατι γὰρ τὰς φρένας εἶναι λέγουσι. Τὸν δὲ 427
ἀετὸν τὰς βιωτικὰς [y]) μερίμνας, καὶ ἐφημερινὰς, αἵ τινες συνέχουσι τὸν ἄνθρωπον, καὶ ἀναλίσκουσι τὰς φρένας ἐφ' ἡμέραν, ὥσπερ καὶ ὁ ἀετὸς τὸ ἧπαρ. [z]) Νύκτωρ δὲ ἀνακτᾶταί τις τὰς φρένας, διὰ τῆς τῶν φροντίδων ἀπαλλαγῆς· ὥσπερ ἐπὶ τῆς νυκτὸς πάλιν ηὔξανε τὸ ἧπαρ· ἢ ἀετὸν ἄλλως λέγει ὅτι τοῦ

n) Sequentia om. Bas.
o) ἀνατρεφθὲν Heins.
p) Hoc Schol. om. Trinc.
q) Deest hoc Schol. Bas.
r) Hoc Schol. om. Trinc.
s) τῶν μέσων κίονα Trinc.
t) ἄνω Trinc. ubi mox om. δεδεμένος.
v) Hinc ad fin. om. Bas.
w) ἄγνοια ἡ ἀπὸ τ. σ. Trinc. B.
x) Ἧπαρ δὲ ἡ τοῦ λογισμοῦ κίνησις. ἐν ἥπατι γὰρ Trinc.
y) φροντίδας, καὶ τὴν ἐφημέριον μέριμναν. αἵ τινες ἐν ἡμέρᾳ σ. Trinc. et mox αὐτοῦ pro ἐφ' ἡμέραν.
z) Haec dedi cum Trinc. et B. Ἄλλως. ἀετὸν λέγουσι τὰ καιριώτερα, ἅπερ φθείρεται. ἡ προπέτεια καὶ ἡ ὀξυτάτη πρᾶξις. Νυκτὸς ὅσον] ἐν ἡμ. Bas. Heins. et mox, διὰ τοὺς ἐντυγχάνοντας, καὶ ποιοῦντας θυμωθῆναι.

λογισμοῦ τὰ κυριώτατα παραφθείρει ἡ προπέτεια καὶ ἡ ὀξυτάτη πρᾶξις· ἐν ἡμέρᾳ γὰρ ἐλαττοῦται τὸ προνοητικὸν, διὰ τὰ συντυγχάνοντα καὶ ποιοῦντα θυμοῦσθαι.

527. ἩΡΑΚΛΕΗΣ ΕΚΤΕΙΝΕ. [a]) Τὸν ἥλιον λέγει τῆς ἀναιρέσεως εἶναι αἴτιον, καὶ τῆς λύσεως τοῦ ζώου τούτου, ὃν καὶ Ἡρακλέα καλοῦσιν. [b])Ὅταν γὰρ αἱ τῆς ἀρετῆς ἀκτῖνες ἐπὶ τὸν νοῦν ἐπιλάμψωσι, τότε ἀπαλλάσσεται μερίμνης καὶ φροντίδος βιωτικῆς. [c])Ἄλαλκεν οὖν, τῇ δυνάμει ἀπέτρεψεν· οὐ γὰρ ὁ ἀδυνατῶν δύναται βοηθῆσαι. [d])Καθ' ἱστορίαν δὲ ἧπαρ λέγεται παρὰ πολλοῖς ἡ εὔκρατος γῆ, ἀετὸς δὲ ποταμὸς χώρας τινὸς, ἧς ἐβασίλευε Προμηθεύς τις· ὃς δὴ ποταμὸς ὀξέως κατιὼν, ἥρπασε τὴν γῆν πᾶσαν Προμηθέως, καὶ ἐδαπάνα· τοῦτον τὸν ποταμὸν Ἡρακλῆς ποτὲ διορύξας, δι' ἑτέρων τόπων μετοχέτευσεν· ὅθεν [e]) ἐμυθολογήθη τὸ τοιοῦτον.

529. ΟΥΚ ΑΕΚΗΤΙ ΖΗΝΟΣ. [f]) Τέχνη γὰρ βίου ἐστὶν, οὐκ ἀβουλία τοῦ Διὸς, ἵνα μὴ ἀσθένειαν αὐτῷ ἐπιβάλλῃ. Εἶπεν οὐκ ἀβουλίαν, ἀλλ' ὅμως ἐπιβάλλει τῷ υἱῷ περισσοτέραν δόξαν.

534. ΟΥΝΕΚ' ΕΡΙΖΕΤΟ ΒΟΥΛΑΣ. Καὶ γὰρ ἤριζεν ὁ ἄνθρωπος ὅμοια ποιῆσαι τῷ θεῷ.

535. ΘΝΗΤΟΙ Τ'. Θνητὸς γὰρ θεὸς ὁ ἄνθρωπος· καὶ γὰρ ὅτε ἐκρίνοντο θεοὶ, ἐκρίνοντο τί θεὸς, καὶ τί ἄνθρωπος. Ἐν τῇ Μηκώνῃ ἐκρίνοντο τίνες θεοὶ τοὺς ἀνθρώπους λάχοιεν μετὰ τὸν πόλεμον. Ὡς Ὅμηρος,

κρίνει ἐπειγομένων ἀνέμων καρπούς τε καὶ [g]) ἄχνας.

Μηκώνη δὲ, ἡ ποτὲ Σικυὼν λεγομένη· ἔστι δὲ πόλις Ἄργους. Λέγει δὲ περὶ μήκους ζωῆς τε θεῶν καὶ ἀνθρώπων.

428 543. ΠΕΡΙΔΕΙΚΕΥ'. [h]) Ἐπειδὴ μόνης τιμῆς δεῖται τὸ

a) Λέγει δὲ τὸν Ἡρακλέα ἤτοι τὸν ἥλιον αἴτιον εἶναι τῆς ἀναιρέσεως τοῦ τοιούτου ζώου. Trinc. Τὸν μὲν Ἀλκμήνης τὸν ἥλιον λέγουσιν εἶναι τῆς ἀν. κ. λ. B.

b) ὅταν οὖν ἀποθάνῃ τις, τότε Bas. Mox ib. βιωτικῆς om.

c) Hinc ad βοηθῆσαι om. Trinc.

d) Hinc ad τὸ τοιοῦτον om. Bas.

e) Ita Trinc. ἐτυμολογήθη Heins.

f) Hoc et duo seqq. Scholia om. Trinc.

g) Dedi ἄχνας ex Hom. Il. E. 501. pro corrupto τέχνας. Eustathius ad Il. B. p. 291 = 220, 50. Σικυὼν δὲ κατὰ τὸν αὐτὸν γεωγράφον (Strabo. VIII. p. 587.) Μηκώνη πρότερον ἐκαλεῖτο, πρὸ δὲ τούτου Αἰγιαλοί. Μέμνηται δὲ Μηκώνης καὶ Ἡσίοδος ἐν Θεογονίᾳ. Sequens Schol. accessit ex B.

h) Scholia sequentia usque ad v. 599. desunt Heins. Bas.

ἀεὶ ὄν. *Περιδείκετε, διάδηλε τῶν βασιλέων.* ΙΑΠΕΤΙΟΝΙΔΗ, οὐκ ἀπὸ τοῦ Ἰαπετὸς πρωτοτύπου, ἀλλ' ἀπὸ τοῦ Ἰαπετίων, ὡς Πανδίων.

544. *Ω ΠΕΠΟΝ.* Διὰ τοῦτό φησιν ἀνέσχετο χλευασθῆναι, ὅπως εὕρῃ χώραν τιμωρήσασθαι τὸν Προμηθέα, ἵνα ἄξιος ᾖ μείζονος τιμωρίας· διὰ τοῦτο δὲ τὸν περὶ τοῦ βοὸς μῦθον παρέζευξεν, ἐπειδὴ μόνης τιμῆς τὸ ἀεὶ ὂν δεῖται. *ΕΤΕΡΟΖΗΛΩΣ.* [1]Ἀνίσως, ὡς τὸ ἕτερον μέρος ζηλωτὸν εἶναι διὰ τὸ ἄνισον.

555. *ΩΣ ΙΔΕΝ.* Συστολὴ γέγονε τοῦ ε διὰ τὸ μέτρον εἰς τὸ ἴδεν, Ἰωνικῶς.

563. *ΟΥΚ ΕΔΙΔΟΥ ΜΕΛΙΟΙΣΙ ΠΥΡΟΣ ΜΕΝΟΣ ΑΚΑΜΑΤΟΙΟ.* Τοῦτο ὅμοιον τῷ εἰς τὰ Ἔργα καὶ τὰς Ἡμέρας ῥηθέντι,

κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.

καὶ τῷ,

ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν.

Τὸν εὐχερῆ γὰρ καὶ ῥᾷστον βίον ὑπὸ τοῦ θεοῦ κεκρύφθαι φησὶ τοῖς ἀνθρώποις. Εἰ γὰρ ἦν πᾶσιν εὐπόριστος, ῥᾴδιον ἂν ἦν ἐν μιᾷ ἡμέρᾳ ἐργασάμενον τὸν ἐνιαυτὸν ὅλον ἀργὸν διατελεῖν, ὡς ἐντεῦθεν ἅπαξ πλεύσαντα, τὸ πηδάλιον οἴκοι καταθέσθαι, καὶ καπνίσαι, διὰ τὸ μὴ σῆψίν τινα ὑπομεῖναι, ἐγκειμένης αὐτῷ τῆς ὑγρότητος· ἢ εἴπερ ἐξ ἑτοίμου τὸν πλοῦτον ἐλάμβανον ἄνθρωποι, οὔτε ἔπλεον ἄν, οὔτε ἐγεώργουν, ἀλλ' εἰς δίκας ἕλκοντες ἀλλήλους ἐν σφαγαῖς ἀνηλίσκοντο. Ἐπειδὴ οὖν καὶ τὸν δόλον Προμηθέως ἐνόησεν ὃν ἐπὶ τοῦ βοὸς εἰργάσατο, ὀργισθεὶς οὐκ ἔδωκε τοῖς ἀνθρώποις τὸ πῦρ, ὥσπερ οὐδὲ τὸν εὐχερῆ βίον. *ΜΕΛΙΟΙΣΙ* δὲ, ἤτοι τοῖς ἀνθρώποις, ἢ ὅτι ἐκ Μελιῶν ἐγένοντο Νυμφῶν, ἢ ὅτι γεννώμενοι ἐῤῥίπτοντο ὑπὸ ταῖς μελίαις, ὅ ἐστι δένδροις.

565. *ΑΛΛΑ ΜΙΝ ΕΞΗΠΑΤΗΣΕΝ.* Ἐπειδὴ ἐξ ἐπιτεχνήσεως προνοοῦμεν, τὸ δὲ πῦρ ἐκ τοῦ προνοητικοῦ, τούτου χάριν Προμηθεὺς τὸ πῦρ ἔκλεψε, καὶ πανούργως ἐφεῦρε, διὸ καὶ ἐτιμωρήθη. *ΕΝ ΚΟΙΛΩι* δὲ *ΝΑΡΘΗΚΙ*, ἐπειδὴ πυρὸς φυλακτικὸν ὁ νάρθηξ διὰ τὸ κοῦφον αὐτοῦ. Ὅτι, φησὶν, ὁ

1) Ἑτεροζήλως ad fin. dedi ex S.

Προμηθεὺς τῷ μὲν Διῒ τὰ ὀστᾶ ἐφήπλωσε μετὰ λίπους, ἑαυτῷ δὲ τὰ πίονα καὶ σαρκωδέστερα ἔνειμεν, τούτου χάριν ὁ Ζεὺς ὀργισθεὶς, ἔκρυψε τὸ πῦρ, ἀλλὰ καὶ τοῦτο πάλιν ὁ Προμηθεὺς ὑφελόμενος, δέδωκε τοῖς ἀνθρώποις. Τί δὴ βούλεται τὰ ὀστᾶ βοός; τὸ τῆς ἀληθείας ἐπικάλυμμα ἐλάνθανε. Ζεὺς ἡ πρόνοια καὶ παρὰ τῷ ποιητῇ καὶ πολλαχοῦ λαμβάνεται, καὶ νῦν οὑτωσὶ λαμβανόμενον, χώραν ἂν ἔχοι· διττοῦ δὲ ὄντος τοῦ ἡμετέρου νοῦ, ἡ μὲν πρὸ τῶν ἔργων βουλὴ, καὶ τὸ προβουλευτικὸν, καὶ ὥσπερ λεπτότερον καὶ ἔνθεον, λέγεται Προμηθεύς· τὸ δὲ μετὰ τὸ κακῶς ἀποβῆναι τὰ πράγματα, μετὰ τὸ καταβεβηκέναι ὡς
429 *πρὸς τὸ παχύτερόν τε καὶ χαλαρώτερον, ὄνομα τὸ Ἐπιμηθεὺς ἐκληρώσατο. Ἰαπετὸς δέ ἐστι τούτων πατὴρ, ἡ τοῦ οὐρανοῦ ὀξεῖα κίνησις. Οὐρανῷ δὲ ἀναλογοίη ἡ ἀνθρωπίνη κεφαλὴ, διὰ τὸ σφαιροειδές. Ὁ γοῦν τοιοῦτος Προμηθεὺς συνὼν τῷ Διῒ, δηλαδὴ τῇ προνοίᾳ, ἐξηπάτησεν αὐτὸν τῇ ἐπιμοιρασίᾳ. Δόγμα γάρ ἐστιν Ἐμπεδόκλειον, ὃ βούλεται τὰς πάσας τῶν ἀνθρώπων ψυχὰς εἶναι καὶ προϋφεστάναι παρὰ τῷ δημιουργῷ καὶ τῇ προνοίᾳ, καὶ προκόπτειν ἐκεῖ, καὶ ἀναβαίνειν εἰς τελεωτέρους βαθμούς· ἐπειδὰν δὲ πρὸς τὰ γήϊνα ταυτὶ καὶ φθαρτὰ τὴν ὁρμὴν μετατρέψαιεν, εὐθὺς αὐτὸ τοῦτο λαμβάνουσιν ἐπιτίμιον τὸ ἐκεῖθεν μεταπεσεῖν ἐπὶ τὰ σώματα, καὶ τὴν μετὰ τούτων διαγωγήν. Διὸ καὶ ὁ ποιητὴς οὗτος ἐν τοῖς ὄπισθεν τὴν χείρονά φησιν ἔριν ὑπ' ἀνάγκης τιμᾶσθαι παρὰ τῶν ἀνθρώπων διὰ τὴν ἄλογον ζωὴν εἰς σῶμα πεσούσης τῆς ψυχῆς· καὶ τοῦτο κατὰ βούλησιν γεγονέναι τοῦ θεοῦ, τὸ τῇ ἀνάγκῃ ταύτῃ συσχεθῆναι, ἵνα δηλονότι μισῶσι τὸ μετὰ σώματος ζῆν· οὐ γὰρ ἐνδέχεται σώματι συνόντας, ἔξω παντελῶς εἶναι τῶν κατὰ τὸ σῶμα παθῶν. Ἕτεροι δὲ τῷ Ἐμπεδοκλεῖ ἐναντιούμενοι, ἀνάπαλιν μᾶλλον φασὶ τὴν εἰς τὸ σῶμα λαμβάνειν διαγωγὴν, ὅταν κατ' ἀρετὴν τέως ὑπεραναβῶσι, καὶ τοῦτο λαμβάνειν ἔπαθλον ἀρετῆς. Τέως γοῦν κατὰ τὴν δοκοῦσαν τῷ Ἐμπεδοκλεῖ προϋπόστασιν τῶν ψυχῶν, συνόντος τοῦ Προμηθέως τῷ Διῒ, τουτέστι, τοῦ προβουλευτικοῦ τῶν ψυχῶν νοῦ, ἠπατήθη παρ' αὐτοῦ παραλαβὼν τὰ ὀστᾶ. Τοῦτο δὲ τοιοῦτόν ἐστι· τῷ μὲν πρώτῳ νοῒ, τῷ Διῒ, ἀπεκλήρωσε τὸ τῇ ἀσαρκίᾳ καὶ ἀτροφίᾳ ἐνηδύνεσθαι, ὧν ἡ μὲν ἡδονὴ διὰ τῆς πιμελῆς δηλοῦται, τὸ δὲ τῶν ὀστῶν ξηρόν τε καὶ ἄνικμον, καὶ τελέως γυμνὸν, την ἀσαρκίαν καὶ ἀτροφίαν παραγυμνοῖ· ἑαυτῷ δὲ ἀπέ-*

νειμε τὰ σαρκώδη τε καὶ παχύτερα, τουτέστι, τὴν μὲν πρόνοιαν εἴασε τῇ συνήθει ἀσαρκίᾳ ἐνηδύνεσθαι, αὐτὸς δὲ πρὸς τὰ γήϊνα ἔνευσε. Τοῦτο πρῶτον ἁμάρτημα τοῦ νοῦ· δεύτερον δὲ ὁ Ζεὺς ὀργισθεὶς, παρακατέσχε τὴν ἄπονον καὶ νοερὰν ζωὴν, ὃ καὶ πῦρ ἔφη· ὡς γὰρ τὸ πῦρ ἀφανὲς πρὸ τοῦ δράξασθαι ὕλης, οὕτω καὶ ἡ τοιαύτη ζωή. Ὁ γοῦν Προμηθεὺς καὶ τὸ πῦρ ἐν κοίλῳ νάρθηκι λαθὼν ἀπεσύλησεν· ἡ δὲ κλοπὴ τοῦ Διὸς δηλοῖ μετάθεσιν ἀπὸ τοῦ νοητοῦ καὶ ἀφανοῦς εἰς τὸ αἰσθητὸν καὶ ἀλλότριον· πᾶσα γὰρ κλοπὴ λεληθυῖα τοῦ ἀλλοτρίου μετάθεσίς ἐστι· μετέθετο γοῦν τὴν ζωὴν ἀπὸ τῶν νοερῶν εἰς τὰ αἰσθητά. Νάρθηξ δέ ἐστι τὸ σῶμα· ὡς γὰρ ὁ νάρθηξ στέγει τὸ πῦρ, οὕτω καὶ τὴν ψυχὴν ἡ σάρξ· καὶ ὡς ὁ νάρθηξ σαθρὸν καὶ ἀραιὸν, οὕτω δὴ καὶ τὸ σῶμα. Ἐπεὶ γοῦν οὕτω συνέβη ταυτὶ, καὶ ἠθέλησεν ὁ Προμηθεὺς μεταθεῖναι τὴν καλὴν ἐκείνην ζωὴν καὶ διαγωγὴν ἐπὶ τὰ σαρκικὰ καὶ φθαρτὰ, τούτου χάριν ὀργισθεῖσα ἡ πρόνοια, ἐκ τεσσάρων στοιχείων συνέστησε σῶμα. Καὶ ὁ μὲν ποιητὴς τὰ τρία κατέλεξεν. Ἔστι δὲ συνεκδοχὴ ὁ τρόπος, καὶ λαμβάνομεν μετὰ τούτων καὶ τὸ ἕτερον. Ἐνέθετο δὲ τῷ σώματι καὶ αὐδὴν, ἤτοι φωνητικὰ ὄργανα. Τίνες δὲ τὴν ἄλογον ζωὴν καὶ διαγωγὴν ἐκλαμβάνουσι τὰ κατὰ τὴν πλάσιν τοῦ σώματος, ὅτι καὶ γυναῖκά φησιν, οὐχὶ ἄνδρα· αὐτὴν δ' οὖν πεποίηκεν ἔχειν θέαν ἀθανάτων. Τὸ μὲν οὖν τῆς γυναι- 430 κὸς εἶδος, τὸ ἔκλυτον καὶ ἀσθενὲς τῆς σαρκὸς δηλοῖ, ἢ τὸ ἐπέραστον. Τὸ δὲ ἀθανάτοις ὁμοιοῦσθαι, διὰ τὸ παράμονον. Τὸ δὲ καὶ παρθένον εἶναι διὰ τὸ ἀκμάζειν· ἀεὶ γὰρ ὁ καθόλου ἄνθρωπός ἐστι, καὶ ἀεὶ γεννᾶται καὶ ἀκμάζει, κἂν οἱ κατὰ μέρος φθείρωνται· ἢ τὸ, ἀθανάτοις δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν, ὡς μυθικὸν ἁπλῶς τέθειται, καὶ εἰς ἐπικάλυψιν τῆς ἀληθείας· ἢ ὅτι πεποίηκε τὸν ἄνθρωπον ἐλεύθερον κατὰ τοὺς θεοὺς, ὅπερ οὐδὲν τῶν ἄλλων ζώων ἔχει, ἢ ὅτι τὰ μὲν ἄλλα ζῶα κάτω βλέπει καὶ περὶ γῆν, μόνος δὲ ὁ ἄνθρωπος ἄνω.

573. k) Ἐπειδὴ μετὰ μηχανῆς γίνεται, ἀθετοῦνται· διότι, φασὶν, ἀπρεπὲς θεὰν οὖσαν τὴν Ἀθηνᾶν κοσμεῖν γυναῖκα.

578. ΑΜΦΙ ΔΕ ΟΙ ΣΤΕΦΑΝΗΝ. Στεφάνη λέγεται

k) Hoc Schol. dedi ex B.

θηλυκῶς τὸ περικύκλωμα τῶν πύργων καὶ τῶν τειχῶν τῶν πόλεων, Εὐριπίδης δὲ,

στεφάναν κέκαρσαι πύργων.

Ἐνταῦθα δὲ τὸν ἐκ χρυσοῦ πυργωτόν φησι στέφανον, ὃν αἱ γυναῖκες ἐν τῇ κεφαλῇ περιφέρουσι πύργου στεφάνῃ ἐοικότα. Συνέσιος· "Μέλλει γὰρ καὶ εἰς τὴν ἐπιοῦσαν ἑβδόμην ταινιώ-"σεσθαί τε καὶ πυργόφορος καθάπερ ἡ Κυβέλη περιελεύσε-"σθαι."

585. ΑΥΤΑΡ ΕΠΕΙΔΗ ΤΕΥΞΕ. Ἀντὶ τῆς ἀγαθῆς ἐκείνης καὶ ἀπόνου διαγωγῆς κατεσκεύασε τοῖς ἀνθρώποις ὁ Ζεὺς, ἤγουν ἡ πρόνοια, ἕτερον καλὸν κακὸν, τὴν ἐν σαρκὶ δηλαδὴ ζωήν· καλὴν μὲν οὖσαν διὰ τὸ ἐπέραστον εἶναι καὶ ἐπιθυμητὴν, πάντες γὰρ τῆς παρούσης ζωῆς ἐφίενται, κακὴν δὲ διὰ τὸ ἐπίμοχθον εἶναι καὶ λυπηράν. Ὅταν γάρ τις πρὸς τὰ ἡδέα ἀποβλέψῃ τοῦ βίου, ζῆν ἐφίεται· συσχεθεὶς δὲ τοῖς ἐπιπόνοις καὶ λυπηροῖς, προκρίνει τὸν θάνατον.

594. ΩΣ Δ' ΟΠΟΤ' ΕΝ ΣΜΗΝΕΣΣΙΝ. Ἐν σίμβλοις, ἐκ τοῦ περιεχομένου τὸ περιέχον. ΚΑΤΗΡΕΦΕΕΣΣΙ ΜΕΛΙΣΣΑΙ. Ἐστεγασμένοις, κεκαλυμμένοις ἄνωθεν· αἱ γὰρ μέλισσαι πρὸς σύγκρισιν τῶν σφηκῶν ἀμβλύτερα ἔχουσι τὰ κέντρα· διὰ τοῦτο σιμὰς ἐκάλουν τὰς μελίσσας, καὶ ἐκ τούτου σίμβλους, τὰ κύθηρα, ἢ σίμβλους, οἱονεὶ σιμοβόλους, ἐκ τοῦ σιμὰς καλεῖσθαι τὰς μελίσσας, ὡς εἴρηται, διὰ τὸ μὴ ἔχειν ὀξὺ κέντρον.

599. ΕΙΣ ΓΑΣΤΕΡ' ΑΜΩΝΤΑΙ. Ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, οἷον ἀθρόως ἀφαιροῦνται.

602.[l]) ΕΤΕΡΟΝ ΔΕ ΠΟΡΕΝ ΚΑΚΟΝ ΑΝΤ' ΑΓΑΘΟΙΟ. Ἤγουν τοῦ πυρὸς, ἢ τοῦ μὴ γάμου. Ἢ τοῦτό φησιν, οὔτε μὴ γήμας ἕτερον ἔχει κακὸν, τὸ μὴ γηροβοσκεῖσθαι. Ἢ οὕτως, ἀγαθὸν τὸ μὴ γαμεῖν, ἀλλὰ κακὸν τὸ μὴ ἔχειν γηροβοσκοὺς καὶ κληρονόμους.

607. ΧΗΡΩΣΤΑΙ. Ἀλλότριοι. Ἢ οἱ πόῤῥωθεν συγγε-
431 νεῖς· διότι χηρεύοντος τοῦ οἴκου καὶ ἐρήμου ὄντος τέκνων, [m]) κληρονόμων τῆς οὐσίας τῆς πατρικῆς, οἱ πόῤῥωθεν συγγε-

l) Hoc Schol. dedi ex Bas.

m) Pro κληρονόμων — ἀλλότρια Heins. habet tantum αὐτὴν κληρονομοῦσι. In Bas. αὐτὴν κληρονομοῦσι, γράφεται οὕτως, οὐκ ἴσον ἔχει τοῦ κακοῦ τὸ ἀγαθόν.

νεῖς, οἱ δημόσιοι τινὲς ἅρπαγες καὶ ἀλλότριοι τοῦ γένους, διαμερίζονται τὴν τοιαύτην οὐσίαν. Χηρωστὰς δὲ αὐτοὺς εἶπεν ἀπὸ τοῦ χηρῶ τὸ στερίσκω, ὡς ἁρπάζοντας τὰ ἀλλότρια.

610. [n]) Τὸ ΕΜΜΕΝΑΙ παρέλκεται. ΑΤΑΡΤΗΡΟΙΟ ΓΕΝΕΘΛΗΣ. Σκληρᾶς, χαλεπῆς, ἀπὸ γενικῆς γενεᾶς.

614. ΑΚΑΚΗΤΑ ΠΡΟΜΗΘΕΥΣ. [o])Ὁ μηδένα κακῶν, ἢ ὁ κακωθῆναι μὴ δυνάμενος. Ἀκακήσιον δὲ ὄρος Ἀρκαδίας, [p])ἔνθα ἐτιμᾶτο ὁ Προμηθεύς.

617. ΒΡΙΑΡΕΩ Δ' ὩΣ ΠΡΩΤΑ. [q])Ἐνταῦθα περὶ τῆς χειμῶνος συστάσεως ὁ ποιητὴς φυσιολογεῖ, καὶ τὴν τῶν στοιχείων πρὸς ἄλληλα μάχην καὶ τὴν τῶν ἐν ἡμῖν ποιοτήτων ὑποσημαίνει διὰ τούτων. Βριάρεων γὰρ, καὶ Κόττον, καὶ Γύγην τὰ ἐν χειμῶνι ταραχώδη πνεύματα ὀνομάζει, ἃ καὶ οὐρανοῦ καὶ γῆς τέκνα καλεῖ, ὡς ἐκ τῶν ἀναθυμιάσεων τῆς γῆς συνισταμένων, ἐπικειμένου αὐτῇ τῷ πλείστῳ τοῦ ἡμερινοῦ καὶ νυκτερινοῦ διαστήματος τοῦ οὐρανοῦ. Βραχὺ δέ τι τοῦ ἡλίου ἐπιπολάζοντος, δι' οὗ τὰ τοιαῦτα ἀπελαύνεται πνεύματα, ἀλλ' ἡ τοῦ οὐρανοῦ αὖθις περίοδος καὶ τοῦ ἡλίου πρὸς τὰ ὑψηλότερα μέρη ἐπάνοδος τὰ τοιαῦτα ἀπελαύνουσα πνεύματα, ὑπὸ γῆν κατακρύπτει, θαυμάζουσα μὲν τὸ μέγεθος αὐτῶν, καὶ τὴν ἰσχὺν, καὶ τὸ εἶδος, δεδοικυῖα δὲ μὴ ἐπικρατήσαντα ἀπωλείας γένωνται τῷ παντὶ αἴτια. Ἐπεὶ δὲ χρεία καὶ τούτων πρὸς τὴν τῶν καρπῶν τελεσφόρησιν, (συντελεῖ γὰρ καὶ ταῦτα ἐν χειμῶνι τοῖς ὑπὸ γῆν σπέρμασι) ταῖς βουλαῖς τῆς γῆς αὖθις ὑπὲρ γῆς ἀνάγονται, συνεργούντων τῇ ἀνόδῳ τούτων καὶ τῶν λοιπῶν στοιχείων. Εἰ γὰρ ὑπὸ γῆν ταῦτα διηνεκῶς ἦν, οὔτε τὰ ὑπὸ γῆν σπέρματα ἐζωογονεῖτο, οὔτε τὰ ἐν τοῖς μετεώροις ἐκ τῆς ξηρᾶς ἀναθυμιάσεως γινόμενα πάθη· βοθύνες λέγω, καὶ δοκίδες, καὶ κομῆται, καὶ διάττοντες, καὶ τὰ ἄλλα, ἀπηλαύνετο ἐκεῖθεν, ἃ Τιτᾶνας ὠνόμασε διὰ τὸ τιταίνεσθαι καὶ συνίστασθαι ἐν τοῖς μετεώροις. [r])Βριάρεω δὲ καὶ Κόττῳ, καὶ Γύγῃ· οὓς ὁ οὐρανὸς ἀπέκρυβεν. ΑΛΛΩΣ. Ἀλλ' ὅτε αὐτοὺς ἐποίησαν μετασχεῖν τῆς μοίρας τῶν θεῶν.

n) Desunt hinc ad γενεᾶς Trinc.

o) 'Ο — δυνάμενος om. Trinc.

p) Mercurium, non Prometheum, coli in Acacesio monte Arcadiae auctor est Pausanias VIII. 36. Vide Heynium ad Il. Π. 185.

q) Deest hoc Schol. Bas. usque ad μετεώροις.

r) Hinc ad ἀνδρείαν om. Trinc.

618. *ΔΗΣΕ ΚΡΑΤΕΡΩι ΕΝΙ ΔΕΣΜΩι.* Ἡ περίστροφος τοῦ οὐρανοῦ κίνησις, ἡ κύκλῳ τῷ ἄξονι, περὶ ὃν στρέφεται [s]) διὰ τὴν πάλιν καὶ πάλιν γινομένην κίνησιν εἰς ἄπαυστον. Οὐ γὰρ λήγει ἐλθὼν εἰς δυσμὰς ὁ οὐρανός.

619. *ΗΝΟΡΕΗΝ.* Τὴν ἰδίαν ἀνδρείαν. *ΑΓΩΜΕΝΟΣ.*
432 [t]) Θαυμάζων, διὰ τὸ τερατῶδες τῆς φύσεως, ἢ φθονῶν, ἢ ἐκπληττόμενος.

620. *ΚΑΤΕΝΑΣΣΕ.* Κατῴκισε, φοβούμενος αὐτούς.

622. [v]) *ΕΙΑΤΑΙ.* Περὶ αὐτὸν ἦσαν, ἢ καθέζοντο. *ΕΙΑΤ' ΕΠ' ΕΣΧΑΤΙΗι.* Κάθηνται ἐν τῷ ἐσχάτῳ καὶ τελευταίῳ μέρει. [x])*'ΕΝ ΠΕΙΡΑΣΙ ΓΑΙΗΣ.* Ἐν τῷ τέλει· ἤγουν ὑποκάτω τῆς γῆς.

626. *ΦΡΑΔΜΟΣΥΝΗιΣΙΝ.* [y]) Ταῖς βουλαῖς, καὶ ταῖς γνώμαις τῆς γαίης. Ἡ γὰρ γῆ εἶπεν αὐτοῖς ὅτι σὺν τούτοις νικᾶτε τοὺς Τιτᾶνας.

629. *ΔΗΡΟΝ ΓΑΡ ΜΑΡΝΑΝΤΟ.* [z])Ἐπειδὴ ἐπὶ πολὺ παρατείνεται τῶν θεῶν ἡ μάχη, τουτέστι τῶν στοιχείων, καὶ τῶν Τιτάνων, ἤγουν τῶν ἐν τοῖς μετεώροις συνισταμένων παθῶν. Τὸ πλεῖστον γὰρ τοῦ ἐνιαυτοῦ μέρος ξηρότερον ὡς ἐπὶ τὸ πλεῖστον διέρχεται, ἐν ᾧ καὶ τὰ εἰρημένα πάθη ἐπικρατεῖ, ἁβροτέρας ἀναθυμιάσεως καὶ ὑγροτέρας πλησθέντα τὰ ὑπὸ γῆν ἀπελαθέντα πνεύματα, ἐνισχύει τε καὶ ἐπικρατέστερα γίνεται τῶν ἐν τοῖς μετεώροις παθῶν, καὶ ὑπὸ γῆν ταῦτα ἀπελαύνει, ἔνθα ἦν αὐτὰ πρότερον. Ἀμβροσία δὲ εἴη ἐνταῦθα καὶ νέκταρ, ὡς εἴρηται, ἡ ἁβροτέρα ἐκ γῆς καὶ θαλάσσης ἀναθυμίασις, ἐξ ὧν τρεφόμενα τὰ τοιαῦτα πνεύματα, νάει κάτω, ἤγουν καταῤῥέει τοὺς ὄμβρους, καὶ ζωογονεῖ τὰ ὑπὸ γῆν δίκην νέκταρος. [a]) *ΑΛΛΩΣ.* Μάχη ἁπλῶς τῶν θεῶν πρὸς τοὺς Τιτᾶνας, τὴν μεριστὴν φύσιν, τὸ μὴ ἐς ταυτὸν συνιέναι τὴν νοερὰν καὶ σωματικὴν φύσιν. Οἱ μὲν ἀπ' Ὀλύμπου μάχονται τοῦ ὄλλυσθαι μήποτε, οἱ δὲ ἐξ Ὀθρύος, ὅθεν τὸ ῥευστὸν καὶ ἡ ῥύσις. Δέκα δὲ ἔτη ἐμάχοντο, ἵνα τὴν μάχην τὴν πλείστην δηλώ-

s) *διὰ — οὐρανὸς* habet Bas. post *Τιτᾶνας* in Schol. ad 626. ubi *κ. καὶ ἄπαυστον.*

t) Hinc sua hausit Etymolog. M. p. 16, 40.

v) Hinc ad *καθέζοντο* om. Trinc. Sequens Schol. om. Bas.

x) Dedi hoc Schol. ex Trinc.

y) *ταῖς τῆς γῆς γνώμης* Trinc.

z) Hinc ad *νεκταρος* om. Bas.

a) Hinc ad *ἐμάχοντο* om. Trinc.

σωσιν· οὐ γὰρ πλεῖον τῶν δέκα· διὸ καὶ τοσαῦτα ἔτη περὶ Ἑλένης, τῆς ὕλης τὰ ἐναντία, Τρῶες καὶ Ἕλληνες ἐμάχοντο.

638. ΙΣΟΝ ΔΕ ΤΕΛΟΣ ΤΕΤΑΤΟ. [b])Ἤγουν ἐξισοῦτο ἐν ἑκατέροις ὁ πόλεμος, καὶ οὐδεὶς ὑπερίσχυε τοῦ ἑτέρου· οὐ γὰρ ἡ νίκα τῶν θείων πρὸς ὁμογενῆ τὰ ῥευστὰ γίνεται, ἀλλ' ἀνόμοια τὰ μαχόμενα· δεῖ δὲ νικᾶσθαι ὑπὸ ὁμοφύλου τὰ ἡττώμενα, ἵνα καὶ ὄντως ᾖ νίκη. Διὸ καὶ ὡς Βριάρεως καὶ Κόττος ἅμα τῷ Γύγῃ παραλαμβάνονται, εἰς τὴν τῶν μεριστῶν νίκην· σῶμα γὰρ ὁ οὐρανὸς ὤν, καὶ διὰ τοῦτο μεριστὸν, ἄφθαρτον δὲ διαμένον, ὥς φασιν οἱ ταῦτα λέγοντες, νικῴη ἂν εὐλόγως τὰ ῥευστὰ σώματα. Καὶ οὕτως γίνεται ἡ νίκη, σωμάτων πρὸς σωμάτων, ἀλλ' οὐκ ἀσωμάτων πρὸς σωμάτων· τοῦτο γὰρ οὐ νίκη.

639. ΑΛΛ' ΌΤΕ ΔΗ ΚΕΙΝΟΙΣΙΝ. Ἀλλ' ὅτε φησὶ ἐποίησεν αὐτοὺς μετασχεῖν τῆς μοίρας τῶν θεῶν, τῷ Βριάρεῳ, Κόττῳ, καὶ Γύγῃ.

640. ΤΑ ΠΕΡ ΘΕΟΙ ΑΥΤΟΙ ΕΔΟΥΣΙ. Τὸ ἀΐδιον τοῖς οὐρανίοις δέδοται σώμασι. Καὶ οὕτω νικῶσι τοὺς ἄλλους 433 Τιτᾶνας, τὴν μεριστὴν φύσιν.

650. ΕΝ ΔΑΙ ΛΥΓΡΗι. [c])Ἐν τῇ μάχῃ χαλεπῇ. Ἔστι δὲ ἀποκοπὴ τοῦ δΐ· δαΐδι γὰρ ἦν.

651. ΜΝΗΣΑΜΕΝΟΙ ΦΙΛΟΤΗΤΟΣ. Μνημονεύσατε, φησὶν, ὅτε τεταρταρωμένους ἔσωσα ὑμᾶς, καὶ ἤγαγον εἰς φῶς.

655. ΟΥΚ ΑΔΑΗΤΑ. Οὐκ ἀσύνετα, οὐκ [d]) ἄγνωστα ἡμῖν, ἀλλὰ γνωστὰ, οὐκ ἀδίδακτα, οὐκ ἀφανῆ, ἀλλ' εἰδόσι λαλεῖς· καὶ οἴδαμεν ὅτι πάντα οἶδας, καὶ [e]) ὑπερέχεις πάντων.

661. [f]) ΑΤΕΝΕΙ ΤΕ ΝΟΩι. Συνεχεῖ, προθύμῳ νοΐ. ΑΛΛΩΣ. Ἀτενεῖ, ἄγαν τεταμένῳ, προθύμῳ· σκληρῷ καὶ δυνατῷ ἀμετατρέπτῳ τῷ νοΐ ῥυσόμεθα τὸ ὑμῶν κράτος.

669. ΜΑΡΝΑΜΕΝΟΙ ΤΙΤΗΣΙΝ. Λαβὼν ὁ θεὸς, φησὶ Πλάτων, τόδε τὸ πᾶν πλημμελῶς καὶ ἀτάκτως κινούμενον, εἰς τάξιν αὐτὸ ἤγαγε, καὶ τοῦτο ἡ μάχη τῶν στοιχείων. Ταῦτα γὰρ Τιτῆνες, ἡ πλημμέλεια καὶ ἡ ἀταξία.

b) ἤγουν — ἑτέρου om. Bas. οὐ γὰρ — φύσιν v. 640. om. Trinc.

c) Deest hoc Schol. Bas.

d) ἄγνωστα ἡμῖν, οὐκ ἀδίδακτα, ἀλλὰ γνωστὰ καὶ διδακτὰ ἡμῖν· εἰδόσι γὰρ λέγεις. Trinc.

e) περιέχεις Bas.

f) Hinc ad ἔκλινεν Sch. ad 673. om. Trinc.

673. ΕΞ ΩΜΩΝ ΕΠΕΦΥΚΟΝ, ἀντὶ τοῦ ἐπεφύκεσαν· τὸ δὲ πέφυκα παρακείμενος ὢν, πεφύκω Δωρικῶς γέγονε· καὶ ὅμοιον ἐνεστῶτι ἀναδεξάμενος χαρακτῆρα εἰς τὸν ἐπέφυκον παρατατικὸν ἔκλινεν.

674. [g]) ΟΙ ΤΟΤΕ ΤΙΤΗΝΕΣΣΙ ΚΑΤΕΣΤΑΘΕΝ. Ἐνταῦθα καταλέγει ὁ ποιητὴς τὰ ἐν χειμῶνι γινόμενα, τοὺς ὑπὸ γῆν γινομένους βόμβους, τὰς τῶν πνευμάτων σφοδρὰς ἐπαναστάσεις, κινήσεις πετρῶν ῥιπτουμένων τῇ σφοδρότητι τῶν ἀνέμων, σάλον θαλάσσης, καταιγίδας καὶ θυέλλας, ἀστραπάς τε καὶ βροντὰς, ἔστιν ὅτε καὶ πρηστῆρας καὶ κεραυνοὺς τὴν γῆν πολλάκις κατακαίοντας, καὶ πᾶν τὸ παρατυχόν· ἃ καὶ βέλη προσαγορεύει στονόεντα, ὡς βάλλοντα, καὶ στόνον τινὰ καὶ ταραγμὸν ἐμποιοῦντα.

675. ΠΕΤΡΑΣ ΗΛΙΒΑΤΟΥΣ. Ἤγουν μεγάλας καθ' ὑπερβολὴν, στιβαρὰς, ἰσχυράς.

677. [h]) ΠΡΟΦΡΟΝΕΩΣ. Προθύμως ταῖς χερσὶ καὶ τῇ δυνάμει ὁμοῦ ἔφαινον τὸ ἔργον αὐτῶν, τουτέστι τῆς ἰσχύος καὶ τῆς τέχνης.

680. ΣΕΙΟΜΕΝΟΣ. Πεδόθεν δὲ σεισμὸς γέγονε τῇ μεγάλῃ βοῇ τῶν ποδῶν αὐτῶν· ὣς ἄρ' ἐπ' ἀλλήλοισιν ἐπέφερον τὰ στονόεντα βέλη.

681. [i]) ῬΙΠΗι ὙΠ' ΑΘΑΝΑΤΩΝ. Τῇ ὁρμῇ καὶ κινήσει τῶν θεῶν, ἤτοι τῶν στοιχείων· τούτων γὰρ μαχομένων πάντα νικᾶται.

685. ΦΩΝΗ Δ' ΑΜΦΟΤΕΡΩΝ. Γενομένης τῆς τοιαύτης τῶν πνευμάτων κινήσεως ἅπαντα κλονεῖται, καὶ γῆ καὶ θάλασσα, καὶ τὰ ὑπὸ γῆν· ἀλλὰ καὶ μέχρις οὐρανοῦ φθάνει ὁ
434 τούτων ἦχος. Καὶ γὰρ καὶ αὐτὸς ὁ ἀὴρ καὶ ὁ αἰθὴρ κινηθέντες κεραυνοὺς καὶ ἀστραπὰς καὶ βροντὰς ἐπιπέμπουσι· γῆ δὲ καὶ θάλασσα δεχομένη ταῦτα μέγαν ἔχει τὸν τάραχον.

691. ἼΚΤΑΡ ἍΜΑ. [k]) Εὐθέως, ἐκ τοῦ σύνεγγυς, ὡς ἀπὸ τοῦ ἱκνοῦμαι, ἴκταρ, ἰκτικῶς, ταχέως· ἢ ἀντὶ τοῦ ἐγγὺς,

g) Hoc et seq. Schol. om. Bas.

h) Hoc et seq. Schol. om. Trinc.

i) Hoc et seq. Schol. om. Bas.

k) ἰκτικῶς ταχέως ἀπὸ τοῦ ἱκνοῦμαι Trinc. et mox ἐγγὺς παρεπόμενοι. Vide Ruhnkenium ad Timaeum p. 149. Etymol. MS. Leidensis: Ἴκταρ ἰκτικῶς παρὰ τὸ ἱκνοῦμαι· Πλάτων δὲ ἀντὶ τοῦ ἐγγὺς τίθησιν, οἷον τὸ λεγόμενον, Οὐδ' ἴκταρ βάλλει.

ἐκ τοῦ παρεπομένου, ἐπειδὴ ὁ ἀφικνούμενος ἐγγὺς γίνεται. Χρῶνται δὲ καὶ οἱ τραγικοὶ ταύτῃ τῇ λέξει.

692. ΕΙΛΥΦΟΩΝΤΕΣ. [l])Ἅπτοντες, συστρέφοντες, τὸ πῦρ πανταχοῦ περιάγοντες.

693. ΦΕΡΕΣΒΙΟΣ. Ἡ τὴν ζωὴν διδοῦσα.

695. ΕΖΕΕ ΔΕ ΧΘΩΝ. Ἀνέβρασεν ἡ γῆ. Τοῦτο δῆλόν ἐστιν ἀπὸ τῶν ἀτμῶν, καὶ τῆς ὁμίχλης τῆς ἐν τῷ χειμῶνι γινομένης καὶ τῶν ἀτμιζόντων ὑδάτων. Ὑπὸ γῆν μὲν γὰρ ἐπιπολὺ διατρίβων ὁ ἥλιος ταῖς ὀπαῖς τῆς γῆς εἰσδυόμενος θερμαίνει τὰ ὕδατα, ὡς καὶ ἀτμόν τινα ταῦτα ἀποτελεῖν· ὑπὲρ γῆς δὲ γενόμενος, καὶ τὰς ἀκτῖνας ἐπιπέμψας τῇ γῇ, τὰς ἐν νυκτὶ προσγενομένας ἰκμάδας ἀνιμώμενος τὴν ὁμίχλην ἐργάζεται. Οὐ μόνον δὲ ἐν γῇ ταῦτα γίνεται, ἀλλὰ καὶ ἐν θαλάσσῃ καὶ ποταμοῖς, καὶ τοῖς λοιποῖς τῶν ὑδάτων συστήμασι. Σαφέστερον δ' ἄν τις γνοίη, ὡς καὶ ἐκ γῆς καὶ ἐκ θαλάττης καὶ τῶν ὑδάτων πάντων ὁμίχλη γίνεται, ἀπό τε τῶν θερμαινομένων τῷ πυρὶ ὑδάτων, καὶ ἀτμόν τινα ἀναπεμπόντων, καὶ ἀπὸ τῶν λοιπῶν στερεῶν σωμάτων, ξύλων φημὶ καὶ πετρῶν, καὶ τῶν τοιούτων ἑτέρων. Καὶ ταῦτα γὰρ διὰ τὸ μετέχειν ὑγρότητος θερμαινόμενα ἀτμόν τινα ἀποτελεῖ, τὰ μὲν ὑγρότερα μείζονα, τὰ δὲ ξηρότερα ἐλάττονα.

696. ΑΥΤΜΗ. Ἀτμὴ τοῦ πυρός.

698. ΟΣΣΕ Δ' ΑΜΕΡΔΕ. Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔκοπτε, ἐτύφλου.

700. ΕΙΣΑΤΟ Δ' ΑΝΤΑ. [m])Ἀντὶ τοῦ ἔδοξεν ὁρώμενα ἐξ ἐναντίας, ἢ ἐφαίνετο τοῖς ὁρῶσι τῇ ὥρᾳ ἐκείνῃ καὶ τοῖς ἀκούουσιν οὕτως, ὡς ὁπότε τῇ γῇ ἐμισεῖτο ὁ οὐρανὸς, οὕτως ἦν ἀκαταστασία.

704. [n])ΤΗΣ ΜΕΝ ΕΡΕΙΠΟΜΕΝΗΣ. Τῆς γῆς ἐῤῥιμμένης, ἢ ὑπομενούσης ἢ πληττομένης ὑπὸ τοῦ οὐρανοῦ. ΑΛΛΩΣ. Τουτέστιν ἐῤῥιμμένης, ἐξεριπόντος δὲ τοῦ οὐρανοῦ ἐπικειμένου.

706. ΣΥΝ Δ' ΑΝΕΜΟΙ. Οἱ δὲ ἄνεμοι σεισμοὺς καὶ κόνιν ἐποίουν, ἠχοῦντες συνετάρασσον.

l) Hoc et seq. Schol. usque ad v. 700. om. Bas. ἀποστάζοντες B. S. pro ἅπτοντες.

m) ἀντὶ — ἢ om. Trinc. οὐ τοῖς ἀκούουσιν ὡς Heins. οὕτως ἦν ἀκ. om. Trinc.

n) Hoc et seq. Schol. om. Trinc.

708. *ΚΗΛΑ ΔΙΟΣ ΜΕΓΑΛΟΙΟ.* o) Τὰ βέλη τα καυστικά.

709. *ΟΤΟΒΟΣ Δ' ΑΠΛΗΤΟΣ.* p) Θόρυβος, ψόφος· 435 διὰ τὸ ἀσαφὲς τοῦτο λέγει· ὅτοβος γὰρ ἡ διὰ τῶν ὤτων βοή. Γράφεται καὶ ΚΟΝΑΒΟΣ, καὶ σημαίνει καὶ αὕτη ἡ λέξις τὸν θόρυβον.

711. *ΠΡΙΝ Δ' ΑΛΛΗΛΟΙΣ ΕΠΕΧΟΝΤΕΣ.* Ἀνθιστάμενοι, ἐμποδίζοντες τὸ πρότερον ἀλλήλους, νῦν ἐκλίθη ἡ μάχη.

713. *ΜΑΧΗΝ ΔΡΙΜΕΙΑΝ.* Ἐκ μεταφορᾶς τῶν ὠδινουσῶν. Ὅμηρος,

Ὡς δ' ὅτε ὠδίνουσαν ἔχει βέλος ὀξὺ γυναῖκα·
Δριμὺ, τότε προϊεῖσιν. —

720. *ΤΟΣΣΟΝ ΕΝΕΡΘ' ΥΠΟ ΓΗΣ.* q) Ἕνεκεν διδασκαλίας λευκῆς· οὐκ εἰδὼς γὰρ, ἢ ἀπὸ ἱστορίας λέγει, ἢ πείρας, ἢ περί τινος λέγει, καὶ πρὸς τὴν δόξαν τῶν ἀνθρώπων πλάττει. ΑΛΛΩΣ. r) Κέντρου γὰρ λόγον ἐπέχει πρὸς ἀμφότερα ἡ γῆ. ΚΑΙ ΤΟΥΣ ΜΕΝ ΥΠΟ ΧΘΟΝΟΣ. Ἐκεῖ ἡ ὀργὴ τῶν θεῶν πέμπει τὰ πλημμελήματα καὶ δυσφημίας τῶν ἀνθρώπων. Δεῖ δὲ νοεῖν, ὅτι ἐκτὸς τοῦ s) τείχους ἐπιτηροῦσι τοὺς Τιτᾶνας. Οὐ γὰρ σὺν τοῖς Τιτᾶσιν οἰκοῦσι καὶ οὗτοι.

726. *ΑΜΦΙ ΔΕ ΜΙΝ ΝΥΞ.* Ἐκεῖ καὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ καὶ τοῦ ταρτάρου, καὶ τοῦ πόντου, καὶ πάντων αἱ ἀρχαὶ καὶ τὸ τέλος ἐστί. Χάλκεον δὲ ἕρκος ἐλήλαται, ἤγουν περιτρέχει, ἐκ μήκους, καὶ πλάτους, ἢ ἐξ ἀμφοτέρων τῶν μερῶν, καὶ ἐντὸς τοῦ ταρτάρου, καὶ ἐκτὸς τεῖχος περιέχει.

727. *ΤΡΙΣΤΟΙΧΕΙ.* t) Κατὰ τρεῖς τάξεις εἰς τὸ αὐτὸ περὶ τὸ ἄκρον καὶ ἀνώτατον μέρος τοῦ ταρτάρου πρὸς τῷ ᾅδῃ, περὶ ὅν φησι κέχυται πολλὴ νύξ. Τὸ γὰρ τριστοιχεὶ πολυστοιχεί.

o) Deest hoc Schol. Bas.

p) Hoc et duo seqq. Schol. om. Trinc. In Sch. seq. dedi ἐκλίθη pro ἐκλήθη.

q) ἕνεκεν — ἄλλως om. Trinc. Quid sit illud λευκῆς non perspicio.

r) Hinc ad περιέχει om. Bas.

s) χείλους Trinc.

t) κατὰ τρεῖς τάξεις ἐπάνω τοῦ ταρτάρου κεῖται ἡ γῆ καὶ ἡ θάλασσα, καὶ ὁ ὑπὸ γῆν ἀήρ. Trinc. ubi desunt reliqua ad οὐ πορευτέον.

Ibid. *ΑΥΤΑΡ ΥΠΕΡΘΕΝ.* Ἐπάνω τοῦ ταρτάρου κεῖται ἡ γῆ καὶ ἡ θάλασσα, τριπλῆ, ὡς ἂν πλεῖσται καὶ ἄπειροι γῆς ῥίζαι πεφύκασιν, ἀντὶ τοῦ ἐκεῖ ῥίζα τοῦ κόσμου. Ἡ μεταφορὰ ἀπὸ τῶν φυτῶν.

732. *ΤΟΙΣ ΟΥΚ ΕΞΙΤΟΝ ΕΣΤΙ.* Λείπει ἡ διὰ, ἵν' ᾖ διὰ τούτων τῶν ῥιζῶν οὐκ ἐκβαδιστέον, οὐ πορευτέον.

Ibid. *ΠΥΛΑΣ Δ' ΕΠΕΘΗΚΕ.* v) Διότι ὁ αὐτὸς ἐννοσίγαιος, ὁ τὴν γῆν συνέχων. *ΑΛΛΩΣ.* Τῆς γὰρ ὑγρᾶς καὶ ψυχρᾶς ἐπιπολαζούσης ἀναθυμιάσεως ἐν τῷ ὑπὲρ ἡμᾶς ἀέρι, αἱ ξηραὶ ἀναθυμιάσεις κεκώλυνται ἀνιέναι.

733. w) *ΤΕΙΧΟΣ ΠΕΡΙΚΕΙΤΑΙ.* x) Περιέχει ἐκ μήκους καὶ πλάτους, ἢ ἐξ ἀμφοτέρων τῶν μερῶν ἐντὸς τοῦ ταρτάρου, καὶ ἐκτὸς τεῖχος περιτρέχει.

734. *ΕΝΘΑ ΔΕ ΓΥΓΗΣ ΚΟΤΤΟΣ ΤΕ.* Ἐκεῖ ἡ ὀργὴ 436 τῶν θεῶν ἐπέχει τὰ πλημμελήματα καὶ τὰς δυσφημίας τῶν ἀνθρώπων· δεῖ δὲ νοεῖν, ὅτι οὗτοι ἐκτὸς τοῦ τείχους ἐπιτηροῦσι τοὺς Τιτᾶνας. Οὐδὲ ἐν τοῖς Τιτᾶσι δεῖ νοεῖν οἰκοῦντας τούτους.

736. *ΕΝΘΑΔΕ ΓΗΣ ΔΝΟΦΕΡΗΣ.* Ἐκεῖ καὶ τῆς γῆς καὶ τοῦ οὐρανοῦ καὶ τοῦ ταρτάρου καὶ πάντων αἱ ἀρχαὶ καὶ τὰ τέλη εἰσὶν, ἐπειδὴ ἄναρχα ταῦτα. Τὸ γὰρ ὕδωρ ἄναρχον, ἐξ οὗ τὰ πάντα.

738. *ΕΞΕΙΗΣ ΠΑΝΤΩΝ ΠΗΓΑΙ.* Λείπει ἡ διὰ, ἵν' ᾖ διὰ τούτων τῶν ῥιζῶν, πάντων ἡ ἀρχὴ, ἐκ τοῦ παρ' ἑτέρου ἐκφέρεται, καὶ ἐκεῖ ἀποτελεῖται.

740. *ΟΥΔΕ ΚΕ ΠΑΝΤΑ.* Ἐπειδὴ ἀφανὴς ἡ τούτων ἀρχὴ καὶ τὸ τέλος, οὐδ' εἰ πάντα, φησὶ, τὸν ἐνιαυτὸν δυνηθείη φθάσαι τὸ βάθος, ἐὰν μόνον φθάσῃ περάσαι τὸ ὕδωρ, ἀλλ' ἄνεμοι περιφέρουσιν αὐτό· λείπει δὲ τὸ τὶς, οἷον, Οὐδ' ἄν τις.

744. *ΚΑΙ ΝΥΚΤΟΣ ΕΡΕΜΝΗΣ.* Ἐκ τῆς νυκτὸς τὰ δεινὰ οἰκήματα ἐκεῖ ἐστὶ νεφέλῃ κεκαλυμμένα. Πρὸ δὲ τῶν οἰκημάτων ὁ Ἰαπετιονίδης ἵσταται τὸν οὐρανὸν βαστάζων, ὅπου καὶ ἡ νὺξ καὶ ἡ ἡμέρα χωριζόμεναι ἀπ' ἀλλήλων προσαγορεύουσιν ἀπαντῶσαι ἀλλήλας.

v) διότι — ἄλλως om. Trinc. ἄλλως — ἀνιέναι om. Bas.

w) Hinc ad ἤκουσεν Schol. v. 746. om. Trinc.

x) περιτρέχων B. et mox καὶ ἐντὸς καὶ ἐκτὸς καὶ ἐντὸς τοῦ Ταρτάρου τεῖχος sine περιτρέχει.

746. *ΤΩΝ ΠΡΟΣΘ᾽ ΙΑΠΕΤΟΙΟ.* [xx]) *Πρὸ τῶν οἴκων, δηλονότι τῆς νυκτός. Μαχόμενα τὰ ἐπὶ τῷ Ἄτλαντι. Εἰ γὰρ ἐννέα ἡμερῶν διάστημα ὁ ἄκμων καταβαίνει ἐπὶ τῆς γῆς, πῶς οἷόν τε τὸν Ἄτλαντα ἐπὶ τῆς γῆς ἑστῶτα βαστάζειν τὸν οὐρανόν; Ὁμήρου εἰπόντος,*

ἔχει δέ τε κίονας αὐτός·

ἀντὶ τοῦ ἐπιμελείας ἀξιοῖ, ἢ φυλάττει, ὡς καὶ ἐν ἄλλῳ,

Καί μοι κῆπον ἔχει πολυδένδρεον —

ὁ δὲ Ἡσίοδος, ἀντὶ τοῦ κατέχει καὶ φέρει ἤκουσεν.

756. [z]) *ΚΑΣΙΓΝΗΤΟΝ ΘΑΝΑΤΟΙΟ. Ἀδελφὸν τοῦ θανάτου. Θανάτῳ γὰρ ὅμοιός ἐστιν ὁ βαθὺς ὕπνος.*

759. [y]) *ΥΠΝΟΣ ΚΑΙ ΘΑΝΑΤΟΣ. Ὁ μὲν αἰωνίως δαμάζει, ὁ δὲ πρὸς ὀλίγην ὥραν. Ἐκ τῶν παρεπομένων δὲ τοῖς ἀνθρώποις, κοινῶς πλάττει.*

761. [a]) *ΟΥΔ᾽ ΟΥΡΑΝΟΘΕΝ ΚΑΤΑΒΑΙΝΩΝ. Ἤγουν εἰς τὸ κάτω ἡμισφαίριον γεγονώς. Ὁ γὰρ πέρα καθεύδων τοῦ πρέποντος, ὥς φησι Σιμοκάτης, οὔτε ἀνίσχοντα, οὔτε δυόμενον προσβλέπει τὸν ἥλιον.*

767. [b]) *ΕΝΘΑ ΘΕΟΥ. Ἐν τοῖς οἰκήμασι νυκτός, τὸ δὲ χθονίου ἢ τοῦ στυγεροῦ· ὡς Ἀνακρέων,*

χθόνιον δ᾽ ἐμαυτὸν ἦρεν.

437 772. [c]) *ΕΞΕΛΘΕΙΝ Δ᾽ ΟΥΚ ΑΥΘΙΣ. Τούτῳ ὅμοιον τὸ παρ᾽ Αἰσχύλῳ,*

οἰκτρῶς καλεῖσθέ μ᾽. ἔστι δ᾽ οὐκ εὐέξοδον.
ἄλλως τε πάντως χ᾽ οἱ κατὰ χθονὸς θεοὶ
λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι.

775. [d]) *ΑΨΟΡΡΟΟΥ ΩΚΕΑΝΟΙΟ. Αὐτὸς γὰρ ἐξ ἑαυτοῦ τὰς πηγὰς ἔχων πάλιν εἰς ἑαυτὸν ἀναστρέφει· ἢ ὅτι αἱ ἀναθυμιάσεις, δι᾽ ὧν νεφέλαι καὶ ὄμβροι συνίστανται, ἐξ αὐτοῦ τὴν γένεσιν ἔχουσι (καὶ) εἰς αὐτὸν πάλιν ἀναστρέφουσιν.*

776. *ΔΕΙΝΗ ΣΤΥΞ.* [e]) *Φοβερὰ τοῖς ἐπιορκοῦσι· δεινὴ*

xx) *Ἐνταῦθα τὸ ἔχειν ἀντὶ τοῦ φυλάττειν πάσῃ δυνάμει καὶ ἐπιμελείας ἀξιοῦν τινες εἰλήφασιν· εἰ γὰρ κ. τ. λ.* S.

z) Deest hoc Schol. Bas.

y) Deest hoc Schol. Trinc. Dedi *κοινῶς* pro vulg. *κοιμῶν.*

a) Deest hoc Schol. Bas.

b) Deest hoc Schol. Trinc. *ὑπὸ* pro *τὸ δὲ*, et mox *τοῦ* om. S. Idem paullo infra *ἦγον.*

c) Deest hoc Schol. Bas.

d) Hoc Schol. dedi ex S.

e) *ἤτοι φοβερά· οἱ γὰρ ἐπιορ-*

I

θεός, ὅτι τοὺς ἐπιορκοῦντας εἰς αὐτὴν βασανίζει. [f]) *ΑΛΛΩΣ. Στύγα νῦν λέγει τοὺς σταλαγμοὺς τῶν ὑδάτων, καὶ τὰς ψεκάδας τὰς ἀπὸ τῶν κάτω τόπων ἀναδιδομένας περὶ τὸν ὑπὲρ γῆς ἀέρα, καὶ ποιούσας ἴριδα, καὶ νέφη, καὶ ὄμβρους, καὶ χάλαζαν, καὶ τὰ τοιαῦτα, οὓς δὴ σταλαγμοὺς καὶ κίονας ἀργυρέους προσαγορεύει, διὰ τὸ καθαρὸν καὶ λευκόν. Κίονας δὲ διὰ τὸ ἀπὸ γῆς, ἢ ἀπὸ τῶν ὑπὸ γῆν μέχρις οὐρανοῦ ἀνέρχεσθαι ἀνελκομένας τῇ τοῦ αἰθέρος καὶ τοῦ ἡλίου θερμότητι.*

778. [g]) *ΜΑΚΡΗιΣι ΠΕΤΡΗιΣΙ. Ταῖς μεγάλαις, διὰ τὸ ὑπὸ πετρῶν εἶναι τὸ ὕδωρ.*

779. *ΚΙΟΣΙΝ ΑΡΓΥΡΕΟΙΣΙ.* [h]) *Τοῦτο καθ' ὑπερβολήν· οὐ γὰρ ἄχρις οὐρανοῦ οἱ κίονες ἐκ ταρτάρου. Ἢ διὰ τὴν ἀνάδοσιν τοῦ εἰς οὐρανὸν ἀνερχομένου ὕδατος.*

780. *ΠΑΥΡΑ ΔΕ. Ὀλιγάκις. Οὐ γὰρ συνεχῶς γίνεται. Ὀλιγάκις, φησὶν, ἄνωθεν τῶν νώτων τῆς θαλάσσης ἡ Ἶρις ἀναστρέφεται, ὅταν οἱ θεοὶ πρὸς ἀλλήλους ἐρίζωσιν, ἤγουν ὅταν μάχη τις ἐν τοῖς στοιχείοις γένηται. Ταῦτα γὰρ θεοὺς καλεῖ, διὰ τὸ θέειν, καὶ κινεῖσθαι· οὐ γὰρ ἀεὶ φαίνεται. Ἀλλ' ὅταν πολλή τις γένηται ταραχὴ ἐν τοῖς μετεώροις καὶ πολὺ καταῤῥεύσῃ ὕδωρ, τότε εἴωθε συνίστασθαι, ὀλίγου ὕδατος τοῖς νέφεσιν ἐναπομείναντος· οὐ γὰρ ἐπὶ πλήθους ὑδάτων συσταίη ποτ' ἄν· πέμπεται δὲ ὑπὸ τοῦ Διὸς ἄγγελος τῆς τοῦ κόσμου συστάσεως.* [i]) *Θαύμαντος δὲ, διὰ τὸ θαῦμα ἐμποιεῖν.*

784. *ΖΕΥΣ ΔΕ ΤΕ ΙΡΙΝ ΕΠΕΜΨΕ.* [k]) *Τῆς γῆς καὶ τῆς θαλάσσης αἱ ῥίζαι ἐν τῷ ταρτάρῳ. Διὰ τοῦτο ἡ Ἶρις διὰ θαλάσσης εἰς τάρταρον πέμπεται.*

785. *ΕΝ ΧΡΥΣΕΗι ΠΡΟΧΟΩι.* [l]) *Ξέστῃ. ΠΟΛΥΩ- 438
ΝΥΜΟΝ ὝΔΩΡ· Ἤγουν ὀνομαστὸν, τίμιον, ἢ ἔνδοξον, ἢ πολλάκις ὑπὸ πολλῶν ὀνομαζόμενον, διὰ τοὺς ὅρκους· ἢ ἐν πολλοῖς τόποις ὂν, ἢ πολύχρουν.*

787. *ΠΟΛΛΟΝ Θ' ὙΠΟ ΧΘΟΝΟΣ.* [m]) *Πολὺ δὲ ὑπὸ*

κοῦντες εἰς αὐτὴν βασανίζονται. Trinc.

f) Hinc ad fin. om. Bas.

g) Deest hoc Schol. Trinc.

h) *Εἰς ὑπερβολὴν καὶ ἀδύνατον* Bas. Heins. mox *ἀνερχομένου* om. Bas. Heins.

i) Desunt seqq. Trinc. In Bas. haec reperiuntur: *Θαύμαντος ὄνομα ἀντὶ ἐπιῤῥήματος· τὸ δὲ παῦρα ἀντὶ ὀλιγάκις. Θαύμαντος δὲ διὰ τὸ θαῦμα κ. τ. λ.*

k) Deest hoc Schol. Trinc.

l) *ἐν χ. π. ξ.* om. Trinc. *πολυώνυμον — ὀνομαστὸν* om. Heins. Bas. et mox *ἢ πολύχρουν.*

m) *πολὺ δὲ* om. Trinc. et mox *καὶ οὗτος.*

τὴν γῆν διὰ τοῦ Ὠκεανοῦ λαθραίως παρέρχεται τὸ ὕδωρ τῆς Στυγὸς, καὶ οὕτος.

792. Ἡ ΔΕ ΜΙ' ΕΚ ΠΕΤΡΗΣ. Ὡς [n]) δι' ὀχετοῦ κεκρυμμένου διαβαίνει πρὸς τὰς πέτρας, ὅθεν καὶ φαίνεται. Ἔστι δὲ τὸ ἐκεῖ ὕδωρ τῆς Στυγὸς [o]) τὸ δέκατον μέρος τοῦ Ὠκεανείου ὕδατος· ὡς ἔχειν τὸ λοιπὸν ὕδωρ τοῦ Ὠκεανοῦ μοίρας ἐννέα, [p]) τὸ δὲ τῆς Στυγὸς μίαν.

794. [q]) ΝΗΥΤΜΟΣ. γρ. νηύποτμος. νεκρὸς, ἄπνους· τὸ γὰρ νη στερητικόν.

796. ΟΥΔΕ ΠΟΤ' ΑΜΒΡΟΣΙΗΣ. [r]) Τὸ ἀπαῤῥησίαστον τῶν ἀσεβῶν χαρακτηρίζει.

Ibid. ΑΣΣΟΝ. Πλησίον τῆς βρώσεως τῶν θεῶν παραγίνεται.

797. ΚΩΜΑ. Ὁ νόθος ὕπνος, ὁ καλούμενος κάρος.

799. ΑΥΤΑΡ ΕΠΗΝ ΝΟΥΣΟΝ ΤΕΛΕΣΗι. Διὰ τοῦτο ἐν μακρονοσίᾳ φησὶν [s]) ἐξετάζεσθαι τὸν ἀσεβῆ, ἐπειδὴ πολλοὶ τοῦ συντόμου θανάτου κατατρέχουσι πρὸς τὸ ταχέως ἀπαλλάττεσθαι τῶν κακῶν.

801. [t]) ΕΝΝΑΕΤΕΣ ΔΕ. Τὸ δὲ ΔΕ, ἀντὶ τοῦ γάρ. Τὸ δὲ ΑΠΟΜΕΙΡΕΤΑΙ, σημαίνει τὸ ἀποχωρίζεται. ΔΕΚΑΤΩι, ἵνα δῷ ἐλπίδα μεταβολῆς τῷ δικαιοπραγήσαντι.

806. ΩΓΥΓΙΟΝ· ΤΟ Δ' ἹΗΣΙ. Τὸ παλαιὸν, ἀπὸ Ὠγύγου βασιλεύσαντος πρῶτον τῶν θεῶν. Δύναται δὲ ἐκ τούτου καὶ ἐπὶ τοῦ μεγάλου τάττεσθαι.

807. ΕΝΘΑΔΕ ΓΗΣ ΔΝΟΦΕΡΗΣ. [v]) Ἐπειδὴ κυκλικά εἰσι τὰ τῶν στοιχείων σώματα, τὸ τοῦ ἑνὸς τέλος ἀρχή ἐστι τοῦ ἑτέρου. Ἐν γὰρ τῷ τέλει τῆς γῆς ἀρχὴν τὸ ὕδωρ λαμβάνει· καὶ ἑξῆς τὰ λοιπά. Ἡ ἀρχὴ καὶ τέλος ἑκάστου ἐστὶ τὸ σημεῖον, ἀφ' οὗ ὁ κύκλος ἤρξατο περιάγεσθαι. Τοῦτο δὲ ὑπὸ γῆν φησιν, οἶμαι, διὰ τὸ ἀφανὲς ἡμῖν εἶναι καὶ ἄγνωστον.

n) ἐν ὀχετῷ κεκρυμμένως Trinc. εἰς ὀχετὸν κεκρυμμένον διαβάλλει καὶ ἀναβαίνει B. ὡς ὀχετὸν κεκρυμμένον Bas.

o) κατὰ μέρος Bas. et mox πᾶν ὕδωρ τοῦ ὠ. μ. δέκα. — ἔχειν τὸ πᾶν ὕδωρ τ. ὠ. μ. δέκα, τοῦ μὲν θ. τοῦ δὲ μίαν μοῖραν B. μέρος pro ὕδωρ Trinc.

p) Ita Trinc. τούτου μὲν ἐννέα αὐτῆς δὲ μία μοῖρα Heins. Bas.

q) Hoc Schol. et ad 797. sunt ex S.

r) Hoc et seq. Schol. om. Tr.

s) ἐξετάζεται ὁ ἀσεβὴς B.

t) Hoc et seq. Schol. om. Tr.

v) Hinc ad λοιπὰ v. 813. om. Bas. Dedi περιάγεσθαι pro ἄγεσθαι ex MS. Bar. 109.

810. *ΤΑ ΤΕ ΣΤΥΓΕΟΥΣΙ ΘΕΟΙ ΠΕΡ.* Μισοῦσι γὰρ τὸν ὑπὸ γῆν τόπον οἱ θέοντες ἀστέρες, διὰ τὸ ζοφῶδες.

812. *ΑΡΗΡΩΣ.* Ἡρμοσμένως· αἱ γὰρ ῥίζαι τῆς γῆς οὕ- 439 τως εἰσὶν ἡρμοσμέναι, ὡς μηδέποτε δύνασθαι κινηθῆναι τῆς αὐτῶν στάσεως.

813. *ΑΥΤΟΦΥΗΣ.* w) Οὐκ ἐκ πολλῶν συγκείμενος ἀλλὰ μονόβολος.

Ibid. *ΠΡΟΣΘΕΝ ΔΕ ΘΕΩΝ.* Μετὰ τὸν κύκλον τοῦ οὐρανοῦ τὰ θέοντά ἐστι τῶν ἀστέρων σώματα· εἶτα τὰ περὶ τὸν αἰθέρα τιταινόμενα καὶ συνιστάμενα πάθη, ἃ Τιτᾶνας ὀνομάζει, ἤγουν κομήτας, καὶ βοθύνας, καὶ δοκίδας, καὶ τὰ τοιαῦτα· ἑξῆς δὲ τούτων τὰ τυφωνικὰ πνεύματα, ἃ τῷ Διῒ βοηθοῦσι, τουτέστι τῷ αἰθέρι, διὰ τὸ ἀπελαύνειν ἐξ αὐτοῦ τὰ ἐκ ξηρότητος γινόμενα πάθη, τοὺς κομήτας καὶ τὰ λοιπά.

818. x) *ΓΑΜΒΡΟΝ ἙΟΝ ΠΟΙΗΣΕ ΒΑΡΥΚΤΥΠΟΣ ΕΝΝΟΣΙΓΑΙΟΣ.* Παρόσον ἡ τῶν κυμάτων κίνησις σφοδροτέρα ὑπὸ πνευμάτων συνερχομένων αὐτῇ.

830. y) *ΑΛΛΟΤΕ ΜΕΝ ΓΑΡ ΦΘΕΓΓΟΝΤΟ.* Ἤγουν ποτὲ μὲν ἐλάλουν ὥστε καὶ θεοῖς γνωρίζεσθαι τὴν φωνήν· ποτὲ δὲ καταλλήλως τῷ βίῳ, καὶ ποτὲ ἀκαταλλήλως.

832. *ΟΣΣΑΝ ΑΓΑΥΡΟΥ.* z) Κακοῦ, ἢ ἀπόρου. Ἰωνικῶς, ἄγαυρος προπαροξύνεται. Τὰ γὰρ εἰς ρος ὀνόματα, τῇ αυ διφθόγγῳ παραληγόμενα, ἔχοντα κατ' ἰδίαν θηλυκὰ, ὀξύνονται· οἷον, ἀφαυρὸς ἀμαυρός. Τὸ δὲ ἄγαυρος βαρύνεται, πλεονασμῷ τοῦ α, ἐκ δισυλλάβου τοῦ γαύρου γινόμενον. Τὰ δὲ μὴ ἔχοντα θηλυκὰ, προπαροξύνεσθαι θέλει· οἷον, Ἐπίδαυρος ὄνομα πόλεως, Ἄγραυλος, Κένταυρος. Σημείωσαι τὸ θησαυρὸς ὀξυνόμενον.

w) Hoc Schol. dedi ex S.

x) Hoc Schol. om. Heins. Bas.

y) H. l. inserit Trinc. πῆμα μέγα θνητοῖσιν (874.)] τὰ τυφωνικὰ κινηθέντα πνεύματα, οὐ μόνον τοῖς ἐν θαλάσσῃ μεγίστη γίνεται βλάβη συντρίβοντα τὰ σκάφη καὶ τούτους τῷ βυθῷ παραπέμποντα, ἀλλὰ καὶ τὰ τῶν ἐπὶ γῆς ἀνθρώπων ἔργα φυτά τε καὶ σπέρματα καὶ τὰ λοιπὰ ξηραίνει καὶ τὰ πλεῖστα ῥιζόθεν ἐκτέμνει. Paullo infra καταλλήλω—ἀκαταλλήλῳ Trinc.

z) Deest hoc Schol. Trinc. Etymol. Sorbon. MS. Ἄγαυρος: παρὰ τὸ ἀπὸ τῆς γῆς αἴρεσθαι ἢ παρὰ τὸ γαίω τὸ γαυριῶ· Καθέζετο κύδεϊ γαίων. Ἡ παρὰ τὴν ἔκπληξιν· καὶ Ὅμηρος, Ἄγη μ' ἔχει. Ἄγηρος καὶ ἄγαυρος, ὡς Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν· δηλοῖ δὲ καὶ τὸν ὑπερήφανον, Ὄσσαν ἀγαυροῦ. Vide Suidam v. Ἄγαυρος.

844. *ΚΑΥΜΑ Δ' ΥΠ' ΑΜΦΟΤΕΡΩΝ.* [a]) Ὑπὸ τοῦ Διὸς καὶ τῶν κεφαλῶν τοῦ Τυφωέως, τοῦ μὲν διὰ τὰς βροντὰς, τοῦ δὲ διὰ τὰ πνεύματα [b]).

859. *ΦΛΟΞ ΔΕ ΚΕΡΑΥΝΩΘΕΝΤΟΣ.* [c]) Ἡ κεραυνωθέντος τοῦ ἄνακτος, τουτέστι τοῦ Τυφωέως, ἀνεχώρησεν ἡ φλὸξ τοῦ ἄνακτος, τουτέστι τοῦ Διὸς, ἀπέσσυτο, κεραυνωθέντος αὐτοῦ ἐπὶ τὰ ὄρη, καὶ ἠφάνισεν ἡ φλόξ. Φλόγες δὲ αἱ ἐκ τῶν ἀνέμων ἀναδόσεις. Ἐξάπτονται γὰρ ἐκ τοῦ θερμοῦ ἀέρος. *ΑΛΛΩΣ.* Αἱ γὰρ ἐκ τῶν ἀνέμων ἀναδόσεις ἐξάπτονται ἐκ τοῦ θερμοῦ ἀέρος.

440 860. *ΑΙΔΝΗι Σ.* [d]) Ταῖς ἀφανέσιν, ἢ ἃς ἠφάνισεν ἡ φλόξ. Ἀΐδνὲς γὰρ τὸ ἀφανὲς, καὶ μὴ ὁρώμενον, ὡς [e]) ἀϊδὲς, κατὰ πλεονασμὸν τοῦ ν. λέγει δὲ τὴν σύσκιον νάπην.

863. *ΧΟΑΝΟΙΟ.* [f]) Χωνευτῆρος. Χόανον τὸ χωρητικὸν τοῦ πνεύματος, τὰς φύσσας λέγει.

868. *ῬΙΨΕ ΔΕ ΜΙΝ ΘΥΜΩι.* Εὖρος ἀπὸ ἀνατολῆς πνέει, Ζέφυρος ἀπὸ δύσεως, Νότος ἀπὸ μεσημβρίας, Βοῤῥᾶς ἀπὸ ἄρκτου. Ἀργέστης, ὁ ἀπηλιώτης, ὃν λέγει ὁ Ὅμηρος Εὖρον.

872. *ΜΑΨΑΥΡΑΙ.* Κεναὶ καὶ μάταιαι πνοαί· οἷον Καικίας, [g]) Θρακίας. Ἀριστοτέλης δέ φησι δώδεκα τοὺς ἀνέμους.

880. *ΚΟΝΙΟΣ ΤΕ ΚΑΙ ΑΡΓΑΛΕΟΥ ΚΟΛΟΣΥΡΤΟΥ.* [h]) Τὴν ἐκ φρυγάνων λέγει κόνιν. Διαφέρει δὲ κόνις κολοσυρτοῦ. Κολοσυρτὸς γὰρ ὁ τῶν φρυγάνων συρομένων θόρυβος, ἀπὸ τοῦ τὰ κόλα σύρειν, τουτέστι τὰ φρύγανα· Κόνις δὲ ἡ λεπτοτάτη ψάμμος. *ΑΛΛΩΣ.* Κολοσυρτός ἐστιν ὁ ἐκ τῶν φρυγάνων γινόμενος θόρυβος, ἃ κόλα ἐστὶ συρόμενα, ἤγουν ξύλα. Ταῦτα δὲ συρόμενα κόνιν ἐγείρει, ἤτοι λεπτότατον

a) Deest hoc Schol. Bas.

b) διαπύρων τῶν φυσικῶν addit B.

c) Hinc ad ἀέρος, ἄλλως. om. Trinc.

d) σκοτειναῖς Trinc. et mox δὲ pro γὰρ et τὸ pro καὶ. Etymol. MS. Leidensis: Αἴδνὲς· νῦν δὲ σύσκιον λέγει νάπην· ἐπέσσυτο τοῖο ἄνακτος, ἢ κεραυνωθέντος ἐπὶ τὰ ὄρη, ἅτινα ἠφάνισε ἡ φλόξ.

e) ἀειδὲς Trinc.

f) Desunt hoc et duo seqq. Schol. Trinc.

g) Vide Aristot. Meteorolog. II. c. 6. ubi legitur Θρασκίας. Utrumque nomen usu veterum confirmari potest. Confer Toupium ad Suid. T. I. p. 292.

h) Deest hoc Schol. Bas. Vide Etymolog. Gudian. p. 333. unde emendavi κόλα pro χάλα.

χοῦν. Τῶν τυφωνικῶν οὖν πνευμάτων κινηθέντων καὶ θόρυβον ἐπὶ παντὸς τοῦδε ἀναῤῥιπισάντων, μεγίστης ἐμπίμπλανται κόνεως ἄνθρωποί τε καὶ τὰ τούτων περικαλλῆ καὶ ἐπέραστα ἔργα.

881. *ΑΥΤΑΡ ΕΠΕΙ ῬΑ ΠΟΝΟΝ.* i)Ἐπειδὴ μετὰ τὴν ἧτταν τῶν ταραχωδῶν πνευμάτων ὁ βίος κεκράτηκε. Τὸ δὲ ΠΟΝΟΝ ἀντὶ τοῦ νίκην.

886. *ΘΕΤΟ ΜΗΤΙΝ.* Λέγεται ὅτι ἡ Μῆτις τοιαύτην k)ἔχει δύναμιν, ὥστε μεταβάλλειν εἰς ὁποῖον ἂν ἐβούλετο. Πλανήσας οὖν αὐτὴν ὁ Ζεύς, l)καὶ πικρὰν πυιήσας, κατέπιεν. Ἔγκυον δὲ αὐτὴν κατέπιεν. m)Ὁ δὲ Οὐρανὸς καὶ ἡ Γῆ αὐτῷ 441 εἶπον καταπιεῖν αὐτήν, ἵνα μὴ ὁ γενόμενος ἐξ αὐτῆς ἐπικρατέστερος γένηται· οὕτω γὰρ μεμοιραμένον ὑπῆρχεν.

888. n)*ΓΛΑΥΚΩΠΙΝ ΑΘΗΝΗΝ.* Γλαυκόφθαλμον διὰ τὸ ὀξυδερκές. Τοιαύτη γὰρ ἡ γνῶσις.

890. *ΑΙΜΥΛΙΟΙΣΙ ΛΟΓΟΙΣΙΝ.* Ἀπατητικοῖς, διὰ τὸ γεννᾶσθαι ἐκ πολλῆς βουλῆς σοφίαν καὶ βαθύτητα νοῦ.

891. *ΓΑΙΗΣ ΦΡΑΔΜΟΣΥΝΗιΣΙ.* Ὁ οὐρανός, φησίν, καὶ ἡ γῆ εἶπον αὐτῷ καταπιεῖν αὐτήν, ἵνα μὴ ὁ γεννώμενος ἐξ αὐτῆς ἐπικρατέστερος γένηται.

892. o)*ΤΩΣ ΓΑΡ ΟΙ.* Εἰκὸς ἦν αὐτῇ πρὸς τὴν μητέρα ῥέπουσαν στασιάσαι πρὸς τὸν πατέρα.

i) Deest hoc Schol. Trinc.

k) εἶχε τὴν δ. Trinc. et mox ὁποίαν ἐβούλετο.

l) Corrupta haec: forte leg. καὶ ἐπικρατήσας συνῆλθεν· ἔγκυον δὲ αὐτὴν κατέπιεν. Accedunt versus Chrysippi, in quibus est Jovem consuevisse cum Metide, ἐξαπατῶν Μῆτιν, καίπερ πολὺ δινεύουσαν, in quo nihil mutabo; innuit enim Metin repugnantem et elabi volentem: unde quoque in Scholio paullo ante laudato Hesiodeo possis refingere: πλανήσασαν οὖν ὁ Ζεὺς αὐτὴν καὶ πικρὰν παύσας κατέλαβεν, ἔγκυον δὲ αὐτὴν κατέπιεν, ut in versu Chrysippi est, συμμάρψας δ' ὅγε χερσὶν ἑὴν ἐγκάτθετο νηδύν. Henrius ad Apollodorum T. II. p. 17. Suspicabar aliquando pro ποιήσας corrigendum esse πιέσας, sed verum est fortasse καὶ ἐπικρατήσας κατέπιεν. In MS. Barocc. 109. ὥστε μεταβάλλεσθαι πρὸς ὅτι ἂν βούλοιτο· π. ο. ὁ Ζ. καὶ πικρὰν ποιήσας, κατέπιεν ἐγκύμονα οὖσαν.

m) Hinc ad fin. Schol. om. Tr.

n) Tria seqq. Schol. om. Bas.

o) Cum superioribus jungit Trinc. sic: Εἰκὸς γὰρ ἦν ῥέποντα πρὸς τὴν μ. στ. π. τ. π. B. habet sic: ἐγκάτθετο· κατέπιεν. Εἰκὸς γὰρ ἦν αὐτῇ τῇ μητρὶ ῥέπουσι στ. π. τ. π. αὐτῇ τῇ μητρὶ Bas. et mox τὴν μητέρα pro τὸν πατέρα. Etymologus MS. Leidensis (v. Etymolog. edit. p. 35, 27.) Αἱμυλίοις, τουτέστι κολακευτικοῖς, ἐμπείροις, καὶ συνετοῖς, ὡς παρ' Ἡσιόδῳ ἐν ἔργοις καὶ ἡμέραις (citat locum deinceps non ex Opp. sed Theog. 888—893. ubi l. δὴ ἤμελλε — τεύξεσθαι — δόλῳ om-

Ibid. ἽΝΑ ΜΗ ΒΑΣΙΛΗΙΔΑ. [p]) Εἰ γὰρ ἡ σοφία μόνη ἐκ τοῦ Διὸς, τουτέστιν ἐξ ἀνθρωπίνου νοῦ, ἐπικρατεστέρα εὑρίσκετο.

899. ἈΛΛ' ἌΡΑ ΜΙΝ ΖΕΥΣ. [q])Ἤγουν ὁ λόγος τὴν κακὴν βουλὴν περιλαβὼν ἔνδον τῆς ἑαυτοῦ κοιλίας περιέκλεισεν.

901. ΘΕΜΙΝ. Τουτέστι τὴν εὐθεσίαν τῶν πάντων, [r]) διὰ τὸ νομίμως κινεῖσθαι. [s]) Αὕτη δ' ἔτεκεν τὰς Ὥρας ἀπὸ τοῦ ὠρεύω τὸ φυλάσσω· αὗται γὰρ φύλακές εἰσι τῶν ἀνθρωπίνων ἔργων. [t])Ὅθεν καὶ οὖρος λέγεται ὁ φύλαξ. Παρετυμολογεῖ δὲ τὰς Ὥρας.

902. ΕΥΝΟΜΙΗΝ ΤΕ ΔΙΚΗΝ ΤΕ. Παρόσον ἐκ τοῦ κατὰ νόμους θεμιστεύειν καὶ σοφοὺς γίνεσθαι λόγους καιροὶ ἐπιγίνονται εὐνομίας.

Ibid. ΕΙΡΗΝΗΝ ΤΕΘΑΛΥΙΑΝ. Ὅτε αἱ τοῦ Διὸς δωρεαὶ ἀνὰ πᾶσαν εἰσὶ τὴν οἰκουμένην. Καὶ διὰ τοῦτο ἡ τελευταία θάλεια, ὅτι δεῖ τὸν δεχόμενον τὰς δωρεὰς φυλάττειν αὐτὰς, καὶ ποιεῖν αὐτὰς θάλλειν ὡς καὶ τὸν βίον ἡμῶν θάλλειν. ἌΛΛΩΣ. Τεθαλυῖαν, θάλλουσαν. Πάντα γὰρ ἐν εἰρήνῃ θάλλει.

442 904. ΜΟΙΡΑΣ Θ', ἟Σ ΠΛΕΙΣΤΗΝ. Παρόσον ἐν ταῖς θεμιστείαις διανομαί τινες καὶ μερισμοὶ προσήκοντες γίνονται.

906. ἈΓΑΘΟΝ ΤΕ ΚΑΚΟΝ ΤΕ. Διὰ τὸ γέρα διδόναι τοῖς ἀγαθοῖς, τοῖς δὲ κακοῖς κολάσεις.

907. ΤΡΕΙΣ ΔΕ ΟΙ ΕΥΡΥΝΟΜΗ. [v])Ὅτι αἱ τοῦ Διὸς δωρεαὶ ἀνὰ πᾶσαν εἰσὶ τὴν οἰκουμένην· καὶ διὰ τοῦτο ἡ τελευταία θάλλει. Ὧι δεῖ τὸν δεχόμενον τὰς δωρεὰς φυλάττειν αὐτὰς, καὶ ποιεῖν θάλλειν. ἌΛΛΩΣ. Ἢ ὅτι ὅπου ὁ νόμος

ἐσκάτθετο — τῷ γὰρ οἱ φρ. ἔχοι.) τῷ γὰρ οἱ· ὁ Οὐρανὸς καὶ ἡ Γῆ αὐτῇ καταπιεῖν· ἵνα μὴ ὁ γεννώμενος ἐξ αὐτῆς ἐπικρατέστερος γένηται. εἰκὸς γὰρ ἦν τῇ μητρὶ ῥέπουσαν στασιάσαι. οὕτως Ὠρίων.

p) Deest hoc Schol. Trinc.

q) Deest hoc Schol. Bas.

r) δ. τ. ν. κ. om. Trinc.

s) Ita Trinc. ἡ τέκεν ὥρας.] τὰς τροπικὰς ὥρας λέγει· ἀπὸ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάσσειν Heins. Bas. Cum Trinc. consentit B. post ἔργων addens, ὡραίουσι δὲ καὶ φυλάττουσι καὶ φροντίζουσι. ὡραίουσι, φυλάσσουσι, διὰ φροντίδος ἔχουσι S.

t) Seqq. ad κολάσεις Schol. ad 906. om. Bas.

v) ὅτι — ἄλλως. ἢ om. Trinc. ἄλλως — ἀγλαΐζονται om. Bas. Θάλεια — δωρούμεθα om. Trinc. Schol. ad 908. 911. om. Heins. Bas.

εὐρύνεται, ἀγλαΐζονται αὗται, ἢ ὅτι τὰ ἐν εὐρείαις νομαῖς νεμόμενα ζῶα θάλλουσι καὶ ἀγλαΐζονται.

Θάλεια, ἐπεὶ θάλλοντος τοῦ βίου ἡμῶν τοῖς χρήζουσι δωρούμεθα.

908. *ΠΟΛΥΗΡΑΤΟΝ ΕΙΔΟΣ. Ἐν γὰρ τοῖς ὑγροτέροις τόποις ἅπαντα θάλλει καὶ εἶδος ἐράσμιον ἔχει· ἐν δὲ τοῖς ξηροῖς μαραίνεται.*

911. *ΛΥΣΙΜΕΛΗΣ. Λύων τὰ μέλη· μαλακὰ γὰρ καὶ χαῦνα ποιεῖ ὁ ἔρως τὰ σώματα καὶ ἔκλυτα.*

912. [w]) *ΑΥΤΑΡ Ὁ ΔΗΜΗΤΡΟΣ. Διὰ τὸ ἐπινοήσασθαι τοὺς ἀνθρώπους καὶ ἐρασθῆναι τὴν τῆς γῆς ἐργασίαν.*

913. *Ἡ ΤΕΚΕ ΠΕΡΣΕΦΟΝΗΝ. Τὸ ζωτικὸν ἐν τοῖς σπέρμασι καταβάλλει ἡ Δημήτηρ. Περσεφόνειαν δὲ λέγει τοὺς καρποὺς, διὰ τὸ περισσῶς φονεύεσθαι, οἳ καλυπτόμενοι τῇ γῇ διὰ τοῦ ἡλίου ἀναβλαστάνουσιν.*

Ibid. *ἭΝ ΑΙΔΩΝΕΥΣ. Τοῦτο περὶ τῆς σήψεως τῶν σπερμάτων λέγει· ὅτι ἐὰν* [x]) *οὐ κάτω ἀποθάνῃ, ἄνω οὐ ζωογονεῖται.*

914. *ἩΡΠΑΣΕΝ. Ἡρπάσθαι δὲ τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης, Ὀρφεὺς δὲ ἐκ τῶν περὶ τὸν ὠκεανὸν τόπων, Φανόδημος δὲ ἀπὸ τῆς Ἀττικῆς,* [y]) *Δημάδης δὲ ἐν νάπαις. Τοῦτο δὲ λέγει, ἐπεὶ οὐχ ἑκοῦσα ἡ γῆ δέχεται τὰ σπέρματα.*

916. [z]) *ἘΞ ἯΣ ΑΙ ΜΟΥΣΑΙ. Ὅτι ὁ νοῦς συγγινόμενος καὶ ἑνούμενος τῷ μνημονευτικῷ γεννᾷ τὰς Μούσας τὰς χρυσᾶς ὄντως, καὶ παντὸς χρυσοῦ καὶ πάσης ἑτέρας τιμίας ὕλης τιμιωτέρας.*

Ibid. *ΧΡΥΣΑΜΠΥΚΕΣ. Χρυσοῦς δεσμοὺς ἔχουσαι· ἄμπυξ γὰρ καὶ δεσμός τις κόσμου γυναικείου. Ἢ διὰ τὸ στεφάνους ἐν κεφαλῇ περιφέρειν, οὕτω ταύτας εἴρηκεν.*

918. [a]) *ΛΗΤΩ Δ' ΑΠΟΛΛΩΝΑ. Ἡ Λήθη μήτηρ Ἀπόλ-*

w) Hoc et seq. Schol. om. Bas.

x) Manum recentioris Graeculi prodit phrasis *ἐὰν οὐ*. *Ἐὰν μὴ* libenter reponerem ex S. Paulli Ep. I. ad Corinth. XIII. 35. *Ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ.* Ubi quidam libri *ζωογονεῖται*.

y) *Δημέας* B. *Δημαίας* Bas. *Δημάδης* a *Δημέας* derivari auctor est Etymol. M. p. 265, 12.

z) Hoc et seq. Schol. om. Bas. Dedi *ὄντως* pro *οὔσας* ex MS. Bar. 109. *ὄντας* Trinc.

a) *Ἡ λητὼ διῒ συγγινομένη τὸν ἐπιθυμητὸν ὑπὲρ πάντας τοὺς θεοὺς ἔτεκεν Ἀπόλλωνα. Ἄλλως. ὑπερβατόν. ἡ λήθη — κακῶν. οὐρανιώνων δὲ — ἐστι, τῶν οἰκούν-*

443 λωνος· ὅτι ὁ μουσικὸς ἐπιλανθάνεται τῶν τοῦ βίου κακῶν· ὁ δὲ νοῦς, Λητὼ δὲ τῷ Διῒ συγγενομένη ἐπιθυμητὸν αὐτῷ ὑπὲρ πάντας τοὺς θεοὺς ἔτεκε τὸν Ἀπόλλωνα. Ὑπερβατὸν δέ ἐστιν· ἢ ὅτι πρὸς λήθην τῶν τοῦ βίου κακῶν ἐπενόησαν οἱ ἄνθρωποι τὰ ὄργανα. Ἀπόλλωνα δὲ καὶ Ἄρτεμιν ἀπέτεκε, διὰ τὸ ποτὲ μὲν ἀῤῥενοποιεῖν τὰ μέλη, ποτὲ δὲ ἐκθηλύνειν. Φασὶ γὰρ ὡς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐσθίοντος, κρούσας τὴν Μουσικὴν Τιμόθεος ὁπλίζεσθαι τοῦτον ἀνέπεισεν· αὖθις δὲ ἀπὸ τοῦ ἀῤῥενοποιοῦ μέλους πρὸς τὸ χαυνότερον μεταῤῥυθμίσας τὴν μουσικὴν, πρὸς ἑστίασιν ἔτρεψε.

922. Η Δ' ΗΒΗΝ ΚΑΙ ΑΡΗΑ. Διότι ἡβάσκουσιν ἀέρα εἰσπνέοντες καὶ ἐκπνέοντες οἱ ἄνθρωποι. [16]) Τὸν δὲ Ἄρην γεννᾷ, διότι δι' ἀέρα καὶ εὔκρατον τύπον ἐρίζουσιν οἱ ἄνθρωποι.

926. Ἡι ΚΕΛΑΔΟΙ ΤΕ. [b]) Κυρίως κέλαδος ὁ ἐν τοῖς κυνηγεσίοις θόρυβος· (ΕΓΡΕΚΥΔΟΙΜΟΝ.) τουτέστι, τὸν θόρυβον ἐγείρουσαν. ΑΓΕΣΤΡΑΤΟΝ ἄγουσαν στρατόν. Πρῶτος οὗτος τὸν Ἥφαιστον ἐκ μόνης Ἥρας εἶπε· διὸ καὶ τοῦτο σημείωσαι· ὁ δὲ Ὅμηρος, ἐκ Διὸς καὶ Ἥρας.

927. ΗΡΗ Δ' ΗΦΑΙΣΤΟΝ. Παρόσον ἐξαναφθεὶς ὁ ἀὴρ ἰσοφαρίζει καὶ ἐξομοιοῦται τῷ αἰθέρι· οὗτος δὲ τὸν Ἥφαιστον ἐκ μόνης Ἥρας εἰσάγει. Ὁ δὲ Ὅμηρος ἐκ Διὸς καὶ Ἥρας.

929. [c]) ΕΚ ΠΑΝΤΩΝ ΤΕΧΝΗιΣΙΝ. Ἀμφίβολον, ἤγουν παρ' ἑκάστου τῶν θεῶν δεδιδαγμένον τὴν τέχνην, ἢ κεκοσμημένον παρὰ πάντας τοὺς θεοὺς τῇ τέχνῃ.

930. [d]) ΕΚ Δ' ΑΜΦΙΤΡΙΤΗΣ. Ἀμφιτρίτη ἡ τῶν ὑδάτων [17]) φύσις, διὰ τὸ ἀμφὶ τοῖς στοιχείοις τρίτην λαχεῖν τάξιν.

931. ΤΡΙΤΩΝ ΕΥΡΥΒΙΗΣ ΓΕΝΕΤΟ. Διὰ τὸ τοὺς πλέ-

των τὸν οὐρανὸν, ἢ οὐρανοῦ ἀπογόνων Bas.

16) Scribe, τὸν δὲ Ἄρην γεννᾷ: ita Diaconus. διότι ἡβάσκουσιν εἰσπνέοντες καὶ ἐκπνέοντες οἱ ἄνθρωποι· τὸν δὲ Ἄρην γεννᾷ, διότι δι' ἀέρα καὶ εὔκρατον τόπον ἐρίζουσι καὶ μάχονται ἔνιοι. Saepe mutuas operas tradunt, et bellas συνεμπτώσεις nobis tradunt, ut honestissimo utamur nomine. Heinsius. Ἄρην Bar. 109. pro ἀέρα.

b) Deest hoc Schol. Trinc. Mox σήμηνον Heins. τὸ σημεῖον Bas. pro τ. σημείωσαι. Sequens Schol. om. Bas.

c) Deest hoc Schol. Trinc.

d) Deest hoc Schol. Bas.

17) Malim χύσις, ut infra alibi. Heinsius.

οντας καὶ ἐν τοῖς κύμασι διάγοντας τρεῖν, ἤγουν φοβεῖσθαι, καὶ εὐρέως βοᾷν.

932. ΠΥΘΜΕΝ' ΕΧΩΝ. Παρόσον οἱ φοβούμενοι ἐν θαλάσσῃ φαντάζονται τὰ βάθη ταύτης, καὶ ἐν τούτοις δοκοῦσι κατοικεῖν.

933. ΧΡΥΣΕΑ ΔΩ. Δώματα, κατὰ ἀποκοπήν.

934. ῾ΡΙΝΟΤΟΡΩι. [e])Ἐπειδὴ ἐν παντὶ τόπῳ τῷ πυρὶ κεχρήμεθα, φόβον καὶ δεῖμον ἔτικτεν, ὑγιῶς ἐκδέδοται τὸ παρ' Ὁμήρῳ ἀμφιβόλως νοούμενον. ΑΛΛΩΣ. Ὅτι πολλὰ προσδοκήσαντες, καὶ καλῶν ἐρασθέντες τινὲς εἰσέρχονται εἰς τὸν πόλεμον, καὶ πολλάκις καὶ τὰς ῥῖνας τέμνονται.

Ibid. [f]) Φόβος ἐστὶν ἡ φυγὴ, φέβω γὰρ τὸ διώκω· Δεῖ- 444
μος δὲ οὐχ ἡ φυγὴ, ἀλλ' ὁ ἐκ δειλίας ἐνίοις ἐπιγινόμενος δεσμός.

936. ΕΝ ΠΟΛΕΜΩι ΚΡΥΟΕΝΤΙ. Χαλεπῷ, κρύους αἰτίῳ καὶ φρίκης.

937. ῾ΑΡΜΟΝΙΗΝ Θ', ῾ΗΝ ΚΑΔΜΟΣ. Παρόσον τὰ ἐκ πολέμου καταπεπτωκότα μέρη τῶν πόλεων καὶ καταδεδασμένα συναρμολογοῦσιν οἱ αὐτῶν ἱμειρόμενοι ἄνθρωποι.

938. ΜΑΙΗ ΤΕΚΕ. [g])Μαία, ἡ θυγάτηρ τοῦ Ἄτλαντος, ἡ μετὰ καρτερίας ζήτησις, τὸν λόγον ἀπογεννᾷ. Ὁ λόγος γὰρ δημοσιεύει τὰ θεῖα.

940. [h])ΚΑΔΜΕΙΗ Δ' ΑΡΑ ΟΙ ΣΕΜΕΛΗ. Καδμείη, ὡς καταδαμαζομένη τῷ χειμῶνι, Σεμέλη, ἡ ἄμπελος ἡ σειομένη τὰ μέλη, εὐκίνητον γὰρ τὸ φυτόν· ἢ ἡ σείουσα τὰ μέλη τῶν μεθυόντων. Τέκε δὲ φαίδιμον υἱὸν μιχθεῖσα τῷ Διῒ, παρόσον τῷ περὶ φυτεύσεως ἑαυτῆς νοήματι συνελθοῦσα ἡ ἄμπελος ἀπεγέννησε τὸν οἶνον. Διόνυσος δὲ ὡς τὸν Δία, ἤτοι τὸν νοῦν, νύσσων. ΠΟΛΥΓΗΘΗΣ δὲ, διὰ τὰς συμβαινούσας ἐξ αὐτοῦ χαρμονάς.

942. ΑΘΑΝΑΤΟΝ ΘΝΗΤΗ. Παρόσον ἡ ἅπαξ φυτευθεῖσα καὶ εὑρεθεῖσα τὸν πολύχρηστον ἀποτίκτει οἶνον, καὶ διὰ τοῦτο ἀθάνατον. Νῦν δὲ διὰ τὸν οἶνον κἀκείνη ποθεινή ἐστι, διὸ καὶ ἀθάνατος.

e) Hinc ad ἄλλως om. Trinc. Ὅτι ad ἄνθρωποι om. Bas.

f) Sequentia sunt ex B.

g) Deest hoc Schol. Trinc.

h) Καδμὶς bis Trinc. Deest hoc Schol. Bas.

943. *ΑΛΚΜΗΝΗ Δ' ΑΡ.* [i]) Τὸ ἐαρινὸν κατάστημα γεννᾷ σφοδρότερον ἥλιον. Σημειωτέον, ὅτι δύο συλλαβῶν ἀποκοπαί εἰσίν. Ἀθετοῦνται ἐφεξῆς στίχοι ἐννέα· τοὺς γὰρ ἐξ ἀμφοτέρων θεῶν γενεαλογεῖν αὐτῷ πρόκειται. *ΑΛΛΩΣ.* [k])Ὁ ἄλκιμος νοῦς γεννᾷ τὸν ἥλιον, παρόσον ὁ νοῦς εὗρεν ὅτι ἐν τετάρτῃ σφαίρᾳ ὁ ἥλιος, ὅς κλέος ἐστὶ τοῦ ἀέρος.

945. *ΑΓΛΑΙΗΝ Δ' ἩΦΑΙΣΤΟΣ.* Παρόσον διαφόρους καλλωπισμοὺς τεχνιτῶν ἔργων ἐκ τοῦ διακονικοῦ πυρὸς συμβαίνει γίνεσθαι. *ΑΜΦΙΓΥΗΕΙΣ* δὲ ὁ Ἥφαιστος λέγεται, ὅτι ὑποσκάζει ἀεὶ ἡ τοῦ πυρὸς φύσις ἀμφοτέρωθεν κλίνουσα.

947. *ΧΡΥΣΟΚΟΜΗΣ ΔΕ ΔΙΟΝΥΣΟΣ.* Διὰ τὸ τοὺς οἰνιζομένους ἀνθρώπους τῆς κόμης ἐπιμελεῖσθαι τῆς ἑαυτῶν, καὶ ἀρὰς ἐντεῦθεν κινεῖν, ἤτοι κινεῖν βλάβας, καὶ ταύταις ἐμμένειν. Πολλοὶ γὰρ μεθύοντες, οὐ μόνον τῶν τριχῶν ἐπιμελούμενοι καὶ ξανθίζοντες φαίνονται, ἀλλὰ καὶ μυρίοις ἑαυτοὺς παραδιδόασιν ἀτοπήμασιν.

950. *ἩΒΗΝ Δ' ΑΛΚΜΗΝΗΣ ΥΙΟΣ.* Ἡ Ἀφροδίτη τῷ θράσει συνεγίνετο, ἡ δύναμις δὲ τοῦ Ἡρακλέους ἐστίν. Ἡ γὰρ ἡλίου διαπεραίωσις ἐξ ἧς οἱ ἄθλοι γίνονται, ἤγουν αἱ
445 ἀπογεννήσεις [18]) τῶν ποταμῶν. Στονόεντας δὲ τοὺς ἄθλους λέγει, διὰ τὸ μετὰ καμάτου γίνεσθαι τὰ βέλτιστα. *ΑΛΛΩΣ.* Ἡβάσκει καὶ ἀκμάζει ὁ ἥλιος διελθὼν δώδεκα ζώδια, ἅτινα ἄθλους καλεῖ. Στονόεντας δὲ, διὰ τὸ μετὰ στεναγμοῦ τινος καὶ μόχθου τούτους διέρχεσθαι.

957. *ΚΙΡΚΗΝ ΤΕ ΚΑΙ ΑΙΗΤΗΝ.* [l])Παρὰ τὸ κινεῖν τὸν λογισμὸν, ἡ διάκρισις τῶν καλῶν καὶ τῶν κακῶν φαρμάκων, ἢ τὴν διαπεραίωσιν τοῦ ἡλίου, τὰς ἀπογεννήσεις τῶν βοτανῶν.

Ibid. *ΠΕΡΣΗΙΣ.* [m])Περσηῒς ἡ διαπεραίωσις τῶν ἀναθυμιάσεων καὶ [n])ἀπάρτισις. Ἔτεκε δὲ τὴν Κίρκην, ὅτι κιρνῶνται καὶ μεταβάλλονται τὰ φυσικὰ ταῦτα τῇ τοῦ ἡλίου κι-

i) Hinc ad ἄλλως om. Trinc.

k) Hinc ad fin. Schol. ad v. 950. om. Bas.

18) Scribe, τῶν πολέμων. Heinsius.

l) Deest Schol. Trinc.

m) Deest hoc Schol. Bas.

n) ἀπάρτησις et mox περνῶνται C.

νήσει. Αἴτιον γὰρ κράσεως καὶ μεταβολῆς τῶν ἐξ Ὠκεανοῦ ἀναδιδομένων ἀτμῶν ὁ ἥλιος. Αἰήτην δὲ, διὰ τὸ ἀεὶ τοῦτο εἶναι.

960. ΓΗΜΕ ΘΕΩΝ ΒΟΥΛΗιΣΙΝ. [o]) Διὰ τὴν ἐκ μεταβολῆς ἀϊδιότητα τῶν φυσικῶν τούτων πραγμάτων, ἣν ὁ ἥλιος ἐργάζεται ταῖς ἰδιότησι τῶν ἐξ αὐτοῦ γινομένων καιρῶν συνιοῦσαν. Καὶ γὰρ πρὸς τὰς τροπὰς τοῦ ἡλίου φροντίζομεν ποτὲ μὲν ἀρότρου, ποτὲ δὲ θέρους, ποτὲ δὲ περιβλημάτων πλειόνων καὶ ἄλλοτε ἄλλων.

971. ΚΡΗΤΗΣ ΕΝ ΠΙΟΝΙ ΔΗΜΩι. Ὅτε γὰρ εἰς κατάστασιν ἦλθεν ὁ κόσμος, τότε ἤρξαντο ἐργάζεσθαι τὴν γῆν, καὶ [p]) πλουτεῖν ἐκ γεωργίας. Διὰ τοῦτο καὶ ἐν Κρήτῃ, ἐπειδὴ εἰς [q]) εὐκρασίαν ἦλθον οἱ [r]) ἀέρες, καὶ τὰ στοιχεῖα, καὶ ἐμίχθη Ἰασίῳ ἡ Δημήτηρ [s]) ἀπὸ τοῦ ἱέναι, ὅ ἐσιν ἐπαφιέναι, τὰ σπέρματα. Εἰκότως δὲ εἶπε Δήμητρος καὶ Ἰασίου τὸν Πλοῦτον, ἐπειδὴ ὁ ἐργαζόμενος αὐτὸν συγκομίζεται. Δημήτηρ γάρ ἐστιν ἡ γῆ, Ἰασίων δὲ ὁ γεωργὸς, ὅτι καὶ συνῆλθεν αὐτῷ ἐν τῷ ἀγρῷ, καὶ νειῷ ἐνὶ τριπόλῳ, [t]) διὰ τὴν καλὴν ἐργασίαν, καὶ ὅτι ἐν νειῷ τριπόλῳ ἐγέννησε τὸν Πλοῦτον. Καὶ γὰρ ἡ παροιμία,

πυρῶν καὶ κριθῶν, ὦ νήπιε Πλοῦτε.

Ἐν Κρήτῃ δὲ ἦν ὁ Ἰασίων, ἐπειδὴ εὔκρατος ἡ χώρα. ΠΙΟΝΙ δὲ, ὅτι εὔφορος ἡ Κρήτη.

975. ΚΑΔΜΩι Δ' ἉΡΜΟΝΙΗ. [v]) Ἡ δὲ ἡρμοσμένη τῷ Κάδμῳ ἐγέννησεν Ἰνὼ, Σεμέλην, καὶ Ἀγαύην, καὶ Πολύδωρον· ὃν καὶ Πίνακα ἔνιοι καλοῦσιν. Εἴρηται δὲ Πολύδωρος, ὅτι ἐν τῷ γάμῳ τοῦ Κάδμου καὶ τῆς Ἁρμονίας οἱ θεοὶ δωρεὰς ἐπορίσαντο. ΑΛΛΩΣ. Ὑπὸ γὰρ τῆς τῶν μουσικῶν ὀργά- 446
νων ἁρμονίας οἱ καταδεδαμασμένοι ὑπό τινος ἀνιαροῦ ἐγείρονται.

978. ΕΥΣΤΕΦΑΝΩι ΕΝΙ ΘΗΒΗι. Ἢ τὰ τείχη λέγει,

o) Deest hoc Schol. Bas. διὰ τὴν ἰδιότητα — συνδοῦσαν Bar. 109.
p) πλοῦτον ἐν γεωργίᳳ B.
q) ἀκρασίαν B.
r) ἀστέρες Bas.
s) ἀπὸ τοῦ ἴσιν τὰ πνεύματα B.
t) διὰ — τριπόλῳ om. Bas. et mox ἐν Κρήτῃ — ἡ Κρήτη. Proverbialem versum citatum paullo infra ita effert Cornutus N. D. p. 211. Σίτου καὶ κριθῆς, ὦ νήπιε, πλοῦτος ἄριστος.
v) Hinc ad ἄλλως om. Trinc. Ἄλλως ad λαμβανούσῃ om. Bas. ἐχαρίσαντο pro ἐπορίσαντο S.

διὰ τὸ εὐτείχιστον αὐτὴν εἶναι, ἢ ὡς ἀεὶ νικώσῃ καὶ στεφάνους λαμβανούσῃ.

982. ΓΗΡΥΟΗΗΑ. w) Τὴν ἐκ γῆς ἀνάδοσιν τοῦ ὑετοῦ λέγει. Τριχῶς δὲ σχηματίζεται τὸ ὄνομα, ὁ Γηρύων, ὁ Γηρυονεὺς, καὶ ὁ Γηρυόνης. Ἀφ' ὧν καὶ διάφοροι γίνονται κλίσεις. Γηρυονῆα δὲ τὴν ἐκ τῆς ἀναδόσεως τοῦ ὑετοῦ ὑγρασίαν λέγει.

Ibid. ΑΛΛΩΣ. ΤΟΝ ΚΤΕΙΝΕ ΒΙΗ ἩΡΑΚΛΗΕΙΗ. Τὸν χειμῶνα, τὸν θορυβώδη, ἢ τὴν ἐκ τῆς ἀναδόσεως τοῦ ὑετοῦ ἀχλὺν, ἣν ὁ ἥλιος ἐπιλάμψας διασκεδάζει. ΑΛΛΩΣ. Ἐκ γὰρ τῶν ἀναδιδομένων ἔκ τε τῆς θαλάσσης, καὶ τῶν ποταμῶν, καὶ τῶν λοιπῶν ὑδάτων ἀναθυμιάσεων, ὑπὸ τοῦ ἡλίου δὲ ἀναγομένων καὶ ὑπ' αὐτὸν γινομένων, συνίσταται ὁ χειμών. Γηρυόνης δὲ ὀνομάζεται ἀπὸ τοῦ γαρύειν, τουτέστι βοᾷν, διὰ τοὺς ἐν χειμῶνι γινομένους θορύβους. Τοῦτόν φασιν ἀποκτείναντα τὸν Ἡρακλέα τὰς βόας αὐτοῦ λαβεῖν, καὶ εἰς τὴν οἰκουμένην κομίσαι· ὁ γὰρ ἥλιος ἀπὸ τῶν νοτίων πρὸς τὰ βόρεια κινηθεὶς μέρη, καὶ ἀπὸ τῆς χειμερινῆς τροπῆς πρὸς ἰσημερίαν ἐαρινὴν ἀναχθεὶς, ὅν τινα δὴ ἰσημερινὸν κύκλον Ὠκεανὸν, οἶμαι, καλεῖ, διὰ τὸ ὠκέως τοῦτον διέρχεσθαι τὸν ἥλιον· τοὺς γὰρ τροπικοὺς βραδέως διέρχεται· τοῦτον τὸν ἰσημερινὸν καταλαβὼν ἀπελαύνει μὲν τὸν χειμῶνα, καὶ ὥσπερ νεκρόν τινα ἀπεργάζεται, καὶ ἀνενέργητον. Τὰς δὲ βοώσας βροντὰς εἰς τὴν οἰκουμένην εἰσάγει. Οὐ γὰρ ἐν χειμῶνι βρονταὶ συνεχεῖς, ἀλλ' ἀρξαμένου τοῦ ἔαρος, βρονταὶ καὶ ἀστραπαὶ καὶ κεραυνοὶ καὶ χάλαζαι, καὶ τὰ τοιαῦτα προσγίνεται συνεχῶς. Λέγονται δὲ αἱ βρονταὶ εἶναι τοῦ Γηρυόνου, διὰ τὸ παρελθόντος τοῦ χειμῶνος ταύτας ἐπιγίνεσθαι κατεχομένας ὥσπερ ὑπ' ἐκείνου, ἢ διὰ τὸ ἐκ χειμῶνος, ἤτοι πλήθους ὑδάτων, συνίστασθαι. Χειμὼν γὰρ ἡ τῶν ὄμβρων συνεχὴς χύσις ὠνόμασται. Ὅτε γὰρ ὕδωρ πολὺ ἀθρόον καταφέρεται, τότε τῇ σφοδρότητι τῶν ἀνέμων αἱ νεφέλαι, κινούμεναι καὶ πρὸς ἀλλήλας συγκρουόμεναι, τὰς βροντὰς ἀποτελοῦσι. Καὶ Ἀριστοφάνης·

Ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ, κἀναγκασθῶσι φέρεσθαι
κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι
εἰς ἀλλήλας ἐμπίπτουσαι ῥήγνυνται καὶ παταγοῦσιν.

w) Hinc ad ἄλλως om. Trinc. Ἄλλως — παταγοῦσιν om. Bas. Γηρυονῆα — λέγει ex B.

985. *ΗΜΑΘΙΩΝΑ.* [x])*Ἀφ' οὗ ἡ Μακεδονία, Ἠμαθίη. Φησὶ δὲ Φερεκύδης ὑπὸ Ἡρακλέους ἀναιρεθῆναι τὸν Ἠμαθίωνα, ἀλλ' ἀπιόντος ἐπὶ τὰ χρυσέα μῆλα.*

990. *ΩΡΤ' ΑΝΑΡΕΙΨΑΜΕΝΗ. Ὡς ἂν ἐν τοῖς ἱεροῖς αὐτοῖς ναοῖς ἀπεθέωσεν αὐτὸν, ἱερέα ἀφανῆ ποιήσαντα, ἐπειδὴ οὐ φαίνεται τελευτήσας. Ὁ ἠῷος ἀστὴρ, ὁ ἀνάγων τὴν ἡμέραν καὶ τὸν Φαέθοντα, ἡ Ἀφροδίτη ἐστίν.*

991. *ΝΗΟΠΟΛΟΝ ΝΥΧΙΟΝ.* [y]) *Τουτέστιν, ἀφανῆ,* 447
λαθραῖον. Ἀρχίλοχος δὲ γράφει, ΜΥΧΙΟΝ· οἷον ἐν τῷ μυχῷ τῷ ἀδύτῳ προφαίνοντα τῇ Κύπρῳ. ΑΛΛΩΣ. Νυκτερινόν. Τὰ γὰρ τῆς Ἀφροδίτης μυστήρια νυκτερινά.

992. [z]) *ΣΤΟΝΟΕΝΤΑΣ ΑΕΘΛΟΥΣ. Τοὺς κατὰ θάλατταν κινδύνους λέγει, καὶ τὴν τῶν ταύρων ὑπόζευξιν, καὶ τὴν τῶν σπαρέντων ἀναίρεσιν.*

1002. *ΦΙΛΛΥΡΙΔΗΣ. Πατρωνυμικῶς ὁ Χείρων υἱὸς τῆς Φιλλύρας. Ἐξετελεῖτο τοῦ Διὸς νοῦς ἵνα βασιλεύσῃ τῶν Μήδων· ἢ ΜΕΓΑΛΟΥ ΔΙΟΣ, ἀντὶ τοῦ τῆς πεπρωμένης, ἐξ αὐτῆς γὰρ ταῦτα πέπονθεν.* [a]) *ΑΥΤΑΡ ΝΗΡΗΙΔΕΣ Νηρηΐδι θνητῇ συνελθεῖν. Ἡσίοδος δὲ καὶ τὴν Ψαμμάθην Αἰακῷ συνελθεῖν, ἐξ ἧς ὁ Φῶκος.*

1013. *ΑΓΡΙΟΝ, ΗΔΕ ΛΑΤΙΝΟΝ. Τῆς Ἰταλίας οἱ Λατῖνοι. ΑΓΡΙΟΝ δὲ τὸν ἀμύμονα Λατῖνον. Καὶ οὗτοι μὲν οἰκοῦσιν εἰς τὰ ἐσώτερα μέρη τῶν ἱερῶν νήσων, οἱ Λατῖνοι οἰκοῦσι τὴν Τυρσηνίαν χώραν, ἔνθα ᾤκει ἡ Κίρκη. Λέγονται δὲ αἱ ἐκεῖσε νῆσοι Ἠλεκτρίδες.*

x) Deest hoc et seq. Schol. Trinc.

y) Hinc ad *ἄλλως* om. Trinc. Pro *Ἀρχίλοχος* legendum esse *Ἀρίσταρχος* monui in nota ad h. l. *Ἀρχέλοχος* Bas.

z) Reliqua Scholia om. Trinc.

a) Haec sunt corrupta. Meliora dat cod. S. *Ὅμηρος δὲ τὴν Θέτιν μόνην ἀπὸ τῶν Νηρηΐδων θνητῷ συνευνασθῆναι φησίν*: —

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΥΡΙΟΥ

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ

ΤΟΥ ΓΑΛΗΝΟΥ

ΕΙΣ ΤΗΝ

ΤΟΥ ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑΝ

ΑΛΛΗΓΟΡΙΑΙ.

" [a]) ΚΕΡΑΜΕΙΑ τὸν πίθον," ἡ παροιμία φησί. Ταῦτ' ἄρα καὶ τοὺς ἤδη πρώτως εἰς τὴν ἀληθῆ καὶ μόνην ἐμβιβάζεσθαι μέλλοντας νέους εὐσέβειαν, οὐκ εὔλογον εἶναί μοι δοκεῖ τοῖς Ἑλληνικοῖς ἐᾷν ὕθλοις καὶ τῷ ἐκ τούτων ἤδει καθυπάγεσθαι· φιλόμυθον γὰρ ἀεὶ τὸ τῶν νέων γένος, καὶ τοῖς τοιούτοις βοσκόμενον [1]) χωρίοις· ἀλλ' ἀντιθεῖναι τῷ φαινομένῳ ἤδει καὶ τὴν ἀκοὴν καταθέλγοντι μόνον, τὸ μὴ φαινόμενον, ἀλλ' ἤδη καὶ ὂν, ἀληθές. Τοιοῦτον δὲ πάντως τὸ μεταληπτικὸν εἶδος τοῦ λόγου καὶ ἀλληγορικὸν, οὐ μέχρις ἀκοῆς παραμένον, ἀλλ' ἔνδον καὶ εἰς ψυχὴν ἀφικνούμενον νοεράν τε καὶ τῆς ἀληθοῦς ἐφιεμένην γνώσεως. Αἰνῶ δὲ ἄρα καὶ Πλωτῖνον ἐκεῖνον, κἂν τῶν θύραθεν οὗτός ἐστι, παρεγγυώμενον τοῖς νέοις τὰ μαθήματα παραδίδοσθαι, πρὸς συνεθισμὸν τῆς ἀσωμάτου φύσεως· ἔτι δὲ καὶ Σωκράτην ἕωθεν ἀνισταμένοις παρακελευόμενον, τὴν ἱερὰν καὶ ἀῤῥενωπὸν κατασπάζεσθαι μουσικὴν, τὸ ἐν ταῖς

a) Hinc ad ἐμβιβάζεσθαι ἡλικίαν om. B.

1) Scripsit hoc modo Illustris Scaliger, cum male legeretur antea χωρίς. HEINSIUS.

σφῶν ψυχαῖς καταστέλλουσαν ταραχῶδες, καὶ πρὸς τὴν κρείττω καὶ θειοτέραν ἐντεῦθεν καὶ ἀνδρώδη ἐμβιβάζεσθαι ἡλικίαν. Πολλῶν δὲ τῶν παρ' Ἕλλησι βίβλων οὐσῶν, ἐν αἷς μῦθοι καὶ τερατολογίαι τινὲς ἐπιφέρονται, καὶ ἀναπλάσματα, τῆς Ἑλληνικῆς [c]) τε κακοδαιμονίας σεβάσματα, τὴν Ἡσιόδου Θεογονίαν ἡμεῖς μεταχειριούμεθα· πλήρης γάρ ἐστι τῶν τοιούτων τερατολογιῶν, καὶ τὴν ἐγκεκρυμμένην ἐν ταύτῃ ἀλήθειαν τοῖς βουλομένοις ἀνακαλύψομεν, κἂν οἱ τῇ πλάνῃ κατεχόμενοι Ἕλληνες τὰ τῆς ψυχῆς [d]) μύσαντες αἰσθητήρια, τὴν ἐναντίαν ἐτράποντο· ἥν τινα δὴ βίβλον Φυσιογονίαν οἶμαι καλεῖν δέον, ὅτι περὶ [e]) φυσικῶν τινῶν γενέσεων διαλαμβάνει, καθὼς ὁ λό- 44[illegible]
γος προϊὼν διαρθρώσει, κἂν Θεογονίαν οὕτως ἀγερώχως ἐκεῖνοι ταύτην ὠνόμασαν. Πρῶτον δὲ ἀθρητέον τὸ προοίμιον, καὶ τὴν ἐν τούτῳ [f]) μετιτέον ἀλήθειαν, οὐχ ἡμῶν ἴσως ἀνακαλυπτόντων ταύτην, ἀλλὰ καὶ αὐτοῦ τοῦ ποιητοῦ ἐνίοτε καὶ ἀπὸ λέξεων τινῶν ταύτην ἡμῖν καταφανῆ ποιοῦντος καὶ γνώριμον.

1. *ΜΟΥΣΑΩΝ ἙΛΙΚΩΝΙΑΔΩΝ ΑΡΧΩΜΕΘ' ΑΕΙΔΕΙΝ.* Δῆλός ἐστιν ὁ ποιητὴς τὸν εὐχαριστήριον ταῖς Μούσαις τοῦτον ἀνατιθέμενος τὸν λόγον, ὑπὲρ ὧν αὐτὸν ἐσοφίσαντο

Ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὑπὸ ζαθέοιο.

δάφνης ἐριθηλέος αὐτῷ κλάδον παρασχοῦσαι καθεύδοντι. Παιδεύει δὲ [g]) πάντως ἡμᾶς· πρῶτα μέν, [h]) ὡς οὐκ ἀχαριστεῖν δεῖ τοῖς εὐεργετοῦσι καὶ τῆς εἰς τὸ θεῖον ἀφοσιώσεως μὴ ἀφίστασθαι, ἔπειτα δέ, ὡς πᾶσαν κακίαν ἀφ' ἑαυτῶν ἀποτίθεσθαι, καὶ τὰ τοῦ σώματος αἰσθητήρια μύσαντας, νοερῶς ἅμα καὶ θειοτέρως ζῆν, ταῖς ψυχικαῖς ἐνεργείαις τὸ πᾶν ἀναθεμένους· τοῦτο γάρ μοι δοκεῖ παρασημαίνειν ἡ τῶν ἀρνῶν [i]) ποίμανσις· ἡ τοῦ φυτοῦ δὲ γεῦσις, καὶ ἡ πικρία, τὴν τῆς αἰσθητικῆς ζωῆς ἀποστασίαν καὶ ἀπόταξιν· πικραίνονται γὰρ οἱ ἄνθρωποι καὶ λυποῦνται, τοῖς κατὰ τὸν βίον ἡδέσιν ἀποταξάμενοι, καὶ πρὸς σκληραγωγίαν ἐκκλίναντες· αἱ γὰρ ἀρεταὶ

c) om. B.
d) βύσαντες B.
e) φυσικῆς — γενέσεως B. Mox κἂν et ἐκεῖνοι ταύτην om. B.
f) ἀπιτέον B. τινῶν om. B.
g) πάντας B.
h) ὡς om. B. Mox τοῖς εἰς τὸ θ. ἀφοσ. Trinc.
i) πήμανσις B. et deinde πίκρανσις. Mox καὶ ἀπόταξιν om.

περὶ ἡδονὰς καὶ λύπας εἰσίν· ἡδονὰς μὲν, ὅτι τοῦ καλοῦ ἕνεκα· λύπας δὲ, ὅτι τοῖς φοβεροῖς, ἢ δεινοῖς ἐντυγχάνουσιν· ἀλλὰ ταῦτα κατὰ λόγον φέροντες, τὰς γνώσεις ἢ ἕξεις ἐν ἑαυτοῖς k) ἐπιγενομένας ἔχουσιν. Ὁ τοίνυν Ἡσίοδος πάσῃ μὲν ἀποταξάμενος φαντασίᾳ, πάσῃ δὲ χαίρειν εἰπὼν ἀνέσει τοῦ σώματος, καὶ πρὸς τὴν σπουδαίαν ἐκκλίνας διαγωγὴν, καὶ σχολάσας, ἔσχε ποτὲ τὰς ἐπιστήμας αὐτῷ ἐγγεινομένας καὶ σοφιζούσας αὐτόν· αἵ τινες δὴ γνώσεις ἐν τοῖς ἡσυχίοις τόποις, καὶ πάσης ἀπηλλαγμένοις τύρβης βιωτικῆς, διατρίβουσιν· ἔτι δὲ καὶ τοῖς ὄρεσι καὶ ταῖς ὑψηλαῖς σκοπιαῖς· εἰώθασι γὰρ οἱ σχολάζοντες ἐνίοτε καὶ ὑψηλὰς φύσεις καὶ μετεώρων πάθη σκοπεῖν καὶ καταλαμβάνειν αὐτὰ, καὶ διὰ τοῦτο δάφνης ἀπογεύεσθαι ἀνέκαθεν τοῖς μάντεσι παρεδίδοτο πρὸ τοῦ τῶν μαντειῶν ἀπάρχεσθαι, παρόσον, οἶμαι, δαφοινῆς τινος διαγωγῆς καὶ νεκρωτικῆς τῶν τοῦ σώματος σκιρτημάτων, τοῖς τά τ' ἐόντα, τά τ' ἐσόμενα, πρό τ' ἐόντα καταλέγειν μέλλουσι χρεία ἐστίν· οὕτω γὰρ ἡ τῶν ἑξῆς ἐριθηλεστάτη γνῶσις γένοιτ' ἂν, καὶ ἡ τοῦ νοὸς ἀνάβλυσις, ἢ l) προαιρετικὴ χάρις τῆς γνώσεως. Ἐν Ἑλικῶνι δὲ λέγονται χορεύειν αἱ Μοῦσαι, καὶ ἐν τῷ βωμῷ τοῦ Διὸς ὀρχεῖσθαι ποσὶν ἁπαλοῖς, ἔτι m) δὲ καὶ λούεσθαι ἐν κρή-
450 νῃ Ἵππου, καὶ ἐν Ὀλμειῷ, διότι αἱ γνώσεις καὶ ἐπιστημονικαὶ θεωρίαι, ἑλισσομένης τῆς ψυχῆς n) πρὸς ἑαυτὴν, καὶ τῷ πατρὶ τῷ νοῒ συγκιρνωμένης, ἢ ἑνουμένης, ὥσπερ ἔκ τινος κρήνης πηγάζουσι, θᾶττον βλαστάνουσαι, o) καὶ οἷον ἱπτάμεναι, καὶ ὄλλουσαι τὸ τῆς ἀγνοίας μεῖον, πλατύνονται αὗται οὕτω, καὶ ὡς ἄν τις φαίη ὀρχοῦνται ταῖς οἰκείαις ἐνεργείαις καὶ προϊέσεσιν, ἄλλης ἐπ' ἄλλῃ συλλεγομένης εἰλικρινοῦς θεωρίας, καὶ ἀμοιβαδὸν ἀλλήλας p) διαδεχομένης· τοιαύτη γὰρ ἡ τῶν καθαρῶν νοημάτων τοῦ νοὸς προέξαλσις, ἥτις δὴ καὶ ἱμερόεσσα λέγοιτ' ἄν. Τί γὰρ ἡδύτερον τῆς τοιαύτης ῥαστώνης γένοιτ' ἂν διαβατικωτάταις ψυχαῖς καὶ αἰθεροβάμοσι, καθ' ἣν ἐς ἀκρότατον Ἑλικῶνα χορεύουσιν, ἀνατεινόμεναι δηλαδὴ καὶ συμπτυσσόμεναι τῷ αὐτὰς καταλάμποντι καὶ ζωὴν τὴν μα-

k) ἐπιγινομένας B.
l) προετικὴ B.
m) δὲ κ. λ. ε. κ. ι. om. B.
n) περὶ αὐτὰς B. et mox συγκιργαμένης.
o) Hinc ad καταληπτικαὶ οὔπερ ἐθέλουσι om. B. βλυστάνουσαι Trinc.
p) διαδεχομένας Trinc. Heins.

καρίαν παρέχοντι νῷ; Αἱ γὰρ οὕτω κουφισθεῖσαι ψυχαὶ, καὶ πάσης ἀπηλλαγμέναι σωματικῆς ἀχλύος, λεπτομερῶς τε καὶ ἀεροειδῶς κινοῦνται, καὶ παντός εἰσι καταληπτικαὶ οὗπερ ἐθέλουσι, καὶ τὴν τῶν ὄντων εἰδυῖαι φύσιν, ὑμνοῦσί τε δι' ὧν ἐνεργοῦσιν ἐνεργειῶν τὸν πάντων πατέρα καὶ πολυτίμητον νοῦν, καὶ τὴν τοῖς αἰσθητοῖς τούτοις ἐγκεκρυμμένην ἀλήθειαν ἀνακαλύπτουσι, τίς τε ἡ τοῦ ἀέρος φύσις διδάσκουσαι, καὶ τίς ἡ τοῦ ὕδατος, καὶ ἁπλῶς τῶν στοιχείων καὶ τῶν [q]) συνθέτων ἐκ τούτων σωμάτων, ζώων τε καὶ φυτῶν· ἔτι δὲ καὶ πῶς τόδε τὸ πᾶν συνέστη καὶ ἥρμοσται τίσιν ἁρμονίαις ἢ λόγοις, καὶ πῶς ὁ ἥλιος καὶ ἡ σελήνη ἡμέρας τε καὶ νυκτὸς δημιουργοὶ, καὶ καιρῶν καὶ χρόνων, καὶ ζωώσεως φυτῶν, ἢ ζώων [r]) γενέσεως τυγχάνουσι· τίς τε ἡ διευθετοῦσα τόδε τὸ πᾶν τάξει τινὶ καὶ συνέχουσα δύναμις, ὥσπερ τις κοσμήτωρ ἄριστος ἐν στρατοπέδῳ στρατηγός· πῶς δὲ τοῖς ζώοις ἔρωτές τε καὶ ἡδοναὶ ἄλογοι ἐγγίνονται, καὶ τίνες οἱ τοῦ σπέρματος λόγοι, δι' ὧν ἡβάσκουσι τὰ [s]) κυήματα, πῶς τε κινεῖ ὁ ὑπερκαθήμενος νοῦς ἐν τῇ ἀπλανεῖ τὸ πάντων κινητικὸν αἴτιον, ὡς ἀκρότατον ἐφετόν· πῶς δὲ καὶ τὰ οὐράνια κινεῖται καὶ φέρεται σώματα, καὶ διὰ τίνας ἄρα αἰτίας, καὶ τίς ἡ τοῦ χρόνου φύσις· ταῦτα καὶ τὰ τοιαῦτα αἱ νοερώτεραι τῶν ψυχῶν καὶ τὰς οἰκείας ἐνεργείας μὴ συγχύσασαι ταῖς πρὸς τὸ σῶμα νεύσεσιν ἐξετάζουσί τε καὶ ἡμᾶς ἐκδιδάσκουσιν, ἀπαθανατισθεῖσαι καὶ τῆς κρείττονος ἠξιωμέναι [t]) μοίρας καὶ τοῦ κρατῆρος ἐκείνου ἀποσπάδες οὖσαι τοῦ θειοτέρου, ἃς δὴ καὶ ὡς ποθουμένας καὶ ζητουμένας παρ' ἡμῶν Μούσας ὁ λόγος προσαγορεύειν ἐθέλει· φύσει γὰρ ἡ εἰδητικὴ ὄρεξις τοῖς ἀνθρώποις ἐγκατέσπαρται, καθὰ καὶ Ἀριστοτέλει δοκεῖ, ἀρχομένῳ τῆς μετὰ τὰ φυσικὰ πραγματείας. Ἐννέα δ' εἰσὶν αἱ Μοῦσαι, ὡς τὸ τετράγωνον καὶ ἔμπεδον τῶν τοιούτων γνώσεων τοῦ ἀριθμοῦ τούτου ἐμφαίνοντος, καὶ τὴν ἀκλινῆ καὶ ἀμετακίνητον 451
τῶν [v]) ψυχικῶν δυνάμεων ἡμῖν παριστάνειν ἐθέλοντος, ἀνατασθεισῶν τάχα καὶ πρὸς ἑαυτὰς συνιουσῶν, ὁλικὴν καὶ ἑνιαίαν ἀνάκρασιν. Ἅπαξ γὰρ ψυχὴ πρὸς ἑαυτὴν ἑλιχθεῖσα, καὶ νοε-

q) συνθέντων B.

r) γενέσεως om. B. et mox τάξις pro τάξει τινι.

s) ποιήματα B.

t) μοίρας om. B.

v) Ita B. Vulgo ψυχῶν.

ρῶς ἑαυτὴν ἐποπτεύουσα, οὐκέτι θέλει πρὸς πολυμέρειάν τινα διασκεδάννυσθαι, καὶ τοῦ συμπτύσσοντος ἑνὸς ὑποχωρεῖν τε καὶ ἀφίστασθαι. Τοῦτο γάρ οἶμαι καὶ τὸ τοῦ ἐννέα ὄνομα ἀριθμοῦ ὑποσημαίνειν· οὐ γάρ ἐστιν ἕτερον τὰ ἐννέα, ἀλλ' ἢ ἓν πρὸς ἑαυτὸ ἀναστρεφόμενόν τε καὶ συμπτυσσόμενον, ὥσπερ ὑπό τινος ὅρου καὶ πέρατος, τῆς μονάδος καὶ τοῦ πληθυντικοῦ σκεδασμοῦ, καὶ εἰς ἀπειρίαν προϊόντος ὑπ' αὐτῆς εἰργόμενόν τε καὶ ἐπεχόμενον. Ἔστι γὰρ ταῖς ψυχαῖς ῥοπή τις πρὸς πληθυσμὸν, ἣν ἀνασειράζειν εἴωθεν ἡ τοῦ [w]) νοῦ πρὸς ἑαυτὸ ἐπιστροφή τε καὶ ἕλιξις. Ἐννάδι δὲ πάντως κατίδοις καὶ τὰς νοερωτέρας οὐσίας σεμνυνομένας, καὶ ἀπαριθμουμένας ὑπὸ τῶν κλεινῶν καὶ θεσπεσίων ἀνδρῶν, καὶ κατὰ τῆς τριάδος προκοπὴν προϊούσας, τὸ ἐν αὐταῖς πάντως καὶ τούτου ὑποσημαίνοντος τοῦ ἀριθμοῦ τελειωτικόν. Ἄθρει δὲ ὁ διαβατικώτατος καὶ ὑψηλόνους ἀκροατὴς καὶ τὴν τοῦ ὀνόματος [z]) σύμπτυξιν, ἢ ἀνέλιξιν. Ὁ ἐννέα ἀριθμὸς, δύο ἓν ἐστὶ, πρὸς ἑαυτὰ συστρεφόμενα. Τὸ μὲν γὰρ πρῶτον, εν, τὴν ταῖς ψυχαῖς ἐνοῦσαν ῥοπὴν πρὸς πληθυσμὸν ὑποσημαίνειν ἔοικε· διὸ πνεῦμα ἐπιδέχεται, τὴν τοιαύτην ἐμφαῖνον ὁρμήν· οὐ γάρ εἰσιν ἀκίνητοι τέλειον αἱ μετὰ τὴν πρώτην οὐσίαν νοεραὶ καὶ θεῖαι οὐσίαι πρὸς σκεδασμόν τινα καὶ διάστασιν ἢ πολυμέρειαν, ὥς τινι τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα· τὸ δὲ δεύτερον εν, ὃ καὶ ἀντιστρόφως ἀναγινώσκεται νε, τὴν πρὸς ἑαυτὴν ὑποσημαίνει τῆς ψυχῆς στροφήν· πάσχει δὲ τοῦτο ἡ ψυχὴ τῇ μοναδικῇ ἀμερείᾳ καὶ [x]) ἀσκεδάστῳ ἐπισχεθεῖσα, καὶ πρὸς ἑαυτὴν καταναγκασθεῖσα ἐπιστραφῆναι, ὥσπερ ὑπό τινος ὅρου καὶ πέρατος. [y]) Ὃ δὴ δεύτερον εν, οὐδὲ πνεῦμα ἐπιδέχεται, οὐδὲ γάρ ἐστι τῇ τοιαύτῃ στροφῇ πρὸς τὰ τῇδε ὁρμὴ, ἢ φορά τις, ἢ ὄρεξις. Ἐπεὶ δὲ γραμματικοῖς προσδιαλεγόμεθα, καὶ ποιητὴς ἡμῖν τὸ ἀνὰ χεῖρας, οὐ κατόπιν ὁ λόγος ἀπαντήσει τοῦ δέοντος, εἰ καὶ πορισόμεθα κατὰ τοὺς γεωμέτρας ἐκ τῶν προσεχῶς ἡμῖν δεδειγμένων, καὶ διὰ τί τὸ ἑ

w) ἑνὸς B.

z) Scribe, σύμπτυξιν. Sic supra: ἀνατεινόμεναι δηλαδὴ καὶ συμπτυσσόμεναι. Infra: ἐπειδὴ αθμέλλει συστέλλεσθαι καὶ συμπτύσσεσθαι. Heinsius. Olim σύμπτηξιν.

x) ἀμερίστῳ B.

y) δὴ καὶ B. ubi mox desunt ab οὐδὲ γάρ ἐστι usque ad τῶν Πλατωνικῶν.

τῶν ἀριθμῶν δασύνεται, πλὴν τοῦ ἐννέα, καὶ ἐννενήκοντα, καὶ ἁπλῶς διά τί τὸ μὲν ἓν δασύνεται, τὸ δὲ ἐννέα δύο ἓν ὄν, ὡς εἴρηται, οὐ δασύνεται. Λεκτέον δὲ, ὅτι τὸ δασύνεσθαι τὸ ἑ τῶν ἀριθμῶν, καὶ ἁπλῶς τὸ ἓν, παριστάνειν ἔχει ἡμῖν τὴν ἐπ' ἄπειρα πρόοδον τῶν ἀριθμῶν· ὁρμὴν γὰρ ὡσανεὶ φυσικὴν ἔχει τὸ ἓν, εἰς σκεδασμόν τε καὶ πληθυσμὸν, ἣν δὴ ῥοπὴν ὑποσημαίνειν ἐθέλει τοῦ πνεύματος ἡ δασύτης. Ἄρχεται δὲ ἡ τοιαύτη φορὰ ἀπὸ τοῦ ἑνὸς, καὶ προελθοῦσα μέχρι τοῦ ἐννέα, ἐπειδὴ μέλλει συστέλλεσθαι καὶ συμπτύσσεσθαι ὥσπερ 452 ὑπό τινος πέρατος τῆς δευτερευομένης μονάδος, ἤτοι τοῦ δέκα, μιμεῖται πάντως τὴν συστολὴν τὸ πνεῦμα τὸ ψιλὸν, καὶ ἡμῖν ὑποδηλοῖ ταύτην, ἄνωθεν τοῦ ἐννέα ἐπιτιθέμενον. Πολλὰς δ' εὑρήσει τις συμπασχούσας λέξεις τοῖς ὑπ' αὐτῶν σημαινομένοις καὶ μιμουμένας αὐτά. Καὶ μάρτυς τοῦ λόγου, τὸ λιμὸς ὄνομα· δέον γὰρ διὰ διφθόγγου γράφεσθαι ὡς ἀπὸ τοῦ λείπω καὶ τοῦ αἷμα γεγονὸς, ὅμως τὴν τῶν λιμωττόντων συστολὴν καὶ τὸ πάθος ἐμιμήσατο, καὶ ἔπαθέ τινα ἔνδειαν τοῦ ε, ὥσπερ καὶ τὸ ἰδέα ὄνομα καὶ τὸ εἶδος μαρτυροῦσι. Τὸ γὰρ ἰδέα διὰ τὸ ι γράφεται, τὴν τῶν ἰδεῶν ἐκείνων ὑποσημαῖνον ἁπλότητα τῶν Πλατωνικῶν. Τὸ γὰρ αὐτοὲν, καὶ ἡ [z]) αὐτοδυὰς, ἁπλᾶ πάντη, οὐκ ἔκ τινων· τὸ δὲ εἶδος ἐπὶ τῶν συνθέτων λεγόμενον τῶν ἐκ ψυχῆς τε καὶ σώματος [a]) ἢ μορφῆς, εὐλόγως καὶ σύνθετον εἴληχε γραφήν. Ἀλλ', ὅπερ ἐλέγομεν, τῆς ἐπ' ἄπειρα [b]) καὶ τῶν ἀριθμῶν προόδου ἡ τοῦ πνεύματός ἐστι δασύτης δηλωτικὴ, ἀπὸ τοῦ ἑνὸς ἀρχομένη· ἓν γὰρ φαμὲν, εἶτα δύο, διὰ μὲν τοῦ ἑνὸς τὴν ἑνίζουσαν τὰ πεπληθυσμένα καὶ περατοῦσαν φύσιν ὑποσημαίνοντες· ὡς δῆθεν αὐτῆς συμμετέχοντά πως· πᾶν γὰρ πλῆθος μετέχει πως τοῦ ἑνός· διὰ δὲ τοῦ δύο, τὴν εἰς πλῆθος διάστασιν, ἢ τὴν δίοδον τὴν εἰς τὰ πολλὰ αἰνιττόμενοι, ἐκ τοῦ δύνω τάχα [d]) παράγοντες τὸ ὄνομα, ὃ σημαίνει τὸ ὑπεισέρχομαι· τὰ γὰρ δύο, πῶς μὲν πλήθους ἀρχή ἐστι, πῶς δὲ πλῆθος, καὶ πῶς μὲν πολλὰ, πῶς δὲ ὀλίγα· καὶ πῶς μὲν ἀριθμὸς, πῶς δὲ ἀρχὴ ἀριθμοῦ. Ὡς μὲν γὰρ μετρητὸν, καὶ ἀριθμητὸν, ἀριθμός ἐστι καὶ πλῆθος· ὑπὸ γὰρ τοῦ ἑνὸς μετρεῖται· ἓν γὰρ καὶ ἓν, δύο. Πρὸς ὃ ἓν συγκρινόμενα τὰ δύο καὶ πολλὰ λέγεται· ἐπεὶ καὶ ὀλίγα

z) αὐτοενὰς B. Mox ἐκεῖνον Trinc. ἁπλῆ π. καὶ οὐκ B.

a) ἢ καὶ μ. B. Mox εἴληφε τὴν γραφήν. B.

b) καὶ om. B.

c) πῆ B. διὸ pro διά.

d) παράγουσι B.

εἴη ἂν, πρὸς τὰ τέσσαρα. Ὃ δέ ἐστι πολὺ, τοῦτο καὶ ὀλίγον λέγεται, ἀλλὰ πρὸς ἄλλο καὶ ἄλλο πάντως. Καὶ ὅτι τῶν παρ' ἑκάτερα τοῦ δύο συντεθειμένων ἅμα, τοῦ ἑνὸς καὶ τοῦ τρία ἥμισύς ἐστιν ὁ δύο, καὶ κατὰ τοῦτο ἀριθμός ἐστι. Πάλιν δὲ e) ὅτι τὰ δύο οὐκ εἰσὶ πολλὰ, οὐδὲ ἀριθμὸς, οὐδὲ πλῆθος, σκόπει ἐνταῦθα, μεταχειρισάμενος τὸ καθ' ὑπεροχὴν πολύ. Διττὸν γὰρ τὸ πολὺ, καὶ τὰ πολλὰ, καὶ τὸ ὀλίγον καὶ τὰ ὀλίγα, ἢ κατὰ σύγκρισιν, ἢ καθ' ὑπεροχήν. Πᾶς ἀριθμὸς ὑπερέχειν θέλει ἐν ἀριθμοῖς, τινὸς ἀριθμοῦ ἐνεργείᾳ. Ὁ δύο οὐχ ὑπερέχει· οὐ γάρ ἐστιν ἀριθμὸς ἡ μονὰς ἐνεργείᾳ, καὶ τὸ ἐν δευτέρῳ σχήματι συναγόμενον συμπέρασμα νόει. Εἰ δ' ἀριθμὸς οὐκ ἔστι, τί ἂν ἄλλο εἴη, ἢ ἀρχὴ ἀριθμοῦ· πᾶν γὰρ τὸ ἐν ἀριθμοῖς λεγόμενον, ἢ πάθος ἐστὶν ἀριθμῶν, ὡς ἀρτιότητές τε καὶ περιττότητες, ἢ ἀριθμὸς, ἢ ἀρχὴ ἀριθμοῦ. Ἕπεται δὲ f) δεδειγμένου τοῦ, ὅτι τὰ δύο ἀριθμὸς οὐκ ἔστι, συναποδείκνυσθαι καὶ ὅτι οὐδὲ πολλὰ, οὐδὲ πλῆθος· ὁ γὰρ ἀριθμὸς οὐδέν ἐστιν
453 ἄλλο, ἀλλ' ἢ πλῆθος τῷ ἑνὶ μετρητόν· τὸ δὲ ὑφ' ἑνὸς μετρητὸν πλῆθος, πολλά ἐστιν.

Εἶτα φαμὲν τρία, ἀπὸ τοῦ τρίς ιά· τρὶς γὰρ μία, τρεῖς, τριπλοῦντες τὴν μονάδα g) τρισσάκις εἰς ἑαυτήν. Ἢ ἀπὸ τοῦ τηρεῖν τὸ μοναδικὸν καὶ ἑνιαῖον, ἀκραιφνέστερον ἔτι καὶ εἰλικρινέστερον ὑπὲρ τοὺς μετ' αὐτὸν ἀριθμοὺς κατονομάζοντες τὸν τρία· ἀμιγὲς γὰρ ἔτι καὶ ἀθόλωτον τὸ ἓν ἔχει ὁ τρία, ὃ δὴ h) καὶ ἐμφαίνει διὰ τοῦ ιά, τηρίας ὤν τις. Τὸν δὲ τέσσαρα, ἢ ἐθνικὴν εἶναι τὴν λέξιν, καὶ διαλέκτῳ i) ἰδίᾳ τινι, ὡς τὸ παρ' Ἡσιόδῳ δηλοῖ ἐν ταῖς Ἡμέραις l) εὑρεθὲν, ΤΕΤΟΡ' ἩΒΩΗ, ἀντὶ τοῦ τεσσαρεσκαιδέκατον χρόνον, ἢ παράγοιτο ἂν ἀπὸ τοῦ ταράσσω ταράξω, τετάραχα, τετάραγμαι, τετάραξαι, τετάρακται· ταραχὴν γάρ τινα καὶ σκεδασμὸν τὸν εἰς πολυμέρειαν ἐμφαίνει ὁ ἀριθμὸς m) οὗτος· ἐντεῦθεν γὰρ ὁ πληθυσμὸς καὶ ὁ μερισμὸς μᾶλλον ἐπεισάγεται. Διὰ τοῦτο δὲ, οἶμαι, καὶ τὸν

e) ὅτι om. B. et mox ἐντεῦθεν pro ἐνταῦθα.
f) ἀποδεδειγμένου B.
g) πρὸς ἑαυτὴν τρισσάκις B.
h) ἀναφαίνεται B. Mox edd. τηροίας.
i) ἰδίαν Trinc. ἰδίᾳ et mox τὸ om. B. Ἡσιόδου Trinc. δηλοῦται B.
l) εὑρεθὲν om. B. Mox ἀντὶ τοῦ κατὰ τὸν τ. B.
m) Sic B. Vulgo οὕτως. Mox καὶ ὁ ἐκλογισμὸς μάλιστα εἰσάγεται. B.

τέσσαρα σώματι ἀναλογεῖν ἔλεγον οἱ Πυθαγόρειοι [n]) συμβολικῶς, καὶ τετρακτὺν αὐτὸν ἐκάλουν

παγὰν ἀενάου φύσεως,

διὰ τὸν σκεδασμὸν τὸν ἐς πλῆθος, καὶ τὰς ἐναντιότητας, καὶ τὰ πάθη τῶν σωμάτων, ἅ τινα δὴ ταραχὰς ὁ λόγος καλῶν οὐκ ἀπεικότως λέγει. Πέντε δὲ, ἢ ἀπὸ τοῦ ἐντύνω τὸ κατασκευάζω παρωνόμασται, ἢ ἀπὸ τοῦ πένω τὸ ἐνεργῶ· ἐνεργητικώτερος γὰρ καὶ κατασκευαστικώτερος ἢ γεννητικώτερος τῶν ἐντὸς τῆς [o]) δεκάδος ἀριθμῶν οὗτός ἐστι. Καὶ γὰρ τοῖς πρὸ αὐτοῦ συνερχόμενος τοὺς μετ' αὐτὸν γεννᾷ πάντας· αὐτὸς γὰρ εἰς ἑαυτὸν συντιθέμενος, ἢ συστρεφόμενος τὸν δέκα ποιεῖ· πέντε γὰρ καὶ πέντε, δέκα· πρὸς δὲ τὸν τέσσαρα ποιεῖ τὸν ἐννέα· τέσσαρα γὰρ καὶ πέντε, ἐννέα· πρὸς δὲ τὸν τρία ἐπιτιθέμενος, τὸν ὀκτώ· τρία γὰρ καὶ πέντε ὀκτώ· πρὸς δὲ τὸν δύο, τὸν ἑπτὰ, πρὸς δὲ τὴν [p]) μονάδα, τὸν ἕξ. Ἓξ δὲ εἴρηται ἀπὸ τοῦ ἐξιέναι πρὸς πλῆθος· τοῦ γὰρ πλήθους ἀρξαμένου ἀπὸ τοῦ τρία, ἐνταῦθα ἡ ἐπιδίπλωσις τοῦ πληθυντικοῦ θεωρεῖται ἀριθμοῦ. Δύο γὰρ τρία, ὁ ἓξ ἐστι· διὸ καὶ μερισμοὺς πλείονας τῶν πρὸ αὐτοῦ ὑφέστηκεν ἀριθμῶν· ἔχει [q]) γὰρ ἕκτον τὴν μονάδα, τρίτον τὰ δύο, καὶ ἥμισυ τὰ τρία, καὶ ἁπλῶς πολυμερέστερός ἐστι τῶν πρὸ αὐτοῦ. Δασύνονται δὲ καὶ τὰ ἓξ, διὰ τὴν προειρημένην ἄνωθεν αἰτίαν. Ἑπτὰ δὲ, ἀπὸ τοῦ [r]) ἐπιτείνεσθαι πλέον εἰς σκεδασμόν· ἐγὼ δὲ εἴποιμι, ἐκ τοῦ ἕπεσθαι τοῖς λοιποῖς ἕξ, καὶ τὴν μονάδα τηρεῖν. διὸ καὶ δασύνεται. Ὀκτὼ δὲ, ἀπὸ τοῦ δεκτῶ τις εἶναι· στερεὸς γάρ ἐστι καὶ κύβος· δὶς γὰρ δύο, [s]) τέσσαρες, καὶ δὶς τέσσαρες ὀκτώ· ἢ ὅτι δεκτικώτερός ἐστι 454 πολυμερείας ὑπὲρ τοὺς πρὸ αὐτοῦ· ἔχει γὰρ καὶ ἥμισυ, τὰ τέσσαρα, καὶ τέταρτον, τὰ δύο, καὶ ὄγδοον τὴν μονάδα, τοὺς ἀρτίους μερισμοὺς ὑποδεχόμενος. Ὁ γὰρ ἓξ καὶ περιττὸν μερισμὸν εἶχε [t]) τὸν τρία, καὶ ἄρτιον τὸν δύο· οὗτος δὲ οὐδέν τι τοιοῦτον ἔχει. Ἐννέα δὲ εἴρηται, ἀπὸ τοῦ τὸ ἐκχυθὲν ἓν καὶ διὰ τῶν ἄλλων προελθὸν, μέλλειν ἐν τῇ δεκάδι, [v]) δευτε-

n) Om. B. Mox idem habet οἶδε γὰρ pro διὰ, et καλεῖ pro λέγει.

o) μονάδος ὁ ἀριθμὸς B.

p) μονάδα καὶ τὸ ἓν edd.

q) καὶ ἕκτον et mox καὶ τρίτον B.

r) τείνεσθαι B.

s) τέσσαρα hic et infra B.

t) Sic B. Vulgo, τὸ τρίτον, ἤγουν τὰ δύο.

v) δευτεροδουμένη B.

ῥευομένῃ οὔσῃ μονάδι, πάλιν ἑνοῦσθαι καὶ πρὸς ἑαυτὸ στρέφεσθαι καὶ ἀνακάμπτειν. Ὅθεν καὶ ψιλοῦται, τὴν συστολὴν [w]) τὴν πρὸς ἑαυτὸ τοῦ πνεύματος τοῦ ψιλοῦ ἐμφαίνοντος. Δεκὰς δὲ εἴρηται, ἀπὸ τοῦ τῶν δύο ἑκὰς εἶναι, δύο ἑκάς τις οὖσα. Μονὰς γάρ ἐστι δευτέρα, συμπτύσσουσα τὰ σκεδάννυσθαι μέλλοντα καὶ διχοτομεῖσθαι. Ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς ἡμῖν εἴρηται, ἔτι δὲ καὶ διὰ τί ἐννέα τὸν ἀριθμὸν αἱ Μοῦσαι λέγονται εἶναι, προφθάσαντες ἀνωτέρω εἴπομεν. Εἰ δοκεῖ δὲ, τὰ ὀνόματα αὐτῶν κατίδωμεν·

Κλείω τ', Εὐτέρπη τε, Θάλειά τε, Μελπομένη τε,
Τερψιχόρη τ', Ἐρατώ τε, Πολύμνιά τ', Οὐρανίη τε,
Καλλιόπη θ'· ἣ καὶ προφερεστάτη ἐστὶν ἁπασέων.

[y]) Ὅτι μὲν Μούσας τὰς ἐπιστημονικὰς γνώσεις ὁ λόγος προσαγορεύει, παντί φασι δῆλόν ἐστι· διαφόρων δὲ οὐσῶν τῶν τοιούτων γνώσεων, ποῖον εἴληχεν ἑκάστη ὄνομα μουσικὸν, τοῦτο νῦν ἡμῖν εἰς ἐξέτασιν προκείσθω. Φαμὲν δὴ, ὅτι ἐννέα εἰσὶ καὶ αἱ ἀπὸ τῶν μαθημάτων τῇ ψυχῇ ἐγγινόμεναι μέθοδοι γνώσεων· γραμματικὴ, ποιητικὴ, [x]) μετρικὴ, ῥητορικὴ, φυσικὴ φιλοσοφία, γεωμετρικὴ, ἀστρονομικὴ, ἀριθμητικὴ, καὶ μουσική· ἡ γὰρ ἠθικὴ, καὶ ἡ θεολογικὴ, ὡς ἀπὸ τούτων ἐγγινόμεναι, συνεπινοείσθωσαν αὐταῖς, ῥυθμίζει γάρ τις τὸ οἰκεῖον ἦθος ταύταις προσομιλήσας ταῖς ἐπιστήμαις τελεώτερον. Ἀλλὰ μέντοι καὶ διὰ τούτων προελθὼν, περὶ θειοτέρας φιλοσοφεῖ λήξεως ὕστερον. Πολύμνια γοῦν λέγοιτ' ἂν ἡ γραμματικὴ, ὡς πολλοὺς ὑμνοῦσα καὶ δοξάζουσα. Τοὺς γὰρ πολλοὺς, ἤτοι τοὺς ἀγελαίους καὶ πρότερον ἰδιωτικὸν βίον ζῶντας, πρὸς ἑαυτὴν ἑλκυσαμένη, [y]) ὑμνεῖ τε καὶ ἀνυψοῖ ἐκ τότε, καὶ τὴν παχυτῆτα παρασκευασαμένη ἀποθέσθαι, καὶ τὸν δίυγρον βίον, καὶ τὴν [z]) ἀνοησίαν καὶ ἀγροικίαν ἀποξέσασα (τοὺς γὰρ οὕτω ζῶντας, πολλοὺς εἰώθαμεν [a]) ὀνομάζειν) ὑμενοῖ, καὶ οἷον πτερύσσει καὶ λεπτοτέρους ἐργάζεται πρὸς τὰς ἑξῆς μαθήσεις καὶ γνώσεις, παιδαγωγός τις [b]) οὖσα καὶ καλλίστη μαιεύτρια,
455 [c]) διαπλάττουσα μὲν καὶ διαρθροῦσα τὴν ἄναρθρον γλῶτταν,

w) τοῦ B. Mox ex Trinc. adjeci τοῦ ante ψιλοῦ.

x) Deletum in B.

y) ὑμνεῖ — τότε om. B. Mox idem ταχυτῆτα.

z) ἀνοησίαν καὶ om. B.

a) ἀποκαλεῖν οἷον πτερύσσουσα λεπτ. B.

b) οὖσα καλλίστη sine μαιευτρία B.

c) διαπράττουσα B.

καὶ ἐξελληνίζουσα, τῷ ἀποδιώκειν μακρὰν πᾶν βαρβαρῶδες καὶ ἄλογον· [d]) μορφοῦσα δὲ πρόσωπον καὶ παῤῥησιάζεσθαι ποιοῦσα τοὺς πρὶν ἀφανεῖς, χεῖρας [e]) δὲ ὀξύνουσα πρὸς ὀρθογραφίαν καὶ ἑτοιμάζουσα, καὶ οὐδέν τι κατὰ τοῦτο τάχα λειπομένη ἐστὶ τῆς ἄρκτου· ἀδιάρθρωτα γὰρ καὶ βάρβαρα καὶ ἄσημα παραλαβοῦσα μειράκια, διαρθροῖ τε καὶ περίβλεπτα ποιεῖ. Θάλεια δὲ εἴη ἂν, καὶ Εὐτέρπη, ἥ τε μετρικὴ καὶ ἡ ποιητικὴ, διὰ τὸ τοῖς μέτροις χρῆσθαι τοὺς παλαιοὺς ἐν ταῖς ἑορταῖς καὶ ταῖς εὐωχίαις· καὶ διὰ τὸ θάλλειν τὰς εὐνομουμένας τῶν πόλεων ἐν αἷς κολάζεται μὲν τὸ κακὸν, τιμᾶται δὲ τὸ καλὸν, ὁποῖον τὸ χρήσιμον ἡ ποιητικὴ παρεισάγει ταῖς πόλεσι, καὶ διὰ τὸ εὐτέρπεσθαι τοὺς τερπομένους ἐν ταῖς τῶν ποιημάτων ἀναγνώσεσιν, ἢ [ee]) ἀποκρίσεσιν. Οὐ γὰρ ἐπὶ βλάβῃ, ἀλλ' ἐπὶ σωτηρίᾳ χαίρουσιν ἑαυτῶν τε καὶ τῇ τῶν πόλεων συστάσει. Μελπομένην δὲ καὶ Τερψιχόρην ἀκουστέον, τήν τε μουσικὴν, καὶ τὴν ἀριθμητικήν· τοὺς γὰρ λόγους τῶν ἁρμονιῶν ἡ ἀριθμητικὴ δίδωσιν· οἷον τὸν ἡμιόλιον, ἢ τὸν ἐπίτριτον, καὶ τὰς συμφωνίας αὕτη ἁρμόζεται, τήν τε διὰ τεσσάρων, καὶ τὰς λοιπὰς, τῷ καρκίνῳ καὶ ταῖς καταμετρήσεσι συνταξαμένη. Ἀλλὰ μέν τοι καὶ ταῖς ψήφοις τοὺς ψόφους καταστησαμένη, τὸ ἑξῆς ἐπιτρέπει τῇ Τερψιχόρῃ, ἤγουν τῇ μουσικῇ τῇ τερπούσῃ τοὺς χοροὺς τῶν ἀκουόντων. Μελπομένη δὲ λέγοιτ' ἂν, ὡς τῷ μέλει ἑπομένη, μελεπομένη τὶς οὖσα. Δεῖ γὰρ τὸν λόγον σύμφωνον εἶναι τῇ αἰσθήσει. Τὰ δύο ταῦτα τῶν ψόφων κριτήρια, καὶ μὴ τὴν ἀκοὴν μὲν, ἄλλως ἔχειν, τοὺς ἀριθμοὺς δὲ ἑτέρως· οὕτω γὰρ ἂν συμφωνία λέγοιτο. Ἐρατὼ δὲ ἐκληπτέον καὶ Οὐρανίαν, τὴν γεωμετρίαν, ὡς τὸ ὄνομα ὑπεμφαίνει αὐτὸ, καὶ τὴν ἀστρονομίαν, τὴν περὶ τῶν οὐρανίων κινήσεων ἐπτοημένην γνῶσιν. Κλειὼ δὲ νοητέον, τὴν ἔνδοξον φιλοσοφίαν, τὴν κλείουσαν τὸν ἄνθρωπον, καὶ ἀπαθανατίζουσαν, καὶ τῷ θεῷ ἀφομοιοῦσαν, διὰ τὴν τῶν ὄντων γνῶσιν. Καλλιόπη δὲ λέγεται ἡ ῥητορική· ταύτῃ γὰρ πλέον τοῦ κατὰ τὴν λέξιν κάλλους μέλει, καὶ τῆς εὐφραδείας ἢ εὐγλωττίας· ἧς τινος δὴ Καλλιόπης τὰ κατορθώματα καταλέγει [f]) ὁ Ἡσίοδος. Ἀλλὰ ταύτας τὰς ἐννέα Μούσας ὁ Ζεὺς, ἐπ' ἐννέα νυξὶ τῇ Μνημοσύνῃ συνὼν, ἀποτίκτει ἐν τῇ Πιερίᾳ, καὶ τοῖς γουνοῖσι τοῦ Ἐλευθῆρος,

d) μορφοῦσα δὲ πρόσωπον om. B.
e) δὲ et mox τάχα om. B.
ee) Forte, ὑποκρίσεσιν.
f) καὶ ὁ Ἡ. B. Trinc.

παρόσον ἐκ τῆς πρὸς ἑαυτὸν τοῦ νοῦ ἀνελίξεως, καὶ τῇ τοῦ μνημονικοῦ μέρους τῆς ψυχῆς ἀνεγέρσει, καὶ ἀναδόσει τῶν αἰσθημάτων, ἢ τῶν ἐναποκειμένων αὐτῷ [g]) *μαθημάτων, ἐπιγίνονται καὶ προέρχονται αἱ ἐννέα γνωστικαὶ μέθοδοι. Δεῖ γὰρ μαθόντας ἡμᾶς πολλά τε, καὶ μνημονεύοντας αὐτῶν, καὶ γεννᾷν οἴκοθεν ἄλλα* [h]) *ἄττα τελεώτερα, καὶ τὰς ἐπιστήμας κατορθοῦν, τετραγωνικῶς πρὸς ἑαυτοὺς στρεφομένους καὶ ἀκλινῶς· ὥσπερ καὶ αὐτὸς ὁ Ἡσίοδος φωραθήσεται ποιῶν· χρήσεται γὰρ πάσαις ταῖς εἰρημέναις μεθόδοις. Ἀλλ' αἱ μὲν προοιμιακαὶ τοῦ Ἡσιόδου σχολαὶ ἅλις ἐχέτωσαν· ἤδη δ' ἐπ' αὐτὴν τὴν προ-*
456 *κειμένην θεογονίαν, ἢ μᾶλλον εἰπεῖν, τοῦ παντὸς φυσιογονίαν, ἰτέον, ἐπαγομένους ἀρωγὸν εἰς τὴν διατράνωσιν τῶν Ἡσιοδείων ῥημάτων τὴν πάντα νοῦν ὑπερέχουσαν γνῶσιν, καὶ τὴν γλῶτταν, πρὸς τὰ ἑξῆς χειραγωγεῖν δυσωποῦντας αὐτὴν, καὶ ἐμπνέειν ἀῤῥήτως ἡμῖν τῆς βιαίας* [i]) *ἐκείνης πνοῆς ἱκετεύοντας τὴν ἀγαθοδότιδα σοφίαν καὶ κρυφιομύστιδα. Εἴ τι δὲ εἰρήσεται σοφὸν τάχα καὶ ἄριστον, καὶ τὰς τῶν πολλῶν διανοίας εὐφραῖνον, τῆς ἐκεῖθεν πάντως ἐπιπνοίας οἰητέον· εἰ δ' ἄχρηστόν τι καὶ ἄχαρι, καὶ τὰς τῶν ἀκροωμένων ἀκοὰς ἀηδίζον, τῆς ἡμετέρας νομιστέον* [k]) *ἀπότευγμα φύσεως, καὶ τῆς τοῦ κρείττονος ἐγκαταλήψεως.*

116. *ΗΤΟΙ ΜΕΝ ΠΡΩΤΙΣΤΑ — ΑΙΕΙ.* *Ἄλλοι μὲν ἄλλως τῶν φυσικῶν ἀνδρῶν περὶ τῆς τῶν ὄντων γενέσεως φυσιολογοῦσιν· ὁ μὲν τὸ πῦρ τιθεὶς* [l]) *πρεσβυγενέστερον τῶν ἄλλων, ὁποῖος Ἡράκλειτος· ὁ δὲ τὴν γῆν, ὡς Ἵππων ὁ ἄθεος· ἕτερος δὲ ἄλλό τι. Ἡσίοδος δὲ γεννᾷ τἄλλα ἐκ τοῦ ὕδατος, καὶ ἀρχαιότερον πάντων τὸ ὕδωρ τίθησιν,* [m]) *ὡς ἀπὸ τῆς χύσεως παρονομάσας χάος· χυτὸν γὰρ καὶ ῥυτὸν τὸ ὕδωρ. Ἐξ αὐτοῦ δ' οἶμαι καὶ τὸν Μιλήσιον Θάλητα τὴν δόξαν ταύτην σφετερίσασθαι, καὶ Πίνδαρον, ἄριστον τὸ ὕδωρ λέγοντα. Ἔπειτα δὲ ἡ γῆ παράγεται μετὰ τὸ χάος, εὐλόγως· τοῦ γὰρ ὕδατος πυκνουμένου μὲν, καὶ εἰς ὁλοσχερεστέραν φύσιν συνισταμένου, παχύ τι καὶ γεωδέστερον τὸ συναγόμενον γίνεται· μανουμένου δὲ*

g) *παθημάτων* B.
h) *τε* B.
i) *ἐκείνης* accessit ex B.
k) *ἀπότεγμα* B. ubi mox om. *καὶ τῆς τοῦ κ. ἐ.*
l) *προγενέστερον* B. ubi mox *ὡς* om.
m) *ὡς* om. B. *παρονομάσαι* edd. Dedi mox *ῥυτὸν* pro *ῥητόν*.

καὶ ἀραιουμένου, εἰ μὲν ἧττον, ἀὴρ ἀπογεννᾶται· εἰ δὲ μᾶλλον λεπτομερέστερον, γίνεται πῦρ τὸ ἐντεῦθεν ἀποτελούμενον. Λέγεται δ' ἐνταῦθα ἡ γῆ ἕδος ἀσφαλὲς τῶν τε οὐρανίων θεῶν, τῶν τε ὑποχθονίων, παρόσον στήριγμά ἐστι τοῦ οὐρανοῦ καὶ τῶν μερῶν αὐτοῦ, δηλαδὴ τῶν τε ἄνω ἄστρων καὶ τῶν κάτω. Καὶ γὰρ πᾶν κινούμενον περί τι ἀκίνητον ἑδράζεται· ἕδρα δὲ πάντως τῆς οὐρανίου κινήσεως, τὸ μεσαίτατον τοῦ παντός ἐστιν, ἤγουν ἡ γῆ ἀκίνητος μένουσα· ἔστι δὲ καὶ οὕτως εἰπεῖν· ὅτι ἡ γῆ ἕδος λέγεται τῶν θεῶν, παρόσον κυκλικῶς τοῦ οὐρανοῦ κινουμένου αὕτη ἐστὶν αἰτία· τὸ γὰρ κέντρον τοῦ κύκλου αἴτιον· πρῶτον γὰρ ἡ νυγμὴ, καὶ ἡ τοῦ κέντρου πῆξις, καὶ τότε ἡ περιφέρεια· θεοὺς δὲ νῦν λέγει τὰ ἄστρα, καὶ ἁπλῶς τὰ οὐράνια σώματα, διὰ τὸ θέειν ἀεί. Ἔρωτα δὲ ἐνταῦθα νοητέον, οὐ τὸν τῆς Ἀφροδίτης παῖδα· (πῶς γὰρ τῆς μητρὸς μήπω γεγονυίας, οὗτος παράγεται;) ἀλλ' ἄλλον τινὰ πρεσβυγενῆ ἔρωτα ἐκληπτέον. Οἶμαι δὲ τὴν ἐγκατεσπαρμένην φυσικῶς κινητικὴν αἰτίαν ἑκάστῳ τῶν ὄντων καθ' ἣν ἐφίεται ἕκαστον τοῦ εἶναι· τὸ μὲν, νοερῶς· τὸ δὲ, n) αἰσθητικῶς· δεῖ γὰρ προϋποκεῖσθαι τὴν ἐν ἑκάστῳ ἐπιτηδειότητα καὶ ὁρμὴν πρὸς τὸ τόδε τὶ γενέσθαι. Ἐκ χάους δὲ τὸ ἔρεβος καὶ ἡ νὺξ γεννᾶται, δηλαδὴ, ὁ ἀπὸ τοῦ ξ) πρὸ τῆς διακοσμήσεως ὑγροῦ ζοφώδης καὶ σκοτεινὸς ἀὴρ, ὅστις δὴ λεπτυνόμενος εἰς αἰθέρα καὶ εἰς φῶς μετέβαλεν, ἢ ὅτι ἐκ τῆς στερήσεως πάντα προῆλθε, διὰ τοῦτο τὸ χάος 457 *ἀρχέγονον λέγεται. Ἀπὸ δὲ τῆς νυκτὸς καὶ τοῦ ἐρέβους μιγνυμένων o) ἡ ἡμέρα καὶ ὁ αἰθὴρ γεννᾶται, ὅτι ὁρῶμεν τὸν αἰθέρα κεκοσμημένον τοῖς ἄστρασιν ἐν τῇ νυκτὶ, καὶ ὅτι ἡ ἡμέρα γίνεται νυκτὸς ὑποχωρούσης. Ἔρεβος δ' ἂν εἴη ὁ κοσμητικὸς λόγος καὶ τακτικὸς, ὁ ἐντεθεὶς ἡμέρᾳ τε καὶ νυκτὶ, καὶ ποιῶν ἐρέβεσθαι, p) ἤγουν καταλαμβάνεσθαι θάτερον ὑπὸ θατέρου, "νὺξ "γὰρ νυκτὶ ἀναγγέλλει γνῶσιν, καὶ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται "ῥῆμα" ὑποχωρούσης μὲν γὰρ τῆς νυκτὸς, ἡμέρα ἔρχεται, καὶ ἡμέρας τερματιζομένης, ἡ νὺξ ἀφικνεῖται, ὥσπερ τινὶ κοσμήτορι τῷ ἐν q) αὐταῖς ἐντεθέντι παρὰ τοῦ δημιουργοῦ λόγῳ, τὸ πᾶν συντηροῦσαι καὶ φυλάττουσαι. Ἡ γῆ δὲ τὸν οὐρανὸν ἴσον*

n) αἰσθητῶς B.
ξ) Scribe, πρώτης. Heinsius.
o) τὸ χάος B.
p) καὶ pro ἤγουν B. Sequentia νὺξ — ῥῆμα sunt excerpta ex Psalmo xviii. 2.
q) αὐτῷ B.

ἑαυτῇ γεννᾷ, διότι κέντρου λόγον ἐπέχουσα πρὸς τὸ πᾶν, αἰτία ἐστὶ τῆς κυκλικῆς αὐτοῦ διαμορφώσεως, ὥσπερ εἴρηται ἀνωτέρω. Ἔδει γὰρ τοῦ κέντρου προϋποστάντος, περιγράφεσθαι πέριξ τὸν κύκλον. Ἶσον δ' ἑαυτῇ λέγεται τὸν οὐρανὸν γεννῆσαι, ὡς κατὰ πᾶν μόριον ἑαυτοῦ ἀφεστηκότα ἐπίσης τῆς γῆς[r]). Τόσον γὰρ οὐρανὸς ἔστ' ἀπὸ γαίης, ὅσον ἔνερθεν ἀΐδαο αὕτη. Γεννᾷ δὲ καὶ τὰ ὄρη ἡ γῆ, ἐν οἷς κατοικοῦσιν αἱ Νηρηΐδες, καὶ τὴν θάλατταν, ἄτερ φιλότητος, παρόσον ἐν τοῖς κοίλοις αὐτῆς μέρεσιν ἡ θάλασσά τε ὑπέστη, καὶ συνηθροίσθη τὰ ὕδατα, τὰ ὄρη δὲ περὶ [s])τὸ ἀνώμαλον τῆς συνιζήσεως ἔλαβε τὰς ἐξοχὰς, καὶ κατὰ ἐξοστρακισμὸν αὐτῆς. Τὸν δ' Ὠκεανὸν οὐκ ἄνευ τίκτει φιλότητος ἐφιμέρου, ἀλλ' οὐρανῷ εὐνηθεῖσα, ὅτι σύνεισι μὲν τῷ οὐρανῷ, καὶ πέριξ ἑαυτῆς μετὰ τοῦ οὐρανοῦ συμπεριέχει τὸν λεγόμενον ὠκεανόν· φιλότητα γὰρ ἐφίμερον τὴν μετά τινος συνέλευσιν ὁ λόγος προσαγορεύει· ὅθεν καὶ τὴν θάλασσαν καὶ τὰ ὄρη ἄνευ φιλότητος ἀπεγέννησεν· [t]) οὐ γάρ τινι συνηλάθη πρὸς τὴν τούτων παραγωγὴν, ἢ περιοχήν· ἀλλ' αὐτὴ μόνη κατὰ τὸν ἑαυτῆς ἐξοστρακισμὸν καὶ τὴν ἐκμύζησιν ταῦτα ἀπεγέννησε.

134. Κοῖον δὲ, καὶ Κρεῖον, καὶ Ὑπερίονα, καὶ Ἰαπετὸν, Θείαν τε, καὶ Ῥείαν, Θέμιν τε, Μνημοσύνην τε, Φοίβην τε, καὶ Τηθὺν ἐρατεινὴν, τάχα ἂν εἴη τὰ [v])στοιχεῖα οὕτω προσαγορεύων, ἐκ τῆς ἀνειδέου ὕλης ἐκείνης εἰδοποιηθέντα, καὶ ταῖς οἰκείαις ποιότησι διακριθέντα. Κρεῖον δὲ καὶ Ὑπερίονα, καὶ Ἰαπετὸν, τὸ πῦρ ἐκληπτέον, ὡς ὑπερανεστηκὸς τῶν ἄλλων βασιλικῶς, ἢ δραστικῶς, καὶ ὑπεριέμενον ἢ ὑπερφερόμενον· τὸν ἄνω γὰρ τόπον εἴληχε· τὰ δ' ἄλλα τῶν στοιχείων, διὰ τὸ ὑποβεβηκέναι τῷ πυρὶ, καὶ μὴ κατ' ἐκεῖνο ἐνεργά τε καὶ δραστήρια εἶναι, θηλυτέρως ὠνόμασται. Φοίβη μὲν χρυσοστέφανος, ὁ ἀὴρ ὀνομαζόμενος, διὰ τὸ φῶς τοῦ ἡλίου βαίνειν δι' αὐτοῦ
458 καὶ πρὸς ἡμᾶς διαπορθμεύεσθαι, καὶ ὥσπερ τινὶ χρυσῷ στεφάνῳ τῷ ἡλιακῷ δίσκῳ καὶ ταῖς ἀκτῖσι κατακοσμεῖσθαι. Θείαν καὶ Ῥείαν, τὴν ὑδαρὰν φύσιν ἐκληπτέον· Τηθὺν δὲ τὴν γῆν, πάντων μητέρα καὶ τροφὸν οὖσαν. Θέμις δ' ἂν εἴη καὶ Μνη-

r) Hinc ad αὕτη om. B.

s) πᾶν B.

t) οὐ γάρ τ. συνηλάθη om. B. qui deinde habet πρὸς γὰρ τὴν τ. π. ἢ π. οὐδέ τι ἔλαβεν.

v) στοιχεῖα διαγορεύων B. et mox ἀντιδέου B. Trinc. ἀντιδέους Heins.

μοσύνη, ἡ θεμιτουργὸς, ἢ μᾶλλον γενεσιουργὸς καὶ παραμένειν ποιοῦσα τὰ ἐκ τῶν στοιχείων ἀποτελούμενα κρᾶσις, ἡ ἐπιτηδειότης καὶ εὐφυΐα πρὸς τὸ γενέσθαι τόδε τι. Γεννᾶται δὲ τούτων νεώτερος ὁ Κρόνος καὶ δεινότατος, δηλαδὴ ὁ χρόνος, ὕστερος γὰρ παρῆκται τῶν στοιχείων, διότι καὶ ἀγκυλομήτης, καὶ δεινότατος λέγεται· ὅτι τε ἀγκύλα μήδεα καὶ πολλὰ καὶ ποικίλα βουλεύματα εἰδέναι τοὺς πολυχρονίους ποιεῖ, καθὼς εἴρηται,

—— χρόνος θ' ὅς πάντ' ἐθέλει με διδάσκειν.

Δεινότατος δὲ τῶν τοῦ οὐρανοῦ w) παίδων λέγεται, παρόσον ἀφανιστικός ἐστι καὶ λυμεὼν τῶν πραγμάτων, κατὰ τὸ Σοφόκλειον·

Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
Φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται.

Τοῦ οὐρανοῦ δὲ γεννηθῆναι λέγεται, παρ' ὅσον μέτρον τῆς ἐκείνου κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερόν ἐστιν· ἀλλὰ καὶ ὡς μετρῶν τὴν ἐκείνου κίνησιν, καὶ περιορίζων, x) κατάγειν αὐτὸν λέγεται τῆς βασιλείας· πᾶν γὰρ τὸ ὑπό τινος μετρούμενον ὡσπερεὶ δεσμεῖται καὶ ἀφαιρεῖται τὸ κράτος· τότε δ' ἐλέγετο βασιλεύειν ὁ οὐρανὸς, ἡνίκα καὶ ἡ κίνησις αὐτοῦ ὁπόση τίς ἐστιν οὐκ ἐγινώσκετο· θαλερὸς δὲ λέγεται ὁ οὐρανὸς, ὡς θαλεροποιὸς τῷ βίῳ· ζωογόνος γάρ. Κύκλωπες δὲ νοηθεῖεν ἐνταῦθα, τὰ κατὰ περιόδους τινὰς καὶ κυκλικῶς ὑφιστάμενα ἐν τοῖς μετεώροις πάθη, τῷ διττῷ τῆς ἀναθυμιάσεως· διὸ καὶ αὐτοὺς εἰκότως ἡ γῆ γεννᾷ· λέγονται δὲ οὗτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι, Κύκλωπες δὲ καλεῖσθαι, καὶ ἕνα ὀφθαλμὸν ἔχειν, παρόσον τῷ ξηρῷ μὲν εἴδει τῆς ἀναθυμιάσεως, οὐρανῷ πλησιάζουσι, καὶ μετεωρίζονται ἀνερχόμενοι περὶ τὰ ἄνω· τῷ δὲ ὑγρῷ βαρυνόμενοι, κάτω φέρονται· διὰ τοῦτο γὰρ ἄνωθεν μὲν βρονταὶ καὶ ἀστραπαὶ γίνονται, κατωτέρω δὲ χιόνες καὶ ὁμίχλαι· ἢ διὰ τοῦτο ἕνα ὀφθαλμὸν ἐν τῷ μετώπῳ κείμενον y) λέγεται, παρόσον ἐν τοῖς νέφεσιν ἐναπειλημμένων πνευμάτων ἰσχυρῶν τε καὶ βιαίων καὶ κύκλῳ περιϊπταμένων, ἐκπυρηνίζεσθαι συμβαίνει τὰ πνεύματα, καὶ ἐξιέναι ἐκεῖθεν καὶ τὰς ἀστραπὰς ποιεῖν, θᾶττον ἡμῶν περιθεούσας τοὺς ὀφθαλ-

w) πάντων B.
x) κατάγων B.
y) ἔχειν λέγονται B. et mox ἡμῖν.

μούς· ἢ διὰ τὸ κατὰ περιόδους τινὰς, καὶ κυκλικῶς, τὰ τοιαῦτα πάθη γίνεσθαι.

147. *ΑΛΛΟΙ Δ' ΑΥ ΓΑΙΗΣ ΤΕ ΚΑΙ ΟΥΡΑΝΟΥ ΕΞΕΓΕΝΟΝΤΟ*, *παῖδες* [z]) *ἑκατοντάχειρές τε καὶ πεντηκοντακέφαλοι, δηλαδὴ τὰ ὑπὸ τὴν γῆν ἐναποκλειόμενα πνεύματα, καὶ αὐτὴν δεινῶς* [a]) *σπαράττοντα, καὶ οἷον μαστίζοντα. Ἀπεχθάνονται δὲ οὗτοι τῷ πατρὶ τῷ οὐρανῷ, παρόσον ἐξ αὐτοῦ*
459 *ἀποπέμπονται πρὸς γῆν, καὶ κατακρύπτονται· οἵ τινες καὶ Τιτᾶνες λέγονται, παρόσον τιταίνουσιν, ἤγουν κατασκευάζουσι βλάβας τοῖς ἀνθρώποις· ὑπὸ σεισμῶν γὰρ, καὶ οἰκίαι καταπίπτουσι, καὶ ἡ γῆ σχίζεται, καὶ κατακλύζονται ἄνθρωποι, καὶ ἄλλ' ἄττα συμβαίνουσι.*

Ποιεῖ δὲ ἡ γῆ ἐκ τοῦ πολιοῦ ἀδάμαντος μέγα δρέπανον, παρόσον ἡ τοῦ σιδήρου γένεσις ἐκεῖθέν [b]) *ἐστιν, ὃ δὴ καὶ πολιὸν καλεῖ, οὐχ ὡς λευκὸν, ἀλλ' ὡς τίμιον καὶ πολύχρηστον. Δυσώνυμος δὲ ὁ οὐρανὸς λέγεται κατὰ ἀντίφρασιν, ἤγουν διότι ὡρεῖ, τουτέστι φυλάσσει καὶ ἔνδον ἑαυτοῦ ἀποκλείει τὰ πάντα· τοῦτο δὲ οἷον ἀπᾶδον δοκεῖ κατὰ τὸν μῦθον τοῖς τηρουμένοις. Λέγεται δὲ πολλῶν καὶ ἄλλων τῆς γῆς τε καὶ τοῦ Οὐρανοῦ ὄντων παίδων, μόνος ὁ Κρόνος τὴν κατ' αὐτοῦ βουλὴν μελετῆσαι καὶ ἅρπην ἐν χειρὶ κατασχεῖν, παρόσον ὁ χρόνος* [c]) *μετακυλινδούμενος, τῶν ἐξ οὐρανοῦ τε καὶ γῆς ἀναδιδομένων καρπῶν, καὶ τῆς γονιμότητος ἀφανιστικός ἐστιν ἢ θεριστικός.* [d]) *Τοῦ γὰρ θέρους ἐλθόντος, θερίζουσι τὰ ὥρια οἱ ἄνθρωποι, δρεπανὰς ἐν χερσὶν ἔχοντες, τὴν ἐξ οὐρανοῦ δηλαδὴ εὐκράτως τοῖς σπέρμασι καὶ ἐκ γῆς ἐντεθεῖσαν γονιμότητα. Πάλιν δὲ ἔῤῥιψε φέρεσθαι ἐξοπίσω, παρόσον τοὺς σπόρους ἐκ τῶν θερισθέντων ποιοῦσι. Ῥαθάμιγγες δ' αἱματοέσσαι τῶν τοῦ οὐρανοῦ αἰδοίων καταῤῥέουσι, καὶ ταύτας ἡ γῆ δέχεται, καὶ ἐξ αὐτῶν γεννᾷ τὰς Ἐριννῦς, τοὺς Γίγαντας, καὶ τὰς Μελιάδας Νύμφας, διὰ τοὺς ἐπισυμβαίνοντας μόχθους καὶ αἱματηροὺς ἱδρῶτας καὶ πολέμους, περί τε πόλεων καὶ χωρῶν εὐκράτων, καὶ γονίμων γαιῶν. Εἰκότως δὲ λέγεται τὰ τοῦ οὐρανοῦ μήδεα ἐν τῇ Κύπρῳ καταβληθῆναι, ἢ πεσεῖν, παρόσον ὁ τόπος*

z) ἑκατογχεῖρες B. ἑκατὸν χεῖρες Trinc.
a) ἐκσπαράττοντα. B.
b) ἐστιν ad πολύχρηστον om. B.
c) κατακυλινδούμενος B.
d) τοῦ B. φέρε edd. Mox ἔρριψε B. pro ῥίπτουσι.

γονιμώτατός ἐστι, καὶ τοῦ κύειν ποριστικός· ἐν ᾧ καὶ ἡ Ἀφροδίτη ἀναδοθεῖσα καὶ ἐξελθοῦσα, ἐν τοῖς ποσὶν ἀναδιδομένας ἔχει παντοδαπὰς πόας· ἱμερόεσσα γάρ τις χάρις καὶ τερψίθυμος, τῇ τῶν Κυπρίων ἐμπελάζει χώρᾳ. Καὶ λεγέτωσαν ὅσοι τὸν τόπον εἶδον, καὶ φυσιολογείτωσαν περὶ τῶν ἐν αὐτῷ γυναικῶν, διὰ τί μαχλόταται καὶ πρὸς συνουσίαν ἑτοιμόταται. Ὑπὸ δὲ τῆς νυκτὸς γεννᾶται ὁ μόρος, καὶ ἡ κὴρ, παρόσον ἀγνώστως ἐπιφοιτῶσι ταῦτα τῷ βίῳ τῶν ἀνθρώπων, [e]) καὶ ἀοράτως. Ὁ ὕπνος δὲ καὶ οἱ ὄνειροι τέκνα λέγονται ταύτης, ὅτι περ νυκτὸς ἐπιτελοῦνται. Κλωθὼ δὲ, καὶ Λάχεσις, καὶ Ἄτροπος, διανεμητικαὶ τινὲς δυνάμεις τῶν κατ' ἀξίαν εἶεν ἂν, τοῖς ἀνθρώποις ἄνωθεν ἐπιπολάζουσαι, ἔφοροί τε τῶν παρ' ἡμῖν καὶ ἐπόπτριαι, κλώθουσαί τε τὸν ἑκάστου βίον, καὶ ποικίλλουσαι, καὶ λαχμοὺς καὶ κλήρους ποιοῦσαι, οὓς μετατρέψαι ἀδύνατον. Γεννᾷ δὲ ἡ Νὺξ τὴν Νέμεσιν, καὶ τὴν Ἀπάτην, καὶ τὴν Φιλότητα, καὶ τὸ Γῆρας, καὶ τὴν Ἔριν, ἢ ὅτι ἀπὸ τῆς στερήσεως τῶν ἀγαθῶν ταῦτα προέρχεται· γηράσκουσι γὰρ οἱ ἄνθρωποι νεότητα παριππεύσαντες, καὶ ἐρίζουσι τὴν κακόχαρτον ἔριν, ἀπὸ τῆς ἰσότητος καὶ τῆς δικαιοσύνης εἰς πλεονεξίαν ἐκκλίναντες, καὶ τὴν ἐφίμερον ἀσπάζονται φιλότητα, τῇ Ἀφροδίτῃ θύοντες, καὶ τὸν ἀνασειράζοντα λόγον τῆς ἀλόγου ὀρέ- 460
ξεως ἀποτροπιασάμενοι, καὶ μέντοι καὶ ἀπατῶνται, τὴν τοῦ μέλλοντος γνωστικὴν ἐπιζοφώσαντες δύναμιν τῆς ψυχῆς, καὶ μὴ ὡς δέον ποιοῦντες· ἢ ὅτι ἀδήλως ταῦτα πάντα ἐπιγίνεται καὶ ἀφανῶς· φιλότης δ' ἂν λέγοιτο τῆς νυκτὸς, παρόσον ἐν τῇ νυκτὶ ἐπιτελεῖται μᾶλλον. Λέγονται δὲ τῆς ἔριδος τέκνα ὁ λιμός τε, καὶ ἡ λήθη, καὶ τὰ δακρυόεντα ἄλγεα, καὶ ὁ ὅρκος, καὶ ἡ δυσνομία, καὶ τ' ἄλλα· παρόσον ἐπισυμβαίνουσιν ἐξ ἔριδος [f]) μάχαι τε, καὶ ψεύδεα, καὶ ἀμφιλογίαι, καὶ λησμοσύνη καλῶν, λιμοί τε καὶ ὅρκοι. Ἀλλὰ καὶ τὸν Μῶλον, καὶ τὴν Ὀϊζὺν γεννᾷ· τὸν Μῶλον μὲν, ὅτι ἀοράτως οἱ πόλεμοι ἀναφύονται, τὴν Ὀϊζὺν δὲ, ὅτι [g]) εἰώθασιν οἱ ἄνθρωποι ἐν νυκτὶ κακοπαθεῖν, ὁδοιποροῦντες, καὶ ἐργαζόμενοι, καὶ χειρωνακτοῦντες· ἢ ὅτι καὶ ἀμφότερα ἡμῖν ἐξ ἀγνοίας ἐπιγίνεται, οὐκ οἴδαμεν γὰρ ὅθεν ὁ πόλεμος, καὶ ὅθεν ἡ κακοπάθεια. Γεννᾷ δὲ καὶ τὰς Ἑσπερίδας ἡ νὺξ, αἷς χρυσᾶ μῆλα μέμηλε, τουτέστι

e) καὶ ἀοράτως om. B.
f) καὶ φιλονεικίαι μ. B.
g) Sic B. εἰώθεσαν edd.

τὰς ὥρας τῆς νυκτὸς, αἷς τισι τὰ ἄστρα τὰ καλὰ δηλαδὴ, τὰ χρύσεα μῆλα, διὰ φροντίδος εἰσίν· αἱ γὰρ ὧραι ἀμοιβαδὸν διαδέχονται ἀλλήλας, κινουμένου τοῦ οὐρανοῦ, καὶ τῶν μορίων αὐτοῦ, δηλαδὴ τῶν ἄστρων· οὕτω γὰρ καὶ [h])*Ὅμηρος πυλωροὺς αὐτὰς παρεισάγει τοῦ οὐρανοῦ. Φέρουσι δὲ καὶ τὰ δένδρα καρπὸν ἀπὸ τῶν ὡρῶν·* [i])*μετακυλινδουμένου γὰρ τοῦ ἐνιαυτοῦ, αἱ ὧραι τεθηλέναι ταῦτα ποιοῦσιν. Ἀλλὰ μέντοι καὶ τὰς μοίρας καὶ τὰς* [k])*κῆρας γεννᾷ τοὺς κλεοπόνους ἡ Νύξ· τουτέστι τὰς ἐπιμεριζούσας ἑκάστῳ τὰς κατ' ἀξίαν δυνάμεις, καὶ τὰς γινομένας τιμωροὺς τῶν κακῶν ἔργων· αὗται γὰρ ἀοράτως ἐπιφοιτῶσι τῷ βίῳ τῶν ἀνθρώπων· ἢ μοῖραι καὶ κῆρες τῆς νυκτὸς εἶεν ἂν τέκνα* [l])*κλεοπόνα, αἱ δόξαι αἱ ἐπιγινόμεναι καὶ μειρόμεναι καὶ ὡς γέρας παρεχόμεναι καὶ κλέα τοῖς ἀνθρώποις ἐκ πόνων τῶν ἐν νυκτί.*

Γεννᾷ δ' ὁ Πόντος τὸν Νηρέα, ἀληθέστατον καὶ ἀψευδέστατον, καὶ πρεσβύτατον τῶν ἄλλων παίδων, παρόσον εἰώθεσαν, [m])*ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἐν θαλάσσῃ διάγοντες καὶ ναυτιλλόμενοι ἄνθρωποι, ἀληθεῖς τε καὶ ἀψευδεῖς εἶναι· καὶ διὰ τοῦτο καὶ ἔντιμοι καὶ γεραροί· ὁ γὰρ καθεκάστην αὐτοῖς ἐλπιζόμενος θάνατος ἀναπείθει νημερτεῖς τε καὶ πράους εἶναι, καὶ μὴ* [n])*θεμίστεων ἐπιλανθάνεσθαι, μὴ δὲ δικαιοσύνης, ἢ ἰσότητος. Γεννᾷ δὲ καὶ Θαύμαντα, ὅτι περ εἰώθεσαν μακρὰ πελάγη διαπερῶντες οἱ ἄνθρωποι, καὶ θάλασσαν, καὶ οὐρανὸν μόνον ὁρῶντες, καταπλήττεσθαι καὶ θαυμάζειν τοῦ κάλλους ὁμοῦ καὶ τοῦ μήκους, ἀλλὰ μέντοι καὶ τοῦ βάθους τοῦ θαλασσιαίου πόντου τὸν γενεσιουργὸν θεόν. Τὸν Φόρκυνα δὲ ὁ Πόντος*
461 *γεννᾷ Γαίῃ μισγόμενος, εὐλόγως· ὅσον γὰρ πλησιάζουσι τῇ γῇ οἱ ἐκ πελάγους καταίροντες, φέρονται πρὸς αὐτὴν καὶ ἐλλιμενίζονται. Ἀλλὰ μέντοι καὶ τὰ κήτη τοῦ πόντου λέγονται, παρόσον ἐκ πόντου καὶ ἐν πόντῳ τὰ τοιαῦτα ζῶα διάγειν εἰώθεσαν, ἰσχυρότατά τε ὄντα, καὶ εὐμεγέθη, καὶ* [o])*ἀδάμαντος ἰσχὺν ἔχοντα, καὶ ἀναφυσσῶντα γενναίως καὶ σθεναρῶς. Γίνονται δ' ἐκ Νηρῆος τέκνα καὶ Δωρίδος ἡ Πρωθὼ, καὶ ἡ Εὐκράτη, ἡ*

h) ὁ θεῖος Ὅμηρος B.

i) *μετακυλινδομένων, αἳ τεθηλέναι ποιοῦσι* B.

k) *τύχας* B.

l) *κλέος καὶ δόξαν* B. et mox *προσφερόμεναι* pro *παρεχ. κ. κ.*

m) *ὡς ἐπιτοπλεῖστον* om. B.

n) Sic B. Vulgo *θεμίστων*. Mox idem *καὶ* pro *ἢ* et *Θαύμαντα* pro *Ἀθάμαντα*.

o) Deest B.

Σαώ τε, καὶ ἡ Ἀμφιτρίτη, ἡ Κυμοθόη τε, καὶ ἡ Σπειώ, ἡ Δωτώ, ἡ Πρωτώ, καὶ αἱ λοιπαί, παρόσον ἐπισυμβαίνειν εἴωθεν ἐν θαλάσσῃ τοῖς ναυτίλοις, [4])πρώθειν τε τὰς νῆας, καὶ εὐκρατοῦσθαι ὑποπνεόντων ἀνέμων, καὶ σώζεσθαι, καὶ ἀμφοτέρωθεν τηρεῖσθαι, ἀγκύραις τε εὐναζούσαις, καὶ πνοαῖς ζαχρειῶν ἀνέμων, καὶ εὖ δωρεῖσθαι, καὶ πλουτεῖν, καὶ πορίζεσθαι, καὶ τίθεσθαι εὖ ἐν γαλήνῃ, καὶ κύμασι θέειν, καὶ σπένδειν, καὶ θάλλειν ἐξ ἀέρος καὶ μελετᾷν, τουτέστι φροντίζειν χαριέντως, καὶ εἰς λιμένας κατάγεσθαι καὶ παραθέειν τὴν γῆν, καὶ εὐνάζεσθαι ἐν αἰγιαλοῖς, καὶ [p])δώματα ἔχειν, καὶ δῶρα, καὶ πρώσματα ἐξ ἰσχύος καὶ δυνάμεως ἐπιτελούμενα τοῖς ναυτίλοις τῶν νηῶν, εἰς νήσους τε καταντᾷν καὶ ἀκταῖς προσπελάζειν, βουλαῖς οἰακονόμου τοῦ πρωτομέδοντος καὶ ἐπιστήμαις πάντοθεν ὀπιπτεύοντος, καὶ εὖ δωρουμένου τὴν σωτηρίαν τοῖς ἐν τῇ νηΐ. Καὶ ἁπλῶς ὅσα κατὰ τὴν ναυτιλίαν ἔργα ἐπαινετά τε καὶ ἀξιόχρεα συμβαίνει, ταῦτα δὴ ὁ λόγος τέκνα τοῦ Νηρέως προσαγορεύει.

263. *ΑΥΤΑΙ ΜΕΝ ΝΗΡΗΟΣ.* Τοῦ μὲν πρακτικοῦ νοῦ τὰ τέκνα, τουτέστι τὰ ἐφευρήματα τὰ περὶ ναυτιλίαν, καὶ αἱ ἐνέργειαι, ταῦτά εἰσι. Τό τε πρώτως ἐπεμβαίνειν τῆς θαλάσσης τοὺς ἐμπορεύεσθαι μέλλοντας, καὶ εὖ κατορθοῦσθαι καὶ σώζεσθαι τοὺς πλέοντας, καὶ ἀμφοτέρωθεν [q])τρέοντας, τουτέστι φοβουμένους, εὖ διατίθεσθαι τὸ σκάφος, καὶ γαληνιῶσαν ὁρᾷν τὴν θάλασσαν, καὶ γλαυκίζουσαν ταῖς τοῦ πρωτομέδοντος ἐμπειρίαις καὶ ἀνδρικαῖς παρατάξεσι. Νηρέα δὲ ὁ λόγος τὸν [r])πρακτικὸν νοῦν ὀνομάζει νῦν, ὃν καὶ ἐκ πόντου γεννηθῆναι πρεσβύτατον λέγει τάχα, διὰ τὸ νέεσθαι ῥεῖα, τουτέστι πορεύεσθαι. Ἴδοις γὰρ ἂν τοὺς πρακτικὸν [s]) πλουτήσαντας νοῦν νῦν μὲν ἐξ Ἰωνίας εἰς Ἑλλάδα μεταβαίνοντας, νῦν δ' εἰς τὴν Ἀλεξάνδρου μεταχωροῦντας τῷ λόγῳ, καὶ αὔριον εἰς τὴν Βύζαντος ταῖς νομοθεσίαις καὶ τοῖς θεσπίσμασιν. Ἐκ πόντου δὲ λέγοιτ' ἂν γεννηθῆναι ὁ τοιοῦτος νοῦς, δηλαδὴ ἐξ ἐμπειρίας τῆς κατὰ θάλατταν· αἱ γὰρ ἕξεις καὶ ἐπιστῆμαι, ἐκ τῶν περὶ

4) *πρώθειν*] Non opus esse hoc asterisco ostendit vox quae infra occurrit, *πρώσματα*. *Καὶ δώματα ἔχειν, καὶ δῶρα, καὶ πρώσματα, ἐξ ἰσχύος καὶ δυνάμεως ἐπιτελούμενα τοῖς ναυτίλοις τῶν νηῶν.* Heinsius.

p) *δόματα* B.

q) *τρῶντας* B. Trinc.

r) *πρακτικώτατον ὀν. νοῦν* B.

s) Deest B. spatio vacuo relicto. Mox ib. *μεταχωροῦντας* om.

ἕκαστα ἀτελῶν ἐνεργειῶν ἐπιγίνονται, καὶ ἐκ τῶν ἐθισμῶν αἱ τέχναι, κατὰ τὸν φιλόσοφον λόγον. Διὸ καὶ τὰς τελείας ἐνεργείας τοῦ πρακτικοῦ τοῦ περὶ τὴν ναυτιλίαν τοῖς ἀνθρώποις
462 ἔξωθεν ἐπιγινομένου, t) θυγατέρας τοῦ Νηρέως ὁ λόγος προσαγορεύει, ἀμύμονα ἔργα εἰδυίας. Πεντήκοντα δὲ τὸν ἀριθμὸν λέγονται, παρόσον ἀπὸ τῆς πενταδικῆς αἰσθήσεως ἐπισυνάγεσθαι εἴωθεν ὁ πρακτικὸς νοῦς. Ἐξ αἰσθήσεως μὲν γὰρ μνήμη· ἐκ μνήμης δὲ ἐμπειρία· αἱ γὰρ πολλαὶ μνῆμαι τῷ ἀριθμῷ ἐμπειρία μία ἐστίν· ἐκ δ' ἐμπειρίας τέχνη, ἢ ἐπιστήμη, καθά φησι v) Πῶλος ὁ φιλόσοφος. Κἂν γὰρ ὁρῶντες, ἢ ἀκούοντες, ἢ καὶ ἐνεργοῦντες, πλὴν ἀτελῶς, πόλλ' ἄττα μανθάνουσιν οἱ ἄνθρωποι ἔργα καὶ τῆς ναυτιλίας, καὶ τῆς w) γεωργικῆς, καὶ τῆς στρατιωτικῆς. Ἡ πεντὰς δὲ τῷ τελείῳ ἀριθμῷ τῷ δέκα ἐπιτιθεμένη, καὶ αὐτὸν πολυπλασιάζουσα, πάντως τὸν πεντήκοντα ἀποτελεῖ· τοιαῦται δὲ αἱ x) διὰ τῶν αἰσθήσεων τελειωθεισῶν ἡμῖν ἐπιφυόμεναι ἐνέργειαι. Θαύμας δὲ τῇ θυγατρὶ τοῦ Ὠκεανοῦ λέγεται συνελθεῖν, καὶ τεκεῖν ἐξ αὐτῆς τήν τε Ἶριν, καὶ τὴν Ἀελλὼ καὶ τὰς Ἁρπυίας, παρόσον ἐξ ἀναθυμιάσεως ἀνιούσης περὶ τὸν ἀνωτέρω τῆς λεγομένης ἀπαρτιζούσης τόπον, τὴν σύστασιν ἔχει ἥτε Ἶρις, τὸ πολύχρουν τοῦτο καὶ περιφερὲς τόξον, τὸ ἐν τοῖς μετεώροις ὑφιστάμενον, καὶ οἱ ἄνεμοι· τίς γὰρ οὐκ ἂν θαυμάσειε τὴν Ἶριν, τοῦ τε σχήματος, τοῦ τε χρώματος, τοῦ τε μεγέθους, καὶ τοῦ κάλλους, ἀλλὰ καὶ τοὺς ἀνέμους πάντοθεν πνέοντας;

273. Κητὼ δὲ μετὰ τοῦ xx) Φόρκυος τὰς Γραίας ἀποτίκτει, τὴν Πεφρηδὼ, καὶ τὴν Ἐνυὼ, δηλαδὴ ἡ τῶν ὑδάτων περιφορὰ τῶν θαλασσίων ἐκ βάθους ὀρινομένη τὰ κύματα ἀποτίκτει τὰ φρίσσειν ἡμᾶς ποιοῦντα καὶ κραυγάζειν, ἃ δὴ καὶ ὑπολευκαινόμενα y) πολλὸν φῦκος παρὲξ ἅλα χεύει· διὸ καὶ Γραίας αὐτὰς ὁ λόγος εὐπέπλους καὶ κροκοπέπλους ὀνομάζει, γηραιάς τινὰς διὰ τὸ λευκὸν, εὐπέπλους δὲ καὶ κροκοπέπλους, διὰ τὸ ποτὲ μὲν εἰς ἀγαθὸν τέλος καταντᾷν τὰ κύματα, καὶ εἰς τὸν αἰγιαλὸν ἐξάγειν τὰς ναῦς· ποτὲ δὲ εἰς βυθὸν παραπέμπειν, καὶ εἰς θορυβῶδες τέλος καὶ σκοτεινὸν ἀφικνεῖσθαι. z) Ἔτι δὲ τοῦ

t) θνητὰ τέκνα B.
v) Scilicet apud Platonem Gorg. p. 448. c.
w) γεωργίας B.
x) ἀπὸ τῶν α. τελειωθεῖσαι B.
xx) φόρκυνος Trinc.
y) Ex Homer. Il. I. 7.
z) Ὅτι B. et mox Εὐρυάλη.

Φόρκυνος αἱ Γοργόνες λέγονται θυγατέρες, ἡ Σθενὼ, ἡ Εὐρυάλεια, καὶ ἡ Μέδουσα, τουτέστιν οἱ ἀθρόοι καὶ ἀφανεῖς πλόοι, οἵτινες πολλάκις ἀπολιθοῦσι τοὺς ἀνθρώπους· οἱ γὰρ αὐτοῖς ἐντυγχάνοντες, δι᾽ ἀνεπιστημοσύνην καὶ ἀνανδρίαν, ἐννεοί τε καθίστανται, καὶ ἄψυχοι, καὶ καταπίπτοντες ὑπὸ τῆς συμφορᾶς πατεῖν ἑαυτοὺς παρέχουσι τῷ θέλοντι ναυτίλῳ· ἢ καὶ πολλάκις ἀποψύχουσιν ἐκ φόβου, ἢ κλυδωνίζονται· διὸ καὶ ἀπολιθοῦσθαι ὑπὸ Γοργόνων λέγονται. Τούτων δὲ τῶν Γοργόνων ἡ μὲν μία λέγεται θνητὴ εἶναι, ᾗ καὶ συγκαθεύδει ὁ Κυανοχαίτης ἐν ἁπαλῷ λειμῶνι καὶ μαλακῷ, αἱ δὲ δύο ἀθάνατοι· τῶν γὰρ ἐν θαλάσσῃ γινομένων πλόων ταραχωδῶν καὶ ἁρπακτῶν, ὁ μὲν εἷς συντόμως διασκεδαζομένην ἔχει ἐν τῷ ἀέρι τὴν ἑαυτοῦ σύστασιν, ἔαρος [a]) ἐπιτελουμένου, καθά φησιν αὐτὸς ὁ Ἡσίοδος ἀλλαχοῦ, ὃν καὶ ἁρπακτὸν ἐκεῖ λέγει· οἱ δὲ δύο, ὅ τε μετοπωρινὸς καὶ ὁ χειμέριος οὐχ ἅπαξ ἐπισυμβαίνοντες, ἀλλὰ καὶ πολλάκις, εὐλόγως ἀθάνατοι λέγονται. Εἰ- 463 κότως δὲ ὁ Κυανοχαίτης ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσιν εὐνάζεται τῇ μιᾷ τῶν Γοργόνων· ἐν ἔαρι γὰρ ἤδη λαμπρῷ καὶ ἀνθοῦντι τοῖς ἄνθεσιν ἐπιγίνεται ἐαρινὸς πλοῦς. Ὁ Περσεὺς δὲ ἀποδειροτομεῖ τὴν κεφαλὴν τῆς Μεδούσης, κἀντεῦθεν ὁ Πήγασος ἐκθορεῖ, παρόσον ὁ ἥλιος ἤδη τὰς ἐν ἀέρι διασκεδάζων νεφώσεις, καὶ τοῦ τοιούτου [b]) πλοῦ τὴν ἰσχὺν ἀφαιρούμενος πᾶσαν ἔαρ ἐπιτελεῖ καθαρὸν, ἐν ᾧ καὶ αἱ πηγαὶ τὰ χρυσοειδῆ ὕδατα ἀναβλύζουσιν· [c]) ἐξ ὧν πλεοναζόντων ὑδάτων καὶ πανταχοῦ ῥεόντων, ἄνεισι περὶ τὸν αἰθέρα ἡ τῶν ἐν θέρει γινομένων βροντῶν τε καὶ ἀστραπῶν συστατικὴ ἀναθυμίασις. Πήγασος δὲ εἴρηται ἡ ἀπὸ τῶν πηγῶν σεύουσα, καὶ ὁρμῶσα ἀναθυμίασις.

Γεννᾷ δὲ ὁ Πήγασος τὸν τρικέφαλον Γηρυόνην, ὅν τινα καὶ φονεύει ὁ Ἡρακλῆς, καὶ τὰς βοῦς αὐτοῦ ἐλαύνει, κτείνας τὸν [d])Ὄρθον καὶ τὸν βουκόλον Εὐρυτίωνα, παρόσον ἀπὸ τῶν ὑδάτων ἀναδίδονται αἱ τὰ νέφη συνιστῶσαι καὶ τὸν χειμῶνα ἀναθυμιάσεις, ἃς δὴ διασκεδάζει ὁ ἥλιος τοῦ ἀέρος ὢν κλέος οἷον, καὶ ἐλαύνει τὰς βοώσας βροντὰς, καὶ τοὺς εὐρεῖς ψόφους.

a) ἐπιτελούμενος, καθὼς B. et mox ὃς pro ὅν. ἐπιτελούμενος Trinc.
b) πλόος B.
c) ἐξ om. B.
d) ὄρθρον B. ὄθον Trinc. et mox κλέος pro πλέος Trinc. B.

293. *ΔΙΑΒΑΣ ΠΟΡΟΝ ΩΚΕΑΝΟΙΟ.* Τουτέστιν ἐν τῷ καθ' ἡμᾶς ὁρίζοντι παραγενόμενος, καὶ ἡμῖν πλησιάσας· Ὠκεανὸς γὰρ ὁ ὁρίζων λέγεται, ἀπὸ τοῦ ὠκέως [e]) νάειν· ἄλλος γὰρ ἐπ' ἄλλῳ ὁρίζων ταῖς διαφόροις τῶν οἰκήσεων γίνεται· οὐ γὰρ ὁ αὐτὸς τοῖς πᾶσιν ὁρίζων ἐστὶν, ἀλλ' ὡς πρὸς τὰς οἰκήσεις ἕτερος. Ἔστι δὲ ὁρίζων κύκλος διαιρῶν τὸ ἄνω ἡμισφαίριον καὶ τὸ κάτω. Κτείνει μέντοι ὁ Ἡρακλῆς, καὶ τὸν Ὄρθον, καὶ τὸν Εὐρυτίωνα τὸν βουκόλον τοῦ Γηρυόνου, τοὺς ὄρθρους τε τοὺς μεγάλους δηλαδὴ, καὶ τὰς νύκτας τὰς εὐρείας καὶ μεγάλας, καὶ [f])κολοώσας τοῦ ἀέρος βοὰς, τουτέστι θορυβούσας. Διαβὰς δὲ εἰς τὴν ἱερὰν Τίρυνθα τοῦτο ποιεῖ, παρόσον εἰς τὴν τειρομένην τῷ ψύχει οἴκησιν, τὴν καὶ ὅσον ἤδη ἱεμένην ῥέειν, τουτέστι μέλλουσαν ὑπὸ ψύχους παρέρχεσθαι, πορευθεὶς ὁ ἥλιος ζωογονεῖ καὶ ἀναθάλλειν ποιεῖ. Τρικέφαλος δὲ ὁ Γηρυόνης λέγεται, παρόσον ὁ χειμὼν τὴν πλείονα ἰσχὺν τῶν ἄλλων μερῶν τοῦ χρόνου ἀπηνέγκατο καὶ τὴν ἐξοχήν· διὸ καὶ πατέρα [g]) αὐτὸν καλοῦσιν ἔνιοι, διὰ τὸ ἀῤῥενωπὸν, καὶ ἐνεργὸν, καὶ τὴν δραστικὴν δύναμιν τὴν αὐτοῦ. Ζηνὸς δ' ἐν δώμασιν ὁ Πήγασος λέγεται κατοικεῖν ἀνελθὼν ἀπὸ τῆς γῆς, παρόσον ἐν τῷ καλουμένῳ αἰθέρι αἱ τῶν νεφῶν συστάσεις ἀνέρχονται. Ζὴν γὰρ ὁ αἰθὴρ, ἀπὸ τοῦ ζωῆς εἶναι αἴτιος. Ὁ δὲ χειμὼν Γηρυόνης προσαγορεύεται, ἀπὸ τοῦ γαρυόνης εἶναι τὶς, καὶ θορυβώδης· γαρύω γὰρ τὸ φωνῶ, ὡς καὶ Πίνδαρος,

Ἄκραντα [h]) γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον.

464 Αἱ βόες δὲ τοῦ Γηρυόνου ἐν Ἐρυθείῃ περιῤῥύτῳ λέγονται νέμεσθαι, παρόσον αἱ βρονταὶ καὶ αἱ βοαὶ τῶν νεφῶν αὔξονταί τε καὶ θάλλουσιν ἐκ τῶν ἀναδιδομένων [i]) καὶ θεουσῶν ἀναθυμιάσεων ἐξ ὑγροτέρων τόπων.

295. *Ἡ Δ' ΕΤΕΚ' ΑΛΛΟ ΠΕΛΩΡΟΝ.* Καὶ τὴν Ἔχιδναν ἐν γλαφυρῷ σπηλαίῳ ἀποτίκτει, τὸ ἥμισυ μὲν γυναῖκα, τὸ ἥμισυ δ' ὄφιν οὖσαν, ποικίλον, ὠμηστὴν, παρόσον ἐκ πνευμάτων ἀποκλειομένων τοῖς κοιλώμασι τῆς γῆς οἱ ἐλαύνοντες καὶ [k]) δονοῦντες τὴν γῆν συνίστανται σεισμοὶ, οὕς τινας δὴ διὰ μὲν

e) **νεύειν· ἄλλος B.**
f) **κολωούσας B. An κολοιώσας? Dedi mox *Τίρυνθα* pro *Τίρυνθον*.**
g) **αὐτὸν om. B.**
h) **γαρύατον B.**
i) Copulam adjeci ex B. Trinc.
k) Sic B. **δανοῦντες** Trinc. **δινοῦντες** Heins.

τὸ τῆς ἐν αὐτοῖς ξηρᾶς ἀναθυμιάσεως ἀνωφερὲς, νύμφην ἑλικώπιδα κατὰ τὸ ἄνω μέρος ἡ αὐτονομία ἡ Ἑλληνικὴ προσηγόρευσε· διὰ δὲ τὸ κάτωθεν τὴν τοιαύτην ἀναθυμίασιν ῥοιζηδὸν ἐπιτελεῖσθαι καὶ σφοδρότερον φαρμακεύειν, οἷον καὶ παραπικραίνειν τῇ τοῦ [l]) ἐν ἑαυτῇ κενώσει ἰοῦ, ὄφιν ὠμηστὴν ὠνόμασε. Ποικίλον δὲ, διὰ τὸ διάφορον καὶ ποικίλον τῶν κινήσεων· διάφορα γὰρ εἴδη σεισμῶν κατὰ διαφόρους κινήσεις τῶν ἐν γῇ πνευμάτων ἐπιγίνεται.

Διὰ τοῦτο δὲ καὶ ὑπὸ χθόνα ἡ λυγρὴ Ἔχιδνα ἐρύεσθαι λέγεται καὶ κυλίεσθαι, παρόσον οὐδέποτε ἐπιλείπουσιν ἐν τοῖς τῆς γῆς κοιλώμασι πνεύματα. Μίγνυται δὲ ταύτῃ ὁ Τυφῶν, καὶ ἀπογεννᾷ ἐξ αὐτῆς τὸν [m]) Ὄρθον τὸν τοῦ Γηρυόνου κύνα, καὶ τὸν Κέρβερον τὸν τοῦ Ἀΐδαο, παρόσον εἰ συμπνεύσωσιν ἄνεμοι, καὶ Τυφῶνες σφοδροὶ, καὶ θύελλαι ἐπιγένωνται τοῖς σεισμοῖς, εἰώθεσαν καταποντίζεσθαι πόλεις ὅλαι, καὶ χῶραι μυριάνθρωποι [n]) βροχθίζεσθαι ἀναιδῶς, καὶ ἀπηνῶς, καὶ τὸ κέαρ βαρύνεσθαι [o]) τῶν εἰς ᾅδου καταγομένων οὕτως ἀνθρώπων. Ἀλλὰ καὶ τὴν Λερναίαν Ὕδραν γεννᾷ τὴν πολυκέφαλον, ἣν τρέφει μὲν ἡ Ἥρα τῷ Ἡρακλεῖ ἐγκοτοῦσα, ἐκεῖνος δ' αὐτὸς σὺν τῷ φίλῳ Ἰολάῳ ἀποκτείνει ταύτην, καὶ τὰς κεφαλὰς αὐτῆς πάσας ἐν δαλῷ ἀνημμένῳ κατακαίει, διότι περ ἐκ τῶν ἀναδιδομένων ἀναθυμιάσεων περὶ τὸν ἀέρα ὕδατα ῥέοντα σφοδρῶς ἐπιτελοῦνται καὶ λίαν ὑγρὰ, καὶ δίκην ἔρνου λίαν αὐξομένου ἐν διύγροις τόποις· ἅ τινα δὴ ὕδατα ἐν ἀέρι συστάντα, καὶ οἷον τραφέντα, ὁ Ἡρακλῆς ὁ ἥλιος ὥσπερ ξίφη τινὰ τὰς ἀκτῖνας ἐκπέμψας, καὶ τὸν ἀέρα τὸν πέριξ θερμάνας τῇ ἀναδιπλώσει τῶν ἑαυτοῦ ἀκτίνων, διασκεδάζει τε τὰ τοιαῦτα ὕδατα, τὰ ὑπὲρ κεφαλῆς ἡμῶν ἄνωθεν ἐπιῤῥηγνύμενα, καὶ πᾶσαν καταξηραίνει ὑγρότητα, μέλλουσαν ἤδη ἀναδίδοσθαι ὑπὲρ κεφαλῆς ἡμῶν, καὶ οὕτως ἰᾶται τὸν λαόν.

318. ΒΟΥΛΗΣΙΝ ΑΘΗΝΑΙΗΣ ΑΓΕΛΕΙΗΣ. Τῆς ἀθρούσης τὰ πάντα προνοίας, καὶ ἀγούσης, καὶ διευθετούσης λίαν [p]) ἐξόχοις τὰ καθ' ἡμᾶς διευθετήσεσιν.

319. Ἔτι δὲ καὶ τὴν Χίμαιραν ἀποτίκτει πνέουσαν πῦρ, 465

l) ἐν ἑαυτῇ B. ἐνιαυτοῦ Edd.

m) Ὄρθρον B. et mox συμπνεύσουσιν B. Trinc.

n) Sic B. Olim βροχίζεσθαι. Mox edd. ἢ pro καί.

o) Sic B. ubi tamen οὕτως deest. Vulgo, τοὺς ε. ᾅ. καταγομένους ὁ. ἀνθρώπους.

p) ἐξόχως B.

τρικέφαλόν τε οὖσαν καὶ τρίμορφον, καὶ τὸ μὲν ἔμπροσθεν ἔχουσαν λέοντος, τὸ δ' ὄπισθεν δράκοντος, τὸ μέσον δὲ χιμαίρας, παρόσον ἐκ τῶν τοιούτων ἀναθυμιάσεων, καὶ τῶν ἐν χειμῶνι γινομένων ὄμβρων, γίνεσθαι εἰώθεσαν ποταμοί τινες οἱ καλούμενοι χείμαῤῥοι δίκην πυρὸς ἀκατάσχετοι, καὶ πᾶν τὸ προστυχὸν παρασύροντες, οἵ τινες δὴ κατὰ μὲν [q]) *τὰ ἔμπροσθεν λέοντες λέγοιντ' ἂν, διά τε τὸ ἁρπάζειν οἷον πᾶν τὸ παρατυχὸν, καὶ διὰ τὸ ὥσπερ* [r]) *ὠρύεσθαι καὶ ἠχεῖν, καὶ οἷον ὀρύσσειν ὥσπέρ τισιν ὄνυξι τὴν γῆν, ἣν μέλλουσι πορεύεσθαι, καὶ χαραδραίνειν αὐτὴν, καὶ κοιλαίνειν· τὸ μέσον δὲ χίμαιρα εἴη, τὸ καταῤῥέον* [s]) *δηλαδὴ καὶ ῥοιζηδὸν φερόμενον ὕδωρ· τὸ δ' ὄπισθεν δράκων, παρόσον τὸ σχῆμα τῶν ποταμῶν ἑλικοειδές ἐστι, καὶ οὐκ εὐθύ· οὐ γὰρ κατ' εὐθεῖαν ῥέουσιν, ἀλλὰ παρεκκλίναντες* [t]) *ἔνθα καὶ ἔνθα, καὶ κοιλότητας ἐν γῇ ποιοῦντες. Εἴρηται δὲ καὶ τινὶ Λυκηγενέτῃ ἀνθρώπῳ, ἐμοῦ δῆθεν αὐτὸν ἐρωτήσαντος, εἰ ἔστιν ἄρα ἐν Λυκίᾳ τῆς Χιμαίρας τόπος ἐν ᾧ φασιν αὐτὴν διατρίβειν, ὡς ἔστι μὲν τὸ καλούμενον Χίμαιρα χωρίον, ἐν ᾧ περ ἐξελθεῖν τὴν θάλασσαν εἶπεν ἐκεῖνος ἀκοῦσαί ποτε, καὶ κοίλανσιν τινὰ τῷ τόπῳ ἐμποιῆσαι, ἣν δὴ κοίλανσιν οἱ ἐγχώριοι χίμαιραν προσαγορεύουσιν. Ἀναιρεῖ δὲ ταύτην ὁ Βελλεροφόντης τῷ Πηγάσῳ ἐποχούμενος, ὁ Ἥλιος δηλαδὴ, ὁ τὰ βέλη τὰ ῥέοντα φονεύων, καὶ ἄνωθεν πρὸς αὔξησιν τοῖς τοιούτοις ποταμοῖς ἐπιφερόμενα· καὶ γὰρ τῶν ἄνωθεν ὄμβρων ἐκλειψάντων ξηραίνονται καὶ οἱ ἐν τῷ χειμῶνι ποταμοὶ ἐξ ὧν δὴ συνεστήκασι. Λέγοιτο δ' ἂν Πήγασος νῦν ὁ Ἥλιος αὐτὸς, ὃν καὶ Βελλεροφόντην εἴπομεν. Οὐ καινὸν γὰρ διαφόροις ὀνόμασιν αὐτὸν παρ' ἡμῶν καλεῖσθαι, πρὸς τὰς διαφόρους αὐτοῦ ἐνεργείας ἀποβλεπόντων, ἐπεὶ καὶ Ὑπερίων, ἀπὸ τοῦ ὑπερίεσθαι ἄνωθεν ἡμῶν καλεῖται, καὶ Ἑκάεργος, ἀπὸ τοῦ ἕκαθεν ἡμῶν ὧν ἐργάζεσθαι ποιεῖν ἡμᾶς, καὶ Δήλιος, ἀπὸ τοῦ δῆλος τοῖς πᾶσι* [v]) *προκεῖσθαι, καὶ δῆλα τὰ πάντα ποιεῖν, καὶ Πύθιος, ἀπὸ τοῦ σηπτικὸς εἶναι, οὐ τῇ ἑαυτοῦ παρουσίᾳ, ἀλλὰ μᾶλλον τῇ ἀπουσίᾳ, καὶ Λυκηγενέτης, ὡς τοῦ λυκαυγοῦς ὄρθρου γενέτης. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, οὐ καινὸν εἰ καὶ αὐτὸς εἴη Πήγασος καὶ Βελλεροφόντης. Πήγασος μὲν οὖν,*

q) τὰ addidi ex B.
r) ὠρυᾶσθαι B.
r) δηλάδη om. B. Mox εὐθὲς Trinc.
t) ἔνθα κοιλότητας ἐν γῇ ποιοῦσι B.
v) Sic B. Edd. προσκεῖσθαι.

ἀπὸ τοῦ σεύειν τοῦ Ὠκεανοῦ, τουτέστιν ὁρμᾷν, λαμπρὸν λελουμένος ἐν ἔαρι. Οἶμαι δὲ καὶ διὰ τοῦτο τῆς ἡμέρας πῶλον λευκὸν ἡ Ἑλληνικὴ αὐτονομία τὸν Πήγασον [w]) παρέδωκε, διὰ τὸ καθαρὸν ἐν ἔαρι εἶναι τὸν ἥλιον, καὶ πάσης ἀπηλλάχθαι τῆς ἔνερθεν αὐτοῦ συστάσεως τῶν νεφῶν καὶ ἐπιπροσθήσεως· ἢ Πήγασος ἂν εἴη, ᾧ ἐποχούμενος ὁ Βελλεροφόντης τὴν Χίμαιραν ἀνεῖλεν, [x]) ἡ παγετοῦσα ψύξις τὰς ἐν ἀέρι ὑγρὰς ἀναθυμιάσεις, καὶ τὰ οἷον βέλη τὰ μέλλοντα ῥέειν καὶ αὐξάνειν τοὺς ἐν χειμῶνι ποταμοὺς ἀφαιροῦσα. Καὶ γὰρ χιόνων καὶ χαλαζῶν, καὶ τῶν λοιπῶν πεπηγότων ὑδάτων γενομένων, ἐλαττοῦνται οἱ ὄμβροι· τούτων δ' [y]) ἐλαττουμένων, οἱ χείμαῤῥοι κατ' 466
ὀλίγον ξηραίνονται. Μὴ θαυμάσῃς δὲ τὴν τοῦ ἀντιστοίχου γραφήν· πολλὰ γὰρ τοιαῦτα εὑρήσεις ἐκτραπέντα τοῦ πρωτοτύπου, ἢ διὰ τὴν τοῦ δηλουμένου πράγματος κρύψιν τε καὶ ἀσάφειαν, ἢ κατὰ ἐναλλαγὴν, ἢ διὰ τὴν τῶν γραφόντων ἀπροσεξίαν, ἢ διὰ [z]) μέτρον, ἢ δι' ἔθος· μᾶλλον γὰρ διὰ διφθόγγου τὸ χίμαιρα ὤφειλε γράφεσθαι, ἢ διὰ τοῦ ι. Ὅτι δὲ πολλὰ δι' ἔθος γράφεται τοίως ἢ τοίως, τὴν ἀκρίβειαν ἡμῶν παρορώντων, μαρτυρεῖ τὸ Ἀχιλλεὺς ὄνομα· ὅθεν γὰρ ἂν αὐτὸ τὶς ἐτυμολογήσῃ, τὴν δι' ἑνὸς λ γραφὴν ἔχειν ὀφείλει. Χίμαιρα δὲ τὴν Σφίγγα γεννᾷ τοῖς Καδμείοις ὄλεθρον τῷ Ὄρθρῳ συνελθοῦσα, ἔτι δὲ καὶ τὸν ἐν Νεμέᾳ λέοντα, ὃν τρέφει ἡ Ἥρα καὶ τοῖς γουνοῖς κατευνάζει τῆς Νεμέας, εἰς βλάβην ἀνθρώπων, ὃν δὴ καὶ δαμάζει ὁ Ἡρακλῆς, τὸν ἐν Νεμέᾳ δηλαδὴ λέοντα, εὐλόγως. Σφὶγξ γὰρ ἂν εἴη, ἡ σφίγγεσθαι τοὺς ἀνθρώπους παρασκευάζουσα ψύξις ἐν χειμῶνι, καὶ ὄλλουσα τοὺς Καδμείους, τουτέστι τοὺς καταδεδαμασμένους ὑπ' αὐτῆς. Τῷ Ὄρθρῳ δ' ἂν λέγοιτο συνέρχεσθαι, παρόσον ἐν ταῖς ἑωθιναῖς καταστάσεσι καὶ ὀρθριναῖς, ἔτι τοῦ ἡλίου ὑπὸ τὸν ὁρίζοντα κρυπτομένου, ἐπιγίνεται σφοδροτέρα καὶ ἐπικρατεστέρα, ἥτις δὴ καὶ θηλυκῶς εἴρηται Σφίγξ. Νεμειαῖος δ' ἂν εἴη λέων, ὁ παγετὸς, ὁ νεμόμενος οἷον δίκην λέοντος ὠμηστοῦ φυτά τε καὶ σπέρματα τὰ ἐν τῇ γῇ· ἃ δὴ ὁ λόγος γουνοὺς προσηγόρευσε· τὰς γὰρ μελλούσας ἐκ γῆς ἀναδίδοσθαι γονὰς σπερμάτων ἐπιπολὺ κρατήσας ὁ παγετὸς διαφθείρει· ὅν τινα δὴ λέοντα ἡ κυδρὴ παράκοιτις τοῦ Διὸς Ἥρη τρέφει, τουτέστιν ὁ κυδοῤῥύας ἀὴρ, ὁ

w) παραδέδωκα B.
x) τὴν παγετοῦσαν ψύξιν B.
y) οὕτως τattoμένων B.
z) μεταποίησιν B.

δοξαζόμενος ὡσανεὶ ταῖς ῥοαῖς τῶν ὑδάτων, καὶ τῷ [a]) αἰθέρι ὑποκείμενος κάτωθεν, ὑγρανθεὶς γὰρ ψύχεται. Ἀλλὰ τοῦτον τὸν λέοντα, τουτέστι τὸν παγετὸν, ὁ Ἡρακλῆς ἐλθὼν δαμάζει, τουτέστιν ὁ ἥλιος.

333. Λέγεται δ' ἡ Κητὼ τῷ [b]) Φόρκυϊ μιγεῖσα ἀπογεννῆσαι νεώτερον τέκνον τὸν δράκοντα τὸν φυλάσσοντα τὰ μῆλα τὰ χρυσᾶ ἐν τοῖς πέρασι τῆς γῆς, παρόσον διασκεδαννυμένων ἐκ τοῦ καθ' ἡμᾶς ἀέρος τῶν ἀναθυμιάσεων ὑπὸ τοῦ ἡλίου, ἤδη συχνῶς ἡμῖν ἐπεισβάλλοντος, ἐπὶ τὰ πόῤῥωθεν ἡμῶν μέρη ἀπελαύνεσθαι τινὰς συμβαίνει ζοφερὰς ἀναθυμιάσεις, [c]) κἀκεῖ συνίστασθαι. Οὐ γὰρ ἂν εὔλογον μηδεμίαν ἐπιλείπεσθαι μοῖραν τῷ παντὶ τῶν τοιούτων ἀναθυμιάσεων· αἵ τινες δὴ τοιαῦται ἀναθυμιάσεις τὰ χρυσᾶ μῆλα φυλάσσειν λέγονται· τουτέστι καλύπτειν τὰ ἄστρα τὰ λαμπρὰ καὶ χρυσοειδῆ· ἐπιπροσθοῦσι γὰρ αὐτοῖς. Κητὼ δ' ἂν εἴη, ἡ κεκαυμένη καὶ ἐξατμιζομένη ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων ἀναθυμίασις. Φόρκυν δὲ, ἡ περιφορὰ τῶν ὑδάτων, ἐξ ὧν δὴ τελευταῖον ἐν θέρει ἀπογεννᾶται ὁ εἰρημένος δράκων, ἤγουν τὰ ἐν τοῖς [d]) ἐναντίοις κλίμασι τῷ καθ' ἡμᾶς ὑφιστάμενα νέφη, ἃ δὴ δράκοντας ὁ λόγος προσαγορεύει, ἢ διὰ τὸ σχῆμα τῶν τοιούτων νεφῶν, (ἔστι γὰρ
467 πόλλ' ἄττα ἰδεῖν ἐν τοῖς νέφεσι δρακοντοειδῆ,) ἢ διὰ τὸν συριγμὸν καὶ ψόφον, ἢ διὰ τὸ τοῖς δέρκουσι καὶ ὀπτανομένοις ἐμποδὼν καθίστασθαι. Ἔτι δὲ καὶ τοῖς κεύθεσι [e]) τῆς ἐρεμνῆς γαίης διατρίβειν λέγεται ὁ τοιοῦτος δράκων, παρόσον οὐκ ἐν τοῖς ἄνωθεν ἡμῶν μέρεσιν ἐναπολιμπάνονται αἱ τοιαῦται ἀναθυμιάσεις, ἀλλὰ καὶ τοῖς κοιλώμασι τῆς γῆς ἐναποκρύπτονται· οὐ γάρ ἐστι κενὸν ἐν τῷ παντὶ κατὰ τὸν δαιμόνιον Ἀριστοτέλην. Ἐρεμνὰ δ' ἂν λέγοιτο, ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ μένειν, τουτέστι τῇ γῇ· ὅθεν οἶμαι καὶ ἐρυμνὰ φρούρια προσαγορεύεται, οὐχ ἁπλῶς τὰ ὑψηλὰ, ὡς οἱ πολλοὶ νομίζουσιν, ἀλλὰ τὰ στενὰ καὶ δυσάντη· καὶ διὰ τοῦτο ἐν γῇ μένειν παρασκευάζοντα τοὺς ἐν αὐτοῖς καταφεύγοντας, καὶ στενῶς κομιδῇ διάγειν. Ἡ Τηθὺς δὲ μετὰ τοῦ Ὠκεανοῦ γεννᾷ τοὺς ποταμοὺς, παρόσον ἐκ τῆς γῆς ἀναδίδονται καὶ [f]) ἀναβλυστάνουσιν οἱ ποταμοὶ, καὶ αἱ πηγαί. Ὠκεανὸς δ' ἂν εἴη τὸ ἐπεισρέον [g]) τῇ θαλάσσῃ ὕδωρ,

a) ἀέρι B.
b) φόρκυνι B. Trinc.
c) κἀκεῖθεν B.
d) εἰρημένοις B.
e) τοῖς ἐρεμνοῖς B.
f) Sic B. ἀναβλαστάνουσιν edd.
g) ἐκ τῆς θαλάσσης B.

καὶ ὠκέως νεόμενον, τουτέστι πορευόμενον. Διηθούμενα γὰρ τὰ ὕδατα τῆς θαλάσσης ἐν διαφόροις [h]) τῆς γῆς τόποις καὶ εἰσδυόμενα ἀναπηγάζει καὶ ἀναῤῥέει γλυκύτερά τε καὶ πότιμα ἐξ ἀκρωρείας ἢ ὑπωρείας. Ἀῤῥενικῶς δὲ οἱ ποταμοὶ εἴρηνται, διὰ τὸ [i]) σφοδρὸν τῆς κινήσεως τῶν ἐν αὐτοῖς ὑδάτων, καὶ ἐνεργέστερον καὶ δραστικώτερον. Αἱ δὲ πηγαὶ θηλυκῶς ὀνομάζονται, διὰ τὸ θηλύτερον καὶ οἷον καὶ ὑφειμένον τῆς τῶν ἐν αὐταῖς ὑδάτων ἀναβλύσεως. Κουρίζειν δὲ λέγονται μετὰ τοῦ Ἀπόλλωνος οἱ ποταμοί τε καὶ αἱ κρῆναι, διὰ τὸ αὐξήσεως καὶ ἀνατροφῆς τῶν τριχῶν αἰτίους εἶναι τούτους· ἔνθεν τοι καὶ οἱ Ἕλληνες ἀποκείρειν [k]) ταύτας ἐν τοῖς ποταμοῖς πρώτως εἰώθεσαν. Ἀπόλλων δ᾽ ἂν εἴη ὁ ἥλιος, ὁ ὑποξανθίζων ταύτας δι᾽ ἐπιμελείας τῆς ἡμῶν, οἶμαι δὲ καὶ ἀκειρεκόμην αὐτὸν καλεῖσθαι, τάχα μὲν καὶ διὰ τὸ τὸν ἡλιακὸν δίσκον μετὰ τῶν ἐξ αὐτοῦ ἐφαλλομένων χρυσῶν ἀκτίνων καφαλῇ τινι προσεοικέναι, κόμαις [l]) ἐπιχρύσοις ἀστραπτούσῃ, τάχα δὲ καὶ διὰ τὸ ἀκειρεκομεῖν τοὺς ὑφ᾽ [m]) ἥλιον καλλιτριχουμένους ἀνθρώπους· ἐπιγάννυνται γὰρ ταῖς ἐκτάσεσι τῶν τριχῶν οἱ ἀνθηρότριχες καὶ καλλίτριχες. Τὰ πλείω δὲ τῶν ὀνομάτων τῶν πηγῶν ὠνοματοπεποίηται τῷ Ἡσιόδῳ ἀπὸ τῶν [n]) ἐπισυμβαινόντων ταῖς πηγαῖς. Ἠλέκτρα τε γὰρ εἴρηται διὰ τὸ καθαρὸν καὶ χρυσίζον τοῦ ὕδατος, καὶ δίκην ἠλέκτρου λαμπρόν. [o]) Ἰάνθη δὲ, ἀπὸ τοῦ ἰαίνειν καὶ εὐφραίνειν τοὺς πίνοντας. Ζευξὼ δὲ, ἀπὸ τοῦ ζευγνύειν μετὰ τὴν ἀνάπαυσιν ἐν ταῖς πηγαῖς τὰ ὑποζύγια. Πληξαύρη δὲ, καὶ Γαλαξαύρη, ἡ ἐκ τῶν πηγῶν ἀναδιδομένη πλῆξις αὐρῶν εὐκραὴς καὶ καθαρὰ, ἣν διὰ τοῦ γάλακτος ὑποσημαίνει. 468 Μηλόβοσις δὲ, διὰ τὸ ἐν αὐταῖς τὰ μῆλα βόσκεσθαι πέριξ, [p]) ἤγουν τὰς παρακειμένας αὐταῖς πόας νέμεσθαι.

359. Καλυψὼ δὲ, διὰ τὴν κάλυψιν, καὶ τὴν περιβολήν. Εἰώθεσαν γὰρ οἱ ἄνθρωποι ἐν τοῖς διύγροις καὶ ψυχροτέροις τόποις διάγοντες περικαλύπτειν ἑαυτοὺς καὶ φυλάττειν διαφόροις περιβολαίοις. Πετραίη δ᾽ ἐρόεσσα εἴη ἂν ὠνομασμένη ἀπὸ τοῦ ἐκ πετρῶν καταῤῥέειν ἐνίων πηγῶν τὸ ὕδωρ, ἢ ἀπὸ

h) τῶν γαιῶν καὶ διεισδύοντα ἀναπηγάζουσι καὶ διαρρέουσι B.
i) σφοδρότερον B.
k) τὰς κόμας ἐν τ. π. εἰώθεσαν πρώτως. διὰ τοῦτο Ἀπόλλων B.
l) ἐπιχρύσαις B.
m) ἡλίου B.
n) συμβαινόντων τ. ψυχαῖς B.
o) Ἰάνθη ad πίνοντας om. B.
p) καὶ τοῖς παρακειμένοις αὐταῖς τόποις B.

τοῦ ἐν καιρῷ θέρους (ὡς αὐτὸς διεκελεύσατο ἐν ταῖς ἡμέραις) διαιτᾶσθαι ὑπὸ πέτρης, τρέποντας τὸ πρόσωπον πρὸς καταῤῥέουσαν κρήνην· ἔξεισι γὰρ ἐκεῖθε νοτὶς, παραμυθουμένη τὴν ἐν θέρει θερμότητα καὶ ξηρότητα. Τελεσθὼ δὲ κροκόπεπλος λέγοιτ' ἂν, ἀπὸ τοῦ τοὺς τελευτῶντας πηγαίοις ὕδασι καταλούεσθαι, καὶ μέλανα ὥσπερ πέπλα ἀμφιέννυσθαι. Οἶμαι δὲ καὶ Καλυψὼ, διὰ τὸ μετὰ [q]) *τοῦτο καλύπτεσθαι τούτους καὶ τῷ χοΐ παραδίδοσθαι. Στὺξ δὲ εἴρηται προφερεστάτη πασῶν, οὐ διὰ τὸ στυγεῖσθαι, τουτέστι μισεῖσθαι, ἀλλὰ διὰ τὸ τιμᾶσθαι μᾶλλον καὶ ζητεῖσθαι τὰ τοιαῦτα ὕδατα. Στυγῶ γὰρ καὶ τὸ τιμῶ· τιμῶμεν δὲ καὶ ζητοῦμεν τὰ τοιαῦτα τῶν ὑδάτων, διὰ τὰς ἐν αὐτοῖς ἐνεργείας. Μὴ θαυμάσῃς δὲ, εἰ νῦν τὸ στυγεῖν ἀντὶ τοῦ τιμᾷν ἐκλαμβάνομεν, πολλὰ γὰρ τοιαῦτα εὑρήσεις παρὰ τοῖς γραμματικοῖς, ἤγουν κατὰ ἀντίφρασιν τὸ στυγεῖν ἀντὶ τοῦ τιμᾷν ἐκληπτέον, ἢ ὅτι εἴη ἂν καὶ τοῦ στυγῶ ἕτερον σημαινόμενον ἀντὶ τοῦ τιμῶ λαμβανόμενον, ὥσπερ ἀλύω τὸ χαίρω, καὶ ἀλύω τὸ λυποῦμαι παρ' Ὁμήρῳ τε καὶ Πλουτάρχῳ τῷ ἐκ Χαιρωνείας εὕρηται. Δοκεῖ δὲ καὶ τῷ παλαιῷ* [r]) *ἐξηγητῇ τοῦ παρόντος βιβλίου, τὸ στυγεῖν ἀντὶ τοῦ τιμᾷν ἐκλαμβάνειν. Μήποτε δὲ τὸ στυγεῖν ἀντὶ τοῦ ἐκφοβεῖν καὶ καταπλήττειν* [s]) *εἴη ἀκουστέον νῦν. Διὰ γὰρ τὸ ὑπὲρ τὰς ἄλλας πηγὰς καταπλήττειν καὶ ἐκφοβεῖν* [t]) *ἐν ᾄδῃ ῥέουσα ἡ Στὺξ λέγοιτ' ἂν εἶναι προφερεστάτη πασῶν. Στὺξ δ' εἴρηται, ἀπὸ τοῦ στυγνάνσεως εἶναι παραιτία. Στυγνάζουσι γὰρ οἱ τοὺς ἐν ᾄδῃ πορευομένους θρηνοῦντες, ἐν ᾧ καὶ Κωκυτὸς, καὶ Ἀχέρων, καὶ Πυριφλεγέθων ποταμοί τινες καταῤῥέειν λέγονται, παρόσον κωκύουσι καὶ θρηνοῦσι τοὺς τεθνεῶτας οἱ τούτοις προσήκοντες, καὶ ἄχη ῥέουσι, καὶ πυρὶ τῷ τῆς λύπης φλεγέθονται. Εὐλόγως δὲ καὶ τὸ Ταίναρον εἰς ᾄδου κατάγειν λέγεται· διότι οἱ εἰς ᾄδου καταγόμενοι τιταίνουσιν ἀρὰς, καὶ βλάβας ἐμποιοῦσιν. Ἔστι δ' ὅτι καὶ συνθανατοῦσι τοὺς ἀκατασχέτως θρηνοῦντας αὐτούς. Γεννᾷ δὲ ἡ Θεία τὸν Ἥλιον καὶ τὴν Σελήνην, ἔτι δὲ καὶ τὴν Ἡμέραν, Ὑπερίονος ἐν φιλότητι μιγεῖσα, παρόσον ἐκθεούσης, τουτέστι κινουμένης, τῆς φύσεως τῶν οὐρανίων σωμάτων ὑπεράνωθεν ὁ Ἥλιος καὶ ἡ Σελήνη*

q) ταῦτα B.

r) ἐξηγητῇ om. B. et mox idem habet ἐκλαμβανόμενον.

s) ἀκούομεν B.

t) ἐν ᾄδου sine ῥέουσα B.

τῆς ἡμέρας ἐργάται κατὰ ἀπουσίαν τε καὶ παρουσίαν τὴν ἑαυτῶν τυγχάνουσιν.

375. Ἡ δὲ Εὐρυβίη τῷ Κρείῳ συνελθοῦσα τὸν Ἀστραῖόν 469
τε καὶ τὸν Πάλλαντα γεννᾷ, ἔτι δὲ καὶ τὸν Πέρσην, πᾶσι τούτοις v) μεταπρέποντα ἐν ἰδμοσύνῃ, παρόσον κριθέντα ἀπ' ἀλλήλων καὶ χωρισθέντα ὑπὸ εὐρείας τινὸς καὶ μεγάλης δυνάμεως (ἦν γὰρ ὁμοῦ πάντα χρήματα ποτὲ κατὰ Ἀναξαγόραν, νοῦς δὲ διέκρινεν αὐτὰ) τὰ μὲν ἄστρα τὸν ἄνω τόπον εἴληχε, καὶ τὴν παλλομένην φύσιν, τουτέστι κινουμένην· ἀεικίνητα γὰρ ταῦτα, κἂν τὰ μὲν ὁμαλῶς, τὰ δὲ ἀνωμάλως κινῶνται· ἡ γῆ δὲ τὸν κάτω καὶ μέσον ἡδρασμένη καὶ ἀκινητίζουσα. Ὧν τινῶν δὴ ἄστρων ἡ περαίωσις, καὶ ἡ ἐπιστημονικὴ τῆς αὐτῶν κινήσεως κατάληψις διαπρέπει ἐν ἐπιστήμαις, ὅσον καὶ τὸ ὑποκείμενον τιμιώτερον. Ἡ δὲ Ἡμέρα τῷ Ἀστραίῳ συνερχομένη τοὺς ἀνέμους γεννᾷν λέγεται, παρόσον ἐκ τῆς τῶν ἄστρων ἐπιτηρήσεως αἱ τούτων πνοαὶ προγινώσκονται τοῖς περὶ ταῦτα ἐπιστήμοσιν· ἢ ὅτι κατὰ διαφόρους ἐπιτολὰς καὶ δύσεις ἄλλων w) καὶ ἄλλων ἄστρων, καὶ ἐκ διαφόρων μερῶν τοῦ παντὸς οἱ ἄνεμοι πνέουσιν, ὡς Ἀριστοτέλης τε δηλοῖ ἐν τῷ δευτέρῳ τῶν μετεώρων, καὶ Ἄρατος ὁ ποιητὴς, καὶ Εὔδοξος. Οἶμαι δὲ καὶ τὸν Ὅμηρον προσαγορεύειν τὸν Βοῤῥᾶν αἰθρηγενέτην, τάχα μὲν καὶ διὰ τὸ αἰθρίαν ποιεῖν· λεπτομερεστέρα γὰρ ἡ σύστασις τοῦ τοιούτου ἀνέμου· διὰ καὶ ψυχροτέρα καὶ δυσριγοτέρα· τάχα δὲ καὶ διὰ τὸ ἐξ αἰθέρος γεννᾶσθαι, τουτέστιν ἐξ ὑψηλοτέρου τόπου· τοιοῦτον δὲ πάντως τὸ βόρειον ἔξαρμα. Ἡ Στὺξ δὲ τὸν Ζῆλον καὶ τὴν Νίκην γεννᾷ μιγεῖσα τῷ τοῦ Ὠκεανοῦ Πάλλαντι. Ἔτι δὲ καὶ τὸ Κράτος καὶ τὴν Βίαν, εὐλόγως· ἐπειδὴ καὶ οἱ ζηλοῦντες καὶ νικώμενοι στυγνάζειν εἰώθεσαν· ἀλλὰ στυγνάσαντες καὶ πρύμναν κρουσάμενοι, ἀπάλαμνοι πρότερον οντες καὶ νωθροὶ, κράτος καὶ βίαν κατὰ τῶν ὁμοτέχνων ἤραντο. Ὁποῖος ἦν ἐκεῖνος ὁ λέγων, Οὐκ ἐᾷ με καθεύδειν τὸ Μιλτιάδου τρόπαιον. Ἢ ἡ Στὺξ τῷ τοῦ Ὠκεανοῦ συνέρχεται Πάλλαντι, καὶ γεννᾷ τὸ Κράτος καὶ τὴν Βίαν, ὡς δῆθεν ἡμᾶς τοῦ λόγου διδάσκοντος, ὡς πᾶν τρόπαιον ἡμῶν προστυγνασάντων, καὶ σκυθρωπασάντων, καὶ τῆς ἄνωθεν ἡμῖν ἐπιφοιτώ-

v) μεταπρέποντι B. w) καὶ ἄλλων adjeci ex B. et Trinc.

σης ἐκ τῶν οὐρανίων ἀντύγων [x]) χορηγητικῆς τῶν ἀγαθῶν δυνάμεως, ἀνεγείρεται· οὐ γάρ ἐστιν ὁ οὐράνιος χῶρος ἄμοιρος τῶν τοιούτων, ὡς αὐτός φησιν ὁ ποιητὴς, ἀλλ' ἄνωθεν ἡμῖν ἐπιπέμπεται τὸ κράτος, καὶ ἡ νίκη, καὶ ἡ θειοτέρα συμμαχία. Καὶ γὰρ μετακαλεσάμενος κατὰ τὸν μῦθον πάντας τοὺς θεοὺς ὁ Ὀλύμπιος, εἶπεν, ὃς ἂν μετ' αὐτοῦ τοῖς Τιτᾶσι μάχοιτο, τιμήσειν αὐτὸν ἐπὶ Κρόνου ἄτιμον ὄντα. Πρώτην δέ φασιν ἀφικέσθαι τὴν Στύγα πρὸς οὐρανὸν, μετὰ τῶν οἰκείων παίδων καὶ τιμηθῆναι ὑπὸ Διός· ἐπειδὴ [y]) συμβουλευτικῶς ὁ λόγος ἡμῖν ὑποτίθησιν, ὡς ὅστις ἂν ἄρα καὶ εἴη ἀγέραστος ἐπὶ Κρόνου, τοῦ ἀφανοῦς δηλαδὴ βίου καὶ κοραίνοντος, στυγνασάτω, καὶ συντριβὴν καρδίας πολλάκις ἐπιδειξάτω. Καὶ [z]) οὕτω
470 τοῖς ἐναντίοις Τιτᾶσι μαχεσάμενος, καὶ πᾶσαν ἐναντίαν καταβαλὼν τῶν παθῶν ἰσχὺν, ἕξει τὴν ἐξ ὕψους ἀρωγήν. Ἄνεισι γὰρ ἡ τῶν ψυχῶν συντριβὴ, καὶ ἡ τῶν ἠθῶν ταπείνωσις πρὸς τὸν ὑπερέχοντα πάντα νοῦν, καὶ ἀνιοῦσα κράτος κατάγει, καὶ τὰ θυμήρη ποιεῖ. Εὐλόγως δὲ τὴν Στύγα φασὶν ὅρκον εἶναι τῶν θεῶν, ὡς καὶ Ὅμηρος δηλοῖ,

Ἴστω τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ —

ἢ ὅτι οἱ πρώην στυγνάσαντες μετὰ τὴν ἄνωθεν δύναμιν τίμιοι καθίστανται τοῖς ἀνθρώποις καὶ ἀρίδηλοι, καὶ εἰς ὅρκον προκείμενοι. Εἰώθασι γὰρ οἱ εὐσεβέστεροι τῶν ἀνθρώπων τὴν εἰς τὸ θεῖον εὐλαβούμενοι ὁρκωμοσίαν [5]) ἀσπάζεσθαι [a]) τὴν εἰς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων καὶ σεμνοτέρους, καὶ πιστοῦν ὅπερ ἄρα καὶ λέγουσι, διὰ τῆς ἐξ αὐτῶν ὑπολήψεως· ἢ εἰς τὴν Στύγα ὀμνύειν λέγονται οἱ θεοὶ, διότι στυγοῦσι τοὺς ὀμνύοντας· μυσαρὸν γὰρ τὸ ὁρκωμοτεῖν οὐ παρ' ἀνθρώποις μόνον, ἀλλὰ καὶ παρὰ θεοῖς.

381. Ἡ Ἠριγένεια δὲ τὸν Ἑωσφόρον τίκτει, καὶ τὰ ἄστρα οἷς οὐρανὸς ἐστεφάνωται, παρόσον ἐνίοτε ὁ τῆς Ἀφροδίτης καλούμενος ἀστὴρ ὁ Ἑωσφόρος, ἐν ταῖς ὀρθριναῖς καταστά-

x) χορηγητικῶν B.

y) Sic B. Vulgo συμβουλευτικός.

z) οὕτω om. B.

5) Fortasse: ἀσπάζεσθαι τὴν εἰς τοὺς ἀγαθοὺς, etc. dixit autem insolenter τὴν εἰς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων, ἔξωθεν sumendo τὸ ὁρκωμοσία, sicut eadem periodo dixit, ἐς τὸ θεῖον ὁρκωμοσίαν, pro, κατὰ τοῦ θείου. Heinsius.

a) Sic B. Trinc. τρὶς τοὺς Heius.

σεσιν ἐπιτέλλεται ἀκροκνέφαιος, καί τινα τῶν ἄστρων τὴν ἑώαν ἐπιτολὴν ἀνατέλλοντα. Ἡ Φοίβη δὲ τῷ b) Κοίῳ συνελθοῦσα τὴν Λητὼ τὴν κυανόπεπλον τίκτει τὴν μείλιχον τοῖς ἀνθρώποις, καὶ ἤπιον τοῖς ἀθανάτοις, παρόσον ἡ ἀκραιφνεστάτη καὶ πάσης ἀμιγὴς κακίας ἀγαθότης τοῦ πρώτου νοῦ τοῦ πολυτιμήτου καὶ πάντων πατρὸς ταῖς πεποιημέναις πάσαις οὐσίαις κατασκευαστικὴ καὶ παραγωγὸς χρηματίζει· ἥτις καὶ διὰ τὸ σύμφυτον ἑαυτῇ τὸ ἀγαθὸν ἔχειν, καὶ δημιουργικὴ πάντων τῶν ὄντων εἶναι, ὅσα τε ὑπὸ σελήνην, ἃ καὶ ποιότητος μετέχει τινὸς, ὅσα τε c) ὑπεράνω καὶ οὐράνια, εἰς εὐνὴν ἔρχεσθαι λέγεται τὴν πολυήρατον· τῆς γὰρ ἀγαθοπαρόχου καὶ προετικῆς τῶν ὄντων καὶ πηγαίας φύσεως ἐρῶσί τε καὶ ἐφίενται τὰ πολλὰ, δηλαδὴ τὰ πάντα, ἢ τὰ κρείττω, οἷον αἱ λογικαὶ ψυχαὶ, καὶ αἱ νοεραὶ πᾶσαι οὐσίαι. Οὐ γὰρ ἂν ἵππος καὶ ἄνθρωπος, ἢ λίθος, καὶ ὅσα τῶν ἀψύχων, ἐπίσης ἐφίεσθαι λέγοιτ' ἂν τοῦ ὄντος, καὶ πρὸς τὸ ἀγαθὸν κινεῖσθαι, ἀλλὰ τὰ μὲν ζωτικῶς καὶ αἰσθητικῶς, τὰ δὲ νοερῶς, τὰ δ' d) ἄλλως τοῦ εἶναι ἐφίενται. Τίκτει δὲ τὴν Λητὼ ἡ Φοίβη, εὐλόγως· ἡ γὰρ τῶν ἡμετέρων κακιῶν ἐπιλησμοσύνη ἀπὸ τῆς εἰλικρινοῦς ἐκείνης φύσεως τοῦ ἀγαθοῦ προέρχεται· τοιαύτη γὰρ ἡ τοῦ ἀγαθοῦ φύσις, ἥτις καὶ κυανόπεπλος λέγεται, τὴν ἀορασίαν καὶ τὴν κυανόχροιαν, οἷά τινα e) πέπλον ἐνδιδυσκομένη· ἀόρατος γὰρ καὶ ἄγνωστος ἡ φύσις ἡ θεία, ἀλλ' οὐ τέλεον, ἀλλ' ἐκ τῶν περὶ αὐτὴν γνωριζομένη, ὅσον ἑκάστῳ ἀνάλογον, ἥτις καὶ μείλιχός ἐστι τοῖς ἀνθρώποις καὶ ἱλαρὰ καὶ ἤπιος. Ἀλλὰ καὶ τὴν 471
Ἀστερίαν τὴν εὐώνυμον ἀποτίκτει ἡ Φοίβη, τουτέστι τὴν τῶν ἀστέρων λαμπρότητα, καὶ τὴν οὐσίαν, καὶ τὸ κάλλος, ἵν' ἐκ τούτων τὸν γενεσιουργὸν γνωρίζωμεν νοῦν, ἢ τὴν ἐπιστημονικὴν κατάληψιν καὶ πρόγνωσιν τῶν μελλόντων ἐκ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως, καὶ διαπεραιώσεως, Ἀστερίην τάχα καλεῖ· πᾶσα γὰρ δόσις ἀγαθὴ, καὶ φωτὸς γνωστικοῦ πρόξενος ἀπὸ τοῦ πρώτου φωτὸς πρὸς ἡμᾶς παραγίνεται. Ταύτην δὲ τὴν Ἀστερίην ὁ Πέρσης λέγεται ἀγαγέσθαι ἄκοιτιν εἰς δῶμα μέγα, παρόσον τῆς τῶν οὐρανίων σωμάτων δραστικῆς καὶ ἐνεργοῦς κινήσεως ἐξήρτηται τὰ ἀνθρώπινα πράγματα

b) Sic B. Vulgo *Βίῳ*.
c) *ὑπεράνωθεν* B.
d) Sic B. Vulgo *ἄλλα*.
e) Sic B. Vulgo *πέπλα*.

κατὰ τοὺς θύραθεν, καὶ ὑπ' αὐτῆς περαιοῦται τὰ ἡμέτερα, [f]) ὡς ἐκεῖνοί φασιν, ἀγαθοποιοὺς τῶν ἀστέρων εἰσάγοντες, καὶ κακοποιοὺς, καὶ σχηματισμοὺς αἰτιώμενοι, καὶ ἀποστάσεις, καὶ πλησιασμοὺς ἀστέρων, καὶ ἐξελιγμοὺς, καὶ προποδισμοὺς, καὶ ἀναποδισμοὺς, καὶ ὅσα ἄλλα τῆς ἐκείνων ἐπιστήμης ἐστὶν αἰτιολογήματα. Ἐπεὶ δὲ τῆς τῶν ἀστέρων ἐστὶ φύσεως καὶ ἡ σελήνη, καλῶς ἄρα πάντως λέγεται ἀπὸ τῆς εἰρημένης θεᾶς γεννηθῆναι, ἥν τινα δὴ σελήνην, Ἑκάτην προσαγορεύει, τάχα δὴ διὰ τὸ μακρόθεν ἡμῶν εἶναι, κἀκεῖθεν τὰς ἑαυτῆς ἐνεργείας ἡμῖν ἐκπέμπειν· πολλαὶ γὰρ αἱ τῆς σελήνης δυνάμεις, ἃς καὶ αὐτὸς καταλέγει ὁ ποιητὴς ἐνταῦθά τε καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ τοῖς ἔργοις. Ἑπτὰ δὲ ὄντων τῶν πλανήτων ἀστέρων, μάλιστα ἥλιός τε καὶ σελήνη ἐπιτροπεύειν τῶν καθ' ἡμᾶς πραγμάτων λέγονται, καὶ δρᾷν εἰς τὰ τῇδε, οὐ φυσικῶς μόνον, ἀέρων μεταβολὰς, καὶ καιρῶν, καὶ ἐνιαυτῶν ἐργαζόμενοι ταῖς οἰκείαις περιόδοις, ἀλλὰ καὶ πλουτίζοντες, καὶ πτωχίζοντες, καὶ ἐντίμους καὶ ἀτίμους ποιοῦντες ἀνθρώπους, ὥς τινες λέγουσι, καὶ ὅσα ἄλλα ἐνεργοῦντες. Ἔνθεν τοι καὶ κοσμοκράτορας διὰ τοῦτο καὶ σημάντορας ἔργων, καὶ φερεσβίους, καὶ καρπίμους, καὶ ἀστεράρχας, καὶ δεσπότας κόσμου, καὶ πιστοὺς φύλακας, καὶ ῥιζωτῆρας πυρόεντας, καὶ ὡροτρόφους, καὶ χρόνου πατέρας ἀθανάτους προσαγορεύει ὁ [g]) Ὀρφεὺς ἐν τοῖς θυμίοις ἀρώμασι, σύγγραμμα δὲ τοῦτο Ὀρφαϊκόν. Χρὴ δὲ εἰδέναι ὅτι οὐ μόνον ἐν τοῖς λεγομένοις πλάνησι τῶν ἀστέρων ὁ ἥλιος καὶ ἡ σελήνη ὑπερέχει, ὡς εἴπομεν, καὶ διϊκνουμένας ἐπὶ τὴν γῆν ἔχουσι δυνάμεις, κατὰ τὰς μεταβάσεις αὐτῶν τὰς μείζους καὶ ἐλάττους, ἀλλὰ καὶ ἐν τοῖς ἀπλανέσιν· εἴτε γὰρ πύρινά ἐστι τὰ ἄστρα, εἴτε αἰθέρια, ὡς ἀρέσκει τισὶν, οὐδεμίαν συμπάθειαν ἔχει πρὸς τὰ ἐπὶ τῆς γῆς γινόμενα, καὶ οὐδεμία τὶς ἀποφορὰ, οὐδὲ ἀπόῤῥοια διϊκνεῖται ἀπὸ τῶν ἀπλανῶν ἀστέρων ἐπὶ τὴν γῆν καὶ πρὸς ἡμᾶς, καθὼς τοῖς ἀκριβεστέροις δοκεῖ, ἀλλὰ σημείου τάξιν ἐπέχουσιν αἱ τῶν ἀπλανῶν ἀστέρων ἐπιτολαὶ καὶ δυσμαὶ, μὴ φυσικῶς τὰ περὶ τὸν ἀέρα πάθη ἀπογεννῶσαι, πνεύματα λέγω, καὶ ὄμβρους, καὶ καύματα· ὥσπερ γὰρ ὁ πυρσὸς οὐκ αὐτός
472 ἐστιν [h]) αἴτιος τῆς πολεμικῆς καταστάσεως, ἀλλὰ σημεῖόν ἐστι

f) ὧν τὰς κινήσεις φ. B. ubi mox om. τῶν ἀστέρων εἰσάγοντες.

g) Hymn. VIII.

h) αἴτιος om. B.

πολεμικοῦ καιροῦ, τὸν αὐτὸν τρόπον καὶ αἱ τῶν ἄστρων ἐπιτολαὶ οὐκ αὐταὶ παραίτιοί εἰσι τῶν περὶ τὸν ἀέρα μεταβολῶν, ἀλλὰ σημεῖα ἔκκεινται τῶν τοιούτων περιστάσεων· οἱ γὰρ ἀπαρχῆς παρατηρήσαντες καὶ συνταξάμενοι τὰ λεγόμενα παραπήγματα, ἐξετάσαντες τοὺς τόπους τοῦ ζωδιακοῦ κύκλου, ἐν οἷς ὡς ἐπίπαν αἱ μεταβολαὶ τοῦ ἀέρος γίνονται, ἐπεσκέψαντο κατὰ τοὺς χρόνους τούτους τίνα τῶν ἄστρων ἀνατέλλει ἢ συγκαταδύνει, καὶ ταῖς τούτων ἐπιτολαῖς καὶ δύσεσι σημείοις ἐχρήσαντο πρὸς τὸ προγινώσκειν τὰς μεταβολὰς τοῦ ἀέρος· οἷον, ὅτε αἱ Πλειάδες δύνουσιν, ἔχουσι δύναμιν ὥστε ὑγρασίαν τινὰ περὶ τὸν ἀέρα ἀπογεννᾶν· ἢ πάλιν ἐπιτέλλουσαι θέρους ἀρχὴν διασημαίνουσιν, οὐ διὰ τὴν τοῦ ἄστρου δύναμιν, παντελῶς γάρ ἐστιν [i]) ἀπόπληκτον τὸ τοῦτο οἴεσθαι. Οἵας γὰρ ἂν καὶ δοίη τις εἶναι οὐσίας τὰ ἄστρα, πάντως καὶ τῆς αὐτῆς δυνάμεως εὔλογον εἶναι. Καὶ οὐκ ἂν τῆς αὐτῆς ὄντα οὐσίας, ἄλλου μὲν, τὸ ὑγραίνειν, ἄλλου δὲ τὸ ξηραίνειν εἶναι τῶν ἄστρων, λεκτέον· τὸ δ' αὐτὸ ὑποληπτέον καὶ περὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν γίνεσθαι· πολλοὶ γὰρ ὑπολαμβάνουσιν ἰδίαν ἔχειν δύναμιν [k]) τὸν ἀστέρα, καὶ παραίτιον γίνεσθαι τῆς τῶν καυμάτων ἐπιτάσεως, ἅμα συνεπιτέλλοντα τῷ ἡλίῳ. Τοῦτο δ' οὐκ ἔστιν οὕτως ἔχον, ἀλλ' ἐπεὶ κατὰ τὸν πυρωδέστατον καιρὸν τοῦ ἐνιαυτοῦ οὗτος ὁ ἀστὴρ [l]) ἐπιτέλλει, τῇ τούτου φαύσει ἐσημειώσαντο τὴν πρὸς τὸ καῦμα μεταβολὴν τοῦ ἀέρος. Ἔστι δὲ ὁ ἥλιος παραίτιος τῆς ἐπιτάσεως τῶν καυμάτων· ἡ δ' αἰτία πρῶτον μὲν, ὅτι ὑπὸ τοῦ χειμῶνος κατεψυγμένων ἡμῶν, κατὰ τὸν συνεγγισμὸν τὸν πρὸς ἡμᾶς ἄρχεται ἡμᾶς θερμαίνειν· οὔπω δ' ἔκδηλον ποιεῖ τὴν θερμασίαν, ἔτι τῆς καταψύξεως τῆς ἀπὸ χειμῶνος διαμενούσης, ἐπιμονῆς δὲ γινομένης, καὶ μᾶλλον ἀεὶ συνεγγίζοντος τοῦ ἡλίου, ἐπαίσθησιν συμβαίνει τῆς [m]) θερμασίας γίνεσθαι. Ἔπειτα δὲ καὶ διὰ ταύτην τὴν αἰτίαν· συμβαίνει [n]) γὰρ δὶς κατὰ τὸ συνεχὲς ἐπὶ τὴν αὐτὴν οἴκησιν ἐπιβάλλειν τὸν ἥλιον· καὶ γὰρ ἐν τῇ [o]) προσόδῳ τῇ πρὸς τὸν θερινὸν κύκλον τὸν τροπικὸν, καὶ ἐν τῇ ὑποχωρήσει, τὰς αὐτὰς οἰκήσεις παροδεύει ὁ ἥλιος. Εἰ μὲν οὖν

i) Sic B. ἀπόβλητον edd.
k) τῶν ἄστρων B.
l) ἐπέτελλε B.
m) ἐνεργείας B.
n) δὲ αὐτῷ B.
o) προσέχει τὰ B.

ὡς σημεῖον τὶς λαμβάνει τοῦ κυνὸς τὴν ἐπιτολὴν, ὀρθῶς λαμβάνει, καθὰ [p]) καὶ Ὅμηρός φησιν ἐπὶ κυνὸς οὕτως·

— κακὸν δέ τε σῆμα τέτυκται.

Εἰ δ' ἄλλως οἴεται ἔχειν, πόῤῥω δοκεῖ τῆς ἀληθείας καὶ τοῦ φυσικοῦ λόγου πλανᾶσθαι. Σὺ δ' ὦ τέκνον, τὰ μὲν ἄλλα χαίρειν ἔα τῶν ἄστρων, καὶ μηδεμίαν ἐξ αὐτῶν πρὸς ἡμᾶς διϊκνεῖσθαι οἴου ἀποφορὰν, εἴτε πλάνητες εἶεν, εἴτ' ἀπλανεῖς, μόνον δὲ ἥλιον καὶ σελήνην τοὺς δύο τούτους φωστῆρας τοὺς
473 μεγάλους φυσικῶς τὰ περὶ τὸν ἀέρα [q]) ἀποτελεῖν πάθη δόξαζε, καὶ ἡμέρας καὶ νυκτὸς ἐργάτας εἶναι, καὶ καιρῶν, καὶ χρόνων, οὐκ ἐμψύχους ὄντας, οὐδ' ἀφ' ἑαυτῶν δραστικήν τινα δύναμιν πλουτοῦντας, ἀλλ' ἀπὸ τοῦ πρώτου νοῦ τοῦ πάντων πατρὸς [r]) θεοῦ τοῦτο λαχόντας· μὴ θαυμάσῃς δὲ, εἰ τὴν σελήνην Ἑκάτην προσαγορεύει ὁ Ἡσίοδος· τοιοῦτον γὰρ τὸ μεταληπτικὸν εἶδος τοῦ λόγου ἐστὶν, ἐπεὶ καὶ Ὀρφεὺς τὸν ἥλιον Ζῆνα προσαγορεύει, καὶ Παιᾶνα, καὶ Τιτᾶνα. Ἄκουε γάρ·

Τιτὰν χρυσαυγὴς [s]) Ὑπερίων, οὐράνιον φῶς,
Δεξιὲ μὲν γενέτωρ ἠοῦς, εὐώνυμε νυκτὸς,
Φωσφόρε, αἰολόδεκτε, φερέσβιε, κάρπιμε Παιάν.
Ἀειθαλὲς, ἀμίαντε, χρόνου πάτερ, ἀθάνατε Ζεῦ.

Πρὸς γὰρ διαφόρους αὐτοῦ ἐνεργείας ἀπιδὼν, τούτοις αὐτὸν τοῖς ὀνόμασι προσαγορεύει. Τιτᾶνα μὲν, διὰ τὸ πανταχοῦ τιταίνειν καὶ ἐξαπλοῦν τὰς ἀκτῖνας, ἢ διὰ τὸ παρὰ πάντων τίεσθαι, τουτέστι τιμᾶσθαι. Παιᾶνα δὲ, διὰ τὸ παύειν λιμόν τε καὶ χειμῶνα, ἢ διὰ τὸ παιήονα εἶναί τινα ταῖς καρπογονίαις καὶ ἀναθηλήσεσι ταῖς παρ' αὐτοῦ γινομέναις. Ζῆνα δὲ, διὰ τὸ ζωῆς εἶναι αἴτιον, τουτέστι τῶν πρὸς ζωήν. Εὑρίσκω δὲ τὸν αὐτὸν [t]) Ὀρφέα καὶ τὴν Τύχην Ἄρτεμιν προσαγορεύοντα, ἀλλὰ καὶ τὴν σελήνην Ἑκάτην,

Εἰνοδίην Ἑκάτην κλῄζω, τριοδῖτιν ἐφαννήν.

Καὶ μυρία παρ' Ὀρφεῖ τὰ μεταληπτικῶς ἔχοντα τῶν ὀνομά-

p) καὶ et mox οὕτως om. B. δέ τι σῆμα id.

q) πάθη ἀποτελοῦντας B.

r) θεοῦ om. B. Mox λαβόντας (χ) B.

s) Ὑπερίων om. B. qui mox habet αἰολόδικτε (sic Trinc.) et ταμίαιτε pro ἀμίαντε. Vide Hymn. VIII.

t) Hymn. I. In Versu Orphei τριοδίτην ἐμφανῆ B. τριοδῖτιν ἐπαινήν emendatio est Hemsterhusii ad Lucian. I. p. 469. τ. ἐραννήν Orphei edd.

των εὑρήσεις. Ἡ Ῥέα δὲ τῷ Κρόνῳ ὑποδμηθεῖσα, τεκεῖν λέγεται τήν τε Δήμητραν καὶ τὴν Ἥραν καὶ τοὺς ἄλλους· εὐλόγως. Τῆς γὰρ ῥυτῆς ἐκείνης καὶ ἀστάτου καὶ ἀνειδέου ὕλης καὶ πάντοθεν ἀλλοιωτῆς καὶ τρεπτῆς κατὰ τὴν ἑαυτῆς φύσιν, ἔτι δὲ καὶ τοῦ ἐπιπολάζοντος ἄνωθεν τῆς ὕλης ἀρχεγόνου σκότους, καὶ κοραίνοντος τὰς αἰσθήσεις, ἤτοι μελαίνοντος, γέγονε τὰ στοιχεῖα τῇ ἐπεισφρήσει τῶν ποιοτήτων. Ἡ γῆ τε αὐτὴ, ἣν καὶ Δήμητραν λέγει, καὶ ὁ ἀὴρ, καὶ ὁ Ποσειδῶν, τουτέστι τὸ ὕδωρ, καὶ ὁ Ζεὺς, τουτέστιν ὁ αἰθήρ. Ἑστία δὲ προσαγορεύεται ἡ Δημήτηρ, παρόσον τοῦ παντὸς τὸν μέσον λαχοῦσα τόπον ἡ γῆ, στάσεως καὶ μονῆς αἰτία ἐστὶ τοῖς ἄλλοις· πᾶν γὰρ τὸ κινούμενον περί τι ἀκίνητον κινεῖται· ὅθεν καὶ οἱ Πυθαγόρειοι v) Ζηνὸς πύργον καὶ φυλακὴν οἶμαι διὰ τοῦτο ταύτην ἐκάλουν. Δημήτηρ δὲ λέγεται, ὡς Δηὼ μήτηρ οὖσα· πάντα γὰρ ἐκ γῆς προέρχεται. Τὸν δὲ ἀέρα διαιρεῖν ἔοικεν ἡ πρεσβυτέρα παράδοσις συμβολικῶς, εἴς τε τὸν ὑφ' ἡλίου καταλαμπόμενον τὸν φανερὸν τοῦτον καὶ αἰσθητὸν, ὃν καὶ χρυσοπέδιλον Ἥραν καλεῖ, λαμπρὸς καὶ χρυσοειδὴς ἐν τῷ πέδῳ εἱλεῖται, καὶ εἰς τὸν ἀφανῆ καὶ ὑποκάτω, καὶ ἡμῖν μὴ ὁρώμενον, ὃν καὶ ἀΐδην προσαγορεύει, τάχα παρὰ τὸ μὴ φαίνεσθαι καὶ βλέπεσθαι. Ἐννοσίγαιον δὲ λέγει τὸν Ποσειδῶνα, 474 τουτέστι τὴν ὑγρὰν φύσιν καὶ ὑδαρὰν, ἀπὸ τοῦ ἐνοῦν τὴν γῆν, τουτέστι κινεῖν. Εἰσὶ γάρ τινες τῶν παλαιῶν, οἷς τισιν ἄρα δοκεῖ τὰ ὕδατα εἶναι αἴτια σεισμῶν, τὰ κατ' w) ἐκείνους λεγόμενα ὑπὸ γῆν εἶναι. Ζεὺς δὲ νῦν λέγεται οὐ κατὰ τὰ ἄλλα τοῦ Ζηνὸς σημαινόμενα· πολλαχῶς γὰρ τὸ Ζεὺς ὄνομα εὕρηται παρὰ τοῖς παλαιοῖς, ὡς ἡμεῖς παρεσημειωσάμεθα ἐν ἄλλοις· νῦν οὖν Ζῆνα τὸν αἰθέρα οἰητέον, τουτέστι τὸ πῦρ στοιχειωτικὸν τοῦ παντός· τοῦτο γὰρ ζωῆς αἴτιον, καὶ δι' αὐτοῦ ζῶμεν, κινούμενοί τε καὶ ὑποθερμαινόμενοι. Ὃ δὴ πῦρ, ὡς ζωογόνον μᾶλλον καὶ συστατικὸν, καὶ ἐνεργητικώτερον καὶ δραστικώτερον, πατέρα ὁ λόγος ἀνδρῶν τε καὶ θεῶν προσαγορεύει· θεῶν μὲν, τῶν στοιχείων δηλαδὴ τῶν ἄλλων· εὕρηται γὰρ καὶ τὰ στοιχεῖα θεοὶ παρ' Ὁμήρῳ προσαγορευόμενα, x) ἀπὸ τοῦ θείας ἀξιοῦσθαι φύσεως καὶ ἀθανάτου κατὰ

v) Ζανὸς B.
w) ἄλλους B. ubi mox εἶναι om.
x) ἀπὸ τῆς (τοῦ) θ. ἠξιῶσθαι B. Mox ib. ὡς pro ὅτι.

τὴν ὁλότητα, ἀνδρῶν δὲ τῶν ἐκ τῶν στοιχείων συνθέτων πάντων. Ταῦτα γὰρ γεννητὰ, καὶ φθαρτὰ, καὶ ἀλλοιωτὰ, ὡς μέρη δῆθεν ὄντα ἐκείνων. Ὅτι δὲ Ζῆνα τὸν αἰθέρα νῦν ἀκουστέον, δηλοῖ καὶ αὐτὸς ὁ Ἡσίοδος λέγων,

Τοῦ καὶ ἀπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών·

ἐν γὰρ τῷ περὶ τὸν αἰθέρα τόπῳ, καὶ ἁπλῶς ἐν τῷ ὑπεκκαύματι, καὶ ἔγγιστά που, βρονταὶ συνίστανται καὶ ἀστραπαὶ, καὶ ὅσα ἄλλα παῖδες φυσικῶν λέγουσι.

459. Ἀλλὰ γὰρ ὁ Κρόνος καταπίνειν λέγεται τὰ πρὸ τοῦ Διὸς πάντα ἐκ τῆς Ῥέας αὐτῷ [y]) γεννώμενα τέκνα, καὶ μισότεκνος εἶναι, μόνον δὲ τὸν Δία μὴ δυνηθῆναι ἀπολέσαι, ἀλλ' ἀντ' αὐτοῦ λίθον καταπιεῖν ἐσπαργανωμένον· ἐκεῖνον δὲ περισωθέντα τῇ ἐς τὴν Κρήτην ἐκθέσει, τῆς βασιλείας αὐτὸν καταβιβάσαι, καὶ τὸν πάλιν ἐξεμεθέντα λίθον ἀπὸ τοῦ Κρόνου, κατὰ χθονὸς στηρίξαι ἐν Πυθοῖ, θαυμασίως πάνυ καὶ φιλοσόφως. Πρὸ γὰρ τοῦ διακριθῆναι τὰ στοιχεῖα ἀπὸ τῆς ὕλης, καὶ τὸν οἰκεῖον ἕκαστον λαχεῖν τόπον, ἡνίκα δὴ ὁμοῦ πάντα χρήματα ἦν, οὐκέτι τὰ ἐκ τῆς ὕλης ἀναδίδοσθαι μέλλοντα, καὶ τὰ πρὸς τόδε τι εὐφυῶς ἔχοντα, ὑπὸ τοῦ ἐπιπολάζοντος σκότους κατελιμπάνοντο προέρχεσθαι καὶ γνωρίζεσθαι· ἀλλὰ ἐγκεκρυμμένα ἦν καὶ ἀφανῆ, καὶ ὑπ' ἀλλήλων κολαζομένας ἔχοντα τὰς δυνάμεις, καὶ οὐκέτι ἐνεργείᾳ φαινόμενα, ἀλλὰ τῇ δυνάμει γνωριζόμενα, τῷ τῆς ὕλης χαρακτηριστικῷ· δυνάμει γὰρ ἡ ὕλη γνωρίζεται κατὰ τὸν ἀκριβῆ καὶ φιλόσοφον λόγον· ἀλλ' ἦν μὲν ταῦτα πρὸ τοῦ διακριθῆναι τα στοιχεῖα ἀπ' ἀλλήλων. Ἀφ' οὗ δὲ νοῦς διέκρινε ταῦτα, καὶ εἴληχεν ἕκαστον τὸν ἴδιον τύπον, καὶ ὁ Ζεὺς, τουτέστι τὸ ζωογόνον πῦρ, τὸν ἄνω τόπον εἴληχεν, ἀπηλάθη μὲν ἐκεῖνο τὸ σκότος, καὶ οὐκέτι κατακρατοῦν ἦν τοῦ παντὸς, ἀλλ' αἱ τῆς ὕλης δυνάμεις εἰς τὸ ἐνεργείᾳ προέβαινον, καὶ γῆ μὲν παντοδαπὰ φυτὰ ἐβλάστανεν εὐ-
475 κρατουμένη· θάλασσα δὲ παντοίων ἰχθύων τὰ γένη ἐδίδου, καὶ πρὸς ζωὴν πάντα παρήγετο, τοῦ συστατικοῦ πυρὸς μετασχόντα. Ἐκεῖνος δὲ ἀπελιθοῦτο, καὶ ἄπρακτος ἔμενε, καὶ τοῦ κράτους κατεβιβάζετο ὁ Κρόνος, τοῦ παντὸς ἐξελαυνόμενος, καὶ εἰς τὸ μηδὲν οἰχόμενος, ὅθεν καὶ ὁ Ζεὺς ἐπικρατήσας λύει τοὺς πατροκασιγνήτους ἐκ τῶν δεσμῶν, τουτέστι τοῦ

y) γεννηθέντα B.

πυρὸς τον ἄνω τόπον σχόντος, πάντα τἆλλα στοιχεῖα ζωογονεῖσθαι καὶ συνίστασθαι ἤρξατο, τὰς ἐν αὐτοῖς δυνάμεις εἰς ἐνεργείας προάξαντα, ἅ τινα δὴ στοιχεῖα, ὡς τῆς αὐτῆς προελθόντα ὕλης, ἀδελφὰ τῷ Διῒ λέγεται εἶναι. Ἔνθεν τοι καὶ ἀντίχαριν αὐτῷ νέμουσιν ὑπὲρ ὧν ἔπαθον ἀγαθῶν, τὴν βροντὴν, καὶ τὸν κεραυνόν. Ἐκεῖθεν γὰρ ἀναδίδονται παρὰ τὸν αἰθέρα αἱ τούτων συστατικαὶ ἀναθυμιάσεις, ὡς ἀνωτέρω μοι εἴρηται. Ἔστι δὲ καὶ οὕτως εἰπεῖν· Κρόνον μὲν, τὸν χρόνον, ὑφ' οὗ πάντα καταβροχθίζεται τὰ ἐκ τῆς ἐκείνου ὀσφύος γινόμενα· τοιοῦτος γὰρ ὁ χρόνος, δαπανητικὸς τῆς οὐσίας τῶν αἰσθητῶν· ἔμελλε δὲ καὶ αὐτὸς τῷ συνεχεῖ τῆς οἰκείας φύσεως ῥεύματι παραῤῥεῖν τε καὶ παραπόλλυσθαι· ἀλλ' ἡ ἐκ διαδοχῆς τῶν ὄντων ζωὴ, ἥτις δὴ Ζεὺς παρὰ τοῦ μύθου προσαγορεύεται, τὴν τούτου ῥοὴν ἀνέχει, καὶ οἷον δεσμεῖ, ὥστε μὴ παραπόλλυσθαι. Ἐπεὶ δὲ καὶ ἡ τοῦ καθ' ἕκαστον ζωὴ κινουμένη ἐστὶ καὶ παραῤῥέουσα, διὰ τοῦτο καὶ Ῥέαν τῷ Διῒ μητέρα ὁ μῦθος ἐπέστησεν· ἔδοξε γὰρ καὶ τοῦτον καταπιεῖν ὁ Κρόνος, ἀλλ' οὐ καταπέπωκε τὸν Δία. Τῷ μὲν γὰρ τὰς μερικὰς ζωὰς διαφθείρειν διολλύων ἡμᾶς τοῖς πέρασι τοῦ εἱμαρμένου βίου, ὑφήρπασε τῷ λαιμῷ τὸν παῖδα· ἐφ' ᾧ δὲ μὴ πᾶσαν τῶν ὄντων τὴν ζωὴν [z]) δαπανᾶσθαι, ἀλλὰ μένειν συντηρουμένην ταῖς διαδοχαῖς, ἠλευθερῶσθαι λέγεται ὁ παῖς ἀπὸ τοῦ παιδοκτόνου πατρός. Ἰαπετὸς δὲ τὴν Κλυμένην ἄγεται τὴν τοῦ Ὠκεανοῦ θυγατέρα· δηλαδὴ ἡ κίνησις τοῦ οὐρανοῦ τὴν δόξαν περὶ αὐτὴν συναθροίζει, καὶ τὸ θαυμάζεσθαι· θαύματος γὰρ ἀξία ἡ τοιαύτη κίνησις, καὶ ἡ τοῦ παντὸς περιφορά· ἣν δὴ περιφορὰν ἐπὶ τῷ ἄξονι, Ἄτλαντα προσαγορεύει ὁ λόγος, τὰς μὲν χεῖρας καὶ τὴν κεφαλὴν ἐς τὸν οὐρανὸν ἔχοντα, καὶ διὰ τούτων ἐρείδοντα αὐτόν· τοὺς δὲ πόδας ἐπὶ τῆς γῆς. Καὶ γὰρ ἡ διάμετρος τοῦ παντὸς, ἤτοι ὁ ἄξων, περὶ ἣν ὁ οὐρανὸς στρέφεται καὶ οἱ πόλοι, αἴτιος μὲν τῆς οὐρανίου περιφορᾶς καὶ τῆς ἀνωτάτω κινήσεως, ἡ δὲ γῆ τῆς μονῆς τοῦ παντός· πᾶν γὰρ τὸ κινούμενον περί τι ἀκίνητον ἥδρασται. Ἐπειδὴ δὲ [a]) ἐστι τὶ πλῆθος ἰσχύος καὶ δυνάμεως, καθ' ἣν μένει τὸ μένον, ὥσπερ καθ' ἣν κινεῖται τὸ κινοῦν, καὶ ἔστι τὶς ἀναλογία ἀνάγκης, ὥσπερ τῶν ἐναν-

z) δαπανᾷ ἀ. μένει συντηρουμένη B. Trinc.

a) ἐπὶ B. e quo et Trinc. paullo post accessit ἰσχύος. Mox καὶ καθ' ἣν κινεῖ.

τίων κινήσεων, οὕτω καὶ τῶν ἠρεμιῶν, καθά φησιν Ἀριστοτέλης ἐν τῷ περὶ ζώων κινήσεως, οὐδέν ἐστιν ἄτοπον, εἰ καὶ τὴν ἰσχὺν ταύτην Ἄτλαντα [b]) προσαγορεύοι τίς.

Τίκτει δὲ τὸν Μενοίτιον καὶ τὸν Προμηθέα ὁ Ἰαπετός· ἔτι δὲ καὶ τὸν Ἐπιμηθέα, τάχα τὰς ἐξ οὐρανοῦ καταπεμπομένας
476 δυνάμεις τῆς ψυχῆς· εἰσὶ γάρ τινες τῶν παλαιῶν, οἵτινες λέγουσιν αὐτόθεν τὰς ψυχὰς κατέρχεσθαι πρὸς τὸν ἐπιχθόνιον χῶρον, τάχα δὲ καὶ διὰ τὸ ταχὺ τῆς κινήσεως καὶ ἀεικίνητον, καὶ διὰ τὸ ἔνδοξον καὶ τίμιον, ἐξ Ἰαπετοῦ καὶ Κλυμένης γεννῶνται οὗτοι· ταχυτάτη γάρ ἐστιν ἡ τοῦ νοῦ φορά, ὅθεν καὶ πτερόεν τὸ ἔπος φησὶν Ὅμηρος. Ἰαπετὸς δὲ, ἀπὸ τοῦ ἵεσθαι καὶ πέτεσθαι. Μενοίτιον δὲ οἰητέον, τὸ ἄλογον μέρος τῆς ψυχῆς, ὅπερ καὶ ὡς ὑβριστικὸν καὶ ἀλόγιστον εἰς ἔρεβος καταπέμπεται. Προμηθέα δὲ, τὸν πρακτικὸν νοῦν, τὸν προμηθευόμενον καὶ προβουλευόμενον περὶ τῶν μελλόντων, τίνα τε δεῖ ποιῆσαι, καὶ τίνα οὐχὶ, ὅστις καὶ διὰ τὸ ποικίλον τῶν μηδευμάτων, αἰολόμητις προσαγορεύεται. Ἐπιμηθέα δὲ λέγει τὴν ὑστεροβουλίαν, καὶ τὸν μετὰ τὴν πρᾶξιν ἐπισυναγόμενον νοῦν, ἢ τὸν φανταστικὸν, καὶ παθητικὸν νοῦν, ὅστις καὶ τὴν γυναῖκα ὑποδέχεται, τὴν δίυγρον ταύτην καὶ θηλυτέραν διαγωγὴν, καὶ ἁμαρτητικὴν ζωὴν, τὴν ἐκ τῶν φαινομένων ἀγαθῶν, καὶ τὸν κόσμον ἐπίκτητον ἔχουσαν. Δεσμεῖται δὲ ὁ Προμηθεὺς ἐν κίονι, καὶ τὸ ἧπαρ ἐᾶται ὑπὸ ὄρνιθος ἐν ἡμέρᾳ κατεσθίεσθαι, τὴν δὲ νύκτα πάλιν αὐξάνεσθαι, παρόσον τὸ νοητικὸν τῆς ἡμετέρας ψυχῆς καὶ νοερώτερον, ὅπερ δὴ ἐν τῷ ἥπατι ἐστὶ κατά τινας τῶν παλαιῶν, ἐν σώματι ἐμπεσὸν, ὑπὸ τῶν βιωτικῶν φροντίδων καὶ τῶν ἐφημερινῶν μεριμνῶν κατακερματίζεται οἷον καὶ διασκεδάννυται, ἐπιθολούμενόν τε καὶ ἐπιζοφούμενον, τὰς οἰκείας μὴ καταλιμπανόμενον ἐνεργεῖν ἐνεργείας· νύκτωρ δὲ ἀνακτᾶται καὶ ἀνακομίζεται οἷον πρὸς ἑαυτὸ ἐπιστρεφόμενον, ἅτε δὴ τῶν θυρίδων αἰσθήσεων ἠρεμουσῶν, καὶ διὰ τοῦτο καὶ ὀξυτέρας εἶναι τὰς φρένας νυκτὸς ἐπισυμβέβηκε· κίονα δὲ τὸ σῶμα νοητέον, ἐν ᾧ κατακέκριται ἐμπεσεῖν ἡ ψυχή. Ἑσπερίδας δὲ λιγυφώνους λέγει, τὰ ἄστρα. Ἑσπερίδας μὲν, ὡς ἐν ἑσπέρᾳ φαινόμενα, καὶ οἷον γεννώμενα· λιγυφώνους δὲ, διὰ τὸ ἐναρμόνιον τινὰ ἦχον τῶν οὐρανίων σωμάτων γίνεσθαι, καὶ πρὸς ἄλληλα σύμφωνον κατὰ λόγους μουσικοὺς, καὶ τὴν

b) Vulgo προσαγορεύει.

καλλίστην τῶν μελῳδιῶν· οὐ γὰρ ἂν εὔλογον, τὰ μικρὰ μὲν τῶν σωμάτων κινούμενα ψόφους ἀποτελεῖν τινὰς, τὰ μέγιστα δὲ καὶ τιμιώτατα, ὁποῖα τὰ οὐράνια, μὴ ψοφεῖν τι, καὶ λόγους ἁρμονίας ἔχειν τινάς. Ψοφοῦσι μὲν οὖν, καὶ κατὰ τὴν κρείττω τῶν ἁρμονιῶν μεθαρμόζονται, ὡς Πτολεμαίῳ τε δοκεῖ ἐν τῷ τρίτῳ τῶν ἁρμονικῶν, καὶ πρό γε τούτου Πυθαγόρᾳ, ἀλλ' οὖν γε ἡμῖν ἀνεπαισθήτως, διὰ τὸ ἐκ βρέφους [c]) συνεθίζεσθαι τῇ ἀπηχήσει τοῦ οὐρανίου ψόφου, καὶ διὰ τὸ μὴ δύνασθαι [d]) τοὺς τοιούτους ἴσως χωρεῖν ψόφους ἐν ταῖς ἡμετέραις ἀκοαῖς, κἂν Ἀριστοτέλης τὴν τοιαύτην ἀποτροπιάζηται δόξαν ἐν τοῖς περὶ οὐρανοῦ. Ἐμοὶ μὲν οὖν τέως τῷ λέγειν [e]) λιγυφθόγγους τὰς Ἑσπερίδας, τοῦτο ἔπεισι νοεῖν. Λέγεται δὲ τὸν Προμηθέα παραθέμενον τῷ Διῒ ὀστᾶ μετὰ πιμελῆς, ἐξαπατῆσαι τοῦτον, ἔνθεν τοι καὶ ὑπ' αὐτοῦ κατακριθῆναι τὸν ἐν κίονι δεσμὸν, καὶ τὴν ὑπὸ ἀετοῦ ἐφ' ἡμέρας μὲν κατερχομένου ἀνόρυξιν τοῦ ἥπατος· νυκτὸς δὲ αὔξησιν αὖθις, ἕως 477 οὗ Ἡρακλῆς ἐλθὼν αὐτὸν τοῦ δεσμοῦ [f]) ἀπέλυσε, τάχα διὰ τὸ τὸν ἡμέτερον νοῦν συνόντα ποτὲ τῷ πρώτῳ νοΐ, καὶ τὴν εἰλικρινῆ καὶ θείαν ἐκείνην ῥαστώνην καὶ νοερὰν διαγωγὴν διάγοντα μετὰ τῶν νόων, τῶν κινητικῶν δηλαδὴ αἰτίων τῶν σφαιρῶν, καὶ τοῦ ἐπεξηρημένου νοῦ, κατακριθῆναι τὴν εἰς τὸ σῶμα τοῦτο πτῶσιν, δι' ἁμαρτίαν τινά. Καὶ οἶμαι ταύτην εἶναι, ὅσον ἀπὸ τοῦ μύθου τούτου αἰνίξασθαι, τὴν ἐς τὸ παθητικὸν μέρος καὶ ἀλόγιστον τῆς ψυχῆς [g]) κατάκλισιν, ἣν διὰ τῆς πιμελῆς καὶ τῶν παρατιθεμένων ὀστῶν νοοῦμεν· τροφὴ γὰρ νοῦ ἡ εἰλικρινὴς καὶ ἀπαθὴς πάντη νόησις· ἡ δ' ἐμπαθὴς καὶ παχυτέρα, ἀνοίκειος ἄρα τῷ ἀΰλῳ νοΐ. Πλατωνικῶν δὲ παῖδες τὴν δόξαν ταύτην σφετερισάμενοι, θρυλλοῦσιν ἄνω καὶ κάτω, ὡς διά τινα ἁμαρτίαν ἐς τὸ σῶμα κατακέκριται ἐμπεσεῖν ἡ ψυχή· οὐκ ἄτοπον δὲ εἴ τις ὀρθῶς ἐθέλει νοεῖν τὰ λεγόμενα, καὶ ἐς τὴν ἡμετέραν αὐλὴν τὴν εὐσεβῆ παρεισάξαι τὸν μῦθον, καὶ ἐπὶ τοῦ προπάτορος ἐκλαβέσθαι τὸ νόημα εὐσεβῶς, ὡς ἠπάτησε μὲν τὸν δημιουργὸν ὁ πρωτόπλαστος, τὴν ἐντολὴν παραβὰς, ἐξόριστος δὲ γέγονεν ἔκ τοτε τῆς Ἐδὲμ, καὶ τοὺς δερμα-

c) συνειθίσθαι τῇ ἀναισθησίᾳ B.
d) ἂν τοὺς τ. sine ἴσως B. et mox ἀποτροπιάζει.
e) λιγυφώνους B.
f) Sic B. Vulgo ἔκλυσε.
g) μετάκλισιν B. κατάκλησιν Trinc.

τίνους ἀμφιέννυται χιτῶνας τὴν παχυτέραν ταύτην σάρκα, καὶ τὴν ἐπίπονον διαγωγὴν κληροῦται, καὶ τὴν ἐς τὸ κλαυθμῶνος πέδον κατάκρισιν, καὶ τὴν ἐν ἱδρῶτι τοῦ προσώπου βρῶσιν τοῦ ἄρτου, καὶ τὰς παλαμναίας ἀράς· καὶ τὸ δὴ τελευταῖον ἐπιτίμιον, τὸν θάνατον, ἕως οὗ Ἡρακλῆς ἐλθὼν ὁ ἐμὸς Ἰησοῦς, τῶν δεσμῶν ἠλευθέρωσεν. Ἀλλ' ὅπερ ἔλεγον, κίονα οὖν τὸ σῶμα νοητέον, τὸ παχὺ τοῦτο καὶ γαιῶδες, εἰς ὃ ἡ ψυχὴ κατακέκριται ἐμπεσεῖν, ἀετὸν δὲ κατεσθίοντα τὸ ἧπαρ, τὰς πολυχρονίους ταύτας φροντίδας, καὶ τὰς τοῦ βίου περιπετείας ἐκληπτέον, αἵ τινες δὴ κατακερματίζουσι τὰς ψυχικὰς δυνάμεις, καὶ ἐπιψοφοῦσι συχναὶ καὶ ἀλλεπάλληλοι ἐπαγόμεναι ἐν ἡμέρᾳ ὡς ἐπὶ τὸ πλεῖστον· νύκτωρ γὰρ πολλάκις πρὸς ἑαυτὴν στρέφεσθαι ἐᾶται ἡ ψυχὴ, ἅτε δὴ τῶν θυρίδων αἰσθήσεων ἠρεμουσῶν· διὸ καὶ ἴδῃς ἂν ἐνίους ὀξυτέρως κατὰ τὴν νύκτα νοοῦντας, ὡς τὸ,

νυκτὸς δέ τοι ὀξυτέρη φρήν.

Ἀλλὰ τοῦτον τὸν νοῦν ἐς σῶμα ἐμπεσόντα, καὶ τὰς αὐτοῦ δυνάμεις ὥσπερ ἐν αἰθάλῃ σπινθῆρας κεκρυμμένους ἔχοντα, ἐπιλύεται τοῦ δεσμοῦ ὁ Ἡρακλῆς, ὁ ἀπὸ τῶν μαθημάτων ἐπισυναγόμενος ἡμῖν νοῦς, ὁ κλείζων ἐκ τότε τὴν Ἥραν, τουτέστι τὸ γήϊνον σῶμα· τελειοῖ γὰρ τὸ ἐν ἡμῖν ἀτελὲς οὗτος ὁ νοῦς θύραθεν ἐπιγενόμενος. Ὁ Κότος δὲ, καὶ ὁ Γύγης, καὶ ὁ Βριάρεως, ὅτι μὲν τὰ ὑπὸ γῆν ἐναποκλειόμενά εἰσι πνεύματα, καὶ ὅτι τοῦ οὐρανοῦ καὶ τῆς γῆς εἰσὶ παῖδες, καὶ πῶς ἄρα εἰσὶ μετὰ τοῦ πατρὸς ἀποπεμπόμενοι εἰς γῆν, προφθάσαντες ἀνωτέρω εἴπομεν. Νῦν δὲ τὴν μετὰ τῶν Τιτάνων μάχην αὐτῶν ἀθρητέον, καὶ πῶς πρότερον μὲν ἐν δεσμοῖς οἱ προειρημένοι
478 ἦσαν· ὕστερον δὲ τῶν Τιτάνων ὑπερισχύσαντες αὐτοὺς κατεπολέμησαν καὶ εἰς ἔρεβος i)ἀπέπεμψαν, τίς τε ἡ Ῥέα ἡ τῷ Κρόνῳ εὐνηθεῖσα, καὶ τοὺς Τιτᾶνας ἀποτεκοῦσα, καὶ τί τὸ νέκταρ καὶ ἡ ἀμβροσία k) ὑποσημαίνει, ὧν μεταλαβόντες οἱ προειρημένοι μένεος ἐπλήσθησαν. Ἐμοὶ δοκεῖ, ὡς φυσιολογεῖ ἐνταῦθα περὶ τῆς τοῦ χειμῶνος συστάσεως ὁ ποιητὴς, καὶ τὴν τῶν στοιχείων πρὸς ἄλληλα μάχην καὶ τῶν ἐν ἡμῖν ποιοτήτων ὑποσημαίνει διὰ τούτων· καὶ γὰρ νηνεμίας οὔσης ἐν θέρει, καὶ τοῦ ἡλίου μακρὰν ἀπελαύνεσθαι παρασκευάσαντος πᾶσαν

h) ἀπελύσατο B.
i) ἀπεπέμψαντο B.
k) ὑποσημαίνουσι B.

ἀχλὺν ἀπὸ τοῦ καθ' ἡμᾶς κλίματος, ἡνίκα δὴ ὑπεράνωθεν ἡμῶν σελαγοῦσιν αἱ τούτου ἀκτῖνες, τὰ Τυφωνικὰ πνεύματα ὑπὸ γῆν κεκρύφθαι λέγεται τότε, ἅ τινα δὴ Κότον καὶ Βριάρεων καὶ Γύγην ὁ λόγος πολλάκις ἐξείληφεν. Ἀλλὰ μέντοι γε καὶ εἴ τις ἄλλη θύελλα, ἢ καταιγὶς, ἢ πάθος ἄλλο ἐν χειμῶνι συμβαίνοι, τὸν αὐτὸν ἐκείνοις ὑφίσταται δεσμόν· ἐπιπολάζουσι δὲ τότε τὰ τιταινόμενα, ἤτοι γινόμενα καὶ ὑφιστάμενα ἐν τοῖς μετεώροις πάθη, δοκίδας λέγω, καὶ [l])βοθύνους, καὶ δαλοὺς, καὶ αἶγας, καὶ κομήτας, καὶ διάττοντας, καὶ ὅσα ἄλλα τῆς ἐπικρατούσης τότε ξηρᾶς ἀναθυμιάσεως ἀποσυμβαίνουσιν· ἅ τινα δὴ τῷ Διΐ, τουτέστι τῷ αἰθέρι, ἄνωθεν ἐπιπολάζοντα, συχνῶς βάλλουσι τὰς ἐν γῇ καὶ θαλάσσῃ ὑγρότητας, καὶ ὥσπερ καταπετροῦσι καὶ ἀπολιθοῦσι, μὴ καταλιμπάνοντα ἀνιέναι τῶν οἰκείων τόπων· ἀλλὰ τούτου δὴ τοῦ πολέμου, [m])ὃν ἥτε ὑγρὰ ἀναθυμίασις καὶ ἡ ξηρὰ ἔχει, ἐπιπολὺ γινομένου, ἐπὰν ὁ ἥλιος τὴν θερινὴν τροπὴν ποιήσηται, καὶ τοῦ καθ' ἡμᾶς κλίματος ἀφίστασθαι ἄρξηται, καταγωνίζονται ἔκ τοτε αἱ ἄνωθεν ἀναθυμιάσεις ὑπὸ τῶν ἐναντίων, καὶ ἀντιπερίστασις γίνεται, τοῦ ψύχους μὲν ἤδη διασκεδαζομένου τῷ καθ' ἡμᾶς ἀέρι, καὶ τῆς ὑγρότητος ἐπικρατούσης, τῶν δ' ἐναντίων ὑποχωρούντων, καὶ ὑπὸ γῆν κρυπτομένων, ὡς δηλοῖ τὰ ἐν τῷ χειμῶνι θερμὰ φρέατα· τοῦτο γάρ μοι δοκεῖ σημαίνειν τὸ ταρταροῦσθαι τοὺς Τιτᾶνας ὑπὸ τοῦ Βριάρεω καὶ τῶν ἄλλων, [n])τῶν κρατησάντων καὶ φυλαττόντων αὐτούς. Ἀμβροσίαν δ' ἐνταῦθα καὶ νέκταρ νομιστέον, τὴν συστατικὴν οἷον τροφὴν τῶν πνευμάτων, [o])τὰς ἀναθυμιάσεις δηλαδὴ τὰς ἐκ γῆς καὶ ὕδατος· ταύταις γὰρ ὥσπερ αὐξηθέντα καὶ τραφέντα τὰ ἐν χειμῶνι πάθη εἰσί. Ῥέαν δὲ καὶ Κρόνον, τὴν δίυγρον φύσιν ἀκουστέον, καὶ τὴν τοῦ χρόνου περίοδον καθ' ἣν ὁ χειμὼν γίνεται, καταλέγει δὲ καὶ αὐτὸς ὁ ποιητὴς τάχα τὰ ἐν χειμῶνι γινόμενα, [p])βρασμούς τε ὑπὸ γῆν, καὶ πνευμάτων σφοδρῶν ἐπαναστάσεις, καὶ πετρῶν κινήσεις ῥιπτουμένων, καὶ σάλον θαλάσσης, καὶ καταιγίδας, καὶ θυέλλας, ἀστραπάς τε καὶ βροντὰς καὶ πρηστῆρας, καὶ κεραυνοὺς τὴν γῆν πολλάκις κατακαίοντας, ἢ τὸ παρατυχὸν, καὶ ὅσα ἄλλα τοιαῦτα,

l) βοθύνας B.
m) ὃν ad γινομένου om. B.
n) ἐπικρατησάντων sine τῶν edd.
o) καὶ τὰς — τῆς γ. κ. τοῦ ὕ. B.
p) βρασμόν B. βοασμούς Trinc.

ἅ τινα δὴ βέλη τοῦ Διὸς ὁ ποιητὴς προσαγορεύει· ἔστι δὲ καὶ
479 τάδε εἰπεῖν, ὡς ὁ πατὴρ οὐρανὸς τὰ ἐξ αὐτοῦ γεννηθέντα τέκνα καὶ γῆς (οὐδὲν δὲ ἄτοπον, τὰ ἐκ τῆς Ῥέας εἰπεῖν καὶ Κρόνου· κατ' ἄλλο γὰρ οἱ αὐτοί εἰσιν) ὑπὸ γῆν ἐταρτάρωσεν ὀργισθείς. Τὴν γὰρ τοῦ χειμῶνος πᾶσαν συστατικὴν ἀναθυμίασιν, μακρὰν ἡ τοῦ οὐρανοῦ περίοδος ἀπὸ τοῦ καθ' ἡμᾶς ἐλάσασα κλίματος· καὶ τὴν μὲν ὑπὸ γῆν κατακρύψασα, τὴν δὲ ἐν ἄλλοις διαβιβάσασα μέρεσι τοῦ παντὸς, ὅσην ἡ γῆ ἀναδιδόναι πέφυκε, καὶ ἡ ῥυτὴ πᾶσα καὶ δίυγρος φύσις, τὸν Κότον καὶ τὸν Γύγην καὶ τὸν Βριάρεων ἀποπέμψασθαι λέγεται. Κότον μὲν, διὰ τὸ [q]) ξηρότερον εἶναι καὶ ἐξ ἀποκαύσεως συνίστασθαι τὴν τῶν πνευμάτων ἀναθυμίασιν, ὡς Ἀριστοτέλει τε δοκεῖ ἐν τοῖς μετεώροις, καὶ Ἀδαμαντίῳ ἐν τοῖς περὶ ἀνέμων· Γύγην δὲ, διὰ τὸ ἐκ γῆς τὰ πολλὰ ἀναδίδοσθαι. Βριάρεων δὲ, διὰ τὸ ὑψηλὸν καὶ λεπτὸν καὶ δύσριγον ἐνίων πνευμάτων, οἷα τὰ βόρεια· δοκεῖ γὰρ καὶ ἡ λέξις αὐτὸ τοῦτο δηλοῦν, ἀπὸ τοῦ ἐκ τοῦ βορείου πόλου ἵεσθαι· Οὐ γάρ ἐστι κυρίως βριάειν τὸ ἰσχυροποιεῖν ὥς τινες οἴονται, ἢ βριάων ὁ ἰσχυρός· ἀλλὰ τὸ ὑπερβαίνειν ἐφ' ὕψους καὶ μετεωρίζεσθαι, οἷον ἐν τῷ βοῤῥᾷ· διὸ καὶ τοὺς ὑπερηφάνους καὶ ἀλαζόνας, βριάοντας καλοῦμεν· ὡς τὸ,

— ῥέα δὲ βριάοντα χαλέπτει.

Τὸν γὰρ ἐφ' ὑψηλοῦ βαίνοντα μέρους τῇ οἰήσει, ὁποῖον τὸ βόρειον ἔξαρμα (τοῦτο γὰρ ὑψηλότερον τοῦ λοιποῦ ἐστι) χαλᾷν ποιεῖ καὶ πίπτειν ὁ Ζεύς· εὐλόγως γὰρ ἀντέθηκε τῷ ὕψει τὴν πτῶσιν ἐκεῖ ὁ ποιητής. Ἀλλὰ τοὺς προειρημένους ἐῤῥύσατο ὁ Κρονίδης καὶ οἱ λοιποὶ [r]) θεοὶ, ὅσοι ἐκ τῆς Ῥέας ἐγένοντο καὶ τοῦ Κρόνου· ὁ γὰρ ἥλιος, ὃν ὡς ζωῆς αἴτιον Ζῆνα προσαγορεύομεν, τῇ ἀπὸ τοῦ καθ' ἡμᾶς κλίματος ἀπουσίᾳ ἀνάγεσθαι ποιεῖ τούτους καὶ ἀναζωοῦσθαι, οἷον, καὶ εἴτις ἄλλη δίυγρος καὶ ψυχρὰ φύσις τοῦ χειμῶνος συστατικὴ, κατὰ περίοδόν τινα τοῦ ἐνιαυτοῦ ἐπικρατοῦσα· διὸ κἀκεῖνοι μεταλαβεῖν εὐλόγως λέγονται νέκταρος καὶ ἀμβροσίας, καὶ οὕτως ἐπιῤῥωσθῆναι· τῇ γὰρ στερήσει τῶν καταῤῥεουσῶν, ἢ βαλλουσῶν αὐτοὺς ἀκτίνων τοῦ ἡλίου, καὶ τῇ ἀναβαινούσῃ ῥυτῇ

q) Emendavi sic pro vulg. ζωρότερον. Mox καὶ ἀπὸ τῆς καύσεως B.

r) θεοὶ om. B.

φύσει τῆς ὑγρᾶς ἀναθυμιάσεως, ἀνάγεσθαι καὶ ἐπικρατεῖν ἄρχεται τὰ ἐν χειμῶνι πνέοντα πνεύματα. Εἰς τοῦτο γὰρ ἐγὼ τὴν τῶν ὀνομάτων ἀνάπτυξιν [s]) ἀναλαμβάνω, τοῦ τε νέκταρος καὶ τῆς ἀμβροσίας. Ἔνθεν τοι, καὶ τοῦ ἡλίου πρὸς ἄλλο τοῦ παντὸς μέρος τραπέντος, οἷον [t]) ἐπιῤῥωσθέντες οὗτοι, καταβάλλειν ἄρχονται τὰ τοῦ θέρους συστατικὰ, καὶ τὰς ἐν αὐτῷ ἐπιπολαζούσας ἀναθυμιάσεις, νῦν μὲν, πρηστήρων καταπεμπομένων ἄνωθεν, καὶ τὴν γῆν κατακαιόντων· ἄλλοτε δὲ ψόφων ἐν γῇ ἀσήμων γινομένων, ἢ σεισμῶν ἐπιτελουμένων, ἢ θυέλλης, ἢ καταιγίδος ἐγειρομένης, καὶ θαλάσσης ἠχούσης δεινὸν καὶ [v]) ἐπίφοβον· ἔστι δὲ καὶ πρὸς τὸ εὐσεβέστερον μεταρυθμίσαι τὸν μῦθον, διὰ σὲ πάντως, ὦ τέκνον, ἐπιγαννύμενον, ὡς ὁρῶ, 480 τῇ ἀπὸ τῆς ἀγριελαίου ἐπὶ τὴν καλλιέλαιον μεταλήψει τοῦ λόγου. Ἦν ὅτε καὶ ἡ τῶν ἀνθρώπων φύσις ὑπὸ γῆν ἐταρταροῦτο καὶ [w]) κατεκρύπτετο· ἣν Κότον μὲν ὁ λόγος καλεῖ, διὰ τὸ ἐγκοτεῖσθαι τῷ πατρὶ καὶ πλάστῃ θεῷ, καὶ ἀπ᾽ αὐτοῦ ἀπεστράφθαι διὰ τὴν παράβασιν· Γύγην δὲ, διὰ τὸ γηΐνην εἶναι καὶ φθαρτὴν κατὰ τὸ σῶμα· Βριάρεων δὲ, διὰ τὸ ὑψηλὸν καὶ μετέωρον τῆς ψυχῆς, καὶ τὸ ἀθάνατον. Ἀλλὰ ταύτης τῆς ἡμετέρας φύσεως παρὰ θεοῦ ἀπεστραμμένης, καὶ ὑπὸ γῆν κεκρυμμένης, καὶ τῷ Ἅδῃ κατεχομένης, τὰ Τιτανικὰ καὶ Δαιμόνια φῦλα τῷ παντὶ ἐπεπόλαζον, κατακυριεύοντα τῶν ὑπὸ τὴν σελήνην, καὶ πάντας ὑποκλέπτοντα, καὶ κατακαίοντα, τῷ ξηραντικῷ τῆς ἁμαρτίας καύσωνι. Ἀλλὰ ὁ Κρονίδης ἐλθὼν καὶ οἱ ἀθάνατοι θεοὶ ἄλλοι, δηλαδὴ ὁ τῆς μεγάλης βουλῆς τοῦ πατρὸς ἄγγελος, ἥν τινα καὶ διὰ τὸ ἀφανῆ εἶναι, καὶ ἄγνωστον τοῖς ἀγγέλοις, καὶ ἀπόκρυφον, ἀτρέστως ὁ λόγος κορὸν νοῦν ὀνομάζει, ἢ διὰ τὸ ἀκατάληπτον εἶναι τὴν ἐκ τοῦ πατρὸς αὐτοῦ γέννησιν, καὶ οἱ ἐκ τῆς Ῥέας γεννηθέντες, καὶ τοῦ Κρόνου, τουτέστιν οἱ κατὰ χάριν υἱοθετηθέντες τῷ θεῷ, οἱ φθαρτοὶ μὲν καὶ ῥευστοὶ κατὰ τὴν οἰκείαν φύσιν, ἀθάνατοι δὲ καὶ θεοὶ χρηματίσαντες κατὰ χάριν· Κρόνον γὰρ νῦν τὸν πατέρα νομιστέον, κορὸν νοῦν ὄντα καὶ ἀκατάληπτον· τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται; [x]) οὗτοι τοίνυν ἐλθόντες, ὁ Χρι-

s) ἐκλαμβάνομαι B.
t) ἐπιρρωσάμενοι B.
v) φοβερὸν B. et mox μεταριθμῆσαι.
w) κατεγκέκρυπτο B. et mox ὑπ᾽ αὐτοῦ.
x) οὗτοι δὴ B. Τὴν γὰρ γ. α. τ. δ. sumta sunt ex Esai. LIII. 8.

στὸς δηλαδὴ καὶ οἱ προφῆται, ἢ οἱ ἀπόστολοι, διαλύειν τοὺς δεσμοὺς προτρέπονται, καὶ ὑποτίθενται μηκέτι δειλιᾷν τὰς Τιτανικὰς φάλαγγας, ἀλλὰ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Εἰς δὲ τὸν κατ' ἐκείνων χωροῦμεν πόλεμον, ἀμβροσίας πρότερον πλησθέντες καὶ νέκταρος, τουτέστιν ἰδόντες [y]) ἀπαθανάτωσιν τῆς ὁμοουσίου ἡμῖν σαρκὸς, καὶ θέωσιν τοῦ προσλήμματος· συνεχάρη γὰρ πᾶσα ἡ φύσις ἡμῶν καὶ συνέζησε τῇ ζωοπαρόχῳ τοῦ σωτῆρος σαρκὶ, ὥσπερ τῷ Ἀδὰμ συναπέθανε πρότερον. Ἢ νέκταρ καὶ ἀμβροσία εἴη ἂν, ἡ εἰς Χριστὸν πεποίθησις· δίκαιος γὰρ ἐπὶ κύριον πέποιθεν ὡς λέων· ἢ τὸ τοῦ σταυροῦ σημεῖον, καὶ ἡ πίστις αὐτή· ἐν τούτοις γὰρ θαῤῥήσαντες οἱ ἅγιοι τὰς τῶν δαιμόνων ἥττησαν φάλαγγας· ἢ ἡ στέρησις τῆς κατάρας τῆς Ἀδαμιαίας, καὶ ἡ πρὸς οὐρανὸν ἀνάβασις τῆς ῥυτῆς φύσεως. Ἐντεῦθεν δ' ἄν τις [z]) ἀπορήσαιτο καὶ τί σημαίνειν ἐθέλει τὸ παρ' Ἕλλησι νέκταρ, καὶ ἡ ἀμβροσία, τὰ τῶν θεῶν βρώματα καὶ πόματα, οἷς ἐκεῖνοι χρῶνται, μήτε σῖτον ἔδοντες, μήτ' αἴθοπα οἶνον πίνοντες. Ἐμοὶ δοκεῖ, ὡς νέκταρ μέν ἐστιν ἡ ἀκραιφνὴς τοῦ νοῦ νόησις καὶ ἀπαθὴς, ἡ ἐστερημένη τοῦ καταῤῥέοντος ὅλως πρὸς τὰ τῇδε βάρους, καὶ πάσης ῥοπῆς ἐμπαθοῦς ἀπηλλοτριωμένη ἐνέργεια. Ὡς γὰρ νεκρὸς λέγεται ὁ ἐστερημένος κηρὸς, ἤγουν ψυχῆς, νεκηρός τις ὢν, οὕτω καὶ νέκταρ, τὸ ἐστερημένον νόημα τοῦ καταῤῥέοντος
481 *καὶ καταβαρύνοντος πάθους. Ἀμβροσία δὲ, ἡ ἀναβαίνουσα ῥοή· δεῖ γὰρ τὸν οὕτω νοοῦντα καθαρὸν νοῦν, συνανυψοῦν ἑαυτῷ καὶ μετεωρίζειν ἢ ἀπαθανατίζειν τὸ σῶμα τὸ ῥυτὸν τοῦτο καὶ ἐπίκηρον. Ἀναβαροσία γάρ τίς [a]) ἐστιν ἡ τοιαύτη ἐνέργεια, ἥ τις καὶ τροφὴ τῷ ἀθανάτῳ νοῒ χρηματίζει, λεπτοῖς γαννυμένῳ καὶ ἀκραιφνέσι νοήμασιν, ἀλλ' οὐ μέντοι γε ζοφεροῖς ἢ ἐμπαθέσιν, ὧν ὁ σῖτος δηλωτικός ἐστι καὶ ὁ οἶνος· πλησθέντες οὖν θάῤῥους ἡ τῶν ἀνθρώπων φύσις τῇ τοῦ Χριστοῦ παρουσίᾳ, καὶ τῇ ἀπαθανατίσει τοῦ προσλήμματος, οἱ μὲν αὐτοψεὶ ὥσπερ οἱ ἀπόστολοι, οἱ δὲ οὐχ οὕτως, ἀλλ' ἢ μόνον ἀκούσαντες ὥσπερ οἱ μετὰ ταῦτα παρὰ τοῦ εὐαγγελίου καὶ τῆς χάριτος δημηγορούσης ἐπ' ἐκκλησίας καὶ πανταχοῦ ἠνωτίσαντο, ὡς, [b]) τὸ ἔργον τῆς οἰκονομίας ἐτελείωσα, οὓς δέδωκάς μοι ἐτή-*

y) ἀπαθανάτισιν τῆς ὁμοφυοῦς B. Trinc.

z) πορίσαιτο B. Trinc. Mox βρώματα καὶ οἶν. B.

a) οὖσα B.

b) Evang. Joann. XVII. 4. 12. Matth. X. 37.

ρησα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας· καὶ οὐδεὶς ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, ἔστι μου ἄξιος. Κἀκεῖνοι συννοήσαντες τὴν ἄφατον τοῦ μυστηρίου δύναμιν, καὶ ὁμολογήσαντες χάριν τῷ θεῷ, ἐντεῦθεν ἀπετάξαντο πᾶσι, καὶ κήρυκες τῆς πίστεως ἐγίνοντο [c]) πάντες, θήλειαί τε καὶ ἄῤῥενες, ἤματι κείνῳ Θεοὶ δοτῆρες ἐάων· πολέμου δὲ λιλαίετο θυμὸς, καὶ ἄλλον ἄλλος καταλαβόντες τόπον, οἱ μὲν νήσους, οἱ δὲ ἤπειρον, οἱ δὲ θάλασσαν, ἐκεῖθεν ταῖς τιτανικαῖς φάλαγξι συνεπλέκοντο, καὶ ἠνδρίζοντο παρὰ Χριστοῦ, καὶ κατηγωνίζοντο τοὺς ἀντιπίπτοντας, ἄνδρες τε καὶ γυναῖκες, πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας ἀγωνιζόμενοι, πρὸς τοὺς κοσμοκράτορας τοῦ αἰῶνος τούτου, εἰσδιώκοντες μυρίους, καὶ ἐν μιᾷ δημηγορίᾳ τόσους ἕλκοντες πρὸς εὐσέβειαν, καὶ τοῖς θαύμασιν πείθοντες. Διὸ καὶ ἑκατόγχειρες ἂν εὐλόγως λέγοιντο καὶ πεντηκοντακέφαλοι, ὡς πολυδύναμοι καὶ ἰσχυροί· τὴν δὲ τούτων καρτερίαν καὶ τὸ γενναῖον τὸ ἐν μάχαις τιτανικαῖς ἐθαύμασε μὲν καὶ θάλασσα καὶ ἤπειρος, ἐξύμνησε δὲ καὶ ὕπαιθρος διαγωγὴ, καὶ ὁ ἐν σπηλαίοις καὶ ὄρεσι, μετὰ δὲ τοὺς ἀγῶνας τοὺς ἀσκητικοὺς, καὶ τοὺς μαρτυρικοὺς μόχθους, ὁ Ζεὺς, ἤγουν ὁ θεὸς, ἐδίδου τούτοις τὰ σημεῖα καὶ τὰς χάριτας, ἔνθεν καὶ ἀπηλαύνοντο παρὰ τῶν ἁγίων οἱ δαίμονες, καὶ ἀπετυφλοῦντο ὑπὸ τῆς ἄνωθεν αἴγλης, καὶ κατεφλογίζοντο, καὶ ἐς Τάρταρον ὑπεπέμποντο. Βέλη δὲ τοῦ Διὸς εἴη ἂν τὸ τοῦ [d]) σταυροῦ σημεῖον καὶ ἡ ἐκεῖθεν ἀστραπὴ τῶν ἐναντίων μὲν τυφλωτικὴ, τῶν δὲ πιστῶν φωτιστική. Ζῆνα δὲ Κρονίδην, πατέρα ἀνδρῶν τε θεῶν τε, τὸν μονογενῆ τοῦ θεοῦ υἱὸν ἀκουστέον. Οὗτος γὰρ, ὡς μὲν ζωῆς αἴτιος, Ζεὺς προσαγορεύεται, ὡς δὲ υἱὸς τοῦ θεοῦ, Κρονίδης καλεῖται· Κρόνον γὰρ, τὸν κόρον ἐκεῖνον νοῦν καὶ ἀφανῆ ἡμῖν καὶ ἀκατάληπτον οἰητέον, τὸν οὐκ ἔκ τινος, οὐδὲ γεννητὸν, τὸν ἀγενεαλόγητον λέγω πατέρα· τίς γὰρ διηγήσεται τὴν γενεὰν αὐτοῦ; Κρονίδην δὲ τὸν τούτου υἱὸν, τὸν ὁμοούσιον καὶ [e]) σύνθρονον, καὶ ὑπεράνω ἐνθακούμενον τῶν κατὰ [482] χάριν υἱοθετηθέντων θεῶν τῷ πατρὶ, καὶ κρινοῦντα πᾶσαν τὴν ἀνθρωπίνην φύσιν, καὶ διὰ τοῦτο πατέρα προσαγορευόμενον ἀνδρῶν τε θεῶν τε. Ἀλλ' ἐπεί σοι δοκεῖ καὶ τὴν κλίσιν

c) πάντες om. B.

d) Χρίστου B. et mox σοφιστικὴ pro φωστική.

e) σύνθεον B. Mox καὶ κρινοῦντα — θεῶν τε om. B.

τοῦ Διὸς ὀνόματος διαθρῆσαι, φέρε δὴ καὶ παρεκβατικώτερον λεκτέον διὰ τί ὁ Ζεὺς τοῦ Διὸς κλίνεται. Ὅτι μὲν οὖν ἑτερόκλιτα πολλά εἰσιν ὀνόματα, ἔχεις τάχα μαθὼν, ὦ φίλος, ἐκ τοῦ ὕδωρ ὕδατος· ἓν οὖν τῶν ἑτεροκλίτων ἔοικεν εἶναι καὶ τὸ Ζεὺς Διός. Ἑτερόκλιτα δὲ λέγομεν, ὅσα τῶν ὀνομάτων ἄλλας ἔχει εὐθείας, καὶ ἄλλας γενικὰς, καὶ ἁπλῶς ἐν ὅσοις ἢ διὰ συνήθειαν, ἢ διὰ διάλεκτον, ἢ διαστολῆς ἕνεκα τῆς πρὸς ἄλλο τῶν ὀνομάτων, οὐ πρὸς τὴν εὐθεῖαν ἡ γενικὴ ἀποδίδοται, οὐδ' ἐκείνης ἐστὶ γενικὴ, ἀλλ' ἑτέρας μὲν γενικῆς ἡ εὐθεῖα εὑρίσκεται, ἑτέρας δ' εὐθείας ἡ ἀποδοθεῖσα γενική. Τοῦ γὰρ Ζεὺς ὀνόματος ὀφείλοντος κλιθῆναι τῇ εἰς ῡς γενικῇ, ὡς πάντα τὰ εἰς εῦς ἔχει ὀνόματα, καὶ τῆς Διὸς γενικῆς τὴν ις εὐθεῖαν ἀπαιτούσης, ὥσπερ ἶς ἰνὸς, καὶ [f]) ῥὶς ῥινὸς, ἀμφοτέρων ἡ χρῆσις ἐξέλιπε τῆς γενικῆς καὶ τῆς εὐθείας· καὶ ἄλλα ἀντ' αὐτῶν εἰσήχθη διαστολῆς οἶμαι ἕνεκα τοῦ δὶς ἐπιῤῥήματος· οὕτω γὰρ τάχα ἡ εὐθεῖα τοῦ Διὸς ἀπητεῖτο ἀποδοθῆναι, καὶ δι' ἀχρηστίαν τῆς Ζευὸς ἢ τῆς ζεὸς γενικῆς. Καὶ πειθέτω σε τὸ, ῑην ἀντὶ τοῦ ἔπεμψα· ἐπὶ μὲν τοῦ πρώτου προσώπου, ῑ καὶ η γραφόμενον, ἐπὶ δὲ δευτέρου καὶ τρίτου, ῑ καὶ δίφθογγον· ἄλλων γὰρ καὶ ἄλλων θεμάτων ὄντα ταῦτα, ὅμως εἰς τὸν αὐτὸν εἰσελθόντα χρόνον, ἄλλην καὶ ἄλλην γραφὴν ἀσπάζεται, τὴν ἐξ ὧν εἰσι θεμάτων διαφορὰν ὑπεμφαίνοντα. Ἔστι δὲ καὶ ἄλλην αἰτίαν ἀποδοῦναί σοι τῆς εἰρημένης κλίσεως, οὐ γραμματικὴν, ἀλλὰ φιλόσοφον ἴσως καὶ ὑψηλοτέραν· ὁ Ζεὺς τοῦ Διὸς κλίνεται, δηλουμένου πάντως ἡμῖν, ὡς οὗτός τε ζωή ἐστι, καὶ δι' αὐτοῦ ζῶσι τὰ ζῶντα, καὶ τὰ ὄντα ἁπλῶς δι' αὐτοῦ τὸ εἶναι [g]) εἴληχεν· ἄκουε γὰρ τοῦ [h])Ὀρφέως ἐν τῷ λεγομένῳ κρατῆρι τάδε σοι λέγοντος·

Ἔστι δὴ πάντων ἀρχὴ Ζεύς. Ζεὺς γὰρ ἔδωκε
Ζῶά τ' ἐγέννησεν, καὶ Ζῆν' αὐτὸν καλέουσι,
Καὶ Δία τ' ἠδ' ὅτι δὴ διὰ τοῦτον ἅπαντα τέτυκται.
Εἷς δὲ πατὴρ οὗτος πάντων, θηρῶν τε βροτῶν τε.

Ἀλλὰ ταῦτα μὲν οὕτως ἐχέτωσαν· ἐπὶ δὲ τὰ ἑξῆς χειραγωγητέον τὸν λόγον, τίς τε ὁ χάλκεος ἄκμων φιλοσοφητέον, καὶ τί βούλεται παρὰ τῷ ποιητῇ τὸ,

τόσον ἔνερθ' ὑπὸ γαίης, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης,

f) ῥὶν B. Mox idem, αἱ χρήσεις ἐξέλειψαν et ἄλλαι ἀντ' αὐτῆς εἰσήχθησαν.

g) εἰλήχασιν B.

h) Fragm. xxxix. Ἔστι δὲ τῶν ἁπάντων B. ἔστι δὲ Trinc. Versu post hunc secundo δή om. B. Mox θεῶν id. pro θηρῶν.

καὶ τ' ἄλλα κατίδωμεν ὡς οἷόν τε ἀκολούθως. Τῶν διαστάσεων μείζων λέγεται ἡ τοῦ ἄνω καὶ τοῦ κάτω· ἐντεῦθεν γὰρ καὶ τὰ ἐναντία, καὶ πάντα τὰ κατὰ πολὺ ἀλλήλων διεστηκότα 483
λέγεται διεστηκέναι, ὡς Ἀριστοτέλης φησί. Τὴν ἐν τῷ παντὶ i) οὖν διάστασιν ὑπαινιττόμενος καὶ Ἡσίοδος, καὶ μάλιστα τὴν μείζονα, τοῖς παροῦσιν ἔπεσι κέχρηται· τόσον γὰρ ἔνερθ' ὑπὸ γαίης, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης. Εἰ γὰρ διαμετρῆσαι θέλει τὶς τὴν τοῦ οὐρανοῦ διάστασιν ἀπὸ τῆς γῆς, k) τοσαύτην εὑρήσει πάντως, ὅσην καὶ ἀπὸ τῆς γῆς ἄχρι τοῦ δοκοῦντος κάτω ἡμισφαιρίου. Σφαιρικοῦ γὰρ τοῦ παντὸς δεδειγμένου, καὶ τὴν κύκλῳ κίνησιν τοῦ οὐρανοῦ κινουμένου, ἔτι δὲ τῆς γῆς κέντρου λόγον ἐχούσης πρὸς τὸ πᾶν, εὐλόγως ἰσοδιάστατον λέγεται τὸ ἄνω ἡμισφαίριον τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, καὶ τὸ λεγόμενον κάτω· αἱ γὰρ ἀπὸ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν ἐκβαλλόμεναι εὐθεῖαι, ἴσαι ἀλλήλαις εἰσὶ, καθὰ τοῖς γεωμέτραις δοκεῖ· ὃ δὴ κάτω ἡμισφαίριον ἔοικε λέγειν Τάρταρον ἠερόεντα, εἰς ὃν ἀποπέμπονται οἱ Τιτᾶνες· καὶ γὰρ αἱ ἄνωθεν ἡμῶν ἐπιπολάζουσαι ἀναθυμιάσεις ξηραὶ ἐν θέρει, αἱ μὲν διαλυθεῖσαι πάντη, αἱ δὲ ὑπὸ γῆν καταχθεῖσαι, καὶ ἁπλῶς ἄλλοις καὶ ἄλλοις διασκεδασθεῖσαι μέρεσι τοῦ κόσμου, ἀπηλάθησαν, ὡς καὶ ἀνωτέρω ἐδήλου ὁ Ἡσίοδος, λέγων,

προπάροιθεν Ἑσπερίδων λιγυφώνων·

ἡ γὰρ ξηρὰ ἀναθυμίασις ἅτε κούφη καὶ εὐπετὴς τὸν ἄνω τόπον ζητεῖ, φύσει· ἄνω δέ ἐστι καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον, κἂν ἡ συνήθεια τοῦτο κάτω καλῇ. Τάρταρον οὖν ἠερόεντα δοκεῖ μοι λέγειν ὁ παρὼν ποιητὴς τὸ ὑπὸ γῆν ἡμισφαίριον, ἐν ᾧ καὶ ταραχαί τινες γίνονται ὑπὸ τῶν ἐν αὐτῷ πελαζουσῶν ἀναθυμιάσεων, δι' ἀντιπερίστασιν πάντως τῶν ἐν τῷ ἄνω ἡμισφαιρίῳ. Ἄκμων δὲ χάλκεος ἂν εἴη ἡ ἀπὸ τοῦ μέσου πρὸς τὴν περιφέρειαν τοῦ οὐρανοῦ νοουμένη εὐθεῖα, ἥτις καὶ ἴση ἐστί. Λέγεται δὲ ὅτι ποτὲ ὁ τοῦ Ἡφαίστου ἄκμων πεσὼν ἐκ τοῦ οὐρανοῦ ἐννέα νυχθήμερα ἐφέρετο ἄχρις οὗ τῇ γῇ προσεπέλασε, καὶ αὖθις ἄλλα τοσαῦτα, ἕως εἰς Τάρταρον ἦλθεν ἐκεῖθεν. Αἰνίττεται δὲ τὴν ἴσην διάστασιν τῶν τοῦ οὐρανοῦ μερῶν ἀπὸ τῆς γῆς, ὡς εἴρηται,

τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται·

i) οὖσαν B. k) ἐγγισάντην B.

ὥσπερ γὰρ ἐν τῷ ἄνω ἡμισφαιρίῳ ἔστι μὲν ἀνωτέρω πάντων τῶν στοιχείων τὸ ὑπέκκαυμα, εἶτα ὁ ἀὴρ, [l]) εἶτα τὸ ὕδωρ, εἶτα ἡ γῆ, οὕτω καὶ ἐν τῷ λοιπῷ εἴληχε τάξεως ἡμισφαιρίῳ τὰ στοιχεῖα· κατωτέρω γὰρ ὡς πρὸς ἡμᾶς ἔστιν ὁ αἰθὴρ, ἐν ᾧ οἱ Τιτᾶνες ἐναποκλείονται, ὃν αἰθέρα ὑπὸ γῆν καὶ Τάρταρον οὐδὲν ἄτοπον οἴεσθαι. Εἶτα περὶ αὐτὸν ἐλήλαται χάλκεον ἕρκος, ἤγουν ὁ ἀήρ· χάλκεον γὰρ καλεῖ αὐτὸν, διὰ τὸ διηχὲς καὶ εὔηχον, [m]) ἤ περὶ δὲ νοεῖν δίδωσιν ἡμῖν τὸ τῆς θέσεως τῶν στοιχείων σχῆμα· σφαιρικὰ γὰρ καὶ αὐτὰ, διὰ τὸ τὴν γῆν εἶναι τοιαύτην, καὶ τὸν οὐρανόν. Εὐλόγως δὲ ὁ Ποσειδῶν ἐπιτίθησι θύρας τοῖς Τι-
484 τᾶσι χαλκείας· τῆς γὰρ ὑγρᾶς καὶ ψυχρᾶς ἀναθυμιάσεως ἐπιπολαζούσης ἐν τῷ ὑπὲρ ἡμᾶς ἀέρι, αἱ ξηραὶ ἀναθυμιάσεις κεκώλυνται ἀνιέναι διὰ τοῦ τοιούτου ἀέρος· τεῖχος δὲ νοητέον διεῖργον ἀμφότερα, τὴν γῆν. Σημειωτέον δὲ τί ποτέ ἐστιν ὁ καλούμενος Τάρταρος· κατά γε τέως τὴν ἐμὴν ἀγροικίαν, τὸ ὑπὸ γῆν καλούμενον ὑπέκκαυμα, ἐν ᾧ συνίστασθαι [n]) λόγος ξηρὰς ἀναθυμιάσεις· Τάρταρον δὲ αὐτὸ προσηγόρευσεν ἡ Ἑλληνικὴ αὐτονομία, ἀπὸ τοῦ ταραχάς τινας ἐν αὐτῷ γίνεσθαι τῶν τοιούτων ἀναθυμιάσεων· [o]) ζητοῦσι γὰρ οἷον ἀνιέναι περὶ τὸ ὑπὲρ γῆς ἡμισφαίριον· [p]) διὰ τοῦτο βοαὶ, καὶ ψόφοι ἄσημοι, καὶ παλμοὶ, καὶ ἄλλ' ἅττα τοιαῦτα ἐκεῖ γίνεται. Οὐχ ὡς μὴ γινομένων δὲ καὶ περὶ τὸ ἄνω ἡμισφαίριον καὶ τὸν αἰθέρα τῶν τοιούτων παθημάτων καλεῖται μόνος ἐκεῖνος Τάρταρος, ἀλλ' ὅτι περ οὐκ ἦν ἴδιον ὄνομα αὐτῷ θεῖναι, διὰ τοῦτο ἔδοξε τοῖς παλαιοῖς οὕτως αὐτὸ ὀνοματοθετῆσαι· διαφόροις γὰρ οὖσι τοῖς ἡμισφαιρίοις διάφορα καὶ τὰ ὀνόματα τέθειται· τὸ μὲν ὑπὸ σελήνην, αἰθὴρ καλούμενον, ἢ ὑπέκκαυμα, ἐν ᾧ ἡ τοῦ [q]) πυρὸς φύσις ἐστί· τὸ δ' ὑπὸ γῆν, Τάρταρος.

602. [r]) ἝΤΕΡΟΝ ΔΕ ΠΟΡΕ ΚΑΚΟΝ, ΑΝΤ' ΑΓΑΘΟΙΟ. Ἤγουν τοῦ πυρὸς, ἢ τοῦ μὴ γάμου. Ἢ τοῦτό φησι, οὔ τι μὴ γήμας ἕτερον ἔχει κακὸν, τὸ μὴ γηροβοσκεῖσθαι. Ἢ οὕτως, ἀγαθὸν τὸ μὴ γαμεῖν, ἀλλὰ κακὸν τὸ μὴ ἔχειν γηροβοσκοὺς καὶ κληρονόμους.

l) εἶτα τὸ ὕδωρ accedunt ex B. Trinc.

m) Sic B. Trinc. ἢ περινοεῖν Heins.

n) εὔλογον B.

o) ζητουσῶν οἷον ἀνιέναι—γῆν. B.

p) βοαὶ γὰρ B.

q) παντὸς B.

r) Hinc ad κληρονόμους om. B. Trinc. et male hic repetitum est e Schol. ad h. v.

736. *ΕΝΘΑ ΔΕ ΓΗΣ ΔΝΟΦΕΡΗΣ καὶ τὰ ἑξῆς.* Διὰ τούτων τῶν ἐπῶν τὴν τοῦ Ταρτάρου τάξιν αἰνίττεται ὁ παρὼν ποιητὴς, καὶ τῶν λοιπῶν στοιχείων τῶν ἐν τῷ καλουμένῳ κάτω ἡμισφαιρίῳ· πηγὰς μὲν [s]) γὰρ πάντων ἑξῆς καὶ τὰ πέρατα εἶναί φησι, τὰς ἐν τοῖς οἰκείοις τόποις μονὰς παγίους, καὶ τὰς ὑπ' ἀλλήλων καὶ ἐν ἀλλήλοις περιοχὰς [t]) σφαιρικάς· περατοῦται γὰρ ἡ μὲν γῆ ὑπὸ τοῦ ὕδατος· τοῦτο δὲ ὑπὸ τοῦ ἀέρος. Ἀργαλέα δὲ καὶ εὐρώεντα ταῦτα καλεῖ, καὶ στυγηρὰ τοῖς θεοῖς, παρόσον ἀφανῆ εἰσιν ἡμῖν· ὑπὸ γῆν γὰρ κεκρύφαται. Ἔτι δὲ καὶ τὸ ὑπὸ γῆν αἰνιττόμενος [v]) διάστημα ἄχρι τοῦ ἡμισφαιρίου ἐκείνου ἐπήνεγκε,

χάσμα μέγ', οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτο.

Ἀλλὰ ταῦτα μὲν ὧδέ πη ἐχέτω. Περὶ δὲ τοῦ νυχθημέρου ἑξῆς ἔοικε φιλοσοφεῖν, κἂν οὐ πάνυ ἀκριβέστατα καὶ ὡς οἱ περὶ ταῦτα δεινοὶ διϊσχυρίζονται. Ἔστι δὲ ὅμως ἐκ τῆς περὶ τὴν σφαῖραν τοῦ παντὸς καταγραφῆς τούς τε τροπικοὺς κατιδεῖν κύκλους, καὶ τὸν μεσημβρινὸν, καὶ τὸν ἰσημερινὸν, ἔτι δὲ τὸν ζωδιακὸν, καὶ τὴν τούτου λόξωσιν. Εὐφυέστατα δὲ [w]) καὶ περὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ὑποκεκαλυμμένα διέξεισι, καὶ ὡς προσῆκε ποιητικῇ χάριτι. Τὸ γὰρ παρεισάγειν δώματα τῆς 485 νυκτὸς νεφέλαις ὑποκεκαλυμμένα, καὶ ἔμπροσθεν αὐτῶν ἵστασθαι τὸν Ἄτλαντα βαστάζοντα τὸν οὐρανὸν καὶ ἀλλήλαις ἐντεῦθεν συναντᾶν τὴν ἡμέραν καὶ τὴν νύκτα, καὶ ἀμείβεσθαι ἑτέραν ὑφ' ἑτέρας, χαριέντως πάντως τήν τε τῆς νυκτὸς φύσιν δηλοῖ, ὅτι στέρησις φωτός ἐστι τοῦ ἡλιακοῦ, καὶ ὅτι τῇ περὶ τὸν ἄξονα περιφορᾷ τοῦ παντὸς ἐπιγίνεται, τοῦ μὲν ἄνω ἡμέρας οὔσης ἡμισφαιρίου, ἐν ᾧ ὁ ἥλιος, κατιόντος κάτω, κἀκείνου τοῦ ὑπὸ γῆν ἀνιόντος· οὐδέποτε γὰρ εἰς ταυτὸ συντρέχουσιν ἅμα ἥ τε στέρησις, καὶ τὸ οὗ ἐστιν ἡ στέρησις· ἡ γὰρ νὺξ τῇ ἀπουσίᾳ τῆς ἡμέρας γίνεται· καὶ εἰ ὁ ἥλιος ὑπὲρ [x]) γῆς ἐστιν, ἡμέρα ἐστὶν, εἰ δ' ὑπὸ γῆν, νύξ. Μεγαλεπιβολώτατα δὲ καὶ τὰ περὶ τὸν Ἄτλαντα παραδέδοται [y]) ταῖς ποιητικαῖς Μού-

s) γὰρ et mox τὰ om. B.
t) σφαιρίας B.
v) ἀνάστημα B. Mox indoles linguae scribendum docet, κἂν μὴ — διϊσχυρίζωνται. Sed saepe in talibus peccat I. Diaconus.
w) καὶ et mox ὑποκεκαλυμμένα om. B.
x) γῆν B.
y) τοῖς ποιηταῖς sine Μούσαις B.

σαις· τὸν γὰρ Ἄτλαντα παρεισάγουσιν ἔχειν τὸν οὐρανὸν, καὶ ἐρείδειν κεφαλῇ τε καὶ χείρεσιν ἑστῶτα ἀστεμφῶς· ὁ γάρ τοι ἄξων ἀπὸ τοῦ κέντρου τοῦ ἀρκτικοῦ κύκλου διήκων [z]) διὰ τοῦ κέντρου τῆς σφαίρας ἕως τοῦ κέντρου τοῦ μεσημβρινοῦ κύκλου, συνέχει τὸν οὐρανὸν περὶ αὐτὸν δινούμενον· ἔδει γὰρ τοῖς κινουμένοις τῶν σωμάτων καὶ ἀκινήτου τινὸς, ἑδράσεως καὶ στηριγμοῦ ἕνεκα, ὡς πολλάκις εἴρηται παρ' ἡμῶν· ἅ τινα δὴ κέντρα, τὸ μὲν τῆς τοῦ παντὸς σφαίρας ἐν μεσαιτάτῳ ὂν καὶ [a]) ὡς συνεκτικώτερον, κεφαλὴν ὁ λόγος καλεῖ· τὰ δὲ τῶν κύκλων τῶν εἰρημένων, ὡς οἷον ὑφηπλωμένης τινὸς ἐπ' αὐτὰ δυνάμεως συνεκτικῆς ἀπὸ τοῦ ἐν μέσῳ κέντρου, καὶ ὡς παρεχόντων καὶ αὐτῶν συνοχήν τινα τῷ παντὶ καὶ ἐνέργειαν ἀεικινησίας, ἀτρέστως ὀνομάζειν ἐθέλει χεῖρας. Ἄτλαντα δὲ τὸν ἄξονα προσαγορεύουσι, τάχα διὰ τὸ καρτερώτατον εἶναι καὶ γενναῖον τὸν πάντα οὐρανὸν ἐρείδοντα καὶ συνέχοντα· μήποτε δὲ διὰ τοῦ τοιούτου ὀνόματος παρεμφαίνουσι τὸ ἰσοδιάστατον τοῦ παντὸς οὐρανοῦ ἀπὸ τοῦ τῆς σφαίρας κέντρου, ἐν ᾧ ὁ ἄξων ἐμβέβληται ἀτάλαντος ὤν τις καὶ ἰσόῤῥοπος, καὶ οἶμαι ὅτι καὶ Ἄρατος τοῦτο δηλοῖ, λέγων,

Αὐτὰρ ὅτ' οὐκ ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ' αἰεὶ
Ἄξων [b]) αἰὲν ἄρηρεν. Ἔχει δ' ἀτάλαντον ἁπάντη
Μεσσηγὺς γαῖαν, περὶ δ' οὐρανὸς αὐτὸς ἀγινεῖ.

Καὶ χαλκέον δὲ μέγαν οὐδὸν ἀκουστέον, τὸν ἀέρα· χαλκέον γὰρ αὐτὸν καλεῖ, διὰ τὸ διηχὲς, περὶ αὐτὸν δὲ τὸν ἀέρα, ἥ τε ἡμέρα καὶ ἡ νὺξ ἐπιγίνονται, ἡ μὲν καταφωτίζουσα, ἡ δὲ ἐπιζοφοῦσα. Σαφῶς δὲ τὰ ἑξῆς ἔχει τῶν ἐπῶν, καὶ οὐ δεῖ μακρηγορεῖν ἐν τούτοις. Εἴρηται δὲ ἀνωτέρω ἡμῖν καὶ περὶ τοῦ Κερβέρου. Εἰ δὲ καὶ περὶ τῆς Στυγὸς προφθάσαντες εἴπομεν ἐκεῖ, ἀλλ' οὖν γε πάλιν τὸν λόγον ἀναλαβόντες δείξομεν ὅπως αὐτῆς ἐμνήσθη ὁ Ἡσίοδος, καὶ τί βούλεται τὰ περὶ αὐτῆς αὐτῷ νῦν λεγόμενα. Τὴν Στύγα, φησὶ, κατοικεῖν χωρὶς τῶν ἄλλων
486 θεῶν ἐν ᾅδῃ, εἰς δώματα πυκνὰ μὲν καὶ εὖ ἡρμοσμένα λίθοις καὶ πέτραις μακραῖς, κίοσι δὲ ἀργαλέοις πρὸς οὐρανὸν ἐστηριγμένα. Δῆλον οὖν ἐστιν ἐντεῦθεν, ὅτι Στύγα λέγει νῦν, τοὺς σταλαγμοὺς τῶν ὑδάτων, καὶ τὰς ψεκάδας τὰς ἀπὸ τῶν κάτω τόπων ἀναδιδομένας, περὶ τὸν ὑπὲρ [c]) γῆς ἀέρα, καὶ ποιούσας

z) διὰ μέσου τοῦ B. Trinc.
a) ὡς addidi ex B.
b) διιῶν B. Trinc.
c) γῆν B. et mox Ἴριδα.

ἶριν καὶ ἕτερα τινά. Ὥσπερ γὰρ ἀπὸ τοῦ νύσσω νύξω νὺξ, οὕτως ἀπὸ τοῦ στάζω στάξω στὰξ, καὶ τροπῇ τοῦ ᾱ εἰς ῡ, Στὺξ, ἡ καταστάζουσα ἄνωθεν ὑγρὰ φύσις καὶ δροσερὰ, ἥτις εὐλόγως θυγάτηρ λέγεται τοῦ ἀψοῤῥόου Ὠκεανοῦ· μενούσης γὰρ τῆς γῆς ἐν τῷ μέσῳ, τὸ περὶ αὐτὴν ὑγρὸν ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων καὶ ὑπὸ τῆς ἄλλης τῆς ἄνωθεν θερμότητος ἀτμιδούμενον φέρεται ἄνω· τῆς δὲ θερμότητος [d]) ἐπιλιπούσης τῆς ἀναγούσης αὐτὸ, καὶ τῆς μὲν διασκεδαννυμένης πρὸς τὸν ἄνω τόπον, τῆς δὲ καὶ σβεννυμένης διὰ τὸ [e]) μετεωρίζεσθαι ποῤῥωτέρω εἰς τὸν ὑπὲρ γῆς ἀέρα, συνίσταται πάλιν ἡ ἀτμὶς ψυχομένη, διά τε τὴν ἀπόλειψιν τοῦ θερμοῦ, καὶ διὰ τὸν τόπον, καὶ γίνεται ὕδωρ ἐξ ἀέρος· γενόμενον δὲ πάλιν φέρεται πρὸς τὴν γῆν. Γίνεται δὲ κύκλος οὗτος, μιμούμενος τὸν τοῦ ἡλίου κύκλον· ἅμα γὰρ ἐκεῖνος εἰς τὰ πλάγια μεταβάλλει, καὶ οὗτος ἄνω καὶ κάτω· διὸ καὶ ἀψοῤῥόον ὠκεανὸν τὴν τοιαύτην ὑγρὰν ἀναθυμίασιν ὠνόμασεν ὁ ποιητής· ἀψοῤῥόον μὲν, διότι πάλιν καταῤῥέει εἰς γῆν ἀνελθοῦσα καὶ μετεωρισθεῖσα· ὠκεανὸν δὲ, τάχα μὲν διὰ τὸ ταχὺ τῆς ἀναγωγῆς, καὶ αὖ τῆς καταφορᾶς εἰς τὴν γῆν, τάχα δὲ καὶ διὰ τὸ κυκλοτερῶς ἔχειν τὴν ἄνοδον καὶ τὴν κάθοδον τῆς εἰρημένης συστάσεως, καὶ ἐνδελεχῶς τοῦτο γίνεσθαι ὀφείλειν κατά γε τὴν τάξιν. Ὃ γὰρ ἄνεισιν ὑγρὸν εἰς τὸν ὑπὲρ γῆς τόπον, τοῦτο κατιέναι πάλιν εὔλογον· διὸ καὶ Ἀριστοτέλης, εἴτ' ἐντεῦθεν ὁδηγηθεὶς, εἴτε καὶ σφετερισάμενος ἀπὸ τοῦ παρόντος ποιητοῦ τὰ περὶ ὄμβρων καὶ χαλαζῶν καὶ ἀναθυμιάσεων, τάδε φησὶν ἐν τῷ πρώτῳ τῶν μετεώρων· Δεῖ δὲ νοῆσαι τοῦτον ὥσπερ ποταμὸν ῥέοντα κύκλῳ, ἄνω καὶ κάτω κοινὸν ἀέρος καὶ ὕδατος. Πλησίον μὲν γὰρ ὄντος τοῦ ἡλίου, ὁ τῆς ἀτμίδος ἄνωθεν ῥεῖ ποταμὸς, ἀφισταμένου δὲ ὁ τοῦ ὕδατος ῥεῖ κάτω. Ὥστ' εἴπερ ᾐνίττοντο τὸν ὠκεανὸν οἱ πρότερον, τάχ' ἂν τοῦτον τὸν ποταμὸν λέγοιεν, τὸν κύκλῳ ῥέοντα περὶ τὴν γῆν.

777. Τὰ δὲ τῆς Στυγὸς δώματα κατηρεφέα μὲν ὑπὸ μακρῶν πετρῶν παραδίδονται, καὶ ὑπὸ κιόνων μετεωριζόμενα

d) ἀπολιπούσης — αὐτὰ B. ἀπολιπούσης etiam Aristoteles Meteor. I. 9. cujus haec sunt a μενούσης τῆς γῆς ad ἄνω καὶ κάτω. et paullo post a Δεῖ δὲ νοῆσαι ad περὶ τὴν γῆν.

e) ἀρύεσθαι B. et mox γῆν, et sic paullo infra. Dedi μετεωρίζεσθαι ex Aristotele. Vulgo μερίζεσθαι.

μακρῶν ἄχρι τοῦ οὐρανοῦ, διὰ τὸ ἐκ πετρῶν μᾶλλον καταῤῥέειν τὰ ὕδατα, καὶ ἐντεῦθεν ἀναδίδοσθαι τὴν εἰρημένην ἀναθυμίασιν, καὶ πρὸς οὐρανὸν ἀνάγεσθαι, καὶ ποιεῖν νέφη καὶ ὄμβρους, καὶ ὁμίχλην, καὶ χάλαζαν. Τὸν γὰρ μεταξὺ τῆς γῆς καὶ τοῦ καλουμένου αἰθέρος τόπον πληροῖ διαφόρων παθημάτων ἡ ἀναδιδομένη ἀτμίς.

780. *ΠΑΥΡΑ ΔΕ ΘΑΥΜΑΝΤΟΣ ΘΥΓΑΤΗΡ.* Διὰ
487 τούτων τῶν ἐπῶν καὶ τῶν ἑξῆς, ἔοικε φιλοσοφεῖν περὶ Ἴριδος, οὐκ [f]) ἐπιστημονικώτατα δὲ, οὐδὲ πάνυ ἀκριβῶς, καθὼς καὶ ὁ Ἀριστοτέλης ἐποίησεν ἐν τῷ τρίτῳ τῶν μετεώρων, ἀλλ' ὅσον προσῆκε ποιητῇ ἀνδρὶ καὶ ἀρχαίῳ σοφῷ. Διὸ καὶ εἴ τι φαίνεται ἀπᾴδων τοῦ ἀληθοῦς, συγχωρητέον αὐτῷ διὰ τὴν ἀρχαιότητα, οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν ἄλλοις. Χάρις δ' οὖν ὅμως εἰπόντι τῷ ἀνδρὶ καὶ ὁδηγήσαντι τοὺς μετ' αὐτόν. Ὀλιγάκις, φησὶν, ἡ Ἶρις ἀναστρέφεται περὶ τὴν θάλασσαν, καὶ ἄνωθεν τῶν νώτων αὐτῆς φαίνεται, καὶ ὅταν οἱ θεοὶ ἐρίζουσι πρὸς ἀλλήλους, ὅταν μάχη τις ἐν τοῖς στοιχείοις ἐστὶ (ταῦτα γὰρ θεοὺς νῦν καλεῖ) τότε φαίνεται ἡ Ἶρις ἐν τοῖς μετεώροις, καὶ πέμπεται παρὰ τοῦ Διὸς ἄγγελος τῆς τοῦ κόσμου συστάσεως. Χρυσέην δὲ προχοὴν καὶ πολυώνυμον ὕδωρ ἀκουστέον, τὸ χρυσίζον τῆς Ἴριδος μέρος, καὶ τὸ πολύχρουν αὐτῆς, ὅπερ ἐξ ὕδατος ἔχει τὴν σύστασιν ψεκάζοντος· [g]) τὸ μὲν γὰρ αὐτῆς φοινικοῦν λέγεται, τὸ δὲ πράσινον, τὸ δὲ ἁλουργόν· διὸ καὶ πολυώνυμον ὕδωρ αὐτὴν ὁ παρὼν ποιητὴς ὀνομάζει. Ἀναδίδοται δὲ τοῦτο ἐκ πετρῶν ἠλιβάτων, καὶ ἀπὸ θαλάττης, καὶ ἀπὸ γῆς, διὰ νύκτα μέλαιναν, ἢ ἀοράτως καὶ ἀνεπαισθήτως ἡμῖν, ἢ μάλιστα νυκτὸς, διὰ τὸ τὴν σελήνην ἀνάγειν ταῖς ἑαυτῆς ἀκτῖσι τὴν δίυγρον ἀτμίδα. Τὸ δὲ,

Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης,
Δίνῃς ἀργυρέῃς εἰλιγμένον εἰς ἅλα πίπτει,
Ἡ δὲ μί' ἐκ πέτρης προρέει, —

τοιαύτην ἔχει τὴν ἔννοιαν, ὡς οὐχ ὡσαύτως ἀπό τε τῆς γῆς καὶ τῆς θαλάσσης οἰητέον ἀνάγεσθαι ἀναθυμίασιν περὶ τὸν ὑπὲρ γῆς ἀέρα, ὅση ἄνεισιν ἀπὸ τῶν πετρῶν, καὶ τῶν καταῤῥεόντων ἐξ αὐτῶν ὑδάτων· ἀλλ' ἐκεῖθεν μὲν, διὰ τὸ ἐφηπλῶσθαι

f) Sic B. Vulgo ἐπιστημονικωτάτως — πάντως α. κ. Α. Mox ἀνδρὶ om. B.

g) τὶ ter pro τὸ B.

τὴν θάλασσαν, καὶ τοὺς ποταμοὺς [h])προχεῖσθαι, ἐνναπλάσιος ἄνεισιν ἡ αναθυμίασις· ἐντεῦθεν δὲ ἀπὸ τῶν κρηνῶν καὶ τῶν ἐν σπηλαίοις ὑδάτων [i]) ἐνναπλάσιος καὶ ὀλίγη· ἡρμήνευσαν δέ τινες τὰ ἔπη ταῦτα οὕτως, ὡς διὰ τούτων περὶ τοῦ σχήματος τῆς Ἴριδος διαλαμβάνει. Εἰ γὰρ καὶ Ἀριστοτέλης δείκνυσιν ἐν τῷ τρίτῳ [k]) τῶν μετεώρων, ὡς οὔτε κύκλος ἐστὶν, οὔτε μεῖζον ἡμικυκλίου τὸ τῆς Ἴριδος σχῆμα, ἀλλ' ἢ ἡμικύκλιον, ἢ ἔλαττον ἡμικυκλίου, ἀλλ' οὖν φασιν ἔνιοι, ὡς μεῖζον ἡμικυκλίου πολλῷ τοῦτο εἶναι, τὸν παρόντα ποιητὴν μάρτυρα ἐπάγοντες· λέγει γὰρ, ὡς εἴ τις νοήσει κύκλον, καὶ εἰς δέκα τμήματα αὐτὸν τέμῃ, τὰ μὲν ἐννέα ὑπὲρ [l]) γῆς ἔσονται· τὸ δὲ ἓν τμῆμα, ὑπὸ γῆν. Μεταῤῥυθμίζουσι δὲ τὴν λέξιν, καὶ τὸ ἐκ πέτρης προρέει, ἀντὶ τοῦ ὑπὸ πέτραν καὶ ὑπὸ γῆν κρύπτεται, ἀξιοῦσι λέγειν.

792. ΜΕΓΑ ΠΗΜΑ ΠΡΟΡΕΕΙ ΘΝΗΤΟΙΣΙ, καὶ τὰ ἑξῆς. Ἐντεῦθεν ἀπ' ἄλλης ἀρχῆς τὰ περὶ τοὺς ἐπιόρκους συμβαίνοντα καταλέγει, [m]) δεικνὺς ἡμῖν ὁπόσον κακόν ἐστι τὸ ἐπιορ- 488 κεῖν, καὶ ψεύδεσθαι. Χρὴ γὰρ στίξαντας τελείαν εἰς τὸ ΠΡΟΡΕΕΙ, τὰ ἑξῆς ἀπ' ἄλλης ἀρχῆς ἀκοῦσαι, ἠθικωτέρως ἡμῖν τὸν νοῦν ῥυθμίζοντα, καὶ πρὸς τὸ εὐσεβέστερον μετάγοντα. ΜΕΓΑ ΠΗΜΑ ΘΝΗΤΟΙΣΙΝ ῞ΟΣ ΚΕ ΤΗΝ ΕΠΙΟΡΚΟΝ ΑΠΟΛΕΙΨΑΣ ΕΠΟΜΟΣΣΗ. Τὴν Ἴριδα λέγει, ἢ τὴν Στύγα, μέγα πῆμα τοῖς ἐπιόρκοις εἶναι· εἰ γὰρ ψευδῶς τὶς ἐπ' αὐτὴν ὀμόσει, σπονδὰς πρότερον ποιησάμενος καὶ συνθεσίας (τοῦτο γὰρ δηλοῖ διὰ τοῦ, ΑΠΟΛΕΙΨΑΣ) κεῖται ἄταφος μέχρι πολλοῦ [n]) ἐπὰν δὴ τεθναίη· εἰ δὲ καὶ ζώῃ, ἀκοινώνητος τυγχάνει καὶ τροφῆς καὶ πόσεως καὶ οὐδενὶ πρόσιτός ἐστιν εἰς τράπεζαν.

ἀλλά τε κεῖται ἀνάπνευστος, καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι,

παραφρονῶν ἐστιν ὅτε καὶ οὐχ ὑπνώττων, ἀλλὰ κατεχόμενος κάρῳ, καὶ ἐπιπολὺ ἐταζόμενος ὑπὸ τῶν Ἐριννύων, καὶ μακρονοσῶν, εἶθ' ὕστερον πάλιν ἰώμενος, καὶ ἀνακτώμενος [o]) ἐπὶ τὴν προτέραν κατάστασιν. Φιλάνθρωπον γὰρ ἡ πρόνοια, καὶ οὐκ

h) προκεῖσθαι B. Trinc.
i) ὑποενναπλάσιος B. Trinc.
k) Cap. 5.
l) γῆν B.
m) δεικνύων B.
n) ἐπειδὰν B.
o) ἐπὶ deest B. spatio vacuo relicto.

ἀπογινώσκειν τέλεον παρασκευάζει τοὺς εὐσεβοῦντας, δι' ὧν ἄρα σοφῶς τὴν ἑαυτῆς προμήθειαν δείκνυσι. Μαρτυρεῖ δὲ [p] *μοι τῷ λόγῳ ὁ τοῦ Ἀγαμέμνονος Ὀρέστης, καὶ εἴ τις ἄλλος τοῖς ἀτοπήμασιν ἔνοχος γέγονε. Τί δὲ δή ποτε εἰς τὴν Στύγα ὀμνύειν τοὺς θεοὺς λέγεται; ἐμοὶ δοκεῖ, ὡς δηλοῦται διὰ τούτου ἡμῖν, ὅτι στυγοῦνται ὑπὸ θεῶν οἱ ὀμνύοντες καὶ ὑπ' ἀνθρώπων, ὥσπερ δὴ ἀνωτέρω προείρηκα, ἢ ὅτι πρεσβύτερον ὂν τῶν ἄλλων στοιχείων τὸ ὕδωρ κατά τε Ἡσίοδον, καὶ ἐνίους τῶν παλαιῶν, εἰκότως εἰς ὅρκον αὐτοῖς προὔκειτο.*

805. ΤΟΙΟΝ ΑΡ' ὍΡΚΟΝ ΕΘΕΝΤΟ ΘΕΟΙ. *Ἢ γοῦν διὰ τὸ πρεσβύτερον εἶναι τὸ ὕδωρ, εἰς ὅρκον αὐτοῖς παρελαμβάνετο, ἢ διὰ τὸ πολύχρηστον, καὶ πολλὰς ἔχειν ἐνεργείας, ἢ Στύγα δοκεῖ λέγειν, τὸ καταῤῥέον ὕδωρ ἀπὸ τῆς Ἴριδος διαλυομένης ἤδη καὶ σκεδαννυμένης ὑπὸ* [q] *τῶν τοῦ ἡλίου ἀκτίνων, καὶ ὑπὸ τῆς ὁμίχλης, ὡσανεὶ τοῦτο παιδεύοντος ἡμᾶς τοῦ λόγου, ὡς ἄρα διαλυθείη ὁ τὸν ὅρκον παραθραύσων οὕτως ὡς διαλύεται καὶ διασκεδάννυται ἡ καταῤῥέουσα τῆς Ἴριδος δρόσος ἢ ψεκανώδης. Τὸν δὲ Βριάρεων ὁ Ποσειδῶν ποιεῖται γαμβρὸν, καὶ δίδωσιν αὐτῷ τὴν Κυμοπόλειαν, παρόσον ἡ τῶν κυμάτων κίνησις ἔστιν ὅτε σφοδροτέρα γίνεται καὶ βριαρωτέρα ὑπὸ πνευμάτων, οἷον αὐτῇ συνερχομένων. Μετὰ δὲ τὸ τοὺς Τιτᾶνας ὑπὸ τοῦ Διὸς καταβληθῆναι εἰς Τάρταρον, ὁ Τυφωεὺς ἐκ τῆς γῆς νεώτερος παραδίδοται γεννηθῆναι, συνελθούσης τῷ Ταρτάρῳ, καὶ τὰ ἑξῆς τῶν ἐπῶν·* [r] *ὄντος γὰρ μετὰ τὸ ἀπελαθῆναι τοῦ περὶ ἡμᾶς ἀέρος τὴν ἀτμιδώδη πᾶσαν ἀναθυμίασιν, καὶ ὑπὸ γῆν ἐμβληθῆναι καὶ τῷ λεγομένῳ κάτω ἡμισφαιρίῳ προσπελάσαι, ἐπιγίνονται, καθὼς οἴεται ὁ παρὼν ποιητὴς,*
489 *τυφῶνες καὶ ἐκνεφίαι δεινοὶ, κλονοῦντες τὴν γῆν καὶ ἐκδειματοῦντες ἡμᾶς ταῖς ἀτάκτοις αὐτῶν ὁρμαῖς, καὶ ἐκκυκῶντες οὐ γῆν μόνον, ἀλλὰ μικροῦ δεῖν καὶ τὸν ἅπαντα κόσμον σπαράσσοντες· διὸ καὶ ὡς τοιαῦτα ἐνεργοῦντες, εἰκότως ἑκατογκέφαλοι λέγονται, καὶ πολύχειρες, καὶ* [s] *πολύφωνοι, ποτὲ μὲν ὡς λέοντες ὠρυόμενοι, ἄλλοτε δὲ ὡς ταῦροι μυκώμενοι· ποτὲ δὲ ὡς κύνες ἀναιδῶς ὑλακτοῦντες. Ἔστι δὲ ὁ τυφὼν, πνεῦμα παχύτερον ἐν νέφεσιν ἀποκεκλεισμένον, καὶ διὰ τὴν ἀντίκρουσιν*

p) μοῦ B. et mox αὐτοῖς pro τοῖς.

q) τῶν ἡλίου ἀλέων καὶ ἀπὸ B.

r) ἢ γὰρ οὐχὶ μετὰ B.

s) Sic B. Vulgo πολύφωνες.

τῆς δίνης ἐπὶ γῆς φερομένην ἔχον τὴν ἕλικα, συγκατάγουσαν τὸ νέφος μὴ δυναμένην ἀπολυθῆναι. Ὅπου δὲ κατ' εὐθυωρίαν ἐκπνεῖ, ἐνταῦθα τῷ πνεύματι κινεῖ, καὶ τῇ κύκλῳ κινήσει στρέφει, καὶ ἀναφέρει ᾧ ἂν προσπέσῃ βιαζόμενον. Ἀλλὰ τοῦτο τὸ ἐνοχλοῦν παχὺ πνεῦμα κατασπασθὲν, καὶ λεπτομερέστερον ἑαυτοῦ γεγονὸς τῇ ἐκπυρώσει, καὶ τὸν ἀέρα χρωματίσαν, ἔτι δὲ ἐν αὐτῷ τῷ νέφει πολὺ καὶ λεπτὸν ἐκθλιβὲν, πρηστὴρ καὶ κεραυνὸς γίνεται. Ἔνθεν τοι καὶ εὐλόγως λέγεται διὰ ταῦτα, ὡς ὁ Τυφωεὺς βασιλεῦσαι μέλλων τοῦδε τοῦ παντὸς ἐκωλύθη ὑπὸ τοῦ Διὸς ἐγνωκότος τὴν αὐτοῦ μηχανὴν, καὶ [t]) ἀναλαβόντος τὰ αὐτοῦ βέλη, καὶ καταβαλόντος αὐτὸν, βροντῇ τε καὶ ἀστραπῇ καὶ κεραυνῷ. Τάχα γὰρ ἂν ἀνεκύκησε πάντα τὸν κόσμον καὶ ἠφάνισεν ἐπικρατῆσαν τὸ τοιοῦτον πνεῦμα, εἰ μὴ διεκρίθη ὑπὸ τῆς πάντα διοικούσης εὐλόγως προνοίας εἰς κεραυνούς τε καὶ πρηστῆρας, καὶ ἀνέμους, καὶ οὕτως ἠλαττώθη καὶ οὕτως ἀπεδυναμώθη· ἢ ἀπὸ τῆς ἐνούσης τῷ νέφει ξηρᾶς ἀναθυμιάσεως ἰσχυρᾶς γεγονυίας τῇ ἐκτρίψει, καὶ οἷον μένος ἀναλαβούσης, καὶ τὴν ἀστραπὴν καὶ τὸν κεραυνὸν ποιησάσης, διεσπάσθη καὶ ἀπεγυώθη τὸ Τυφωνικὸν ἐκεῖνο πνεῦμα. Ἔοικε δὲ ὁ Ἡσίοδος ὑπὸ γῆν οἴεσθαι γίνεσθαι τὸν Τυφῶνα, παρόσον αὐτὸν λέγει ἐκ γῆς καὶ Ταρτάρου γεννηθῆναι, οἱ δὲ ὕστερον [v]) ὑπὲρ γῆς διϊσχυρίζονται ἐν τῷ ὑπὲρ ἡμᾶς ἀέρι γίνεσθαι τοῦτον. Τί δὲ βούλεται παρ' αὐτῷ, τὸ

διὰ χρυσῆν Ἀφροδίτην;

Οἶμαι τὴν τοῦ εἶναι ἔφεσιν· ἅπαντα γὰρ τοῦ εἶναι ἐφίεται, κἂν τὰ μὲν μᾶλλον καὶ ἐπιπολὺ, τὰ δὲ οὐχ οὕτω. Καὶ ὁ Τυφὼν οὖν τοῦ εἶναι ἐφίεται, καὶ ἡ χάλαζα, καὶ ἡ ὁμίχλη, καὶ πάντα τὰ ὑπὸ φύσεως, ἢ φυσικῶς γινόμενα. Δράκοντι δὲ αὐτὸν παρείκασε διὰ τὸ ἀηδῆ εἶναι καὶ πικρὸν τοῖς ἀνθρώποις, καὶ θανάσιμον, ἢ διὰ τὸν συριγμόν· λέοντι δὲ καὶ ταύρῳ, διά τε τὸ ἰσχυρὸν καὶ τὸ θορυβῶδες· κυνὶ δὲ, διὰ τὸ ἀηδὲς καὶ [w]) ἔστιν ὅτε λιγύφωνον.

869. ΕΚ ΔΕ ΤΥΦΩΕΩΣ. Τάχα ἐκ τοῦ Τυφωέως οἴεται τοὺς ἀνέμους εἶναι, εἰ μὴ καὶ πάντας, διὰ τὸ διαλυθέντος τοῦ παχέος ἐκείνου [x]) πνεύματος, συνίστασθαι τοὺς βλαπτικοὺς

t) ἐκείνου καταλαβόντος B.
v) ὕπερ γῆν διϊσχυριζόμενοι λέγουσι B.
w) ἔστιν ὅτε καὶ διὰ τὸ B.
x) πνεύματος om. B.

τῶν ἀνέμων. Πιθανῶς δὲ τὰ τοιαῦτα λέγει, καὶ τοῦτο δὴ κατὰ ποιητικὴν ἄδειαν· οὐ γάρ εἰσιν ἐκ τοῦ Τυφωέως οἱ ἄνεμοι, ἀλλ' ἐξ οὐρανοῦ καὶ τῆς γῆς· ξηρᾶς [y]) γὰρ ἐκ γῆς ἀναθυμιάσεως πλῆθος περὶ γῆν κινούμενον τῆς μὲν κινήσεως ἀρχὴν ἔχει ἄνωθεν ἀπὸ τοῦ ἡλίου, τῆς δὲ ὕλης καὶ τῆς γενέσεως κάτωθεν. [z])Ἐπεὶ δὲ παρ' Ἡσιόδῳ εἴρηται τὸ ὑγρὸν ἀέντων, φαμὲν, ὅτι εἰ καὶ ἀπὸ ξηρᾶς ἀναθυμιάσεως τὴν σύστασιν οἱ ἄνεμοι ἔχουσι, καὶ διὰ ταῦτο ὤφειλον ψυχροὶ μὴ δοκεῖν ἡμῖν, ἀλλ' οὖν ἐπειδήπερ ὁ ἀὴρ πλήρης ἐστὶν ὑγρᾶς καὶ [a]) ψυχρᾶς ἀτμίδος ὁ ὑπ' αὐτῶν μεταῤῥιπιζόμενος, καὶ εἰς ἡμᾶς μεταφερόμενος, διὰ τοῦτο κἀκεῖνοι ψυχροὶ καὶ ὑγροί πως δοκοῦσιν εἶναι.

886. ΖΕΥΣ ΔΕ ΘΕΩΝ ΒΑΣΙΛΕΥΣ, ΠΡΩΤΗΝ ΑΛΟΧΟΝ ΘΕΤΟ ΜΗΤΙΝ· καὶ ἔγκυον ταύτην ποιησάμενος καταπίνει αὐτήν· ἵνα μὴ ἄλλος τὶς τῶν θεῶν ἀποκυηθείη παρ' αὐτῆς ἀναιδὴς καὶ ἀτάσθαλος. Καὶ ταύτην καταπιὼν ἀποτίκτει ἐκ τῆς ἑαυτοῦ κεφαλῆς τὴν Τριττογένειαν Ἀθηνᾶν, τὴν καὶ ἀγέστρατον, καὶ ἀτρυτώνην, καὶ [b]) ἀγελείην καλουμένην. Ἡ γὰρ οὐχὶ καὶ ἡ ἐν ἡμῖν βουλὴ ὑπὸ διανοίας καὶ λόγου ἐλλαμφθεῖσα, καὶ τὸ ὀρθὸν ἐπιγνοῦσα, τὴν εὐβουλίαν ἀποτίκτει, ὀρθοτάτην οὖσαν κατὰ τὸ συμφέρον πρός τι τέλος, καθὰ δοκεῖ τῷ Σταγειρίτῃ, οὗ τινος συμφέροντος ἡ ἀληθὴς ὑπόληψις φρόνησίς ἐστιν. Εὐλόγως δὲ ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ὁ Ζεὺς λέγεται τὴν Ἀθηνᾶν γεννῆσαι, διότι ἡ φρόνησις ἐξ ἐμπειρίας ἐστίν· ἡ δ' ἐμπειρία, ἐξ αἰσθήσεων· αὗται δὲ πέριξ τῆς κεφαλῆς εἰσιν, εἰσάγουσαι τὰ αἰσθήματα καὶ τῶν καθ' ἕκαστον [c]) πράξεων τὰ εἴδη· περὶ πράξεις γὰρ ἡ φρόνησις, καὶ περὶ τὰ καθ' ἕκαστα καταγίνεται πλέον. Ὁ δ' ὑπὸ τοῦ Διὸς κωλυθεὶς γεννηθῆναι ἐκ τῆς Μήτιδος παῖς ὑπέρβιον ἦτορ ἔχων, πάντως ἡ κακοβουλία ἐστὶ, καὶ ἡ ἐξ αὐτῆς φαύλη πρᾶξις. Τάχα γὰρ ἐκ τῆς βουλῆς μήπω τῷ λόγῳ συνελθούσης καὶ τῇ ὀρθότητι τῆς διανοίας ἀποτίκτεται τὰ φαῦλα βουλεύματα, καὶ αἱ τοιαῦται πράξεις· ἐπὰν δὲ ἡ τοῦ λόγου [d]) ἔκλαμψις τῇ βουλῇ προσγένηται καὶ σφετερίσηται ταύτην ὁ λόγος ἔνδον, τοῖς οἰκείοις

y) γὰρ ὄντες B. et mox ἔχουσιν. Ibid. ἀπὸ om. et paullo post l. γυνήσεως.

z) καλῶς δὲ B. pro ἐπεὶ et mox εἰ γὰρ pro φαμὲν, ὅτι εἰ.

a) ὑγρᾶς B.

b) ἀγελίαν B. Mox ἧ pro ἡ et ἡ ἐν om. B.

c) πραγμάτων B.

d) ἔλλαμψις B. et sic infra. ἔλλαμψις Trinc. ἔλλαμψις infra.

ὅροις περικλείσας, τότε δὴ συνίστησιν ἐκείνη ἀγαθόν τε κακόν τε, καὶ διακρίνει τὸ χεῖρον ἀπὸ τοῦ [e])κρείττονος, κριτική τε οὖσα, καὶ ὑπερκαθημένη τῆς κοινῆς λεγομένης αἰσθήσεως. Μῆτιν οὖν ὁ λόγος τὴν βουλὴν προσαγορεύει· Δία δὲ τὸν λόγον τὸν ἐν ἡμῖν, καὶ τὴν ἐκ τοῦ νοῦ ἔκλαμψιν, ὧν συνελθόντων ἡ Ἀθηνᾶ ἀποτίκτεται, τουτέστιν ἡ εὐβουλία, καὶ ἡ φρόνησις. Ἀλλ' ἐκ τῆς κεφαλῆς τοῦ Διὸς προκαταπεπωκότος ἐν τῇ οἰκείᾳ νηδύϊ τὴν Μῆτιν, τουτέστι προορίσαντος τὴν βουλὴν τὴν εἰς πολλὰ ὁρμῶσαν, καὶ τῇ ἐξ αὐτοῦ ἐκλάμψει ἰθυτενῶς καὶ ἀκλινῶς πρὸς τὸ δέον αὐτὴν παρασκευασαμένου ὁρμᾶν, ἥν τινα δὴ φρόνησιν, καὶ ἀγελείαν, καὶ ἀγέστρατον, καὶ τριττογένειαν 491 ὀνομάζει ὁ ποιητὴς ἴσον ἔχουσαν τῷ πατρὶ μένος καὶ ἐπίφρονα βουλήν. Τριττογένειαν μὲν, ὅτι ἀπὸ τῆς τριττοῦς γεννᾶται. Τριττὼ γὰρ ἡ κεφαλὴ κατὰ διάλεκτον. Ἴσον δὲ μένος ἔχει τῷ πατρὶ, διὰ τὸ πάντα τὰ καλὰ ὑπὸ φρονήσεως γίνεσθαι, καὶ πολλὰ τὰ κατορθώματα ταύτης εἶναι τῆς ἀρετῆς. Ἀγέστρατος δὲ καὶ ἀγελεία λέγεται, διὰ τὸ ἄγειν λαοὺς, καὶ διεξάγειν στρατόπεδα· τῇ γὰρ φρονήσει καὶ στρατόπεδα διϊθύνεται, καὶ οἰκονομοῦνται οἰκίαι, καὶ εὐνομοῦνται πόλεις ταῖς νομοθεσίαις. Γλαυκῶπιν δὲ αὐτὴν προσαγορεύει, διὰ τὸ λαμπρὸν καὶ περίβλεπτον τῆς ἀρετῆς· τοιούτους γὰρ τοὺς αὐτὴν ἔχοντας ποιεῖ. Ἄγεται δὲ ὁ Ζεὺς τὴν λιπαρὰν Θέμιν, καὶ ἐξ αὐτῆς ἀποτίκτει τὰς Ὥρας, τὴν Εὐνομίαν, τὴν Δίκην, καὶ τὴν Εἰρήνην, παρόσον ἐκ τοῦ κατὰ νόμους [f]) θεμιστεύειν τοὺς σοφοὺς καιροὶ ἐπιγίνονται εὐνομίας, καὶ δικαιοσύνης, καὶ εἰρήνης ταῖς πόλεσι, τηροῦντες τὰ ἔργα τῶν ἀνθρώπων, καὶ ἐν θέρει μὲν παρασκευάζοντες τοὺς καρποὺς συλλέγειν, ἐν χειμῶνι δὲ τοὺς σπόρους ἐργάζεσθαι καὶ τέμνειν τὴν γῆν. Εἰ γὰρ οὐχ οὕτως ἔχοιεν αἱ πόλεις, ἀλλ' ἀνομίαι τε καὶ ἀδικίαι καὶ μάχαι ἐν αὐταῖς περιπολάζουσιν, οὔτ' ἄρ' ὁ γεωργὸς τὴν γῆν ἀροτριάσει, οὔτε ὁ χαλκεὺς τὸν χαλκὸν σφυρηλατῆσαι σχοίη, οὔτε ὁ ἁλιεὺς πλεῦσαι τὴν θάλασσαν· καθείργονται γὰρ πάντες τῶν οἰκείων ἔργων. Ἔτι δὲ καὶ τὰς Μοίρας ἀπὸ τῆς Θέμιδος Ζεὺς γεννᾷ, παρόσον ἐν ταῖς θεμιστείαις διανομαί τινες καὶ μερισμοὶ προσήκοντες γίνονται κατὰ τὸ ἀνάλογον ἑκάστῳ, [h])τοῦτο μὲν κό-

e) χείρονος B. οὖσα om. B.
f) θεμιστεύειν, καὶ σοφοὺς λόγους, B.
g) Ζεὺς om. B.
h) τούτῳ μὲν κολασμὸν B.

λασιν ἐπάγοντες τῷ ἀδικήσαντι, [i]) τοῦτο δὲ γέρα παρέχοντες τῷ δικαιοπραγήσαντι· ἡ δὲ Εὐρυνόμη τὰς Χάριτας ἀπογεννᾷ, τὴν Ἀγλαΐαν, καὶ τὴν Εὐφροσύνην, καὶ τὴν Θαλίαν· ἢ ὅτι ἐν αἷς τῶν πόλεων εὐρύνεται ὁ νόμος, ἀγλαΐζονται αὗται, καὶ εὐφραίνονται, καὶ θάλλουσιν, ἢ διὰ τὸ τὰ ἐν εὐρείαις νομαῖς νεμόμενα ζῷα θάλλειν τε καὶ ἀγλαΐζεσθαι καὶ γεγηθέναι.

912. [k]) Συνέρχεται δὲ ὁ Ζεὺς μετὰ τῆς Δήμητρος τῆς πολυφόρβης, καὶ ἀπογεννᾷ τὴν Περσεφόνειαν, διὰ τὸ ἐπινοήσασθαι τοὺς ἀνθρώπους τὴν τῆς γῆς ἐργασίαν· Δημήτηρ γὰρ ἡ γῆ λέγεται ἡ πολλοὺς τρέφουσα, ἤτοι πάντας. Ζεὺς δὲ ῥηθείη ἂν ἐνταῦθα τὸ περὶ τῆς ἐργασίας [l]) νόημα πρὸς τὴν ζωὴν ἡμῶν, ἐξ ὧν ἡ Περσεφόνεια γεννᾶται, ἣν ὁ Ἅδης μὲν ἁρπάζει ἐκ τῆς μητρὸς, δίδωσι δὲ ὁ Ζεύς· οἱ γὰρ ἐκ γῆς ἀναδοθέντες καρποὶ, καὶ ἁπλῶς οἱ σπόροι ἁρπάζονται, οἷον ὑπὸ γῆν κρυπτόμενοι καὶ καταβαλλόμενοι ἐν καιρῷ σπόρου ταῖς βουλαῖς τῶν ἀνθρώπων, καὶ τῇ τομῇ τῆς γῆς ἀφανεῖς γινόμενοι· οὓς τινας δὴ σπόρους, διὰ τὸ ἀποθνήσκειν, οἷον καὶ περισσῶς φονεύεσθαι ὑπὸ γῆν [m]) ἐκτεθέντας Περσεφόνειαν ὁ λόγος καλεῖ. Περὶ δὲ
492 τῆς Μνημοσύνης καὶ τῶν Μουσῶν τὰ μὲν ἄλλα προείρηται κατ' ἀρχὰς τοῦ βιβλίου· ᾄδειν δὲ ταύταις αἱ θαλίαι λέγονται καὶ ἡ τέρψις, διὰ τὸ τοὺς μνημονεύοντας καὶ ἀπογεννῶντας λογικὰ [n]) κυήματα θάλλειν τε καὶ τέρπεσθαι. Τῇ δὲ Λητοῖ συνελθὼν ὁ Ζεὺς ἀποτίκτει τὸν Ἀπόλλωνα, καὶ τὴν Ἄρτεμιν,

ἱμερόεντα γόνον περὶ πάντων οὐρανιώνων,

εὐλόγως. Βουλόμενοι γὰρ οἱ ἄνθρωποι ἐπιλανθάνεσθαι τῶν κατὰ τὸν βίον ἀνιῶν ἐφεῦρον τὴν μουσικὴν καὶ ἀπέτεκον, ποτὲ μὲν ἀῤῥενοποιοῦντες τοῖς συντόνοις τῶν μελῳδιῶν, ποτὲ δὲ θηλύνοντες τῷ μαλακῷ καὶ τῇ χαλαρότητι· τοιαύτη γὰρ ἡ τῆς μουσικῆς δύναμις. Ἱμερόεντα δὲ γόνον ταύτην καλεῖ, παρόσον [o]) πάντων, ὧν ἐφεῦρον ἐξ ἐπινοίας οἱ ἄνθρωποι, τοῦτο μᾶλλον τὸ εὕρημα ἡδονῆς ἐστι περιποιητικὸν καὶ χαρμόσυνον. Τὴν δὲ Ἥραν ποιεῖται παράκοιτιν ὁ Ζεὺς, καὶ αὕτη γεννᾷ τὴν Ἥβην, καὶ τὸν Ἄρην, διότι ἡβάσκουσιν ἀέρα εἰσπνέοντες οἱ ἄνθρωποι καὶ ἐκπνέοντες. Τὸν δὲ Ἄρην γεννᾷ, διότι δι' ἀέρα καὶ εὔκρατον τόπον ἐρίζουσι καὶ μάχονται ἔνιοι. Ἐκ δὲ τῆς Ἥρας

i) ἐκείνῳ δὲ τὰ γέρα B.
k) Ita B. ἐπέρχεται edd.
l) ἐννόημα B.
m) ἐντεῦθεν καὶ B.
n) νοήματα B.
o) πάντων om. B.

γεννᾷ ὁ Ζεὺς τὸν Ἥφαιστον, κλυτὸν ἀμφιγυήεντα, καὶ τέχνῃσι κεκασμένον περὶ πάντων οὐρανιώνων· καὶ ἐρίζει μετὰ τοῦ Διὸς, καὶ ὀργίζεται μετ᾽ αὐτοῦ, παρόσον ἡ φλὸξ ἀὴρ ἐστιν ἐκπεπυρωμένος, ἥτις καὶ ἀμφιγυήεις ἐστίν· ὑπεσκαμμένη γάρ ἐστιν ἡ τοῦ πυρὸς [p]) κίνησις, καὶ ἀμφοτέρωσε ῥέπουσα. Κλυτὸς δὲ καὶ περὶ πάντων κεκασμένος ἐστὶ, παρόσον τὸ διακονικὸν τοῦτο πῦρ [q]) πολύεργον καὶ δραστήριόν ἐστι καὶ πολύχρηστον· φωτίζει τε γὰρ, καὶ καίει, καὶ μεταβάλλει φύσεις, καὶ διακρίνει καὶ συγκρίνει τὰ ὁμοιογενῆ καὶ ἀνομοιογενῆ. Ἐρίζει δὲ τῷ ἰδίῳ παρακοίτῃ ἡ Ἥρα, παρόσον ἐξαναφθεὶς ὁ ἀὴρ ἰσοφαρίζει καὶ ἐξομοιοῦται τῷ αἰθέρι· οὗτος γὰρ διὰ τὸ ὑπερκεῖσθαι τοῦ ἀέρος λέγεται παρακοίτης τῆς Ἥρας.

Ἐκ δὲ τῆς Ἀμφιτρίτης καὶ τοῦ ἐρικτύπου Ἐννοσιγαίου ὁ Τρίτων γεννᾶται ὁ εὐρυβίης, διὰ τὸ τοὺς ἐν θαλάσσῃ καὶ ἐν τοῖς κύμασι διάγοντας ἢ διημερεύοντας ἐνίους τρεῖν, ὅ ἐστι φοβεῖσθαι, καὶ εὐρέως βοᾶν. Ἀμφιτρίτη δὲ λέγεται ἡ θάλασσα, καὶ ἁπλῶς ἡ τῶν ὑδάτων ὑπόστασις, διὰ τὸ ἀμφὶ τοῖς στοιχείοις τρίτην λαχεῖν τάξιν· τὸ πῦρ γὰρ πάντων ὑπέρκειται, εἶτα ὁ ἀὴρ [r]) τέτακται, καὶ τότε τὸ ὕδωρ τρίτον ἐστίν. Λέγεται δὲ ὁ Τρίτων οὗτος τὸν πυθμένα ἔχειν τῆς θαλάσσης, καὶ κατοικεῖν παρὰ φίλῃ μητρὶ, καὶ πατρὶ, παρόσον οἱ φοβούμενοι ἐν θαλάσσῃ φαντάζονται τὰ βάθη ταύτης, καὶ ἐν τούτοις δοκοῦσι κατοικεῖν. Τῷ δὲ ῥινοτόμῳ Ἄρεϊ συνελθοῦσα ἡ Ἀφροδίτη ἀποτίκτει τὸν Φόβον καὶ τὸν Δεῖμον, διὰ τὸ προσδοκῶντας μεῖζόν τι ἔσεσθαι ἑαυτοῖς ἀγαθὸν τοὺς ἀνθρώπους, καὶ ἐλπίδας ἀγαθὰς τρέφοντας ὑποδεδιέναι τὸν πόλεμον, καὶ τὴν ῥῖνα πολλάκις τέμνεσθαι. Δεῖμος δὲ καὶ Φόβος οὐκ ἔστι ταυτὸν, 493
οὐδ᾽ ἐκ παραλλήλου (ὥς τισι δοκεῖ) εἴρηται· φόβος γάρ ἐστιν ἡ φυγή· φέβω γὰρ τὸ διώκω, ὡς τὸ Ὁμηρικὸν [s]) ἐκεῖνο,

κραιπνὰ μάλ᾽ ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι.

Δεῖμος δὲ οὐχ ἡ φυγὴ, ἀλλ᾽ ὁ ἐκ δειλίας ἐνίοις ἐπιγινόμενος δεσμός· εἰσὶ γάρ τινες ἐν πολέμῳ [t]) ἐννεοὶ καθιστάμενοι, καὶ ἄφνω καταπληττόμενοι· διὰ τοῦτο καὶ Ὅμηρος μέλλων ἐπαι-

p) φύσις καὶ ἀμφοτέρωθεν B.

q) πολυένεργον καὶ B. Mox καὶ καίει om B. Deinde ὁμογενῆ καὶ ἀναμογενῆ B.

r) τετάχαται B. Mox ὑπεισιέναι pro ὑποδεδιέναι B.

s) ἐκεῖνο om. B. Mox κραιπνὰ δὲ μάλ᾽ B. κραιπναλ᾽ edd. καὶ ἔνθα om. Heins.

t) ἐννεοὶ καθημένοι B. Mox μέλλων om. B.

νεῖν τὸν Μενέλαον, ὡς μὴ παντελῶς ἐπτηχότα ἐν πολέμῳ, βοὴν [v] ἀγαθὸν προσαγορεύει· οὐ γὰρ ἀφαιρούμενος ἦν ἐν πολέμῳ τὴν φωνὴν, ἐξ ἄκρας δειλίας. Ἔτι τὴν Ἁρμονίαν γεννᾷ ἡ Ἀφροδίτη ἐκ τοῦ Ἄρεος, καὶ ταύτην ἄγεται εἰς γυναῖκα ὁ Κάδμος, παρόσον τὰ ἐκ πολέμου καταπεπτωκότα μέρη τῶν πόλεων καὶ καταδεδαμασμένα συναρμολογοῦσι καὶ εὖ πάλιν διατιθέασιν οἱ αὐτῶν ἱμειρόμενοι ἄνθρωποι, καὶ οἱ ταύτας τὰς πόλεις κατοικεῖν [w] ἐθέλοντες. Φιλοσόφως δὲ πάνυ λέγεται ἡ τοῦ Ἄτλαντος Μαῖα τῷ Ζηνὶ συνελθοῦσα ἀποτεκεῖν τὸν Ἑρμῆν τὸν ἄγγελον τῶν θεῶν· ἡ γὰρ ἐν ἡμῖν λεκτικὴ δύναμις τὰ ἀπὸ τοῦ νοῦ προεξαλλόμενα δεχομένη νοήματα, μαιεύει, καὶ οἷον διαρθροῖ, ὄνομα ἐπ' ὀνόματι συντεθεῖσα, καὶ τὸν προφορικὸν οὕτως ἀπογεννᾷ λόγον τῇ εἰσπνεύσει καὶ ἐκπνεύσει τοῦ ἀέρος καὶ τῇ συστολῇ καὶ πλήξει τῶν φωνητικῶν ὀργάνων, πνεύμονός τε καὶ τῆς τραχείας ἀρτηρίας, καὶ ὀδόντων καὶ χειλέων, καὶ γλώττης, καὶ ὑπερῴας, ὅστις δὴ [x] ὁ λόγος διὰ τὸ ἐξαγγέλλειν καὶ διερμηνεύειν τὰ τῆς ψυχῆς παθήματα, κῆρυξ τῶν θεῶν λέγεται καὶ ἄγγελος. Θεοὺς δὲ νῦν τὰ νοερὰ νοήματα ἐκληπτέον, Ζῆνα δὲ τὸν νοῦν, ὡς τὴν ζωὴν ἡμῶν κυβερνῶντα. Ἡ Σεμέλη δὲ λέγεται συνελθοῦσα τῷ Διῒ γεννῆσαι τὸν πολυγηθέα Διόνυσον, παρόσον τῷ περὶ φυτεύσεως ἑαυτῆς νοήματι συνελθοῦσα ἡ ἄμπελος ἀπεγέννησε τὸν οἶνον· ἐπενοήσαντο γὰρ οἱ ἄνθρωποι φυτεῦσαι ἄμπελον, καὶ πιόντες ἐκ τοῦ καρποῦ αὐτῆς εἰς πλατυσμὸν τὸ ἔργον προήνεγκαν. Σεμέλη δὲ ἡ ἄμπελος λέγεται, [y] ὡς σειόμενα ὑπ' ἀνέμων ἔχουσα τὰ μέλη· εὐκλόνητον γὰρ τὸ φυτόν· Καδμεία δὲ, ὡς καταδαμαζομένη τῷ χειμῶνι καὶ ἔξω μένουσα, καὶ καταπαγετουμένη καὶ ψυχομένη· ἢ ὡς τῆς χρήσεως αὐτῆς σείεσθαι τὰ μέλη ἡμῶν ποιούσης, καὶ δαμαζούσης· τοιοῦτοι δὲ πάντως οἱ μεθύοντες. Διόνυσος δὲ πολυγηθὴς, ὁ οἶνος εἴη ἄν· ὡς τὸν Δία, τουτέστι τὸν νοῦν, νύσσων· ἀνεγείρει γὰρ ὁ οἶνος ἀκαίρως πινόμενος τὸν νοῦν· ὅθεν καί τινες τὸν οἶνον παράγουσιν ἀπὸ τοῦ οἴειν, τουτέστι κακίζειν, τὸν νοῦν· πολυγηθὴς δὲ ὁ οἶνός ἐστι, διὰ τὰς συμβαινούσας ἐξ αὐτοῦ χαρμονάς· ἡ θνητὴ δὲ τὸν ἀθάνατον γεννᾷ.

v) ἀγαθὸν αὐτὸν B.

w) ἐθέλουσι B.

x) Articulus deest B. Mox ἑρμηνεύειν B.

y) ἢ ὡς σειομένη B.

942. *ΝΥΝ Δ' ΑΜΦΟΤΕΡΟΙ ΘΕΟΙ ΕΙΣΙ.* Παρόσον 494 ἡ ἅπαξ φυτευθεῖσα καὶ εὑρεθεῖσα, διὸ καὶ θνητὴ, τὸν πολύχρηστον ἀποτίκτει οἶνον· διὸ καὶ ἀθάνατον. Νῦν δὲ διὰ τὸν οἶνον κἀκείνη ποθεινή ἐστι καὶ ἐράσμιος· ὅθεν καὶ ἀθάνατος λέγεται διὰ τοῦτο.

943. Ἀλλὰ καὶ ἡ Ἀλκμήνη τὸν Ἡρακλέα γεννᾷ φιλότητι Διὸς νεφεληγερέταο, εὐλόγως. Ὁ γὰρ ἥλιος καὶ ἡ αὐτοῦ ἐνέργεια καὶ [z]) ζωοποιὸς θέρμη παρὰ τοῦ ἀλκίμου νοῦ γέγονε, καὶ σοφῶς ἄρα ἐν τῇ τετάρτῳ τῶν σφαιρῶν ἐντέθειται· ἵνα μήτε φλέγῃ κατωτέρω ἐντεθεὶς, μήτε ψύχος ἐμποιῇ, καὶ ἀθέρμαντον ἐᾷ τὸ περίγειον, ἀνωτέρω ταχθείς· ἵνα δὲ καὶ τὸ πᾶν ἐκθερμαίνῃ καὶ φωτίζῃ, τὴν λοξὴν εἴληχε τοῦ ζωδιακοῦ πορείαν. Τὴν Ἀγλαΐαν δὲ ὁ Ἥφαιστος ποιεῖται ἄκοιτιν, νεωτέραν τῶν Χαρίτων, παρόσον διαφόρους καλλωπισμοὺς τεχνιτῶν ἔργων ἐκ τοῦ διακονικοῦ τοῦδε πυρὸς συμβαίνει γίνεσθαι, ὡς δηλοῖ τὰ τῶν χαλκέων μηχανήματα, καὶ τὰ τῶν χρυσοχόων εὑρήματα. Τὴν δ' Ἀριάδνην τὴν ξανθὴν ὁ χρυσοκόμης Διόνυσος ποιεῖται ἄκοιτιν, τὴν τοῦ Μίνωος θυγατέρα, διὰ τὸ τοὺς οἰνιζομένους ἀνθρώπους τῆς κόμης ἐπιμελεῖσθαι τῆς ἑαυτῶν, καὶ ἀρὰς ἐντεῦθεν δινεῖν, ἤτοι κινεῖν βλάβας, καὶ ταύταις ἐμμένειν· πολλοὶ γὰρ μεθύοντες οὐ μόνον τῶν τριχῶν ἐπιμελοῦνται καὶ [a]) ξανθίζουσι ταύτας, ἀλλὰ καὶ βλάπτοντες ἑαυτοὺς, μυρίοις ὑποβάλλουσιν ἀτοπήμασιν, ἢ ἀσελγήμασιν. Ἀπαθανατίζειν δὲ ὁ Ζεὺς λέγεται τὴν Ἀριάδνην, διὰ τὸ, τὸ τοιοῦτον ἐννόημα δόξαι τοῖς πολλοῖς καλὸν τοῦ δέοντος ἀποπλανηθεῖσι, διὸ καὶ οἴνῳ χρώμενοι, καὶ ἑαυτοὺς καλλωπίζοντες, οὐκ ἴσασιν ὅ τι ποιοῦσι διὰ τὴν ἄμετρον ἢ καὶ ἄκαιρον τοῦ οἴνου χρῆσιν. Εὐλόγως δὲ καὶ πάνυ σοφῶς ὁ Ἡρακλῆς λέγεται τὴν Ἥβην λαβεῖν εἰς γυναῖκα τελέσας τοὺς ἄθλους ἐκείνους τοὺς δώδεκα· τὰ γὰρ δώδεκα ζώδια περιπολεύσας ὁ ἥλιος, καὶ ἁπλῶς τὸν ἅπαντα ζωδιακὸν δι' ἐνιαυτοῦ πληρώσας, ἔκ τοτε πάλιν, ὥσπερ ἐξ ἄλλης ἀρχῆς, ἡβάσκων ἡμῖν ἀνατέλλει ἐν ἔαρι, τὴν ἀθανασίαν καὶ ἀϊδιότητα, τῷ πάλιν [b]) καὶ πάλιν ἐν οὐρανῷ παραλλήλους γραμμὰς ποιεῖν, κληρωσάμενος, διὸ καὶ ὄλβιος καὶ ἀπήμαντος ἐν οὐρανῷ ναίειν λέγοιτ' ἄν. Ἕκαστον δὲ τῶν

z) ζωογόνος ἀλέα B. et mox ψύχειν pro ψύχος.
a) ξανθίζουσιν αὐτὰς B.

b) καὶ πάλιν om. Heins. Mox B. γράφειν pro γραμμὰς ποιεῖν.

τοῦ Ἡρακλέους ἄθλων εἰ παραβάλλοι τις εὐφυῶς ταῖς ἐνεργείαις τῶν λεγομένων ζωδίων, ἀληθέστατον εὑρήσει τὸ λεγόμενον. Ὅτι δὲ καλῶς ἡμεῖς ἐξελαβόμεθα τὸν μὲν Ἄρην εἰς τὸν πόλεμον, τὸν δὲ Διόνυσον εἰς τὸν οἶνον, c) τὸν δὲ Ποσειδῶνα εἰς τὴν θάλασσαν, τὸν δ' Ἥφαιστον εἰς τὸ πῦρ, καὶ ἄλλα ἄλλως, μαρτυρεῖ καὶ ἐν τῷ μικροτέρῳ κρατῆρι ὁ d) Ὀρφεὺς, τάδε λέγων,

Ἑρμῆς δ' ἑρμηνεὺς τῶν πάντων ἄγγελός ἐστι,
Νύμφαι ὕδωρ, πῦρ Ἥφαιστος, σῖτος Δημήτηρ,
Ἡ δὲ θάλασσα Ποσειδάων μέγας, ἠδ' Ἐνοσίχθων·
495 Καὶ πόλεμος μὲν Ἄρης, εἰρήνη δ' ἔστ' Ἀφροδίτη.
Οἶνος, τὸν φιλέουσι θεοὶ θνητοί τ' ἄνθρωποι,
e) Ὅν τε βροτοῖς εὗρεν λυπῶν κηλήτορα πασῶν
Ταυρογενὴς Διόνυσος ἐϋφροσύνην πόρε θνητοῖς
Ἡδίστην, πάσῃσί τ' ἐπ' εἰλαπίνῃσι πάρεστι,
Καὶ Θέμις, ἥπερ ἅπασι θεμιστεύει τὰ δίκαια,
Ἥλιος, ὃν καλέουσιν Ἀπόλλωνα κλυτότοξον,
Φοῖβον ἑκηβελέτην, μάντιν πάντων ἑκάεργον,
Ἰητῆρα νόσων, Ἀσκληπιόν. f) Ἓν τάδε πάντα.

Ὅτι δὲ καὶ ἐκ τῆς Μνημοσύνης αἱ Μοῦσαι γεννῶνται, καὶ ὅτι ὁ Ζεὺς καὶ αἰθὴρ λέγεται, ἄκουε τοῦ εἰρημένου Ὀρφέως·

Ζεὺς δέ τε πάντων ἐστὶ θεὸς, πάντων τε κεραστὴς,
Πνεύμασι συρίζων, g) φωναῖσί τε ἀερομίκτοις.

Ἡ γὰρ οὐχὶ δῆλός ἐστι τὸν αἰθέρα καλῶν οὕτω,

Ταυτὸ καὶ ἁρμονία Μουσῶν τά τε ὄργανα πάντων,
Μνημοσύνη πάντων πρῶτον πόρεν, οὔτ' ἀνεφάνθη·
Ἀλλὰ χρόνος λήθῃ κατεχρήσατο καὶ κατέκρυψε.
Νῦν δὲ τέχναι τε, λόγοι τε, νόμοι θ' ὅσα τ' ἔργα τέτυκται,
Πάντα διὰ μνήμην διασώζεται ἀνθρώποισιν.

Ἔχεις ταύτας τὰς χρήσεις τῶν ὀνομάτων τῆς μεταλήψεως οὐκ ἐκ ποιητοῦ τοῦ τυχόντος, ἀλλ' ἐκ σοφοῦ καὶ χρόνῳ προήκοντος, ὥστε μὴ τερατολογεῖν ἡμᾶς οἴου, ὦ τέκνον.

956. Τῷ ἡλίῳ δὲ τῷ ἀκάμαντι συνελθοῦσα ἡ Περσηῒς ἡ Ὠκεανίνη τίκτει τὴν Κίρκην, καὶ τὸν Αἰήτην, εὐλόγως. Κιρνᾶται γὰρ καὶ μεταβάλλεται τὰ φυσικὰ ταῦτα καὶ ἀλλοιοῦται

c) τὴν δὲ θάλασσαν εἰς τὸν Ποσειδῶνα B.

d) Fragm. XXVIII.

e) ὅς τε — κολλήτορα B. ὅς τε — καλλήτορα Trinc. Mox θανοῦσιν pro θνητοῖς B. Trinc. Deinde B. Trinc. πάσῃσιν sine τ'.

f) Sic B. Trinc. ἔνθαδε Heins.

g) φωνῇσιν τ' ἠερομίκτοις Herman. et mox ἁρμονίη Μουσέων, ταῖς τ' ὄργανα πάντα.

εἰς ἄλληλα, τῇ τοῦ ἡλίου κινήσει. Ποιητικὸν γὰρ αἴτιον τῆς κράσεως καὶ μεταβολῆς τῶν ἐξ Ὠκεανοῦ ἀναδιδομένων ἢ γινομένων ὁ οὐρανός ἐστι καὶ ὁ ἥλιος. Εἴρηται δὲ ἡμῖν ἀνωτέρω, τίς ἐστιν ὁ Ὠκεανὸς, ὥστε Ὠκεανίνη Περσηῒς εἴη ἂν ἡ διαπεραίωσις τῶν ἀναθυμιάσεων καὶ ἀπάρτισις τῶν διαφόρων συστάσεων. Μεταβάλλουσι γοῦν πάντα εἰς ἄλληλα, τὰ φυσικῇ συνιστάμενα τάξει, καὶ μεταβάλλοντα τὴν ἑτέρου γένεσιν ἄλλου φθορὰν ἔχει· ἀλλὰ τοῦτο ἀεὶ γίνεται· οὐχ ἵσταται γὰρ οὐδέποτε ἡ μεταβολὴ ἐν τούτοις, κἂν ἴσως ἡμῖν ἀνεπαίσθητος δοκῇ ἐνίοτε. Διὸ καὶ τὸν Αἰήτην γεννᾷ, τὴν ἀϊδιότητα, τὴν ἐκ μεταβολῆς καὶ διαδοχῆς.

960. Ἀλλ' οὗτος ὁ Αἰήτης ὁ υἱὸς τοῦ ἡλίου τῇ τοῦ Ὠκεανοῦ θυγατρὶ σύνεισι τῇ h)Ἰδυίᾳ οὕτω καλουμένῃ, καὶ τίκτει ἐξ αὐτῆς τὴν Μήδειαν, διὰ τὸ τὴν ἐκ μεταβολῆς ἀϊδιότητα τῶν φυσικῶν τούτων πραγμάτων, ἣν ὁ ἥλιος ἐργάζεται, ὡς εἴπομεν, ταῖς ἰδιότησι τῶν ἐξ αὐτῆς γινομένων καιρῶν συνι- 496
οῦσαν βουλεύεσθαι παρασκευάζειν ἡμᾶς· καὶ γὰρ ἡλίου μεταβαλόντος ἤδη πρὸς τόνδε τὸν τροπικὸν, καὶ ἰδιότητα χειμῶνος ἢ θέρους ποιήσαντος, ἡμεῖς ἔκ τοτε φροντίζομεν ἢ περιβλημάτων, ἢ τῶν πρὸς ἀροτρίασιν ὀργάνων, ἢ τῶν πρὸς θερισμὸν, τρέφοντες ἔρωτα ἢ τῶν ἐκ γῆς ὡρίων, ἢ ἁπλῶς τοῦ εἶναι καὶ ζῆν· τοῦτο γὰρ Ἀφροδίτην ἀκουστέον. Γεννᾷν δὲ λέγεται ἡ Δημήτηρ τὸν Πλοῦτον,

> Ἰασίῳ ἥρωϊ μιγεῖσα —
> Νειῷ ἐνὶ τριπόλῳ Κρήτης ἐν πίονι δήμῳ,

διὰ τὸ εὐκρατωθέντος τοῦδε τοῦ παντὸς, ἄρξασθαι ἔκ τοτε τοὺς ἀνθρώπους τὴν γῆν ἐργάζεσθαι. Δημήτηρ δέ ἐστιν ἡ γῆ. Ἀλλὰ ταύτῃ ὁ Ἰάσιος σύνεισιν, ἤγουν ὁ γεωργὸς ἀπὸ τοῦ ἱέναι τὰ σπέρματα κατ' αὐτῆς, ἐξ ἧς γεωργίας ἐπιμελῶς γενομένης, ὁ Πλοῦτος γεννᾶται. Εὐλόγως δὲ καὶ ἐν Κρήτης πίονι δήμῳ, τουτέστιν ἐν εὐκράτῳ χωρίῳ. Ἀλλὰ γὰρ τῷ Κάδμῳ ἡ Ἁρμονία συμμιγεῖσα ἡ τῆς Ἀφροδίτης ἀποτίκτει τήν τε Ἰνὼ, καὶ τὴν Σεμέλην, καὶ τὴν

> Αὐτονόην, ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης.

Ἔτι δὲ καὶ τὸν Πολύδωρον, εἰκότως· αἱ γὰρ Μουσικαὶ συμφωνίαι ἐμμελῶς ἔχουσαι καὶ εὐρύθμως τοὺς καταδεδαμασμέ-

h) εἰδυίᾳ B. ἰδίᾳ edd.

νους καὶ κατεπεπτωκότας ὑπό τινος ἀνιαροῦ ἀνεγείρουσί τε καὶ εὐτόνους ποιοῦσι, καὶ ὑφ' ἡδονῆς ἔνθους ἐργάζονται καὶ ὀρχουμένους, καὶ σειομένους τὰ μέλη. Καὶ οὕτως οἴκοθεν καὶ ἐξ ἑαυτῶν νοεῖν ἄριστα, καὶ βαθύτατα καὶ σοφώτατα, καὶ πολλὰ δωρεῖσθαι παρασκευάζουσι· ῥαστώνην γάρ τινα ἐπαινουμένην πάσχουσιν οἱ ταῖς ἁρμονίαις ἁλισκόμενοι ταῖς συντόνοις καὶ ἀνδρικαῖς.

979. Ἡ Καλλιρόη δὲ ἡ τοῦ Ὠκεανοῦ θυγάτηρ τῷ Χρυσάορι Πηγάσῳ μιγεῖσα τὴν Γηρυόνην γεννᾷ, ὃν κτείνει ὁ Ἡρακλῆς, καὶ ἐλαύνει τὰς βόας αὐτοῦ ἐν ἀμφιῤῥύτῳ Ἐρυθείῃ, παρόσον (ὡς καὶ ἀνωτέρω ἐλέγομεν πρὸ πολλοῦ) ὁ χειμὼν γίνεται ἐκ τῶν ἀναδιδομένων μὲν ἐκ θαλάσσης καὶ ἁπλῶς ἐξ ὑδάτων ἀναθυμιάσεων, ὑφ' ἡλίου δὲ ἀναγομένων. Γηρυόνην γὰρ τὸν χειμῶνα φαμὲν, ὡς γαρυόνην ὄντα τινὰ [i]) καὶ θορυβώδη, οὗ τὰς βοάς τε καὶ βροντὰς ἀπελαύνει μακρόθεν ὁ ἥλιος ἐλθὼν, αἵ τινες βρονταὶ τρέφονταί τε καὶ νέμονται ἐν καθύγροις τόποις, ἐκεῖθεν γὰρ ἡ αὐτῶν σύστασις, ὡς πολλάκις περὶ τούτων πλατύτερον εἴρηται ὑφ' ἡμῶν. Μέχρι μὲν τοῦδε προῆλθον ἡμῖν αἱ τῆς Ἡσιόδου Θεογονίας, καὶ τάχα τὸ εὔλογον ἀπέλαβον τέρμα· τὰ γὰρ ἑξῆς οὐκ ἂν ἀλληγοροῖτο δικαίως, ὅτι τε πλήρεις τούτων εἰσὶ συγγραφεῖς ἄνδρες καὶ ἱστορικοὶ, καὶ ὅτι [k]) γεγόνασιν ἀληθῶς, καθὼς μαρτυροῦσι βίβλοι σοφῶν, ὡς δῆλον ἀπὸ τῆς κατὰ Ἰάσονα ἱστορίας, καὶ ἀπὸ τῆς κατὰ
497 τὸν Μέμνονα τὸν Αἰγύπτιον, ἔτι δὲ καὶ ἀπὸ τῆς κατὰ τὸν Λαερτιάδην Ὀδυσσέα, καὶ τὸν Ἀγχίσου Αἰνείαν. Ἵνα δὲ μὴ ἐπικρώζῃ λακέρυζα κορώνη, γλῶσσα πονηρά τις καὶ λοίδορος, τὸν λόγον ἡμῶν ὡς ἀτερμάτιστον αἰτιωμένη, καὶ τοῦτο προσθετέον τὸ εἶδος τῆς ἀλληγορίας τοῖς εἰρημένοις, ὡς ἄνδρες τινὲς γυναιξὶ συνελθόντες ῥηφενῶν γονέων θυγατράσι καὶ βασιλέων, ἐμυθεύθησαν παρὰ τῆς Ἑλληνικῆς αὐτονομίας, ὡς θεαῖς συνῆλθον· καὶ ἐξ αὐτῶν ἀπέτεκον παῖδας τοὺς ἡμιθέους. Ἰάσων μὲν τῇ θυγατρὶ τοῦ κρατοῦντος τῆς Κολχίδος γῆς, Ἀγχίσης δέ τινι βασιλίδι παρθένῳ Ἴδης ἐν ὑπωρείαις τοῦ ὄρους συνὼν λάθρα, σκότιον ἐξ αὐτῆς τὸν Αἰνείαν ἀπέτεκε· καὶ Ὀδυσσεὺς παραπλέων τὴν θάλασσαν ἐξ Ἰλίου τῇ Κίρκῃ συνῆλθε, καὶ ἐγκύμονα παρεσκεύασε ταύτην· καὶ ἄλλος ἄλλῃ

i) καὶ θορυβώδη, οὗ καὶ τὰς βροντὰς καὶ τὰς βοὰς ἀπελαύνει B.

k) γεγόνασι, καθὼς καὶ B.

συνευνασθεὶς ἄλλον ἀπεγέννησε παῖδα. Τὸ γὰρ θεὸς ὄνομα πολλαχῶς ἐστιν εὑρηκέναι παρὰ τοῖς ποιηταῖς, καὶ μάλιστα παρ' Ὁμήρῳ· πῇ μὲν γὰρ αὐτὰ τὰ στοιχεῖα θεοὺς καλεῖ, ὅταν Δία νεφεληγερέτην λέγῃ, καὶ γαιήοχον Ποσειδῶνα, καὶ χρυσόθρονον Ἥραν· πῇ δὲ τὰς [l]) ψυχικὰς δυνάμεις καὶ τὰ πάθη, ὅταν λέγῃ,

Διῒ μῆτιν ἀτάλαντον.

καί,

ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη.

καί,

τῷ δ' αὖτε παρμέμβλωκε φιλομειδὴς Ἀφροδίτη.

καὶ πάλιν,

Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη.

Ποτὲ δὲ τοὺς βασιλεῖς θεοὺς ὀνομάζει, ὅταν λέγῃ,

Τὸν δ' ἠμείβετ' ἔπειθ' Ἑλένη Διὸς ἐκγεγαυῖα.

καί,

—τὸν ὑπ' Ἀγχίσῃ τέκε δῖ' Ἀφροδίτη
Ἴδης ἐν [m]) κνήμῃσι, θεὰ βροτῷ εὐνηθεῖσα.

Ἄλλοτε δὲ τοὺς σοφοὺς, ὅταν λέγῃ,

Ὃν Βριάρεων καλέουσι θεοί· ἄνδρες δέ τε πάντες
Αἰγαίωνα.

καὶ πάλιν,

Τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν,
Ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης.

Ἐνίοτε δὲ καὶ τὴν πρόνοιαν θεὸν ὀνομάζει, καὶ τὴν εἱμαρμένην, καὶ τοὺς ἀστέρας, ὡς ὅταν φησὶν ὁ Ἕλενος·

Ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων.

καὶ πάλιν,

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο
Χρυσέῳ ἐν δαπέδῳ. —

Καὶ πολλὰς ἂν εὕρῃς τὰς χρήσεις οὐ παρ' Ὁμήρῳ μόνον, ἀλλὰ 498
καὶ παρ' Ἡσιόδῳ ἐνταῦθα, καὶ παρ' Ὀρφεῖ, καὶ Προναπίδῃ τῷ Ὁμήρου καθηγητῇ. Ἀλλὰ γὰρ ἔχεις, ὦ τέκνον Ἰωάννη, τὰς εἰς τὴν θεογονίαν τοῦ Ἡσιόδου ἀλληγορίας, κατὰ τὸ ἡμῖν ἐφικτόν. Ἔχεις ἄρα τὸ ζητηθέν σοι, κἂν οὐ κατ' ἐλπίδας τὰς σὰς, ὦ Μούσης τῆς Ἀττικῆς θρέμμα καὶ μαίευμα, Μούσης

l) τῆς ψυχῆς B.
m) κνήμοισι — θνητῷ B. κνημίσι — θνητῷ Trinc. Mox Μυρήνης Trinc.

πάσας ἐν ἑαυτῇ περιεχούσης τὰς Μούσας, ὡς ὑπὲρ πᾶσαν Μοῦσαν [n]) εὐμούσως ἀνακρουσθείσης καὶ ἁρμονικοῖς λόγοις ἐμμελῶς ἁρμοσθείσης, Μούσης Ἀθήνηθεν μὲν ὁρμωμένης, ἐν τῇ Βύζαντος δὲ κρουομένης τῷ πνεύματι, καὶ πέρα φωνούσης Θούλης τῆς Ὠκεανίτιδος. Ἐξάκουστος γὰρ ὁ ἦχος ταύτης τῆς Μούσης τοῖς [o]) τοῦ παντὸς γέγονε μέρεσιν, ἐγκόσμιον πάντως ἠχούσης τὴν μελῳδίαν, εἰ δὲ βούλει καὶ ὑπερκόσμιον. Τί μοι πρὸς ταύτην τὴν ἱερὰν ἁρμονίαν καὶ ὑψηλόφθογγον μελῳδίαν ἢ [p]) Τυρσηνικὴ σάλπιγξ, ἢ κώδωνος χαλκοστόμου ἦχος ὁ θρυλλούμενος; τί δὲ λύρα Ὀρφέως, τί δὲ Τιμοθέου μουσουργία ἡ ἔντεχνος; Ἐγὼ ταύτην τὴν Ἀττικὴν Μοῦσαν Ἑλικῶνα καλῶ, ὅτι πάσας ἐν ἑαυτῇ τὰς Μουσικὰς ὑφίστησι συμφωνίας, τὰς μέν τινας βίου ῥυθμίσει, τὰς δέ τινας λόγου παιδαγωγίᾳ, τὰς δ' αὖ ψυχῆς εὐκοσμίᾳ. Ἀλλ' εἴη, Χριστὲ βασιλεῦ, ἔτι καὶ ἔτι παρὰ τῆς σῆς βιαίας πνοῆς ἐμπνέεσθαι τοῦτο τὸ ὄργανον, καὶ ταῖς παντοκρατορικαῖς σου χερσὶ καὶ ἐπιστημονικαῖς εὐτόνως εἰς τὸν ἑξῆς ἀνακρούεσθαι χρόνον, καὶ ἐμμελῶς [q]) ἐναρμόζεσθαι τὴν παγκόσμιον ἁρμονίαν· οὕτω γὰρ ἂν ἡ τοῦ καθ' ἡμᾶς βίου διατηροῖτο κατάστασις.

n) ἐμμούσως B. et mox Ἀθήναζε.
o) Hinc ad βούλει om. B.
p) Sophocl. Aj. init.
q) Sic B. Vulgo ἐναρμονίζεσθαι.

ΤΟΥ ΥΠΑΤΟΥ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ

ΙΩΑΝΝΟΥ ΔΙΑΚΟΝΟΥ

ΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ

ΣΧΟΛΙΑ ΠΑΡΑΦΡΑΣΤΙΚΑ

ΜΕΤΑ ΤΗΣ ΤΕΧΝΟΛΟΓΙΑΣ ΤΟΥ ΑΥΤΟΥ

ΚΑΙ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΤΟΥ ΗΣΙΟΔΟΥ ΑΣΠΙΔΑ.

Η ΑΛΚΜΗΝΗ (φησὶν) ἡ μεγάλη καταλιποῦσα τὸν οἶκον αὐτῆς καὶ τὴν πατρίδα ἦλθεν εἰς τὸν Θηβαῖον Ἀμφιτρύωνα, ἥτις ἐνίκα πάσας τὰς γυναῖκας ἐν τῷ κάλλει καὶ τῇ φρονήσει, ἧς ἀπὸ τῆς κεφαλῆς καὶ ἀπὸ τῶν ὀφθαλμῶν τοιοῦτον ἀπέπνει, οἷον ἀπὸ τῆς θεᾶς Ἀφροδίτης. Οἷα, ἡ ὁποία καὶ ἡ μεγάλη, ὡς ἐνταῦθα· ὀξύνεται δὲ, ὅτι τὸ ά μακρόν ἐστι. Τὰ γὰρ εἰς ά θηλυκὰ τὰ ἀπὸ τῶν γενικῶν ἀρσενικῶν γινόμενα μακροκαταληκτοῦσι· θεῖος θείου θεία, οἷος οἵου οἵα· ὧρος ὁ χρόνος, ὥρου ὥρα, καὶ τ' ἄλλα. Προλείπουσα δίφθογγον, ἐνεστὼς γάρ ἐστι· Προλιποῦσα δὲ, δἰ ῑ, δεύτερος γάρ ἐστιν ἀόριστος. Ἀρήϊος γίνεται ἀπὸ τοῦ ἄρης ἄρεος ἀρέϊος, καὶ τροπῇ τοῦ ε εἰς η ἀρήϊος. Λαοσσόος, ἀπὸ τοῦ λαὸς καὶ σέω τὸ ὁρμῶ,

τροπῇ τοῦ ε εἰς ō. Ἰστέον δὲ, ὅτι τοῦτο τὸ σέω τροπῇ Δωρικῇ τοῦ ε εἰς α σάω γίνεται, ἀφ' οὗ καὶ ὁ σάος, καὶ ὁ σαώτερος· ὡς τὸ,

σαώτερος ὥς κε νέηαι.

Ἀπὸ τοῦ σάος δὲ συναιρέσει τοῦ ᾰ ō εἰς ω μέγα σῶς γίνεται, καὶ σῶος ἔπειτα, διαλύσει τοῦ ω μεγάλου εἰς ω̄ μέγα καὶ μικρόν. Ἐκαίνυτο, ἤγουν ἐκαινοῦργει καὶ ἐκόσμει· ἀπὸ τοῦ καίνυμι δὲ κανονίζεται. Ἀπὸ κρῆθεν, ἤγουν ἀπὸ τῆς κεφαλῆς· ἀπὸ γὰρ τοῦ κρὰς κρατὸς γίνεται κρᾶθεν, καὶ τροπῇ τοῦ ᾱ εἰς ῆ κρῆθεν. Κυάνεον ἐνταῦθα τὸ μέλαν, ἀλλαχοῦ δὲ τὸ ἠεράνεον. Χρὴ δὲ γινώσκειν, ὅτι τοῦ κυανοῦ ἐντελὲς τὸ κυά-
500 νεον· ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ κῦμα κυμάνεον, καὶ ἐκβολῇ τοῦ μ̄, κυάνεον. Τοιοῦτο γάρ τοι δοκεῖ τὸ κῦμα. Ἄητο, ἤγουν ἔπνεεν, ἀπὸ τοῦ ἄημι τὸ πνέω. Di.

1. Ἡ ΟΙΗ. Ἡ ὁποία, ἡ θαυμαστή. Ἐπὶ θαύματος δὲ εἴρηται τὸ οἵη, ἢ παρέλκεται. Tz.

2. ΗΛΥΘΕΝ. Ἦλθεν εἰς Θήβην, ἐπὶ τὸν πολεμικὸν Ἀμφιτρύωνα, κηρύττουσα τὸν ἑαυτῆς γάμον. Tz.

4. Ἡ ΡΑ ΓΥΝΑΙΚΩΝ. Ἥτις δὴ τὸ γένος τῶν θηλειῶν ἐνίκα τῷ κόσμῳ, ὑπὲρ πάσας τῷ κόσμῳ ἐκεκόσμητο. Tz.

7. ΤΗΣ ΚΑΙ ΑΠΟ ΚΡΗΘΕΝ. Ἧς τινος ἐκ τῆς κεφαλῆς, καὶ τῶν μεμελανομένων βλεφάρων, τοιοῦτον ἔπνει, ἢ ἀπήνθητο καὶ ἐμύριζεν, ὁποῖον ἐστὶ τὸ ἆσθμα τῆς Ἀφροδίτης. Tz.

9. Ἡ ΔΕ ΚΑΙ ὯΣ. Οὕτως οὖσα λίαν καλή φησιν, ἐτίμα τὸν οἰκεῖον ἄνδρα, ὡς οὐδεμία ἄλλη τὸν ἴδιον. Di.

Ibid. ΤΙΕΣΚΕΝ. Ἔχουσι συνήθειαν οἱ ποιηταὶ τὸ κ̄ προστιθέναι τοῖς ῥήμασιν, ὡς τὸ ἔσκω, καὶ τιέσκω, καὶ τὰ τοιαῦτα. Ἀκοίτης ἀνὴρ, ἀπὸ τοῦ ἀ, ὃ δηλοῖ τὸ ὁμοῦ, καὶ τοῦ κοίτη, ἤγουν ὁμόκοιτος. Di.

Ibid. Ἡ ΔΕ ΚΑΙ ὯΣ. Αὕτη δὲ οὕτως, ἢ ὁμοίως κατὰ τὴν ἰδίαν ψυχὴν ἐτίμα τὸν ἴδιον ἄνδρα, καθὰ οὐδέπω τις ἐκ τῶν θηλειῶν τὸν ἑαυτῆς ἐτίμησε σύνευνον. Tz.

10. ΘΗΛΥΤΕΡΑΩΝ. Θηλυτέρων ἦν, καὶ ἐπεκτάσει Αἰολικῇ γέγονε θηλυτεράων. Di.

11. Ὁ Ἀμφιτρύων ἀπέκτεινε τὸν πατέρα τῆς Ἀλκμήνης Ἠλεκτρυῶνα. Ἔῤῥιψε γὰρ ξύλον κατὰ βοὸς, καὶ τῆς μὲν

ἀπέτυχε, τὸν δὲ ἐθανάτωσε· καταλείψας δὲ τὴν πατρίδα αὐτοῦ Τίρυνθον ἦλθεν εἰς τὰς Θήβας, ἔνθα κατῴκει μετὰ τῆς οἰκείας γυναικὸς χωρὶς συνουσίας. Ὅρκον γὰρ ἐποίησε μὴ πρότερον συγγενέσθαι τῇ Ἀλκμήνῃ, πρὶν ἐκδικῆσαι τὸν φόνον τῶν ἀδελφῶν αὐτῆς, ὃν ἐποίησαν οἱ Τάφιοι ἐπιστρατεύσαντες εἰς Μυκήνας.

Τάφιος υἱὸς Ποσειδῶνος καὶ Ἱπποθόης τῆς θυγατριδῆς Πέλοπος, κατ' ἀνάγκην τινὰ τὰς Μυκήνας λιπὼν τὴν οἰκείαν πατρίδα, τῆλε ἔβη, ἤγουν ἐν ταῖς Ἐχινάσι νήσοις, καὶ ἀπὸ τοῦ οἰκείου ὀνόματος καὶ τοῦ συμβεβηκότος ἐκείνῳ τοὺς ὑπ' αὐτὸν Ταφίους καὶ Τηλεβόας ἐκάλεσεν. Ὕστερον δὲ χρόνοις συχνοῖς ὑπέστρεψεν εἰς Μυκήνας καὶ τὸν Ἠλεκτρυῶνα, οὗ θυγάτηρ ἦν ἡ Ἀλκμήνη, τὴν βασιλείαν ἀπαιτεῖ· ὁ δὲ οὐ δίδωσι, καὶ κτείνει Τάφιος τοὺς Ἠλεκτρυῶνος υἱοὺς, τῶν οἰκείων ποιμνίων ὑπεραγωνιζομένους. Μεταπέμπεται Ἠλεκτρυὼν εἰς βοήθειαν Ἀμφιτρύωνα, καὶ τὴν Ἀλκμήνην τούτῳ κατεγγυᾷ. Κτείνει Ἀμφιτρύων κατά τινα τύχην Ἠλεκτρυῶνα, ἄκων, κατὰ βοὸς ῥίψας ξύλον· καὶ φεύγει εἰς Θήβας μετὰ Ἀλκμήνης, οὐ πρὶν μιγεὶς ταύτῃ, πρὶν εἰς τέλος ἀφανίσαι Ταφίους δίκην δόντας τῶν φόνων τῶν τῆς Ἀλκμήνης ἀδελφῶν. Μίγνυται δὲ τῇ Ἀλκμήνῃ Ζεὺς ἡμέρας τρεῖς, ἔπειτα καὶ ὁ Ἀμφιτρύων τῆς νίκης ὑποστρέφων. Καὶ γεννῶνται τῇ Ἀλκμήνῃ δίδυμοι παῖδες, ἐκ μὲν Διὸς Ἡρακλῆς, ἐκ δὲ Ἀμφιτρύωνος Ἰφικλῆς. Dr.

Ibid. *Η ΜΗΝ.* *Ἀντὶ τοῦ ναὶ μήν. Ἐσθλὸς ὁ ἀγαθὸς,* 501 *ἀπὸ τοῦ ἐθέλω· πάντες γὰρ τὸ ἀγαθὸν ἐθέλομεν, καὶ τούτου ἐφιέμεθα. Αἰδοίη, ἡ αἰδέσιμος καὶ αἰδοῖος· γίνεται δὲ ἀπὸ τοῦ αἰδὼς αἰδόος, καὶ πλεονασμῷ τοῦ ι αἰδοῖος.* Dr.

Ibid. *Η ΜΗΝ ΟΙ.* *Ὄντως μὲν αὐτῆς τὸν ἀγαθὸν πατέρα ἐν δυνάμει φονεύσας, μετὰ ἰσχύος ἀπέκτεινεν. Οὗτος μὲν ὁ Ἀμφιτρύων τὸν πατέρα τῆς Ἀλκμήνης ἄκων ἀπέκτεινεν ἐλθόντα εἰς φιλονεικίαν ἕνεκα βοῶν. ΑΛΛΩΣ. Ἄκων ἀνεῖλε τὸν πατέρα καὶ τοὺς παῖδας, ἐν τῇ ἐναντίᾳ ἑστῶτας παρατάξει. Πλεονεκτούμενος δὲ ὁ Ἀμφιτρύων ὑπὸ Ἠλεκτρύωνος τοῦ ἀδελφοῦ εἰς τὴν ἰδίαν κτῆσιν, ἀναιρεῖ αὐτόν.* Tz.

12. *ΧΩΣΑΜΕΝΟΣ ΠΕΡΙ ΒΟΥΣΙ.* *Περὶ τῶν κτημάτων ὀργισθεὶς, εἰς γενικὴν ἀναλύεται.* Tz.

13. *ΕΣ ΘΗΒΑΣ.* *Ἐς τὰς Θήβας προσέφυγεν, ἐπὶ τοὺς*

πολεμικοὺς Καδμείους, ἢ ἐπὶ τοὺς ἔχοντας μεγάλας ἀσπίδας. Tz.

14. *ΕΝΘ' ΌΓΕ.* Ἐκεῖσε κατῴκει σὺν τῇ αἰδοῦς ἀξίᾳ γυναικὶ, μὴ συγγενόμενος αὐτῇ· οὐ γὰρ αὐτῷ ἦν ἐξόν. Τοῦτο γὰρ ἔδοξε τῇ γυναικὶ, μὴ πρίν τινα συγγενέσθαι αὐτῇ, πρὶν τιμωρῆσαι τοὺς φονέας τῶν ἀδελφῶν αὐτῆς, [a]) καῦσαι δὲ καὶ τὰς κώμας αὐτῶν. Tz.

15. *ΗΕΝ.* Ἔω τὸ ὑπάρχω, καὶ ὁ δεύτερος ἀόριστος, ἦον, ἦες, ἦεν. Di.

17. *ΚΑΣΙΓΝΗΤΩΝ ΜΕΓΑΘΥΜΩΝ.* [b]) Τούτοις γὰρ συμμαχήσας ἀνεῖλε τοὺς Ἠλεκτρύωνος παῖδας, καὶ αὐτὸν Ἠλεκτρύωνα· ἕνεκα γὰρ βοῶν ἡ μάχη. Tz.

19. [2]) *ΑΝΔΡΩΝ ΉΡΩΩΝ ΤΑΦΙΩΝ.* Τῶν ἡμιθέων. Τάφιοι μὲν γὰρ ἐκ τῆς νήσου λέγονται. [c]) Τηλεβόαι δὲ ἐκ τοῦ τῆλε βοᾷν· μεγαλόφωνοι γάρ. Ἢ ὅτι ἀπέστησαν πόῤῥω τὰς βοῦς, ἀπελαύνοντες τῶν ἀνθρώπων. Tz.

20. *ΜΑΡΤΥΡΟΙ.* Ἡ εὐθεῖα ὁ μάρτυρος, γέγονε δὲ ἀπὸ τῆς μάρτυρος γενικῆς· οὕτω καὶ ἀπὸ τῆς ἀερσιπότητος γενικῆς, [1]) ὥς φησι Τζέτζης, ἡ ἀερσιπότητος εὐθεῖα. Di.

21. *ΤΩΝ ΌΓ' ΟΠΙΖΕΤΟ.* Τούτων τῶν θεῶν ἐφοβεῖτο
502 τὴν ὀργὴν, ἢ ὅτι φροντίδα εἶχε, καὶ ἐπιστροφὴν πρὸς ταῦτα πολλήν. Tz.

a) καύσει Bas.

b) τούτων Bas.

2) Pessime in editione qua usi sumus conceptum erat hoc modo: *Τάφιοι μὲν γὰρ ἐκ τῆς νήσου λέγονται, ἐκ τοῦ τῆλε βοᾷν*, cum manifesta emendatorum negligentia. Nos vocem, *Τηλεβόαι*, addidimus, quae sensum explet perficitque. In sequentibus in eadem editione legebatur non sine eorundem securitate nimia, *τότε ἀνεῖλε τρυόνος παῖδας*, cum asteriscus hic locum non haberet, utpote in re facili, et manifesta, cum scribendum sit, *Ἠλεκτρυόνος παῖδας*, ut repraesentavimus. Sed hujusmodi persequi et praeter morem nostrum est, et praeter institutum, non praeter religionem tamen quae in editionibus servanda est, et diligentiam: quae sine hujusmodi non constat. Heinsius.

c) Deest Bas.

1) Ne quis existimet ex hoc loco Tzetzi asscribenda esse *τὰ εἰς Ἀσπίδα περιφερόμενα τῶν σχολίων*, ut videlicet in iis aliquid desideretur quod hoc loco adducatur a Diacono: locus Tzetzis quem adducit, est ad Hesiodi *Ἡμερῶν* locum illum: *τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης*. Ubi ille: *ἀερσιπότητος, ὁ ἐν ἀέρι πετόμενος· παρεσχηματίσθη δὲ ἡ εὐθεῖα αὕτη ἀπὸ γενικῆς. Ἀερσιπότης μὲν γὰρ κλίνεται ἀερσιπότου, ἀλλὰ καὶ τοῦ ἀερσιπότητος. Ἀπὸ τῆς ἀερσιπότητος οὖν γενικῆς οὗτος τὴν εὐθεῖαν ταύτην παρεσχημάτισεν.* Ex quo probabile est non alias quam in Hesiodi *Ἔργα* et *Ἡμέρας* commentationes Tzetzis

22. *Ὁ ΟΙ ΔΙΟΘΕΝ.* *Ὅπερ παρὰ τοῦ Διὸς ἐνεθέσπιστο, καὶ ἐνενομοθέτητο.* Tz.

23. *Σὺν τούτῳ, φησὶ, τῷ Ἀμφιτρύωνι ἠκολούθησαν καὶ οἱ Θηβαῖοι, καὶ οἱ Λοκροὶ, καὶ οἱ Φωκεῖς, ὀρεγόμενοι πολεμῆσαι· ἦν δὲ στρατηγὸς εἰς αὐτοὺς ὁ Ἀμφιτρύων ὁ υἱὸς τοῦ Ἀλκαίου.* Di.

Ibid. *ΤΩι Δ' ἉΜΑ.* *Τούτῳ ἅμα ἠκολούθουν εἰς συμμαχίαν οἱ Βοιωτοί.* Tz.

Ibid. *ΙΕΜΕΝΟΙ.* *Ἤγουν πορευόμενοι· παρὰ τὸ ἴημι τὸ πορεύομαι. Γίνεται δὲ ἀπὸ πρωτοτύπου τοῦ ἴω· ἀφ' οὗ τὸ ἴσαν. Ἔστι δὲ καὶ εἴω διφθογγογραφούμενον· ἀφ' οὗ καὶ τὸ εἶμι τὸ πορεύομαι. Τοῦτο μὲν οὖν τὸ ἴημι ψιλοῦται· τὸ δὲ ἵημι, ὃ σημαίνει τὸ πέμπω, δασύνεται· ἀφ' οὗ δηλαδὴ γίνεται καὶ ὁ ἰὸς τὸ βέλος καὶ τὸ ἰόν.* Di.

Ibid. *ΠΟΛΕΜΟΙΟ.* *Ἤγουν πολέμου· ἡνίκα δὲ διαλυθῶσιν αἱ γενικαὶ, διφθογγίζονται· ἀνθρώπου ἀνθρώποιο, θεοῦ θεοῖο· διὰ τόνδε τὸν λόγον ἡ ου δίφθογγος πολλάκις κιρνᾶται ἀπὸ τῶν δύο οο· οἷον, πλόος πλοῦς· λοιπὸν, ἡνίκα δέῃ, διαλύεται εἰς ταῦτα, ὡς ἐνταῦθα τὸ, ἀνθρώπου, εἰς τὸ ἀνθρώποιο· γίνεται οὖν τοῦ ἀνθρώπου διαλυθὲν ἀνθρώποο· ἀλλ' ἔστι κανὼν ὁ λέγων, ὅτι ἐν ταῖς διαλελυμέναις γενικαῖς ἡνίκα συστέλλεται ἡ λήγουσα, ἐκτείνεται ἡ παραλήγουσα· ἡνίκα δὲ ἐκτείνεται ἡ λήγουσα, συστέλλεται ἡ παραλήγουσα· οἷον κοχλίεω, καὶ κοχλίαο, τοῦ μὲν κοχλίεω, ἡ λήγουσα ἐκτείνεται, καὶ συστέλλεται ἐξ ἀνάγκης ἡ παραλήγουσα· τοῦ δὲ κοχλίαο, ἐπειδὴ ἡ λήγουσα συνεστάλη, διὰ τοῦτο δὴ καὶ ἡ παραλήγουσα ἐξετάθη. Ἐπεὶ οὖν τοῦ ἀνθρώπου ἡ λήγουσα συνεστάλη, ἐκινδύνευε δὲ συστέλλεσθαι καὶ ἡ παραλήγουσα, τούτου χάριν ἐπλεόνασε τὸ ι, ἵν' ἐκταθῇ ἡ παραλήγουσα, τῆς ληγούσης συστελλομένης.* Di.

24. *ὙΠΕΡ ΣΑΚΕΩΝ ΠΝΕΙΟΝΤΕΣ.* *Πολεμικοί. Ὡς,*

μένεα πνείοντες Ἀχαιοί.

Οὐ κρύπτοντες τὴν ὄψιν, ἀλλ' ἄντικρυς μαχόμενοι, ἢ μείζονα τὸν θυμὸν τῶν ὅπλων ἔχοντες. Tz.

25. *ΛΟΚΡΟΙ.* *Ὁ Ὅμηρος τοὐναντίον εἶπεν·*

Οὐ γάρ σφι σταδίῃ d) *ὑσμίνῃ μίμνε φίλον κῆρ.* Tz.

vidisse Diaconum: qui ea ex illis adducit. Heinsius.

d) Ita Hom. Il. *N.* 713. *ὑγιήνειν* Bas. *ὑγιήνεις* Heins.

503 26. *ἙΣΠΟΝΤ'.* Ἠκολούθουν. Προηγεῖτο δὲ τούτων ὁ τοῦ Ἀλκαίου πλατὺς υἱὸς Ἀμφιτρύων, γαυριῶν, καὶ ἐπαιρόμενος. Tz.

27. Ὁ Ζεὺς (φησὶν) ἄλλην ἐβουλεύετο βουλὴν, ἵνα καὶ θεοῖς καὶ ἀνθρώποις γεννήσῃ βοηθὸν, καὶ γὰρ κατὰ τὸν μῦθον παθητοὶ καὶ οἱ θεοὶ τῶν Ἑλλήνων καὶ βοηθείας δεόμενοι. Di.

Ibid. *ΚΥΔΙΟΩΝ.* Σημείωσαι, ὅτι τὰ διὰ τοῦ οων, εἰ ἔχουσι τὴν πρὸ τοῦ ō συλλαβὴν βραχεῖαν, συστέλλονται· εἰ δὲ μακρὰν, ἐκτείνονται. Di.

Ibid. *ΠΑΤΗΡ Δ' ΑΝΔΡΩΝ.* Οὗτος μὲν ταῦτα ἐνεθυμεῖτο· ὁ δὲ Ζεὺς ἄλλο ἐβούλετο. Ἰδὼν γὰρ τὰς τῶν ἀνθρώπων κακίας πληθυνθείσας, ἠθέλησεν ἐξ Ἀλκμήνης γεννῆσαι υἱὸν, τὸν δυνάμενον τιμωρήσασθαι τοὺς κακοὺς, καὶ ἀπαλλάξαι τοὺς ἄνδρας τῆς βλάβης καὶ τοὺς θεούς. Βοηθοῦνται γὰρ σωφρονιζόμενοι, ἑνὸς ἀδίκου ἀποκτεινομένου. Tz.

29. [3]) *ΑΛΦΗΣΤΗΣ.* Ὁ ἐφευρετὴς κατὰ Τζέτζην οἱουδήποτε πράγματος· τάχα δὲ ἀλφηστὴς ἐνταῦθα λέγεται ὁ διανοητικὸς, ἀπὸ τοῦ ἀλφῶ τὸ ἐφευρίσκω καὶ διανοοῦμαι. Ἀρὰ ἡ κατάρα, καὶ ἡ βλάβη, ὡς ἐνταῦθα. Di.

30. Ταύτην (φησὶν) ἔχων τὴν βουλὴν καὶ ἐπιθυμῶν συγγενέσθαι τῇ Ἀλκμήνῃ ὥρμησεν ἀπὸ τοῦ οὐρανοῦ, καὶ συντόμως κατέλαβε τὸ Τυφώνιον ὄρος· ὅθεν ἦλθεν εἰς τὸ ὑψηλὸν ὄρος Θηβῶν τὸ Φίκιον ἀπὸ τῆς Σφιγγὸς οὕτω καλούμενον, ἔνθα καθίσας ἐβουλεύετο τί ἔχει ποιῆσαι. Di.

Ibid. *ΩΡΤΟ.* Ὄρῥω τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, ὁ παρακείμενος ὦρκα, ὁ παθητικὸς ὦρμαι, ὁ ὑπερσυντέλικος ὤρμην, ὦρσο, ὦρτο. Εἰ δέ τισι φίλον, κανονιζέσθω καὶ ἀπὸ τοῦ ὤρουτο κατὰ συγκοπὴν, καὶ ἀπὸ τοῦ ὤρμητο δὲ ὡσαύτως. Di.

32. *ἽΞΕ.* Κανόνισον, ἥκω τὸ ἔρχομαι, καὶ τὸ παθητικὸν ἴκομαι, καὶ ὁ παρατατικὸς ἱκόμην ἴκου ἴκετο, καὶ κατὰ συγκοπὴν, ἶκε, καὶ προσθέσει Αἰολικῇ τοῦ σ, ἶξε. Di.

3) Et haec ex glossis ejusdem ad Ἔργα petita sunt. Locus est: πῆμ' ἀνδράσιν ἀλφηστῇσι] βλάβην λέγει τὰς τέχνας γενέσθαι, τοῖς ἐφευροῦσιν ἀνδράσιν, δι' ἅπερ ἔφην τὸ πρότερον. Sed plus infert Diaconus, quam ibi a Tzetze dicitur. An ergo alio respicit? aut verius aliquid in manibus habuit τῶν τοῦ Τζέτζου ἀνεκδότων in Hesiodi clypeum? Quae ipsa quoque nos in ea quam amplexi sumus de his scholiis quae circumferuntur opinione confirmarent:

Ibid. *ΕΝΝΥΧΙΟΣ.* Ἵνα μὴ ἐλεγχθῇ μοιχευθεῖσα. Ταχέως δὲ κατέλαβε τὸ Τυφαόνιον ὄρος τῆς Βοιωτίας, διὰ [f])τὸ Τυφῶνι ἐπικεῖσθαι. Ἐκεῖθε δὲ πάλιν [g])ἐπέβη τὸ ἄκρον τοῦ Φικίου. Ἔστι δὲ ὄρος τῆς Βοιωτίας. Ὠνομάσθη δὲ ἐκ τῆς Σφιγγὸς, ἣν Φίκα ἐκάλουν οἱ Βοιωτοί. *ΑΛΛΩΣ.* Φίκιον ὄνομα ὄρους ἐν Φρυγίᾳ, ἔνθα κεραυνοὶ γίνονται. Ἔνθα δὲ πάλιν εἰς ἄλλο ὄρος ὄνομα Φίκιον. Θηβαίων δὲ, ὅθεν καὶ Φίξ. Tz.

33. *ΜΗΤΙΕΤΑ.* Ἤγουν μητιέτης, τὴν κλητικὴν ἀντὶ 504
εὐθείας· ἔστι δὲ τὸ πάθος Δρυόπων καὶ Αἰολέων. Dr.

34. *ΜΗΔΕΤΟ.* Κατὰ ἀφαίρεσιν τοῦ ε΄, ἤγουν ἐβουλεύετο· ἔστι δὲ χρόνου παθητικοῦ. Dr.

35. Ἐν αὐτῇ (φησι) τῇ καὶ ὁ Ζεὺς ἐμίγη τῇ Ἀλκμήνῃ καὶ ὁ Ἀμφιτρύων. Ὑποστρέψας γὰρ ἐκ τοῦ πολέμου οὐκ ἐπὶ μισθίους καὶ ποιμένας ἀπῆλθεν, ἐπισκεψόμενος τὰ ἴδια θρέμματα, ἀλλ' ὥρμησεν ἐπὶ τῷ μιγῆναι τῇ Ἀλκμήνῃ. Τοιοῦτος γὰρ πόθος εἶχεν αὐτόν. Ὥσπερ δέ φησι τὶς ἄνθρωπος ἀσπασίως ἐκφεύγοι νόσον, ἢ δεσμόν τινα, οὕτως καὶ ὁ Ἀμφιτρύων ἐκπληρώσας τὸ μέγα τοῦ πολέμου ἔργον μετὰ χαρᾶς ἦλθεν εἰς τὸν ἴδιον οἶκον, καὶ δι' ὅλης τῆς νυκτὸς συνέκειτο τῇ Ἀλκμήνῃ, συγγενόμενος αὐτῇ. Ἐνταῦθα καταχρηστικῶς εἴρηται τὸ πολυχρύσου Ἀφροδίτης· ἣν γὰρ ἔφη πρότερον εἴδει καὶ μεγέθει πάσας γυναῖκας πλεονεκτεῖν, πῶς νῦν ταύτην κοσμεῖσθαι ἢ καλλύνεσθαι τῷ χρυσῷ λέγει; χρυσῆν γὰρ Ἀφροδίτην φαμὲν τὴν τοῦ χρυσοῦ κάλλυνσιν καὶ τὸν ἔρωτα· ταύτην δὲ αὐτοσχέδιον. Ἐέλδωρ λέγεται τὸ ἐπιθύμημα, ἀπὸ τοῦ ἐθέλω ἐθέλωρ· καὶ κατὰ μετάθεσιν τῶν στοιχείων ἐέλθωρ, καὶ τροπῇ τοῦ δασέος θ' εἰς τὸ μέσον δ', ἐέλδωρ. Τινὲς δὲ καὶ ἀπὸ τοῦ ἕλω τὸ προκρίνω αὐτὸ παράγουσι, ψιλοῦσθαι δὲ ἰσχυρίζονται. Ἐπλεόνασε γὰρ τὸ δ'. Ἀγροιώτης, ὁ ἐν τῷ ἀγρῷ διατρίβων· καὶ γίνεται ἀπὸ τοῦ ἀγροῦ, ἀγροώτης, καὶ πλεονασμῷ τοῦ ι, ἀγροιώτης. Dr.

Ibid. *ΑΥΤΗι ΜΕΝ ΓΑΡ ΝΥΚΤΙ.* Ἐ αὐτῇ δὲ τῇ νυκτὶ ἐβουλεύσατο, καὶ συνεγίνετο τῇ Ἀλκμήνῃ, [e])ἵνα μὴ ἐλεγχθῇ μοιχευθεῖσα. Tz.

non esse nimirum Tzetzis: quanvis dubium non sit quin multa desint. Heinsius.

f) τὸν Τυφῶνα Bas. τὰ τὸν Τυφῶνα ὑποκεῖσθαι B.
g) ἐπέβην Bas. ἐσέβη Heins.
e) Sequentia edd. habent post

37. *ΑΥΤΗι Δ' ΑΜΦΙΤΡΥΩΝ.* Ἐν ταύτῃ δὲ καὶ ὁ ἀνὴρ αὐτῆς παραγίνεται. Tz.

40. *ΩΡΤ' ΙΕΝΑΙ.* Ὁμηρικός ἐστιν ὁ ζῆλος· ἐκεῖνος γὰρ συνεχῶς "βῆ δ' ἰέναι" καὶ "ὦρτ' ἰέναι" φησίν· ὅθεν παρακεκίνηται καὶ Ἡσίοδος. Λαμβάνεται γοῦν καὶ ὧδε κἀκεῖ τὸ ὦρτο καὶ τὸ βῆ, ἀντὶ τοῦ ὥρμητο καὶ παρεκινήθη. Di.

48. Ἡ Ἀλκμήνη (φησὶ) συγγενομένη τῷ Διῒ καὶ τῷ Ἀμφιτρύωνι ἐν Θήβαις διδύμους ἔτεκε παῖδας, οὐχ ὁμόφρονας, ἀδελφοὺς δὲ, τὸν μὲν χειρότερον, τὸν Ἰφικλέα δηλαδή· τὸν δὲ κατὰ πολὺ κρείττονα, λέγω δὴ τὸν Ἡρακλέα. Ἀλλὰ τὸν μὲν Ἡρακλέα, φησὶ, συγγενομένη τῷ Διΐ· τὸν δὲ Ἰφικλέα συγγενομένη τῷ Ἀμφιτρύωνι ἔτεκεν. Τρεῖς εἰσὶ Θῆβαι. Αἱ ἑπτάπυλοι πρὸ τῆς Πελοποννήσου, ἃς Κάδμος ἔκτισεν. Αἱ ἑκατοντάπυλοι ἐν Αἰγύπτῳ, ἐξ ὧν καὶ Ὅμηρος. Καὶ αἱ Ὑποπλάκιοι, ὅ ἐστι τὸ Ἀτραμύτιον, ἣ καὶ Θήβη ἑνικῶς λέγεται. Πρότερον εἰπὼν ἀρσενικῶς ἐπέφερε βίην Ἡρακληείην θηλυκῶς, πρὸς τὸ σημαινόμενον τὸν λόγον συμβιβάζων. Di.

50. *ΗΣΤΗΝ.* Τὸ θέμα, εἰμὶ τὸ ὑπάρχω, καὶ ὁ παρατατικὸς, ἦν, τὸ τρίτον τῶν δυϊκῶν ἤτην, καὶ πλεονασμῷ τοῦ σ, ἤστην. Ὅτι οὐ λέγομεν ὥσπερ χείρω καὶ χείρονα καὶ χειρότε-
505 ρον, οὕτω δὴ καὶ μειζότερον καὶ καλλιώτερον καὶ κρειττότερον, ἀλλὰ μόνον χειρότερον. Καὶ τοῦτο δὲ ποιηταῖς μόνοις ἁρμόδιον, ὡς καὶ τὸ χειροτέρην γενεὴν, ὅ φησιν Ἡσίοδος εἰς τὰ ἔργα καὶ τὰς ἡμέρας. Μιγεῖσα. Μίγω, ὁ μέλλων μίξω, ὁ ἀόριστος ἔμιξα, ὁ δεύτερος ἔμιγον· ὁ παθητικὸς, ἐμίγην, ἡ μετοχὴ ὁ μιγεὶς, ἡ μιγεῖσα. Di.

55. *) *ΚΕΚΡΙΜΕΝΗΝ ΓΕΝΕΗΝ.* Διακεχωρισμένην γενεάν. Ὁ μὲν ἐκ Διὸς θεοῦ, ὁ δὲ ἐξ Ἄρεως. Ἄρης Ἄρητος Ἀρητιάδης. Tz.

57. Οὗτος ὁ Ἡρακλῆς φησὶν, ἐφόνευσε καὶ τὸν Κύκνον τὸν υἱὸν τοῦ Ἄρεος, διότι κατασχὼν τὸν ναὸν τοῦ Ἀπόλλωνος ἐσύλα τὰ ἐκεῖ προσφερόμενα. Εὗρε δὲ αὐτὸν τὸν Κύκνον ὁ Ἡρακλῆς καὶ τὸν πατέρα αὐτοῦ Ἄρην (υἱὸς γὰρ τοῦ Ἄρεος ὁ Κύκνος) ἱσταμένους ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος ἐν δίφροις, καὶ λαμπομένους ἐν τεύχεσι. Τὴν ὑποκειμένην δὲ γῆν ἐκτύπουν οἱ ἵπποι κόπτοντες ταύτην ἐν ταῖς ὁπλαῖς· κόνις δὲ ἠγεί-

*) αὐτῆς παραγίνεται. Expunxit Heinrich, utpote ex n. ad v. 52. repetita.

ρετο κινουμένη ὑπὸ τῶν ἁρμάτων καὶ τῶν ἵππων· καὶ ἀμφὶ σφὲ καὶ αὐτοὺς κατὰ ἀναστροφὴν τῆς προθέσεως, λέγω δὴ τὸν Ἄρην, καὶ τὸν Κύκνον, δεδήει, καὶ ἐσκορπίζετο. Κινουμένων δὲ τῶν ἵππων, ἦχον ἀπετέλουν αἱ τῶν δίφρων ἅμαξαι καὶ αἱ ἄντυγες, ἤγουν αἱ περιφέρειαι τῶν δίφρων. Dι.

Ibid. *ΕΠΕΦΝΕ.* Φένω τὸ φονεύω. Ὁ μέλλων φενῶ. Ὁ παρακείμενος πέφαγκα, ὁ μέσος πέφονα. Καὶ ἐκ τούτου ἕτερον ῥῆμα πεφόνω καὶ πέφνω κατὰ συγκοπήν. Dι.

Ibid. *ΑΡΗΤΙΑΔΗΝ.* Ἐντεῦθεν δῆλον ὡς εὕρηται καὶ Ἄρητος, οὗ καὶ πατρωνυμικὸν ὁ Ἀρητιάδης. Dι.

Ibid. *ὋΣ ΚΑΙ ΚΥΚΝΟΝ ΕΠΕΦΝΕΝ.* Ἡ δὲ αἰτία τῆς ἐπὶ Κύκνον στρατείας, διὰ τὸ τοὺς ἄγοντας εἰς τὴν Πυθὼ δεκάδας ἐπὶ χειρὶ [h]) συλλαβεῖν, σκέψιν ἔχων τὴν εἰς τὴν Τραχῖνα πρὸς τὸν βασιλέα Κήϋκα ἄφιξιν· ὃν ἀνελὼν αὖθις τὸν Ἄρεα ὑπερασπίζοντα τοῦ υἱοῦ τιτρώσκει πρὸς τὸν μηρόν. Tz.

58. *ἙΚΗΒΟΛΟΣ.* Ἀπὸ τοῦ ἑκὰς, ὃ σημαίνει τὸ μακρὰν, καὶ τοῦ βάλλω. Ἀρετὴ γὰρ τόξου τὸ πόῤῥω βάλλειν· ἑκατηβόλος δὲ ἀπὸ τοῦ ἑκατὸν καὶ τοῦ βέλος. Μυθεύονται γὰρ ὅτι ἑκατὸν βέλεσι τὸν δράκοντα τὸν ἐν Πυθοῖ ἀνεῖλεν. Dι.

59. *ΑΤΟΣ.* Ὁ ἀκόρεστος, ἀπὸ τοῦ ἀ ἐπιτατικοῦ καὶ τοῦ τῶ, τὸ ζητῶ. Πολλὰ γὰρ ζητοῦσιν οἱ ἀκόρεστοι. Δεδήει, 506
ἀντὶ τοῦ ἐμερίζετο. Κανονίζεται δὲ οὕτως· δαίω τὸ μερίζω, ὁ μέλλων δαίσω, ὁ παρακείμενος δέδαικα, ὁ μέσος δέδαια, καὶ δέδηα, κατὰ τροπὴν τοῦ ἀ εἰς ή, ὁ ὑπερσυντέλικος ἐδεδήειν ἐδεδήεις ἐδεδήει. Dι.

65. Ὁ Κύκνος δὲ (φησὶν) ἔχαιρεν ἐλπίζων φονεῦσαι τὸν Ἡρακλέα, καὶ ἀφελέσθαι αὐτὸν τὰ ὅπλα· ὡσαύτως καὶ τὸν ἡνίοχον αὐτοῦ Ἰόλαον· ἀλλὰ τῶν εὐχῶν αὐτοῦ, ἢ τῶν δεήσεων, ἢ τῶν καυχημάτων (ἔστι γὰρ εὐχὴ καὶ ἡ καύχησις) οὐκ ἤκουεν

h) *συλλαβὼν* Bas. *διότι τοὺς ἀνάγοντας ἐν Πυθοῖ δεκάδας ἐπεχείρει συλεύειν, ἐγγίνεται σκέψιν ἔχων τὴν εἰς Τελχῖνα καὶ τὸν Κύηκα τὸν β. ἀ.* B.

4) Mutila haec sunt et confusa aut in alium locum translata: aut utrunque potius hic commissum est. Scribe hoc modo: *κεκριμένην γενεήν*] *διακεχωρισμένην γενεάν. Ὁ μὲν ἐκ Διὸς τοῦ θεοῦ, ὁ δὲ ἐξ Ἀμφιτρύωνος ἀνθρώπου:* quod praetermissum. Reliqua hic locum non habent. Est enim glossa, quae spectat ad ea quae sequuntur: *Ὃς καὶ Κύκνον ἔπεφνεν Ἀρητιάδην.* Nam illud, *ὁ δὲ ἐξ Ἄρεως*, negligentia editoris commissum est. Illa enim quae de Hercule et Iphiclo dicuntur, cum iis confunduntur quae ad Cycnum spectant. Heinsius.

ὁ Ἀπόλλων· αὐτὸς γὰρ ὁ Ἀπόλλων παρεκίνησε τὸν Ἡρακλέα κατὰ τοῦ Κύκνου· διότι, ὡς εἴρηται, ἐσύλα τὰ ἐν τῷ ναῷ προσφερόμενα· πᾶν δὲ τὸ ἄλσος, ἤγουν ὁ περίχωρος τοῦ ναοῦ (ἦσαν γὰρ ὡς ἐπιτοπλεῖστον οἱ τοιοῦτοι περίχωροι κατάφυτοι καὶ ἀλσώδεις) σὺν τῷ περιχώρῳ δὲ καὶ αὐτὸς ὁ ναὸς τοῦ Ἀπόλλωνος κατελάμπετο ὑπὸ τῶν ὅπλων τοῦ Ἄρεος, καὶ τῆς στιλβηδόνος τῆς ἐκπεμπομένης ἀπ' αὐτοῦ τοῦ Ἄρεος. Τίς δ' ἂν θνητὸς ἄνθρωπος ἐτόλμησεν ἐκείνῳ πλησιάσαι, πλὴν τοῦ Ἡρακλέους καὶ τοῦ Ἰολάου, ἐκείνων γὰρ ἡ ἰσχὺς μεγάλη, καὶ αἱ χεῖρες ἀνάλογοι πρὸς τὴν τῆς ψυχῆς καρτερίαν καὶ ῥωμαλεότητα. Καλῶς πρόσκειται τὸ ἐπὶ στιβαροῖς μέλεσι· χρὴ γὰρ τοὺς χεῖρας μεγάλας ἔχοντας, καὶ τὴν ὁλομέλειαν τοῦ σώματος ἀνάλογον ἔχειν ταῖς χερσί· μέλος δὲ καὶ μέρος διαφέρει, καθ' ὃ τὸ μὲν μέλος ἐπὶ τῶν μειόνων λέγεται· τὸ δὲ μέρος ἐπὶ τῶν μειζόνων· καὶ τὸ μὲν μέλος μόνον ἐπὶ σαρκῶν, τὸ δὲ μέρος καὶ ἐπὶ ἑτέρων. Di.

68. *ΕΥΧΩΛΗ.* Τὸ χῶ ω μέγα, ἀπὸ τοῦ εὔχω, τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων. Di.

69. *ΕΠΩΡΣΕΝ.* Ὀῤῥώ, ὁ μέλλων ὄρσω Αἰολικῶς, ὁ ἀόριστος ὦρσα, τὸ τρίτον ὦρσεν. Ἰστέον, ὅτι οἱ Δωριεῖς καὶ τοὺς βαρυτόνους μέλλοντας περισπῶσιν· οἷον δωσῶ, τυψῶ, τὸ δώσω καὶ τύψω. Οἱ δὲ Αἰολεῖς καὶ τοὺς περισπωμένους βαρύνουσιν· οἷον, σπέρσω καὶ ὄρσω, καὶ κέρσω, καὶ ἔρσω, τὸ σπερῶ, καὶ ὀρῶ, καὶ καρῶ, καὶ ἐρῶ, ἤγουν φθερῶ. Di.

70. *ΠΑΓΑΣΑΙΟΥ.* Παγασαῖος ὁ Ἀπόλλων ὁ ἐν Παγασαῖς τόπῳ τιμώμενος. Di.

Ibid. *ΠΑΓΑΣΑΙΟΥ.* Πάγασος, πόλις τῆς Θετταλίας· τόπος ὠνομασμένος παρὰ τὸ ἐκεῖ τὴν Ἀργὼ πεπῆχθαι. Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τῷ περὶ Χρηστηρίων [1]) τὸν ἐν Παγασαῖς Ἀπόλλωνα ὑπὸ Τροφωνίου ἱδρῦσθαί φησι. Tz.

73. *ΕΤΛΗ.* Τλάω τλῶ, καὶ ἐκ τούτου ῥῆμα εἰς μι τλῆμι, ὁ δεύτερος ἀόριστος ἔτλην, καὶ ἔτλη τὸ τρίτον. Ἡ βία σημαίνει καὶ τὴν δυναστείαν, καὶ τὴν ἰσχὺν ἐνταῦθα. Di.

76. *ΕΠΕΦΥΚΟΝ.* Ἀπὸ τοῦ φύω φύσω πέφυκα, γίνεται ἕτερος ἐνεστὼς πεφύκω, καὶ ὁ παρατατικὸς ἐπέφυκον. Di.

77. Τότε δὲ (φησὶν) ὁ Ἡρακλῆς πρὸς τὸν Ἰόλαον εἶπεν·

1) διὰ τὸ ἐν Παγασαῖς Ἀπόλλωνος ὑπὸ Τροφωνίου ἱερὸν ἱδρῦσθαι. B.

ὦ Ἰόλαε, ἀληθῶς ἥμαρτεν εἰς θεοὺς ὁ πατήρ μου Ἀμφιτρύων, ὅτε φυγὰς ἦλθεν εἰς Θήβας καταλιπὼν τὴν ἰδίαν πατρίδα τὴν 507 *Τίρυνθον. Ἐφόνευσε γὰρ τὸν πενθερὸν αὐτοῦ Ἠλεκτρυῶνα ἕνεκα τῶν βοῶν. Ἔῤῥιψε γὰρ, ὡς εἴρηται, ῥάβδον κατὰ βοὸς, καὶ τῆς μὲν ἀπέτυχεν, ἀπέκτεινε δὲ τὸν ἴδιον πενθερόν· ἦλθε δὲ εἰς τὸν Κρέοντα τὸν βασιλέα Θηβῶν, καὶ τὴν γυναῖκα ἐκείνου τὴν Ἡνιόχην, οἵ τινες ἀπεδέξαντο καὶ ἠγάπησαν αὐτὸν, ὡς ἔστι νόμος ποιεῖν τοῖς ἱκέταις· πλέον δὲ ἠγάπων αὐτὸν ἐκ ψυχῆς, ὡς ἄξιον ἀγάπης, ἢ διὰ τὸν νόμον. Ὅτι κραταιὸς μὲν λέγεται ὁ ἰσχυρὸς εἰς ἐξουσίαν, ἤγουν ὁ βασιλεὺς, καὶ γίνεται ἀπὸ τοῦ κρὰς ἡ κεφαλή· κρατερὸς δὲ ὁ ἰσχυρὸς ἐν ἀνδρείᾳ, οἱονεὶ κραδερὸς ὤν. Ἀπὸ τοῦ κραδία, ὁ εὐκάρδιος καὶ ἀνδρεῖος, ἢ ἀπὸ τοῦ κείρω τὸ κόπτω, οὗ τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου κέκαρται, καὶ ἐκ τούτου κάρτος, καὶ κράτος, καὶ κρατερὸς, οἱονεὶ ὁ ἰσχύων κείρειν καὶ κόπτειν.* Di.

79. *Η ΤΙ ΜΕΓ' ΑΘΑΝΑΤΟΥΣ. Τί οὖν (φησὶν) ἥμαρτεν εἰς τοὺς θεοὺς ὁ Ἀμφιτρύων, ὅτε φυγὰς ἐκ Τίρυνθος, εἰς Θήβας ἦλθεν διὰ τὸν Ἠλεκτρύωνος φόνον; Ἄκων δὲ αὐτὸν ἐφόνευσε πατέρα τῆς Ἀλκμήνης πατὴρ Ἡρακλέως καὶ Ἰφίκλου. Ἰόλαος υἱὸς Ἰφίκλου· Ἴφικλος δὲ υἱὸς Ἀμφιτρύωνος, καὶ ἀδελφὸς Ἡρακλέους. Ἀνεψιὸς οὖν Ἰόλαος Ἡρακλέους.* Tz.

80. *ΗΛΙΤΕΝ. Ἀόριστός ἐστι δεύτερος, ἀπὸ τοῦ ἀλείτω τὸ ἁμαρτάνω. Τὸ δὲ ἀλείτω γίνεται ἀπὸ τοῦ ἀλεύω τὸ ἐκφεύγω, ἵν' ᾖ ἀλεύτω καὶ ἀλείτω. Ἡ γὰρ ἁμαρτία ἔργα τελεῖ φυγῆς ἄξια. Στέφος γίνεται ἀπὸ τοῦ στέφω τὸ ὑπισχνοῦμαι, καὶ τοῦ ἶφι, ὃ σημαίνει τὸ ἰσχυρῶς· τὸ γὰρ στέφος ὑπόσχεσις τῶν ἀγώνων ἰσχυρά. Ἐξ οὗ κατὰ παραγωγὴν στέφανος.* Di.

86. *Ἀλλ' ὁ μὲν πατήρ μου (φησὶν) ἔζη ἐκεῖ μετὰ τῆς γυναικός· προϊόντος δὲ τοῦ χρόνου ἐγεννήθημεν καὶ ἡμεῖς, ἐγὼ καὶ ὁ σὸς πατὴρ, πλὴν οὔτε κατὰ τὴν σωματικὴν ῥώμην ὅμοιοι, οὔτε κατὰ τὴν γνῶσιν. Τοῦ σοῦ μὲν γὰρ πατρὸς Ἰφικλέους τὴν γνῶσιν ἀφείλετο ὁ Ζεὺς, καὶ ἐμώρανεν αὐτὸν, διότι κατέλιπε τὸν ἴδιον οἶκον, καὶ ἀπῆλθε δουλεύειν Εὐρυσθεῖ τῷ βασιλεῖ Πελοποννήσου, ἀλλ' ἴσως πολλὰ μετεμελήθη ὕστερον ἀνωφελῶς· ἐμοὶ δὲ ὁ θεὸς Ἀπόλλων ἐκέλευσε φονεῦσαι τὸν Κύκνον. Ἀλλὰ σὺ κράτει τὰ χαλινὰ τῶν ἵππων, καὶ μὴ δειλιάσῃς τὸν Ἄρην, ὃς νῦν μαίνεται ὑπὸ θυμοῦ, καὶ τῆς περὶ τὴν μάχην ὁρμῆς· κορέννυται γὰρ πολέμου καίπερ ἀνδρεῖος ὤν. Φασὶν*

ὅτι ὅτε ἦν ἐννεαμηνιαῖος ὁ Ἡρακλῆς ἐν τῇ Ἀλκμήνῃ, ἔτυχε τὸν Εὐρυσθέα ἑπταμηνιαῖον εἶναι ἐν τῇ Ἀρχίππῃ· ὤμοσεν οὖν ὁ Ζεὺς ἐκεῖνον ἄρξαι τοῦ ἑτέρου, τὸν γεννησόμενον κατ' ἐκείνην τὴν ἡμέραν, ὡς τοῦ Ἡρακλέους μέλλοντος γεννᾶσθαι. Ἀλλ' ἡ Ἥρα ζηλοτυποῦσα πρὸς τὴν Ἀλκμήνην ἐποίησε τὸν μὲν Εὐρυσθέα ἑπταμηνιαῖον γεννηθῆναι, τὸν δὲ Ἡρακλέα δεκαμηνιαῖον, [5]) *ὡς μαρτυρεῖ καὶ Θεόκριτος. Φησὶ γὰρ Ἡρακλέα δεκάμηνον*
508 *ἐόντα γείνατο μήτηρ. Ἦρξε γοῦν διὰ τὸν ὅρκον Εὐρυσθεὺς τοῦ Ἡρακλέους. Τὸ ἰθὺς ἔχειν, ἀντὶ τοῦ ἐπ' εὐθείας ἔχε καὶ κράτει· λαμβάνεται γὰρ τὸ μὲν ἰθὺς ὄνομα ἀντὶ ἐπιῤῥήματος, τὸ δὲ ἔχειν ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τοῦ ἔχε. Ζητοῦσι διὰ τίνα λόγον ὁ Ἄρης καὶ ὡς τὰ ἰαμβικὰ κλίνεται, ὡς ἔχων τὴν παραλήγουσαν βραχεῖαν παρὰ τῷ Ὁμήρῳ, οἷον Ἄρητος ὡς λέβητος. Καὶ πάλιν ὡς τὰ σπονδιακὰ, οἷον Ἄρου, ὡς Πέρσου. Καὶ πάλιν ἁπλοῦν ὂν, διὰ τί ὡς τὰ σύνθετα κλίνεται, οἷον Ἄρεος καὶ Ἄρους ὡς Δημοσθένεος καὶ Δημοσθένους; φαμὲν οὖν ὅτι τοῦτο συνέβη ἀπὸ τῶν διαφόρων ἐτυμολογιῶν· εἰ μὲν γὰρ ἀπὸ τοῦ ἐπιτατικοῦ ά, καὶ τοῦ ῥῶ τὸ λέγω ἐτυμολογεῖται, ἔστι τὸ ά ἤγουν ἡ παραλήγουσα μακρὰ, καὶ κλίνεται Ἄρης Ἄρου ὡς τὰ σπονδιακά· εἰ δὲ ἀπὸ τοῦ ά στερητικοῦ καὶ τοῦ ῥῶ τὸ λέγω, οὐδὲ γὰρ δέεται ὁ πόλεμος λόγων, ἔστι τὸ ά βραχὺ, καὶ κλίνεται Ἄρης Ἄρητος ὡς τὰ ἰαμβικά. Πάλιν τινὲς λέγουσι αὐτὸ εἶναι ἁπλοῦν, ὡς ἀπὸ τοῦ αἱρῶ τὸ φονεύω γινόμενον· τινὲς δὲ σύνθετον, ὡς ἀπὸ τοῦ ά μορίου καὶ τοῦ ῥῶ. Λοιπὸν ὡς μὲν ἁπλοῦν δέχεται ἐκείνας τὰς κλίσεις· ὡς δὲ σύνθετον κλίνεται καὶ Ἄρεος, Ἄρους, ὡς Δημοσθένους. Ἔστι δὲ καὶ ἑτέρα εὐθεῖα ἡ Ἄρευς, καὶ κλίνεται τοῦ Ἄρεος καὶ Ἄριος Αἰολικῶς, καὶ Βοιωτικῶς, καὶ Ἄρηος Ἰωνικῶς, καὶ Ἄρεως Ἀττικῶς.* DI.

89. *ΤΟΥ ΜΕΝ ΦΡΕΝΑΣ. Τοῦ Ἰφίκλου, τοῦ πατέρος*

5) Excoriavit poetam summum, cui nunquam hic versus in mentem venit. Sed Grammatici festinantes nihil pensi habent, ut quamprimum sensum perficiant, quem unico versu concludere voluit Diaconus, magis quam par est in re aliena securus. Theocritus scripserat, *Ἡρακλέα δεκάμηνον ἐόντα ποχ' ἁ Μιδεᾶτις Ἀλκμήνα*: et quae sequuntur. Longa autem periodus torserat Diaconum. Itaque huic parti succurrere voluit. Mea sententia tutius fuisset non adduxisse. Nam quam fidem grammaticis habebimus, cum nobis *ἀποσπασμάτια* eorum poetarum adducunt, quae ad nos non pervenerunt? HEINSIUS.

Ἰολάου· ἐπεὶ ἀπολιπὼν τῷ Εὐρυσθεῖ τὸν ἑαυτοῦ οἶκον, ἀπεχώρησε· μετὰ δὲ ταῦτα μετεμελήθη, τοῦ μὲν κακῶς πράξαντος, τοῦ δὲ νομισθέντος ἀξίου διὰ τὴν πρᾶξιν. Tz.

91. *ΑΛΙΤΗΜΕΝΟΝ ΕΥΡΥΣΘΗΑ.* Διὰ τὸ πρὸ καιροῦ τεχθῆναι. Τῆς γὰρ Ἥρας ζηλοτυπούσης Ἀλκμήνην, καὶ μὴ [l]) χωρησάσης τότε τὸν Ἡρακλέα τεχθῆναι, τὸν δὲ Εὐρυσθέα ἐασάσης διὰ τὸ βασιλεῦσαι. Καὶ γὰρ ὀμόσας ὑπῆρχεν ὁ Ζεὺς τοῖς θεοῖς τάδε· ὁ τικτόμενος, φησὶ, τήμερον, ἄρξει τῆς Ἀσίας πάσης. Ὅρκον δὲ περὶ τούτου λαβοῦσα παρὰ τοῦ Διὸς ἡ Ἥρα, τὰς μὲν Ἀλκμήνης ὠδῖνας [m]) ἔπαυσε, τῆς δὲ Ἀρχίππης λέλυκε· καὶ ἑπτὰ μηνῶν αὐτῆς ἐχούσης, Εὐρυσθέα τεκεῖν ἠναγκάσθη. Tz.

99. *ΚΕΚΛΗΓΩΣ.* Κλήγω τὸ θέμα ἢ κλάζω, ὁ μέσος παρακείμενος κέκληγα καὶ κέκλαγα. Di.

101. *ΑΑΤΑΙ.* Ἤγουν κορέννυται· ἄημι γὰρ τὸ ἐκπνέω, καὶ τὸ παθητικὸν ἄαμαι, ἄασαι, ἄαται. Di.

102. Πρὸς τὸν Ἡρακλέα δὲ (φησὶν) ἀπελογήσατο ὁ Ἰόλαος· ὦ θεῖε, ὄντως ὁ Ζεὺς τιμᾷ σὲ καὶ ὁ Ποσειδῶν, ὃς φυ- 509
λάσσει τὰς Θήβας, ὥσπερ καὶ νῦν ἔφερον τὸν Κύκνον εἰς τὰς σὰς χεῖρας, ἵνα φονεύσας τοῦτον δοξασθῇς· ἀλλ' ἄγε, φησὶν, ὁπλίσθητι, ἵνα συμπλακῶμεν εἰς μάχην μετὰ τοῦ Κύκνου· ἐπεὶ οὔτε σὺ ἔχεις φοβηθῆναι ἐκεῖνον, οὔτε ἐγώ· ἀλλ' ὑπολαμβάνω φυγεῖν ἐκεῖνον ἀφ' ἡμῶν, οἵ τινες πλέον τῆς τροφῆς ἀγαπῶμεν τὸν πόλεμον. Ἐννοσίγαιος Ποσειδῶν, ἀπὸ τοῦ ἔνοσις ἡ κίνησις, καὶ τοῦ γῆ· ἵν' ᾖ ἐνοσίγαιος ὁ τὴν γῆν κινῶν· οἱ γὰρ φυσικοὶ ἀπὸ τῶν ὑδάτων γίνεσθαι τοὺς σεισμοὺς φασί. Πλεονάζει δὲ τὸ ἕτερον ν, διὰ τὸ μέτρον, Αἰολικῶς. Di.

104. *ΚΑΙ ΤΑΥΡΕΟΣ ΕΝΝΟΣΙΓΑΙΟΣ.* Ἤγουν διὰ τὸν τῶν κυμάτων ἦχον, ὡς ταῦροι γὰρ μυκῶνται· ἢ ὅτι ταυρόκρανός ἐστιν· ἢ ὅτι Ταύρειος Ποσειδῶν ἐν πόλει Βοιωτίας, [n]) διὰ τὸ ταύρους θύεσθαι αὐτῷ, καὶ μάλιστα ἐν Ὀγχηστῷ. Διὰ τοῦτο καὶ ταυροκράνους τοὺς ποταμούς. Ἀπὸ οὖν τοῦ θυσίας ταύρων ἐπιτελεῖν τῷ Ποσειδῶνι, ταύρειος ἐκλήθη Βοιωτικῶς. Tz.

107. *ΑΡΗΑΙ.* Κανόνισον, αἴρω τὸ ἐπαίρω, ὁ μέλλων

l) συγχωρούσης B. et mox οὐσίας pro Ἀσίας.

m) ἀπέσβεσε et mox ἔδωκε pro λέλυκε B. In fine ἠνάγκασε.

n) διὰ τὸ ἐν Ἑλικῶνι τῆς Βοιωτίας ταύρους τ. θ. θ. B.

ἀρῶ, ὁ ἀόριστος ἦρα, ὁ μέσος ἠράμην, καὶ τὸ ὑποτακτικὸν ἐὰν ἄρωμαι, τὸ τρίτον ἐὰν ἄρηται, καὶ ἐξ αὐτοῦ τὸ δεύτερον πρόσωπον ἄρηαι, ἀποβολῇ τοῦ τ. Di.

114. *ΦΥΛΟΠΙΔΑ ΣΤΗΣΕΙΝ. Πόλεμος καὶ φύλοπις τὸ αὐτό· ἅτινα τῆς εὐωχίας τὰ προφιλέστατά ἐστιν. ΑΛΛΩΣ. Ἡμῖν κατὰ πολὺ κρείττονά εἰσι τῆς εὐωχίας τὰ τοῦ πολέμου ἔργα, φησὶ, καὶ τὰ τῆς μάχης πολὺ ἡδύτερα αὐτῆς εἰσὶν εὐωχίας.* Tz.

115. *Ταῦτα (φησὶν) εἰπόντος τοῦ Ἰολάου, ἐχάρη ὁ Ἡρακλῆς· φρονίμως γὰρ ἀπελογήσατο ὁ ἀνεψιὸς αὐτοῦ, καὶ εἶπεν Ἡρακλῆς· οὐ μακρὰν ἡ μάχη Ἰόλαε· σὺ δὲ ὥσπερ καὶ πρότερον ἦσθα ἔμπειρος πολέμου καὶ ἡνιόχεις καλῶς, οὕτω καὶ νῦν φρόντισον ἡνιοστροφεῖν τοὺς ἵππους καὶ βοηθεῖν καθόσον δύνασαι.* [6]*)Ὀρείχαλκος τὸ λευκὸν χάλκωμα· ἐν ὄρεσι γὰρ εὑρίσκεται. Ἄλλοι δέ φασιν, ὧν καὶ Φιλόπονος, ὀρείχαλκον εἶναι ὕλην τινὰ μεταλλικὴν τιμιωτέραν χαλκοῦ, ἣ νῦν οὐχ εὑρίσκεται· ὥσπερ δὲ ἀνατιθέαμεν τὴν τεκτονικὴν καὶ ὑφαντικὴν τῇ Ἀθηνᾷ, οὕτω καὶ τὴν ὁπλοποιητικὴν τῷ Ἡφαίστῳ.* Di.

119. *ΥΣΜΙΝΗ. Ἡ μάχη, καὶ γίνεται κατὰ τὸν Θεσσαλονίκης ἀπὸ τοῦ ὑπομίμνειν, ἵν᾽ ᾖ ὑπομίμνη, καὶ ὑσμίνη. Ὑπομένει γὰρ καὶ ὑφίσταται ἡ μάχη τὸν πόλεμον τῶν ἀνδρῶν.* Di.

Ibid. *ΗΣΘΑ. Κανόνισον· εἰμὶ τὸ ὑπάρχω, καὶ ὁ παρατατικὸς ἦν, τὸ δεύτερον ἦς, καὶ ἐπεκτάσει τῆς θα συλλαβῆς ἦσθα.* Di.

120. *ΑΡΕΙΟΝΑ.* [7]*) Τὸ συγκριτικὸν ἔλαβεν ἀντὶ θηλυκοῦ,*
510 *καὶ ἐν ἄλλοις δὲ πλείοσιν ἔθος τοιοῦτον τῷ Ἡσιόδῳ· τὸ ο δὲ γράφεται μικρὸν πρὸς τὴν ἀναλογίαν τῶν συγκριτικῶν· ταῦτα γὰρ πάντα καθὸ τριγενῆ συστέλλονται.* Di.

Ibid. *ΑΡΕΙΟΝΑ ΚΥΑΝΟΧΑΙΤΗΝ. Ἀρείων ἵππος, ὃν ἔλαβεν ὕστερον Ἄδραστος. Ὅμηρος·*

6) Tota haec glossa hic ejicienda est, et reponenda suo loco: nimirum, ad textus sequentis illa verba: *ὀρειχάλκοιο φαεινοῦ*: hac ratione: *ὀρειχάλκοιο φαεινοῦ*] *ὀρείχαλκος τὸ λευκὸν χάλκωμα· ἐν ὄρεσι γὰρ εὑρίσκεται. Ἄλλοι δέ φασιν, ὧν καὶ Φιλόπονος, ὀρείχαλκον εἶναι ὕλην τινὰ μεταλλικὴν τιμιωτέραν χαλκοῦ, ἣ νῦν οὐχ᾽ εὑρίσκεται.* Reliqua quae sequuntur, nimirum, *ὥσπερ δὲ ἀνατιθέαμεν*, ad verba sequentia spectant, *Ἡφαίστου κλυτὰ δῶρα.* Heinsius.

7) Scribe: *τὸ συγκριτικὸν ἔλαβεν ἀντὶ θετικοῦ.* Loquitur *περὶ τοῦ Ἀρείονα.* Heinsius.

Οὐκ εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι,
Ἀδράστου ταχὺν ἵππον.

[o]) Οὗτος καὶ Ἀρχίθοος, ὅτε ἐγεννᾶτο ὁ Ἡρακλῆς, τῷ Ἀρείονί φασι ἵππῳ κεχρῆσθαι, ᾧ ἐποχούμενος Ἄδραστος ἐν ταῖς Θήβαις ἐξέφυγεν. Ἀρείων, ἵππος Ἡρακλέους. Tz.

122. Ταῦτα εἰπὼν (φησὶν) ὁ Ἡρακλῆς, κνημῖδας μὲν λευκοῦ χαλκοῦ, ἔθηκεν εἰς τὰς κνήμας αὐτοῦ. Εἶτα θώρακα ἐνεδύθη χρυσοῦν, δῶρον τῆς Ἀθηνᾶς. Θῆκε δὲ καὶ εἰς τοὺς ὤμους αὐτοῦ σωσάνιον, καὶ τοξοθήκην ἐκρέμασεν εἰς τὰ στήθη αὐτοῦ, ἣν καὶ εἰς τὸ ὄπισθεν μέρος περιέτρεψεν· εἶχον δὲ τὰ βέλη ἔμπροσθεν μὲν θάνατον, ἤτοι τὰς ἀκμὰς τῶν ξιφῶν τὰς θανατηφόρους· τὴν δὲ μέσην ξεστὴν, διότι τὸ μέσον τοῦ βέλους ξύλον ἐστὶ ξεστόν· ὄπισθεν δὲ ἐκαλύπτοντο ἐν πτεροῖς ἀετοῦ· ἔλαβε δὲ καὶ ἐν ταῖς χερσὶν αὐτοῦ κοντάριον μετὰ ξίφους· ἐπέθηκε δὲ τῇ κεφαλῇ αὐτοῦ περικεφαλαίαν ποικίλην ἀδάμαντι σιδήρῳ ἐπὶ τῇ κεφαλῇ αὐτοῦ ἁρμόζουσαν. Ἀδάμαντα ἐνταῦθα οὐ λέγει τὸν λίθον, ἀλλὰ τὸν σίδηρον· καὶ γὰρ καὶ ὁ σίδηρος, εἰ καὶ μὴ λίαν ἀτέραμνος, ἀλλ' οὖν δυσμάλακτος καὶ δυσδάμαστος· εἴθισται δὲ τοῖς ποιηταῖς καὶ τῇ ἄλλῃ γραφῇ τὸ ά στερητικὸν ἀντὶ τοῦ δὺς λαμβάνειν. Διὸ ἄβατον ὁδὸν τὴν δύσβατον λέγομεν, καὶ ἀπέρατον θάλασσαν τὴν δυσπέρατον. Di.

Ibid. *ΟΡΕΙΧΑΛΚΟΙΟ ΦΑΕΙΝΟΥ.* Ὀρείχαλκος εἶδος ὕλης, οὕτω καλουμένης· ἥ τις νῦν οὐχ εὑρίσκεται. Ἄλλοι δὲ λέγουσιν, ὅτι χύμευσις ἐστὶ χαλκοῦ τοῦ νῦν εὑρισκομένου. [p]) Οὐ γὰρ σκευασίᾳ τινὶ γίνεται ὁ χαλκὸς λευκὸς, φύσει πυῤῥὸς ὤν. Tz.

128. *ΑΡΗΣ.* Ἤγουν βλάβης· ἐξ Ὁμήρου δὲ παραπεποίηνται σχεδὸν πάντες οἱ στίχοι. [8])Ἀρὰ δὲ σημαίνει τρία, τὴν κατάραν, τὴν εὐχὴν, καὶ τὴν βλάβην. Di.

o) ὁ αὐτὸς καὶ Ἀρίαιθος· ὅτ' ἐγεννήθη ὁ Ἡρακλῆς τῷ Ἀρείωνί φησι κεχρῆσθαι, ᾧ ἐποχούμενος Ἄδραστος ἐν ταῖς Θ. ἐ. Ἀρίων ἵππος ὃν ἔλαβεν ὕστερον Ἄδραστος B.

p) σκευασία γὰρ sine οὐ B.

8) Hic inserenda fuerunt verba illa, quae in editione Veneta aliam sedem occuparant, ἀρῆς, ἤγουν βλάβης. Ἐξ Ὁμήρου δὲ παραπεποίηνται σχεδὸν πάντες οἱ στίχοι. Ἀρὰ δὲ σημαίνει τρία, τὴν κατάραν, τὴν εὐχὴν, καὶ τὴν βλάβην. Quae antea legebantur ad vocem ἀρείονα annotata, ineptissime: quod pagina praecedenti est. Ὡς καὶ νῦν μέγαν ἵππον Ἀρείονα κυανοχαίτην. Ubi locum habere non possunt. Heins.

511 Ibid. *ΑΛΚΤΗΡΑ.* Ἤγουν ἀποσοβητὴν, ἀπὸ τοῦ ἀλκῶ τὸ βοηθῶ. Φαρέτρα λέγεται τὸ ὀϊστοδόχον ὅπλον, ἐν ᾧ δηλαδὴ βάλλονται τὰ βέλη. Λέγεται δὲ οὕτω φαρέτρα, παρὰ τὸ φέρειν τὰ τρῶσαι δυνάμενα. Γωρυτὸς δὲ καλεῖται τὸ ὅπλον, ἐν ᾧ ἐμβάλλεται τὸ τόξον, ἀπὸ τοῦ γῶ τὸ χωρῶ, καὶ τοῦ ῥυτὸν τὸ ἑλκυστὸν, τὸ χωροῦν δηλαδὴ τὸ ἑλκυστὸν, ἤγουν τὸ τόξον. Ὀϊστὸς ἐτυμολογεῖται ἀπὸ τοῦ οἴω τὸ κομίζω κατὰ διάλυσιν, ὥσπερ καὶ ἰὸς τὸ αὐτὸ, ἀπὸ τοῦ ἵημι τὸ πέμπω. Di.

131. *ΛΑΘΙΦΘΟΓΓΟΙΟ ΔΟΤΗΡΕΣ.* Ἐπιλανθάνονται οἱ θνήσκοντες τῆς φθογγῆς, τουτέστι τοῦ λέγειν. *ΜΥΡΟΝ.* Ἔῤῥεον δὲ καὶ ἔσταζον καὶ δάκρυσι μῦρον, ἀντὶ τοῦ μύρεσθαι ἐποίουν τοὺς τῶν ἀναιρεθέντων οἰκείους, [q]) ὡς κεχρισμένων τῶν βελῶν ὄντων θανασίμῳ φαρμάκῳ. Ἢ καθότι οἱ τυπτόμενοι εὐθέως ἐτελεύτων, καὶ πάντες ὑπὸ τῶν συγγενῶν ἐδακρύοντο. Tz.

134. *ΜΟΡΦΝΟΣ.* Ὁ ἀετὸς, λέγεται δὲ καὶ τριόρχης, καὶ ὀφθαλμίας, καὶ φλεγύας, καὶ ἄλλα μυρία ὀνόματα.

Ἰστέον, ὅτι ἡ τοῦ Ἡρακλέους αὕτη ἀσπὶς, ἣν ἐκφράζει Ἡσίοδος, τὴν οἰκουμένην ἅπασαν εἰκονίζει, καὶ τὰ ἐν αὐτῇ συμβαίνοντα περιέχει· μάχας φημὶ καὶ πανηγύρεις, καὶ χοροὺς, καὶ ἀγῶνας, καὶ πολέμους, καὶ πορθήσεις πόλεων, καὶ τῶν τεθνεώτων θρήνους. Πρὸς δὲ τούτοις ἄλλους μὲν ἀροῦντας, ἄλλους δὲ θερίζοντας καὶ εἰς τὴν ἅλω τοὺς ἀστάχεις κομίζοντας· ἑτέρους δὲ κόπτοντας βότρυας καὶ πρὸς ληνὸν ἀποκομίζοντας. Ἴδοις δ᾽ ἐν αὐτῇ καὶ κυνηγέτας καὶ κύνας λαγὼς διώκοντας, καὶ ἵππους ἅμιλλαν δρόμου πεποιημένους, καὶ νέους ὀρχουμένους τε καὶ ᾄδοντας πρὸς αὐλὸν, καὶ πολλὰ τοιαῦθ᾽ ἕτερα· ἐπὶ δὲ τούτοις στεφάνου δίκην περιῤῥέοντα τὸν Ὠκεανὸν, καὶ πᾶσαν περικυκλοῦντα τὴν οἰκουμένην, καὶ κύκνους ἐν τούτῳ ᾄδοντας· καὶ θαυμάσεις οἶμαι τόν τε τὴν ἀσπίδα κατασκευάσαντα Ἥφαιστον, καὶ τὸν ταύτην ἐκφράσαντα ποιητήν. Θαυμαστὸν γὰρ ἑκάτερον ἡ τῆς ἀσπίδος ἀπέδειξε ταύτης κατασκευή. Di.

Ibid. *ΜΟΡΦΝΟΙΟ ΦΛΕΓΥΑΟ.* Ἐπτερωμένοι ἦσαν μέλανος ἀετοῦ φλεγύου, ἐκ τοῦ φλέγειν καὶ λαμπρὸν εἶναι· οἱ δὲ ὄρνεον εἶναι παραπλήσιον γυπί. Tz.

q) οὐ κεχρισμένων ὄντων B.

137. *ΑΔΑΜΑΝΤΟΣ ΕΠΙ ΚΡΟΤΑΦΟΙΣ.* *Ἐξ ἀδάμαντος κατεσκευασμένην. Ὁ γὰρ ἀδάμας λίθος ἐστὶν ἀδάμαστος.* Tz.

139. *Ἐν ταῖς χερσὶ δὲ (φησὶν) ἔλαβε σάκος παμποίκιλον, ὅπερ οὐδεὶς ἀνθιστάμενος βαλὼν ἔθραυσε, θαυμαστόν*[9]) *ὅλον γὰρ κύκλῳ λαμπρὸν ἦν ἐν γύψῳ καὶ ἐλέφαντος ὀστέοις καὶ* 512
λευκῷ χαλκῷ καὶ χρυσίῳ. Συρμάδες δὲ μέλανος διὰ μέσου τοῦ χαλκοῦ ἐγγεγραμμέναι ἦσαν, ἐν τῷ μέσῳ δὲ τῆς ἀσπίδος ἦν ἐζωγραφισμένος δράκων, εἰς τοὐπίσω βλέπων ἐν ὀφθαλμοῖς πυρωποῖς· οὗ δράκοντος τὸ μὲν στόμα εἶχε λευκοὺς ὀδόντας φοβερούς, ἐπάνω δὲ τοῦ προσώπου τοῦ δράκοντος ἐπέτετο ἡ χαλεπὴ ἔρις, ἤγουν ἡ μάχη, ὥσπερ τὶς θεά, παρορμῶσα καὶ ἐρεθίζουσα τοὺς ἄνδρας εἰς πόλεμον. Ἤ τις μάχη καὶ τὴν γνῶσιν ἀφήρει τῶν ἐναντιουμένων τῷ Ἡρακλεῖ· τοῦτο δέ φησιν ὁ ποιητής, ὡς ἀφρόνων ὄντων τῶν ἀντιμαχομένων τῷ Ἡρακλεῖ ἀνδρειοτάτῳ ὄντι. Ὧν, τῶν ἐναντιουμένων δηλαδὴ τῷ Ἡρακλεῖ, αἱ ψυχαὶ μὲν εἰς τὸν ᾅδην περαιοῦνται, τὰ ὀστᾶ δὲ αὐτῶν, σαπέντων τῶν δερμάτων, κἀκεῖνα σήπεται ἐν τῇ γῇ ἕνεκεν τοῦ ἡλίου τοῦ ξηραντικοῦ. Παναίολον, ἤγουν ποικίλον. Λέγεται δὲ αἰόλον τὸ ποικίλον, ἀπὸ Αἰόλου τινὸς γραφομένου τῷ ποιητῇ, ποικίλου τὴν φρόνησιν, καὶ ἀπαρομίλου τὴν σύνεσιν. Τίτανος, ἡ ἄσβεστος· ἐνταῦθα δὲ τὸν γύψον λέγει, ὃν καλοῦμεν σκίῤῥον. Ἐλέφας ἐνταῦθα, καὶ παρὰ τῷ ποιητῇ, τὸ τοῦ ἐλέφαντος ὀστοῦν λέγεται. Ἤλεκτρος καταχρηστικῶς ἐνταῦθα ὁ χρυσολαμπὴς χαλκὸς, διὰ τὸ λαμπρόν. Di.

142. *ΚΥΚΛΩι ΤΙΤΑΝΩι.* *Τινὲς μὲν γύψον μετὰ λευκοῦ ᾠοῦ. Ἐπάνω δὲ τοῦ γύψου, ἤλεκτρος ἦν καὶ χρυσὸς*[i]) *ἡ λεγομένη μαρμάρῳ καὶ κονίᾳ.* Tz.

9) *ἐν γύψῳ*] Ex idiotismo sequiore, pro, *σὺν γύψῳ*, vel *γύψῳ*. Sic infra, *ἐν ὀφθαλμοῖς πυρωποῖς*. Rursus v. 201. *ἐκιθάριζεν ὁ Ἀπόλλων, ὁ υἱὸς τῆς Λητοῦς καὶ τοῦ Διὸς, ἐν χρυσῇ λύρᾳ.* v. 257. *ἡ δὲ ἀχλὺς εἱστήκει, ἀπλήτως καὶ μεγάλως σεσαρυῖα καὶ ἐκλελυμένη, μυδαλέα καὶ διάβροχος οὖσα ἐν δάκρυσι.* v. 270. *πλησίον δέ (φησιν) ἐκείνων ἦν πόλις εὔκτιστος. Χρυσαῖ δὲ πύλαι ἐφύλασσον τὴν πόλιν ἐκείνην ἑπτὰ, ἡρμοσμέναι καὶ κεκλεισμέναι ἐν ὑπερθυρίοις, ἤγουν τῇ φλιᾷ, ἢ ἐν κλεισίν.* v. 285. *οἱ μὲν οὖν ἐκείνων ἐν δρεπάναις ὀξείαις ἐθέριζον.* Et supra v. 11. *ὄντως μὲν αὐτῆς τὸν ἀγαθὸν πατέρα ἐν δυνάμει φονεύσας.* Volui haec notare in gratiam eorum qui posteriores scriptores legunt, et utriusque Hellenismi rationes observare se postulant. Heinsius.

i) *ὁ λαμπόμενος* reposuit Heinrich.

143. *ΗΛΗΛΑΝΤΟ.* Κανόνισον· ἐλάω, ἐλῶ, τὸ ἐλαύνω· ὁ μέλλων ἐλάσω, ὁ παρακείμενος ἤλακα, ὁ παθητικὸς ἤλαμαι, ὁ ὑπερσυντέλικος ἠλάμην, τὸ τρίτον τῶν πληθυντικῶν ἤλαντο, καὶ Ἀττικῶς ἠλήλαντο, καὶ ὤφειλεν εἶναι ἐλήλαντο, ἀλλὰ τὰ Ἀττικὰ τὰ ἀπὸ βραχέος ἀρχόμενα ἐν τῷ παρακειμένῳ, χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ. Δράκων, ἀπὸ τοῦ δέρκω ἔδαρκον, δάρκων καὶ δράκων. Ὥσπερ ἀρνὸς ἀρνειὸς, οὕτω καὶ φατὸς φατειός. Di.

144. *ΕΝ ΜΕΣΣΩι ΔΕ ΔΡΑΚΟΝΤΟΣ.* Σωματοποιεῖ τὸν φόβον ἐνταῦθα, ὡς ἂν ἐν τῷ μέσῳ ἐξ ἀδάμαντος ἦν, οὐδαμῶς δυναμένου ῥηχθῆναι. Tz.

Ibid. *ΟΥΤΙ ΦΑΤΕΙΩΝ.* Φοβερῶν, ἀῤῥήτων, μὴ δυναμένων λεχθῆναι, διὰ τὸ ἐκπληκτικόν. Ἐνταῦθα δὲ τὸ φατειῶν, οὐκ ἐπὶ φοβερῶν καὶ ἀῤῥήτων, ἀλλ' ἐπὶ θαύματος. Tz.

146. *ΠΛΗΤΟ.* Τὸ θέμα, πλῆμι, τοῦτο δὲ ἐκ τοῦ πλῶ τὸ πληρῶ, καὶ τὸ παθητικὸν πλῆμαι, καὶ ὁ παρατατικὸς ἐπλήμην, ἔπλησο, ἔπλητο, καὶ ἀφαιρέσει τοῦ ἐ πλῆτο. Βλοσυρὸν ἀπὸ τοῦ βάλλειν καὶ τιτρώσκειν τοῖς ὄσσοις καὶ τοῖς ὀφθαλμοῖς.
513 Di.

150. *ΥΙΙ.* Ἡ εὐθεῖα ὁ ὑΐς, τοῦ ὑϊος καὶ υἷος, τῷ υἷϊ καὶ υἷι. Di.

151. *ΑΙΔΟΣ.* Ἡ εὐθεῖα, ὁ ἄϊς· ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἀ στερητικοῦ μορίου, καὶ τοῦ εἴδω εἴσω, τὸ βλέπω. Ἵν' ᾖ ἄϊς τόπος σκοτεινὸς, εἰς ὃν οὐδεὶς δύναται βλέπειν. Καὶ ὤφειλεν εἶναι ἄεις διὰ τοῦ ει̃ς διφθόγγου, ἀλλ' ὥσπερ ὁ νῆϊς, ὁ γινόμενος ἀπὸ τοῦ νὴ στερητικοῦ μορίου καὶ τοῦ εἴδω εἴσω τὸ γινώσκω, ἰωταγραφεῖται, οὕτω καὶ τοῦτο. Di.

154. Ἐν τούτοις (φησὶν) ἦν καὶ προδίωξις, καὶ ὀπισθοδίωξις, ὥς τινες θεαὶ ἐξωγραφημέναι· καὶ γὰρ οἱ πόλεμοι ποτὲ μὲν διώκουσι, καὶ καλεῖται τοῦτο προΐωξις· ποτὲ δὲ διώκονται, καὶ καλεῖται τοῦτο παλίωξις· προσωποποιεῖ δὲ τὰ πράγματα κατὰ νόμον ποιητικόν. Ἦν δὲ ἐν τῇ ἀσπίδι καὶ Θόρυβος καὶ Φόνος, καὶ ἐδεδήει καὶ ἐμάχετο (ἀπὸ τοῦ δαίω τὸ κόπτω) ἡ ἀνδροκτασία, ἤγουν ὁ τῶν ἀνδρῶν φόνος. Σὺν τούτοις ἦν ἐξωγραφημένη καὶ ἡ Ἔρις καὶ ὁ Θόρυβος, καὶ ἡ Κὴρ, ἤγουν ἡ θανατηφόρος θεὰ, ἄλλον μὲν ἔχουσα νεότρωτον, ἄλλον ἄτρωτον, ἄλλον δέ τινα εἷλκεν ἐκ τῶν ποδῶν θανόντα ἐν τῷ πολέμῳ. Ἐφόρει δὲ ἱμάτιον βεβαμμένον ἐξ αἵματος, χαλεπῶς καὶ ἀγρίως

βλέπουσα, καὶ γαυριῶσα ἐν καναχῇ καὶ κτύπῳ. Ἐν τούτοις, φησὶν, ἐζωγραφοῦντο καὶ ὄφεων κεφαλαὶ δώδεκα, αἳ δὴ ἐφόβουν τοὺς ἀνθρώπους τοὺς ἐναντιουμένους τῷ Ἡρακλεῖ. Ὧν καὶ ἀπὸ τῶν ὀδόντων ἀπετελεῖτο κτύπος ὁπότε ἐμάχετο Ἡρακλῆς μετά τινος. Τάδε θαυματὰ καὶ θαυμαστὰ ἔργα δαίετο, ἤγουν μεμερισμένα ἦσαν, καὶ οὐ συγκεχυμένα. Θαυματὸν δὲ τὸ θαυμαστὸν διὰ τὸ μέτρον. Καὶ Πίνδαρος·

ἦ θαυματὰ πολλά.

Ὥσπερ δὲ στιγμαὶ ἦσαν ἐπάνω τῶν ῥάχεων τῶν δρακόντων· κατάστικτοι γὰρ καὶ ποικίλοι οἱ ὄφεις. Τὰ δὲ γένεια τῶν δρακόντων, ἤγουν ὁ περὶ τὸ στόμα καὶ τὰς σιαγόνας τόπος μέλας ἦν. Κυδοιμὸς ἀπὸ τοῦ κύειν οἴδματα καὶ ταραχάς. Κὴρ ἐπὶ μὲν θανάτου ὀξύνεται, ὥσπερ καὶ ἡ χείρ· γίνεται δὲ ἀπὸ τοῦ χειρῶ τὸ στερίσκω, χὴρ καὶ κήρ· κῆρ δὲ ἡ ψυχὴ οὐδετέρως περισπᾶται. Ἔστι γὰρ κέαρ καὶ ἐν συναιρέσει κῆρ· γίνεται δὲ ἀπὸ τοῦ καίω τὸ φλογίζω, καὶ ψιλογραφεῖται. Dɪ.

158. *ΤΕΘΝΗΩΤΑ.* Ὅτι ὁ κανὼν μεγεθύνει τὸ ώ. Κατὰ γὰρ τὰ εἰς ῶς ὀνόματα καὶ αὐτὰ μεγεθύνονται, οἷον γέλως, ἥρως. Dɪ.

168. Ἐν τούτοις (φησὶν) ἦσαν ἐν τῇ ἀσπίδι καὶ ἀγρίων χοίρων ἀγέλαι καὶ λεόντων ἐμβλεπόντων εἰς ἀλλήλους καὶ θυμουμένων, καὶ ὁρμωμένων κατ' ἀλλήλων· ὧν καὶ εὐτάκτως ἐπορεύοντο αἱ ἀγέλαι· οὐκ ἐδειλίων δὲ οὔτε οἱ κάπροι, οὔτε οἱ λέοντες. Ἔφρισσον δὲ, ἤγουν ἐκύρτουν τοὺς τραχήλους, διὰ θυμόν· ἤδη γὰρ ἐπῆλθε τοῖς κάπροις μέγας λέων. Δύο δὲ κάπροι περὶ αὐτὸν ἔκειντο τεθνεῶτες· ἀπ' αὐτῶν δὲ ἐχεῖτο αἷμα εἰς τὴν γῆν· οἱ δὲ ῥίψαντες τὰς κεφαλὰς ἔκειντο ὑποκάτω τῶν λεόντων· οἱ δὲ ἀμφότεροι, οἱ χοῖροι λέγω, καὶ οἱ λέοντες, μᾶλλον διηγέρθησαν εἰς μάχην. Dɪ.

170. *ΗΙΣΑΝ.* Κανόνισον· εἴω τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ ἀόριστος εἶσα· τὸ τρίτον τῶν πληθυντικῶν εἶσαν, καὶ 514
διαλύσει ἔϊσαν, καὶ τροπῇ τοῦ ἑ εἰς ἡ ἤϊσαν. Δύο ψιλὸν, δοιοὶ δὲ οἱ δύο δίφθογγα, τὰ δύο ό καὶ ί. Dɪ.

172. *ΜΕΓΑΣ ΛΙΣ.* Εἷς λέων νεκρὸς ἔκειτο, καὶ δύο κάπροι τὰς ψυχὰς ἀφέντες. Tz.

176. *ΤΟΙ Δ' ΕΤΙ.* Οὗτοι δὲ ὁρῶντες τοὺς κειμένους, πλέον διηγείροντο εἰς τὴν μάχην. Tz.

178. Ἐν τούτοις (φησὶν) ἦν ἐξωγραφημένη μάχη τῶν πολεμικῶν Λαπιθῶν. Λέγω δὴ τῶν περὶ Καινέα, καὶ Δρύαντα, καὶ Πειρίθουν, καὶ Ὁπλέα, καὶ Ἐξάδιον, καὶ Φάληρον, καὶ Πρόλοχον, καὶ τὸν Μόψον τὸν υἱὸν τοῦ Ἄμπυκος, τὸν Τιταρήσιον, ἀπὸ Τιταρησίου τόπου, καὶ τὸν Θησέα τὸν υἱὸν τοῦ Αἰγέως, τὸν ὅμοιον τοῖς θεοῖς· οὗτοι δὲ πάντες βασιλεῖς ἦσαν τῶν Λαπιθῶν· οἱ δὲ Λαπίθαι ἔθνος Θετταλικὸν μάχιμον· ἦσαν δὲ ἐν τῇ εἰκονογραφίᾳ ἐκεῖνοι μὲν ἀργυροῖ, τὰ δὲ ὅπλα αὐτῶν χρυσᾶ.

Αἰγείδης ὁ υἱὸς τοῦ Αἰγέως· ὥσπερ δὲ Ἀχιλλεὺς Ἀχιλλείδης οὕτω καὶ Αἰγεὺς Αἰγείδης. Ἴκελος ὁ ὅμοιος, τὸ ἁπλοῦν ἰ, θεοείκελος δὲ καὶ ἐπιείκελος τὰ σύνθετα δίφθογγον. Χρωτὶ μέγα, χροῒ δὲ μικρόν· ἐκεῖ μὲν γὰρ ἡ εὐθεῖα ὁ χρώς, ἤγουν τὸ σῶμα, ὡς ὁ γέλως· ἐνταῦθα δὲ ὁ χροῦς, ὃ σημαίνει τὸ αὐτὸ, ὡς ὁ βοῦς. Di.

Ibid. ΛΑΠΙΘΑΩΝ. Πειρίθους εἰς Θήβας ἐλθὼν διά τινα συγγενικὸν φόνον, ὥστε καθαρθῆναι, ἔσχε γυναῖκα Δῖαν τὴν τοῦ Βουτάτου θυγατέρα. Οἱ γοῦν Λαπίθαι ὑβρίζοντες εἰς τὰς Ἑλληνίδας γυναῖκας, πόλεμον συνεκρότησαν ἀμφότεροι. Λέγει οὖν, ὅτι ἐνῆν τῇ ἀσπίδι ὁ πόλεμος τῶν Λαπιθῶν, καὶ τῶν Κενταύρων. Tz.

183. ΑΡΓΥΡΕΟΙ· ΧΡΥΣΕΙΑ. Ἀργύρεα μὲν τὰ ζῶα, χρυσῆ δὲ ἡ ἐπ' αὐτῶν ἐσθής. Tz.

184. Οἱ Κένταυροι δέ (φησιν) ὅπερ ἦν ἔθνος Θετταλικὸν, κατὰ τὸν μῦθον ἐξ ἀνθρώπων καὶ ἵππων σύνθετοι ἠθροίζοντο ἑτέρωθεν ἐναντίοι τοῖς Λαπίθαις· λέγω δὴ οἱ περὶ τὸν Πετραῖον, καὶ τὸν Ἄσβολον τὸν μάντιν, καὶ τὸν Ἄρκτον τὸν ὁρμητικὸν, καὶ τὸν μελανότριχα Μίμαντα, καὶ τοὺς δύο υἱοὺς τοῦ Πευκέως, τὸν Περιμήδεα καὶ τὸν Δρύαλον· ἦσαν δὲ καὶ οὗτοι ἐν τῇ ζωγραφίᾳ ἀργυροῖ χρυσᾶς ῥάβδους κρατοῦντες, καὶ σὺν τοῖς Λαπίθαις ὥρμων καὶ οὗτοι οἱ Κένταυροι, καὶ ὥσπερ ζῶντες ἐκινοῦντο κατ' ἀλλήλων ἐν τοῖς ὅλοις. Di.

189. ΚΑΙ ΤΕ ΞΥΝΑΙΚΤΗΝ. Ὁμοῦ ὥρμων μεθ' ὁρμῆς συνελαύνοντες, ὥσπερ ζῶντες, ὠρέγοντο παρ' ἀλλήλους συναπτικῶς. Ἔγχεσι γὰρ οἱ Λαπίθαι ἀλλήλους ἠκόντιζον. Tz.

190. ΩΡΙΓΝΩΝΤΟ. Ἔστι ῥῆμα ὀρέγω τὸ κινῶ· ἡνίκα δὲ πλεονάσῃ εἰς ταῦτα τὰ ῥήματα τὰ παραληγόμενα τὸ ε σύμφωνον, τότε τρέπεται τὸ ε εἰς ι· οἷον ἔχω ἴσχω, ῥέπω ῥίπτω, πέτω

πίπτω, ἔπω ἴσπω. Οὕτως οὖν καὶ ὀρέγω ὀρίγνω. Τοῦτο γοῦν τὸ ὀρίγνω μετάγεται εἰς β' συζυγίαν τῶν περισπωμένων, καὶ γίνεται ὀριγνάω ὀριγνῶ, καὶ τὸ παθητικὸν ὀριγνάομαι 515 ὀριγνῶμαι, καὶ ὁ παρατατικὸς ὠριγναόμην· τὸ γ' τοῦ πληθυντικοῦ ὠριγνάοντο ὠριγνῶντο. Dι.

191. Ἐν τούτοις (φησὶ) καὶ οἱ ἵπποι τοῦ Ἄρεος ἵσταντο, καὶ αὐτὸς ὁ Ἄρης καταγεγραμμένος ἦν ἐν τῇ ἀσπίδι, κελεύων πᾶσι τοῖς λαοῖς, τοῦτο γὰρ σημαίνει τὸ πρυλέεσσι, βεβαμμένος ὢν ὁ Ἄρης ἐν αἵματι, ὥσπερ ζῶντας τινὰς σκυλεύων, ἐπιβεβηκὼς ἐφ' ἅρματος. Πλησίον δὲ αὐτοῦ καὶ ὁ Δεῖμος, καὶ ὁ Φόβος, ὡς θεοί τινες ἵσταντο ὀρεγόμενοι εἰσελθεῖν εἰς τὸν πόλεμον τῶν ἀνδρῶν. Τὰ διὰ τοῦ οεις (ὡς καὶ ἄλλοτε εἴπομεν) εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ὁ συλλαβὴν βραχεῖαν, διὰ τοῦ ό μικροῦ γράφεται· οἷον κρυόεις, σκιόεις, φοινικόεις· εἰ δὲ μακρὰν, μεγεθύνονται, οἷον ὠτώεις, κηώεις, θυώεις. Ἐμβεβαὼς, βίβημι, ὁ μέλλων βήσω, ὁ παρακείμενος βέβηκα, καὶ ἐκβολῇ τοῦ κ' καὶ συστολῇ τῆς παραληγούσης βέβαα, ἡ μετοχὴ ὁ βεβαώς. Ὁ φόβος διαιρεῖται εἰς ἕξ, εἰς ὄκνον, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, καὶ εἰς ἀγωνίαν. Dι.

196. ΚΑΤΑΔΥΜΕΝΑΙ. Δύμεναι, καὶ εἰσελθεῖν· δῦμι, ὁ β' ἀόριστος ἔδυν, ἡ μετοχὴ ὁ δὺς, τοῦ δύντος, καὶ τὸ ἀπαρέμφατον δύναι, καὶ Δωρικῶς προσθέσει τῆς με, δύμεναι. Dι.

197. Ἐν τούτοις (φησὶν) ἵστατο καὶ ἡ Ἀθηνᾶ ἡ θυγάτηρ τοῦ Διὸς, ἡ ἀγέλεια, καὶ ἡ στρατηγὸς, καὶ ἡ τριττογένεια, ἤγουν ἡ ἀπὸ τῆς κεφαλῆς τοῦ Διὸς, (Τριττὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσι) τοιαύτῃ τινὶ ὁμοία ὥσπερ βουλομένη ἐξάπτειν τὸν πόλεμον, κρατοῦσα καὶ δόρυ, φοροῦσα καὶ περικεφαλαίαν χρυσῆν, καὶ τὸ τῆς Ἀμαλθείας αἰγὸς δέρμα ἐπὶ τοῖς ὤμοις φέρουσα, εἰσήρχετο δὲ εἰς τὸν πόλεμον. Dι.

198. ΚΟΡΥΣΣΕΙΝ. Ἤγουν ὁπλίζεσθαι· ἀπὸ τοῦ κόρυς, ἡ περικεφαλαία, ἥτις ἐτυμολογεῖται ἀπὸ τοῦ τὰ κάρα ῥύεσθαι. [10]) Θωρήσσειν δὲ μέγα καὶ ἠ, καὶ γίνεται ἀπὸ τοῦ θώρηξ, ἢ

10) Fortasse, θωρήσσειν δὲ μέγα ω̄, καὶ η̄ etc.] Porro quanti sit haec observatiuncula, sciunt qui Hippocratem et Galenum legerunt: apud quem θώρηξις, ἡ οἰνοποσία non aliter, quam apud Erotianum θορύξαι. In sequentibus autem pro θορίσσειν legendum fortasse θορύσσειν, et θῦρυξ. Etiam quod apud Hesychium legitur, θώριξις non dubium est quin corruptum sit ex Galenica voce

516 θώραξ θώρακος. Θορίσσειν δὲ, ἤγουν μεθύσκειν, μικρὸν καὶ ἰ, καὶ γίνεται ἀπὸ τοῦ θόριξ ὁ ἄκρατος οἶνος. Di.

199. *ΤΡΥΦΑΛΕΙΑΝ.* Τρυφάλεια κόρυς ἡ ἔχουσα τρεῖς φαλοὺς, ἤγουν ἐπαναστήματα. Di.

200. *ΑΙΓΙΔΑ.* Αἰγὶς αἰγίδος τὸ αἴγειον δέρμα, ἰ, Αἰγείδης δὲ δίφθογγον. Di.

Ibid. *ΦΥΛΟΠΙΝ ΑΙΝΗΝ.* Φύλοπις ἡ μάχη, καὶ ἐτυμολογεῖται ἀπὸ τοῦ φυλὴ καὶ τοῦ ὄψ ὀπὸς ἡ φωνὴ, ἡ ἔχουσα δηλαδὴ φυλῶν διαφόρων, ἤτοι γενεῶν καὶ ἐθνῶν πολλῶν, ὅπως καὶ φωνάς. Ἔστι δὲ τὸ τοῦ πολέμου σύμβαμα. Οὐ γὰρ πᾶς πόλεμος φύλοπις. Di.

201. Ἐν τούτοις (φησὶν) ἦν καὶ θεῶν πλῆθος, καὶ ἐχόρευον· ἐν μέσῳ δὲ τῷ χορῷ, ἐκιθάριζεν ὁ Ἀπόλλων ὁ υἱὸς τῆς Λητοῦς, καὶ τοῦ Διὸς, ἐν χρυσῇ λύρᾳ· ἦν δὲ καὶ ὁ οὐρανὸς ὁ οἶκος τῶν θεῶν ὁ ἁγνὸς καὶ καθαρός· ἦν δὲ καὶ ἀγορὰ, ἤγουν συνάθροισμα θεῶν. Κύκλῳ δὲ ἔκειτο δίκην στεφάνου, πλοῦτος πολύς. Αἱ Μοῦσαι δὲ αἱ ἐν τῇ Πιερίᾳ τῷ ὄρει τῶν Θηβῶν κατοικοῦσαι, ἐξῆρχον τῆς ᾠδῆς, ὅμοιαι οὖσαι ταῖς μελπομέναις. Di.

203. *ΧΡΥΣΕΙΗι ΦΟΡΜΙΓΓΙ.* Ἦν (φησὶν) ἐκεῖ Ὄλυμπος, καὶ ἀγορά. Περὶ δὲ τὴν ἀγορὰν καὶ τὸν ἀγῶνα ὡς ἂν περὶ τοὺς θεοὺς ἦν μέγας ὄλβος, ὡς ἂν ποικιλία μεγαλόψυχος. Tz.

207. Ἐν τούτοις (φησὶν) ἦν καὶ λιμὴν ἀχείμαστος ἀγρίας θαλάσσης, στρογγύλος, κατεσκευασμένος ἐκ κασσιτέρου, ὅμοιος λιμένι κυματουμένῳ. Πολλοὶ δὲ δελφῖνες εἰς τὸ μέσον αὐτοῦ ὥρμων, ἐπιθυμοῦντες ἰχθύων, ὅμοιοι τοῖς κολυμβῶσι. Δύο δὲ δελφῖνες ἐξ ἀργύρου κατεσκευασμένοι ἀναφυσῶντες, ἤσθιον ἰχθύας, ὧν ὑποκάτω συνεστέλλοντο οἱ ἐκ χαλκοῦ κατεσκευασμένοι ἰχθύες. Ἐπὶ δὲ τῷ αἰγιαλῷ ἐκάθητο ἁλιεὺς κατασκοπῶν

θώρηξις. Scimus apud Suidam scribi θωρίσσομαι, et θώριξις ex Aristophane, apud quem tamen θωρήξομαι scribitur; apud interpretem θώρυξις. Sed hae varietates sunt ex corruptis scripturis: nec est dubium. Tantum moneo, causae non esse cur medici nimium fidei hac in re tribuant Phavorino, quem ab ipsis adduci video, ut ostendant quod volunt: qui scriptor qua fide usus sit in describendis saepe corruptissimis locis veterum Grammaticorum, possemus ex uno Hesychio probare; quod facturos nos confido, cum doctissimum scriptorem illum et veterum Criticorum eruditissimum a nobis emendatum publico daturi sumus, si Deus nobis permittat tam diu in hoc stadio decurrere. Heinsius.

τοὺς ἰχθύας. Ἐκράτει δὲ εἰς τὰς χεῖρας αὐτοῦ δίκτυον ἰχθύων, ὅμοιος ὢν τῷ μέλλοντι ῥίψαι δίκτυον. Dι.

208. *ΠΑΝΕΦΘΟΥ ΚΑΣΣΙΤΕΡΟΙΟ.* Τοῦ διαλελυμένου καὶ ὑγροῦ τὴν φύσιν, ἢ παναπάλου. Ἡρόδοτος δὲ [k]) ἀπέφθου φησί. Πανέφθου δὲ, διὰ τὸ ὑγρὸν εἶπε καὶ εὔτυκτον τῆς οὐσίας. Tz.

209. *ΑΜΜΕΣΟΝ.* Ἤγουν ἀνὰ μέσον, καὶ συνεκόπη τὸ ά· τὸ δὲ ν' ἐτράπη συνήθως πρὸς τὸ ἔμπροσθεν σύμφωνον τὸ μ'· οὕτω καὶ τὸ κατέβαλε κάββαλε, καὶ τὸ κατέπεσε κάππεσε, καὶ ἕτερα. Dι.

211. *ΑΝΑΦΥΣΙΟΩΝΤΕΣ.* Ἀναφυσῶντες· σημείωσαι ὅτι ἐν ταῖς μετοχαῖς ἡ ἐπένθεσις τοῦ ώ, εἰ μὲν ἔχει τὴν παραλήγουσαν βραχεῖαν, βραχύνει καὶ τὸ πρῶτον ό, οἷον τηλεθόων, φυσιόων· εἰ δὲ μακρὰν, ἐκτείνει καὶ ἀμφότερα, αὐδώων. Dι.

212. *ΕΘΟΙΝΩΝ.* Ἔτρωγον, θοινάω θοινῶ τὸ εὐωχοῦμαι, καὶ ὁ παρατατικὸς ἐθοίναον, ἐθοίνων, τὸ τρίτον τῶν 517
πληθυντικῶν ἐθοίνων. Dι.

214. *ΗΣΤΟ.* Κανόνισον· ἕζω τὸ κάθημαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντέλικος ἥσμην, ἧσο, ἧστο. Dι.

215. *ΙΧΘΥΣΙΝ ΑΜΦΙΒΛΗΣΤΡΟΝ.* Νεωτερικὸν τὸ γινώσκειν τὴν ἀμφιβλήστρου χρῆσιν. Ὁ γὰρ Ὅμηρος ἐξαγκιστρευομένους εἶδεν. Tz.

216. Ἐν τούτοις δέ (φησιν) ἦν ἐξωγραφημένος καὶ ὁ Περσεὺς τὸ γέννημα τῆς Δανάης, οὔτε ἁπτόμενος τῆς ἀσπίδος, οὔτε ἐκτὸς τῆς ἀσπίδος, θαυμαστὸν ἔργον, ἐπεὶ οὐδαμῶς ἦν ἱστάμενος· οὕτω γὰρ ὁ τεχνίτης αὐτὸν κατεσκεύασεν, ὥστε δοκεῖν μὴ ἑστάναι ἐπί τινος. Οὕτω κατεσκεύασεν ὁ Ἥφαιστος τὸν Περσέα χρυσοῦν· ἐφόρει δὲ ὑποδήματα πτερωτά· ἐν δὲ τοῖς ὤμοις ἔκειτο ξίφος κρεμάμενον ἀπὸ λώρου. Dι.

Ibid. *ἹΠΠΟΤΑ.* Ἤγουν ἱππότης, ἡ κλητικὴ ἀντὶ εὐθείας. Ἔστι δὲ (ὡς εἴρηται) τοῦτο τὸ πάθος Δρυόπων καὶ Αἰολέων, καὶ Βοιωτῶν. Dι.

Ibid. *ἹΠΠΟΤΑ ΠΕΡΣΕΥΣ.* Κατὰ τοὺς [11]) γλωσσογρά-

k) Edd. αἴφθου. B. ἀνέφθου. Correxit Heinrich. qui monuit Thucydidem potius respici II. 13. Sed fallitur. Herodoti locus est I. 50.

11) γλωσσογράφους] An intelligit veteres Hesiodi glossatores? Ita ἱππότα Νηλεὺς quibusdam Criticis exponebatur ὁ φυγάς. Iisdem glossis usus est Eustathius

φους, ἱππότην[1]) *ἀκούειν τὸν φυγάδα. Ἐπεὶ ὁ πάππος Ἀκρίσιος ἐξέβαλεν αὐτὸν, οὐ γὰρ εἰσάγεται ἵππῳ χρώμενος ὁ Περσεύς.* Tz.

219. *ΚΛΥΤΟΣ. Ὁ κλειτὸς, ἤγουν ὁ ἔνδοξος, καὶ κλυτὸς ἤγουν ὀνομαστός. Οὐκ ἀντιστρέφει δὲ, οὐ γὰρ εἴ τις κλυτὸς, ἤγουν ὀνομαστὸς, οὗτος καὶ κλειτὸς, ἤγουν ἔνδοξος· πολλοὶ γὰρ ἐπὶ κακίᾳ ὀνομαστοί.* Di.

Ibid. *ΑΜΦΙΓΥΗΕΙΣ. Ἀμφιγυήεις λέγεται ὁ χωλὸς, ὁ ἐξ ἀμφοτέρων δηλαδὴ τῶν γύων, ἤγουν τῶν ποδῶν, πεπηρωμένος. Γίνεται γοῦν ἀμφιγυόεις, καὶ τροπῇ τοῦ ὁ μικροῦ εἰς ἡ, ἀμφιγυήεις, ὥσπερ χάρις χαρίεις, τιμὴ τιμήεις, αἴγλη αἰγλήεις.* Di.

221. *ΩΜΟΙΣΙΝ ΔΕ ΜΙΝ. Οὕτω συντάσσεται· ἀμφιέκειτο δέ μιν, ἤγουν περὶ αὐτὸν ἔκειτο, ποῦ; ἐν τοῖς ὤμοις, ἄορ καὶ ξίφος μελάνδετον· καθ' ὑπερβατὸν γὰρ συντάσσεται ἡ ἀμφί.*
518 *εἴη δ' ἂν μελάνδετον, ἢ τὸ μέλαιναν θήκην ἔχον, ὡς ἐκ δέρματος κατεσκευασμένην, ἢ τὸ ἐκ μέλανος σιδήρου δεδεμένον. Ὁ δὲ Περσεὺς ὥσπερ νόημα ἐπέτετο· οὐδὲν γὰρ ταχύτερον τοῦ νοήματος. Τὴν ῥάχιν δὲ αὐτοῦ πᾶσαν περιελάμβανεν ἡ κεφαλὴ τοῦ δεινοῦ θηρίου τῆς Γοργόνος· περιεῖχε δὲ τὴν κεφαλὴν σακκούλιον ἀργυροῦν. Τὸ δὲ ΑΜΦΙ ΔΕ ΜΙΝ οὕτω συντάξεις· ἀμφιέθεε δὲ, ἤγουν περιελάμβανε καὶ περιεῖχέ μιν, καὶ αὐτὴν τὴν κεφαλὴν τῆς Γοργόνος κίβυσις· ἐκρέμαντο δὲ ἀπὸ τοῦ σακκουλίου κροσσωτοὶ χρυσοῖ. Εἰς δὲ τὴν κεφαλὴν αὐτοῦ ἔκειτο ἡ περικεφαλαία τοῦ Ἄδου, μέλαινα οὖσα. Αὐτὸς δὲ ἔφευγεν ἐοικὼς φοβουμένῳ. Ὄπισθεν δὲ ἐκείνου ἐδίωκον αἱ Γοργόνες, ὁρμῶσαι καταπιεῖν αὐτόν. Τὸ ἐῤῥώοντο δὲ*

quibus hic magister, qui idem affirmat. *Διὸ καὶ ἱππότης νῦν εἰρῆσθαι δοκεῖ ὁ αὐτὸς ἀντὶ τοῦ φυγάς· κεῖται γάρ ποτε τὸ ἱππότης ὄνομα κατὰ τοὺς γλωσσογράφους ἐπὶ τοιούτου σημαινομένου.* An vero Hesiodi? An eos qui *κατὰ στοιχεῖα γλώσσας* ediderant: qualis hodie praecipue est Hesychius: cujus Lexicon nihil aliud est quam perpetuae autorum glossae, et interpretationes ex sententia veterum Criticorum? An ergo existimabimus esse hujusmodi glossam, quae *ἱππότα* exponit, *φυγάς.* Non crediderim. Sapit enim ambitionem recentiorum Graeculorum, qui semper satagebant, ne deesset nova interpretatio aut inaudita prius. Succurrit nobis Hesychius, qui monet hanc glossam esse *τῶν νεωτέρων*, et nulli veterum Criticorum in mentem venisse: qui cum vulgares sententias recitavit, addit: *οἱ δὲ φυγάς. Οὐκ εὖ. Κάλλιον γὰρ ἐπιστήμων ἱππικῆς, ἱππικώτατος· ἄλλοι ἱππηλάτης.* Et certe nos illi accedimus. Heinsius.

1) Sic Bas. *ἄκουε* Heins.

κατὰ διάφρασιν, ἀντὶ τοῦ δυνατῶς ὥρμων. Κινουμένων δὲ αὐτῶν ἐπὶ τοῦ λαμπροῦ ἀδάμαντος, ἦχον ἀπετέλει ἡ ἀσπίς. Ἐπὶ δὲ ταῖς ζώναις τῶν Γοργόνων δύο δράκοντες ἐκρέμαντο, κυρτοῦντες τῷ θυμῷ τὰς κεφαλὰς, ἐκίνουν δὲ τὰς γένυς καὶ τὴν γλῶτταν οὗτοι οἱ ὄφεις ὡς λείξοντες. Ἐν ὀργῇ δὲ συνέκρουον τοὺς ὀδόντας, ἀγρίως βλέποντες· αἱ δὲ τῶν Γοργόνων κεφαλαὶ λίαν ἦσαν φοβεραί. Dɪ.

Ibid. *ΑΟΡ.* Ἄορ, τὸ ξίφος, κυρίως δὲ ἡ σπάθη· ἐτυμολογηθείη δ' ἂν ἀπὸ τοῦ αἱρῶ τὸ φονεύω, ἢ ἀπὸ τοῦ ἀ στερητικοῦ καὶ τοῦ ὁρῶ, τὸ ποιοῦν τὸν ἄνθρωπον μὴ ὁρᾷν· ἀορασίας γὰρ ἐμποιητικὸν πᾶν ξίφος. Dɪ.

222. *ΕΚ ΤΕΛΑΜΩΝΟΣ.* Τελαμὼν, ὁ λῶρος, ὁ ἀναφορεὺς τοῦ ξίφους καὶ τῆς ἀσπίδος, ἀπὸ τοῦ τλῶ τὸ καρτερῶ, ὡς καρτερικὸς, καὶ ἰσχυρὸς, καὶ βαστακτικός. Dɪ.

223. *ΠΑΝ ΔΕ ΜΕΤΑΦΡΕΝΟΝ.* Φρένες, οὐ μόνον ὁ λογισμὸς, ἀλλ' ἤδη καὶ ὑμήν τις ὁ ὑπεζωκὼς καλούμενος. Τὸ γοῦν μετὰ τὰς σωματικὰς ταύτας φρένας κατέναντι ἐν τῇ ῥάχει μέρος τοῦ σώματος, μετάφρενον λέγεται, καταχρηστικῶς δὲ καὶ πᾶσαν τὴν ῥάχιν μετάφρενον λέγουσιν. Dɪ.

Ibid. *ΠΑΝ ΔΕ ΜΕΤΑΦΡΕΝΟΝ.* Τείνων γὰρ τὴν χεῖρα ὀπίσω σου κατεῖχεν. *ΑΛΛΩΣ.* Ἐβάσταξεν ἐν δεκτικῷ τινι ἀγγείῳ τὴν κεφαλὴν τῆς Γοργόνος ὁ Περσεύς· τὸ δὲ ἀγγεῖον ἐκεῖνο ἔσκεπε τὸ μετάφρενον αὐτοῦ. Tz.

224. *ΓΟΡΓΟΥΣ.* Οὐ μόνον ἡ Γοργὼν τῆς Γοργόνος, ἀλλὰ καὶ ἡ Γοργὼ τῆς Γοργοῦς, ὡς τῆς Σαπφοῦς, οὕτω καὶ ἀηδόνος καὶ ἀηδοῦς, καὶ χελιδόνος καὶ χελιδοῦς. Dɪ.

Ibid. *ΚΙΒΥΣΙΣ.* Κίβισις, ἤγουν κιβωτὸς, ἡ πήρα ἀργυρῆ. Dɪ.

Ibid. *ΘΑΥΜΑ ΙΔΕΣΘΑΙ.* Ἤγουν θαυμαστὴ εἰς τὸ ἰδέσθαι καὶ θεάσασθαι αὐτὴν τινά. Dɪ.

Ibid. *ΑΜΦΙ ΔΕ ΜΙΝ ΚΙΒΥΣΙΣ.* Κιβωτὸς ἢ πήρα κίβυσις εἴρηται, [12])παρὰ τὸ ἐκεῖ κεῖσθαι τὴν βόσιν ἢ παρὰ τὸ κίειν τὸ πορεύεσθαι καὶ ὁρμᾷν· ἢ εἰς τὸ κίειν καὶ ἰέναι βόσιν ἔχουσα, τουτέστι τροφήν. Tz.

225. *ΘΥΣΑΝΟΙ.* Παρ' Ὀππιανῷ θύσανοι τὰ πτερὰ, ἐν-

12) παρὰ τὸ ἐκεῖ κεῖσθαι τὴν βόσιν] Sequitur in eo authoritatem Ori Milesii, qui tradebat, κίβον εἶναι τὴν βόσιν, ἤγουν, τὴν τροφήν. Hᴇɪɴsɪᴜs.

519 ταῦθα δὲ θύσανοι οἱ κροσσωτοὶ, ἤγουν τὰ ἰδιωτικῶς λεγόμενα κομβία, ἤγουν κυμβία, ἀπὸ τοῦ θύω τὸ ὁρμῶ, διὰ τὸ εὐκίνητον καὶ εὐσάλευτον. Di.

226. *ΠΕΡΙ ΚΡΟΤΑΦΟΙΣΙΝ.* Κροτάφους ἐνταῦθα τὴν κεφαλὴν ὅλην νόει, ἀπὸ μέρους τὸ πᾶν· κρόταφος γὰρ κυρίως ἡ μῆνιγξ, ἡ μεταξὺ τῶν ὠτίων καὶ τῶν ὀφθαλμῶν. Di.

227. Τὸ *ΑΙΔΟΣ* ἢ κατὰ μεταπλασμὸν γέγονεν ἀπὸ τοῦ Ἀΐδου, οὗ ἡ εὐθεῖα ὁ Ἀΐδης, ἢ κλίνεται Ἄϊς Ἄϊδος, ὡς Πάρις Πάριδος· γίνεται δὲ Ἄϊς ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ εἴδω εἴσω τὸ βλέπω, κατὰ ἀποκοπὴν καὶ συστολήν. Ὥσπερ ἀπὸ τοῦ νή στερητικοῦ, καὶ τοῦ εἴδω εἴσω τὸ γινώσκω, νῆϊς, ὁ ἄγνωστος. Di.

Ibid. *ΚΕΙΤ' ΑΙΔΟΣ.* Περιέκειτο δὲ ἐπὶ τὴν κεφαλὴν νέφος, ἤγουν ἀορασία, ὅπερ δέδωκεν αὐτῷ ἡ Ἀθηνᾶ, τοῦ μὴ θεωρεῖσθαι αὐτὸν ὑπὸ τῆς Μεδούσης, ἢ ἵνα μὴ πρὸς θάνατον ὁρᾶται παρὰ τῶν Γοργόνων καὶ ἀπόλλυται. Τινὲς νεφέλην καὶ ἀορασίαν ἐδέξαντο. Tz.

228. Τὸ *ΕΡΡΙΓΟΝΤΙ* οὕτω κανονίζεται. Ῥιγέω ῥιγῶ πρωτότυπον, ὁ μέσος παρακείμενος ἔῤῥιγα, καὶ ἐκ τούτου θέμα ἐῤῥίγω, ἡ μετοχὴ ὁ ἐῤῥίγων τοῦ ἐῤῥίγοντος, ἤγουν τρέμοντος. Ῥιγόω, ῥιγῶ τὸ ψύχομαι· ῥιγέω ῥιγῶ τὸ φρίσσω. Di.

Ibid. *ΑΥΤΟΣ ΔΕ ΣΠΕΥΔΟΝΤΙ.* Ἔσπευδεν, ἐφοβεῖτο. Ὡς γὰρ φεύγων ἐφαίνετο τὰς Γοργόνας. Αὗται γὰρ ἐδίωκον προθυμούμεναι καταλαβεῖν. Tz.

229. *ΕΤΙΤΑΙΝΕΤΟ.* Τείνω τὸ ἐξαπλῶ δίφθογγον, τιταίνω δὲ ὃ σημαίνει τὸ αὐτὸ, ι· συστέλλεται δὲ διὰ τὸν ἀναδιπλασιασμόν. Di.

230. *ΕΡΡΩΟΝΤΟ.* Ἔστιν ὄνομα θηλυκὸν ἐρωὴ ἡ ὁρμὴ, καὶ ἐκ τούτου ῥῆμα ἐρωέω ἐρωῶ, καὶ τὸ παθητικὸν ἐρωέομαι, ἐρωοῦμαι, καὶ ὁ παρατατικὸς ἐῤῥωεόμην, τὸ τρίτον τῶν πληθυντικῶν ἐῤῥωέοντο, καὶ συγκοπῇ τοῦ ε ἐρώοντο. Αὔξάνει δὲ χρονικῶς κατ' ἐπένθεσιν τοῦ ρ', ὥσπερ καὶ τὸ ἔρδω τὸ πράττω ἔρδον ὁ παρατατικὸς, ὡς τὸ,

Ἔρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας.

231. Τὸ *ΜΑΠΕΕΙΝ* εἰς δεύτερον ἀόριστον, ἀπὸ τοῦ

μάρπω, τὸ καταλαμβάνω γίνεται μαρπεῖν, καὶ ἀποβολῇ τοῦ ρ' μαπέειν κατ' ἐπέκτασιν.

232. *Καὶ τὸ ΒΑΙΝΟΥΣΕΩΝ* δὲ ἐπέκτασιν ἔχει τὸ ε. Dι.

234. *ΔΟΙΩ ΑΠΗΩΡΕΥΝΤ.* Τὸ θέμα, αἰωρῶ, τὸ κρεμῶ, καὶ τὸ παθητικὸν αἰωροῦμαι, καὶ ὁ παρατατικὸς ἠωρούμην, τὸ τρίτον τῶν πληθυντικῶν ἠωροῦντο καὶ ἠωρεῦντο Αἰολικῶς, καὶ ἀπήωρεῦντο. Dι.

Ibid. *ΕΠΙΚΥΡΤΩΟΝΤΕ ΚΑΡΗΝΑ.* Ἡ κάρα καὶ κρὰς, καὶ τὸ κάρα καὶ τὸ κάρηνον. Dι.

235. *ΜΕΝΕΙ Δ' ΕΧΑΡΑΣΣΟΝ.* Τῇ ὀργῇ δὲ, ὡς ἂν ὑπὸ τῆς μανίας τοὺς ὀδόντας αὐτῶν ἐν τῷ σάκει ἐχάρασσον δάκνοντες. Ὀφιότριχες γάρ εἰσιν. Tz.

236. Ὑπεράνω δὲ (φησι) τῶν Γοργόνων, ἐν τῷ πλάτει τῆς 520 ἀσπίδος, ἄνδρες ἐμάχοντο μεθ' ὅπλων· οἱ μὲν μαχόμενοι ὑπὲρ τῆς ἰδίας πόλεως, καὶ ὑπὲρ τῶν ἰδίων γονέων· οἱ δὲ ὁρμῶντες πορθῆσαι τὴν πόλιν, πολλοὶ μὲν ἔκειντο ἐξ ἐκείνων, οἱ πλείονες δὲ ἐμάχοντο ἔτι, αἱ δὲ γυναῖκες ἐπάνω τῶν πύργων ἱστάμεναι μέγα ἐβόων καὶ ἐθρήνουν. Κατέξεον δὲ τὰς παρειὰς, ζώσαις ὅμοιαι. Ὅπερ ἦν ἔργον τοῦ κλυτοῦ Ἡφαίστου, ἤγουν ἐπιτήδευμα καὶ σόφισμα τοῦ κατασκευάσαντος τὴν ἀσπίδα. Ἄνδρες δὲ γέροντες ὁμοῦ ἀπὸ τῆς πύλης τῆς πόλεως ἐξῆλθον. Ὕψωσαν δὲ τὰς χεῖρας αὐτῶν τοῖς θεοῖς ὑπὲρ τῶν τέκνων αὐτῶν φοβούμενοι· οἱ δὲ παῖδες αὐτῶν ἐμάχοντο. Αἱ δὲ κῆρες, ἤγουν αἱ θανατηφόροι μοῖραι, μέλαιναι οὖσαι κατὰ τὴν ζωγραφίαν, ὀπίσω τῶν μαχομένων ἵσταντο τρύζουσαι τοὺς ὀδόντας. Φοβεραὶ δὲ καὶ φονικαὶ καὶ ἄγριαι οὖσαι ἐμάχοντο ὑπὲρ τῶν πιπτόντων, ὁρμῶσαι ὥσπερ γύπες ἢ κόρακες εἰς τὰ πτώματα. Πᾶσαι δ' ἄρ' (τὸ δὲ ἀντὶ τοῦ γάρ· εὕρηται γὰρ τὸ δὲ ἀντὶ τοῦ γὰρ, καὶ τὸ γὰρ ἀντὶ τοῦ δὲ, διὰ τὰ μέτρα) ἐπεθύμουν πιεῖν αἷμα νεκριμαῖον, ὃν δὲ πρῶτον κατέλαβον νεύτρωτον, περὶ μὲν τῷ σώματι ἐκείνου ἐπήγνυον τοὺς μεγάλους ὄνυχας, ἡ ψυχὴ δ' ἐκείνου κατήρχετο εἰς ᾅδου τὸν ψυχεινὸν καὶ ψυχρὸν τάρταρον. Αἱ δὲ χεῖρες ἡνίκα ἐπλήσθησαν τοῦ ἀνθρωπίνου αἵματος, ἐκεῖνον μὲν τὸν νεκρὸν ἔῤῥιπτον ὀπίσω, ὑπέστρεφον δὲ εἰς τὸν πόλεμον πάλιν.

Τρεῖς φασὶν εἶναι τὰς Μοίρας Ἕλληνες. Κλωθὼ, Λάχεσιν, καὶ Ἄτροπον. Τὴν μὲν ὡς ἐπικλώθουσαν ἑνὶ ἑκάστῳ τῶν ὑπὸ γένεσιν τὸ εἱμαρμένον· τὴν δὲ Λάχεσιν ἀπὸ τοῦ λαγ-

χάνω, ὡς ἐπικληροῦσαν τῷ μὲν ἀγαθὸν, τῷ δ' ἐναντίον· τὴν δὲ Ἄτροπον, ὡς ποιοῦσαν τὸ ἀποκληρωθὲν ἀμετάτρεπτον. Di.

238. Τὸ ΕΜΑΡΝΑΣΘΗΝ ἀπὸ τοῦ μάρνημι τὸ μάχομαι, οὗ τὸ παθητικὸν μάρναμαι. Μαρνάω δὲ μαρνῶ τὸ μάχομαι, ἀπὸ τοῦ μὴ στερητικοῦ μορίου καὶ τοῦ ἀρνῶ τὸ διαλλάσσω. Ἐν ταῖς διαλλαγαῖς γὰρ οἱ παλαιοὶ ἄρνας ἔθυον. Di.

Ibid. ΠΟΛΕΜΗΙΑ. Τὸ πολεμήϊον πολέμειον ἦν κτητικῶς, καὶ διαλύσει πολεμέϊον, καὶ ἐκτάσει πολεμήϊον. Di.

240. Τοῦ ΠΡΑΘΕΕΙ τὸ ἐντελὲς καὶ οἷον ὑγιὲς, πραθεῖν, ἀπὸ τοῦ πέρθω εἰς δεύτερον μέλλοντα, κατὰ μετάθεσιν τοῦ ά, καὶ ἐπεκτάσει τοῦ ε̄ πραθέειν. Di.

241. Τὸ ΚΕΑΤΟ Ἰωνικόν ἐστιν. Τὸ μὲν γὰρ κοινὸν ἔκειντο, τὸ δὲ Ἰωνικὸν ἐκέατο, καὶ ἀφαιρέσει κέατο, ἀπὸ τοῦ τρίτου τῶν ἑνικῶν, ὥσπερ ἐτετύφατο, ἐπεποιέατο. Οὐ μόνον δὲ προστίθεται τὸ ά, ἀλλὰ καὶ ἡ πραλήγουσα συστέλλεται· χωρὶς τῶν εὐκτικῶν, τοῦ τυπτοίατο, καὶ τῶν ὁμοίων. Di.

Ibid. ΔΗΡΙΝ ΕΧΟΝΤΕΣ. Δῆρις ἡ μάχη, ἀπὸ τοῦ δαίρω τὸ τύπτω. Di.

521 245. ΠΡΕΣΒΗΕΣ. Ἰστέον ὅτι πρέσβυς ὁ γέρων οὐ κλίνεται πρέσβους, ὡς μονογενὲς, ἀλλὰ πρέσβεως, συνεξακολουθῶν τῷ πήχεως καὶ πελέκεως. Ἐπεὶ γὰρ διὰ τοῦ ώ μεγάλου κλίνουσι ταῦτα οἱ Ἀττικοὶ, ἀναγκαίως καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς έ μεταβάλλουσι· τούτου ἡ εὐθεῖα τῶν πληθυντικῶν πρέσβεες, καὶ πλεονασμῷ τοῦ ἰ, ἢ τροπῇ τοῦ έ εἰς ή, πρεσβῆες, καταβιβαζομένου καὶ τοῦ τόνου διὰ τὴν λογικὴν ἔκτασιν, ὡς πολλάκις εἴρηται· διφορεῖται δὲ ἡ παραλήγουσα, ὥσπερ ἐν τῷ τεθνειώς. Καὶ γὰρ κἀκεῖ ἀπὸ τοῦ τεθνεὼς ἢ πλεονασμῷ τοῦ ἰ, ἢ κατὰ τροπὴν τοῦ έ εἰς ή τεθνειὼς γίνεται, διφορούμενον κατὰ τὴν γραφήν. Di.

Ibid. Τὸ ΕΣΑΝ ἀπὸ τοῦ ἦσαν κατὰ συστολήν. Τὸ δὲ ἦσαν, ὃ σημαίνει τὸ ἐξῆλθον, ἀπὸ τοῦ εἶμι. Τούτου γὰρ παρατατικὸς εἶν, τὰ πληθυντικὰ ἴμεν, ἴτε, ἴσαν. Τὰ γὰρ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλουσι τὴν παραλήγουσαν. Di.

Ibid. ΓΗΡΑΣ ΤΕ ΜΕΜΑΡΠΟΝ. Μάρπω τὸ καταλαμβάνω, ὁ μέλλων μάρψω, ὁ ἀόριστος ἔμαρψα, ὁ δεύτερος ἔμαρπον, καὶ Ἰωνικῷ ἀναδιπλασιασμῷ, ἐμέμαρπον· τὸ τρίτον τῶν πληθυντικῶν, ἀφαιρέσει τοῦ έ, μέμαρπον. Di.

Ibid. *ΑΝΔΡΕΣ Δ' ΟΙ ΠΡΕΣΒΗΕΣ.* Οἱ πρεσβύται, οἱ πρεσβευταὶ, οὓς τὸ γῆρας κατέλαβεν. Οἱ δὲ μέμαρπτεν αὐτοὺς τὸ γῆρας. Ἀντὶ τοῦ κατελάμβανε. Τὸ δὲ πρεσβεὺς γέγονεν ἀπὸ τοῦ πρεσβεύειν, ὅθεν ἴσως καὶ οἱ πρεσβευταί. Tz.

248. *ΔΕΙΔΙΟΤΕΣ.* Δίω θέμα, ἀφ' οὗ γίνεται καὶ τὸ διώκω, δίσω, δέδικα· ὁ μέσος δέδια· δεδιὼς ἡ μετοχὴ, καὶ δειδιὼς κατ' ἐπέκτασιν. Ἢ δείδω τὸ φοβοῦμαι, δείσω, δέδεικα· καὶ ἀφαιρέσει τοῦ κ', καὶ συστολῇ τῆς παραληγούσης δέδια. Ἡ μετοχὴ κατ' ἐπέκτασιν, δειδιώς. Di.

249. *ΚΗΡΕΣ ΚΥΑΝΕΑΙ.* Ἀντὶ τοῦ κυανοῦ ἐζωγραφημέναι κατὰ τὴν πρόσοψιν, δέους παρασκευαστικαί. Tz.

252. Ὥσπερ τὸ πραθέειν, οὕτω καὶ τὸ πιέειν πάθος ἔχει ἐπέκτασιν.

254. Ὅτι εἰς τὸ *ΒΑΛΛ' ΟΝΥΧΑΣ* ε μόνον κουφίζεται, ὥσπερ καὶ ἐν τῷ *ΠΟΣΣ' ἈΠΑΛΟΙΣΙΝ* ι.

Ibid. Τὸ *ΚΑΤΕΙΕΝ* εἰς μέσον παρακείμενον, οὕτως· εἴω τὸ πορεύομαι, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, εἶας, εἶεν· ἀφ' οὗ καὶ τὸ ἤει, καὶ ἦλθεν εἰς ὑπερσυντέλικον κατ' ἔκτασιν Ἀττικήν. Di.

255. *ΤΑΡΤΑΡΟΝ ΕΙΣ ΚΡΥΟΕΝΘ'.* Ὅτι τάρταρος, ἀπὸ τοῦ τείρω τὸ δαμάζω, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος γίνεται, καὶ κατὰ ἀναδίπλωσιν τάρταρος, ὥσπερ ἀτηρὸν ἀταρτηρὸν, δάπτω δαρδάπτω. Di.

Ibid. *ΑΙ ΔΕ ΦΡΕΝΑΣ ΕΥΤ' ΑΡΕΣΑΝΤΟ.* Ἄλλως εὖτ' ἄρ' ἔσαντο, ἔσαντο, ἔω, τὸ πληρῶ. Ὁ μέλλων ἔσω, ὁ ἀόριστος ἦσα καὶ ἔσα κατὰ συστολὴν, ὁ μέσος ἐσάμην, τὸ τρίτον τῶν πληθυντικῶν ἔσαντο. Ἀπὸ τούτου γίνεται καὶ τὸ ἔντο κατὰ συγκοπὴν, παρ' Ὁμήρῳ, ὡς τὸ ἐξ ἔρον ἔντο· καὶ τὸ ἔσαν 522
εἰς πρῶτον ἀόριστον, κατὰ συστολήν. Di.

Ibid. *ΕΥΤ' ΑΡΕΣΑΝΤΟ.* Σημαίνει δὲ τὸ ἐχορτάσθησαν, ἢ εἰς ἄρεσιν καὶ πλήρωσιν ἦλθον, ἐξ οὗ καὶ τὸ ἀραρότα ἐδωδῆς, ἀντὶ τοῦ κεκορεσμένον τροφῆς. Ἀρέσαντο οὖν, ἐκορέσαντο. Tz.

257. Σὺν τούτοις δὲ (φησιν) ἵσταντο ἐζωγραφημέναι ἐν τῇ ἀσπίδι καὶ αἱ Μοῖραι. Λέγω δὲ ἡ Κλωθὼ, καὶ ἡ Λάχεσις. Ἡ μέντοι Ἄτροπος, ἣ καὶ αὐτὴ Μοῖρα ἐστὶν, ἐλάττων ἦν, οὐ μεγάλη, ἀλλ' ὅμως τῶν ἄλλων θεαινῶν μεγαλωτέρα ἦν καὶ ἀρχαιοτέρα. Πᾶσαι δὲ αἱ Μοῖραι ἕνεκεν ἑνὸς νεκροῦ, πόλε-

μον ἐποίησαν ἰσχυρὸν, καθάπερ γῦπες ἕνεκεν πτώματος. Πρὸς ἀλλήλας δὲ ἔβλεπον δεινῶς. Ἐνέβαλον δὲ χεῖρας καὶ πόδας πρὸς ἀλλήλας μαχόμεναι. Πλησίον δὲ τῶν Μοιρῶν ἵστατο ἡ Ἀχλὺς, ὡς θεὰ, ἤγουν ἡ ἐπὶ θανάτῳ σκότωσις, ἣν καὶ αὐτὴν προσωποποιεῖ ὁ ποιητής. Ἦν δὲ κεκαυμένη καὶ ἀθλία, κατὰ τὸ χρῶμα κιτρίνη, κατάξηρος, συμπεπτωκὸς ἔχουσα τὸ πρόσωπον ὑπὸ τοῦ λιμοῦ· παχύπους, ὡς ὑδεριῶσα· μακροὺς ἔχουσα ὄνυχας, ὡς ἀτημέλητος. Ἧς ἐκ τῶν ῥινῶν μῦξαι ἔῤῥεον, ἐκ δὲ τῶν σιαγόνων ἐχεῖτο εἰς γῆν αἷμα. Ἡ δὲ καταπολὺ ἐκλελυμένη ἵστατο. Πολὺ δὲ χῶμα ἐπέτρεχε τοὺς ὤμους αὐτῆς, ὡς ἀῤῥώστου καὶ ἀτημελήτου. Ἦν δὲ καὶ ἐν δάκρυσι διάβροχος. Συντάσσεται δὲ καὶ τοῦτο καθ' ὑπερβατὸν, οὕτως· ἡ δὲ Ἀχλὺς εἱστήκει, ἀπλήτως καὶ μεγάλως σεσαρυῖα καὶ ἐκλελυμένη, μυδαλέα καὶ διάβροχος οὖσα ἐν δάκρυσι. Πολὺ δὲ χῶμα ἐπὶ τοὺς ὤμους αὐτῆς ἔκειτο. Ταῦτα δὲ πάντα ἁρμόζουσι τοῖς ἐγγὺς θανάτου οὖσι, καὶ ἀῤῥωστοῦσιν, ἢ καὶ ἄλλως πως κακῶς ἔχουσιν. Dı.

Ibid. *ΑΨ.* Ἤγουν ὀπίσω, γινόμενον ἀπὸ τοῦ ὀπίσω κατὰ ἔκθλιψιν τοῦ ὸ μικροῦ, καὶ τροπὴν Δωρικὴν τοῦ ὠ μεγάλου εἰς ἀ, καὶ κρᾶσιν τοῦ π' καὶ σ' εἰς ψ', προγραφομένου κατά τινας καὶ τοῦ ἰ. Dı.

Ibid. *ΜΩΛΟΝ.* Ὁ πόλεμος, ὁ μὴ ὅλους ποιῶν τοὺς ἀνθρώπους, ἀλλὰ κολοβούς. Dı.

258. *ΚΛΩΘΩ ΚΑΙ ΛΑΧΕΣΙΣ.* Ἡ μὲν Λάχεσις ἐν αὐταῖς ἐλαχιστοτέρα ἦν τῆς Κλωθοῦς, καὶ τῆς Ἀτρόπου, ἀλλ' ὅμως πρεσβυτέρα καὶ προφερεστέρα.

262. *ΔΡΑΚΟΝ.* Τὸ θέμα, δέρκω τὸ βλέπω, ὁ μέλλων δέρξω, ὁ ἀόριστος ἔδερξα, ὁ δεύτερος ἔδαρκον, καὶ ἀφαιρέσει τοῦ ἐ δράκον. Dı.

265. *ΚΑΤΑΠΕΠΤΗΥΙΑ.* Κατεσκληκυῖα, ἐπίπονος. Τοῖς γὰρ φοβουμένοις περιχεῖται a) χλωρότης καὶ ξηρότης, ὥσπερ τοῖς λιμώττουσι. Tz.

Ibid. *ΑΥΣΤΑΛΕΗ.* Ἡ κατάξηρος, ἀπὸ τοῦ εὔω εὔσω τὸ φλογίζω. Εὐσταλέα καὶ αὐσταλέα τροπῇ Δωρικῇ τοῦ ἐ εἰς α. Dı.

Ibid. Τὸ *ΚΑΤΑΠΕΠΤΗΥΙΑ* καὶ ἀπὸ τοῦ πτήσσω τὸ
523 μετὰ φόβου κεῖμαι, καὶ ἀπὸ τοῦ πτῶμι, τροπῇ τοῦ ὠ μεγάλου εἰς ή, εἰς παρακείμενον ἀποβολῇ τοῦ κ'. Καταπεπτωκὼς δὲ

a) Haec accedunt ex B.

λέγεταί τις ὑπὸ λιμοῦ, ὁ τὰς σάρκας κοιλανθεὶς καὶ ῥυτιδωθείς. Di.

268. Τὸ ΣΕΣΑΡΥΙΑ ἐνταῦθα ταυτὸ δύναται τῷ καταπεπτηυῖα. Σαίρω γάρ ἐστι τὸ μειδιῶ, ὁ μέλλων σαρῶ, ὁ μέσος παρακείμενος σέσηρα καὶ σέσαρα· σεσηρυῖα νῦν, ἤγουν ἀκούσιόν τι μειδίασμα πάσχουσα, καὶ οἱονεὶ χαίνουσα ὑπὸ λειποσαρκίας, καὶ τῆς τοῦ δέρματος ῥυτιδώσεως. Di.

269. ΚΑΤΕΝΗΝΟΘΕΝ. Τὸ θέμα, θέω τὸ τρέχω, καὶ μετὰ τῆς εν προθέσεως ἐνθέω, καὶ κατὰ μετάθεσιν ἐνέθω· ὁ μέλλων ἐνέσω, ὁ παρακείμενος ἤνεκα, ὁ μέσος ἤνοθα, καὶ Ἀττικῶς ἐνήνοθα, ἐνήνοθας, ἐνήνοθεν, ἤγουν ἐπέτρεχεν. Di.

270. Πλησίον δὲ (φησιν) ἐκείνων ἦν πόλις εὔκτιστος. Χρυσαῖ δὲ πύλαι ἐφύλασσον τὴν πόλιν ἐκείνην ἑπτὰ, ἡρμοσμέναι καὶ κεκλεισμέναι ἐν ὑπερθυρίοις, ἤγουν τῇ φλιᾷ, ἢ ἐν κλεισίν. Ἐξ ὧν δὲ λέγει, τὰς ἑπταπύλους Θήβας νοεῖν δίδωσιν. Οἱ δὲ ἄνδρες τῆς πόλεως εὐφραίνοντο ἔν τε χοροῖς καὶ ἄλλαις εὐφροσύναις. Οἱ μὲν γὰρ ἦγον ἀνδρί τινὶ νύμφην ἐπάνω ἁμάξης εὐσώτρου, καὶ εὐσιδήρου. Ἐπίσωτρον γὰρ τὸ κύκλῳ τοῦ τροχοῦ σίδηρον. Ἠγείρετο δὲ πολὺς ὕμνος, ἤγουν ἐπιθαλάμιος ᾠδή. Ἐν χερσὶ δὲ δούλων ἀπὸ δάδων ἡμμένων ἔλαμπε πῦρ μακράν. Αἱ δὲ γυναῖκες θάλλουσαι τῇ τῶν ἱματίων λαμπρότητι, ἡγοῦντο ἔμπροσθεν. Ἐν ταύταις δὲ ἄλλοι χορεύοντες εἵποντο. Καὶ τούτων οἱ μὲν, ηὔλουν· κύκλῳ δὲ αὐτῶν ἐκλᾶτο ὁ ἦχος τοῦ αὐλοῦ. Αἱ δὲ γυναῖκες τῇ εὐρυθμίᾳ τοῦ αὐλοῦ ἀκολουθοῦσαι ἐχόρευον, ἐκ δὲ τοῦ ἑτέρου μέρους νέοι αὐλοῦντες ἤρχοντο· οἱ μὲν ὀρχούμενοι, οἱ δὲ παίζοντες καὶ γελῶντες· ἕκαστος δὲ ὑπ' αὐλητῇ ἔκιον καὶ ἤρχοντο· ἤγουν ἕκαστος εἶχεν αὐλητὴν, ὑφ' ᾧ ὠρχεῖτο καὶ ἔπαιζε. Πᾶσαν δὲ τὴν πόλιν εὐφροσύναι καὶ λαμπρότητες εἶχον. Di.

271. Ὅτι τὸ ΑΡΑΡΥΙΑ συστολὴν ἔχει τοῦ ή εἰς ά. ἀρηρυῖα γὰρ τὸ ἐντελὲς, οὕτως· ἀρέω ἀρῶ, ὁ μέλλων ἀρέσω, ὁ μέσος παρακείμενος ἦρα καὶ ἄρηρα Ἀττικῶς. Καὶ Αἰσχύλος·

Ἄρηρεν ἥδε γ' ὠλένη δυσεκλύτως.

Ἡ μετοχὴ ὁ ἀρηρὼς, καὶ τὸ θηλυκὸν ἡ ἀρηρυῖα. Ἀλλὰ δὴ καὶ τὸ ὀρώρει συστολὴν ἔχει τοῦ ώ μεγάλου εἰς ό μικρόν. Ὄῤῥω γὰρ τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, ὁ μέσος παρακείμενος

ὦρα, καὶ Ἀττικῶς ὄρωρα, ὁ ὑπερσυντελικὸς ὤφειλεν εἶναι ὠρώρειν· τὰ γὰρ Ἀττικὰ τὰ ἀπὸ βραχέως ἀρχόμενα ἐν τῷ παρακειμένῳ χρονικῶς μεγεθύνονται ἐν τῷ ὑπερσυντελικῷ. Ὥστε συστολὴν ἔχει τὸ ὀρώρει διὰ τὴν τοῦ μέτρου ἀνάγκην. Dɪ.

Ibid. *ΧΡΥΣΕΙΑΙ ΔΕ ΜΙΝ ΕΙΧΟΝ.* Ἦν καὶ πόλις ἐκεῖ, χρυσᾶς ἔχουσα πύλας ἑπτά. Οἱ δὲ ἄνδρες τῆς πόλεως, οἱ μὲν ἔπαιζον, ἄλλοι δὲ ἐφ' ἁμάξης νύμφην ἀνδρὶ ἔφερον. Tz.

275. *ΤΗΛΕ Δ' ΑΠ' ΑΙΘΟΜΕΝΩΝ ΔΑΙΔΩΝ.* Τὸ
524 δαΐδων ἐντελές ἐστι τοῦ δάδων. Ἀπὸ γὰρ τοῦ δαίω τὸ καίω δαΐς καὶ δάς. Ὀξύνεται δὲ τὸ δὰς, ὅτι τὰ ὀξυνόμενα ἐν τῇ συναιρέσει πάλιν ὀξύνεται· ἑσταὼς ἑστὼς, δαῒς δὰς, καὶ τὰ τοιαῦτα. Dɪ.

Ibid. *ΣΕΛΑΣ ΕΙΛΥΦΑΖΕ.* Τὸ εἰλύφαζεν ἀπὸ τοῦ εἵλη ἡ λαμπρότης, καὶ τοῦ φῶ τὸ λάμπω, δύο ταυτοσημάντων λέξεων. Dɪ.

276. *ΤΕΘΑΛΥΙΑΙ.* Θάλλω, ὁ μέλλων θαλῶ, ὁ παρακείμενος τέθαλκα, ὁ μέσος τέθηλα, ἡ μετοχὴ ὁ τεθηλὼς, τὸ θηλυκὸν ἡ τεθηλυῖα. Dɪ.

278. *ἹΕΣΑΝ.* Ἤγουν ἔπεμπον· τὸ θέμα ἵημι, καὶ ὁ παρατατικὸς ἵην, τὸ τρίτον τῶν πληθυντικῶν ἵεσαν. Dɪ.

281. *ΝΕΟΙ ΚΩΜΑΖΟΝ.* Τὸ ἐκώμαζον, ἢ ἐτραγῴδουν, ἀκολουθοῦντες τῷ αὐλῷ, ἢ [13]) πρὸς τὴν κώμην ἀπήρχοντο σὺν τῷ αὐλῷ, οἷόν ἐστι καὶ τὸ

Κωμάζω ποτὶ τὰν Ἀμαρυλλίδα

παρὰ τῷ Θεοκρίτῳ. Dɪ.

285. Τινὲς δὲ (φησι) τῶν τῆς πόλεως ἐκείνης ἀναβάντες ἵππους ἔμπροσθεν τῆς πόλεως ἔτρεχον. Ἀροτῆρες δὲ ἠροτρίων, ἀνεσταλμένους, ἤγουν ἀνεζωσμένους, ἔχοντες τοὺς χιτῶνας. Ἦν δὲ καὶ χωράφιον βαθύ. Οἱ μὲν οὖν ἐκείνων ἐν δρεπάναις ὀξείαις ἐθέριζον τὰ πέτηλα, ἤγουν τὰς καλάμας τὰς ἀπορμυδουμένας, διὰ τὸν ἄσταχυν. Τὰ καὶ καταβαρούμενα ὑπὸ τῶν ἀσταχύων, ἅτε δὴ δῶρον ὄντα τῆς Δήμητρος· οἱ δὲ ἐδέσμουν τὰ χειρόβολα καὶ ἔῤῥιπτον εἰς τὴν ἅλωνα. Οἱ δὲ ἐτρύγων ἀμπέλους, κρατοῦντες μαχαίρας· ἄλλοι δὲ ἔφερον λαμ-

13) Scribe πρὸς τὸν κῶμον.

βάνοντες ἀπὸ τῶν τρυγώντων ἐν καλαθίσκοις βότρυας λευκοὺς καὶ μέλανας ἀπὸ μεγάλων κλάδων καταβαρουμένων ἐν φύλλοις καὶ ἀργυραῖς ἕλιξιν, ἃς ψαλίδας φαμὲν ἰδιωτικῶς. Τὸ δὲ ἐκ δευτέρου λεγόμενον, οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν, δοκεῖ ἐπανάληψις εἶναι. Συντάσσεται δὲ οὕτως. Οἳ δὴ καὶ οὗτοι, ἤγουν οἱ εἰρημένοι, ἔφερον αὐτὰ ἐν ταλάροις. Ὅτι δὲ καὶ τὰ μακρὰ κουφίζονται, δῆλον ἀπὸ τοῦ

Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι,

παρ' Ὁμήρῳ. Τὸ δὲ

——κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο,

ἀντὶ τοῦ κλυτὸν ἔργον, τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ, καὶ Ὅμηρος·

Αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,

ἤγουν φίλον. Πλησίον δὲ αὐτῶν κλῆμα ἦν χρυσοῦν, μέγα ἔργον τοῦ φρονιμωτάτου Ἡφαίστου, σειόμενον καὶ κινούμενον ἐν φύλλοις καὶ ἀργυραῖς κάμαξιν, ἤγουν ἕλιξιν, ἢ χάραξι καταβαρούμενον σταφυλαῖς, αἳ μέλαιναι ἦσαν. Οἱ μὲν οὖν τῶν ἀνδρῶν ἐκένουν τὰς σταφυλὰς ἐν τοῖς ληνοῖς (τοῦτο γὰρ σημαίνει τὸ, ἐτράπεον) ἢ συνέθλιβον τοῖς ποσίν. Οἱ δὲ ἤρυον καὶ ἤντλουν τὸν οἶνον. Ἄλλοι δὲ ἐμάχοντο κονδυλίζοντες ἀλλήλους, ἤγουν τῷ γρόνθῳ βάλλοντες, καὶ ἀπὸ τῶν ἱματίων ἕλκοντες. Οἱ δὲ ἐκυνήγουν λαγωοὺς, ἄνδρες ὁμοῦ κυνηγέται, καὶ ὀξυόδοντες κύνες, ἔμπροσθεν τῶν ἀνδρῶν πορευόμενοι, δηλονότι. Οἱ μὲν κύνες ἐφιέμενοι καταλαβεῖν τοὺς λαγωοὺς, 525
οἱ δὲ λαγωοὶ ἐφιέμενοι ἐκφυγεῖν. Dr.

285. ΠΡΟΠΑΡΟΙΘΕ ΠΟΛΗΟΣ. Τὸ ΠΟΛΗΟΣ ἔκτασιν ἔχει. Πόλις γὰρ πόλιος κοινῶς, καὶ πόλεος Ἰωνικῶς, καὶ τροπῇ τοῦ ε εἰς η, πόληος. Dr.

287. ΗΡΕΙΚΟΝ. Ἤγουν ἔσχιζον. Ἐρύκω τὸ κωλύω, ψιλόν· ἀφ' οὗ καὶ Ἔρυξ Ἔρυκος κύριον. Ἐρείκω δὲ τὸ κόπτω δίφθογγον. Ἀφ' οὗ καὶ ἔτνος ἐρεικτὸν, ὡς παρὰ τῷ Ἀριστοφάνει·

Ἔτνους κατερεικτοῦ χύτρας δύ' ἢ τρεῖς.

Ibid. Τὸ ΕΠΙΣΤΟΛΑΔΗΝ ἀντὶ τοῦ κοσμίως, καὶ ἀνεσταλμένως.

288. Τὸ δὲ ΕΣΤΑΛΑΤ' ἤγουν ἐστάλαται, ἀντὶ τοῦ ἀνεζωσμένοι ἦσαν. Οἱ γὰρ περὶ ἐργασίαν ἀσχολούμενοι ἀνέζωσ-

μένοι τὰ ἄκρα τῶν ἱματίων εἰσίν. Ἰωνικὸν δὲ τὸ ἘΣΤΑΛΑΤΑΙ, *ὡς τὸ τετύφαται, ἀπὸ τοῦ στέλλω τὸ κοσμῶ, οὗ τὸ τρίτον πρόσωπον τοῦ παθητικοῦ παρακειμένου ἔσταλται, καὶ πλεονασμῷ τοῦ ά ἐστάλαται, τὸ τρίτον τῶν πληθυντικῶν.* Di.

289. *Τὸ* ΚΟΡΥΝΙΟΕΝΤΑ *διφορεῖται. Καὶ γὰρ καὶ κορωνιόεντα γράφεται, ἤγουν μέλανα· καὶ γὰρ τῶν ἀσταχύων οἱ μὲν λευκοί, οἱ δὲ πυῤῥοί, οἱ δὲ μέλανες, οἳ καὶ τῶν ἄλλων διαφορώτεροι· ἢ κορυνιόεντα, ἤγουν ῥαβδώδη, καὶ δι' εὐκαρπίαν εὔογκα· κορύνη γὰρ ἡ ῥάβδος.* Di.

Ibid. ΚΟΡΥΝΙΟΩΝΤΑ ΠΕΤΗΛΑ. *Τὰ ἐπικαμπῆ γεννήματα κατεχρήσατο. Πέτηλα γὰρ τὰ φύλλα λέγονται. λέγει δὲ τοὺς ἐπικαμπεῖς στάχυας.* ΑΛΛΩΣ. *Εἶδος ἀντὶ εἴδους ἐνταῦθα ἐδέξατο. Ἔμελλε γὰρ εἰπεῖν τοὺς καρποὺς, ἤγουν ἀστάχυας, καὶ εἶπε φύλλα.* Tz.

291. ΟΙ Δ' ΑΡ' ΕΝ ἘΛΛΕΔΑΝΟΙΣΙ. *Ἐλλεδανὸς ὁ δεσμὸς, ἀπὸ τοῦ ἕλω τὸ κρατῶ καὶ τοῦ δέω τὸ δεσμῶ, δύο ταυτοσημάντων λέξεων.*

Ibid. ΚΑΙ ΕΠΙΠΛΟΝ ΑΛΩΗΝ. *Ἄλλως* ΚΑΙ ΕΠΙΤΝΟΝ ἈΛΩΗΝ. *Τὸ πίτνω ἀπὸ τοῦ πέτω, πλεονασμῷ τοῦ ν· ἔστι δὲ καὶ πίτνω καὶ πιτνῶ. Ἀλωή, ὁ ὁμαλὸς τόπος, ἐν ᾧ τὶς ἀλωήσει καὶ συντρίψει στάχυας. Ἡ μὲν οὖν ἅλως, ἢ καὶ ἅλων λέγεται, καὶ ἀλωή, οὐ μέντοι πᾶσα ἀλωὴ καὶ ἅλως, καὶ γὰρ οἱ τῶν ἀμπελώνων χῶροι ἀλωαί.* Di.

Ibid. ἘΛΛΕΔΑΝΟΙΣΙ. *Τὰ κοῖλα τῶν ἀσταχύων λέγει.* Tz.

Ibid. ΕΠΙΠΛΟΝ. m) *Ἐπλήρουν, ἢ ἐξέτεινον ἐπὶ τὴν ἅλω· τουτέστιν ἔψυγον, ἤπλουν ἐπὶ τὸ ξηρανθῆναι.* Tz.

293. ΟΙ Δ' ΑΥΤ' ΕΣ ΤΑΛΑΡΟΥΣ. *Τάλαρος ὁ καλαθίσκος, ἀπὸ τοῦ ταλαὸς καὶ καρτερικὸς εἶναι, ἤγουν βαστακτικὸς τοῦ ἐντὸς ὄγκου. Τὸ* ΕΦΟΡΕΥΝ *καὶ ἤρευν, καὶ τὰ*
526 *τοιαῦτα Αἰολικά εἰσιν, ἀπὸ τοῦ ἐφόρουν καὶ ἤρουν γινόμενα, τροπῇ τοῦ ό εἰς έ.* Di.

293. ΥΠΟ ΤΡΥΓΗΤΗΡΩΝ. *Τρυγητὴρ ὁ τρυγῶν, ὡς ἰατήρ.* Di.

m) Ex his unum ἐπλήρουν ad vulgatam scripturam ἔπιπλον spectat, reliqua ad alteram ἔπιτνον. Aeque turbate hanc glossam transcripsit Etymol. M. p. 366, 44. ex quo hic ἤπλουν emendavi, quum edd. habeant ἔπλουν. Heinrich. ἔῤῥιπτον, ἐπλήρουν, ἢ ἐξέτεινον, ἤπλουν ἐπὶ τὸ ξηρανθῆναι B.

295. *ΚΑΙ ΑΡΓΥΡΕΗιΣ ἙΛΙΚΕΣΣΙΝ.* Ἑλίκεσσιν, ἤγουν ψαλίσιν. Ἰστέον δὲ ὅτι οἱ ποιηταὶ τὰς εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν, προστιθέντες τὸ ι, ποιοῦσι δοτικὰς τῶν πληθυντικῶν, οἷον Αἴαντες Αἰάντεσιν, ὄνυχες ὀνύχεσιν, ἕλικες ἑλίκεσιν· ἕλιξ δέ ἐστιν ἡ λεγομένη τοῦ κλήματος ψαλίς, ἀπὸ τοῦ ἑλίσσω τὸ συστρέφω γινομένη· συνεστραμμένη γάρ ἐστι καὶ ἐπικαμπής. Dι.

298. *ΚΑΙ ΑΡΓΥΡΕΟΙΣΙ ΚΑΜΑΞΙ.* Κάμαξ, εἰ μὲν τὴν ἕλικα σημαίνει ἀπὸ τοῦ κάμπτω, ὡς ἐπικαμπὴς, εἰ δὲ τὴν χάρακα, ἀπὸ τοῦ κάμνω. κάμνει γὰρ τὸ χαράκιον ἀνέχον τὸ κλῆμα. Dι.

Ibid. *ΚΑΜΑΞΙ.* Θηλυκῶς μὲν ῥάβδοι, ἢ κάλαμοι τὰς ἀμπέλους περιπεφραγυῖαι. Ἀρσενικῶς δὲ σημαίνει τὸ ὄρυγμα, ἢ τοὺς πασσάλους, τοὺς πρὸς τὴν τῶν πολεμίων ἐρωήν. Εἴρηται δὲ παρὰ τὸ καμεῖν. Tz.

302. *ΠΥΞ ΤΕ ΚΑΙ ἙΛΚΗΔΟΝ.* Τῇ ἑλκύσει [n]) ἕτερος τὸν ἕτερον πρὸς ἑαυτὸν τῇ χειρὶ ἕλκοντες ἀλλήλους, καὶ πὺξ ἀγωνιζόμενοι. Tz.

303. *ΚΑΡΧΑΡΟΔΟΝΤΕ ΚΥΝΕ.* Χαυλιόδοντα μὲν λέγονται, ὅσα ἔχουσι τοὺς ὀδόντας ἐξεστηκότας τοῦ στόματος, οἷον ἐλέφας καὶ χοῖρος· καρχαρόδοντα δὲ, ὅσα ἐντὸς μὲν ἔχουσι τοὺς ὀδόντας, ἀλλ' ὀξεῖς, καὶ οἷον κεχαραγμένους, οἷον λέων, πάρδαλις, λύκος, κύων. Dι.

305. Πλησίον δὲ (φησὶ) ταύτης τῆς ἱστορίας ἱππεῖς ἀγωνισταὶ ἠγωνίζοντο· ἕνεκεν δὲ τῶν στεφάνων ἐμάχοντο, ἢ ἐν τοῖς ἀγῶσιν αὐτοῖς ἐμάχοντο. Ἀναβεβηκότες δέ τινες ἡνίοχοι, ἤγουν καβαλλάριοι, ἐπάνω δίφρων εὐκατασκευάστων ἀπέλυσαν τοὺς ταχεῖς ἵππους, ἐνδόντες τοὺς χαλινούς. Τὰ δὲ ἅρματα τὰ κεκολλημένα, ἤγουν αἱ ἅμαξαι τοῦ δίφρου, ἐπέτοντο τῷ δρόμῳ τῶν ἵππων· αἱ πλῆμναι δὲ καὶ αἱ τρύπαι τῶν τροχῶν, μέγα ἦχουν. Οἱ μὲν οὖν διηνεκῆ εἶχον τὸν ἀγῶνα, οὐδὲ γὰρ ἦν γεγραμμένη ἐν αὐτοῖς ἡ νίκη, ἀλλ' ἦν ἔτι ἄγνωστος. Ἔκειτο δὲ καὶ μέγας τρίπους ἐντὸς τοῦ ἀγῶνος, χρυσοῦς, γέρας τῷ νικήσοντι, ἔργον ἐπαινετὸν τοῦ Ἡφαίστου. Dι.

306. *ΔΗΡΙΝ ΕΧΟΝ ΚΑΙ ΜΟΧΘΟΝ.* Ἄλλως *ΚΑΙ ΜΟΘΟΝ.* Μόθος ἀπὸ τοῦ μὴ ὄθεσθαι, ἤγουν ἐπιστρέφεσθαι

n) Sic B. τις ἑλκύσει τὸν ἕτερον edd.

καὶ φροντίζειν ἄλλου τινὸς πράγματος τὸν μαχόμενον, ἀλλὰ μόνου τοῦ πολέμου γίνεσθαι. Di.

308. ῬΥΤΑ. Τὰ χαλινὰ, ἀπὸ τοῦ ἐρύω, τὸ ἑλκύω, κυρίως δὲ τὰ λεγόμενα ῥέτεινα. Ἡνία, ὁ χαλινὸς, ἀπὸ τοῦ ἀνιῶ τὸ λυπῶ, κημὸς ἀπὸ τοῦ κάμνω, φιμὸς ἀπὸ τοῦ ἴφιμος εἶναι, ἤγουν στεῤῥὸς χαλινὸς ἀπὸ τοῦ χαλᾶν τὴν ἶνα. Φορβειὰ δὲ τὸ καπίστριον τὸ τῇ φορβῇ τοῦ ἵππου ἁρμόζον. Di.

527 309. ἍΡΜΑΤΑ ΚΟΛΛΗΕΝΤ᾽ Κολλήεντα. Ἡ κόλλησις διχῶς· κατὰ ἁρμονίαν, καὶ κατὰ πρόσφυσιν, ὡς ἐπὶ ξύλων καὶ μετάλλων. Di.

Ibid. ΕΠΙ ΔΕ ΠΛΗΜΝΑΙ ΜΕΓ᾽ ΑΥΤΕΥΝ. Πλήμνη ἡ τοῦ τροχοῦ τρύπη, ἡ πληρουμένη ὑπὸ τῶν ἀξονίων, ἢ πλῆμναι αὐτὰ τὰ ἀκροξόνια. Di.

Ibid. ΕΠΙ ΔΕ ΠΛΗΜΝΑΙ. Πλῆμναι εἰσὶ τὰ ξύλα τοῦ κραβάτου, τὰ τῷ ἄξονι ἀντερείδοντα, εἰς ἃ πολλάκις καὶ λίπος ἐμβάλλουσιν οἱ γεωργοὶ, ἐπὶ τὸ ταχέως διατρέχειν τὴν ἅπασαν ἅμαξαν. Tz.

311. ΝΙΚΗ ΕΠΗΝΥΣΘΗ. Ἤγουν ἐτελειώθη, ἐκ τοῦ ἀνύω. Τοῦτο δὲ ἀπὸ τοῦ ἕω, τὸ πληρῶ. Καὶ γίνεται ἕνω, καὶ ἄνω καὶ ἀνύω, τροπῇ Δωρικῇ τοῦ ε εἰς α, παρά τισι μέντοι ψιλοῦται, παρά τισι δὲ δασύνεται. Di.

Ibid. ΑΛΛ᾽ ΑΚΡΙΤΟΝ ΕΙΧΟΝ ΑΕΘΛΟΝ. Ἀλλα ἆθλον, ἤτοι τὴν μάχην, εἶχον ἀδιαχώριστον. Οὐδεὶς δὲ ἐνίκα, πάντες δὲ ἐπροθυμοῦντο. Tz.

312. ΜΕΓΑΣ ΤΡΙΠΟΣ ΕΝΤΟΣ ΑΓΩΝΟΣ. Τρίπος συγκοπῇ Αἰολικῇ τοῦ υ· ἔστι δὲ τρίπους κρατὴρ μέγας, τρεῖς πόδας ἔχων, ὁ νῦν βαρβάρως λεγόμενος χοτζᾶς. Di.

314. Περὶ δὲ τὴν ἴτυν (φησὶ) καὶ τὴν περιφέρειαν, ἤγουν τὸ ἄκρον τῆς ἀσπίδος, ἦν ἐζωγραφημένος ὁ Ὠκεανὸς, ἤγουν ἡ κύκλῳ τῆς γῆς θάλασσα, παρόμοιος πλημμυροῦντι τινὶ πελάγει· περιεῖχε δὲ ὅλον τὸ σάκος τὸ ποικίλον. Εἰς αὐτὸν δὲ τὸν Ὠκεανὸν κύκνοι μεγάλως ἐφώνουν, οἳ πολλοὶ ἔπλεον ἐκεῖ εἰς τὸ ἄκρον ὕδωρ. Ἐκλονοῦντο δὲ (τουτέστιν ἐκινοῦντο) καὶ ἰχθύες ἐκεῖ. Θαῦμα δὲ ἐνεποίει ἡ σοφία τῷ Διῒ, δι᾽ ὃν ὁ Ἥφαιστος κατεσκεύασε τὴν ἀσπίδα ἐκείνην. Τοῦτο δὲ τὸ σάκος ὁ Ἡρακλῆς ἐκίνει εὐκόλως ἐν ταῖς ἰδίαις χερσίν· ἐπεὶ δὲ ὡπλίσθη ὁ Ἡρακλῆς, ἀνέβη εἰς τὸν δίφρον, ὅμοιος ἀστραπῇ, κούφως. Ὁ δὲ Ἰόλαος ὁ ἡνίοχος σὺν τούτῳ ἐπιβὰς τοῦ δίφρου ἡνιόχει τὸ ἅρμα. Di.

Ibid. *ΑΜΦΙ Δ' ΙΤΥΝ.* Ἴτυς ἡ περιφέρεια τοῦ ἅρματος, ἤγουν ὁ γύρος, ἀπὸ τοῦ ἴω τὸ πορεύομαι, ἡ κύκλῳ διϊοῦσα. Dr.

Ibid. *ΩΚΕΑΝΟΣ.* Ὠκεανὸς ἀπὸ τοῦ ὠκέως νάειν. Dr.

317. *ΠΑΡ' Δ' ΙΧΘΥΕΣ ΕΚΛΟΝΕΟΝΤΟ.* Ἐπειδὴ εἶπεν ἰχθύες ἐκλονέοντο, ἐπήγαγε, θαῦμα ἦν ἰδεῖν καὶ αὐτῷ τῷ Διΐ, οὗ διὰ βουλὰς ἡ ἀσπὶς ἐγίνετο. Tz.

319. *ΜΕΓΑ ΤΕ ΣΤΙΒΑΡΟΝ ΤΕ.* Στιβαρὸν ἀπὸ τοῦ στείβω τὸ περιπατῶ, οὗ ὁ δεύτερος ἀόριστος ἔστιβον, τὰ γὰρ στιβαρὰ τῶν πίλων ἐκ τοῦ πατεῖσθαι. Dr.

322. ΕΙΚΕΛΟΣ ΑΣΤΕΡΟΠΗΙ. Ὅτι στεροπὴ καὶ ἀστραπὴ, καὶ ἀστεροπὴ, τὸ αὐτό ἐστιν· ἀλλὰ τὸ μὲν στεροπὴ ἀπὸ τοῦ στερίσκειν ὀπὸς καὶ φωνῆς, διὰ τὸ πολλοὺς γίνεσθαι ἐμπλήκτους καὶ ἐμβροντήτους ἀπὸ τῶν ἀστραπῶν· ἀστεροπὴ δὲ ἀπὸ τοῦ ὄπτεσθαι καὶ βλέπεσθαι ὡς ἀστήρ· ἀστραπὴ δὲ ἀπὸ τοῦ ὡς ἀστέρας ἰάπτειν καὶ πέμ- 528 πειν. Dr.

323. ΚΟΥΦΑ ΒΙΒΑΣ. Τὸ ΒΙΒΑΣ ἀναδίπλωσιν ἔχει Ἰωνικήν. Βὰς γὰρ ἦν, ἀπὸ τοῦ βίβημι, εἰς δεύτερον ἀόριστον, ἢ καὶ εἰς παρατατικόν. Dr.

325. Πλησίον δὲ αὐτῶν (φησὶν) ἦλθεν ἡ Ἀθηνᾶ, καὶ παραθαρσύνουσα αὐτοὺς εἶπε· χαίρετε οἱ ἀπὸ Λυγγέως τοῦ ἐνδόξου καταγόμενοι, νῦν δὴ ὁ Ζεὺς δίδωσιν ὑμῖν νίκην, ὥστε φονεῦσαι τὸν Κύκνον καὶ ἐκδῦσαι αὐτὸν τὰ ὅπλα αὐτοῦ. Σοὶ δὲ ὦ Ἡρακλῆς ἐρῶ ἄλλό τι, ἡνίκα τὸν Κύκνον m) στερίσῃς ἀπὸ τῆς ζωῆς, τοῦτον μὲν ἄφες ἐκεῖ ἔνθα πέσῃ, καὶ τὰ ὅπλα αὐτοῦ. Σὺ δὲ ἐπιτηρήσας τὸν Ἄρην ἐπερχόμενόν σοι, ἔνθα ἴδῃς ἀπογυμνωθέντα αὐτὸν τοῦ σάκους, ἐκεῖ τρῶσον αὐτὸν μετὰ τοῦ δόρατος, ἀποχώρησον δὲ εὐθὺς ὀπίσω, ἐπεὶ οὐκ ἔστι σοι εἱμαρμένον οὔτε τοὺς ἵππους τοῦ Ἄρεος λαβεῖν, οὔτε τὰ ὅπλα αὐτοῦ. Dr.

325. Τὸ ΑΓΧΙΜΟΛΟΝ ἐπίῤῥημά ἐστιν εἰς παρατατικὸν, ἐκ τοῦ μολῶ τὸ παραγίνομαι· σημαίνει δὲ τὸ πλησίον. Dr.

327. ΧΑΙΡΕΤΕ ΛΥΓΓΗΟΣ ΓΕΝΕΗ. Λυγγεὺς ἦν βασιλεὺς τοῦ Ἄργους. Ἀπὸ Λυγγέως γὰρ Ἄβας, οὗ Ἀκρίσιος, οὗ Δανάη, ἧς Περσεὺς, οὗ Ἀλκαῖος, ὁ τοῦ Ἠλεκτρύωνος καὶ Ἀμφιτρύωνος. n) Τοῦ δὲ Ἡρακλῆς καὶ Ἴφικλος, Ἰφίκλου

m) θερίσῃς Trinc.

n) Edd. Bas. Heins. τοῦ δὲ Ἀλ-

δὲ Ἰόλαος. Γένος γὰρ τοῖς φιλοσόφοις δοκεῖ καὶ τὸ ἕν· ὡς Ἡρακλῆς, καὶ Ἀντίοχος, καὶ Λυγγεὺς καὶ Κέκροψ. °) Καὶ γὰρ καὶ γένος λέγεται καὶ ἡ τινῶν ἐχόντων πῶς πρὸς ἕν τι καὶ πρὸς ἀλλήλους ἄθροισις, ὡς παρὰ τῷ Πορφυρίῳ μεμαθήκαμεν. Τέκνα λεχθείησαν οἱ Ἀργεῖοι τοῦ Λυγγέως, ὡς ἑνός τινος ἐξ οὗ κατάγεται. Ὥσπερ οἱ Ἡρακλεῖδαι, καὶ Κεκροπίδαι, καὶ οἱ λοιποί. Tz.

329. ΚΥΚΝΟΝ Τ' ΕΞΕΝΑΡΕΙΝ. Ἐξεναρεῖν, ἤγουν φονεῦσαι· τὸ θέμα, ἐναίρω τὸ φονεύω. Dι.

331. ΓΛΥΚΕΡΗΣ ΑΙΩΝΟΣ. Ὅτι τὸ προφέρειν τὰ ἀρσενικὰ γένη θηλυκῶς, Ἀττικόν ἐστιν, ὡς ἐνταῦθα ΓΛΥΚΕΡΗΣ ΑΙΩΝΟΣ· καὶ Πίνδαρος,

Ἐρήμης δι' αἰθέρος. Dι.

Ibid. ΑΜΕΡΣΗιΣ. Ἀπὸ τοῦ ἀμέρδω τὸ ἀφανίζω· τοῦτο δὲ ἀπὸ τοῦ ἀμῶ τὸ θερίζω. Dι.

334. ΕΝΘΑ ΚΕ. Τὸ Ἔνθα, ποτὲ μὲν σημαίνει τὸ ὅπου, ὡς τὸ ΕΝΘΑ ΚΕ ΓΥΜΝΩΘΕΝΤΑ· ποτὲ δὲ τὸ ἐκεῖ· ὡς τὸ ΕΝΘ' ΟΥΤΑΜΕΝ. Ὅπερ ἀπὸ τοῦ ἐνταῦθα δοκεῖ γίνεσθαι κατὰ συγκοπήν. Dι.

Ibid. ΣΑΚΕΥΣ. Οἱονεὶ τοῦ σάκους. Οἱ γὰρ Δωριεῖς
529 οὕτω κλίνουσι· τὸ σάκος τοῦ σάκευς, τὸ βέλος τοῦ βέλευς. Τὸ γὰρ εο, εἰς ευ τρέπουσιν. Tz.

335. ΕΝΘ' ΟΥΤΑΜΕΝ. p) Τρῶσον μὲν, φησὶ, μόνον, καὶ ἀναχώρει. Ἐπεὶ οὐχ ἥμαρταί σοι οὔτε τοὺς ἵππους αὐτοῦ λαβεῖν, οὔτε αὐτὸν φονεῦσαι. Tz.

338. Οὕτω συμβουλευσαμένη (φησὶν) ἡ Ἀθηνᾶ ἀνέβη εἰς τὸν δίφρον, κρατοῦσα ἐν ταῖς χερσὶ νίκην καὶ δόξαν, τουτέστι, νικηφόρος οὖσα ἀνέβη εἰς τὸν δίφρον σπουδαίως. Τότε δὴ ὁ ἀπὸ Διὸς καταγόμενος Ἰόλαος μέγα καὶ φοβερὸν ἐφώνει τοῖς ἵπποις, καὶ διήγειρεν αὐτοὺς ποππυσμοῖς. Οἱ δὲ ἵπποι διερεθισθέντες ὑπὸ τῆς ἀπειλητικῆς ἐκείνης φωνῆς εὐχερῶς ἔφερον τὸ ἅρμα, ἕλκοντες ἐπὶ τοῦ τόπου ἐκείνου· ἐνέβαλε γὰρ αὐτοῖς δύναμιν ἡ Ἀθηνᾶ, κινήσασα τὴν αἰγίδα. Αὕτη γὰρ ἡ αἰγὶς ἦν

καίου· τοῦ δὲ Ἀμφιτρύωνος Heinrich. Ego Ἀλκαίου delevi. Λυγκέα γὰρ ὁ Ἄβας, οὗ Ἀκρίσιος, οὗ Δανάη, ἧς Περσεὺς, οὗ Ἀλκαῖος, ὁ τοῦ Ἀμφιτρύωνος, οὗ Η. κ. Ἰ. B.

o) Deest Bas. cum lacuna. Mox ὥσπερ τῷ Π. ib.

p) Sic B. Vulgo Πρῶτον.

τὸ δέρμα τῆς Ἀμαλθείας αἰγός· λέγοι δ' ἂν ἐνταῦθα Ἀθηνᾶν μὲν τοῦ Ἰολάου ἡνιοχευτικὴν ἐπιστήμην καὶ φρόνησιν· αἰγίδα δὲ, μύωπα αἴγειον, ὃς θυμικωτέρους καὶ εὐκινητοτέρους καθίστα τοὺς ἵππους· εἶτα φησὶν, ὡς ἀπὸ τῆς τῶν ἵππων κινήσεως ἤχει ἡ γῆ κύκλῳ. Τοῦτο γὰρ ἐμφαίνει ἡ περὶ πρόθεσις· οἱ δὲ (ἤγουν ὁ Κύκνος, καὶ ὁ Ἄρης) ὁμοῦ ἦλθον, ὅμοιοι ἢ πυρὶ ἢ ἀνέμῳ ὀξεῖ, καὶ οἱ ἵπποι τούτων ἀντικρὺ ἱστάμενοι ὀξέως ἐχρεμέτισαν. Ἤγετο δὲ κύκλῳ ὁ τοῦ χρεμετισμοῦ ἦχος. Di.

339. *ΝΙΚΗΝ ΑΘΑΝΑΤΗιΣ ΧΕΡΣΙΝ.* q) Εὐκαίρως διέσταλκεν τῆς Ἀθηνᾶς τὴν νίκην, ἐν ταῖς ἀθανάταις αὐτῆς χερσὶ κατέχουσα τὴν νίκην. Tz.

340. Τὸ *ΔΙΟΓΝΗΤΟΣ* συγκοπὴν ἔχει ἀπὸ τοῦ διογένητος, ἢ ὁ γνωτὸς, ἤγουν γνωστὸς τῷ Διΐ· ἐπεὶ ὁ Ἰόλαος οὐ κατήγετο ἀπὸ τοῦ Διὸς, εἰ μή τις τὸ ἀνέκαθεν ἰσχυρίζοιτο. Γίνεται οὖν διόγνωτος, καὶ τροπῇ συνήθει τοῦ ω μεγάλου εἰς η, διόγνητος. Di.

341. Τὸ *ΕΚΕΚΛΕΤΟ* εἰς ὑπερσυντελικὸν ἀπὸ τοῦ κλέω, ὅπερ ἀπὸ τοῦ καλέω συνεκόπη. Ἢ καὶ εἰς παρατατικὸν, ἀπὸ τοῦ κέκλω, ὅπερ ἀπὸ τοῦ κλέω κατὰ συγκοπὴν καὶ ἀναδίπλωσιν γίνεται. Di.

342. *ΚΟΝΙΟΝΤΕΣ.* Ἤγουν τρέχοντες. Ἐν γὰρ τῷ τρέχειν κόνις ἤγουν χῶμα ἐγείρεται, ἢ ἀπὸ τοῦ κονῶ τὸ ἐνεργῶ. Di.

345. *ΤΟΙ Δ' ΑΜΥΔΙΣ.* Ὥσπερ ἀπὸ τοῦ ἄλλῃ, ἤγουν ἀλλαχοῦ, τὸ ἄλλυδις· οὕτως ἀπὸ τοῦ ἅμα, τὸ ἅμυδις, ἤγουν ἅμα ἢ ὁμοῦ. Di.

348. Τὸ *ΑΓΝΥΤΟ* δὲ, ἢ τὸ ἐφέρετο, ἢ τὸ ἐκλᾶτο σημαίνει· καὶ ἀμφότερα γὰρ συμβιβάζεται πρὸς τὴν ἔννοιαν. Τὸ μὲν ἐφέρετο, ὅτι σῶμα ἡ φωνὴ, καὶ σῶμα φερόμενον· τὸ δὲ ἐκλᾶτο, διὰ τὸ τῆς ἠχοῦς ὑστερόφωνον, διεσπασμένον ὂν καὶ ἡμίφωνον. Di.

349. *ΠΡΟΣ ΤΟΝ ΚΥΚΝΟΝ* δὲ (φησὶν) εἶπεν ὁ Ἡρακλῆς, ὦ φίλε Κύκνε, διὰ τί καθ' ἡμᾶς ἐπιφέρετε τοὺς ταχεῖς 530
ὑμῶν ἵππους; τὸ γὰρ *ΕΠΙΣΧΕΤΕ* ἀντὶ τοῦ ἐπάγετε· ἔχω γὰρ καὶ ἴσχω τὸ φέρω. Καὶ γὰρ καὶ ἡμεῖς ἔμπειροι ἐσμὲν τοῦ πολέμου, καὶ τῆς κακοπαθείας. Ἀλλὰ ἄπαγε τὸν εὔξεστον δί-

q) ἀκαίρως B.

φρον ἐκτὸς, καὶ θέλησον ἐξελθεῖν ἀπὸ τῆς ὁδοῦ. Καὶ γὰρ ἐγὼ παρὰ τὴν Τρηχῖνα πόλιν ἀπέρχομαι πρὸς Κήϋκα τὸν σὸν πενθερὸν, ὃς Τραχῖνος βασιλεύει. Κήϋξ δὲ οὐ μόνον ὄνομα κύριον, ἀλλὰ καὶ ὄρνεον ἔνυδρον. Ἴσως γὰρ κλέπτοντος Κύκνου τὰς εἰς Πυθῶνα θυσίας, ὁ Ἡρακλῆς τῷ Κήϋκι ἀπαγγελεῖν τὸ γινόμενον ἐδικαίωσεν· ὡς δ' εὗρε τὸν Κύκνον διεμποδίζοντα, παρέργως τοῦτον ἀπέκτεινεν, ἢ ὅτι καὶ τὸν Κήϋκα πολεμήσων ἀπήρχετο συμβουλευσαμένου Ἀπόλλωνος, εἰ καὶ μὴ ἐμφαίνει τοῦτο Ἡσίοδος. Εἶτα φησίν· εἰ γὰρ κωλύσεις με, οὐ βοηθήσει σοι ὁ Ἄρης ὁ σὸς πατὴρ φονευομένῳ ὑπ' ἐμοῦ. Καὶ γὰρ λέγω, καὶ ἄλλοτέ ποτε αὐτὸν τὸν Ἄρην ἀπόπειραν λαβεῖν τοῦ ἡμετέρου δουρὸς, ὅτε ἐμαχόμην Νηλεῖ τῷ βασιλεῖ Πύλου, καὶ ὁ Ἄρης ἠναντιώθη μοι, μεγάλως κατ' ἐμοῦ ὀργιζόμενος· ἐκ τρίτου μὲν τότε τυφθεὶς ὑπ' ἐμοῦ ἐστηρίχθη ἐν τῇ γῇ, τρωθέντος τοῦ σάκους αὐτοῦ. Τὸ δὲ τέταρτον ἐν πάσῃ δυνάμει ὁρμήσας ἐγὼ ἐτραυμάτισα τὸν αὐτοῦ μηρόν· ἔσχισα δὲ καὶ τὸ σάκος· ἔπεσε δὲ εἰς γῆν ἐπὶ πρόσωπον, ὅτε δὴ καὶ ἐφύβριστος ἐν τοῖς θεοῖς γέγονε, καταπονηθεὶς ὑπ' ἐμοῦ καὶ σκυλευθείς. Dι.

350. Τὸ ΠΕΠΟΝ οὐ μόνον τὸν φίλον σημαίνει, ἀπὸ μεταφορᾶς τῶν πεπόνων, οὓς φιλοῦμεν ἐπιπολὺ, ἀλλ' ἤδη καὶ τὸν κεχαυνωμένον καὶ ἔκλυτον, ὁποῖοι εἰσὶν οἱ ὑπὲρ τὸ μέτριον πεπανθέντες σίκυοι, ἢ ἄπιοι. Ἰστέον γὰρ, ὡς οὐ μόνον τοὺς σικύους φαμὲν πέπονας, ἀλλὰ καὶ τοὺς ἀπίους, καὶ ἄλλους πλείονας καρπούς· καὶ Ὅμηρος ἐξεδέξατο ἐπὶ ταύτῃ τῇ σημασίᾳ τὸν πέπονα·

Ὦ πέπονες Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί. Dι.

351. Τὸ ΕΙΜΕΝ ἀπὸ τοῦ ἐμέν· κοινῶς μὲν γὰρ προστίθεται τὸ σ, καὶ γίνεται ἐσμέν· ποιητικῶς δὲ τὸ ι, καὶ γίνεται εἱμέν. Dι.

352. ΑΛΛΑ ΠΑΡΕΞ. Ὅτι τὸ πάρεξ καὶ τὸ παρὲξ διαφέρουσι. Τὸ μὲν γὰρ πάρεξ σημαίνει τὸ ἐκτὸς, καὶ βαρύνεται, καὶ συντάσσεται μετὰ γενικῆς, ἔστι δὲ κοινόν. Τὸ δὲ παρὲξ, οὐ τὸ ἐκτὸς μόνον σημαίνει, ἀλλὰ καὶ τὸ πλησίον, ὡς τὸ ΠΑΡΕΞ ἍΛΑ, ἤγουν ἐκτὸς, πλησίον τῆς θαλάσσης, καὶ ὀξύνεται, καὶ συντάσσεται μετὰ αἰτιατικῆς· ἔστι δὲ καὶ ποιητικὸν, ἐνταῦθα δὲ πάρεξ ἐστί. Dι.

354. Τὸ ΕΙΚΕ ἐνταῦθα τὸ θέλησον σημαίνει· ἔστι γὰρ καὶ εἴκω τὸ θέλω, ἀφ' οὗ καὶ τὸ ἑκών. Εἰ δὲ μή, σημαίνει μὲν τὸ ὑποχώρησον. Λαμβάνεται δὲ ἑτεροσημάντως εἰς τὴν σύνταξιν, ἤγουν ὅρμησον παρεξιέναι, ὡς καὶ παρ' Ὁμήρῳ, Βῆ δ' ἰέναι. Di.

355. ΣΥ Δ' ΕΥ ΜΑΛΑ ΟΙΣΘΑ. Ὅτι τὸ οἶσθα οὕτω κανονίζεται, εἴδω τὸ γινώσκω, ὁ μέλλων εἴσω, ὁ μέσος παρακείμενος οἶδα, οἶδας, καὶ κατὰ προσχηματισμὸν οἴδασθα, καὶ κατὰ συγκοπὴν οἶσθα. Di.

360. Τὸ ΠΥΛΟΥ ΗΜΑΘΟΕΝΤΟΣ Ἀττικόν ἐστιν· ἐκεῖνοι γὰρ τὰ θηλυκὰ ἀποδιδοῦσιν ἀρσενικοῖς, καὶ ἀνάπαλιν. 531
Τοιοῦτόν ἐστιν ἐν Βοιωτίᾳ, τὸ ΚΛΕΙΤΟΣ ἹΠΠΟΔΑΜΕΙΑ καὶ τὸ ΘΗΛΥΣ ΕΕΡΣΗ καὶ παρ' Εὐριπίδῃ, τὸ ΑΓΓΕΛΘΕΙΣΑ ΜΟΙ ΓΕΝΝΑΙΟΣ. Ὤφειλεν οὖν εἰπεῖν ἐνταῦθα ΠΥΛΟΥ ΗΜΑΘΟΕΣΣΗΣ· ἡ Πύλος γάρ ἐστι θηλυκόν. Di.

366. Τὸ ΕΤΥΧΘΗ ἀπὸ τοῦ τύκω, τὸ κατασκευάζω, ἀφ' οὗ καὶ τυκίον τὸ μυστρίον. Di.

367. ΛΙΠΩΝ ΕΝΑΡΑ ΒΡΟΤΟΕΝΤΑ. Ἔναρα τὰ τῶν φονευθέντων ὅπλα, ἢ καὶ ἐνδύματα, ἀπὸ τοῦ ἐναίρω τὸ φονεύω. Βροτόεντα δὲ, ἤγουν αἱματώδη· βρότος γὰρ τὸ μετὰ κόνεως αἷμα. Di.

368. Οὕτω (φησὶν) ἔφη ὁ Ἡρακλῆς· ὁ δὲ Κύκνος οὐκ ἐμενοίνα, καὶ ὠρέγετο ἡσυχίας, ὥστε πειθόμενος τῷ Ἡρακλεῖ κατέχειν τοὺς ἕλκοντας τὸ ἅρμα ἵππους· τότε δὴ ἐπήδησαν ταχέως ἐπὶ τὴν γῆν ἀπὸ τῶν δίφρων ὁ Ἡρακλῆς ὁ παῖς τοῦ Διὸς, καὶ ὁ Κύκνος ὁ παῖς τοῦ Ἄρεος· οἱ ἡνίοχοι δὲ ἤγαγον τοὺς ἵππους πλησίον αὐτῶν, τῶν ἵππων δὲ κινουμένων, ἤχει ἡ γῆ, κοπτομένη τοῖς ποσὶν αὐτῶν. Di.

Ibid. ΟΥ Δ' ΑΡΑ ΚΥΚΝΟΣ. Οὐ προεθυμεῖτο αὐτοῖς ἀπολύσαι τῷ Ἡρακλεῖ πειθόμενος. Tz.

Ibid. ΕΥΜΜΕΛΙΗΣ. Εὐμελίης δὲ, ὁ καλῶς χρώμενος τῇ μελίᾳ, τουτέστι τῷ δόρατι. Tz.

374. Ὥσπερ δὲ (φησὶν) ὅτε ἀπὸ κορυφῆς ὄρους ἐκπέσωσι πέτραι, πέσωσι δὲ ἐπ' ἀλλήλαις, ῥήγνυνται δὲ ὑπ' αὐτῶν κυλιομένων εὐκόλως πολλαὶ δρῦς, καὶ πεῦκαι καὶ αἴγειροι, ἕως ἂν εἰς τὴν γῆν κατέλθωσιν, οὕτως οὗτοι συνέπεσον ἀλλήλοις, μεγάλως βοῶντες· πᾶσα δὲ ἡ πόλις τῶν Μυρμιδόνων, ἣ νῦν λέγεται Φάρσαλα, καὶ ἡ Ἰαωλκὸς, καὶ ἡ Ἄρνη, καὶ ἡ Ἑλίκη,

καὶ ἡ Ἄνθεια, πόλεις δὲ καὶ αὗται Θετταλίας, ἤχουν μεγάλως ὑπὸ τῇ φωνῇ ἀμφοτέρων. Οἱ δὲ συνῆλθον ἀλλήλοις θεσπέσιον καὶ μέγα ἀλαλάξαντες· ὁ Ζεὺς δὲ μεγάλως ἐκτύπησε βροντήσας, καὶ κατέβαλεν ἀπὸ τοῦ οὐρανοῦ δρόσους αἱματηράς, σημεῖον τιθεὶς τοῦ πολέμου τῷ ἰδίῳ παιδὶ Ἡρακλεῖ. Dɪ.

384. *ΚΑΔ' Δ' ΑΡ ΑΠ' ΟΥΡΑΝΟΘΕΝ.* Ὅμηρος μὲν ἐπὶ Σαρπηδόνος μέλλοντος τελευτᾶν, εὐλόγως ποιεῖται τὰς αἱματοέσσας ψιάδας φερομένας, οὗτος δὲ Ἡρακλέους νικῶντος. Tz.

386. Ὥσπερ δὲ (φησὶ) κάπρος χαυλιόδους καὶ κεχαλασμένους ἔχων ὀδόντας, χαλεπὸς θεάσασθαι αὐτὸν, φέρεται ἐν τοῖς ὄρεσιν ἐν θυμῷ, ὥστε μαχέσασθαι ἀνδράσι κυνηγέταις, καὶ θήγει τὸν ὀδόντα πλάγιος φερόμενος· περὶ τὸ στόμα δὲ αὐτοῦ στάζει ἀφρὸς, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ πυρὶ εἰσὶν ὅμοιοι, ἵστησι δὲ τὰς τρίχας ὀρθὰς ἐν τῷ τραχήλῳ αὐτοῦ· οὕτω καὶ Ἡρακλῆς ἀνεπήδησεν ἐπὶ τοῦ ἅρματος ὅμοιος τούτῳ. Dɪ.

532 387. *ΚΑΠΡΟΣ ΧΑΥΛΙΟΔΩΝ.* Ἐπίθετον, ὡς καρχαρόδους. Ἐνταῦθα δὲ ἐπεὶ κεχαλασμένους ἔχει φανερῶς τοὺς ὀδόντας· ἢ κατὰ ἐναλλαγὴν τοῦ ρ εἰς λ, οἷον χαράσσων τοὺς ὀδόντας, καὶ τραχύνων. Tz.

393. Ὅτε δὲ (φησὶν) ὁ μελανόπτερος καὶ ἠχητικὸς τέττιξ ἐν χλωρῷ κλάδῳ ἐπικαθήμενος ἄρχεται ᾄδειν καὶ προμηνύειν τοῖς ἀνθρώποις τὸ θέρος, ᾧ τινι τέττιγι βρῶσις καὶ πόσις ἐστὶν ἡ ἁπαλὴ δρόσος· τοῦτο γὰρ τὸ ΘΗΛΥΣ ΕΕΡΣΗ· ὃς ἐκ πρωΐας δι' ὅλης τῆς ἡμέρας ᾄδει ἐν κόπῳ χαλεπῷ, ὅτε καὶ ὁ ἥλιος καίει τὸ σῶμα αὐτοῦ, ὅτε δὴ καὶ οἱ κέγχροι ἄρχονται ἀνθέρικας ποιεῖν, ἤγουν στάχυας, οὓς ἐν θέρει σπείρουσιν. Ὅτε καὶ οἱ ἄωροι βότρυες ἄρχονται ποικίλλεσθαι, ἤγουν πεπαίνεσθαι· τὰ δῶρα λέγω τοῦ Διονύσου, ἃ δέδωκε τοῖς ἀνδράσι χαρὰν καὶ ἄχθος. Ἄχθος μὲν, διὰ τὸν εἰς τὴν ἐργασίαν τῶν ἀμπέλων μόχθον, χαρὰν δὲ, διὰ τὴν εὐφροσύνην, τὴν ἐκ τοῦ οἴνου. Κατὰ τὴν ὥραν ταύτην, ἡνίκα ταῦτα γίνεται, ἐμάχοντο ὅ τε Ἡρακλῆς καὶ ὁ Κύκνος. Ἠγείρετο δὲ πολὺς κτύπος τούτων μαχομένων. Dɪ.

Ibid. *ΙΔΕΙ ΕΝ ΑΙΝΟΤΑΤΩι.* Τὸν καιρὸν λέγει τῆς μάχης. Ἴδει ἐν αἰνοτάτῳ, ἐν τῷ θέρει τῷ καυματώδει, ὅτε τὰ σώματα ἔδονται καὶ κατεσθίονται τοῖς ἱδρῶσι, παρὰ τὸ ἰδεῖν, ὅ ἐστι ἱδροῦν. Καὶ Ὅμηρος,

[o]) Ἴδει αἰνοτάτῳ. Tz.

398. *ΠΕΡΙΓΛΩΧΕΣ*. Αἱ γωνίαι τοῦ στάχυος, περιφραστικῶς δὲ τὸν στάχυν. Δηλοῖ δὲ τὰ φύλλα τοῦ κέγχρου. Εἰς ἀνάπαυσιν δὲ τῆς γῆς τοὺς κέγχρους σπείρουσιν. Ἐν θέρει δὲ οἱ κέγχροι, καὶ ἀπὸ τοῦ θέρους σπείρονται, ὅταν ἄρχωνται περκάζειν οἱ βότρυες. Tz.

402. Ὥσπερ δὲ (φησὶ) δύο λέοντες ἕνεκα ἐλάφου φονευθείσης ὁρμῶσιν ἐπ' ἀλλήλοις ὀργιζόμενοι, κτύπος δὲ χαλεπὸς γίνεται αὐτῶν, καὶ πλῆξις τῶν ὀδόντων· οἱ δὲ ὥσπερ ἀετοὶ γαμψώνυχες καὶ ἀγκυλοχεῖλαι (ἐπικαμπεῖς γὰρ οἱ ὄνυχες καὶ τὰ ῥάμφη τῶν ἀετῶν) μάχονται ἐπὶ ὑψηλῇ πέτρᾳ, μεγάλως ἠχοῦντες, ἕνεκα αἰγὸς ἀγρίας, ἢ ἐλάφου πίονος, ἣν ἐδάμασε καὶ ἀπέκτεινε βαλὼν ἐν βέλει ἀπὸ τόξου ἀνὴρ νέος· αὐτὸς δὲ πλανᾶται ἀλλαχοῦ, ἀμαθὴς ὢν τοῦ τόπου, οἱ δὲ ἀετοὶ ταχέως ἐνόησαν, καὶ ὁρμήσαντες μάχην ἐποιήσαντο χαλεπὴν περὶ αὐτῆς· οὕτως οὗτοι ὥρμησαν ἐν ἀλλήλοις μετὰ βοῆς. Dr.

408. *ΑΙΖΗΙΟΣ ΑΝΗΡ*. Αἰζηὸς κυρίως ὁ νεανίας. Νῦν δὲ τὸν τέλειον ἄνδρα φησὶ, ἤτοι τὸν ἀνδρεῖον. Ἑπτὰ δέ εἰσιν, κατὰ ἀστρονόμους, αἱ τοῦ ἀνθρώπου ἡλικίαι· βρέφος ἀπὸ γεννήσεως, μέχρι δ ἐτῶν, ἀναλογεῖ δὲ τῇ σελήνῃ. Εἶτα παιδίον, μέχρι δεκαετίας, ἀναλογεῖ δὲ Ἑρμῇ. Μεῖραξ, ἀπὸ δεκαετίας μέχρι τῶν ιη· ἀναλογεῖ δὲ Ἀφροδίτῃ. Ἀπὸ ιθ ἐτῶν μέχρι τῶν λζ, νεανίας· ἀναλογεῖ δὲ τῷ Ἡλίῳ. Ἀπὸ λη, μέχρι νβ, ἀνήρ· 533
ἀναλογεῖ δὲ Ἄρει. Ἀπὸ νγ, ἕως ξδ, πρεσβύτης· [14]) ἀναλογεῖ δὲ Διΐ· γέρων, ἐπ' αὐτῶν μέχρι ζωῆς ἐσχάτης· ἀναλογεῖ δὲ τῷ ψυχρῷ τότε Κρόνῳ. Tz.

409. *ΑΥΤΟΣ Δ' ΑΠΑΛΗΣΕΤΑΙ ΑΛΛΗ*. Αὐτὸς δὲ (φησὶ) ὁ βάλλων ἄλλῃ ἀναχωρήσει, μὴ εἰδὼς τὸν τόπον ὅπου ἔπεσεν. Οἱ δὲ αἰγυπιοὶ ταχέως αὐτὸν εἶδον. Tz.

413. Τότε δὲ (φησὶν) ὁ Κύκνος μὲν προθυμούμενος φονεῦσαι τὸν Ἡρακλέα, τὸν υἱὸν τοῦ ἰσχυροῦ Διὸς, ἔῤῥιψε δόρυ ἐν τῇ ἀσπίδι αὐτοῦ· οὐδὲ ἔσχισε τὸν θώρακα· ἐφύλασσε γὰρ αὐτὸν τὸν Ἡρακλέα τὰ δῶρα τοῦ Ἡφαίστου· ὁ δὲ υἱὸς τοῦ

o) Vide Heynium Il. Θ. 476. [et Naekium in dissertatione de hoc Tzetzae loco, quae inserta est Commentariis Academiae Borussicae Rhenanae. Ed. Lips.]

14) Scribe et distingue: ἀναλογεῖ δὲ Διΐ. Quae verba στιγμὴν τελείαν postulant. Postea illa: γέρων ἀπ' αὐτῶν μέχρι ζωῆς ἐσχάτης. Heinsius.

Ἀμφιτρύωνος ὁ Ἡρακλῆς μέσον τῆς περικεφαλαίας καὶ τῆς ἀσπίδος, ὑποκάτω τοῦ γενείου, ἔτυψε ταχέως καὶ ἰσχυρῶς τὸν αὐχένα ἐκείνου γυμνωθέντα, ἐν δόρατι, καὶ ἔκοψεν ἀμφοτέρους τοὺς τένοντας, ἤτοι τὰ τοῦ τραχήλου νεῦρα, τὸ ἀνδροφόνον δόρυ. Κατεβλήθη δὲ ἡ μεγάλη ἰσχὺς τοῦ ἀνδρὸς, ἤγουν τοῦ Κύκνου. Κατέπεσε γὰρ, ὥσπερ καταπίπτει δρῦς, ἢ πέτρα ὑψηλὴ πληγεῖσα κεραυνῷ καυστικῷ τοῦ Διός· οὕτω κατέπεσεν ὁ Κύκνος· περὶ αὐτὸν δὲ ἤχησε τὰ ὅπλα αὐτοῦ τὰ κεκαλλωπισμένα ἐν χαλκῷ. Di.

415. *ΟΥΔ' ΕΡΡΗΞΕΝ ΧΑΛΚΟΝ. Σέλευκος γράφει ΧΑΛΚΟΣ ἵν' ᾖ ἐπὶ τοῦ δόρατος. Ἡ γὰρ ἀσπὶς οὐκ ἐπεποίητο ἀπὸ χαλκοῦ.* Tz.

424. *Τοῦτον μὲν (φησὶν) ἔπειτα ἀφῆκεν ὁ καρτερικὸς υἱὸς τοῦ Διὸς Ἡρακλῆς, ἐπιτηρήσας τὸν βροτολοιγὸν Ἄρην ἐπιόντα, καὶ ἐπ' αὐτὸν ἐρχόμενον, καταπληκτικὸν ὁρῶν τοῖς ὀφθαλμοῖς, ὥσπερ λέων ὁρᾷ δηλονότι ἐγκύρσας σώματι, ἤγουν ἐντυχὼν, ὅστις λέων ἐπιμελῶς ὅτι τάχιστα σχίσας τὸ δέρμα τοῦ σώματος ἐκείνου τοῖς ἰσχυροῖς ὄνυξιν αὐτοῦ, ἐκόρεσε τὴν ψυχὴν αὐτοῦ, πίμπλαται δὲ ἄρα καὶ ἡ ψυχὴ αὐτοῦ εἰς κόρον. Βλέπων δὲ τοῖς ὀφθαλμοῖς φοβερὸν, καὶ τὰς πλευρὰς καὶ τοὺς ἐκείνου τοῦ σώματος ὤμους τῇ οὐρᾷ μαστίζων, ὀρύσσει τοῖς ποσίν· οὐδέ τις αὐτὸν ἰδὼν ὑπέμεινεν ἐξ ἐναντίας πλησίον αὐτοῦ ἐλθεῖν, οὐδὲ μάχεσθαι. Τοιοῦτος ἄρα ἐστὶν ἐναντίος τοῦ Ἄρεος ὁ Ἀμφιτρυωνιάδης Ἡρακλῆς, ὁ μὴ κόρον λαμβάνων τῆς τοῦ πολέμου φωνῆς, ἐν τῇ ψυχῇ αὐτοῦ θάρσος αὔξων ὁρμητικῶς. Οὗτος δὲ πλησίον τοῦ Ἄρεος ἦλθε λυπούμενος τὴν ψυχήν· ἀμφότεροι δὲ βοήσαντες ἐπ' ἀλλήλους ὥρμησαν.* Di.

437. *Ὥσπερ δὲ (φησὶν) ὅτε ἀπὸ ἐξοχῆς μεγάλου ὄρους ὁρμήσῃ πέτρα, κυλίεται μακρὰ πηδῶσα· ὁ κτύπος δὲ ἔρχεται βοῶν· τὸ δὲ ὄρος ἀντήχησε τὸ ὑψηλὸν, ᾧ τινι δὴ ὄρει συγκατέρχεται, ἔνθα κωλύσει ταύτην. Τόσῃ βοῇ, ὁ μὲν Ἄρης ὁ ὀλέθριος κράζων ὥρμησεν, ὁ δὲ Ἡρακλῆς ἰσχυρῶς ὑπεδέξατο αὐτόν.* Di.

443. *Ἡ Ἀθηνᾶ δὲ (φησὶν) ἡ θυγάτηρ τοῦ Διὸς, ἐναντία*
534 *ἦλθε τοῦ Ἄρεος, ἔχουσα τὴν στιβαρὴν αἰγίδα, ἤγουν τὸ δέρμα τῆς Ἀμαλθείας αἰγός. Δεινὸν δὲ ἰδοῦσα λόγους ταχεῖς πρὸς αὐτὸν εἶπεν· ὦ Ἄρες, κώλυσον τὴν ἰσχυράν σου ὁρμὴν, καὶ*

τὰς ἀπροσπελάστους χεῖρας· οὐ γάρ ἐστι δίκαιον ἀποδῦσαι σὲ τὸν Ἡρακλέα τὰ ἔνδοξα αὐτοῦ ὅπλα, κτείναντα τὸν ἀνδρειότατον υἱὸν τοῦ Διός· ἀλλ' ἄγε παῦσον τῆς μάχης, μὴ δὲ ἵστασο ἐμοῦ ἐναντίος. Di.

450. Οὕτως ἔφη (φησὶν) ἡ Ἀθηνᾶ, ἀλλ' οὐκ ἔπειθε τὴν ψυχὴν τοῦ Ἄρεος· ἀλλὰ μεγάλως βοῶν κινήσας τὰ ὅπλα αὐτοῦ τὰ τῷ πυρὶ ὅμοια, ταχέως ἐπὶ τὸν Ἡρακλέα ὥρμησε, προθυμούμενος κατακτεῖναι αὐτόν. Καὶ δὴ σπουδαίως ἔῤῥιψεν ἐπὶ τῇ ἀσπίδι αὐτοῦ δόρυ σιδηροῦν, ὀργιζόμενος ἕνεκα τοῦ ἰδίου παιδὸς Κύκνου τεθνεῶτος· ἡ δὲ Ἀθηνᾶ ἡ γλαυκὰς ἔχουσα τὰς ὦπας, ἀπέστρεψε τὴν ὁρμὴν τοῦ δόρατος, κινήσασα ἑαυτὴν ἀπὸ τοῦ ἅρματος· σφοδρὰ δὲ λύπη ἔλαβε τὸν Ἄρην. Κινήσας δὲ δόρυ ὀξὺ, ὥρμησεν ἐπὶ τὸν Ἡρακλέα τὸν γενναιόφρονα. Ὁ Ἡρακλῆς δὲ, ὁ μὴ κόρον λαμβάνων τῆς τοῦ πολέμου φωνῆς, ἔτρωσεν ἰσχυρῶς τὸν Ἄρην ἐπελθόντα κατὰ τὸν μηρὸν, γυμνωθέντα τοῦ ποικίλου σάκους, ἤγουν τῆς ἀσπίδος. Ἔπληξε δὲ τὴν ἀσπίδα διαῤῥήξας ἐν δόρατι, κινήσας τοῦτο. Κατέβαλε δὲ αὐτὸν ἐπὶ τὴν γῆν. Ὁ Δεῖμος δὲ καὶ ὁ Φόβος (προσωποποιεῖ γὰρ αὐτοὺς) ἔφερον αὐτῷ ἐγγὺς ταχέως τὸ ταχὺ ἅρμα, καὶ τοὺς ἵππους, καὶ ἀνεβίβασαν αὐτὸν ἀπὸ τῆς γῆς εἰς τὸν δίφρον τὸν ποικίλον. Ταχέως δὲ πάλιν ἐμάστιξαν τοὺς ἵππους, καὶ ἀφίκοντο εἰς τὸν μέγαν οὐρανόν. Di.

456. ΕΓΧΕΟΣ ὉΡΜΗΝ ΕΤΡΑΠ'. Ἐκτείνασα τὴν χεῖρα. Tz.

467. Ὁ υἱὸς δὲ (φησὶ) τῆς Ἀλκμήνης Ἡρακλῆς, καὶ ὁ ἔνδοξος Ἰόλαος σκυλεύσαντες τὸν Κύκνον, ἤγουν ἀποδύσαντες αὐτὸν τὰ καλὰ ὅπλα, ἐπορεύοντο. Ταχέως δὲ ἀφίκοντο εἰς τὴν Τραχῖνα πόλιν, σὺν τοῖς ἵπποις τοῖς ταχέσιν. Ἡ δὲ Ἀθηνᾶ ἀφίκετο εἰς τὸν μέγαν οὐρανὸν καὶ τὰ δώματα τοῦ Διὸς τοῦ πατρὸς αὐτοῦ. Τὸν Κύκνον δὲ ἔθαπτεν ὁ Κήϋξ, καὶ ὁ λαὸς ὁ πολὺς, οἵ τινες κατῴκουν τῆς πόλεως τῆς Τραχῖνος πλησίον, ἥτις ἦν τοῦ ἐνδόξου βασιλέως Κήϋκος· ἀλλὰ δὴ καὶ οἱ τὴν Ἄνθην κατοικοῦντες, καὶ τὴν πόλιν τῶν Μυρμιδόνων, καὶ τὴν Ἰαωλκὸν, καὶ τὴν Ἄρνην, καὶ τὴν Ἑλίκην. Πολὺς δὲ λαὸς ἠγείρετο, τιμῶντες τὸν Κήϋκα, τὸν φίλον τῶν ἀθανάτων θεῶν. Τούτου δὲ τὸν τάφον ἀφανῆ ἐποίησεν ὁ Ἄναυρος ποταμὸς, πλησθεὶς χειμερίου ὄμβρου· οὕτω γὰρ ὁ Ἀπόλλων ἠνίξατο καὶ ἐμαντεύσατο, ὅτι δὴ ἐπιτηρῶν ἔκλεπτε βιαίως τὰς

ἐνδόξους θυσίας καὶ τὰ ἀναθήματα, ἅπερ ἂν ἔφερέ τις ἐν Πυθίᾳ, ἐν τῷ αὐτοῦ δηλονότι ἱερῷ. Dɪ.

477. *ΑΙΔΕΣ ΠΟΙΗΣΕ. Ἀντὶ τοῦ ἀφανές· ἵνα δείξῃ, ὅτι καὶ οἱ τάφοι ἀφανίζονται τῶν ἀδίκων.* Tz.

478. *ΤΩΣ ΓΑΡ ΜΙΝ ΑΠΟΛΛΩΝ. Οὕτως γὰρ ἐκέλευσεν ὁ Ἀπόλλων, ἐπειδὴ τοὺς φέροντας τὰς θυσίας ἐσκύλευεν. Αναυρος, ποταμὸς Θεσσαλίας. Καλοῦσι δὲ καὶ ἀναύρους τοὺς χειμάῤῥους.* Tz.

INDEX NOMINUM.